






Α.Π.Θ.


Α.Π.Θ.

ΘΕΟΦΥΛΑΚΤΟΥ ΑΡ

ΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ ΕΡΜΗΝΕΙΑ ΕΙΣ

ΤΑ ΤΕΣΣΑΡΑ ΕΥΑΓΓΕΛΙΑ.



ROMAE. M. D. XLII.



STVDIOSIS SACRARVM LITTERARVM.

CVM MVLTAE RES ſint, quarum uſus utilitati, atque etiam ornamento nobis eſſe ſoleat: fieri tamen uidemus, ut earum rerum quædam iaceant, quædam etiam prorſus intereant. huiuſmodi ſunt humana. mutari omnia conſtat. nihil idem ſemper eſt. in litteris quidem maximam iacturã fecimus: ita multa ueterum ſcripta temporum calamitate perierunt. ſed ò præclarum uirum, qui nouam hanc edendorum librorum rationem inuenit. cum enim ſacrarum litterarum ſtudia, multis in lucem ſcriptoribus editis, qui hactenus in tenebris delituerãt, in dies magis ac magis à doctiſſimis uiris excolantur, & præclara eruditorum hominum ingenia in his ſeſe exerceant, quantam animo poſſum, maximam capio uoluptatem, propterea ꝙ diuino quodam munere id factum uidetur, ut excellenti ingenio ac doctrina uiri his ſe ſtudiis dediderint, quibus non inanem quandam apud homines gloriolam aucupamur, ſed nobis ad immortalitatem uiam communimus, ut deſpecta penitus rerum humanarum imbecillitate, animum ad cœleſtia erigamus, ſummúmq; illum ac præpotentem Deum toto pectore amplexemur, ita ut q̃ minima, dum in hac uitæ quaſi peregrinatione ſumus, nobis cum corporibus ſit contagio, ſed ea nobis una & præcipua cura, ut his ſoluti uinculis in cœleſtem illam patriam, unde paucis ante annis demiſſi fuimus, remigremus. Verum cum nulla re magis q̃ Euangelii lectione adiuuemur, qua ad cœleſtis uitæ imitationem inſtituimur, non inutilem noſtram operam fore iudicauimus, ſi Græcam Theophilacti in Euangelia interpretationem, ſummam uidelicet quandam ferè è Chriſoſtomi commentariis decerptam, publice legendam emitteremus: præſertim cum in ea, quæ in Latinum ſuperioribus annis uerſa eſt, multa deſint, plura uero perperam legantur, ſiue ueteris exemplaris, ſiue interpretis ea culpa fuerit. Plane hoc beneficium, quantũcunq; eſt, quod certe maximum eſt, Pauli III. diuinæ uirtuti debetur. Pontifex benignitate inſignis, natus ad tollẽda humani generis incommoda, ueterem conſuetudinẽ ſeruat, excitat bonas artes quouis ſumptu, quouis præmio, facit, ut qui Pontifices beneficentiæ laude celebrãtur, eos hac ætate minime deſideremus. itaq; noſtrum eſt, ut ei non modo pro Theophilacto, quẽ habemus, ſed etiã pro iis, quæ expectamus, & uitæ diuturnitatem, & quæ optima habentur in uita, à Deo precemur. Valete.


Α.Π.Θ.

ΒΙΌΣ ΤΟΥ͂ ἉΓΊΟΥ ΕΥ̓ΑΓΓΕΛΙΣΤΟΥ͂
Ματθαίου κατὰ Σωφρόνιον.

Ματθαῖος ὁ καὶ Λευὶς, ἀπόστολος ἀπὸ τελωνῶν, ἐν τῇ Ἰουδαίᾳ πρῶτος διὰ τοὺς ἐκ περιτομῆς πιστεύσαντας εὐαγγέλιον τοῦ Χριστοῦ γράμμασι, καὶ ῥήμασιν ἑβραϊκοῖς συνέταξεν, ἀγνοουμένου τοῦ μετὰ ταῦτα εἰς ἑλληνικὸν ὕφος μεταφράσαντος. Τὸ δὲ ἑβραϊκὸν ἄχρι σήμερόν ἐστιν ἐν τῇ βιβλιοθήκῃ καισαρείας τῆς παρὰ παμφίλου μάρτυρος περισπουδάστως κατασκευασθείσης. Ἐμοὶ δὲ παρὰ τῶν ναζωραίων τῶν ἐν Βεροίᾳ τῆς συρίας τούτῳ κεχρημένων, ἄδεια παρεσχέθη τῆς τούτου μεταγραφῆς, δι᾽ οὗ δεῖν ἀκριβῶς πεισθῆναι, ὡς ἔνθα ἂν ὁ εὐαγγελιστὴς εἴτε ἐκ προσώπου οἰκείου, εἴτε ἐκ προσώπου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ σωτῆρος ταῖς μαρτυρίαις κατακέχρηται τῶν παλαιῶν γραφῶν, μὴ ἀκολουθεῖν τῇ αὐθεντίᾳ τῶν ἑβδομήκοντα ἑρμηνευτῶν, ἀλλὰ τῇ ἑβραϊκῇ, ἀφ᾽ ὧν τὰ δύο δεῖν ἐκεῖνα. ἐξ αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. καὶ ὅτι ναζωραῖος κληθήσεται.

ΤᾺ ΚΕΦΆΛΑΙΑ ΤΟΥ͂ ΚΑΤᾺ Ματθαῖον εὐαγγελίου.

α΄. Περὶ γενεαλογίας τοῦ Χριστοῦ.
β΄. Περὶ τῶν μάγων, καὶ τῶν ἀναιρεθέντων παίδων.
γ΄. Πρῶτος Ἰωάννης ἐκήρυξε βασίλειαν τῶν οὐρανῶν.
δ΄. Περὶ πειρασμοῦ τοῦ Χριστοῦ.
περὶ τῆς τοῦ πέτρου, καὶ ἀνδρέου, καὶ τῶν υἱῶν τοῦ ζεβεδαίου κλήσεως.
ε΄. Περὶ τῶν μακαρισμῶν.
περὶ τοῦ μὴ φιλονεικεῖν πρὸς τὸν πλησίον.
περὶ τοῦ μὴ μοιχεύειν.
περὶ τοῦ μὴ ἀπολύειν τὴν γυναῖκα.
περὶ τοῦ μὴ ὀμόσαι ὅλως.
περὶ τοῦ τὰς ὕβρεις ἀνέχεσθαι, καὶ ἀντιστῆναι τῷ πονηρῷ.
περὶ τοῦ ἀγαπᾷν τοὺς ἐχθρούς.
ϛ΄. Περὶ ἐλεημοσύνης, προσευχῆς, καὶ νηστείας.
περὶ τοῦ καταφρονεῖν τῶν τοῦ κόσμου.
ζ΄. Περὶ τοῦ κρίνειν μηδένα.
περὶ τοῦ αἰτεῖν, καὶ ζητεῖν.
περὶ τοῦ προσέχειν ἀπὸ τῶν ψευδοπροφητῶν.
η΄. Περὶ τοῦ λεπροῦ.
περὶ τοῦ ἑκατοντάρχου.
περὶ τῆς πενθερᾶς πέτρου.
περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.
περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν.
περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.
περὶ τῶν δαιμονιζομένων, ὧν τὰ δαιμόνια εἰς τὴν ἀγέλην τῶν χοίρων ἐξεβλήθη.
θ΄. Περὶ τοῦ παραλυτικοῦ.
περὶ τοῦ Ματθαίου.
περὶ τοῦ σωτῆρος μετὰ τῶν τελωνῶν ἐσθίοντος.
περὶ τῆς θυγατρὸς ἀρχισυναγώγου.
περὶ τῆς αἱμοῤῥοούσης.
περὶ τῶν δύο τυφλῶν.
περὶ τοῦ δαιμονιζομένου κωφοῦ.
ι΄. Περὶ τῆς τῶν ἀποστόλων διαταγῆς.
ια΄. Περὶ τῶν ἀποσταλέντων παρὰ Ἰωάννου.
ιβ΄. Περὶ τῶν μαθητῶν τοῖς σάββασι τιλλόντων στάχυας.
περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα.
περὶ τοῦ δαιμονιζομένου τυφλοῦ καὶ κωφοῦ.
περὶ τῶν αἰτούντων σημεῖον.
περὶ μητρὸς, καὶ ἀδελφῶν.
ιγ΄. Περὶ τῶν παραβολῶν τοῦ σπείραντος καὶ τῆς βασιλείας τῶν οὐρανῶν.

ιδ'. Περὶ Ἰωάννου καὶ Ἡρώδου.
περὶ τῶν ε' ἄρτων καὶ τῶν β' ἰχθύων.
περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου τοῦ Ἰησοῦ.

ιε'. Περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ θεοῦ διὰ τὴν παράδοσιν τῶν ἀνθρώπων.
περὶ τῆς χαναναίας.
περὶ τῶν θεραπευθέντων ὄχλων.
περὶ τῶν ἑπτὰ ἄρτων.

ιϛ'. Περὶ τῆς ζύμης τῶν φαρισαίων.
περὶ τῆς ἐν καισαρείᾳ ἐπερωτήσεως.
περὶ τῆς ἐπιτιμήσεως τοῦ πέτρου, ὅπως μὴ χριστὸς πάθῃ.

ιζ'. Περὶ τῆς μεταμορφώσεως τοῦ χριστοῦ.
περὶ τοῦ σεληνιαζομένου.
περὶ τῶν αἰτούντων τὸ δίδραχμα.

ιη'. Περὶ τῶν λεγόντων, τίς μείζων.
περὶ τοῦ μὴ σκανδαλίζειν.
περὶ τῶν ρ' προβάτων παραβολή.
περὶ τῆς ἐλέγξεως τοῦ πλησίου.
περὶ τῆς δυνάμεως τοῦ δεῖν καὶ λύειν.
περὶ τοῦ ὀφείλοντος μύρια τάλαντα.

ιθ'. Περὶ τῶν ἐπερωτώντων εἰ ἔξεστιν ἀπολῦσαι τὴν γυναῖκα.
περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰησοῦν.

κ'. Περὶ τῶν μισθουμένων ἐργατῶν.
περὶ τῶν υἱῶν τοῦ ζεβεδαίου.
περὶ τῶν δύο τυφλῶν.

κα'. Περὶ τῆς ὄνου καὶ τοῦ πώλου.
περὶ τῶν χωλῶν καὶ τυφλῶν.
περὶ τῆς ξηρανθείσης συκῆς.
περὶ τῶν ἐπερωτώντων τὸν κύριον ἀρχιερέων καὶ πρεσβυτέρων.
περὶ τῶν δύο υἱῶν παραβολή.
περὶ τοῦ ἀμπελῶνος.

κβ'. Περὶ τῶν καλουμένων εἰς τὸν γάμον.
περὶ ἐπερωτησάντων διὰ τὸν κῆνσον.
περὶ τῶν σαδδουκαίων.
περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ.
περὶ τῶν τοῦ κυρίου ἐπερωτήσεως.

κγ'. Περὶ τοῦ ταλανισμοῦ τῶν φαρισαίων.

κδ'. Περὶ τῆς συντελείας, ἡμέρας, καὶ ὥρας.

κε'. Περὶ τῶν δέκα παρθένων.
περὶ τῶν τὰ τάλαντα λαβόντων.
περὶ τῆς ἐλεύσεως τοῦ χριστοῦ.

κϛ'. Περὶ τῆς ἀλειψάσης τὸν κύριον μύρῳ.
περὶ τοῦ πάσχα.
περὶ τοῦ μυστικοῦ δείπνου.
περὶ τῆς παραδώσεως τοῦ χριστοῦ.
περὶ τῆς ἀρνήσεως τοῦ πέτρου.

κζ'. Περὶ τοῦ ἡγεμόνος πιλάτου.
περὶ τῆς Ἰούδα μεταμελείας.
περὶ τοῦ αἰκισμοῦ καὶ τιμωριῶν τοῦ χριστοῦ, καὶ σταυρώσεως.
περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ κυρίου, καὶ φυλάκων τοῦ τάφου.

κη'. Περὶ τῆς τοῦ κυρίου ἀναστάσεως.
περὶ τῶν φυλάκων τοῦ τάφου μαρτύρων, τῆς ἀναστάσεως.
περὶ τῆς ἐμφανίσεως τοῦ χριστοῦ τοῖς ἀποστόλοις καὶ γυναιξὶν ἐν γαλιλαίᾳ.


Α.Π.Θ.


Α.Π.Θ.

ΘΕΟΦΥΛΑΚΤΟΥ ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ, ἙΡΜΗΝΕΙΑ ΕἸΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕὐΑΓΓΕΛΙΟΝ·



ὁ

Ι μὲν πρὸ τοῦ νόμου ἐκεῖνοι θεῖοι ἄνδρες, οὐ διὰ γραμμάτων καὶ βιβλίων ἐδιδάσκοντο. ἀλλὰ καθαρὰν ἔχοντες τὴν διάνοιαν, τῇ τοῦ παναγίου πνεύματος ἐφωτίζοντο ἐλλάμψει. καὶ οὕτω τὰ τοῦ θεοῦ ἐγίνωσκον θελήματα, αὐτοῦ ἐκείνου ὁμιλοῦντος αὐτοῖς στόμα κατὰ στόμα· τοιοῦτος ἦν ὁ Νῶε. ὁ Ἀβραάμ. ὁ Ἰώβ. ὁ Μωϋσῆς· ἐπεὶ δὲ ἠσθένησαν οἱ ἄνθρωποι, καὶ ἀνάξιοι ἦσαν φωτίζεσθαι καὶ διδάσκεσθαι ὑπὸ τοῦ ἁγίου πνεύματος, δέδωκεν ὁ φιλάνθρωπος θεὸς τὰς γραφάς, ἵνα κἂν διὰ τούτων ὑπομιμνήσκωνται τῶν τοῦ θεοῦ θελημάτων· οὕτω καὶ ὁ Χριστὸς, τοῖς μὲν ἀποστόλοις αὐτοπροσώπως ὡμίλησε. καὶ τὴν τοῦ πνεύματος χάριν διδάσκαλον αὐτοῖς ἔπεμψεν· ἐπεὶ δὲ μετὰ ταῦτα ἔμελλον αἱρέσεις ἀναβλαστῆσαι, καὶ τὰ ἤθη ἡμῶν διαφθαρῆναι, εὐδόκησε γραφῆναι τὰ εὐαγγέλια. ἵνα ἐκ τούτων διδασκόμενοι τὴν ἀλήθειαν, μὴ παρασυρώμεθα ὑπὸ τοῦ ψεύδους τῶν αἱρέσεων. μηδὲ παντελῶς διαφθαρῶσι τὰ ἤθη ἡμῶν. Τέσσαρα δὲ δέδωκεν ἡμῖν εὐαγγέλια, τυχὸν διότι τὰς καθολικὰς τέσσαρας ἀρετὰς ἐκ τούτων μανθάνομεν. τὴν ἀνδρίαν. τὴν φρόνησιν. τὴν δικαιοσύνην. τὴν σωφροσύνην· τὴν μὲν ἀνδρίαν, ὅταν λέγῃ ὁ κύριος. μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· τὴν δὲ φρόνησιν, ὅταν παραινῇ. γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις· τὴν δὲ δικαιοσύνην, ὅταν διδάσκῃ. καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως· τὴν δὲ σωφροσύνην, ὅταν ἀποφαίνηται. ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· Καὶ ἄλλως δὲ, τέσσαρά εἰσιν εὐαγγέλια, διότι στύλοι εἰσὶ ταῦτα τοῦ κόσμου· τοῦ δὲ κόσμου τέσσαρα μέρη ἔχοντος, ἀνατολὴν. δύσιν. ἄρκτον. καὶ μεσημβρίαν, ἔπρεπεν εἶναι καὶ τοὺς στύλους τέσσαρας· Καὶ ἄλλως δὲ, τέσσαρά εἰσιν εὐαγγέλια, διότι καὶ τέσσαρα ταῦτα περιέχει. ἤγουν, δόγματα. ἐντολάς. ἀπειλάς. καὶ ἐπαγγελίας· καὶ τοῖς μὲν πιστεύσασι τοῖς δόγμασι, καὶ τὰς ἐντολὰς τηρήσασι, τὰ μέλλοντα ἀγαθὰ ἐπαγγέλλονται· τοῖς δὲ μὴ πιστεύσασι τοῖς δόγμασιν, ἢ τὰς ἐντολὰς μὴ φυλάξασιν, αἱ μέλλουσαι ἀπειλοῦνται κολάσεις· Εὐαγγέλιον δὲ λέγεται, διότι ἀγγέλλει ἡμῖν πράγματα εὖ καὶ καλῶς ἔχοντα. τουτέστιν ἀγαθά. ἄφεσιν ἁμαρτιῶν. δικαίωσιν. ἄνοδον εἰς οὐρανούς. υἱοθεσίαν θεοῦ· ἀγγέλλει δὲ καὶ ὅτι εὐκόλως ταῦτα λαμβάνομεν· μὴ γὰρ ἐκοπιάσαμεν ἡμεῖς ἐπὶ τῇ κτήσει τούτων τῶν ἀγαθῶν, ἢ δι' ἰδίων κατορθωμάτων ταῦτα ἐλάβομεν; ἀλλὰ χάριτι καὶ φιλανθρωπίᾳ θεοῦ, τηλικούτων ἀγαθῶν ἠξιώθημεν·

Κατὰ Ματθαῖον· Τέσσαρες μέν εἰσιν οἱ εὐαγγελισταί· τούτων δὲ οἱ μὲν δύο, Ματθαῖος καὶ Ἰωάννης, ἦσαν ἐκ τοῦ χοροῦ τῶν δώδεκα· οἱ δὲ δύο, Μάρκος φημὶ καὶ Λουκᾶς, ἐκ τῶν ἑβδομήκοντα· ἦν δὲ ὁ μὲν Μάρκος, ἀκόλουθος καὶ μαθητὴς Πέτρου. ὁ δὲ Λουκᾶς, Παύλου· ὁ τοίνυν Ματθαῖος, πρῶτος πάντων ἔγραψε τὸ εὐαγγέλιον ἑβραΐδι φωνῇ πρὸς τοὺς ἐξ Ἑβραίων πιστεύσαντας, μετὰ ὀκτὼ ἔτη τῆς τοῦ Χριστοῦ ἀναλήψεως· μετέφρασε δὲ τοῦτο Ἰωάννης ἀπὸ τῆς ἑβραΐδος γλώττης εἰς τὴν ἑλληνίδα, ὡς λέγουσι· Μάρκος δὲ, μετὰ δέκα ἔτη τῆς ἀναλήψεως ἔγραψε, παρὰ τοῦ Πέτρου διδαχθείς· Λουκᾶς δὲ, μετὰ πεντεκαίδεκα· Ἰωάννης δὲ ὁ θεολογικώτατος, μετὰ τριακονταδύο· λέγουσι γὰρ

ὅτι μετὰ τὸν θάνατον ἐκείνων ἐπιζητήσαντι αὐτῷ, προσηνέχθη τὰ τρία εὐαγγέλια. ἵνα ἴδῃ αὐτὰ καὶ κρίνῃ εἰ ἀληθῶς συνεγράφησαν. ὁ δέ, ἰδὼν αὐτά, καὶ τῆς ἀληθείας χάριν ὑπεραποδεξάμενος, ὅσα ἐκεῖνοι παρέλειψαν, αὐτὸς ἀνεπλήρωσεν· ὅσα τε συντόμως εἶπον ἐκεῖνοι, αὐτὸς ἐπλάτυνεν ἐν τῷ ἰδίῳ εὐαγγελίῳ· διὸ καὶ ἀπὸ θεολογίας ἤρξατο· ἐπεὶ γὰρ οἱ ἄλλοι οὐκ ἐμνήσθησαν τῆς πρὸ αἰώνων ὑπάρξεως τοῦ θεοῦ λόγου, αὐτὸς ἐθεολόγησε περὶ ταύτης. ἵνα μὴ νομισθείη ὁ τοῦ θεοῦ λόγος, ψιλὸς ἄνθρωπος εἶναι. τουτέστι δίχα θεότητος· Ματθαῖος γὰρ περὶ τῆς κατὰ σάρκα μόνης ὑπάρξεως τοῦ Χριστοῦ διαλέγεται· πρὸς γὰρ Ἑβραίους ἔγραφεν. οἷς ἀρκετὸν ἦν τὸ μαθεῖν ὅτι ἀπὸ Ἀβραὰμ καὶ Δαβὶδ ἐγεννήθη ὁ Χριστός· ἀναπαύεται γὰρ ὁ ἐξ Ἑβραίων πιστεύσας, ὅταν πληροφορηθῇ ὅτι ἀπὸ Δαβίδ ἐστιν ὁ Χριστός· ἀλλὰ λέγεις μοι, ὅτι, οὐκ ἤρκει εἷς εὐαγγελιστής; ἄκουε τοίνυν, ὅτι ἤρκει μέν, ἀλλ᾽ ἵνα δειχθῇ μᾶλλον ἡ ἀλήθεια, διὰ τοῦτο τέσσαρες συνεχωρήθησαν γράψαι· ὅταν γὰρ ἴδῃς τούτους τοὺς τέσσαρας, μὴ συνελθόντας μηδὲ συγκαθίσαντας ἀλλήλοις, ἀλλ᾽ ἄλλον ἀλλαχοῦ ὄντα, εἶτα γράψαντας περὶ τῶν αὐτῶν ὥσπερ ἀφ᾽ ἑνὸς στόματος, οὐκ ἂν θαυμάσαις τὴν τοῦ εὐαγγελίου ἀλήθειαν, καὶ εἴποις ὡς ἐκ πνεύματος ἁγίου ἐλάλησαν; καὶ μή μοι λέγε ὅτι οὐχ ὁμοφωνοῦσιν ἐν πᾶσιν· ἴδε γὰρ ἐν τίσιν οὐχ ὁμοφωνοῦσιν· ἆρα ὁ μὲν εἶπεν ὅτι ἐγεννήθη ὁ Χριστός. ὁ δὲ λέγει ὅτι οὔ; ἢ ὁ μέν, ὅτι ἀνέστη. ὁ δέ, ὅτι οὔ; μὴ γένοιτο· ἐν γὰρ τοῖς ἀναγκαιοτέροις καὶ κυριωτέροις ὁμοφωνοῦσιν· εἰ τοίνυν ἐν τοῖς κυριωτέροις οὐ διηνέχθησαν, τί θαυμάζεις ἐὰν ἐν τοῖς ἐλαχίστοις δοκῶσι διαλλάττειν· δι᾽ αὐτὸ γὰρ τοῦτο μᾶλλον ἀληθεύουσιν, ὅτι μὴ κατὰ πάντα ὡμοφώνησαν· ἐνομίσθησαν γὰρ ἂν ὅτι συγκαθίσαντες ἀλλήλοις καὶ συμβουλευσάμενοι, ἔγραψαν· νῦν δέ, ὃ παρέλειψεν οὗτος, ἔγραψεν ἐκεῖνος. καὶ διὰ τοῦτο δοκοῦσιν ἔν τισι διαλλάττειν· καὶ ταῦτα μὲν οὕτως· ἀρξώμεθα δὲ ἤδη τοῦ ὕφους·

Κεφάλαιον πρῶτον·

Βίβλος γενέσεως· Τίνος ἕνεκεν οὐκ εἶπεν, ὅρασις ἢ λόγος, ὥσπερ οἱ προφῆται· ἐκεῖνοι γὰρ οὕτω προέγραφον. ὅρασις ἣν εἶδεν Ἡσαΐας, καί. ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν· τίνος ἕνεκεν, ζητεῖς μαθεῖν; διότι οἱ μὲν προφῆται, πρὸς σκληροκαρδίους διελέγοντο καὶ ἀπειθεῖς. καὶ διὰ τοῦτο ἔλεγον ὅτι ὅρασίς ἐστι θεία. καὶ ὅτι λόγος ἐστὶν ἐκ θεοῦ. ἵνα φοβηθῇ ὁ λαὸς καὶ μὴ καταφρονῶσι τῶν λεγομένων· ὁ δὲ Ματθαῖος, πρὸς ἀνθρώπους εἶχε πιστεύσαντας καὶ εὐγνώμονας καὶ εὐπειθεῖς. καὶ διὰ τοῦτο οὐδὲν τοιοῦτον προεῖπεν οἷον οἱ προφῆται· ἔχω δὲ καὶ ἕτερόν τι εἰπεῖν. ὅτι οἱ μὲν προφῆται, νοητῶς ἔβλεπον ἅπερ ἔβλεπον, φανταζόμενοι ταῦτα διὰ τοῦ ἁγίου πνεύματος. διὸ καὶ ὁράσεις ταῦτα ἔλεγον· ὁ δὲ Ματθαῖος, οὐ νοητῶς εἶδε τὸν Χριστὸν καὶ ἐφαντάσθη αὐτόν. ἀλλ᾽ αἰσθητῶς αὐτῷ συνῆν. καὶ αἰσθητῶς ἤκουεν αὐτοῦ, βλέπων αὐτὸν ἐν σαρκί· διὰ τοῦτο τοίνυν οὐκ εἶπεν. ὅρασις ἣν εἶδον. ἤτοι φαντασία, ἀλλὰ βίβλος γενέσεως·

Ἰησοῦ· Τὸ Ἰησοῦς ὄνομα, οὐχ ἑλληνικόν ἐστιν, ἀλλ᾽ ἑβραϊκόν· ἑρμηνεύεται δὲ σωτήρ· ἰαὼ γὰρ ἡ σωτηρία παρὰ τοῖς Ἑβραίοις λέγεται·

Χριστοῦ· Χριστοὶ ἐλέγοντο οἱ βασιλεῖς καὶ οἱ ἱερεῖς· ἐχρίοντο γὰρ τῷ ἁγίῳ ἐλαίῳ τῷ ἀπὸ τοῦ κέρατος τοῦ ἐπιτιθεμένου τῇ κεφαλῇ ἀναβλύζοντι· λέγεται οὖν ὁ κύριος, Χριστός, καὶ ὡς βασιλεύς. ἐβασίλευσε γὰρ κατὰ τῆς ἁμαρτίας· καὶ ὡς ἱερεύς. προσήγαγε γὰρ ἑαυτὸν θῦμα ὑπὲρ ἡμῶν· ἐχρίσθη δὲ καὶ αὐτὸς κυρίως τῷ ἀληθινῷ ἐλαίῳ, τῷ ἁγίῳ πνεύματι. τίς γὰρ ἄλλος εἶχε τὸ πνεῦμα ὡς ὁ κύριος· ἐν μὲν γὰρ τοῖς ἁγίοις, ἡ χάρις τοῦ ἁγίου πνεύματος ἐνήργει. ἐν δὲ τῷ Χριστῷ, οὐκ ἐνήργει ἡ χάρις τοῦ πνεύματος, ἀλλ᾽ ὁ Χριστὸς σὺν τῷ πνεύματι ὁμοουσίῳ ὄντι, ἐνήργει τὰ θαύματα·

Υἱοῦ Δαβίδ. Ἐπειδὴ εἶπεν Ἰησοῦ, ἵνα μὴ νομίσῃς ὅτι περὶ ἄλλου Ἰησοῦ λέγει, [illegible] προσέθηκεν.

προστέθεικεν. υἱοῦ Δαβίδ· ἦν γὰρ καὶ ἕτερος Ἰησοῦς περιβόητος. ὁ μετὰ Μωσέα στρατηγήσας· ἀλλ᾽ ἐκεῖνος, τοῦ Ναυῆ ἐλέγετο, καὶ οὐχὶ τοῦ Δαβίδ· πρὸ γὰρ τοῦ Δαβίδ ἦν πολλαῖς γενεαῖς. καὶ οὐδὲ ἐκ τῆς φυλῆς τοῦ Ἰούδα ἦν. ἀφ᾽ ἧς κατήγετο ὁ Δαβίδ, ἀλλ᾽ ἀπὸ ἑτέρας·

Υἱοῦ Ἀβραάμ· Τίνος ἕνεκεν προέταξε τὸν Δαβίδ, τοῦ Ἀβραάμ· ὅτι παρὰ τοῖς Ἑβραίοις μᾶλλον ἐφημίζετο ὁ Δαβίδ. καὶ ὡς νεώτερος ὢν τοῦ Ἀβραάμ. καὶ ὡς ἀπὸ τῆς βασιλείας ἐπιφανέστερος γενόμενος· ἐν γὰρ τοῖς βασιλεῦσιν, οὗτος πρῶτος εὐηρέστησε τῷ θεῷ. καὶ ἐπαγγελίαν ἐδέξατο παρὰ θεοῦ, ὅτι ἐκ τοῦ σπέρματος αὐτοῦ ἀναστήσεται ὁ Χριστός. ὅθεν καὶ πάντες τὸν Χριστὸν, υἱὸν Δαβίδ ἔλεγον· καὶ γὰρ καὶ τύπον ἔσωζε τῷ ὄντι ὁ Δαβίδ, τοῦ Χριστοῦ· ὥσπερ γὰρ ἐκεῖνος, μετὰ τὸν Σαοὺλ τὸν ἀπόβλητον ἀπὸ θεοῦ καὶ μισητὸν ἐβασίλευσεν, οὕτω καὶ ὁ Χριστὸς, μετὰ τὸ στερηθῆναι τὸν Ἀδὰμ τῆς βασιλείας καὶ τῆς ἀρχῆς ἣν εἶχε κατὰ πάντων καὶ τῶν ζώων καὶ τῶν δαιμόνων, ἦλθε σαρκωθείς. καὶ ἐβασίλευσεν ἡμῶν·

Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· Ἀπὸ τοῦ Ἀβραὰμ ἄρχεται τῆς γενεαλογίας, διότι αὐτὸς ἦν πατὴρ τῶν Ἑβραίων. καὶ ὅτι αὐτὸς πρῶτος ἐδέξατο τὰς ἐπαγγελίας, ὅτι ἐν τῷ σπέρματι αὐτοῦ εὐλογηθήσεται πάντα τὰ ἔθνη. πρεπόντως οὖν ἀπὸ τούτου γενεαλογεῖ τὸν Χριστόν· ὁ γὰρ Χριστὸς ἐστὶ τὸ σπέρμα τοῦ Ἀβραὰμ, ἐν ᾧ εὐλογήθημεν ἅπαντες οἱ ἐξ ἐθνῶν, οἱ πρώην κατάρατοι· Ἀβραὰμ δὲ ἑρμηνεύεται πατὴρ ἐθνῶν· Ἰσαὰκ δὲ, χαρά. γέλως· οὐ μνημονεύει δὲ ὁ εὐαγγελιστὴς, τῶν νόθων παίδων τοῦ Ἀβραάμ. οἷον τοῦ Ἰσμαὴλ καὶ τῶν λοιπῶν, διότι οἱ Ἰουδαῖοι οὐκ ἀπὸ τούτων κατήγοντο, ἀλλὰ ἀπὸ τοῦ Ἰσαάκ·

Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ· Ὁρᾷς ὅτι διὰ τοῦτο ἐμνήσθη τοῦ Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ, διότι ἀπ᾽ αὐτῶν ἦσαν αἱ δώδεκα φυλαί;

Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ, ἐκ τῆς Θάμαρ· Τὴν Θάμαρ ὁ Ἰούδας νύμφην ἔχων ἐπὶ Ἤρ, ἑνὶ τῶν παίδων αὐτοῦ· τούτου δὲ ἀποθανόντος ἄπαιδος, συνέζευξε ταύτην τῷ Αὐνᾶ, καὶ τούτῳ παιδὶ ὄντι αὐτοῦ· ἐκθεριωθέντος δὲ καὶ τούτου τῆς ζωῆς διὰ τὴν πονηρίαν αὐτοῦ, ὁ Ἰούδας οὐκ ἔτι αὐτὴν συνῆπτέ τινι· ἡ δὲ, ἐπιθυμοῦσα ἐκ τοῦ σπέρματος Ἀβραὰμ παιδοποιῆσαι, ἀπέθετο μὲν τὰ τῆς χηρείας. σχηματισαμένη δὲ ὡς πόρνη, ἐμίγη τῷ πενθερῷ αὐτῆς. καὶ συνέλαβεν ἐξ αὐτοῦ δύο παῖδας διδύμους· ἐν τῷ τίκτειν δὲ τούτους, προέβαλε τὴν χεῖρα ὁ πρῶτος τῶν παίδων ἀπὸ τῆς μήτρας, ὡς δῆθεν πρῶτος τεχθησόμενος· καὶ ἡ μαῖα κοκκίνῳ σπαρτίῳ ἐσφράγισε συντόμως τὴν ἐξελθοῦσαν τοῦ παιδὸς χεῖρα, ὡς ἂν γνωρίζηται ὁ πρῶτος τεχθείς· ἀλλὰ συνέστειλε τὴν χεῖρα ὁ παῖς ἔσω τῆς μήτρας. καὶ ἐτέχθη πρότερον ὁ ἕτερος παῖς. εἶθ᾽ οὕτως ἐκεῖνος ὁ τὴν χεῖρα προβαλόμενος· ἐκλήθη οὖν ὁ μὲν πρότερον τεχθεὶς, Φαρές. ὅ ἐστι διακοπή· διέκοψε γὰρ τὴν φυσικὴν τάξιν· ὁ δὲ συστείλας τὴν χεῖρα, Ζαρά· σημαίνει δὲ αὕτη ἡ ἱστορία μυστήριόν τι· ὥσπερ γὰρ ὁ Ζαρὰ, ἔδειξε μὲν πρῶτον τὴν χεῖρα, συνεστάλη δὲ πάλιν, οὕτω καὶ ἡ κατὰ Χριστὸν πολιτεία, ἐφάνη μὲν ἐν τοῖς πρὸ τοῦ νόμου καὶ τῆς περιτομῆς ἁγίοις· πάντες γὰρ οὗτοι, οὐκ ἐκ τῶν τοῦ νόμου παρατηρημάτων καὶ ἐντολῶν ἐδικαιώθησαν. ἀλλ᾽ ἐκ τοῦ κατὰ τὴν εὐαγγελικὴν πολιτείαν ζῆσαι· καὶ σκόπει τὸν Ἀβραὰμ, τὸν ἀφέντα πατέρα καὶ οἰκίαν ἕνεκεν τοῦ θεοῦ. καὶ ἀπαρνησάμενον καὶ τὴν φύσιν· σκόπει τὸν Ἰώβ. τὸν Μελχισεδέκ· τοῦ νόμου δὲ ἐλθόντος, συνεστάλη ἡ τοιαύτη πολιτεία· ὥσπερ δὲ ἐκεῖ τοῦ Φαρὲς γεννηθέντος, ὕστερον πάλιν ἐξῆλθεν ὁ Ζαρὰ, οὕτω τοῦ νόμου δοθέντος, ὕστερον ἔλαμψεν ἡ εὐαγγελικὴ πολιτεία. ἡ τῷ κοκκίνῳ



σταυρικῷ, ἤτοι τῷ αἵματι τοῦ Χριστοῦ, σφραγισθεῖσα. διὰ τοῦτο γάρτοι καὶ ὁ εὐαγγελιστὴς
ἐμνημόνευσε τῶν δύο τούτων παίδων, ὡς μυστηριώδη τινὰ δηλούσης τῆς γεννήσεως αὐ-
τῶν. καὶ ἄλλως δὲ μνημονεύει τῆς Θάμαρ, καίτοι οὐκ ἐπαινετῆς δοκούσης διὰ τὸ μι-
γῆναι τῷ πενθερῷ, ἵνα δείξῃ ὅτι ὁ Χριστὸς πάντα δι᾽ ἡμᾶς καταδεξάμενος, κατεδέξα-
το καὶ τοιούτους ἔχειν προγόνους. μᾶλλον ἵνα καὶ δι᾽ αὐτοῦ τούτου τοῦ ἀπ᾽ αὐτῶν γεν-
νηθῆναι, ἁγιάσῃ αὐτούς. οὐ γὰρ ἦλθε καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς.

» Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ. Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ. Ἀρὰμ δὲ ἐγέννησε τὸν
» Ἀμιναδάβ. Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασών. Ναασὼν δὲ ἐγέννησε τὸν Σαλμών.
» Σαλμὼν δὲ ἐγέννησε τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ. Ῥαχὰβ νομίζουσί τινες εἶναι τὴν Ῥαὰβ
ἐκείνην τὴν πόρνην. ἥτις τοὺς κατασκόπους ἐδέξατο τοῦ Ἰησοῦ τοῦ Ναυῆ. καὶ διέσω-
σεν αὐτοὺς καὶ διεσώθη καὶ αὐτή. ἐμνήσθη δὲ ταύτης, ἵνα δηλώσῃ ὅτι ὥσπερ αὕτη πόρ-
νη ἦν, οὕτω καὶ ἡ τῶν ἐθνῶν συναγωγή. ἐξεπόρνευσαν γὰρ ἐν τοῖς ἐπιτηδεύμασιν αὐ-
τῶν. ἀλλὰ δεξάμενοι τοὺς τοῦ Ἰησοῦ κατασκόπους, ἤτοι τοὺς ἀποστόλους, καὶ πεισθέντες
τοῖς λόγοις ἐκείνων, ἐσώθησαν πάντες οἱ ἐξ ἐθνῶν.

» Βοὸζ δὲ ἐγέννησε τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ. Ἡ Ῥοὺθ αὕτη, ἀλλόφυλος ἦν. ἀλλ᾽ ὅμως
συνεζύγη τῷ Βοόζ. οὕτω καὶ ἡ ἐξ ἐθνῶν ἐκκλησία, ἀλλόφυλος οὖσα, καὶ ἔξω τῶν δια-
θηκῶν, ἐπελάθετο τοῦ λαοῦ αὐτῆς. καὶ τῶν εἰδωλικῶν σεβασμάτων. καὶ τοῦ πα-
τρὸς αὐτῆς τοῦ διαβόλου. καὶ ἐλήφθη εἰς γάμον τῷ υἱῷ τοῦ θεοῦ.

» Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί. Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαβὶδ τὸν βασιλέα. Δαβὶδ
» δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἐκ τῆς τοῦ Οὐρίου. Καὶ πάλιν τῆς τοῦ Οὐρίου
μνημονεύει, ἵνα ὑποδείξῃ ὅτι οὐ δεῖ ἐπαισχύνεσθαι τοὺς προπάτορας. ἀλλὰ μᾶλλον
σπουδάζειν διὰ τῆς οἰκείας ἀρετῆς λαμπρύνειν κἀκείνους. καὶ ὅτι πάντες δεκτοί εἰσι
τῷ θεῷ, κἂν ἐκ πορνῶν γεννηθῶσι, μόνον ἐὰν ἀρετὴν ἔχωσιν.

» Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ. Ῥοβοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά. Ἀβιὰ δὲ ἐγέννη-
» σε τὸν Ἀσά. Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ. Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ. Ἰωρὰμ
» δὲ ἐγέννησε τὸν Ὀζίαν. Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ. Ἰωάθαμ δὲ ἐγέννησε τὸν Ἄχαζ.
» Ἄχαζ δὲ ἐγέννησε τὸν Ἐζεκίαν. Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆν. Μανασσῆς δὲ ἐγέν-
» νησε τὸν Ἀμών. Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν. Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς
» ἀδελφοὺς αὐτοῦ, ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. Μετοικεσίαν Βαβυλῶνος λέγει,
τὴν αἰχμαλωσίαν ἣν ὕστερον ὑπέστησαν, εἰς Βαβυλῶνα ἀπαχθέντες πάντες ὁμοῦ. καὶ
ἄλλοτε μὲν γὰρ ἐστράτευσαν οἱ Βαβυλώνιοι. ἀλλὰ μετριώτερον αὐτοὺς ἐκάκωσαν. τότε
δὲ τελέως αὐτοὺς μετῴκισαν ἀπὸ τῆς πατρίδος.

» Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος, Ἰεχονίας ἐγέννησε τὸν Σαλαθιήλ. Σαλαθιὴλ
» δὲ ἐγέννησε τὸν Ζοροβάβελ. Ζοροβάβελ δὲ ἐγέννησε τὸν Ἀβιούδ. Ἀβιοὺδ δὲ ἐγέννησε
» τὸν Ἐλιακείμ. Ἐλιακεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ. Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδώκ. Σαδὼκ
» δὲ ἐγέννησε τὸν Ἀχείμ. Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ. Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐλεά-
» ζαρ. Ἐλεάζαρ δὲ ἐγέννησε τὸν Ματθάν. Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ. Ἰακὼβ δὲ
» ἐγέννησε τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός.
Τίνος ἕνεκεν γενεαλογεῖ τὸν Ἰωσήφ, καὶ οὐ τὴν θεοτόκον. τίς γὰρ μετουσία τῷ Ἰωσὴφ
πρὸς τὸν ἄπορον ἐκεῖνον τόκον. μὴ γὰρ ἀληθῶς πατὴρ ἦν τοῦ Χριστοῦ ὁ Ἰωσήφ, ἵνα ἀπὸ
τοῦ Ἰωσὴφ γενεαλογῇ τὸν Χριστόν; ἄκουε τοίνυν, ὅτι ἀληθῶς οὐδεμίαν μετουσίαν ἔχει ὁ
Ἰωσὴφ πρὸς τὴν γέννησιν τοῦ Χριστοῦ. καὶ ἔδει διὰ τοῦτο τὴν θεοτόκον γενεαλογηθῆναι.
ἀλλ᾽ ἐπειδὴ νόμος ἦν μὴ γενεαλογεῖσθαι γυναῖκας, διὰ τοῦτο οὐκ ἐγενεαλόγησε τὴν
παρθένον. πλήν, τὸν Ἰωσὴφ γενεαλογήσας, καὶ ταύτην ἐγενεαλόγησεν. ἦν γὰρ νόμος μὴ

ἀπὸ ἑτέρας

ἀπ' ἑτέρας φυλῆς λαμβάνειν γυναῖκας. μὴ δὲ ἀπ' ἑτέρας πατριᾶς ἤτοι συγγενείας. ἀλλ' ἀπὸ τῆς αὐτῆς καὶ φυλῆς καὶ πατριᾶς. ὥστε ἐπεὶ τοιοῦτος ἦν ὁ νόμος, πρόδηλον ὅτι καὶ ὁ Ἰωσὴφ γενεαλογούμενος, συνίστησι τὴν γενεαλογίαν τῆς θεοτόκου. πάντως γὰρ ἐκ τῆς αὐτῆς φυλῆς ἦν ἡ θεοτόκος καὶ τῆς αὐτῆς πατριᾶς. εἰ γὰρ μὴ ἦν, πῶς ἂν ἐμνηστεύθη αὐτῷ. ὥστε ὁ εὐαγγελιστὴς ἐφύλαξε καὶ τὸν νόμον τὸν κελεύοντα μὴ γενεαλογεῖσθαι γυναῖκας, καὶ οὐδὲν ἧττον ἐγενεαλόγησε τὴν θεοτόκον, τὸν Ἰωσὴφ γενεαλογήσας. ἄνδρα δὲ Μαρίας ὠνόμασεν αὐτὸν, κατὰ τὴν κοινὴν συνήθειαν. καὶ γὰρ τὸν μνηστῆρα, ἔχομεν ἔθος ἄνδρα λέγειν τῆς μνηστευθείσης, κἂν μήπω γάμος προέβη.

» Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαβὶδ, γενεαὶ δεκατέσσαρες. καὶ ἀπὸ Δα-
» βὶδ, ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες. καὶ ἀπὸ τῆς μετοικε-
» σίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ δεκατέσσαρες. Εἰς τρεῖς καταστάσεις διεῖλε τὰς γενεὰς, ἵνα δείξῃ τοῖς Ἰουδαίοις ὅτι καὶ ὑπὸ κριτῶν ἀρχόμενοι, ὡς οἱ ἄχρι τοῦ Δαβὶδ. καὶ ὑπὸ βασιλέων, ὡς οἱ ἄχρι τῆς μετοικεσίας. καὶ ὑπὸ ἱερέων, ὡς οἱ ἄχρι τοῦ Χριστοῦ, ὅμως οὐδὲν πρὸς ἀρετὴν ὠφελήθησαν. καὶ ὅτι ἐδέοντο τοῦ ἀληθινοῦ καὶ κριτοῦ καὶ βασιλέως καὶ ἱερέως. ὅς ἐστιν ὁ Χριστός. ἐκλειψάντων γὰρ τῶν ἀρχόντων, ἦλθεν ὁ Χριστὸς κατὰ τὴν τοῦ Ἰακὼβ προφητείαν. πῶς δὲ εἰσιν ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες, ὅπου δεκατρία πρόσωπα εὑρίσκονται. εἰ μὲν γὰρ ἐγενεαλογεῖτο γυνὴ, εἴχομεν ἂν συντάττειν καὶ τὴν Μαρίαν. καὶ συμπληροῦν τὸν ἀριθμόν. νῦν δὲ, οὐ γενεαλογεῖται γυνή. πῶς οὖν λύεται τοῦτο. φασί τινες ὅτι καὶ τὴν μετοικεσίαν ὡς προσώπου τάξιν ἔχουσαν ἔθηκεν.

» Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις, οὕτως ἦν. μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μα-
» ρίας τῷ Ἰωσήφ. Τίνος ἕνεκεν συνεχώρησεν ὁ θεὸς μνηστευθῆναι ταύτην. καὶ ὅλως δοῦναι ὑπόνοιαν τοῖς ἀνθρώποις, ὅτι συνεγένετο αὐτῇ ὁ Ἰωσήφ. ἵνα ἔχῃ τὸν κηδεμόνα ἐν ταῖς συμφοραῖς. οὗτος γὰρ καὶ ἐν τῇ εἰς Αἴγυπτον φυγῇ ἐπεμελήθη αὐτῆς. καὶ διέσωσεν αὐτήν. ἅμα δὲ, καὶ ἵνα λάθῃ τὸν διάβολον, διὰ τοῦτο ἐμνηστεύθη. ὁ γὰρ διάβολος ἀκούσας ὅτι ἡ παρθένος ἐν γαστρὶ ἕξει, ἐπετήρει τὰς παρθένους. ἵνα τοίνυν ἀπατηθῇ ὁ ἀπατεών, μνηστεύεται τὴν ἀειπάρθενον ὁ Ἰωσήφ. καὶ σχῆμα μόνον γίνεται συζυγίας. πρᾶγμα δὲ οὔ.

» Πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου.
Τὸ συνελθεῖν ἐνταῦθα τὴν μίξιν δηλοῖ. πρὶν γὰρ μιγῆναι, συνέλαβεν. ὅθεν καὶ ὁ εὐαγγελιστὴς ἐκπλήττεται καὶ βοᾷ. εὑρέθη. ὡς περὶ παραδόξου τινὸς λέγων.

» Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἠβου-
» λήθη λάθρα ἀπολῦσαι αὐτήν. Πῶς ἦν δίκαιος ὁ Ἰωσήφ. ὅπου τοῦ νόμου κελεύοντος τὴν μοιχαλίδα παραδειγματίζεσθαι, τουτέστι φανεροῦσθαι καὶ κολάζεσθαι, αὐτὸς ἔμελλε συσκιάσαι τὸ ἁμάρτημα, καὶ παραβῆναι τὸν νόμον. λυέσθω δὲ τοῦτο, πρῶτον μὲν ὅτι δι' αὐτὸ τοῦτο δίκαιος ἦν. οὐ γὰρ ἐβούλετο ἀπηνὴς [illegible] ἀλλ' ἐφιλανθρωπεύετο ἀπὸ πολλῆς χρηστότητος. ἀνώτερον τοῦ νόμου ἑαυτὸν [illegible] καὶ ἤδη ὑπὲρ τὰ νομικὰ ἐντάλματα ζῶν. ἔπειτα, ὅτι καὶ αὐτὸς ἔγνω ὡς [illegible]ματος ἁγίου συνέλαβε. καὶ διὰ τοῦτο οὐκ ἠθέλησε τὴν ἀπὸ τοῦ ἁγίο[illegible] καὶ οὐκ ἀπὸ μοιχοῦ συλλαβοῦσαν παραδειγματίσαι καὶ κακῶσαι. ὅρα γὰρ τί [illegible] εὑρέθη ἐν γαστρὶ ἔχουσα. τίνι εὑρέθη. τῷ Ἰωσήφ. τουτέστι διεγνώσθη ὅτι ἐκ πνεύματος ἁγίου συνέλαβεν. ὅθεν ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτὴν, ὡς οὐ τολμῶν ἔτι γυναῖκα ἔχειν τὴν τοσούτου καταξιωθεῖσαν χαρίσματος.

» Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ, λέγων.

Ὅτε ἠπόρει ὁ δίκαιος, τότε ὁ ἄγγελος ἐπέστη, διδάσκων αὐτὸν τί ποιήσοι· κατ' ὄναρ δὲ φαίνεται αὐτῷ, διότι σφόδρα πιστὸς ἦν· τοῖς μὲν γὰρ ποιμέσι φανερῶς ὡμίλησεν ὁ ἄγγελος, ὡς ἀγροίκοις. τούτῳ δὲ, ὡς δικαίῳ καὶ πιστῷ, καθ' ὕπνους· πῶς δὲ οὐκ ἔμελλε πιστεῦσαι, ὅταν ὁ ἄγγελος ἐδίδασκεν αὐτὸν περὶ ὧν αὐτὸς κατὰ διάνοιαν εἶχε. καὶ περὶ ὧν οὐκ ἐξεῖπε τινί· ἐνθυμηθέντος γὰρ αὐτοῦ, ἀλλ' οὐκ ἐκλαλήσαντος, ἐφίσταται αὐτῷ ὁ ἄγγελος· εἰκότως οὖν ἐπίστευσεν ὅτι ἐκ θεοῦ ἐστι· θεοῦ γὰρ τὸ τὰ ἀπόῤῥητα εἰδέναι·

» Ἰωσὴφ υἱὸς Δαβίδ· Υἱὸν Δαβὶδ εἶπεν αὐτὸν, ἀναμιμνήσκων αὐτὸν ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ προεφητεύετο ὁ χριστὸς ἔσεσθαι· καὶ τοιαῦτα λέγων. ὅτι, μὴ ἀπίστει, ἐνθυμηθεὶς τοῦ Δαβίδ. ὃς ἐπαγγελίαν ἐδέξατο περὶ τοῦ χριστοῦ·

» Μὴ φοβηθῇς παραλαβεῖν· Δείκνυσιν ἐντεῦθεν, ὅτι ἐφοβεῖτο αὐτὴν ἔχειν. μή πως προσκρούσῃ τῷ θεῷ, ὡς μοιχαλίδα ἔχων· ἢ καὶ ἄλλως· μὴ φοβηθῇς. τουτέστι, σὺ μὲν φοβῇ προσάψασθαι αὐτῆς, ὡς ἐκ πνεύματος ἁγίου συλλαβούσης· ἀλλὰ μὴ φοβοῦ παραλαβεῖν. τουτέστιν ἔνδον κατέχειν· τῇ γὰρ διανοίᾳ καὶ τῇ ἐνθυμήσει ἤδη ἀπέλυσεν αὐτήν·

» Μαριὰμ τὴν γυναῖκά σου· Τοῦτο λέγει. ὅτι, σὺ μὲν ἴσως νομίζεις ὅτι μοιχαλίς ἐστιν. ἐγὼ δὲ λέγω σοι ὅτι γυνή σου ἐστί· τουτέστιν, οὐχ ὑπό τινος διεφθάρη, ἀλλὰ σή ἐστι μνηστή·

» Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου· Οὐ γὰρ μόνον ἀπήλλακται παρανόμου μίξεως, ἀλλὰ καὶ κατά τινα θειότερον τρόπον συνέλαβεν. ὥστε καὶ χαῖρε διὰ τοῦτο μᾶλλον·

» Τέξεται δὲ υἱόν· Ἵνα μή τις εἴπῃ, καὶ πόθεν σοι πιστεύσω ὅτι ἐκ πνεύματός ἐστι. φησὶ περὶ τοῦ μέλλοντος. ὅτι τέξεται υἱόν· εἰ γὰρ περὶ τούτου ἀληθεύσω, εὔδηλον ὅτι καὶ τὸ, ἐκ πνεύματος ἁγίου, ἀληθές ἐστιν· οὐκ εἶπε δὲ τέξεταί σοι. ἀλλ' ἁπλῶς τέξεται· οὐ γὰρ ἐκείνῳ ἔτικτεν, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ· οὐδὲ εἰς ἐκεῖνον μόνον ἡ χάρις περιίστατο. ἀλλ' εἰς πάντας ἐξεχεῖτο·

» Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ, Ἰησοῦν· Σὺ καλέσεις, ὡς δῆθεν πατὴρ καὶ ὡς κηδεμὼν τῆς παρθένου· μὴ γὰρ ὑπολάμβανε Ἰωσὴφ, ὅτι ἐπεὶ ἀπὸ πνεύματός ἐστιν ἡ σύλληψις, ἀφήσεις τὴν παρθένον ἀβοήθητον. ἀλλ' ὑπουργήσεις ἐν ἅπασιν·

» Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν· Ἐνταῦθα ἑρμηνεύει τὸ Ἰησοῦς, τί δηλοῖ. ὅτι σωτήρ· αὐτὸς γὰρ, φησί, σώσει τὸν λαὸν αὐτοῦ. οὐ μόνον τὸν ἰουδαϊκὸν, ἀλλὰ καὶ τὸν ἐθνικὸν, τὸν σπουδάσαντα πιστεῦσαι καὶ γενέσθαι λαὸν αὐτοῦ· πόθεν δὲ σώσει· ἆρα ἀπὸ πολέμων; οὐχί. ἀλλὰ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν· ὅθεν δῆλον ὅτι θεός ἐστιν ὁ τεχθησόμενος· θεοῦ γὰρ μόνου τὸ συγχωρεῖν ἁμαρτίας·

» Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου, λέγοντος· Μὴ νομίσῃς ὅτι νεωστὶ ταῦτα ἔδοξε τῷ θεῷ. ἀλλὰ ἄνωθεν καὶ ἐξ ἀρχῆς· οἶδας γὰρ ὦ Ἰωσὴφ τοὺς προφήτας, ὡς νομομαθής. καὶ ἐνθυμήθητι τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου· οὐκ εἶπε τὸ ῥ[illegible] ὑπὸ Ἡσαΐου, ἀλλ' ὑπὸ τοῦ κυρίου. οὐ γὰρ ἄνθρωπος ἐλάλησεν, ἀλλ' ὁ θεὸς διὰ σ[illegible]τος τοῦ ἀ[illegible]που· ὥστε ἀξιόπιστος ὁ χρησμός·

» Ἰδοὺ ἡ παρθένος ἐν [illegible]ξει· Φασὶν οἱ Ἑβραῖοι ὅτι οὐ κεῖται ἐν τῷ προφήτῃ παρθένος. ἀλλὰ νεᾶνις· [illegible]λεκτέον ὅτι τὸ νεᾶνις καὶ τὸ παρθένος, ταυτόν ἐστι παρὰ τῇ γραφῇ· νεάνιδα γὰρ ὀν[illegible] τὴν ἀδιάφθορον· ἔπειτα, εἰ μὴ ἔτεκε παρθένος, πῶς ἔμελλεν εἶναι σημεῖον καὶ παράδοξον· ἄκουε γὰρ τοῦ Ἡσαΐου, λέγοντος. διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον· καὶ εὐθὺς ἐπάγοντος. ἰδοὺ ἡ παρθένος. καὶ τὰ ἑξῆς· ὥστε εἰ μὴ ἔμελλε παρθένος τεκεῖν, οὐκ ἂν σημεῖον ἦν· παραχαράττουσιν οὖν οἱ Ἑβραῖοι ἐθελοκακοῦντες, τὴν γραφήν. καὶ ἀντὶ τοῦ παρθένος, νεᾶνις τιθέασιν· εἴτε δὲ νεᾶνις κεῖται, εἴτε παρθένος,

πάντως

πάντως παρθένον δεῖ νοηθῆναι τὴν μέλλουσαν τεκεῖν, ἵνα δὴ καὶ τεράστιον εἴη τὸ πρᾶγμα.

» Καὶ τέξεται υἱὸν. καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ θεός. Φασὶν οἱ Ἑβραῖοι. πῶς οὖν οὐκ ἐκλήθη Ἐμμανουήλ, ἀλλ' Ἰησοῦς Χριστός. ῥητέον οὖν ὅτι, οὐκ εἶπε καλέσεις, ἀλλὰ καλέσουσι. τουτέστιν, αὐτὰ τὰ πράγματα δείξουσιν αὐτὸν θεὸν ὄντα καὶ μεθ' ἡμῶν ἀναστρεφόμενον. ἡ γὰρ θεία γραφὴ ἀπὸ τῶν ἔργων τίθησι τὰ ὀνόματα. ὡς τὸ, κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον. καίτοι ποῦ ἐκλήθη τις τοιούτῳ ὀνόματι. ἀλλ' ἐπειδὴ ἅμα τῷ γεννηθῆναι τὸν κύριον, ἐσκυλεύθη καὶ ᾐχμαλωτίσθη ἡ πλάνη, οὕτω λέγεται ὀνομασθῆναι. ἀπὸ τοῦ πράγματος τὴν κλῆσιν εὑράμενος.

» Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου. Ὅρα ψυχὴν διεγηγερμένην. πῶς ἐπείσθη ταχέως. καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ. συνεχῶς δὲ ὀνομάζει αὐτὴν γυναῖκα τοῦ Ἰωσήφ, ἐκβάλλων τὴν πονηρὰν ὑπόνοιαν. καὶ διδάσκων ὅτι οὐκ ἄλλου τινὸς ἐγένετο γυνή, ἀλλ' αὐτοῦ ἦν.

» Καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκεν. Τουτέστιν, οὐκ ἐμίγη αὐτῇ οὐδέποτε. τὸ γὰρ ἕως, ἐνταῦθα οὐ τοῦτο ἐμφαίνει, ὅτι ἄχρι μὲν τοῦ τόκου οὐκ ἔγνω, μετὰ δὲ ταῦτα ἔγνω. ἀλλὰ καθάπαξ οὐδέποτε αὐτὴν ἔγνω. ἰδίωμα δὲ ἔχει τοιοῦτον ἡ γραφή. ὡς τὸ, οὐκ ἐπέστρεψεν ὁ κόραξ εἰς τὴν κιβωτὸν, ἕως οὗ ἐξηράνθη ἡ γῆ. οὔτε γὰρ μετὰ ταῦτα ὑπέστρεψε. καὶ πάλιν. μεθ' ἡμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος. μετὰ δὲ τὴν συντέλειαν ἆρα οὐκ ἔσται; καὶ πῶς. τότε γὰρ μᾶλλον. οὕτως οὖν καὶ ἐνταῦθα τὸ, ἕως οὗ ἔτεκε νοήσεις. ἀντὶ τοῦ, οὔτε πρὸ τοῦ τόκου, οὔτε μετὰ τὸν τόκον ἔγνω αὐτήν. πῶς γὰρ ἂν ἥψατο τῆς ἁγίας ἐκείνης, μεθ' ὃ μάλιστα ἔγνω τὸν ἄφρασον ἐκεῖνον τόκον.

» Τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον. Οὐχ ὡς δευτέρου τινὸς τεχθέντος λέγει τοῦτον πρωτότοκον. ἀλλ' ἁπλῶς, ὡς πρῶτον τεχθέντα καὶ μόνον. ὁ γὰρ Χριστὸς, καὶ πρωτότοκός ἐστιν, ὡς πρῶτος τεχθεὶς. καὶ μονογενὴς, ὡς μὴ ἔχων δεύτερον ἀδελφόν.

» Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Δείκνυσι κἀνταῦθα τὴν εὐπείθειαν τοῦ Ἰωσὴφ, ὅτι ὅσα εἶπεν αὐτῷ ὁ ἄγγελος, ἐποίησεν.

Κεφάλαιον, δεύτερον.

» Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Βηθλεὲμ ἑρμηνεύεται οἶκος ἄρτου. Ἰουδαία δὲ, ἐξομολόγησις. γένοιτο γοῦν καὶ ἡμᾶς νῦν διὰ τῆς ἐξομολογήσεως, γενέσθαι οἶκον ἄρτου τοῦ πνευματικοῦ.

» Ἐν ἡμέραις Ἡρώδου. Μέμνηται τοῦ Ἡρώδου, ἵνα σὺ μάθῃς ὅτι ἐξέλιπον οἱ ἀπὸ τῆς Ἰούδα φυλῆς ἄρχοντες καὶ βασιλεῖς. καὶ ἀναγκαίως ἦλθεν ὁ Χριστός. ὁ γὰρ Ἡρώδης οὐκ ἦν Ἰουδαῖος, ἀλλ' Ἰδουμαῖος. Ἀντιπάτρου υἱὸς, ἐκ γυναικὸς Ἀραβίσσης. ἐκλιπόντων δὲ τῶν ἀρχόντων, ἡ προσδοκία τῶν ἐθνῶν ἦλθεν, ὡς Ἰακὼβ προεφήτευσεν.

» Τοῦ βασιλέως. Ἦν γὰρ καὶ ἕτερος Ἡρώδης, ὁ τετράρχης. διὰ τοῦτο τίθησι τὸ ἀξίωμα τοῦ βασιλέως.

» Ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα. Τίνος ἕνεκεν οἱ μάγοι ἔρχονται. πρὸς κατάκρισιν τῶν Ἰουδαίων. εἰ γὰρ οἱ μάγοι, ἄνθρωποι εἰδωλολάτραι, ἐπίστευσαν, ποία ἀπολογία λοιπὸν τοῖς Ἰουδαίοις. ἅμα δὲ καὶ ἵνα ἡ δόξα τοῦ Χριστοῦ πλέον ἐκλάμψῃ, μαρτυρούντων τῶν μάγων τῶν μάλιστα τοῖς δαίμοσιν ὑποκειμένων. καὶ ἐχθρῶν τοῦ θεοῦ.

» Ἀπὸ ἀνατολῶν. Καὶ τοῦτο πρὸς κατάκρισιν τῶν Ἑβραίων. οἱ μὲν γὰρ ἀπὸ τοσούτου διαστήματος ἦλθον. οἱ δὲ Ἑβραῖοι αὐτοῦ ἔχοντες τὸν Χριστὸν, ἐδίωκον.

» Λέγοντες. ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων. Λέγουσι τοῦτο οἱ μάγοι,

τοῦ Βαλαὰμ ἀπογόνοις εἶναι, τοῦ μάντεως. εὑρόντες δὲ τὸν ἐκείνου χρησμὸν, τὸ, ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, νοῆσαι τὸ κατὰ Χριστὸν μυστήριον, καὶ διὰ τοῦτο ἐλθεῖν, θέλοντας ἰδεῖν τὸ τεχθέν.

» Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ. Ὅταν ἀκούσῃς ἀστέρα, μὴ νομίσῃς τοιοῦτον εἶναι ἐκεῖνον οἷοις ὁρῶμεν. ἀλλὰ θείαν δύναμιν καὶ ἀγγελικὴν, εἰς τύπον ἀστέρος φαινομένην. ἐπεὶ γὰρ οἱ μάγοι ἀστρολόγοι ἦσαν, διὰ τοῦ συνήθους αὐτοῖς προσηγάγετο αὐτοὺς ὁ κύριος. ὥσπερ καὶ τὸν Πέτρον, ἁλιέα ὄντα, ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων ὧν ἐσαγήνευσεν ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, ἐξέπληξεν. ὅτι δὲ ἀγγελικὴ δύναμις ἦν ὁ ἀστὴρ, δῆλον ἀπὸ τοῦ καὶ ἐν ἡμέρᾳ ὑπερλάμπειν. καὶ ἀπὸ τοῦ κινεῖσθαι μὲν, κινουμένων τῶν μάγων. ἵστασθαι δὲ, ἀναπαυομένων. ἀλλὰ καὶ ἀπὸ τοῦ βορείου μέρους, ὅ ἐστι τῆς Περσίδος, εἰς τὸ νότιον ἐκινεῖτο. ὅ ἐστι, τῆς Ἱερουσαλήμ. οὐδέποτε δὲ ἀστὴρ, ἀπὸ τοῦ βορείου ἐπὶ τὸ νότιον κινεῖται.

» Καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. Φαίνονται οὗτοι οἱ μάγοι, μεγάλης ἀρετῆς ὄντες. εἰ γὰρ ἐν τῇ ξένῃ χώρᾳ προσκυνεῖν ἤθελον, πῶς οὐκ ἂν ἐν τῇ Περσίδι ἐπαρρησιάσαντο καὶ ἐκήρυξαν.

» Ἀκούσας δὲ Ἡρώδης ὁ βασιλεὺς, ἐταράχθη. καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ. Ὁ μὲν Ἡρώδης ἐταράχθη, ὡς ἀλλόφυλος περὶ τῆς βασιλείας δεδοικώς. ἐγίνωσκε γὰρ ὅτι ἀνάξιος ἦν ταύτης. οἱ δὲ Ἰουδαῖοι, τίνος ἕνεκεν ταράττονται. ἔδει γὰρ αὐτοὺς μᾶλλον χαίρειν, ὅτι βασιλεὺς αὐτοῖς ἔσται, ὑπὸ τῶν περσικῶν βασιλέων προσκυνούμενος. ἀλλ' ὄντως ἀνόητον χρῆμα ἡ πονηρία.

» Καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο πα-
» ρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται. Γραμματεῖς ἦσαν οἱ διδάσκαλοι τοῦ λαοῦ. ὥσπερ οὓς ἡμεῖς λέγομεν γραμματικούς. οἰκονομεῖ δὲ ὁ θεὸς ἐρωτηθῆναι τούτους, ἵνα ὁμολογήσωσι τὴν ἀλήθειαν. καὶ ἐκ τούτου ὦσι κατακεκριμένοι, αὐτοὶ τοῦτον σταυρώσαντες ὃν ὡμολόγησαν πρότερον.

» Οἱ δὲ, εἶπον αὐτῷ. ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου. Προφήτου. ποίου. τοῦ Μιχαίου. ἐκεῖνος γάρ φησιν.

Μιχ. ε. » Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. Μικρᾶς γὰρ οὔσης ταύτης κατεφρόνουν. νῦν δὲ διὰ τὸν ἐκ ταύτης προελθόντα Χριστὸν, περιβόητός ἐστι. πάντες γὰρ ἐκ περάτων τῆς γῆς ἔρχονται προσκυνήσοντες ταύτην τὴν ἁγίαν Βηθλεέμ.

» Ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος. Καλῶς εἶπε τὸ ἐξελεύσεται. καὶ οὐχὶ, ἐν σοὶ μενεῖ. οὐ γὰρ ἔμεινεν ὁ Χριστὸς ἐν τῇ Βηθλεέμ. ἀλλ' ἐκ ταύτης μὲν ἐξῆλθε, μετὰ τὸ γεννηθῆναι. ἐν δὲ τῇ Ναζαρὲτ τὰ πλεῖστα διέζησε. λέγουσι δὲ οἱ Ἰουδαῖοι ὅτι περὶ τοῦ Ζοροβάβελ τοῦτο προεφητεύθη. ψεύδονται δὲ προφανῶς. καὶ γὰρ ὁ Ζοροβάβελ, οὐκ ἐν τῇ Βηθλεὲμ ἐγεννήθη, ἀλλ' ἐν τῇ Βαβυλῶνι. ἴδε γὰρ τὸ ὄνομα αὐτοῦ. ζορὸ, δηλοῖ τὴν σπορὰν καὶ τὴν γέννησιν. Βαβὲλ δὲ, τὴν Βαβυλῶνα. τουτέστιν, ὁ ἐν Βαβυλῶνι σπαρεὶς ἢ γεννηθείς. ἀλλὰ καὶ ἡ προφητεία φανερῶς ἐλέγχει αὐτοὺς, λέγουσα. αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος. τίνος δὲ ἄλλου αἱ ἔξοδοι εἰσὶ καὶ ἀπ' ἀρχῆς καὶ ἐξ ἡμερῶν αἰῶνος, ἢ τοῦ Χριστοῦ. ὃς δύο ἐξόδους ἔχει, ἤτοι γεννήσεις. ἀλλ' ἡ μὲν πρώτη γέννησις, ἀπ' ἀρχῆς ἐκ τοῦ πατρός. ἡ δὲ δευτέρα, ἐξ ἡμερῶν αἰῶνος. ἀπὸ τῆς θεοτόκου ἀρξαμένη, καὶ ὑπὸ χρόνον οὖσα. εἰπάτωσαν οὖν οἱ Ἰουδαῖοι, ἐὰν ὁ Ζοροβάβελ ἀπ' ἀρχῆς ἐγένετο. ἀλλ' οὐκ ἔχουσιν εἰπεῖν.

» Ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. Ποιμανεῖ εἶπεν, ἀλλ' οὐ τυραννήσει. ἢ

καταφάγεται. οἱ μὲν γὰρ ἄλλοι βασιλεῖς, οὐ ποιμένες. ἀλλὰ λύκοι. ὁ δὲ Χριστὸς, ποιμήν. ὡς καὶ αὐτὸς λέγει. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. λαὸν δὲ Ἰσραὴλ λέγει, καὶ τοὺς ἐξ Ἑβραίων πιστεύσαντας, καὶ τοὺς ἐξ ἐθνῶν. Ἰσραὴλ γὰρ ἑρμηνεύεται, ὁρῶν θεόν. ὥστε πάντες οἱ θεὸν ὁρῶντες, Ἰσραηλῖταί εἰσι, κἂν ἐξ ἐθνῶν ὦσιν. Ἰωάν. ί.

Τότε ὁ Ἡρώδης λάθρα καλέσας τοὺς μάγους. Λάθρα τούτους ἐκάλεσε, διὰ τοὺς Ἰουδαίους. ὑπώπτευε γὰρ ὅτι οἱ Ἰουδαῖοι ἴσως περὶ πολλοῦ ποιήσονται τὸ παιδίον. καὶ φροντίσουσι τοῦ σῶσαι αὐτὸ, ὡς μέλλον ἐλευθερῶσαι αὐτούς. διὰ τοῦτο οὖν λάθρα ἐπιβουλεύει.

Ἠκρίβωσε παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος. Τουτέστιν ἀκριβῶς ἀνέμαθεν. ὁ γὰρ ἀστὴρ, πρὸ τοῦ γεννηθῆναι τὸν κύριον ἐφάνη τοῖς μάγοις. ἐπεὶ γὰρ ἔμελλον πολὺν ἀναλίσκειν χρόνον κατὰ τὴν ὁδοιπορίαν, διὰ τοῦτο πρὸ πολλοῦ ἐφάνη ὁ ἀστήρ. ὡς ἂν προσκυνήσωσιν αὐτὸν ἔτι ἐν τοῖς σπαργάνοις ὄντα. τινὲς δὲ λέγουσιν ὅτι ἅμα τῷ γεννηθῆναι τὸν Χριστὸν, ἐφάνη ὁ ἀστήρ. καὶ οἱ μάγοι διὰ δύο ἐτῶν ἦλθον. καὶ οὐκ ἐν σπαργάνοις εὗρον τὸν κύριον. οὐδὲ ἐν τῇ φάτνῃ, ἀλλ᾽ ἐν οἰκίᾳ μετὰ τῆς μητρὸς, διετῆ ὄντα. ἀλλὰ σὺ τὸ προῤῥηθὲν ἔχε κρεῖττον.

Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ, εἶπε. πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου. Οὐκ εἶπε περὶ τοῦ βασιλέως. ἀλλὰ περὶ τοῦ παιδίου. οὐδὲ γὰρ τὸ ὄνομα ἀνέχεται. ὅθεν δείκνυσιν ὅτι μαίνεται κατ᾽ αὐτοῦ.

Ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι. ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. οἱ δὲ, ἀκούσαντες τοῦ βασιλέως, ἐπορεύθησαν. Ἄδολοι γὰρ ὄντες αὐτοὶ, ἐνόμιζον κἀκεῖνον ἀδόλως λέγειν.

Καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτούς. Ἀπεκρύβη πρὸς μικρὸν ὁ ἀστὴρ οἰκονομικῶς. ἵνα ἐρωτήσωσιν αὐτοὶ τοὺς Ἰουδαίους. καὶ ταραχθῇ ὁ Ἡρώδης. καὶ οὕτω περιφανεστέρα γένηται ἡ ἀλήθεια. ἐξελθοῦσι δὲ αὐτοῖς ἀπὸ τῆς Ἱερουσαλὴμ, πάλιν ἐφάνη, χειραγωγῶν αὐτούς. ὅθεν δῆλον ὅτι θεία δύναμις ἦν ὁ ἀστήρ.

Ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. Καὶ τοῦτο ξένον. κατέβη γὰρ ὁ ἀστὴρ ἀπὸ τοῦ ὕψους. καὶ προσγειότερος γενόμενος, ἔδειξεν αὐτοῖς τὸν τόπον. εἰ γὰρ ἐξ ὕψους αὐτοῖς ἐφαίνετο, πῶς ἂν ἔμελλον ἰδικῶς γνωρίσαι τὸν τόπον ἔνθα ἦν ὁ Χριστός. οἱ γὰρ ἀστέρες πολὺν τόπον περιλαμβάνουσιν. ὅθεν καὶ σὺ ἐπάνω τῆς σῆς οἰκίας βλέπεις τὴν σελήνην τυχόν. κἀγὼ δοκῶ ταύτην ἀνωτέρω εἶναι τῆς ἐμῆς οἰκίας μόνης. καὶ πάντες ἁπλῶς, δοκοῦσιν ἕκαστος ἐπάνω αὐτοῦ μόνου ἵστασθαι τὴν σελήνην ἢ ἄλλον ἀστέρα. κἀκεῖνος οὖν ὁ ἀστὴρ, οὐκ ἂν ἔδειξε τὸν Χριστὸν, εἰ μὴ συγκατέβη καὶ μονονουχὶ ἐπάνω τῆς κεφαλῆς τοῦ παιδίου ἔστη.

Ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. Ὡς οὐ πλανηθέντες, ἀλλ᾽ εὑρόντες τὸ ζητούμενον, ἐχάρησαν.

Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ. Ἅμα μὲν τῷ γεννηθῆναι, ἐν τῇ φάτνῃ κατέκλινεν ἡ παρθένος τὸ παιδίον. οὐ γὰρ εὑρίσκον τότε οἰκίαν. μετὰ ταῦτα δὲ, εἰκὸς ἐστὶν εὑρεῖν οἰκίαν. ἔνθα καὶ οἱ μάγοι εὗρον αὐτούς. ἀνέβησαν μὲν γὰρ εἰς Βηθλεὲμ, ἵνα ἀπογράφωσιν ἐκεῖ. καθὰ καὶ Λουκᾶς λέγει. πολλοῦ δὲ πλήθους συντρέχοντος διὰ τὴν ἀπογραφὴν, οὐκ ἔχον πρὸς καιρὸν οἰκίαν. ἀλλ᾽ ἐν τῷ σπηλαίῳ ἐτέχθη. εἶτα εὑρέθη ἡ οἰκία ἔνθα ὡράθη τοῖς μάγοις ὁ κύριος. Λουκ. β.

Καὶ πεσόντες προσεκύνησαν αὐτῷ. Ἴδε ψυχῆς ἔλλαμψιν. πένητα ἔβλεπον, καὶ προσεκύνουν. ἐπληροφορήθησαν γὰρ ὅτι θεός ἐστι. διὸ καὶ προσάγουσιν αὐτῷ δῶρα, ὡς θεῷ καὶ ὡς ἀνθρώπῳ. ἄκουε γάρ.

» Καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν καὶ λί-
» βανον καὶ σμύρναν. Τὸν μὲν χρυσόν, προσῆγον αὐτῷ ὡς βασιλεῖ· τῷ γὰρ βασι-
λεῖ χρυσὸν τελοῦμεν οἱ ὑπὸ χεῖρα. τὸν δὲ λίβανον, ὡς θεῷ. τῷ γὰρ θεῷ λίβανον θυ-
μιῶμεν. τὴν δὲ σμύρναν, ὡς μέλλοντι γεύσασθαι θανάτου. μετὰ γὰρ τῆς σμύρνης
ἐνταφιάζουσιν οἱ Ἰουδαῖοι, διὰ τὸ μένειν τὸ σῶμα ἄσηπτον. ἡ γὰρ σμύρνα, ξηρὰ οὖσα,
ξηραίνει τὴν ὑγρότητα. καὶ οὐκ ἐᾷ σκώληκας γεννᾶσθαι. ὁρᾷς τῶν μάγων τὴν πί-
στιν; ἐπεὶ καὶ ἀπὸ τῆς προφητείας τοῦ Βαλαὰμ ἐδιδάχθησαν, τὸν κύριον, καὶ θεὸν
εἶναι καὶ βασιλέα καὶ ὑπὲρ ἡμῶν τεθνηξόμενον. ἄκουσον δὲ τῆς προφητείας.
Ἀριθ. κδ'. κατακλιθείς, φησίν, ἀνεπαύσατο ὡς λέων καὶ ὡς σκύμνος. ἰδοὺ τὸ βασιλικόν, διὰ
τοῦ λέοντος. διὰ δὲ τοῦ κατακλιθείς, ἡ νέκρωσις. οἱ εὐλογοῦντές σε, εὐλόγηνται. ἰδοὺ ἡ
θεότης. τὴν γὰρ τῆς εὐλογίας δύναμιν, μόνη ἡ θεία φύσις ἔχει.
» Καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνε-
» χώρησαν εἰς τὴν χώραν αὐτῶν. Ἴδε ἀκολουθίαν. πρῶτον δι' ἀστέρος ἐχειραγώγη-
σεν αὐτοὺς ὁ θεὸς εἰς τὴν πίστιν. εἶτα ἐλθόντας εἰς Ἱεροσόλυμα, ἐδίδαξεν αὐτοὺς
διὰ τοῦ προφήτου, ὅτι ἐν Βηθλεὲμ γεννᾶται. καὶ τελευταῖον, διὰ τοῦ ἀγγέλου. οἱ δέ,
πείθονται τῷ χρηματισμῷ. τουτέστι τῇ θείᾳ ὁμιλίᾳ. χρηματισθέντες οὖν, ἤτοι παρὰ
τοῦ θεοῦ ἀποκάλυψιν δεξάμενοι, ἠπάτησαν Ἡρώδην. καὶ οὐκ ἐφοβήθησαν μήπως ἐπι
διωχθῶσιν. ἀλλ' ἐθάρρησαν τῇ τοῦ γεννηθέντος δυνάμει. οὕτως ἦσαν μάρτυρες ἀληθεῖς.
» Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσήφ, λέ-
» γων. ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ. Εἶδες διὰ ποίαν αἰ-
τίαν συνεχώρησεν ὁ θεὸς μνηστευθῆναι τὴν παρθένον; ἐνταῦθα γὰρ προφαίνεταί σοι, ὅ-
τι διὰ τὸ ἐπιμελεῖσθαι ταύτης καὶ κήδεσθαι. οὐκ εἶπε δὲ παράλαβε τὴν γυναῖκά
σου, ἀλλὰ τὴν μητέρα τοῦ παιδίου. ἐπεὶ γὰρ ἡ ὑποψία ἐλύθη, καὶ ἐπληροφορήθη
ὁ δίκαιος ἀπὸ τῶν ἐν τῷ τόκῳ θαυμάτων, ὅτι ἐκ πνεύματος ἁγίου ἐστὶ πάντα, οὐκ
ἔτι γυναῖκα αὐτοῦ ὀνομάζει ταύτην.
» Καὶ φεῦγε εἰς Αἴγυπτον. φεύγει καὶ ὁ κύριος, ἵνα πιστώσηται ὅτι ὄντως καὶ ἄν-
θρωπος ἦν. εἰ γὰρ ἐν ταῖς χερσὶ τοῦ Ἡρώδου γενόμενος, οὐ κατεκόπη, ἔδοξεν ἂν κατὰ
φαντασίαν σαρκωθῆναι. εἰς Αἴγυπτον δὲ φεύγει, ἵνα καὶ ἐκείνην ἁγιάσῃ. δύο γὰρ
ἦσαν χῶραι πάσης κακίας ἐργαστήρια, ἡ Βαβυλὼν καὶ ἡ Αἴγυπτος. τὴν μὲν οὖν Βαβυ-
λῶνα, διὰ τῶν μάγων ἐδέξατο προσκυνοῦσαν. τὴν δὲ Αἴγυπτον, τῇ ἑαυτοῦ παρουσίᾳ
ἡγίασεν.
» Καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι. Ἴσθι, ἀντὶ τοῦ ἔσο ἐκεῖ, ἄχρις ἂν ἀπὸ θεοῦ κελευ-
σθῇς. δεῖ γὰρ ἡμᾶς μηδὲν ποιεῖν ἔξω τῆς θείας βουλῆς.
» Μέλλει γὰρ Ἡρώδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό. Ἴδε ἀνοησίαν ἀνθρώπου.
τὴν τοῦ θεοῦ βουλὴν σπουδάζει νικῆσαι. εἰ μὲν γὰρ οὐκ ἔστιν ἐκ θεοῦ, τί φοβῇ. εἰ δὲ
ἐκ θεοῦ ἐστί, πῶς ἀπολέσεις τὸ παιδίον.
» Ὁ δέ, ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτός, καὶ ἀνεχώρησεν
Ὡσηέ. ια'. » εἰς Αἴγυπτον. καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδου. ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ
» κυρίου διὰ τοῦ προφήτου, λέγοντος. ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.
φασὶν οἱ Ἰουδαῖοι ὅτι διὰ τὸν λαὸν ἐρρέθη τοῦτο. τὸν ἐκ τῆς Αἰγύπτου ἐπαναχθέντα
διὰ Μωϋσέως. λέγομεν οὖν ὅτι, καὶ τί καινόν. ἐλέχθη ἐπὶ τῷ λαῷ τυπικῶς. ἐξέβη
δὲ εἰς τὸν Χριστὸν ἀληθινῶς. ἔπειτα, τίς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. ὁ λαὸς ὁ προσκυνῶν τῷ
Βεελφεγὼρ εἰδώλῳ καὶ τοῖς γλυπτοῖς, ἢ ὁ ὄντως υἱὸς τοῦ θεοῦ.
» Τότε Ἡρώδης, ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων. Ὥσπερ τῷ Φαραὼ ἐνέπαι-

ξεν ὁ θεὸς διὰ Μωυσέως, οὕτω καὶ τῷ Ἡρώδῃ διὰ τῶν μάγων. ἐπεὶ καὶ ἄμφω, καὶ
Ἡρώδης καὶ Φαραὼ, παιδοκτόνοι. ὁ μὲν Φαραὼ, τὰ τῶν ἐν Αἰγύπτῳ Ἑβραίων ἄρρενα
φονεύων. ὁ δὲ Ἡρώδης, τὰ τῶν ἐν Βηθλεέμ.
» Ἐθυμώθη λίαν. καὶ ἀποστείλας, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεέμ.
Τὴν κατὰ τῶν μάγων ὀργὴν, κατὰ τῶν οὐδὲν ἀδικησάντων ἐνδείκνυται. τίνος δὲ
ἕνεκεν συνεχωρήθησαν οἱ παῖδες σφαγῆναι. ἵνα δειχθῇ τοῦ Ἡρώδου ἡ κακία. ἀλλ' ἴ-
σως ἐρεῖς μοι. καὶ τί τοῦτο. ἵνα δειχθῇ ἡ ἐκείνου κακία, διὰ τοῦτο ἠδικήθησαν οἱ παῖ-
δες; ἄκουε τοίνυν. ὅτι οὐκ ἠδικήθησαν, ἀλλὰ στεφάνων ἠξιώθησαν. πᾶς γὰρ ὁ κα-
κόν τι πάσχων ἐνταῦθα, ἢ εἰς ἁμαρτημάτων διάλυσιν πάσχει, ἢ εἰς στεφάνων προσθή-
κην. ὥσπερ δὴ καὶ οὗτοι οἱ παῖδες, μειζόνως στεφανωθήσονται.
» Καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω. κατὰ τὸν χρόνον ὃν ἠ- a bimatu, et infra
» κρίβωσε παρὰ τῶν μάγων. τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ προφήτου, λέ
γοντος. Ἵνα μή τις νομίσῃ ὅτι ἄκοντος τοῦ θεοῦ γέγονεν ἡ τῶν νηπίων ἀναίρεσις, δεί
κνυσιν ὅτι καὶ προεγίνωσκε καὶ προεῖπεν.
» Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη. Ἡ Ῥαμὰ, τόπος ἦν τῆς παλαιστίνης ὑψηλός. τοῦτο Ἱερε. λα΄.
γὰρ σημαίνει τὸ ὄνομα, ὑψηλήν. ἔλαχε δὲ εἰς κλῆρον τῇ φυλῇ τοῦ Βενιαμὶν, ὃς ἦν τῆς
Ῥαχὴλ υἱός. ἡ δὲ Ῥαχὴλ, ἐν τῇ Βηθλεὲμ ἐτάφη. λέγει τοίνυν τὴν Βηθλεὲμ ὁ προ-
φήτης, Ῥαχὴλ, διότι ἐν αὐτῇ ἐτάφη ἐκείνη. τὸν δὲ κλαυθμὸν καὶ τὸν θρῆνον, ἀκου-
σθῆναι ἐν τῇ ὑψηλῇ. ἄκουε τοίνυν τοῦ προφήτου.
» Θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς. Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς.
Τουτέστιν ἡ Βηθλεέμ.
» Καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσίν. Ἐν τῷ βίῳ τούτῳ οὐκ εἰσίν. ἐπεὶ αἱ
ψυχαὶ, ἀθάνατοι.
» Τελευτήσαντος δὲ Ἡρώδου. Πικρὰν τελευτὴν ἔσχεν ὁ Ἡρώδης, πυρετῷ καὶ
δυσεντερίᾳ, καὶ κνησμῷ καὶ ὄγκῳ ποδῶν καὶ σήψει τοῦ αἰδοίου σκώληκας γεννώσῃ
καὶ δυσπνοίᾳ καὶ βρόμῳ καὶ σπασμῷ τῶν μελῶν, ἀπορρήξας τὴν πονηρὰν ψυχήν.
» Ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, λέγων. ἐγερθεὶς πα
» ράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ.
Οὐ λέγει φεῦγε, ἀλλὰ πορεύου. φόβος γὰρ οὐκ ἔτι ἦν.
» Τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. Ποῦ Ἀπολινάριος. ὅστις
ἔλεγε μὴ ψυχὴν ἀνθρώπου λαβεῖν τὸν κύριον. ἐντεῦθεν γὰρ ἐλέγχεται.
» Ὁ δὲ, ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν
» Ἰσραήλ. ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ Ἡρώδου τοῦ
» πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν. Τρεῖς υἱοὺς κατέλειψεν Ἡρώδης. Φίλιππον.
Ἀντίπαν. καὶ Ἀρχέλαον. τὸν μὲν οὖν Ἀρχέλαον, βασιλέα. τοὺς δὲ λοιποὺς, τετράρ-
χας ἐκέλευσεν εἶναι. ἐφοβήθη δὲ ὁ Ἰωσὴφ ἀπελθεῖν εἰς γῆν Ἰσραὴλ, τουτέστιν εἰς τὴν
Ἰουδαίαν, διότι καὶ ὁ Ἀρχέλαος, ὅμοιος ἦν τῷ πατρὶ αὐτοῦ. ὁ δὲ Ἀντίπας, αὐτός ἐ-
στιν ὁ νέος Ἡρώδης, ὁ τὸν πρόδρομον ἀνελών.
» Χρηματισθεὶς δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας. Ἡ Γαλι-
λαία οὐκ ἦν γῆ Ἰσραήλ. ἀλλὰ τῶν ἐθνικῶν ἦν. διὸ καὶ οἱ Ἰουδαῖοι ὡς βδέλυγμα
τούτους ἔβλεπον.
» Καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ. Καὶ πῶς ὁ Λουκᾶς λέ- Λουκ. β΄.
γει, ὅτι μετὰ τὸ γεννηθῆναι τελέσας τὰς τεσσαράκοντα ἡμέρας, καὶ ὑπὸ τοῦ Συμεὼν
βασταχθεὶς, κατῆλθεν ὁ κύριος εἰς Ναζαρέτ. ἐνταῦθα δὲ ὁ Ματθαῖος λέγει, ὅτι μετὰ

τὴν δὲ Αἰγύπτου ἐπάνοδον ἦλθεν εἰς Ναζαρέτ. μάθε τοίνυν, ὅτι ἃ ἐσιώπησεν ὁ Ματθαῖος, εἶπεν ὁ Λουκᾶς. οἷον τί λέγω. μετὰ τὸ γεννηθῆναι, ἐτέλεσε τὰς τεσσαράκοντα ἡμέρας. εἶτα κατῆλθεν εἰς Ναζαρέτ. ταῦτα λέγει ὁ Λουκᾶς. ὁ Ματθαῖος δὲ λέγει τὰ μετὰ ταῦτα, ὅτι ἔφυγεν εἰς Αἴγυπτον. εἶτα ἀνῆλθεν ἀπὸ Αἰγύπτου εἰς Ναζαρέτ. οὐκ ἐναντιοῦνται οὖν ἀλλήλοις. ἀλλ' ὁ μὲν, λέγει τὴν ἀπὸ Βηθλεὲμ εἰς Ναζαρὲτ κάθοδον, ὁ Λουκᾶς. ὁ δὲ Ματθαῖος, τὴν μετὰ ταῦτα ἀπὸ Αἰγύπτου εἰς Ναζαρὲτ ἄνοδον.

» Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται. Καὶ ποῖος προφήτης τοῦτο εἶπεν. οὐχ εὑρίσκεται νῦν. διὰ γὰρ τὴν ἀμέλειαν τῶν Ἑβραίων, πολλὰ βιβλία ἀπώλοντο. καὶ ἀπὸ τῶν συνεχῶν αἰχμαλωσιῶν. ἀγράφως δὲ τυχὸν ἐλέγετο παρὰ τοῖς Ἰουδαίοις. σημαίνει δὲ τὸ Ναζωραῖος, ἡγιασμένος. ἐπεὶ τοίνυν ἅγιος ὁ Χριστὸς, εἰκότως ἂν λέγοιτο Ναζωραῖος. ἅγιος γὰρ τοῦ Ἰσραὴλ, παρὰ πολλῶν προφητῶν καλεῖται ὁ κύριος.

Κεφάλαιον τρίτον.

» Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις. Οὐχ ὅτε ἦν ὁ κύριος παῖς, καὶ ἐν Ναζαρὲτ κατῴκει, ἀλλ' ἁπλῶς οὕτω φησίν. οἷον, ἐν τῷ καιρῷ ἐκείνῳ τῷ πρὸ τῆς νῦν γενεᾶς.

παραγίνομαι

» Παραγίνεται Ἰωάννης ὁ βαπτιστής. Διὰ τοῦτο ἐπέμφθη παρὰ τοῦ θεοῦ ὁ Ἰωάννης, ἵνα ἐλέγχων τοὺς Ἰουδαίους, πείσῃ αὐτοὺς εἰς αἴσθησιν ἐλθεῖν τῶν οἰκείων κακῶν. καὶ οὕτω παραδέξασθαι τὸν Χριστόν. εἰ μὴ γὰρ αἴσθησιν λάβοι τις τῶν ἁμαρτιῶν, οὐκ ἔρχεται εἰς μετάνοιαν. ἐπέμφθη τοίνυν ὁ Ἰωάννης.

» Κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, καὶ λέγων. μετανοεῖτε. Ἀλαζόνες ἦσαν οἱ Ἰουδαῖοι. διὰ τοῦτο συνωθεῖ αὐτοὺς εἰς μετάνοιαν.

» Ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. Βασιλείαν οὐρανῶν λέγει, τὴν πρώτην καὶ δευτέραν τοῦ Χριστοῦ παρουσίαν. καὶ τὴν ἐνάρετον ζωήν. ὅταν γὰρ ἐπὶ γῆς βαδίζοντες, ὡς ἐν οὐρανῷ πολιτευώμεθα, μὴ ἐμπαθῶς ζῶντες, βασιλείαν ἔχομεν οὐρανῶν.

Ἡσαΐ. μ. » Οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου, λέγοντος. Φωνὴ βοῶντος ἐν τῇ
» ἐρήμῳ. ἑτοιμάσατε τὴν ὁδὸν κυρίου. εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

Ὁδὸς, τὸ εὐαγγέλιον λέγεται. τρίβοι δὲ, τὰ νομικὰ προστάγματα, ὡς κατατετριμμένα καὶ παλαιά. φησὶ τοίνυν ὅτι, ἕτοιμοι γένεσθε πρὸς τὴν εὐαγγελικὴν πολιτείαν. καὶ τὰς νομικὰς δὲ ἐντολὰς, εὐθείας τουτέστι πνευματικὰς ποιήσατε. τὸ πνεῦμα γὰρ εὐθές ἐστιν. ὅταν οὖν ἴδῃς Ἰουδαῖον σαρκικῶς νοοῦντα τὰ τοῦ νόμου, εἰπὲ ὅτι οὗτος τὰς τρίβους οὐκ ἐποίησεν εὐθείας. τουτέστιν, οὐ πνευματικῶς νοεῖ τὸν νόμον.

Indumentu

» Αὐτὸς δὲ ὁ Ἰωάννης, εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου. Εἰς μετάνοιαν παρεκάλει καὶ ἀπὸ τοῦ σχήματος. πενθικὴν γὰρ εἶχε τὴν στολήν. λέγουσι δὲ τὴν κάμηλον, μεταξὺ εἶναι καθαροῦ καὶ μή. καθὸ μὲν γὰρ μηρυκάζει, καθαρόν ἐστι. καθὸ δὲ οὐκ ἔστι διχηλὸν κατὰ τοὺς ὄνυχας, οὐκ ἔστι καθαρόν. ἐπεὶ οὖν καὶ ὁ Ἰωάννης, τόν τε καθαρὸν δοκοῦντα λαὸν, τὸν Ἰουδαϊκόν. καὶ τὸν ἀκάθαρτον, τὸν ἐθνικὸν, προσῆγε τῷ θεῷ, καὶ μεσίτης ἦν παλαιᾶς διαθήκης καὶ νέας, διὰ τοῦτο ἐφόρει τὰς τρίχας τῆς καμήλου.

cingulu pelliceu,

» Καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. Πάντες οἱ ἅγιοι, ἐζωσμένοι εἰσάγονται παρὰ τῇ γραφῇ, ὡς ἀεὶ ἐν ἔργῳ ὄντες. οἱ γὰρ ἀμελεῖς καὶ τρυφηλοὶ, οὐ ζώννυνται. ὡς νῦν οἱ σαρακηνοί. ἢ ὅτι ἐνέκρωσεν τὰ πάθη τῆς ἐπιθυμίας. τὸ γὰρ δέρμα, νεκροῦ ζώου ἐστὶ μέρος.

» Ἡ δὲ τροφὴ αὐτοῦ, ἦν ἀκρίδες καὶ μέλι ἄγριον. Τινὲς λέγουσι βοτάνας εἶναι τὰς ἀκρίδας. ἃς καὶ μέλαγρα καλοῦσι. τινὲς δὲ, τὰ ἀκρόδρυα ἤτοι ὀπώρας ἀγρίας.

μέλι δὲ

μέλι δὲ ἄγριον, τὸ ὑπὸ ἀγρίων μελισσῶν γεωργούμενον, ἐν δένδροις εὑρισκόμενον καὶ πέτραις.

Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου. καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ᾽ αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Εἰ καὶ ἐβαπτίζοντο, ἀλλ᾽ οὔπω ἄφεσιν ἁμαρτιῶν οὐκ εἶχε τὸ Ἰωάννου βάπτισμα. ἀλλὰ μόνην μετάνοιαν ἐκήρυττεν ὁ Ἰωάννης. καὶ εἰς ἄφεσιν ἁμαρτιῶν ἔφερεν. ἀντὶ τοῦ, εἰς τὸ τοῦ Χριστοῦ βάπτισμα ὡδήγει. παρ᾽ οὗ ἡ ἄφεσις τῶν ἁμαρτιῶν.

Ἰδὼν δὲ πολλοὺς τῶν φαρισαίων. Φαρισαῖος, ἑρμηνεύεται ἀποκεκομμένος. ἐδόκουν γὰρ ἐν τῷ βίῳ καὶ τῇ γνώσει, ἀποκεκόφθαι καὶ ὑπερέχειν τῶν ἄλλων.

Καὶ Σαδδουκαίων. Οὗτοι, οὔτε ἀνάστασιν ἐπίστευον. οὔτε ἄγγελον. οὔτε πνεῦμα. ἑρμηνεύονται δὲ, δίκαιοι. σεδὲκ γὰρ, ἡ δικαιοσύνη. δικαίους γὰρ ἑαυτοὺς ὠνόμαζον. ἢ ἀπὸ αἱρεσιάρχου Σαδὼκ, ὀνομάζονται.

Ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς. Οὐκ ἤρχοντο μετὰ γνώμης ὀρθῆς, ὡς οἱ λοιποί. διὰ τοῦτο καὶ καθάπτεται αὐτῶν.

Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς. a futura ira
Πικρῶς αὐτοῖς διαλέγεται, γινώσκων τὴν στρεβλότητα αὐτῶν. πλὴν ἀλλὰ καὶ ἐπαινεῖ, λέγων. τίς ὑπέδειξεν ὑμῖν. θαυμάζει γὰρ πῶς ἐγένετο τοῦτο, τὸ τὴν πονηρὰν αὐτῶν γενεὰν μετανοῆσαι. γεννήματα δὲ ἐχιδνῶν λέγει αὐτοὺς, διότι ὥσπερ ταῦτα κατεσθίοντα τὰς μήτρας οὕτως ἐξέρχονται, οὕτω καὶ οὗτοι τοὺς πατέρας ἤτοι διδασκάλους, τοὺς προφήτας, ἐφόνευον. ἀπὸ τῆς μελλούσης δὲ ὀργῆς, τῆς γεέννης φησί.

Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας. Ὁρᾷς τί λέγει; ὅτι οὐ δεῖ μόνον φεύγειν τὴν κακίαν, ἀλλὰ καὶ καρποὺς ἀρετῆς ποιεῖν. ἔκκλινον γάρ φησιν, ἀπὸ κακοῦ. καὶ ποίησον ἀγαθόν. ψαλ. λγ΄.

Καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς. πατέρα ἔχομεν τὸν Ἀβραάμ. Τοῦτο ἦν αὐτοῖς εἰς ἀπώλειαν, ὅτι τῇ εὐγενείᾳ ἐθάρρουν.

Λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Λίθοι, νοοῦνται μὲν καὶ τὰ ἔθνη. ἐξ ὧν πολλοὶ ἐπίστευσαν. πλὴν ἀλλὰ καὶ οὕτως ἁπλῶς τοῦτο λέγει ὁ Ἰωάννης, ὅτι καὶ ἀπὸ λίθων δύναται τέκνα ποιῆσαι τῷ Ἀβραάμ. καὶ γὰρ λίθος ἦν καὶ ἡ μήτρα τῆς Σάρρας, διὰ τὴν στείρωσιν. ἀλλ᾽ ἔτεκεν ὅμως. ἤγειρε δὲ καὶ τέκνα τῷ Ἀβραὰμ ὁ κύριος ἀπὸ τῶν λίθων. πότε. ὅτε σταυρουμένου αὐτοῦ, ἰδόντες πολλοὶ τὰς πέτρας ῥαγείσας, ἐπίστευσαν.

Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Ἀξίνην λέγει τὴν τοῦ Χριστοῦ κρίσιν. δένδρα δὲ, ἕνα ἕκαστον ἡμῶν. ὁ οὖν μὴ πιστεύσας, ἐντεῦθεν ἤδη αὐτόρριζος ἀποτέμνεται. καὶ εἰς γέενναν ἐμβάλλεται.

Πᾶν οὖν δένδρον. Κἂν ἀπὸ τοῦ Ἀβραὰμ καταγίνηται.

Μὴ ποιοῦν καρπὸν καλόν. Οὐκ εἶπε μὴ ποιῆσαν, ἀλλὰ μὴ ποιοῦν. ἀεὶ γὰρ δεῖ καρποφορεῖν. εἰ γὰρ χθὲς ἠλέησας, σήμερον δὲ ἁρπάζεις, οὐκ εὐαρεστεῖς.

Ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. Τὸ τῆς γεέννης.

Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν. ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστίν. Εἶπεν αὐτοῖς, ποιήσατε καρπόν. δείκνυσιν οὖν τίς ὁ καρπός. ὅτι τὸ πιστεῦσαι εἰς τὸν ὀπίσω αὐτοῦ ἐρχόμενον. ὀπίσω δὲ αὐτοῦ ἤρχετο ὁ Χριστός. καθὸ καὶ ὕστερος αὐτοῦ ἦν κατὰ τὴν γέννησιν, ἓξ μόναις μησίν. ἀλλὰ καὶ κατὰ τὴν

φανέρωσιν. ἐφανερώθη γὰρ πρότερον ὁ πρόδρομος. εἶτα ὁ Χριστὸς, ὑπ᾽ αὐτοῦ μαρτυρηθείς.

» Οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. Οὐδὲ δοῦλος φησὶν ἔσχατος αὐτοῦ εἰμὶ, ὥστε βαστάζειν ταῦτα. ὑποδήματα δὲ νόησεις, καὶ τὰς δύο καταβάσεις αὐτοῦ. τήν τε ἐξ οὐρανοῦ εἰς γῆν, καὶ τὴν ἐκ γῆς εἰς τὸν ᾅδην. ὑποδήματα γάρ εἰσιν ἡ δερματίνη σὰρξ καὶ ἡ νέκρωσις. ταύτας οὖν τὰς δύο καταβάσεις, οὐ δύναται βαστάσαι ὁ πρόδρομος, μὴ δυνάμενος νοῆσαι πῶς ἐγένοντο.

» Αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ. Τουτέστι κατακλύσει ὑμᾶς ἀφθόνως ταῖς τοῦ πνεύματος χάρισιν. ἐπεὶ τὸ μὲν ἐμὸν φησὶ βάπτισμα, οὐ δίδωσι πνεύματικὴν χάριν. οὐδὲ γὰρ οὐδὲ ἄφεσιν ἁμαρτιῶν. αὐτὸς δὲ, καὶ ἀφήσει ὑμῖν, καὶ πνεῦμα δαψιλῶς δώσει.

» Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ. Μὴ νομίσητε ὅτι ἐὰν βαπτισθῆτε ὑπ᾽ ἐκείνου, εἶτα ἁμαρτάνητε, συγχωρήσει ὑμῖν. ἀλλὰ καὶ πτύον ἔχει. τουτέστι κρίσιν καὶ ἐξέτασιν.

» Καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ. Τουτέστι τὴν ἐκκλησίαν. ἥτις πολλοὺς μὲν ἔχει βεβαπτισμένους. ὥσπερ ἐν τῇ ἅλωνι, πᾶν τὸ γεώργιον. ἀλλ᾽ ἐν τούτοις, οἱ μέν εἰσιν ἄχυρα. ὅσοι κοῦφοί εἰσι καὶ τοῖς πνεύμασι τῆς πονηρίας κινούμενοι. οἱ δὲ, σῖτος. ὅσοι καὶ ἑτέρους ὠφελοῦσι, καὶ τρέφουσι διὰ διδασκαλίας καὶ πράξεως.

» Καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ. τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Ἄσβεστόν ἐστι τὸ πῦρ ἐκεῖνο. ὥστε φλυαρεῖ ὁ Ὠριγένης, λέγων ὅτι ἔσται τέλος τῆς κολάσεως.

» Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ. ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν, λέγων.
Καθαρὸς ὢν βαπτίζεται, ἵνα ἡμᾶς ἀποπλύνῃ. καὶ ἵνα δείξῃ ἡμῖν, ἐπ᾽ ἂν μέλλωμεν βαπτισθῆναι, προκαθαίρεσθαι. ἵνα μὴ μολύνωμεν τὸ βάπτισμα, μετὰ ταῦτα εὐκόλως ῥυπαινόμενοι διὰ τὴν πονηρὰν συνήθειαν. κωλύει δὲ αὐτὸν ὁ Ἰωάννης, ἵνα μὴ νομίσωσιν οἱ ὁρῶντες, καὶ αὐτὸν ὡς ἕνα τῶν πολλῶν εἰς μετάνοιαν βαπτιζόμενον.

» Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. Χρείαν γὰρ εἶχεν ὁ πρόδρομος ὑπὸ τοῦ κυρίου καθαρισθῆναι. ὡς γὰρ ἀπὸ τοῦ Ἀδὰμ καταγόμενος, καὶ αὐτὸς ἐπεσύρετο τὸ μόλυσμα τὸ ἐκ τῆς παρακοῆς. ὁ Χριστὸς δὲ σαρκωθεὶς, ἐκαθάρισε πάντας.

» Καὶ σὺ ἔρχῃ πρός με; Οὐκ ἐτόλμησεν εἰπεῖν ὅτι καὶ σὺ βαπτίζῃ ὑπ᾽ ἐμοῦ. ἀλλὰ καὶ σὺ ἔρχῃ. οὕτως ηὐλαβεῖτο.

» Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν. ἄφες ἄρτι. Νῦν φησὶ παραχώρησον. ἔσται δὲ καιρὸς ὅτε τὴν ἀξίαν δόξαν ἕξομεν, κἂν μὴ νῦν φαινώμεθα.

» Οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. Τὸν νόμον λέγει δικαιοσύνην. ἐπικατάρατος φησὶν ἦν ἡ ἀνθρωπίνη φύσις, ὅτι τὸν νόμον οὐκ ἠδύνατο τελειῶσαι. ἐγὼ τοίνυν ἐτέλεσα καὶ τἄλλα τοῦ νόμου. λείπει δέ μοι τοῦτο, τὸ βαπτισθῆναι. τοῦτο τοίνυν τελέσας, ἀπαλλάξω τὴν φύσιν, τῆς κατάρας. τοῦτο γὰρ ἐμοὶ πρέπει.

» Τότε ἀφίησιν αὐτόν. καὶ βαπτισθεὶς ὁ Ἰησοῦς. Τριάκοντα ἐτῶν ὢν βαπτίζεται, ἐπεὶ αὕτη ἡ ἡλικία δέχεται πάντα τὰ ἁμαρτήματα. ἐν μὲν γὰρ τῇ πρώτῃ ἡλικίᾳ, πολὺ τὸ ἀνόητον. ἐν δὲ τῇ δευτέρᾳ, τῇ τῶν νεωτέρων, πολὺ ἡ φλὸξ τῆς ἐπιθυμίας καὶ τοῦ θυμοῦ. ἐν δὲ ταύτῃ, τῇ τῶν ἀνδρῶν, πολλὴ ἡ φιλοχρηματία. ἀνέμεινεν οὖν ταύτην τὴν ἡλικίαν, ἵνα διὰ πασῶν τῶν ἡλικιῶν πληρώσῃ τὸν νόμον καὶ ἁγιάσῃ ἡμᾶς.

» Εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος. Οἱ Μανιχαῖοι λέγουσιν ὅτι τὸ σῶμα αὐτοῦ ἀπέθετο ἐν τῷ

το ἐν τῷ

τὸ ἐν τῷ Ἰορδάνῃ. κατὰ φαντασίαν δὲ ἄλλο σῶμα ἔδειξεν. ἐπιστομίζονται δὲ ἐντεῦθεν. ὁ Ἰησοῦς γὰρ φησὶν, ἀνέβη. οὐκ ἄλλος ἀνέβη, ἀλλ' ὁ καταβὰς εἰς τὸ ὕδωρ.

Καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί. Ὁ μὲν Ἀδὰμ αὐτοὺς ἔκλεισε. διὰ δὲ τὸν Χριστὸν ἀνοίγονται. ἵνα μάθῃς ὅτι καὶ σὺ ὅταν βαπτίζῃ, ἀνοίγεις αὐτούς.

Καὶ εἶδε τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστεράν. καὶ ἐρχόμενον ἐπ' αὐτόν. καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα. Κατέρχεται τὸ πνεῦμα, ἵνα μαρτυρήσῃ ὅτι μείζων ὁ βαπτιζόμενος ἢ ὁ βαπτίζων. οἱ γὰρ Ἰουδαῖοι μέγαν εἶχον τὸν Ἰωάννην. τοῦ δὲ Χριστοῦ οὐ τοσοῦτον ἐφρόντιζον. εἶδον δὲ τὸ πνεῦμα πάντες ἐρχόμενον ἐπὶ τὸν Ἰησοῦν, ὡς ἂν μὴ νομίσωσιν ὅτι ἡ φωνὴ ἡ λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, διὰ τὸν Ἰωάννην ἐγένετο. ἀλλ' ἰδόντες τὸ πνεῦμα, πιστεύσωσιν ὅτι ἡ φωνὴ αὕτη διὰ τὸν Ἰησοῦν ἐστίν. ὡσεὶ περιστερὰν δὲ, διὰ τὸ ἄκακον καὶ πρᾶον. καὶ ὅτι καθαρώτατόν ἐστιν ἡ περιστερά. καὶ ἔνθα δυσωδία ἐστὶν, οὐ παραμένει. οὕτω καὶ τὸ ἅγιον πνεῦμα. ἀλλὰ καὶ ἐπὶ τοῦ Νῶε, περιστερὰ ἤγγειλε τὴν λύσιν τοῦ κατακλυσμοῦ, κάρφος ἐλαίας φέρουσα. οὕτω καὶ ἐνταῦθα τὸ πνεῦμα τὸ ἅγιον, δηλοῖ λύσιν τῶν ἁμαρτιῶν. ἐκεῖ κάρφος ἐλαίας, ἐνταῦθα δὲ ἔλεος θεοῦ.

Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. ἐν ᾧ εὐδόκησα. Τουτέστιν, ἐν ᾧ ἀναπαύομαι. ἐν ᾧ ἀρέσκομαι.

Κεφάλαιον Τέταρτον.

Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος. Διδάσκων ἡμᾶς ὅτι μετὰ τὸ βάπτισμα, μᾶλλον δεῖ προσδοκᾶν πειρασμοὺς, ἀνάγεται ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου. οὐδὲν γὰρ ἄνευ τοῦ πνεύματος ἔπραττεν. ἀνάγεται δὲ εἰς τὴν ἔρημον, ἵνα δείξῃ ἡμῖν ὅτι ὁ διάβολος τότε πειράζει ἡμᾶς, ὅταν ἴδῃ μεμονωμένους. καὶ μὴ ὑπ' ἀλλήλων βοηθουμένους. δεῖ οὖν ἡμᾶς μὴ ἀβούλως ἑαυτοῖς θαρρεῖν. temere

πειράομαι Πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. Διάβολος λέγεται ὡς διαβαλὼν τὸν θεὸν πρὸς τὸν Ἀδάμ. εἶπε γὰρ αὐτῷ, ὅτι ὁ θεὸς φθονεῖ ὑμῖν. καὶ νῦν δὲ τὴν ἀρετὴν διαβάλλει πρὸς ἡμᾶς.

Καὶ νηστεύσας. Ἐνήστευσεν ἵνα δείξῃ ὅτι ὅπλον μέγα ἡ νηστεία κατὰ τῶν πειρασμῶν. ὥσπερ ἀρχὴ πάσης ἁμαρτίας, ἡ τρυφή.

Ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα. Τοσαύτας νηστεύει ὅσας καὶ Μωσῆς καὶ Ἠλίας. εἰ γὰρ πλείους, ἔδοξεν ἂν φαντασία ἡ σάρκωσις. incorporatio

Ὕστερον ἐπείνασεν. Ὅτε συνεχώρησε τῇ φύσει, τότε καὶ ἐπείνασεν. ἵνα δώσῃ ἀφορμὴν τῷ διαβόλῳ προσελθεῖν καὶ συμπλακῆναι αὐτῷ διὰ τῆς πείνης. καὶ οὕτω ῥίψῃ αὐτὸν καὶ καταβάλῃ. καὶ τὴν νίκην χαρίσηται ἡμῖν. ῥίπτω projicio καταβάλλω destruo, deiicio

Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων, εἶπεν. εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Ἤκουσε τῆς ἐξ οὐρανοῦ φωνῆς ὁ λῃστής. πάλιν εἶδεν αὐτὸν πεινῶντα. καὶ ἀμφέβαλλε λοιπὸν πῶς ὁ υἱὸς τοῦ θεοῦ πεινᾷ. διὰ τοῦτο τοίνυν πειράζει αὐτὸν, ἵνα μάθῃ. κολακεύει δὲ αὐτὸν, νομίζων ὑποκλέψαι, ἐν τῷ λέγειν, εἰ υἱὸς εἶ τοῦ θεοῦ. ἀλλ' ἐρωτᾷς καὶ τί ἁμάρτημα ἦν τὸ ποιῆσαι τοὺς λίθους ἄρτους. ἄκουε οὖν. ὅτι τὸ ἀκούειν τοῦ διαβόλου κατά τι, ἁμάρτημά ἐστιν. ἄλλως τε ἴδε, οὐκ εἶπεν ἵνα ὁ λίθος οὗτος γένηται ἄρτος, ἀλλ' οἱ λίθοι. θέλων ῥίψαι τὸν Χριστὸν εἰς περιττότητα. τῷ γὰρ πεινῶντι, εἷς ἄρτος ἀρκεῖ πάντως. διὰ τοῦτο ὁ Χριστὸς οὐκ ἤκουσεν αὐτοῦ. peccatum

Ὁ δὲ ἀποκριθεὶς, εἶπεν. γέγραπται. οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. Ἀπὸ τῆς παλαιᾶς ἐστὶν ἡ Δευτε. η΄.



μαρτυρία. Μωσέως γὰρ ὁ λόγος. καὶ γὰρ καὶ οἱ Ἑβραῖοι, τῷ μάννᾳ ἐτράφησαν, οὐκ ἄρτῳ ὄντι. ἀλλὰ διὰ ῥήματος θεοῦ, πᾶσαν χρείαν τῶν Ἑβραίων πληροῦντι. καὶ πάντα γινομένῳ ὅσα ἂν φαγεῖν τις ἐπεθύμει. εἴτε γὰρ ἰχθύος, εἴτε ᾠοῦ, εἴτε τυροῦ, ἐπεθύμει ὁ Ἰουδαῖος, τοιαύτην γεῦσιν παρεῖχεν αὐτῷ τὸ μάννα.

Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν. καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ. Μέρος τι τοῦ ἱεροῦ, οἷα τὰ παρ' ἡμῖν λεγόμενα δίῤῥυτα. ὥσπερ γὰρ πτέρυγες δοκοῦσιν.

Ψαλ. ϟ΄. Καὶ λέγει αὐτῷ. εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλλε σεαυτὸν κάτω. γέγραπται γὰρ ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ. καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Εἰ υἱὸς εἶ τοῦ θεοῦ. μονονουχὶ τοῦτο λέγει. ἐγὼ οὐ πιστεύω τῇ ἐξ οὐρανῶν φωνῇ. ὅμως σὺ, εἰ υἱὸς εἶ τοῦ θεοῦ, δεῖξόν μοι. καίτοι γε ὦ μωρὲ, εἰ υἱὸς ἦν τοῦ θεοῦ, κατεκρήμνισεν ἂν ἑαυτόν; τῆς σῆς ὠμότητος τοῦτο ἐστὶ, τὸ κατακρημνίζειν τοὺς δαιμονῶντας. θεοῦ δὲ, τὸ σώζειν. οὐ γέγραπται δὲ τὸ, ἐπὶ χειρῶν ἀροῦσί σε, περὶ τοῦ Χριστοῦ, ἀλλὰ περὶ τῶν ἁγίων τῶν δεομένων βοηθείας ἀγγελικῆς. ὁ δὲ Χριστὸς οὐ δεῖται, θεὸς ὤν.

Δευτερ. ϛ΄. Ἔφη αὐτῷ ὁ Ἰησοῦς. πάλιν γέγραπται. οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. Ἡμέρως αὐτὸν ἀποκρούεται ὁ Χριστὸς, διδάσκων ἡμᾶς διὰ τῆς πρᾳότητος νικᾶν τοὺς δαίμονας.

Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου. καὶ τὴν δόξαν αὐτῶν. καὶ λέγει αὐτῷ. ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Τινὲς μὲν νομίζουσιν ὄρος ὑψηλὸν, τὸ τῆς φιλοχρηματίας πάθος. εἰς ὃ σπουδάζει ἀναγαγεῖν τὸν Ἰησοῦν ὁ ἐχθρός. ἀλλ' οὐ καλῶς νομίζουσιν. αἰσθητῶς γὰρ ἐφάνη αὐτῷ ὁ διάβολος. λογισμοῖς γὰρ ὁ κύριος οὐκ ἐδέξατο. μὴ γένοιτο. αἰσθητῶς οὖν αὐτῷ ἔδειξεν ἐν τῷ ὄρει, πάσας τὰς βασιλείας, κατὰ φαντασίαν ὑποστήσας αὐτῷ πρὸ ὀφθαλμῶν ταύτας. καὶ ταῦτα πάντα σοι δώσω, φησίν. ὡς γὰρ ἴδιον ὄντα τὸν κόσμον λογίζεται, ὑπὸ ὑπερηφανίας. τοῦτο δὲ καὶ νῦν λέγει τοῖς πλεονέκταις. ὥς τε οἱ προσκυνοῦντες αὐτῷ, ἐκεῖνοι ταῦτα πάντα ἔχουσιν.

Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς. ὕπαγε ὀπίσω μου σατανᾶ. γέγραπται γάρ. κύριον τὸν θεόν σου προσκυνήσεις. καὶ αὐτῷ μόνῳ λατρεύσεις. Ὀργίζεται ὁ κύριος αὐτῷ, ὅτε εἶδεν αὐτὸν τὰ τοῦ θεοῦ σφετεριζόμενον. καὶ λέγοντα. ταῦτα πάντα σοι δώσω, ὡς ἴδια. μάθε δὲ πῶς ὠφελοῦσιν αἱ γραφαί. ὁ γὰρ κύριος ἀπ' αὐτῶν ἐπεστόμισε τὸν ἐχθρόν.

Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος. καὶ ἰδοὺ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ. Τοὺς τρεῖς πειρασμοὺς ἐνίκησεν ὁ κύριος. τὸν τῆς γαστριμαργίας. τὸν τῆς κενοδοξίας. καὶ τὸν τῆς φιλοχρηματίας, ἤγουν φιλοπλουτίας. οὗτοι γὰρ εἰσὶν οἱ ἄρχοντες τῶν παθῶν. τούτους οὖν νικήσας, καὶ τοὺς ἄλλους πολλῷ μᾶλλον. ὅθεν ὁ Λουκᾶς φησὶν ὅτι πάντα πειρασμὸν ἐτέλεσε. τὰς κεφαλὰς τῶν πειρασμῶν τελέσας.

Λουκ. δ΄. ὅθεν καὶ ἄγγελοι διακονοῦσιν αὐτῷ, ἵνα δειχθῇ ὅτι καὶ ἡμῖν μετὰ τὴν νίκην ἄγγελοι ὑπηρετήσουσι. πάντα γὰρ δι' ἡμᾶς καὶ ποιεῖ καὶ δείκνυσιν ὁ Χριστός. ἐπεὶ αὐτῷ ὡς θεῷ, ἀεὶ οἱ ἄγγελοι ὑπουργοῦσιν.

Ἀκούσας δὲ ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν. καὶ καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ. Ἀναχωρεῖ ὁ Ἰησοῦς, παιδεύων ἡμᾶς μὴ ἐπιῤῥίπτειν ἑαυτοὺς τοῖς κινδύνοις. ἀναχωρεῖ δὲ εἰς τὴν Γαλιλαίαν, ὅ ἐστι τὴν κατακυλι-
στήν. τὰ

στήν. τὰ γὰρ ἔθνη εἰς τὴν ἁμαρτίαν κατεκυλίοντο. καὶ κατοικεῖ ἐν Καπερναούμ, ὅπερ ἐστὶν οἶκος παρακλήσεως. ἵνα γὰρ ποιήσῃ τὰ ἔθνη οἶκον τοῦ παρακλήτου, διὰ τοῦτο κατῆλθε. Ζαβουλὼν δὲ ἑρμηνεύεται νυκτερία. Νεφθαλεὶμ δέ, πλατυσμός. τὰ τοίνυν ἔθνη, καὶ νύκτα εἶχον καὶ πλατυσμὸν ἐν τῇ ζωῇ. οὐ γὰρ τὴν στενὴν ὁδὸν ἐβάδιζον, ἀλλὰ τὴν εἰς ἀπώλειαν φέρουσαν.

Ἡσαΐ. θ΄.

Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος. γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου. Γαλιλαία τῶν ἐθνῶν. ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα. καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. Ὁδὸν θαλάσσης, ἀντὶ τοῦ ἡ πρὸς τὴν ὁδὸν τῆς θαλάσσης κειμένη. φῶς δὲ μέγα, τὸ εὐαγγέλιον. ὁ γὰρ νόμος, φῶς καὶ αὐτὸς ἦν. ἀλλὰ μικρόν. σκιὰ δὲ θανάτου, ἡ ἁμαρτία. ὁμοίωμα γὰρ καὶ σκιαγραφία τοῦ θανάτου ἐστίν. ὡς γὰρ ὁ θάνατος τὸ σῶμα, οὕτως αὕτη τὴν ψυχὴν κατέχει. ἀνέτειλε δὲ τὸ φῶς ἡμῖν. οὐ γὰρ ἡμεῖς ἐζητήσαμεν αὐτό, ἀλλ' ἐκεῖνο ἐπεφάνη ἡμῖν, ὡσανεὶ καταδιώξαν ἡμᾶς.

Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν. Ἀφ' οὗ ἐδεσμεύθη ὁ Ἰωάννης, ἤρξατο κηρύσσειν ὁ Ἰησοῦς. ἀνέμενε γὰρ τὸν Ἰωάννην πρότερον μαρτυρῆσαι περὶ αὐτοῦ. καὶ κατασκευάσαι αὐτῷ ὁδὸν δι' ἧς ἔμελλεν ἐλθεῖν. ὥσπερ καὶ τοῖς δεσπόταις οἱ δοῦλοι προετοιμάζουσιν. ἴσος γὰρ ὢν τῷ πατρὶ ὁ κύριος, εἶχε καὶ αὐτὸς προφήτην τὸν Ἰωάννην, ὥσπερ ὁ πατὴρ αὐτοῦ καὶ θεός, εἶχε τοὺς πρὸ τοῦ Ἰωάννου προφήτας. μᾶλλον δὲ κἀκεῖνοι τοῦ τε πατρὸς καὶ τοῦ υἱοῦ εἰσίν.

Μετανοεῖτε. ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. Βασιλεία τῶν οὐρανῶν, ἐστὶ καὶ ὁ Χριστός. ἔστι δὲ καὶ ἡ ἐνάρετος ζωή. ὅταν γάρ τις ὡς ἄγγελος πολιτεύηται ἐν γῇ, ἆρα οὐκ οὐράνιός ἐστιν; ὥστε ἐν ἑκάστῳ ἡμῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ἐὰν ἀγγελικῶς ζῶμεν.

Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφούς. σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν. ἦσαν γὰρ ἁλιεῖς. καὶ λέγει αὐτοῖς. Οὗτοι τοῦ Ἰωάννου ἐγένοντο μαθηταί. ζῶντος δὲ ἔτι τοῦ Ἰωάννου, προσῆλθον τῷ Χριστῷ. ὡς δὲ εἶδον τὸν Ἰωάννην δεσμευθέντα, πάλιν ὑπέστρεψαν εἰς τὴν ἁλιευτικήν. καὶ οὕτως ἐλθὼν ὁ Χριστός, ἁλιεύει αὐτούς, λέγων.

Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἱ δέ, εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. Ὅρα ὑπηκόοις ἀνθρώποις. εὐθέως ἠκολούθησαν αὐτῷ. ὅθεν δῆλον ὅτι δευτέρα ἐστὶν ἡ κλῆσις αὕτη. προδιδαχθέντες γὰρ ὑπὸ τοῦ Χριστοῦ, εἶτα ἀφέντες αὐτόν, ἑτοίμως πάλιν ἠκολούθησαν ἰδόντες αὐτόν.

Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφούς. Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν. Ἀρετὴ μεγίστη, τὸ γηροτροφεῖν τὸν πατέρα αὐτῶν. καὶ ἀπὸ δικαίων τρέφεσθαι πόνων.

Καταρτίζοντας τὰ δίκτυα αὐτῶν. Πένητες γὰρ ἦσαν. καὶ διὰ τοῦτο μὴ δυνάμενοι νέα ὠνήσασθαι, τὰ παλαιὰ συνέρραπτον.

Οἱ δέ, εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. φαίνεται ὁ Ζεβεδαῖος μὴ πιστεύσας. καὶ διὰ τοῦτο ἀφῆκαν αὐτόν. ὁρᾷς πότε δεῖ ἀφεῖναι τὸν πατέρα; ὅταν ἐμποδίζῃ πρὸς ἀρετὴν καὶ θεοσέβειαν. οὗτοι δὲ ἰδόντες τοὺς προτέρους ἀκολουθοῦντας, εἰκότως ἠκολούθησαν, μιμησάμενοι ἐκείνους.

Καὶ περιῆγεν ὁ Ἰησοῦς ὅλην τὴν Γαλιλαίαν, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐ-

τῶν. καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας. Ἵνα δείξῃ ὅτι οὐκ ἔστιν ἐναντίος τῷ νόμῳ, εἰσέρχεται εἰς τὰς συναγωγὰς τῶν Ἑβραίων.

Καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. Τῶν σημείων ἄρχεται, ἵνα πιστώσηται ἃ διδάσκει. νόσος δέ ἐστιν ἡ χρονία κακοπάθεια. μαλακία δὲ, ἡ πρόσκαιρος ἀνωμαλία τοῦ σώματος.

Καὶ ἐξῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν συρίαν. καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις. καὶ βασάνοις συνεχομένους. καὶ σεληνιαζομένους. καὶ παραλυτικούς. καὶ ἐθεράπευσεν αὐτούς. Οὐκ ἀπήτησεν ὁ Χριστὸς τινὰ ἐκ τῶν προσαγομένων πίστιν, διότι αὐτὸ τοῦτο πίστεως ἦν, τὸ μακρόθεν προσφέρειν αὐτούς. σεληνιαζομένους δὲ λέγει τοὺς δαιμονῶντας. ὁ γὰρ δαίμων, θέλων ἐμποιεῖν δόξαν τοῖς ἀνθρώποις ὅτι οἱ ἀστέρες κακοποιοί εἰσιν, ἐπετήρει τὴν σελήνην ὁλόκυκλον οὖσαν, καὶ τότε ἐπετίθετο. ἵνα δόξῃ ἡ σελήνη τοῖς πάθεσιν αἰτία, καὶ διαβληθῇ ἡ δημιουργία τοῦ θεοῦ. ὥσπερ καὶ οἱ Μανιχαῖοι ἐπλανήθησαν.

Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ πέραν τοῦ Ἰορδάνου.

Κεφάλαιον Πέμπτον.

Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος. Διδάσκων ἡμᾶς μὴ κατ' ἐπίδειξίν τι ποιεῖν, ἀναβαίνει εἰς τὸ ὄρος. ἐπεὶ γὰρ ἔμελλε διδάσκειν, παιδεύει ἡμᾶς τῶν ἐν μέσῳ ἀναχωρεῖν θορύβων ὅταν διδάσκωμεν.

Καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Οἱ μὲν ὄχλοι, διὰ τὰ θαύματα. οἱ δὲ μαθηταὶ, διὰ τὰ διδάγματα προσέρχονται. ὅθεν καὶ μετὰ τὸ πληρῶσαι τὰ θαύματα, καὶ θεραπεῦσαι τὰ σώματα, θεραπεύει καὶ τὰς ψυχάς. ἵνα μάθωμεν ὅτι καὶ ψυχῶν καὶ σωμάτων αὐτὸς ἐστὶ δημιουργός.

Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ. Διατί πρόσκειται τὸ, ἀνοίξας τὸ στόμα αὐτοῦ. φαίνεται γὰρ ὅτι περιττόν ἐστιν. ἀλλ' οὐχί. καὶ μὴ ἀνοίγων γὰρ τὸ στόμα, ἐδίδασκεν. πῶς. διὰ τοῦ βίου καὶ τῶν θαυμάτων. νῦν δὲ ἀνοίγων τὸ στόμα, διδάσκει.

Ἐδίδασκεν αὐτοὺς, λέγων. Οὐ τοὺς μαθητὰς μόνους, ἀλλὰ καὶ τὸν ὄχλον. ἄρχεται δὲ ἀπὸ τῶν μακαρισμῶν. ὥσπερ καὶ ὁ Δαβὶδ ἀπὸ μακαρισμοῦ ἤρξατο.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Τὴν ταπεινοφροσύνην προκαταβάλλεται ὥσπερ θεμέλιον. ἐπεὶ γὰρ ἐκ τῆς ὑπερηφανίας ἔπεσεν ὁ Ἀδὰμ, διὰ τῆς ταπεινοφροσύνης ἀνορθοῖ ἡμᾶς ὁ Χριστός. ἤλπισε γὰρ Ἀδὰμ, θεὸς γενέσθαι. οἱ συντετριμμένοι δὲ τῇ ψυχῇ, οὗτοι πτωχοὶ τῷ πνεύματι.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Οἱ ἐπὶ τοῖς ἁμαρτήμασι πενθοῦντες, οὐχὶ ἐπί τινι τῶν βιωτικῶν. πενθοῦντες δὲ εἶπε, τουτέστιν ἀεὶ καὶ οὐχ ἅπαξ. καὶ οὐχ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν τοῦ πλησίον. παρακληθήσονται δὲ καὶ ἐνταῦθα. ὁ γὰρ πενθῶν δι' ἁμαρτίαν, χαίρει πνευματικῶς. καὶ ἐκεῖ δὲ πολλῷ μᾶλλον.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Τινὲς γῆν, τὴν νοητήν φασιν. ἤτοι τὸν οὐρανόν. πλὴν, ἀλλὰ καὶ τὴν γῆν ταύτην νόει. ἐπεὶ γὰρ νομίζονται οἱ πραεῖς, καταπεφρονημένοι καὶ ἀποστερούμενοι τῶν ὑπαρχόντων, φησὶν ὅτι μᾶλλον οὗτοι τὰ πάντα ἔχουσι. πραεῖς δὲ εἰσιν, οὐχ οἱ μηδόλως ὀργιζόμενοι. οἱ τοιοῦτοι γὰρ ἀναίσθητοι. ἀλλ' οἱ θυμὸν μὲν ἔχοντες, κρατοῦντες δέ. καὶ ὅτε δεῖ ὀργιζόμενοι.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Ἐπειδὴ μέλλει περὶ ἐλεημοσύνης εἰπεῖν, δείκνυσι πρῶτον ὅτι δεῖ δικαιοσύνην μετιέναι.

πεινᾶν. καὶ μὴ διὰ ἁρπαγῆς ἐλεεῖν, μετὰ ἐπιθυμίας δὲ ἁπάσης, δεῖ μετέρχεσθαι τὴν δικαιοσύνην. τὸ γὰρ πεινῶντες καὶ διψῶντες, τοῦτο σημαίνει. ἐπειδὴ δὲ δοκοῦσιν οἱ πλεονέκται, εὔποροι εἶναι καὶ χορτάζεσθαι, φησὶν ὅτι οἱ δίκαιοι μᾶλλον καὶ ἐνταῦθα χορτασθήσονται. αὐτοὶ γὰρ ἔχουσι τὰ ἴδια μετὰ ἀσφαλείας.

» Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Οὐχὶ διὰ χρημάτων μόνον ἐστὶν ἐλεεῖν, ἀλλὰ καὶ διὰ λόγου. κἂν μηδὲν ἔχῃς, διὰ δακρύων. ἐλεηθήσονται δὲ, καὶ ἐνταῦθα παρὰ ἀνθρώπων. ὁ γὰρ χθὲς ἐλεήμων, ἐὰν ἀπορήσῃ σήμερον, παρὰ πάντων ἐλεηθήσεται. καὶ ἐκεῖ δὲ, παρὰ τοῦ θεοῦ μειζόνως.

» Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. Πολλοί εἰσιν οὔτε ἁρπάζοντες, ἀλλὰ καὶ μᾶλλον ἐλεοῦντες. πλὴν, πορνεύουσι. καὶ ἀκάθαρτοι ἄλλως εἰσίν. ὁ γοῦν Χριστὸς, κελεύει μετὰ τῶν ἄλλων ἀρετῶν, καὶ καθαροὺς ἤτοι σώφρονας εἶναι, οὐ μόνον τῷ σώματι, ἀλλὰ καὶ τῇ καρδίᾳ. τοῦ ἁγιασμοῦ γὰρ, ἤτοι τῆς σωφροσύνης χωρὶς, οὐδεὶς ὄψεται τὸν κύριον. ὥσπερ γὰρ τὸ κάτοπτρον ἐὰν ᾖ καθαρὸν, τότε δέχεται τὰς ἐμφάσεις, οὕτω καὶ ἡ καθαρὰ ψυχὴ δέχεται ὄψιν θεοῦ. καὶ τὴν τῶν γραφῶν γνῶσιν.

» Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. Οὐ μόνον οἱ εἰρηνεύοντες αὐτοὶ πρὸς πάντας, ἀλλὰ καὶ οἱ ἑτέρους στασιάζοντας καταλλάσσοντες. εἰρηνοποιοὶ δέ εἰσι καὶ οἱ διὰ διδασκαλίας τοὺς ἐχθροὺς τοῦ θεοῦ ἐπιστρέφοντες. υἱοὶ δὲ θεοῦ οἱ τοιοῦτοι. καὶ γὰρ καὶ ὁ μονογενὴς κατήλλαξεν ἡμᾶς τῷ θεῷ.

» Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Οὐ μόνοι οἱ μάρτυρες διώκονται, ἀλλὰ καὶ πολλοὶ ἕνεκεν τοῦ βοηθεῖν τοῖς ἀδικουμένοις. καὶ πάσης ἁπλῶς ἀρετῆς. δικαιοσύνη γὰρ, ἡ πᾶσα ἀρετή. ἐπεὶ καὶ κλέπται καὶ φονεῖς διώκονται, ἀλλ' οὐ μακάριοι.

» Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι. Πρὸς αὐτοὺς λοιπὸν τοὺς ἀποστόλους ἀποτείνεται. δεικνὺς ὅτι μάλιστα τῶν διδασκάλων ἴδιον, τὸ ὀνειδίζεσθαι.

» Καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ. Οὐχ ὁ ἁπλῶς ὀνειδιζόμενος, μακάριος. ἀλλ' ὅταν καὶ διὰ Χριστὸν καὶ ψευδῶς. ἐὰν δὲ μὴ τὰ δύο ταῦτα προσῇ, ἄθλιος ἐκεῖνος, ὡς πολλοὺς σκανδαλίζων.

» Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Ἐπὶ τῶν ἄλλων οὐκ εἶπε μισθὸν πολύν. ἐνταῦθα δέ. δεικνύων ὅτι τὸ ὑπομεῖναι ὄνειδος, μέγα καὶ χαλεπώτατον. πολλοὶ γὰρ καὶ ἀπηγχόνισαν ἑαυτούς. καὶ ὁ Ἰὼβ δὲ τοὺς ἄλλους ὑπομείνας πειρασμοὺς, τότε μάλιστα ἐταράχθη, ὅτε ὠνείδιζον αὐτῷ οἱ φίλοι ὡς δι' ἁμαρτίας πάσχοντι.

» Οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. Ἵνα μὴ ὑπονοήσωσιν οἱ ἀπόστολοι ὅτι διὰ τὸ ἐναντία τινὰ διδάσκειν διωχθήσονται, παραμυθεῖται αὐτούς. λέγων ὅτι, καὶ οἱ πρὸ ὑμῶν προφῆται, δι' ἀρετὴν ἠλαύνοντο. ὥστε παραμυθίαν ἔχετε τὰ ἐκείνων πάθη.

» Ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς. Οἱ μὲν προφῆται εἰς ἓν ἔθνος ἀπεστάλησαν. ὑμεῖς δὲ τῆς γῆς ἁπάσης ἐστὲ τὸ ἅλας. διὰ τῆς διδασκαλίας καὶ τῶν ἐλέγχων στύφοντες τοὺς χαύνους, ἵνα μὴ γεννήσωσι τοὺς ἀτελευτήτους σκώληκας. ὥστε μὴ ἀποβάλλητε τὴν στρυφνότητα τῶν ἐλέγχων, κἂν ὀνειδίζησθε κἂν διώκησθε. διό φησιν.

» Ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται. εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. Ὁ γὰρ διδάσκαλος ἐὰν μωρανθῇ, τουτέστιν εἰ οὐκ ἐλέγχει καὶ στύφει, ἀλλὰ χαυνωθῇ, ἐν τίνι ἁλισθήσεται. τουτέστι διορ-

θωθήσεται· ἀπὸ τότε οὖν ἔξω ῥίπτεται τοῦ διδασκαλικοῦ ἀξιώματος. καὶ καταπατεῖται. τουτέστι καταφρονεῖται·

Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· Πρότερον ἅλας, καὶ τότε φῶς· ὁ γὰρ ἐλέγχων τὰ κρυφῆ πραττόμενα, ἐκεῖνος ἐστὶ φῶς· πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστιν· οὐκ ἔθνος δὲ ἓν ἐφώτιζον οὗτοι, ἀλλὰ τὸν κόσμον·

Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· Παιδεύει αὐτοὺς ἐναγωνίους εἶναι καὶ ἀκριβεῖς περὶ τὸν βίον, ὡς παρὰ πάντων βλέπεσθαι μέλλοντας· μὴ γὰρ νομίσητε, φησὶν, ὅτι ἐν γωνίᾳ κρυβήσεσθε. ἀλλὰ περίβλεπτοι ἔσεσθε· ὥστε βλέπετε πῶς ἀμώμως ζήσεσθε. ἵνα μὴ καὶ ἑτέροις σκανδαλίζητε·

Οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν ὑπὸ τὸ μόδιον. ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ· Ἐγὼ μὲν, φησὶν, ἧψα τὸ φῶς. τὸ δὲ μὴ σβεσθῆναι τὴν χάριν, τῆς ὑμετέρας ἔστω σπουδῆς. ὡς ἂν καὶ τοῖς ἄλλοις λάμπῃ ἡ λαμπρότης τοῦ ὑμετέρου βίου· φησὶ γοῦν·

Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν, ἔμπροσθεν τῶν ἀνθρώπων· ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα. καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς· Οὐκ εἶπεν ὅτι, ὑμεῖς ἐπιδείκνυετε τὴν ἀρετήν. τοῦτο γὰρ οὐ καλόν. ἀλλ᾽ ἐκείνη μόνη λαμψάτω· ὥστε καὶ τοὺς ἐχθροὺς ὑμῶν θαυμάζειν. καὶ δοξάζειν οὐχ ὑμᾶς, ἀλλὰ τὸν πατέρα ὑμῶν· ὥστε ἐὰν πράττωμεν ἀρετὴν, εἰς δόξαν δεῖ τοῦ θεοῦ ταύτην πράττειν, οὐκ εἰς ἡμετέραν·

Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι· Ἐπειδὴ ἔμελλεν αὐτὸς νόμους εἰσάγειν καινοὺς, ἵνα μὴ νομίσωσιν ὅτι ἀντίθεός ἐστι, φησὶ προθεραπεύων τὴν τῶν πολλῶν ὑπόληψιν, ὅτι, οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ μᾶλλον πληρῶσαι· πῶς δὲ ἐπλήρωσε· πρῶτον μὲν ὅτι ὅσα εἶπον περὶ αὐτοῦ οἱ προφῆται, ἐποίησε· διὸ καὶ ὁ εὐαγγελιστὴς συχνάκις λέγει. ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου· ἀλλὰ καὶ τὰς τοῦ νόμου ἐντολὰς πάσας ἐπλήρωσεν· ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν. οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· καὶ ἄλλως δὲ ἐπλήρωσε τὸν νόμον. τουτέστιν ἀνεπλήρωσεν. ὅσα γὰρ ἐκεῖνος ἐσκιαγράφησε, ταῦτα οὗτος τελείως ἐζωγράφησεν· ἐκεῖνος, τὸ, μὴ φονεύσῃς. οὗτος, τὸ μὴ δὲ θυμωθῇς εἰκῇ· ὥσπερ καὶ ὁ ζωγράφος, οὐ καταλύει τὴν σκιαγραφίαν. ἀλλὰ μᾶλλον ἀναπληροῖ·

Ἀμὴν γὰρ λέγω ὑμῖν· Τὸ ἀμὴν, βεβαιωτικόν ἐστιν. ἀντὶ τοῦ, ναὶ λέγω ὑμῖν·

Ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται· Δεικνυσὶν ἐνταῦθα ὅτι ὁ κόσμος παρέρχεται καὶ μετασχηματίζεται· λέγει τοίνυν ὅτι ἕως οὗ συνίσταται τὸ πᾶν, οὐδὲ τὸ ἐλάχιστον γράμμα ἐκ τοῦ νόμου παρέλθοι· ἄλλοι δὲ τὸ ἰῶτα καὶ τὴν κεραίαν, τὰς δέκα τοῦ νόμου ἐντολὰς φασίν· ἄλλοι δὲ, τὸν σταυρόν· τοῦ γὰρ σταυροῦ, ἰῶτα ἐστὶ τὸ ὀρθὸν ξύλον. καὶ κεραία τὸ πλάγιον· φησὶ τοίνυν ὅτι τὰ περὶ τοῦ σταυροῦ εἰρημένα, πληρωθήσεται.

Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· Ἐλαχίστας ἐντολὰς λέγει, ἃς μέλλει αὐτὸς παραδοῦναι. οὐ γὰρ τὰς νομικάς· ὀνομάζει δὲ αὐτὰς ἐλαχίστας, διὰ ταπείνωσιν. ἵνα καὶ σὲ παιδεύσῃ μετριοφρονεῖν ἐπὶ ταῖς διδασκαλίαις· ἐλάχιστος δὲ κληθήσεται ἐν τῇ βασιλείᾳ, ἀντὶ τοῦ, ἐν τῇ ἀναστάσει ἔσχατος. καὶ ἀπερριμμένος εἰς γέενναν· οὐ γὰρ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελεύσεται.

ἄπαγε· ἀλλὰ βασιλείαν, τὴν ἀνάστασιν νόει·

Ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· πρῶτον τὸ ποιήσῃ. καὶ τότε τὸ διδάξῃ· πῶς γὰρ ἄλλον ὁδηγήσω εἰς ὁδὸν ἣν οὐ διώδευσα· πάλιν δὲ, ἐὰν ποιῶ μὲν ἐγὼ, οὐ διδάσκω δὲ, οὐκ ἔχω τοσοῦτον μισθόν. πολλάκις δὲ καὶ κατάκρισιν, ὅταν διὰ φθόνον ἢ ὄκνον οὐ διδάσκω·

Λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλέον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· Δικαιοσύνην λέγει τὴν πᾶσαν ἀρετήν· ὡς τὸ, δίκαιος ἦν Ἰώβ. ὅσιος. ἄμεμπτος· φρίξον οὖν ἄνθρωπε, ἐννοήσας πόσον ἀπαιτούμεθα· εἶτα διδάσκει ἡμᾶς, πῶς ἂν περιττεύσωμεν· καὶ καταλέγει τὰς ἀρετάς·

Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις. οὐ φονεύσεις· ὃς δ᾽ ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει· Ἐξόδ. κ΄. Τὸ παρὰ τίνος ἐρρέθη, οὐ λέγει· εἰ γὰρ εἶπεν ὅτι ὁ μὲν πατήρ μου εἶπε τοῖς ἀρχαίοις. ἐγὼ δὲ λέγω ὑμῖν, ἔδοξεν ἂν ἀντινομοθετεῖν τῷ πατρί· πάλιν εἰ εἶπεν ὅτι, ἐγὼ εἶπον τοῖς ἀρχαίοις, δυσπαράδεκτος ἂν ἐγένετο· ἀορίστως οὖν λέγει ὅτι, ἐρρέθη τοῖς ἀρχαίοις· δείκνυσι δὲ ὅτι ἐπαλαιώθη ὁ νόμος, ἐν τῷ εἰπεῖν ὅτι, ἐρρέθη τοῖς ἀρχαίοις· ἐπεὶ δὲ λοιπὸν ἐπαλαιώθη, καὶ ἐγγύς ἐστιν ἀφανισμοῦ, δεῖ ἀφεῖναι αὐτὸν καὶ δραμεῖν ἐπὶ τὰ νέα·

Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει· Οἱ μὲν προφῆται μέλλοντες προφητεύειν, ἔλεγον. τάδε λέγει κύριος· ὁ δὲ χριστὸς, ἐγὼ λέγω. ἐμφαίνων τὸ ἐξουσιαστικὸν τῆς θεότητος· οἱ μὲν γὰρ, δοῦλοι· ὁ δὲ, υἱός. καὶ τὰ τοῦ πατρὸς πάντα ἔχων· ὁ ὀργιζόμενος δὲ τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἐκεῖνος κατακρίνεται· ἐὰν δέ τις ὀργίζηται εὐλόγως καὶ ἐπὶ παιδείᾳ καὶ κατὰ ζῆλον πνευματικὸν, οὐ κατακριθήσεται· καὶ ὁ Παῦλος γὰρ, ὀργῆς ῥήματα ἐφθέγξατο πρὸς Ἐλύμαν τὸν μάγον. καὶ πρὸς τὸν ἀρχιερέα, ἀλλ᾽ οὐκ εἰκῆ. ἀλλὰ κατὰ ζῆλον· τότε δὲ εἰκῆ ὀργιζόμεθα, ὅταν διὰ χρήματα ἢ δόξαν·

Ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακὰ, ἔνοχος ἔσται τῷ συνεδρίῳ· Συνέδριον, τὸ δικαστήριον τῶν Ἑβραίων φησί· τὸ δὲ ῥακὰ σημαίνει ἀντὶ τοῦ σύ· ὥσπερ ἔθος ἔχομεν λέγειν πρός τινας καταφρονουμένους ὑφ᾽ ἡμῶν, ἄπελθε σύ· θέλων οὖν παιδεῦσαι ἡμᾶς καὶ περὶ τὰ μικρὰ ἀκριβεῖς εἶναι, καὶ ἀλλήλοις τιμᾶν, παραινεῖ ταῦτα· τινὲς δὲ τὸ ῥακὰ, συριστὶ, κατάπτυστον φασὶ σημαίνειν· ὅς τις οὖν ὑβρίσει τὸν ἀδελφὸν αὐτοῦ κατάπτυστον, ἔνοχος ἔσται τῷ συνεδρίῳ τῶν ἁγίων ἀποστόλων, ὅτε καθίσουσι κρίνοντες τὰς δώδεκα φυλάς·

Ὃς δ᾽ ἂν εἴπῃ μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός· Πολλοὶ λέγουσι καὶ νομίζουσι βαρὺ εἶναι τοῦτο καὶ σκληρόν· οὐκ ἔστι δέ· ὁ γὰρ ἀποστερῶν τὸν ἀδελφὸν αὐτοῦ λόγου καὶ φρονήσεως οἷς τῶν θηρίων διαφέρομεν, πῶς οὐκ ἄξιος γεέννης· ὁ γὰρ λοιδορῶν καὶ ὑβρίζων, τὴν ἀγάπην διαλύει· ἥτις διαλυθεῖσα, συναναιρεῖ τὰς ἀρετάς. ὥσπερ καὶ παροῦσα συνιστᾷ· τὰς ἀρετὰς οὖν πάσας καταλύει ὁ ὑβρίζων, ἐν τῷ τὴν ἀγάπην διασπᾶν· ὥστε εἰκότως ἄξιος τοῦ πυρός·

Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον. κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου. καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου· Καταφρονεῖ ὁ θεὸς τῆς οἰκείας τιμῆς, ἵνα ἡμεῖς μόνον ἀγαπῶμεν· ἐὰν δὲ ἔχῃ τι κατὰ σοῦ ὁ ἀδελφός σου εἰπὼν, οὐδὲν ἄλλο προσέθηκεν· εἴτε γὰρ δικαίως εἴτε ἀδίκως ἔχει, διαλλάγηθι· καὶ οὐκ εἶπεν ἐὰν ἔχῃς σὺ κατ᾽ ἐκείνου, ἀλλ᾽ ἐὰν ἔχῃ ἐκεῖνος τι κα-

τά σου, φύλαξον αὐτὸν φιλιῶσαί σοι· προστάττει δὲ ἀφεῖναι τὸ δῶρον, ἵνα σοι ἀνάγκην ἐνθήσῃ τοῦ καταλλαγῆναι· σὺ γὰρ θέλων προσενεχθῆναι τὸ δῶρόν σου, ἀναγκασθήσῃ διαλλαγῆναι· ἅμα δὲ δείκνυσιν ὅτι ἡ ἀγάπη ἐστὶν ἡ ὄντως θυσία·

» Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ· μήποτέ
» σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ. καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ. καὶ εἰς φυ
» λακὴν βληθήσῃ. ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως ἂν ἀποδῷς τὸν ἔσχα-
» τον κοδράντην· Τινὲς νομίζουσιν ἀντίδικον λέγεσθαι τὸν διάβολον. ὁδὸν δὲ, τὸν βίον· παραινεῖν δὲ τὸν κύριον, οὕτως. ἕως ὅτου εἶ ἐν τῷ βίῳ τούτῳ, διαλύθητι πρὸς τὸν διάβολον. ἵνα μὴ ἔχῃ ὕστερον ἐλέγχειν σε περὶ ἁμαρτίας, ὡς ἔχοντά τι τῶν ἐκείνου. καὶ τότε παραδοθῇς τῇ κολάσει, ἄχρι καὶ τῶν ἐσχάτων ἁμαρτημάτων εὐθυνόμενος· κοδράντης γάρ ἐστι δύο λεπτά· σὺ δὲ νόει ὅτι καὶ περὶ τῶν ἐνταῦθα ἀντιδίκων λέγει τοῦτο. παραινῶν μὴ δικάζεσθαι, καὶ ἀπὸ τῶν θείων ἔργων περισπᾶσθαι· κἂν γὰρ ἠδικήθης φησὶ, μὴ ἀπέλθῃς εἰς δικαστήριον. ἀλλ' ἐν τῇ ὁδῷ διαλύθητι, μήποτε χείρονα πάθῃς διὰ τὴν δυναστείαν τοῦ ἀντιδίκου·

Ἐξόδ. κ'. » Ἠκούσατε ὅτι ἐρρέθη. οὐ μοιχεύσεις· Ἄλλο μοιχεία. καὶ ἄλλο πορνεία· μοιχεία μὲν, ἡ εἰς ὕπανδρον. πορνεία δὲ, ἡ εἰς ἀπολελυμένην·

» Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη
» ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· Τουτέστιν ὁ ἱστάμενος καὶ περιεργαζόμενος καὶ ἀνάπτων τὴν ἐπιθυμίαν ἀπὸ τοῦ βλέπειν, καὶ πάλιν βλέπων πρὸς τὸ τέλειον ἐπιθυμῆσαι, ὁ τοιοῦτος τὸ κακὸν ἀπήρτισεν ἤδη ἐν τῇ καρδίᾳ αὐτοῦ· εἰ δὲ τὸ ἔργον οὐκ ἐπέθηκε, τί τοῦτο· οὐκ ἴσχυσεν· ἐπεὶ ἐὰν ἰσχύσῃ, πάντως τὸ κακὸν τελέσει· πλὴν, γίνωσκε ὅτι κἂν ἐπιθυμήσωμεν, εἶτα κωλυθῶμεν πρᾶξαι τὸ ἔργον, πρόδηλον ὅτι ὑπὸ τῆς χάριτος ἐσκεπάσθημεν· καὶ αἱ γυναῖκες δὲ, ἐὰν καλλωπίζωνται διὰ τὸ ἀρέσαι τισὶ, κἂν μὴ ἀρέσωσιν, ὅμως ἐκεῖναι τὸ φάρμακον ἐκέρασαν, κἂν μηδεὶς πίνῃ·

» Ἐὰν δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτόν. καὶ βάλε ἀπὸ
» σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου
» βληθῇ εἰς γέενναν· καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτήν. καὶ βά
» λε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶ
» μά σου βληθῇ εἰς γέενναν· Ὀφθαλμὸν καὶ χεῖρα ἀκούων, μὴ νόμιζε περὶ τῶν μελῶν τοῦτο λέγεσθαι· οὐ γὰρ ἂν προσέθηκε τὸ, ὁ δεξιὸς καὶ ἡ δεξιά· ἀλλὰ περὶ τῶν δοκούντων φίλων καὶ βλαπτόντων ἡμᾶς· οἷον. ἔστι τις νέος ἔχων φίλους ἀκολάστους καὶ βλάπτεται, τούτους οὖν ἀπότεμνε φησί· τάχα μὲν γὰρ κἀκείνους σώσεις, εἰς αἴσθησιν ἐλθόντας· εἰ δὲ μὴ, κἂν σεαυτόν· εἰ δὲ στέργεις τὴν πρὸς ἐκείνους φιλίαν, ἀμφότεροι ἀπολεῖσθε·

Δευτερ. κδ'. » Ἐρρέθη δὲ ὅτι, ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον· ἐγὼ δὲ
» λέγω ὑμῖν ὅτι, πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐ-
» τὴν μοιχᾶσθαι· καὶ ὃς ἂν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται· Μωϋσῆς ἐκέλευσεν, ἐάν τις μισῇ τὴν γυναῖκα αὐτοῦ, χωρίζεσθαι αὐτῆς. ἵνα μὴ χεῖρόν τι γένηται· μισουμένη γὰρ, ἴσως ἂν καὶ ἐφονεύθη· διδόναι δὲ τῇ διαζευγνυμένῃ, γραμματεῖον ἀπολυτικόν· ὃ ἐκαλεῖτο ἀποστάσιον· ὡς ἂν μηκέτι ἐπ' αὐτὸν ἐπανέλθοι. καὶ ἐκ τούτου γένηται σύγχυσις, ἑτέρας συνοικούσης τοῦ ἀνδρός· οὐ λύει δὲ τὰ Μωσαϊκά, ἀλλὰ διορθοῦται· ἐκφοβῶν τὸν ἄνδρα, ἵνα μὴ ἀλόγως μισῇ τὴν γυναῖκα· ἐὰν γὰρ ἀπολύσῃ αὐτὴν εὐλόγως, τουτέστι πορνευσάσαν, ἀκατάκριτός ἐστιν· εἰ δὲ χωρὶς πορ-

νείας, κατάκριτος. ἀναγκάζει γὰρ αὐτὴν μοιχᾶσθαι. ἀλλὰ καὶ ὁ δεξάμενος ταύτην, μοιχός ἐστιν. εἰ γὰρ μὴ ἐδέξατο, ἐπανέστρεψεν ἂν ἐκείνη καὶ ὑπετάγη τῷ ἀνδρί. τὸν γὰρ χριστιανὸν δεῖ εἰρηνοποιὸν εἶναι καὶ πρὸς τοὺς ἄλλους. καὶ πολλῷ πλέον πρὸς τὴν ἰδίαν γυναῖκα.

» Πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις. οὐκ ἐπιορκήσεις. ἀποδώσεις δὲ τῷ Λευιτ. ιθ΄.
» κυρίῳ τοὺς ὅρκους σου. Τουτέστιν ὅταν ὀμνύῃς, ἀλήθευε.

» Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως. μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ θεοῦ.
» μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ. μήτε εἰς Ἱεροσόλυμα, ὅτι πό
» λις ἐστὶ τοῦ μεγάλου βασιλέως. Ἐπειδὴ οἱ Ἰουδαῖοι τοῦ θεοῦ λέγοντος ἤκουον. ὁ οὐ- Ἠσα. ξϛ΄.
ρανός μοι θρόνος. ἡ δὲ γῆ ὑποπόδιον, ὤμνυον κατὰ τῶν τοιούτων. ὁ τοίνυν κύριος κωλύων αὐτοὺς, οὐ λέγει ὅτι, ἐπειδὴ καλὸς καὶ μέγας ἐστὶν ὁ οὐρανός. καὶ χρησίμη ἡ γῆ, διὰ τοῦτο μὴ ὀμνύετε. ἀλλ᾽ ὅτι ὁ μὲν, θρόνος ἐστὶ τοῦ θεοῦ. ἡ δὲ, ὑποπόδιον. ἵνα μὴ ἡ εἰδωλολατρία χώραν ἔχῃ. ἐθεοποιήθησαν ἂν γὰρ τὰ στοιχεῖα παρὰ τῶν εἰς αὐτὰ ὀμνυόντων. ὃ καὶ πρότερον ἐγένετο.

» Μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς. ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν
» ποιῆσαι. Ὁ θεὸς μόνος ὀμνύει καθ᾽ ἑαυτοῦ. ὡς μηδενὶ ὑποκείμενος. ἡμεῖς δὲ οὐκ ἐξουσιάζοντες ἑαυτῶν, πῶς ἂν ὀμόσαιμεν κατὰ τῆς κεφαλῆς ἡμῶν. ἑτέρου γὰρ τὸ κτῆμα. εἰ γὰρ σή ἐστιν ἡ κεφαλὴ, ἄλλαξον εἰ δύνασαι μίαν τρίχα.

» Ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ. ναί. οὔ. οὔ. Ἵνα μὴ εἴπῃς καὶ πῶς πιστευθήσομαι, φησίν. ἐὰν ἀεὶ ἀληθεύῃς, καὶ μηδέποτε ὀμνύῃς. οὐδεὶς γὰρ οὕτως ἀπιστεῖται, ὡς ὁ προχείρως ὀμνύων.

» Τὸ δὲ περισσὸν τούτων, ἐκ τοῦ πονηροῦ ἐστι. Τὸ ὀμνύειν φησὶ, περισσὸν ὂν παρὰ τὸ ναὶ καὶ τὸ οὔ, τοῦ διαβόλου ἐστίν. ἀλλ᾽ ἐρεῖς ὅτι, καὶ λοιπὸν ὁ νόμος Μωσέως, κελεύων ὀμνύειν, πονηρὸς ἦν; μάθε οὖν, ὅτι οὐκ ἦν πονηρὸν τότε τὸ ὀμνύειν. μετὰ δὲ Χριστὸν, ἐστὶ πονηρόν. ὥσπερ καὶ τὸ περιτέμνεσθαι. καὶ ἁπλῶς τὸ ἰουδαΐζειν. ἐπεὶ καὶ τὸ θηλάζειν, τοῖς μὲν παιδίοις ἁρμόζει. τοῖς δὲ ἀνδράσιν αἰσχρόν.

» Ἠκούσατε ὅτι ἐρρέθη. ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ. καὶ ὀδόντα ἀντὶ ὀδόντος. Ἐξόδ. κα΄.
Ὁ νόμος συγκαταβαίνων, συνεχώρει τὴν ταυτοπάθειαν. ἵνα φόβῳ τοῦ τὰ ἴσα πα- καὶ Δευτε-
θεῖν, μὴ ἀδικῶσιν ἀλλήλους. ρον. ιθ΄.

» Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ. ἀλλ᾽ ὅστις σε ῥαπίσει ἐπὶ τὴν δε-
» ξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. Πονηρὸν ἐνταῦθα τὸν διάβολον λέγει, τὸν διὰ τοῦ ἀνθρώπου ἐνεργοῦντα. οὐ δεῖ οὖν ἀνθίστασθαι τῷ διαβόλῳ; ναί. ἀλλ᾽ οὐχὶ διὰ τοῦ ἀντιπλήττειν. ἀλλὰ διὰ τοῦ ὑπομένειν. οὐ γὰρ πυρὶ σβέννυται πῦρ. ἀλλ᾽ ὕδατι. μὴ νόμιζε δὲ ὅτι περὶ τῆς εἰς τὴν σιαγόνα πληγῆς λέγει μόνης, ἀλλὰ καὶ περὶ πάσης ἄλλης καὶ παντὸς ἁπλῶς δεινοῦ.

» Καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. Ἐὰν εἰς δικαστήριόν σε ἕλκῃ καὶ ὀχλῇ, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. οὐκ ἐὰν ἁπλῶς ζητῇ. χιτὼν δὲ κυρίως, τὸ παρ᾽ ἡμῖν λεγόμενον ὑποκάμισον. ἱμάτιον δὲ, τὸ ἐπιβαλλόμενον. πλὴν καὶ ἀντ᾽ ἀλλήλων τὰ ὀνόματα λέγονται.

» Καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο. Τί λέγω φησὶν ἱμάτια καὶ χιτῶνας. καὶ αὐτὸ τὸ σῶμά σου δὸς τῷ ἀδίκως ἕλκοντι. καὶ πλέον ἢ ἐκεῖνος βούλεται ποίησον.

» Τῷ αἰτοῦντί σε δίδου. καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς. κἂν ἐχθρός. κἂν φίλος. κἂν ἄπιστος. εἴτε χρήματα ζητεῖ. εἴτε ἄλλην βοήθειαν.

δάνεισμα δὲ, οὐ τὸ σὺν τόκῳ λέγει, ἀλλὰ τὴν ἁπλῶς χρῆσιν· ἐπεὶ καὶ ἐν τῷ νόμῳ χωρὶς τόκου ἐδάνειζον·

Ἠκούσατε ὅτι ἐρρέθη· ἀγαπήσεις τὸν πλησίον σου· καὶ μισήσεις τὸν ἐχθρόν σου· ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· Ἔφθασεν ἐπὶ τὴν κορυφὴν τῶν ἀρετῶν· τί γὰρ τούτου μεῖζον· οὐκ ἀδύνατον δέ· Μωσῆς γὰρ καὶ Παῦλος τοὺς κατ᾽ αὐτῶν λυττῶντας Ἰουδαίους, ὑπὲρ ἑαυτοὺς ἠγάπησαν· καὶ πάντες οἱ ἅγιοι τοὺς ἐχθροὺς αὐτῶν·

Εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς· καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς· ὡς γὰρ εὐεργέτας δεῖ αὐτοὺς ἔχειν· πᾶς γὰρ ὁ διώκων καὶ πειράζων, ἐλαφρύνει ἡμῖν τὴν ὑπὲρ τῶν ἁμαρτημάτων τιμωρίαν· ἄλλως τε καὶ ὅταν τηλικοῦτον ἔπαθλον δίδωσιν ἡμῖν ὁ θεός· ἄκουε γάρ·

Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς· καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους·

Ὁρᾷς τηλίκον ἀγαθὸν δίδωσί σοι ὁ μισῶν σε καὶ ἐπηρεάζων, ἐὰν μόνον θέλῃς ὑπομένειν; βροχὴν δὲ καὶ ἥλιον νόει, καὶ τὴν γνῶσιν καὶ τὴν διδασκαλίαν· πάντας γὰρ ὁ θεὸς φωτίζει καὶ διδάσκει·

Ἐὰν γὰρ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε· οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; Φρίξωμεν, ὅταν μηδὲ τῶν τελωνῶν ὦμεν ἴσοι. ἀλλὰ καὶ τοὺς ἀγαπῶντας ἡμᾶς μισῶμεν·

Καὶ ἐὰν ἀσπάζησθε τοὺς φίλους ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε· οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν; ἔσεσθε οὖν ὑμεῖς τέλειοι ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, τέλειός ἐστιν· Τὸ γὰρ τοὺς μὲν τῶν ἀνθρώπων ἀγαπᾶν, τοὺς δῆθεν φίλους, τοὺς δὲ μισεῖν, ἀτελές ἐστι· τέλειον δὲ, τὸ πάντας ἀγαπᾶν·

Κεφάλαιον Ἕκτον·

Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς· Εἰς τὴν μεγίστην τῶν ἀρετῶν τὴν ἀγάπην ἀναγαγὼν, νῦν ἀναιρεῖ καὶ τὴν κενοδοξίαν· ἥτις ἕπεται τοῖς κατορθώμασιν· ὅρα δὲ τί λέγει. προσέχετε. ὡσανεὶ περὶ θηρίου δεινοῦ λέγοι, πρόσεχε μή σε διασπαράξῃ· κἂν ἔμπροσθεν δὲ τῶν ἀνθρώπων ἐλεῇς, οὐ ποιεῖς δὲ τοῦτο πρὸς τὸ θεαθῆναι, οὐ κατακρίνῃ· ἐὰν δὲ σκοπὸν ἔχῃς κενοδοξίας, εἰ καὶ ἐν τῷ ταμείῳ σου ποιήσῃς, κατακρίνῃ· τὴν γνώμην γὰρ ἢ κολάζει ἢ στεφανοῖ ὁ θεός·

Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· Οὐ σάλπιγγας εἶχον οἱ ὑποκριταί. ἀλλὰ τὴν διάνοιαν αὐτῶν διαγελᾷ ἐνταῦθα· ὅτι ἐβούλοντο τὴν ἐλεημοσύνην αὐτῶν σαλπίζεσθαι· ὑποκριταὶ δέ εἰσιν, οἱ ἄλλο μὲν ὄντες, ἄλλο δὲ φαινόμενοι· καὶ οὗτοι τοίνυν ἐλεήμονες μὲν φαίνονται· ἄλλο δὲ εἰσίν·

Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν· Ἐπαινούμενοι γὰρ, τὸ πᾶν ἀπέλαβον παρὰ τῶν ἀνθρώπων·

Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου· Ὑπερβολικῶς τοῦτο εἶπεν· ὅτι εἰ δυνατὸν, καὶ σεαυτὸν λάνθανε· ἢ καὶ ἄλλως. ἀριστερὰ, ἡ κενοδοξία. δεξιὰ, ἡ ἐλεημοσύνη· μὴ γινωσκέτω οὖν ἡ κενοδοξία τὴν ἐλεημοσύνην·

Ὅπως

Ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ. καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ. Πότε; ὅτε γυμνὰ καὶ φανερὰ πάντα παρίσταται. καὶ τότε δοξασθήσῃ μᾶλλον.

Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταί. ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι. ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Ὑποκριτὰς καὶ τούτους ὀνομάζει, ὡς δοκοῦντας μὲν θεῷ προσέχειν. ἀνθρώποις δὲ προσέχοντας. πλὴν ἀπέχουσι, τουτέστιν ἀπολαμβάνουσι, τὸν μισθὸν αὐτῶν.

Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου. καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ. καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. Τί οὖν, ἐν ἐκκλησίᾳ μὴ προσεύξωμαι; καὶ πάνυ. ἀλλὰ μετὰ γνώμης ὀρθῆς. καὶ ὥστε μὴ ἐπιδείκνυσθαι. ἐπεὶ ὁ τόπος οὐ βλάπτει. ἀλλ' ὁ τρόπος καὶ ὁ σκοπός. πολλοὶ γοῦν ἐν τῷ κρυπτῷ εὐχόμενοι, πρὸς ἀνθρωπαρεσκίαν τοῦτο ποιοῦσιν.

Προσευχόμενοι δὲ, μὴ βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί. Βαττολογία ἐστὶν ἡ φλυαρία. οἷον, τὸ αἰτεῖν τι τῶν γηΐνων. δόξαν. πλοῦτον. νίκην. βατταρισμὸς δὲ ἐστὶν ἡ ἄναρθρος φωνή. ὡς ἡ τῶν παιδίων. σὺ τοίνυν μὴ φλύαρος ἔσο.

Δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Οὐ δεῖ μακρὰς ποιεῖσθαι τὰς εὐχὰς, ἀλλὰ βραχείας μὲν, συχνάκις δέ. καὶ ὀλίγα φθεγγομένους, προσκαρτερεῖν τῇ εὐχῇ.

Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς. οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. Οὐ γὰρ ἵνα διδάξωμεν αἰτοῦμεν. ἀλλ' ἵνα ἑαυτοὺς ἀπασχολήσαντες τῶν βιωτικῶν, ὠφεληθῶμεν ὁμιλοῦντες αὐτῷ.

Οὕτως οὖν προσεύχεσθε ὑμεῖς. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Εὐχὴ ἄλλο. καὶ προσευχὴ ἄλλο. εὐχὴ μὲν γάρ ἐστιν ὑπόσχεσις, πρὸς θεόν. ὡς ὅταν ὑπισχνῆταί τις ἀπέχεσθαι οἴνου ἢ ἄλλου τινός. προσευχὴ δὲ, ἀγαθῶν αἴτησις. πάτερ δὲ εἰπὼν, δείκνυσί σοι τίνων ἀγαθῶν ἠξιώθης, υἱὸς θεοῦ γεγονώς. ἐν δὲ τῷ εἰπεῖν ἐν τοῖς οὐρανοῖς, ἔδειξέ σοι τὴν πατρίδα σου καὶ τὸν οἶκον τὸν πατρικόν. ἐὰν γὰρ θέλῃς ἔχειν πατέρα τὸν θεὸν, πρὸς τοὺς οὐρανοὺς βλέπε, καὶ μὴ πρὸς γῆν. οὐ λέγεις δὲ, πάτερ μου. ἀλλὰ πάτερ ἡμῶν, ὡς ἂν ἔχοις πάντας ὡς ἀδελφοὺς ἑνὸς πατρός.

Ἁγιασθήτω τὸ ὄνομά σου. Τουτέστι ποίησον ἡμᾶς ἁγίους, ἵνα καὶ σὺ δι' ἡμᾶς δοξάζῃ. ὡς γὰρ βλασφημεῖται δι' ἐμὲ, οὕτω καὶ ἁγιάζεται δι' ἐμὲ ὁ θεός. τουτέστιν. ὡς ἅγιος δοξάζεται.

Ἐλθέτω ἡ βασιλεία σου. Τουτέστιν ἡ δευτέρα παρουσία. ὁ γὰρ συνειδὸς ἔχων πεπαρρησιασμένον, εὔχεται ἐλθεῖν τὴν ἀνάστασιν καὶ τὴν κρίσιν.

Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Ὥσπερ φησὶν οἱ ἄγγελοι ποιοῦσιν τὸ θέλημά σου, οὕτω καὶ ἡμῖν δὸς ποιεῖν αὐτό.

Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Ἐπιούσιον, τὸν ἐπὶ τῇ οὐσίᾳ καὶ συστάσει ἡμῶν αὐτάρκη, φησίν. ἀναιρεῖ δὲ τὴν περὶ τῆς αὔριον μέριμναν. καὶ τὸ σῶμα δὲ τοῦ Χριστοῦ, ἄρτος ἐστὶν ἐπιούσιος. οὗ μεταλαμβάνειν ἀκατακρίτως εὐχώμεθα.

Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Ἐπειδὴ καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνομεν, ἱκετεύομεν ἵνα ἀφήσῃ ἡμῖν. οὕτω δὲ ἀφήσει ὡς καὶ ἡμεῖς. ἐὰν γὰρ μνησικακῶμεν, οὐκ ἀφήσει ἡμῖν. ἐμὲ γὰρ

ἔχει ὁ θεὸς παράδειγμα· καὶ ὃ ποιῶ ἐπ' ἄλλῳ, ποιεῖ ἐπ' ἐμοί·

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· Ἀσθενεῖς ἐσμὲν οἱ ἄνθρωποι· διὸ οὐ δεῖ ἐπιῤῥίπτειν ἑαυτοὺς τοῖς πειρασμοῖς· ἀλλ' ἐμπεσόντας, εὔχεσθαι μὴ καταποθῆναι ὑπὸ τοῦ πειρασμοῦ· ὁ γὰρ καταποθεὶς καὶ νικηθεὶς, ἐκεῖνος εἰσηνέχθη εἰς τὸν βόθρον τοῦ πειρασμοῦ· ἀλλ' οὐχ ὁ ἐμπεσὼν μὲν, νικήσας δέ·

Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· Οὐκ εἶπεν ἀπὸ τῶν πονηρῶν ἀνθρώπων. οὐ γὰρ ἐκεῖνοι ἀδικοῦσιν ἡμᾶς, ἀλλ' ὁ πονηρός·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν· Θαῤῥύνει ἡμᾶς ἐνταῦθα· εἰ γὰρ βασιλεύς ἐστι καὶ δυνατὸς ὁ πατὴρ καὶ ἔνδοξος, πάντως καὶ ἡμεῖς νικήσομεν τὸν πονηρόν. καὶ δοξασθησόμεθα ὕστερον·

Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. Πάλιν ἀμνησικάκους ἡμᾶς εἶναι διδάσκει· ἀναμιμνήσκει δὲ ἡμᾶς τοῦ πατρὸς, ἵνα αἰδεσθῶμεν αὐτόν. καὶ μὴ ἐκθηριώμεθα, τοιούτου παῖδες ὄντες·

Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν· Οὐδὲν οὕτω μισεῖ ὁ πρᾶος θεὸς, ὡς τὴν ὠμότητα·

Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ, σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν· Ἀφανισμὸς προσώπου, ἐστὶν ἡ ὠχρότης· ὅταν οὐχ οἷος ἐστί τις φαίνηται, ἀλλὰ προσποιῆται συννότητα·

Σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν. καὶ τὸ πρόσωπόν σου νίψαι. ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι· Οἱ παλαιοὶ χαρᾶς εἶχον σημεῖον τὸ ἀλείφεσθαι ἐλαίῳ μετὰ τὸ λουτρόν· καὶ σὺ οὖν οὕτω χαίρων φαίνου· ἔλαιον δὲ νοεῖται καὶ ἡ ἐλεημοσύνη· κεφαλὴ δὲ ἡμῶν ὁ χριστός· ὃν δεῖ ἀλείφειν ταῖς ἐλεημοσύναις· καὶ τὸ πρόσωπον, ἤτοι τὰς αἰσθήσεις, νίπτειν διὰ δακρύων·

Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς. ὅπου σὴς καὶ βρῶσις ἀφανίζει. καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ· ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει· καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν· ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν·

Ἐπεὶ τὸ τῆς κενοδοξίας ἐξέβαλε νόσημα, περὶ ἀκτημοσύνης λοιπὸν λέγει· οἱ γὰρ ἄνθρωποι διὰ κενοδοξίαν κτῶνται τὰ πλείω· δείκνυσι δὲ τοῦ ἐπὶ γῆς θησαυροῦ τὸ ἀκερδές· ὅτι σὴς μὲν καὶ βρῶσις, ἀφανίζει βρώματα καὶ ἱμάτια· κλέπται δὲ, χρυσίον καὶ ἀργύριον· εἶτα ἵνα μὴ εἴπῃ τις αὐτῷ ὅτι, ἀλλ' οὐ πάντες κλέπτονται, φησίν. εἰ καὶ μηδὲν τούτων ἐστὶν, ἀλλ' οὖν γε αὐτὸ τοῦτο τὸ προσηλῶσθαί σε τῇ περὶ τοῦ πλούτου μερίμνῃ, πῶς οὐκ ἄθλιον· διὸ λέγει· ὅπου γὰρ ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν·

Ὁ λύχνος τοῦ σώματος ἐστὶν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται· εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστὶ, τὸ σκότος πόσον·

Τοῦτό φησιν, ὅτι ἐὰν προσηλώσῃς τὸν νοῦν σου τῇ τῶν χρημάτων φροντίδι, ἔσβεσας τὸν λύχνον. ἐσκότισάς σου τὴν ψυχήν· ὥσπερ γὰρ ὁ ὀφθαλμὸς ἁπλοῦς, τουτέστιν ὑγιὴς ὢν φωτίζει τὸ σῶμα, ἐὰν δὲ πονηρὸς ᾖ, τουτέστι νοσώδης, σκοτίζει, οὕτω καὶ ὁ νοῦς τυφλοῦται ὑπὸ τῆς φροντίδος· εἰ δὲ ὁ νοῦς σκοτισθείη, ἡ ψυχὴ σκότος γίνεται· καὶ πολλῷ μᾶλλον τὸ σῶμα·

Οὐδεὶς

Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. Δύο κυρίους λέγει, τοὺς τὰ ἐναντία ἐπιτάττοντας. οἷον θεὸν καὶ μαμμωνᾶν. ἡμεῖς δὲ ποιοῦμεν κύριον ἡμῶν τὸν διάβολον. ὥσπερ καὶ τὴν κοιλίαν, θεόν. φύσει δὲ καὶ ἀληθῶς κύριος, ὁ θεός. μαμμωνᾶς δέ ἐστιν ἡ ἀδικία.

Ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ τοῦ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει. οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμμωνᾷ. Ὁρᾷς ὅτι οὐκ ἔστι δυνατὸν τὸν πλούσιον καὶ ἄδικον θεῷ δουλεύειν; ἐκβάλλει γὰρ αὐτὸν ἡ φιλοχρηματία ἀπὸ θεοῦ.

Διὰ τοῦτο λέγω ὑμῖν. μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε καὶ τί πίητε. μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. Διὰ τοῦτο. ποῖον. διὰ τὸ ἀπὸ θεοῦ ἐκβάλλεσθαι ὑπὸ τῶν χρημάτων. οὐχ ἡ ψυχὴ δὲ ἐσθίει. ἀσώματον γάρ. ἀλλὰ κατὰ τὴν κοινὴν συνήθειαν τοῦτο εἶπε. δοκεῖ γὰρ ἡ ψυχὴ μὴ ἀνέχεσθαι εἶναι ἐν τῷ σώματι, εἰ μὴ τρέφοιτο ἡ σάρξ. οὐκ ἐκβάλλει δὲ τὸ ἐργάζεσθαι. ἀλλὰ τὸ μὴ διδόναι ὅλως ἑαυτὸν ταῖς φροντίσι καὶ ἀμελεῖν θεοῦ, τοῦτο κωλύει. ἐπεὶ καὶ γεωργεῖν δεῖ. ἀλλὰ καὶ ψυχῆς φροντίζειν.

Οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος;
Τουτέστιν ὁ τὸ μεῖζον δούς, τὴν ψυχήν, καὶ τὸ σῶμα διαπλάσας, οὐ δώσει καὶ τροφὴν καὶ ἐνδύματα;

Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν. οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; Δυνάμενος παρενεγκεῖν εἰς παράδειγμα τὸν Ἡλίαν, τὸν Ἰωάννην, μέμνηται τῶν πετεινῶν. ἵνα ἡμᾶς ἐντρέψῃ, ὅτι καὶ τούτων ἀλογώτεροι ἐσμέν. τρέφει δὲ αὐτὰ ὁ θεός, ἐνθεὶς αὐτοῖς φυσικὴν γνῶσιν πρὸς τὸ τροφὰς συλλέγειν.

Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν, δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα. Τοῦτο φησίν, ὅτι κἂν μεριμνᾷς, οὐδὲν ποιεῖς μὴ θέλοντος τοῦ θεοῦ. τί τοίνυν περιττῶς κατακόπτεις σεαυτόν.

Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε. καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει. οὐ κοπιᾷ οὐδὲ νήθει. λέγω δὲ ὑμῖν ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ, περιεβάλετο ὡς ἓν τούτων. Οὐ μόνον ἀπὸ τῶν ἀλόγων ζώων ἐντρέπει ἡμᾶς, ἀλλὰ καὶ ἀπὸ τῶν κρίνων τῶν μαραινομένων. εἰ γὰρ ὁ θεὸς ἐκεῖνα οὕτως ἐκαλλώπισε, καίτοι μηδεμιᾶς χρείας οὔσης, πόσῳ μᾶλλον τὴν χρείαν τῶν ἡμετέρων ἐνδυμάτων ἀποπληρώσει. δείκνυσι δὲ ὅτι κἂν πολλὰ μεριμνήσῃς, οὐ δυνήσῃ καλλωπισθῆναι ὡς τὰ κρίνα. ὅπου γε Σολομὼν ὁ φρονιμώτατος καὶ τρυφηλότατος, διὰ πάσης αὐτοῦ τῆς βασιλείας οὐκ ἴσχυσε περιβαλέσθαι τι τοιοῦτον.

Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι; Μανθάνομεν ἐντεῦθεν ὅτι οὐ δεῖ φροντίζειν καλλωπισμοῦ. τοῦτο γὰρ τῶν προσκαίρων ἀνθέων ἐστίν. ὥστε πᾶς καλλωπιζόμενος, χόρτος ἐστίν. ὑμᾶς δὲ εἶπε, τοὺς λογικούς. οἷς ψυχὴν καὶ σῶμα διέπλασεν. ὀλιγόπιστοι δὲ πάντες οἱ μεριμνῶντες. εἰ γὰρ τελείαν εἶχον εἰς θεὸν πίστιν, οὐκ ἂν ἐμερίμνων οὕτως ἀνενδότως.

Μὴ οὖν μεριμνήσητε, λέγοντες. τί φάγωμεν. ἢ τί πίωμεν. ἢ τί περιβαλώμεθα. πάντα γὰρ ταῦτα, τὰ ἔθνη ἐπιζητεῖ. Τὸ μὲν φαγεῖν, οὐ κωλύει. τὸ δὲ λέγειν, τί φάγωμεν, κωλύει. ὃ λέγουσιν οἱ πλούσιοι ἀφ᾽ ἑσπέρας. τί φάγωμεν αὔριον. ὁρᾷς ὅτι τὴν τρυφὴν καὶ τὴν ὕβριν κωλύει;



Οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων, ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ. καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· Βασιλεία τοῦ θεοῦ, ἡ ἀπόλαυσις τῶν ἀγαθῶν· αὕτη δὲ διὰ δικαιοσύνης προσγίνεται· ὅστις οὖν ζητεῖ τὰ πνευματικὰ, προστίθεται τούτῳ καὶ τὰ σωματικὰ κατὰ φιλοτιμίαν θεοῦ·

Μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς· Κακίαν ἡμέρας, τὴν συντριβὴν καὶ τὴν κάκωσιν λέγει· οἷον. ἀρκετόν σοι ὅτι συντρίβῃ ὑπὲρ τῆς σήμερον· εἰ δὲ καὶ ὑπὲρ τῆς αὔριον μεριμνήσεις, πότε σχολάσεις τῷ θεῷ, ἀεὶ συντρίβων σεαυτὸν ὑπὲρ τῶν σωματικῶν·

Κεφάλαιον Ἕβδομον·

Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· Οὐχὶ τὸ ἐλέγχειν κωλύει. ἀλλὰ τὸ κατακρίνειν· ὁ μὲν γὰρ ἔλεγχος, ἐπὶ ὠφελείᾳ ἐστίν· ἡ δὲ κατάκρισις, ἐπὶ ὀνειδισμῷ καὶ ἐξουδενώσει· ἄλλως τε καὶ ὅταν ἔχων τις μεγάλας ἁμαρτίας, ὀνειδίζῃ ἑτέροις, καὶ κατακρίνῃ τοὺς ἐλάττονα ἔχοντας. ἃ ὁ θεὸς μέλλει κρίνειν·

Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν· τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς· ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου· ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου· Τὸν μέλλοντα ἐπιπλήττειν ἄλλοις, δεῖ ἄμωμον εἶναι· εἰ γὰρ αὐτὸς δοκὸν ἔχων ἐν τῷ ὀφθαλμῷ, τουτέστι μέγα ξύλον, ἤτοι ἁμάρτημα, ἐπιμέμφεται ἄλλῳ κάρφος ἔχοντι, ἀναισχυντότερον ἐκεῖνον ἐποίησε· δείκνυσι δὲ ὁ κύριος, ὅτι οὐδὲ δύναται ἰδεῖν καλῶς τὸ τοῦ ἀδελφοῦ ἁμάρτημα, ὁ μεγάλα ἁμαρτάνων· ὁ γὰρ ἔχων δοκὸν ἐν τῷ ὀφθαλμῷ, πῶς ἂν ἴδοι ἄλλον μετρίως βλαπτόμενον·

Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί· μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν. καὶ στραφέντες ῥήξωσιν ὑμᾶς· Κύνες εἰσὶν οἱ ἄπιστοι. χοῖροι δὲ, οἱ πιστοὶ μὲν, βορβορώδη δὲ βίον ἔχοντες· δεῖ τοίνυν τὰ μυστήρια μὴ λέγειν τοῖς ἀπίστοις. μηδὲ τοὺς λαμπροὺς καὶ μαργαρώδεις λόγους τοὺς περὶ θεολογίας, τοῖς ἀκαθάρτοις· οἱ μὲν γὰρ χοῖροι, καταπατοῦσιν. ἤτοι καταφρονοῦσι τῶν λεγομένων. οἱ δὲ κύνες, στραφέντες διασπαράττουσιν ἡμᾶς· οἷα ποιοῦσιν οἱ λεγόμενοι φιλόσοφοι. ὅταν ἀκούσωσιν ὅτι ἐσταυρώθη θεὸς, σπαράττουσιν ἡμᾶς τοῖς συλλογισμοῖς, ἀδύνατον εἶναι τοῦτο σοφιζόμενοι·

Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει. καὶ ὁ ζητῶν εὑρίσκει. καὶ τῷ κρούοντι ἀνοιγήσεται· Ἐπέταξεν ἡμῖν ἐν τοῖς προλαβοῦσι, μεγάλα καὶ χαλεπά· δείκνυσιν οὖν ἐνταῦθα πῶς κατορθωθήσονται. καὶ ὅτι διὰ τῆς εὐχῆς τῆς διηνεκοῦς· αἰτεῖτε γὰρ εἶπεν. ἀντὶ τοῦ ἀεί. οὐ γὰρ εἶπεν αἰτήσασθε ἅπαξ· εἶτα καὶ ἀπὸ ὑποδείγματος ἀνθρωπίνου βεβαιοῖ τὸ λεχθέν·

Ἢ τίς ἐστιν ἄνθρωπος ἐξ ὑμῶν ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Παιδεύει ἐνταῦθα ὅτι δεῖ καὶ σφοδρῶς αἰτεῖν, καὶ τὰ συμφέροντα αἰτεῖν· ὑμεῖς γάρ φησι βλέπετε τοὺς παῖδας ὑμῶν τὰ πρέποντα αἰτοῦντας, ἄρτον καὶ ἰχθὺν. καὶ τότε δίδοτε αὐτοῖς ὅταν τοιαῦτα ζητῶσιν· οὕτως οὖν καὶ ὑμεῖς τὰ πνευματικὰ ζητεῖτε μὴ τὰ σαρκικά·

Εἰ οὖν

» Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε, δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πό-
» σῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν.
Πονηροὺς ὀνομάζει τοὺς ἀνθρώπους, ὡς πρὸς τὸν θεὸν συγκρίνων αὐτούς· ἐπεὶ ἡ φύσις ἡμῶν, ἀγαθή ἐστιν, ὡς θεοῦ δημιούργημα. κατὰ δὲ προαίρεσιν πονηρευόμεθα.

» Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς.
» οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. Σύντομον δείκνυσι τὴν εἰς ἀρετὴν ὁδόν. Τωβίου δʹ.
οἱ γὰρ ἄνθρωποι οἴκοθεν γινώσκομεν τὸ δέον. εἰ γὰρ θέλεις εὐεργετεῖσθαι, εὐεργέτει. εἰ θέλεις ἀγαπᾶσθαι παρὰ τῶν ἐχθρῶν, ἀγάπα καὶ σὺ τοὺς ἐχθρούς. καὶ γὰρ ὁ νόμος τοῦ θεοῦ καὶ οἱ προφῆται, ἐκεῖνα λέγουσιν ἃ καὶ ὁ φυσικὸς νόμος ἡμῖν διατάττεται.

» Εἰσέλθετε διὰ τῆς στενῆς πύλης. ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ
» ἀπάγουσα εἰς τὴν ἀπώλειαν. καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς.
Στενὴν πύλην λέγει τοὺς πειρασμούς. τούς τε ἑκουσίους, οἷον νηστείαν καὶ τἄλλα. καὶ τοὺς ἀκουσίους, οἷον δεσμά. διωγμούς. ὥσπερ οὖν πολύσαρκος ἄνθρωπος, ἢ πολλὰ βαστάζων, οὐ δύναται διὰ τῆς στενῆς εἰσελθεῖν, οὕτως οὐδὲ τρυφηλὸς ἢ πλούσιος. διὰ δὲ τῆς πλατείας οἱ τοιοῦτοι εἰσέρχονται. δεικνύων δὲ ὅτι καὶ ἡ στενοχωρία πρόσκαιρός ἐστι, καὶ ἡ πλατύτης παροδική, πύλην καὶ ὁδὸν ἐκάλεσε. τήν τε γὰρ πύλην, ἤτοι τὴν κακοπάθειαν, παρέρχεται ὁ κακοπαθῶν. καὶ τὴν τρυφὴν δὲ ὡς ὁδὸν παροδεύει ὁ τρυφῶν. ἐπεὶ οὖν ἀμφότερα πρόσκαιρα, τὸ κρεῖττον αἱρετέον.

» Τί στενὴ ἡ πύλη. καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. καὶ ὀλίγοι εἰσὶν
» οἱ εὑρίσκοντες αὐτήν. Θαυμαστικόν ἐστι τὸ τί. θαυμάζει γάρ. βαβαὶ πόσον ἐστὶ στενή. πῶς οὖν ἀλλαχοῦ λέγει, ὁ ζυγός μου ἐλαφρός. διὰ τὰς μελλούσας ἀντιδόσεις.

» Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν. οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμα-
» σι προβάτων. ἔσωθεν δὲ εἰσὶ λύκοι ἅρπαγες. ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε
» αὐτούς. Πανοῦργοί εἰσι καὶ ἐπιθέται οἱ αἱρετικοί. διὰ τοῦτο λέγει. προσέχετε. χρηστολογίαν μὲν γὰρ προβάλλονται. καὶ βίον ὑποκρίνονται σεμνόν. ἀλλ' ἔσωθεν ἐστὶ τὸ ἄπιστον. ἔνδυμα δὲ προβάτου, καὶ ἡ πραότης. ᾗτινι χρῶνται τινὲς σχηματιζόμενοι διὰ τὸ κολακεύειν καὶ ἐξαπατᾶν. ἀπὸ δὲ τοῦ καρποῦ γνωρίζονται. τουτέστι τῶν ἔργων καὶ τοῦ βίου. κἂν γὰρ ὑποκρίνωνται πρὸς καιρὸν, ἀλλὰ τοῖς προσέχουσιν ἐλέγχονται.

» Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν, ἢ ἀπὸ τριβόλων σῦκα; οὕτω πᾶν δένδρον
» ἀγαθὸν, καρποὺς καλοὺς ποιεῖ. τὸ δὲ σαπρὸν δένδρον, καρποὺς πονηροὺς ποιεῖ.
Ἄκανθαι καὶ τρίβολοι, εἰσὶν οἱ ὑποκριταί. ἄκανθαι, ὡς πλήττοντες λαθραίως. τρίβολοι δὲ, ὡς πανοῦργοι καὶ πολύτροποι. σαπρὸν δὲ δένδρον, πᾶς ὃν σήπει ὁ ὑγρὸς καὶ ἐκλελυμένος βίος.

» Οὐ δύναται δένδρον ἀγαθὸν, καρποὺς πονηροὺς ποιεῖν. οὐδὲ δένδρον σαπρὸν,
» καρποὺς καλοὺς ποιεῖν. Ἕως οὗ ἐστὶ σαπρὸν, οὐ δύναται. ἐὰν δὲ μεταβληθῇ, δύναται. ὅρα γὰρ ὅτι οὐκ εἶπεν οὐ δυνήσεται. ἀλλ' ὅτι ἐν ὅσῳ ἐστὶ σαπρὸν, καλὰ οὐ γεννᾷ.

» Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. ἄραγε
» ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Ταῦτα πρὸς Ἰουδαίους ἀποτείνεται. καὶ ὁ Ἰωάννης γὰρ τοιαῦτα αὐτοῖς ἔλεγε. δένδρῳ δὲ ἀπεικάζει τὸν ἄνθρωπον, διότι δύναται ἐγκεντρισθῆναι ἀπὸ τῆς ἀκάρπου ἁμαρτίας εἰς ἀρετήν.

» Οὐ πᾶς ὁ λέγων μοι, κύριε κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
» ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Ἐνταῦθα ἐπιδείκνυσιν ἑαυτὸν κύριον. ἐν τῷ εἰπεῖν, οὐ πᾶς ὁ λέγων μοι κύριε κύριε. ὥστε θεὸν ἑαυτὸν λέγει. δι-

διδάσκει δὲ ἡμᾶς ὅτι ἐὰν πίστιν χωρὶς ἔργων ἔχωμεν, οὐδὲν ἐκ τούτου ὠφελούμεθα· ὁ γὰρ ποιῶν τὸ θέλημα· οὐκ εἶπεν ὁ ἅπαξ ποιήσας, ἀλλ᾽ ὁ ἄχρι θανάτου ποιῶν· καὶ οὐκ εἶπε τὸ θέλημά μου, ἵνα μὴ σκανδαλίσῃ τοὺς ἀκούοντας. ἀλλὰ τοῦ πατρός μου· πάντως δὲ τὸ θέλημα πατρὸς καὶ υἱοῦ, ἐὰν οὐκ ἔστιν ἀποστάτης ὁ υἱός·

» Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. κύριε κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύ-
» σαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις
» πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι, οὐδέποτε ἔγνων ὑμᾶς· ἀπο-
» χωρεῖτε ἀπ᾽ ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· Πολλοὶ ἐν ἀρχῇ τοῦ κηρύγματος ἐξέβαλον δαιμόνια, καὶ ἀνάξιοι ὄντες, διὰ τὸ ὄνομα τοῦ Ἰησοῦ φευγόντων τῶν δαιμόνων· καὶ γὰρ ἡ χάρις, καὶ διὰ τῶν ἀναξίων ἐνεργεῖ· ὡς καὶ διὰ τῶν ἀναξίων ἱερέων ἁγιαζόμεθα· καὶ Ἰούδας δὲ, σημεῖα ἐποίησε· καὶ οἱ υἱοὶ τοῦ Σκευᾶ· τὸ δὲ οὐδέποτε ἔγνων ὑμᾶς, ἀντὶ τοῦ οὐδὲ τότε ὅτε ἐθαυματουργεῖτε ἠγάπων ὑμᾶς· γνῶσις γὰρ ἡ ἀγάπη λέγεται ἐνταῦθα·

» Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιώσω αὐτὸν ἀν-
» δρὶ φρονίμῳ ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν. καὶ κατέβη ἡ βρο-
» χὴ. καὶ ἦλθον οἱ ποταμοί. καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ,
» καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν· Θεοῦ χωρὶς οὐ δύναται ἀρετὴ κατορθωθῆναι· διὰ τοῦτο φησὶν. ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ· πέτρα δὲ, ὁ Χριστός· οἰκία δὲ, ἡ ψυχή· ὅστις οὖν τὴν ψυχὴν αὐτοῦ οἰκοδομήσει ἐπὶ τῇ ἐργασίᾳ τῶν ἐντολῶν τοῦ Χριστοῦ, τοῦτον οὔτε ἡ βροχὴ, ὁ διάβολος λέγω ὁ ἐξ οὐρανοῦ πεσών. οὔτε οἱ ποταμοὶ, οἱ ἐπηρεασταὶ ἄνθρωποι, οἱ ἀπὸ τῆς τοιαύτης βροχῆς πληθυνόμενοι. οὔτε οἱ ἄνεμοι, τὰ πνεύματα τῆς πονηρίας. καὶ ἁπλῶς πάντες οἱ πειρασμοὶ τὸν τοιοῦτον οὐ δύνανται καταβαλεῖν·

» Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται
» ἀνδρὶ μωρῷ ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον· καὶ κατέβη ἡ βρο
» χὴ. καὶ ἦλθον οἱ ποταμοί. καὶ ἔπνευσαν οἱ ἄνεμοι. καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκεί-
» νῃ, καὶ ἔπεσε· καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη· Οὐκ εἶπεν ὁμοιώσω αὐτὸν, ἀλλ᾽ ὁμοιωθήσεται ἀφ᾽ ἑαυτοῦ, μωρῷ, ἐκεῖνος ὃς πιστεύει μὲν, οὐ πράττει δέ· οὗτος οὖν ἐπὶ ψάμμου κτίζει, ἐπὶ σαθρότητος τῶν ἔργων· διὰ τοῦτο καὶ ὑπὸ τῶν πειρασμῶν πίπτει· ὅταν γὰρ προσκόψῃ, τουτέστι προσκρούσῃ αὐτῷ πειρασμὸς, πίπτει πτῶμα μέγα· οὐδεὶς δὲ τῶν ἀπίστων πίπτει· ἐκεῖνοι γὰρ χαμαὶ πάντοτε κεῖνται· ὁ δὲ πιστὸς, ἐκεῖνος πίπτει· καὶ διὰ τοῦτο μέγα τὸ πτῶμα, ὅτι χριστιανὸς ὢν πίπτει·

» Καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι
» ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ
» γραμματεῖς· Οὐχ οἱ ἄρχοντες ἐξεπλήσσοντο, πῶς γὰρ, οἱ φθονοῦντες αὐτῷ. ἀλλὰ τὸ ἄκακον πλῆθος· ἐθαύμαζον δὲ οὐχὶ τὴν φράσιν τῶν ῥημάτων, ἀλλὰ τὴν παρρησίαν· καὶ ὑπὲρ τοὺς προφήτας γὰρ ἐδείκνυεν ἐξουσίαν· ἐκεῖνοι γὰρ, τάδε λέγει κύριος ἔλεγον· Χριστὸς δὲ ὡς θεὸς, ἐγὼ λέγω ὑμῖν·

Κεφάλαιον Ὄγδοον·

» Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί· καὶ ἰδοὺ λε-
» πρὸς προσελθὼν προσεκύνει αὐτῷ, λέγων. κύριε, ἐὰν θέλῃς δύνασαί με καθαρίσαι· Συνετὸς ὢν ὁ λεπρὸς, οὐκ ἀνῆλθεν εἰς τὸ ὄρος, ἵνα μὴ διακόψῃ τὴν διδασκαλίαν· καταβάντι δὲ, προσκυνεῖ· καὶ πίστιν δεικνύων πολλὴν, οὐκ εἶπεν ἐὰν παρακαλέσῃς τὸν θεὸν, θεραπεύσεις με. ἀλλ᾽ ἐὰν θέλῃς· διὸ καὶ ὁ Χριστός·

Καὶ ἐκτείνας

» Καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ ὁ Ἰησοῦς, λέγων. θέλω. καθαρίσθητι. καὶ εὐ-
» θέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς. ὅρα μηδενὶ εἴπῃς. ἀλλ' ὕ-
» παγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ. καὶ προσένεγκε τὸ δῶρον ὃ προσέταξε Μωσῆς, εἰς μαρ
» τύριον αὐτοῖς. Ἅπτεται τοῦ λεπροῦ, δεικνὺς ὅτι οὐχ ὑπόκειται τῷ νόμῳ. κελεύον
τι μὴ ἅπτεσθαι τοῦ λεπροῦ. ἀλλὰ δεσπότης τούτου ἐστί. καὶ ὅτι τῷ καθαρῷ, οὐδὲν
ἀκάθαρτον. καὶ ὅτι ἡ ἁγία αὐτοῦ σάρξ, ἁγιασμοῦ μετεδίδου. φεύγων δὲ τὴν δόξαν,
κελεύει μηδενὶ εἰπεῖν. ἀλλὰ δεῖξαι ἑαυτὸν τῷ ἱερεῖ. εἰ γὰρ μὴ εἶπεν ὁ ἱερεὺς ὅτι κεκά-
θαρται ὁ λεπρὸς, ἔξω τῆς πόλεως ἔμενε. κελεύει δὲ καὶ προσενεγκεῖν τὸ δῶρον εἰς
μαρτύριον τοῖς Ἰουδαίοις. τουτέστιν, ὅταν μου κατηγορῶσιν ὡς τὸν νόμον καταλύοντος,
ἔσῃ μάρτυς σὺ ὁ νῦν κελευσθεὶς παρ' ἐμοῦ προσαγαγεῖν τὰ περὶ τοῦ νόμου δια-
τεταγμένα.

» Εἰσελθόντι δὲ αὐτῷ εἰς Καπερναοὺμ, προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν
» αὐτὸν καὶ λέγων. Οὗ δὲ οὗτος ἐν τῷ ὄρει προσῆλθεν, ἵνα μὴ διαλυθῇ ἡ διδασκα
λία. ὁ αὐτὸς δέ ἐστιν οὗτος, ὁ καὶ παρὰ τῷ Λουκᾷ. εἰ δὲ ὁ Λουκᾶς λέγει ὅτι ἑτέρους Λουκ. ζ'.
ἔπεμψε πρέσβεις πρὸς τὸν Ἰησοῦν, οὐκ ἔστι τοῦτο ἐναντιολογία πρὸς τὸν Ματθαῖον.
λέγοντα, αὐτὸν ἐκεῖνον προσελθεῖν. εἰκὸς γὰρ ἦν πρῶτον μὲν ἄλλους ἀποστεῖλαι, εἶτα
τοῦ κινδύνου ἐπικειμένου, αὐτὸν ἐλθεῖν καὶ λέγειν.

» Κύριε. ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς, δεινῶς βασανιζόμενος. καὶ
» λέγει αὐτῷ ὁ Ἰησοῦς. ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. Οὐκ ἤνεγκε τὸν παῖδα ἐπὶ κλί
νης, πιστεύων ὅτι καὶ ἀπόντα δύναται θεραπεῦσαι. διό.

» Καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος, ἔφη. κύριε οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην
» εἰσέλθῃς. ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός
» εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ. πορεύθητι, καὶ
» πορεύεται. καὶ ἄλλῳ. ἔρχου, καὶ ἔρχεται. καὶ τῷ δούλῳ μου. ποίησον τοῦτο, καὶ ποιεῖ.
» ἀκούσας δὲ ὁ Ἰησοῦς, ἐθαύμασε. καὶ εἶπε τοῖς ἀκολουθοῦσιν. ἀμὴν λέγω ὑμῖν, οὐδὲ
» ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. Εἰ ἐγὼ φησὶ βασιλέως δοῦλος ὢν, τοῖς ὑπ' ἐ-
μὲ στρατιώταις ἐπιτάττω, σὺ πολλῷ μᾶλλον δύνασαι ἐπιτάττειν τῷ θανάτῳ καὶ
ταῖς νόσοις, ὥστε ἀπὸ τοῦδε μὲν ἀναχωρεῖν, ἄλλῳ δὲ ἐπιτίθεσθαι. αἱ γὰρ σωματι-
καὶ νόσοι, στρατιῶται καὶ ἔκδικοί εἰσι τοῦ θεοῦ. θαυμάζει τοίνυν ὁ Χριστὸς λέγων ὅτι,
οὐδὲ ἐν τοῖς Ἰσραηλίταις τοσαύτην πίστιν εὗρον ὅσην ἐν τῷ ἐθνικῷ.

» Λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι. καὶ ἀνακλιθήσονται
» μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. οἱ δὲ υἱοὶ τῆς βα
» σιλείας, ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγ
» μὸς τῶν ὀδόντων. Οὐκ εἶπεν ὅτι πολλοὶ ἐθνικοὶ ἀνακλιθήσονται, ἵνα μὴ πλή-
ξῃ τοὺς Ἰουδαίους. ἀλλὰ συνεσκιασμένως εἶπεν, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν. ἐμνή-
σθη δὲ τοῦ Ἀβραὰμ, δεικνύων ὅτι οὐκ ἔστιν ἐναντίος τῇ παλαιᾷ. ἐξώτερον δὲ σκότος
εἰπὼν, ἐδήλωσεν ὅτι ἔστι καὶ ἐνδότερον. ὃ καὶ ἐλαφρότερον. βαθμοὶ γάρ εἰσι καὶ ἐν
τῇ κολάσει. υἱοὺς δὲ βασιλείας τοὺς Ἰουδαίους λέγει. πρὸς αὐτοὺς γὰρ αἱ ἐπαγγε-
λίαι. υἱὸς γάρ φησι πρωτότοκός μου Ἰσραήλ.

» Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ. ὕπαγε. καὶ ὡς ἐπίστευσας γενηθήτω σοι. Ἐξόδ. δ'.
» καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ, καὶ ὑποστρέψας ὁ ἑκατόνταρχος εἰς τὸν
» οἶκον αὐτοῦ ἐν αὐτῇ τῇ ὥρᾳ, εὗρε τὸν παῖδα ὑγιαίνοντα. Ἔδειξεν ἐκ τῶν λόγων
ἰᾶσθαι, ὅτι καὶ περὶ τοῦ ἀπορριφῆναι τοὺς Ἰουδαίους, ἀληθεύει.

» Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην

» καὶ πυρέσσουσαν. καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός.
» καὶ ἠγέρθη καὶ διηκόνει αὐτοῖς. Εἰσῆλθεν εἰς τὴν Πέτρου οἰκίαν διὰ τὸ φαγεῖν.
ἁψάμενος δὲ τῆς χειρὸς, οὐ μόνον τὸν πυρετὸν ἔσβεσεν, ἀλλὰ καὶ καθαρὰν ὑγείαν
ἀπέδωκε τῇ γυναικί. ὥστε καὶ τὴν δύναμιν ἐπανελθεῖν καὶ ἰσχῦσαι διακονεῖν.
καίτοι ἴσμεν ὅτι πολὺς χρόνος εἰς ἀνάῤῥωσιν τοῖς νοσοῦσι παρεκτείνεται. τῶν ἄλλων δὲ
Λουκᾶ. δ'. εὐαγγελιστῶν εἰπόντων ὅτι παρεκάλεσαν αὐτὸν, καὶ οὕτω ταύτην ἐθεράπευσεν, ὁ Ματ
θαῖος οὐκ εἶπε τοῦτο συντομίας φροντίζας. εἶπον γάρ σοι καὶ ἀρχόμενος, ὅτι ὃ παρέ
λιπεν οὗτος, λέγει ἄλλος. μάθε δὲ καὶ ὅτι ὁ γάμος οὐδὲν κωλύει τὴν ἀρετήν. ὁ
γὰρ κορυφαῖος τῶν ἀποστόλων πενθερὰν εἶχεν.
» Ὀψίας δὲ γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς. καὶ ἐξέβα-
» λε τὰ πνεύματα λόγῳ. καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν. ὅπως πλη-
Ἡσα. νγ'. » ρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος. αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλα-
» βε. καὶ τὰς νόσους ἐβάστασεν. Ὀψίας καὶ παρὰ καιρὸν προσῆγον τοὺς ἀῤῥώστους.
αὐτὸς δὲ φιλάνθρωπος ὢν, ἐθεράπευσε πάντας. εἶτα ἵνα μὴ ἀπιστήσῃς, πῶς το-
σαῦτα νοσήματα ἐν βραχεῖ ἐθεραπεύοντο, παράγει τὸν Ἡσαΐαν μαρτυροῦντα. καί-
τοιγε ὁ προφήτης περὶ ἁμαρτιῶν τοῦτο λέγει. ὁ Ματθαῖος δὲ περὶ νοσημάτων αὐ
τὸ τέθεικε. καὶ γὰρ τὰ πλείω ἐξ ἁμαρτημάτων γίνονται.
» Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν.
Οὐ γὰρ ἦν φιλόδοξος. ἅμα δὲ, καὶ τῶν Ἰουδαίων τὸν φθόνον ἐκκλίνων.
» Καὶ προσελθὼν εἷς γραμματεὺς, εἶπεν αὐτῷ. διδάσκαλε. ἀκολουθήσω σοι ὅ-
» που ἐὰν ἀπέρχῃ. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς. αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι. καὶ τὰ
» πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις. ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφα
» λὴν κλίνῃ. Γραμματέα λέγει τὸν τὸ γράμμα τοῦ νόμου ἐπιστάμενον. οὗτος οὖν ἰδὼν
τὰ πολλὰ σημεῖα, προσεδόκησεν ἐκ τούτων χρήματα συνάγειν τὸν Ἰησοῦν. διὸ καὶ
σπουδάζει ἀκολουθεῖν αὐτῷ. ἵνα καὶ αὐτὸς συλλέγῃ. ὁ δὲ Χριστὸς πρὸς τὴν διάνοιαν
αὐτοῦ ἀπαντῶν, μονονουχὶ τοῦτο φησί. προσδοκᾷς ἀκολουθῶν ἐμοὶ, χρήματα
συλλέγειν; οὐχ ὁρᾷς ὅτι ἄοικός εἰμι; τοιοῦτος καὶ ὁ ἀκολουθῶν ἐμοὶ, ὀφείλει εἶναι.
ταῦτα δὲ ἔλεγεν ὥσπερ πείσῃ αὐτὸν μεταβληθέντα ἀκολουθεῖν. ὁ δὲ, ἀναχωρεῖ. τι-
νὲς δὲ ἀλώπεκας καὶ πετεινὰ, τοὺς δαίμονας λέγουσι. φησὶν οὖν ὅτι, οἱ δαίμονες ἐν
σοὶ ἀναπαύονται. καὶ ἐγὼ λοιπὸν οὐκ ἔχω ἐν τῇ σῇ ψυχῇ ἀνάπαυσιν.
» Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ. κύριε. ἐπίτρεψόν μοι πρῶτον ἀπελ-
» θεῖν καὶ θάψαι τὸν πατέρα μου. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. ἀκολούθει μοι. καὶ ἄφες
» τοὺς νεκροὺς, θάψαι τοὺς ἑαυτῶν νεκρούς. Μεθ᾽ ὃ δώσει τὶς ἑαυτὸν τῷ θεῷ, οὐκ
ὀφείλει στρέφεσθαι εἰς τὰ βιωτικά. δεῖ μὲν γὰρ καὶ τοὺς γονεῖς τιμᾶν, ἀλλὰ τὸν θεὸν
προτιμᾶν. ἐνταῦθα δὲ καὶ ἄπιστος ἦν ὁ γονεύς. καὶ δῆλον, ἐκ τοῦ λέγειν. ἄφες τοὺς
νεκροὺς, τουτέστι τοὺς ἀπίστους, θάψαι τοὺς ἑαυτῶν νεκρούς. εἰ δὲ ἐκεῖνος οὐ δὲ τὸν
πατέρα θάψαι συνεχωρήθη, οὐαὶ τοῖς μετὰ τὸ μονάσαι, εἰς πράγματα στρεφομένοις.
» Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ ἰδοὺ
» σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυ-
» μάτων. αὐτὸς δὲ ἐκάθευδεν. Τοὺς μαθητὰς μόνους κατέχει, ὥστε ἰδεῖν τὸ θαῦ-
μα. ἀφίησι δὲ αὐτοὺς κλυδωνισθῆναι, ἵνα γυμνασθῶσι πρὸς πειρασμούς. καὶ ἵνα
διὰ τοῦ σημείου, ἐπὶ πλεῖον πιστεύσωσι. καθεύδει δὲ, ὡς ἂν φοβηθέντες, ἐπιγνῶσι
τὴν ἰδίαν ἀσθένειαν. καὶ παρακαλέσωσιν αὐτόν. διὸ φησίν.
» Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἤγειραν αὐτὸν, λέγοντες. κύριε σῶσον ἡμᾶς.

» ἀπολλύμεθα, καὶ λέγει αὐτοῖς τί δειλοί ἐστε, ὀλιγόπιστοι. Οὐκ ἀπίστοις εἶπεν, ἀλ-
λ' ὀλιγοπίστοις. καθὸ μὲν γὰρ εἶπον κύριε σῶσον ἡμᾶς, πίστιν ἐνδείκνυνται. τὸ δὲ ἀ-
πολλύμεθα, οὐ πίστεως. ἐκείνου γὰρ συμπλέοντος, οὐκ ἔδει δεδιέναι. ὅρα δὲ ὅτι ὀνει
δίζων αὐτοῖς ὡς δειλοῖς, δείκνυσιν ὡς ἡ δειλία φέρει τοὺς κινδύνους. διὸ καὶ πρῶτον
παύσας τὸν χειμῶνα τῆς ψυχῆς αὐτῶν, τότε λύει καὶ τὸν τῆς θαλάσσης.
» Τότε ἐγερθεὶς, ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ. καὶ ἐγένετο γαλήνη με-
» γάλη. οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες. ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ
» ἡ θάλασσα ὑπακούουσιν αὐτῷ. Τὸ μὲν γὰρ ὁρώμενον, ἀνθρώπου. τὰ δὲ ἔργα, θεοῦ.
» Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν, εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ
» δύο δαιμονιζόμενοι. Τῶν ἐν τῷ πλοίῳ διστασάντων ποταπός ἐστιν οὗτος, ὅτι καὶ
οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ, ἔρχονται οἱ δαίμονες κήρυκες. εἰ δὲ ὁ
Μάρκος καὶ ὁ Λουκᾶς ἕνα λέγουσι τὸν τὴν λεγεῶνα ἔχοντα, νόησον ὅτι ἐκεῖνος εἷς ἦν Μαρκ. ε.
τούτων τῶν δύο ὁ τάχα ἐπισημότερος. ἀφ' ἑαυτοῦ δὲ ἦλθε πρὸς αὐτοὺς, ἐπεὶ φο Λουκ. η.
βεροὺς ὄντας, οὐδεὶς ἐτόλμα προσαγαγεῖν αὐτούς.
» Ἐκ τῶν μνημείων ἐξερχόμενοι χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ
» τῆς ὁδοῦ ἐκείνης. Ἐν τοῖς μνημείοις διέτριβον, δόγμα ἐνθεῖναι βουλόμενοι οἱ δαί-
μονες, ὅτι αἱ ψυχαὶ τῶν ἀποθανόντων δαίμονες γίνονται. ὃ μὴ δὲ ἐννοήσειέ τις. ἡ
ψυχὴ γὰρ ἐξελθοῦσα, οὐκ ἐν τῷ κόσμῳ πλανᾶται. αἱ μὲν γὰρ τῶν δικαίων, ἐν χει
ρὶ θεοῦ. αἱ δὲ τῶν ἁμαρτωλῶν, καὶ αὐταὶ ἔνθεν ἀπάγονται. ὡς ἡ τοῦ πλουσίου.
» Καὶ ἰδοὺ ἔκραξαν λέγοντες. τί ἡμῖν καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ θεοῦ, ἦλθες ὧδε πρὸ και
» ροῦ βασανίσαι ἡμᾶς. Ἰδοὺ υἱὸν τοῦ θεοῦ κηρύσσουσι, πρότερον ὁμολογοῦντες τὴν
ἔχθραν. βάσανον δὲ ἡγοῦνται, τὸ μὴ συγχωρεῖσθαι ἀδικεῖν τοὺς ἀνθρώπους. τὸ δὲ
πρὸ καιροῦ, νόει ὅτι ἐνόμιζον τὸν χριστὸν μὴ ὑπομένοντα τὴν ὑπερβολὴν τῆς κα-
κίας αὐτῶν, μὴ ἀναμεῖναι τὸν καιρὸν τῆς κολάσεως. ὅπερ οὐκ ἔστιν. ἕως γὰρ τῆς
συντελείας ἐῶνται παλαίειν ἡμῖν.
» Ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. οἱ δὲ δαίμονες πα
» ρεκάλουν αὐτὸν, λέγοντες. εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀ-
» γέλην τῶν χοίρων. καὶ εἶπεν αὐτοῖς. ὑπάγετε. οἱ δὲ, ἐξελθόντες, ἀπῆλθον εἰς τὴν
» ἀγέλην τῶν χοίρων. Οἱ μὲν δαίμονες αἰτοῦσιν. ὡς ἂν τοὺς χοίρους πνίξαντες,
λυπήσωσι τοὺς δεσπότας αὐτῶν. ὥστε μὴ παραδέξασθαι τὸν χριστόν. ὁ δὲ χριστὸς,
συγχωρεῖ τοῖς δαίμοσι. δεικνύων ποίαν πικρίαν ἔχουσι πρὸς τοὺς ἀνθρώπους. καὶ
ὅτι εἰ ἐξουσίαν εἶχον καὶ οὐκ ἐκωλύοντο, χεῖρον ἂν τῶν χοίρων διέθεντο ἡμᾶς. ἐκεῖ-
νος γὰρ φυλάττει τοὺς δαιμονῶντας, ὥστε μὴ φονεύειν ἑαυτούς.
» Καὶ ἰδοὺ ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ, εἰς τὴν θάλασ-
» σαν. καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. οἱ δὲ βόσκοντες ἔφυγον. καὶ ἀπελθόντες εἰς τὴν
» πόλιν, ἀπήγγειλαν πάντα καὶ τὰ τῶν δαιμονιζομένων. καὶ ἰδοὺ πᾶσα ἡ πόλις
» ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ. καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ
» τῶν ὁρίων αὐτῶν. Λυπηθέντες, καὶ δόξαντες χεῖρόν τι μετὰ ταῦτα παθεῖν, παραι-
τοῦνται αὐτόν. σὺ δὲ μάθε ὅτι ἔνθα θηριώδης βίος, ὁ χριστὸς μὲν οὐ μένει ἐκεῖ.
δαίμονες δέ.

Κεφάλαιον Ἔνατον.

» Καὶ ἐμβὰς εἰς τὸ πλοῖον, διεπέρασε καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. καὶ ἰδοὺ
» προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. Ἰδίαν πόλιν τὴν Καπερ-
ναοὺμ λέγει. ἐκεῖ γὰρ ᾤκει. ἡ μὲν γὰρ Βηθλεὲμ, ἔτεκεν. ἡ δὲ Ναζαρὲτ, ἔθρεψεν.

ἡ δὲ Καπερναοὺμ, εἶχε διηνεκῶς οἰκοῦντα· ὁ δὲ παράλυτος οὗτος, ἕτερός ἐστι παρὰ
τὸν ἐν τῷ Ἰωάννῃ· ἐκεῖνος μὲν γὰρ, παρὰ τῇ προβατικῇ ἐν Ἱερουσαλήμ· οὗτος δὲ,
ἐν Καπερναοὺμ· καὶ ὁ μὲν, οὐκ εἶχεν ἄνθρωπον. οὗτος δὲ, ὑπὸ τεσσάρων βαστάζε-
Μάρκ. β΄. ται, ὡς ὁ Μάρκος φησίν· ὥστε καὶ διὰ τῆς στέγης χαλασθῆναι· ὅπερ ὁ Ματθαῖος
παρέλειψεν·

» Καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν· Ἢ τῶν προσενεγκάντων καὶ γὰρ πολλάκις
διὰ τὴν τῶν προσφερόντων πίστιν θαυματουργεῖ, ἢ καὶ αὐτοῦ ἐκείνου·

» Εἶπε τῷ παραλυτικῷ. θάρσει τέκνον. ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου·
Τέκνον καλεῖ, ἢ ὡς πλάσμα θεοῦ, ἢ ὡς πιστεύσαντα· δεικνὺς δὲ ὅτι μάλιστα ἡ πα-
ράλυσις ἐξ ἁμαρτιῶν, λύει πρῶτον ἐκείνας·

» Καὶ ἰδού τινες τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς. οὗτος βλασφημεῖ· καὶ ἰδὼν
» ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν. ἵνα τί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρ
» δίαις ὑμῶν· τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν. ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν ἔ-
» γειραι καὶ περιπάτει· Ἐκ τοῦ τὰς ἐνθυμήσεις εἰδέναι, δεικνὺς ἑαυτὸν θεόν· ἐλέγ-
χει γοῦν αὐτοὺς λέγων τοιαῦτα· ὑμεῖς μὲν νομίζετέ με βλάσφημον, ὡς ὑπισχνούμενον
ἀφιέναι ἁμαρτίας. ὅπερ μέγα μέν ἐστι, δοκεῖτε δέ με εἰς τοῦτο καταφεύγειν ὡς ἂν
μὴ ἐλεγχθῶ· ἐγὼ δὲ ἐκ τῆς τοῦ σώματος θεραπείας, πιστώσομαι καὶ τὴν τῆς ψυ-
χῆς· διὰ τοῦ ἐλάττονος μὲν, δυσκολωτέρου δὲ δοκοῦντος, βεβαιῶν καὶ τὴν τῶν
ἁμαρτιῶν ἄφεσιν. ἥτις μεγάλη μὲν, εὐκολωτέρα δὲ ὑμῖν δοκεῖ διὰ τὸ ἀφανὴς εἶναι·

» Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρ-
» τίας, τότε λέγει τῷ παραλυτικῷ. ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν
» οἶκόν σου· καὶ ἐγερθεὶς, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν.
» καὶ ἐδόξασαν τὸν θεὸν τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις· Προσέταξεν
αὐτῷ τὴν κλίνην βαστάσαι, ἵνα μὴ φαντασία δόξῃ· καὶ ἅμα, ἵνα ἴδωσιν οἱ ὄχλοι τὸ
σημεῖον. οἱ ὡς ψιλὸν μὲν ἄνθρωπον ἐνόμιζον αὐτόν. κρείττονα μέντοι πάντων·

» Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον
» λεγόμενον· καὶ λέγει αὐτῷ. ἀκολούθει μοι· καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ·
Οὐ μετὰ Πέτρου καὶ Ἰωάννου τοῦτον ἐκάλεσεν, ἀλλ᾽ ὅτε ἤδει πεισθησόμενον· οὕτω γὰρ καὶ
Παῦλον ἐκάλεσεν ὕστερον ὅτε καιρὸς ἦν· θαύμασον δὲ τὸν εὐαγγελιστὴν, πῶς ἐκπομ
πεύει τὸν ἑαυτοῦ βίον· καίτοι οἱ ἄλλοι ἔκρυψαν τὸ ὄνομα αὐτοῦ, Λευῒ προσαγορεύ-
σαντες αὐτόν· θεοῦ δὲ ἔργον τῷ λόγῳ μόνῳ μεταστρέψαι αὐτόν·

» Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρ-
» τωλοὶ, ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδόντες οἱ Φαρι
» σαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ· διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει
» ὁ διδάσκαλος ὑμῶν· Εὐφραινόμενος ὁ Ματθαῖος τῇ τοῦ Χριστοῦ ὑποδοχῇ, τοὺς
τελώνας ἐκάλεσε· συνεστιᾶται δὲ αὐτοῖς ὁ Χριστὸς, ὥστε ὠφελῆσαι αὐτούς. κἂν διὰ
τοῦτο ἐψέγετο· οἱ γὰρ Φαρισαῖοι θέλοντες ἀπορρῆξαι αὐτοῦ τοὺς μαθητὰς, διέβαλλον
τὴν μετὰ τῶν τελωνῶν συνεστίασιν·

» Ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς. οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κα
Ὡσηέ ς΄. » κῶς ἔχοντες· πορευθέντες δὲ μάθετε τί ἐστι τὸ, ἔλεον θέλω καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλ
» θον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· Οὐκ ἦλθόν φησι νῦν ὡς
κριτὴς, ἀλλ᾽ ὡς ἰατρός· ὅθεν καὶ δυσωδίας ἀνέχομαι· ἐλέγχει δὲ αὐτοὺς καὶ ὡς ἀμα
θεῖς, λέγων. πορευθέντες μάθετε· τουτέστιν, ἐπεὶ μέχρι τοῦ νῦν οὐκ ἐμάθετε, κἂν
ἀπὸ τοῦ νῦν ἀπέλθετε καὶ μάθετε ὅτι τὸν εἰς τοὺς ἁμαρτωλοὺς ἔλεον προτιμᾷ τῶν

θυσιῶν ὁ θεός. τὸ δὲ οὐκ ἦλθον καλέσαι δικαίους, εἰρωνευόμενος λέγει. τουτέστιν ὑ-
μᾶς τοὺς δικαιοῦντας ἑαυτούς. ἐπεὶ οὐδεὶς τῶν ἀνθρώπων ἐστὶ δίκαιος. ἦλθον οὖν κα-
λέσαι ἁμαρτωλοὺς, οὐχ ἵνα μείνωσιν ἁμαρτωλοὶ, ἀλλ' ἵνα μετανοήσωσιν.
» Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου, λέγοντες. διατί ἡμεῖς καὶ οἱ φαρι
σαῖοι νηστεύομεν πολλὰ, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν. Οἱ μαθηταὶ Ἰωάννου,
φθονοῦντες τῇ δόξῃ τοῦ Χριστοῦ, ἐγκαλοῦσιν αὐτῷ μὴ νηστεύοντι. διηποροῦντο γὰρ ἴσως,
πῶς ἄνευ ἀσκήσεως τὰ πάθη νικᾷ. ὅπερ Ἰωάννης οὐκ ἴσχυσεν. ἠγνόουν γὰρ ὅτι Ἰωάν
νης μὲν, ἄνθρωπος ψιλός. καὶ ἐξ ἀρετῆς δίκαιος. Χριστὸς δὲ, αὐτοαρετὴ, ὡς θεός.
» Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς. μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ' ὅσον με-
» τ' αὐτῶν ἐστὶν ὁ νυμφίος; ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος,
» καὶ τότε νηστεύσουσιν. Χαρᾶς φησὶν ὁ παρὼν καιρὸς, ἕως οὗ μετὰ τῶν μαθητῶν εἰμι.
νυμφίον γὰρ ἑαυτὸν ὀνομάζει, ὡς ἁρμοζόμενον ἑαυτῷ τὴν νέαν συναγωγὴν, ἀποθα-
νούσης τῆς παλαιᾶς. υἱοὺς δὲ νυμφῶνος, τοὺς ἀποστόλους. ἔσται οὖν καιρὸς φησὶν ὅτε
ἐμοῦ παθόντος καὶ ἀναληφθέντος, νηστεύσουσιν ἐν λιμῷ καὶ δίψῃ διωκόμενοι. τὸ ἀτε
λὲς δὲ τῶν μαθητῶν δεικνύων, ἐπάγει.
» Οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ. αἴρει
» γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται. οὐ δὲ βάλλου-
» σιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς. εἰ δὲ μήγε, ῥήγνυνται οἱ ἀσκοί. καὶ ὁ οἶνος ἐκ
» χεῖται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινοὺς,
» καὶ ἀμφότερα συντηροῦνται. Οὔπω φησὶν οἱ μαθηταὶ γεγόνασιν ἰσχυροί. ἀλλὰ
συγκαταβάσεως δέονται. καὶ οὐ χρὴ βάρος αὐτοῖς ἐπιτιθέναι ἐπιταγμάτων. ταῦ-
τα δὲ ἔλεγε, διδάσκων καὶ τοὺς μαθητάς. ἵνα καὶ αὐτοὶ ὅταν μαθητεύωσι τὴν οἰ-
κουμένην, συγκαταβαίνωσι. ῥάκος οὖν ἄγναφον ἡ νηστεία. καὶ οἶνος νέος. ἱμάτιον
δὲ παλαιὸν καὶ ἀσκοὶ, ἡ ἀσθένεια τῶν μαθητῶν.
» Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδοὺ ἄρχων τις προσελθὼν, προσεκύνει αὐτῷ,
» λέγων. ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν. ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρα σου ἐπ' αὐ-
» τὴν, καὶ ζήσεται. καὶ ἐγερθεὶς ὁ Ἰησοῦς, ἠκολούθησεν αὐτῷ, καὶ οἱ μαθηταὶ αὐτοῦ.
φαίνεται πίστιν ἔχων οὗτος εἰ καὶ μὴ μεγάλην. παρακαλεῖ γὰρ τὸν Ἰησοῦν, οὐχὶ λό-
γῳ μόνῳ εἰπεῖν, ἀλλὰ καὶ ἐλθεῖν. καὶ τὴν χεῖρα ἐπιθεῖναι. τετελευτηκέναι δὲ λέγει
τὴν θυγατέρα. καίτοι τοῦ Λουκᾶ λέγοντος ὡς οὔπω τετελεύτηκεν, ἢ ὡς στοχαζόμενος, Λουκ. ή.
διὰ τὸ ἐν ἐσχάταις ἀναπνοαῖς αὐτὴν ἀφεῖναι. ἢ αὐξάνων τὴν συμφορὰν, ὡς εἰς ἔ-
λεον ἑλκύσαι τὸν Χριστόν.
» Καὶ ἰδοὺ γυνὴ αἱμοῤῥοοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρα-
» σπέδου τοῦ ἱματίου αὐτοῦ. ἔλεγε γὰρ ἐν ἑαυτῇ. ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐ-
» τοῦ, σωθήσομαι. ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν, εἶπε. θάρσει θύγατερ.
» ἡ πίστις σου σέσωκέ σε. καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. Ἀκάθαρτος οὖσα
διὰ τὸ πάθος, οὐ προσῆλθε φανερῶς ἡ γυνή. εὐλαβουμένη μήπως κωλυθῇ. εἰ καὶ
ἐνόμισε δὲ λανθάνειν, πλὴν ἤλπισεν ὑγείας τυχεῖν, εἰ μόνον τοῦ ἄκρου τοῦ ἱματίου
ἅψεται. τοῦτο γὰρ, τὸ κράσπεδον. ἀλλ' ὁ σωτὴρ φανεροῖ αὐτήν. οὐχ ὡς δόξης ἐρῶν,
ἀλλ' ἵνα τὴν πίστιν αὐτῆς δείξῃ πρὸς ὠφέλειαν ἡμῶν. καὶ ἵνα πιστωθῇ καὶ ὁ ἀρχισυ-
νάγωγος. θάρσει δὲ λέγει αὐτῇ, διότι ἐφοβήθη ὡς κλέψασα τὴν δωρεάν. καὶ θυγα
τέρα δὲ καλεῖ, ὡς πιστήν. δείκνυσι δὲ ὅτι ἐὰν μὴ πίστιν προσήγαγεν, οὐκ ἂν ἔλαβε
τὴν χάριν, κἂν τὰ ἱμάτια ἅγια ἦσαν. λέγουσι δὲ ὡς ἀνδριάντα αὕτη τοῦ σωτῆρος
εἰργάσατο, οὗ παρὰ τοὺς πόδας ἐφύετο βοτάνη ταῖς αἱμοῤῥοούσαις βοηθοῦσα. ὃν ἐν

τοῖς Ἰουλιανοῦ χρόνοις οἱ ἀσεβεῖς συνέτριψαν·

» Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος. καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄ-
» χλον θορυβούμενον, λέγει αὐτοῖς. ἀναχωρεῖτε. οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ κα-
» θεύδει· καὶ κατεγέλων αὐτοῦ· Ἐπειδὴ ἄγαμος ἦν, μετὰ τῶν γαμικῶν αὐλῶν αὐτὴν ἐθρήνουν, παρὰ τὸν νόμον τοῦτο ποιοῦντες· καθεύδειν δὲ λέγει αὐτὴν, διότι παρ' αὐτῷ ὁ θάνατος ὕπνος ἦν, δυναμένῳ εὐκόλως ἀναστῆσαι· εἰ δὲ καταγελῶσιν αὐτοῦ, μὴ θαυμάσῃς· μαρτυροῦσι γὰρ μᾶλλον τῷ θαύματι, ὡς νεκρὰν τῷ ὄντι ἀναστήσαντος· ἵνα γὰρ μήτις λέγῃ ὅτι κάτοχος ἐγένετο, διὰ τοῦτο ὡμολογήθη παρὰ πάντων ἀποθανεῖν·

» Ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς χειρὸς αὐτῆς. καὶ ἠγέρθη τὸ
» κοράσιον· καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην·
Ἔνθα ὄχλος καὶ περισπασμὸς, οὐ θαυματουργεῖ ὁ Ἰησοῦς· κρατεῖ δὲ τῆς χειρὸς, ἐντιθεὶς δύναμιν· καὶ σὺ δὲ, ἐὰν νεκρωθῇς ταῖς ἁμαρτίαις, τότε ἀναστήσῃ ὅτε κρατήσει σου τῆς χειρὸς τῆς πρακτικῆς, τὸν ὄχλον καὶ τὸν περισπασμὸν ἐκβαλών·

» Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ δύο τυφλοί· κράζοντες καὶ
» λέγοντες. ἐλέησον ἡμᾶς υἱὲ Δαβίδ· Οἱ τυφλοὶ ὡς μὲν θεῷ, ἔλεγον τὸ, ἐλέησον. ὡς δὲ ἀνθρώπῳ, τὸ, υἱὲ Δαβίδ· ἐθρυλλεῖτο γὰρ παρὰ Ἰουδαίοις ὡς ὁ μεσσίας ἐκ σπέρματος Δαβὶδ ἐλεύσεται·

» Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ οἱ τυφλοί· καὶ λέγει αὐτοῖς ὁ Ἰη-
» σοῦς. πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ. ναὶ κύριε·
Παρέλκει τοὺς τυφλοὺς ἄχρι καὶ τῆς οἰκίας, ἵνα δείξῃ τὴν ἐπίμονον αὐτῶν πίστιν. καὶ κατακρίνῃ τοὺς Ἰουδαίους· ἐρωτᾷ δὲ αὐτοὺς εἰ πιστεύουσι, δεικνὺς ὅτι πάντα ἡ πίστις κατορθοῖ·

» Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων. κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν·
» καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· Ἐν οἰκίᾳ θεραπεύει καὶ κατ' ἰδίαν, διὰ τὸ ἀφιλόδοξον· πανταχοῦ γὰρ ταπεινοφρονεῖν διδάσκει·

» Καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων. ὁρᾶτε μηδεὶς γινωσκέτω· οἱ δὲ, ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ· Ὁρᾷς τὸ ἄτυφον; ἐκεῖνοι δὲ, οὐχ ὡς ἀπειθοῦντες, ἀλλ' ὡς εὐχαριστοῦντες διεφήμισαν· εἰ δὲ ἀλλαχοῦ φαίνεται λέγων. ἄπελθε καὶ διηγοῦ τὴν δόξαν τοῦ θεοῦ, οὐδὲν ἐναντίον· θέλει γὰρ περὶ ἑαυτοῦ μὲν μηδὲν λέγειν, διηγεῖσθαι δὲ τὴν δόξαν τοῦ θεοῦ·

» Αὐτῶν δὲ ἐξερχομένων, ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον·
» καὶ ἐκβληθέντος τοῦ δαιμονίου, ἐλάλησεν ὁ κωφός· Οὐ φυσικὸν ἦν τὸ πάθος, ἀλλὰ τοῦ δαίμονος· διὸ καὶ ἕτεροι προσάγουσιν αὐτόν· οὐ γὰρ δι' ἑαυτοῦ παρακαλέσαι ἠδύνατο, τοῦ δαίμονος δήσαντος τὴν γλῶσσαν· ὅθεν οὐδὲ ἀπαιτεῖ πίστιν. ἀλλ' εὐθέως ἰᾶται, ἐκβαλὼν τὸν δαίμονα τὸν τὴν λαλιὰν κωλύοντα·

» Καὶ ἐθαύμασαν οἱ ὄχλοι, λέγοντες ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ·
Θαυμάζει ὁ ὄχλος, καὶ προφητῶν καὶ πατριαρχῶν ὑπερτίθησι τὸν Χριστόν. μετ' ἐξουσίας γὰρ ἐθεράπευε καὶ οὐχ ὡς ἐκεῖνοι, εὐχόμενοι· ἴδωμεν δὲ καὶ τοὺς φαρισαίους τί φασίν·

» Οἱ δὲ φαρισαῖοι ἔλεγον. ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια·
Ἄκρας μωρίας οἱ λόγοι. οὐδεὶς γὰρ δαίμων ἐκβάλλει δαίμονα. ἔστω δὲ ὅτι τοὺς δαίμονας ἐξέβαλεν, ὡς τῷ ἄρχοντι τῶν δαιμονίων δουλεύων, ἤτοι μαγεύων· τὰς νόσους δὲ καὶ τὰ ἁμαρτήματα, πῶς ἔλυε; καὶ βασιλείαν ἐκήρυττεν· ὁ γὰρ δαίμων, τοὐ-

ναντίον

ναντίον μᾶλλον, καὶ νόσους ἐπιφέρει, καὶ θεοῦ ἀφιστᾷ.
» Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συ-
» ναγωγαῖς αὐτῶν. καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας. καὶ θεραπεύων πᾶσαν
» νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. Φιλάνθρωπος ὤν, οὐκ ἀναμένει αὐτοὺς
πρὸς ἐκεῖνον ἐλθεῖν, ἀλλ' αὐτὸς περίεισιν. ἵνα μὴ ἔχωσιν ἀπολογίαν ὡς οὐδεὶς ἡμᾶς
ἐδίδαξεν. ἔργῳ δὲ καὶ λόγῳ ἕλκει αὐτούς, διδάσκων καὶ θαυματουργῶν.
» Ἰδὼν δὲ τοὺς ὄχλους ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐσκυλμένοι καὶ ἐρριμμέ-
» νοι ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα. Οὐκ εἶχον ποιμένα, ἐπεὶ οἱ ἄρχοντες αὐ-
τῶν οὐ μόνον οὐ διώρθουν, ἀλλὰ δὴ καὶ ἔβλαπτον. ἀληθοῦς δὲ ποιμένος δεῖ τὸ σπλαγ-
χνίζεσθαι ἐπὶ τῷ ποιμνίῳ.
» Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ. ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι.
» δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ. ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.
Θερισμὸν ὀνομάζει τὸ πλῆθος τὸ χρῇζον τῆς θεραπείας. ἐργάτας δὲ τοὺς ὀφείλοντας
διδάσκειν. οἳ οὐκ ἦσαν τότε ἐν τῷ Ἰσραήλ. κύριος δὲ τοῦ θερισμοῦ, αὐτὸς ὁ Χριστός, ὡς
προφητῶν καὶ ἀποστόλων κύριος. δῆλον δὲ τοῦτο, ἀπὸ τοῦ προχειρίσασθαι τοὺς δώδε-
κα χωρὶς τοῦ αἰτῆσαι τὸν θεόν. ἄκουε γάρ.

Κεφάλαιον Δέκατον.

» Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ
» πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν. καὶ θεραπεύειν πᾶσαν νόσον καὶ
» πᾶσαν μαλακίαν. Δώδεκα μὲν μαθητὰς ἐκλέγεται, κατὰ τὸν ἀριθμὸν τῶν δώδε-
κα φυλῶν. δύναμιν δὲ τούτοις προσθεὶς, καίτοιγε ὀλίγοις οὖσιν ἀπέστειλεν. ὀλίγοι γὰρ οἱ
διὰ τῆς στενῆς ὁδεύοντες. δίδωσι δὲ αὐτοῖς τὸ θαυματουργεῖν, ὥστε διὰ τῶν θαυ-
μάτων καταπλήσσοντες, πρὸς τὴν διδασκαλίαν πειθηνίους ἔχωσι τοὺς ἀκροατάς.
» Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματα, ἐστὶ ταῦτα. πρῶτος Σίμων ὁ λεγόμενος
» Πέτρος. καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ. Καταλέγει τὰ τῶν ἀποστόλων ὀνόματα,
διὰ τοὺς ψευδαποστόλους. προτίθησι δὲ Πέτρον καὶ Ἀνδρέαν. διότι καὶ πρωτόκλη-
τοι. εἶτα τοὺς τοῦ Ζεβεδαίου. προτάττει δὲ τὸν Ἰάκωβον, τοῦ Ἰωάννου. οὐ γὰρ κατὰ τὴν
ἀξίαν, ἀλλ' ἁπλῶς κατὰ τὸ προσπεσὸν καταλέγει τούτους. φησὶ γοῦν.
» Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ. Φίλιππος, καὶ Βαρ-
» θολομαῖος. Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης. Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, καὶ Λεβ-
» βαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος. Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας Ἰσκαριώτης ὁ καὶ
» παραδοὺς αὐτόν. Ἴδε ταπείνωσιν τοῦ Ματθαίου, πῶς ἑαυτὸν μετὰ τὸν Θωμᾶν ἔτα-
ξεν. ἐπὶ δὲ τὸν Ἰούδαν ἐλθὼν, οὐκ εἶπεν ὁ μιαρός. ὁ τοῦ θεοῦ ἐχθρός, ἀλλ' Ἰσκαριώ-
την αὐτὸν ἀπὸ τῆς πατρίδος ὠνόμασεν. ἦν γὰρ καὶ ἕτερος Ἰούδας, ὁ καὶ Λεββαῖος
καὶ Θαδδαῖος. δύο τοίνυν Ἰάκωβοι. ὁ τοῦ Ζεβεδαίου, καὶ ὁ τοῦ Ἀλφαίου. καὶ δύο
Ἰούδαι. ὁ Θαδδαῖος, καὶ ὁ προδότης καὶ τρεῖς Σίμωνες. ὁ Πέτρος. ὁ Κανανίτης. καὶ
ὁ προδότης. Σίμων γὰρ Ἰούδας Ἰσκαριώτης ἐλέγετο.
» Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς, λέγων. εἰς ὁδὸν ἐθνῶν
» μὴ ἀπέλθητε. καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. πορεύεσθε δὲ μᾶλλον πρὸς
» τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. πορευόμενοι δὲ κηρύσσετε, λέγοντες ὅτι
» ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Τούτους. ποίους. τοὺς ἁλιεῖς. τοὺς ἰδιώτας. τοὺς τε-
λώνας. προηγουμένως δὲ τοῖς Ἰουδαίοις ἀποστέλλει αὐτούς, ἵνα μὴ ἔχωσι λέγειν ὅτι,
πρὸς τοὺς ἐθνικοὺς ἀπεστάλησαν, καὶ διὰ τοῦτο ἡμεῖς οἱ Ἰουδαῖοι οὐκ ἐπιστεύσαμεν.
ἀπροφασίστους οὖν τοὺς Ἰουδαίους ποιεῖ. συνάπτει δὲ τοὺς Σαμαρείτας τοῖς ἐθνικοῖς.

ἐπεὶ Βαβυλώνιοι ὄντες κατῴκησαν τὴν Ἰουδαίαν· καὶ οὐ δὲ τοὺς προφήτας ἐδέχοντο. ἀλλὰ μόνα τὰ πέντε τοῦ Μωσέως βιβλία· βασιλείαν δὲ οὐρανῶν, καὶ τὴν μέλλουσαν ἀπόλαυσιν νόει. ὁπλίζει δὲ αὐτοὺς τοῖς θαύμασι, λέγων·

» Ἀσθενοῦντας θεραπεύετε. λεπροὺς καθαρίζετε. δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε· Οὐδὲν οὕτως ἁρμόζει τῷ διδασκάλῳ, ὡς ταπείνωσις καὶ ἀκτημοσύνη· τὰ δύο τοίνυν ταῦτα ἐνταῦθα δείκνυσι, δωρεὰν ἐλάβετε λέγων· μὴ γὰρ ὑψηλοφρονεῖτε, ὡς τοιαῦτα ἀγαθὰ ἔχοντες καὶ διδόντες. δωρεὰν γὰρ καὶ χάριτι ταῦτα ἔχετε. ἀλλὰ σὺν τῷ ταπεινοφρονεῖν, καὶ ἀφιλοχρήματοι γίνεσθε· δωρεὰν γάρ φησι, δότε. τελεώτερον δὲ ἀνασπῶν τὴν ῥίζαν πάντων τῶν κακῶν, φησίν·

» Μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν. μὴ πήραν εἰς ὁδόν. μηδὲ δύο χιτῶνας. μηδὲ ὑποδήματα. μηδὲ ῥάβδους· ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστίν· Εἰς πᾶσαν ἀκρίβειαν αὐτοὺς γυμνάζει· διὰ τοῦτο ἀπερίττοις αὐτοὺς παντελῶς ποιῶν καὶ ἀμερίμνους, οὐδὲ ῥάβδους συγχωρεῖ ἔχειν· τοῦτο γὰρ ἡ ἀκριβὴς ἀκτημοσύνη. ποιοῦσα πιστεύεσθαι τὸν περὶ ἀκτημοσύνης διδάσκοντα· εἶτα ἵνα μὴ λέγωσι. πόθεν διατραφησόμεθα, φησίν. ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ. τουτέστιν, ἐκ τῶν μαθητῶν τραφήσεσθε· χρεωστοῦσι γὰρ τοῦτο ὑμῖν ὡς ἐργάταις· τροφῆς δὲ εἶπεν, οὐ τρυφῆς. οὐ γὰρ δεῖ τρυφᾶν τοὺς διδασκάλους·

» Εἰς ἣν δ᾽ ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι, κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε· Οὐκ εἰς πάντας κελεύει ἔρχεσθαι. ἵνα μὴ τοῖς ἀναξίοις μιγνύμενοι, διαβάλλωνται· ἐὰν γὰρ εἰς τοὺς ἀξίους μόνους ἔρχωνται, πάντως καὶ διατραφήσονται· κελεύει δὲ προσμένειν, καὶ μὴ οἰκίαν ἐξ οἰκίας ἀμείβειν. ἵνα μὴ ὡς γαστρίμαργοι ψέγωνται. καὶ δόξωσι τοὺς πρῶτον δεξαμένους ὑβρίζειν·

» Εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν, λέγοντες εἰρήνη τῷ οἴκῳ τούτῳ· καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ᾽ αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω· Ἀσπασμὸν καὶ εἰρήνην, τὴν εὐλογίαν νόει. ἥτις παραμένει μόνοις τοῖς ἀξίοις· μάθε οὖν ἐντεῦθεν ὅτι μάλιστα τὰ ἡμέτερα ἔργα εὐλογοῦσιν ἡμᾶς·

» Καὶ ὃς ἂν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν· ἀμὴν λέγω ὑμῖν ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ· Ἐκτινάσσειν βούλεται τὸν κονιορτόν, δεικνύοντας, ὅτι οὐδὲν ἔλαβον ἐκεῖθεν, ἀλλὰ τὴν ἀπείθειαν αὐτῶν· ἢ ὥστε μαρτύριον εἶναι τῆς μακρᾶς ὁδοιπορίας ἣν ἐβάδισαν, καὶ αὐτοὺς οὐκ ὠφέλησαν· ἀνεκτότερον οὖν ἔσται τοῖς Σοδόμοις, ἢ τοῖς ἀπειθοῦσι. διότι οἱ Σοδομῖται ἐνταῦθα κολασθέντες, ἐκεῖ μετριώτερον κολασθήσονται·

» Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Καθώπλισεν αὐτοὺς σημείοις· ἐποίησε θαρρεῖν περὶ τῆς τροφῆς, τὰς τῶν ἀξίων ἀνοίξας θύρας· λέγει νῦν καὶ τὰ συμβησόμενα δεινά, τὴν πρόγνωσιν δεικνύς· παραμυθεῖται δέ, διὰ τοῦ ἐγώ· ἐγὼ φησὶν ὁ κραταιός. ὥστε θαρρεῖτε. ἀχείρωτοι γὰρ ἔσεσθε· ἑτοιμάζει δὲ αὐτοὺς πρὸς τὸ πάσχειν· ὡς γὰρ ἀδύνατον ἐν μέσῳ λύκων πρόβατον μὴ πάσχειν, οὕτω καὶ ὑμᾶς μεταξὺ τῶν Ἰουδαίων· ἀλλὰ κἂν πάσχητε, μὴ ὀργίζεσθε· ὡς πρόβατα γὰρ πρᾴους ὑμᾶς εἶναι βούλομαι. καὶ οὕτω μᾶλλον νικᾶν·

» Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις. καὶ ἀκέραιοι ὡς αἱ περιστεραί·

Θέλει τοὺς μαθητάς, καὶ φρονίμους εἶναι· ἵνα γὰρ μὴ πρόβατα τούτοις ἀκούων, νομίσῃς ὅτι ἠλίθιον δεῖ εἶναι τὸν χριστιανόν, φησὶν ὅτι δεῖ καὶ φρόνιμον εἶναι. εἰδότα πῶς δεῖ

ἀναστρέφεσθαι

ἀναστρέφεσθαι ἐν μέσῳ πολλῶν ἐχθρῶν. ὡς γὰρ ὁ ὄφις, πᾶν μὲν τὸ λοιπὸν σῶμα δίδωσι πλήττεσθαι, τὴν δὲ κεφαλὴν τηρεῖ, οὕτω καὶ ὁ χριστιανὸς πάντα τὰ ἑαυτοῦ διδότω, καὶ τὸ σῶμα αὐτοῦ τοῖς πλήττουσι. τὴν δὲ κεφαλήν, ἥτις ἐστὶν ὁ χριστὸς καὶ ἡ εἰς αὐτὸν πίστις, τηρείτω. καὶ ὥσπερ ὁ ὄφις στενῇ τινι ὀπῇ περισφιγγόμενος καὶ διεξερχόμενος, ἀποδύεται τὸ παλαιὸν δέρμα, οὕτω καὶ ἡμεῖς διὰ τῆς στενῆς ὁδοῦ ὁδεύοντες, τὸν παλαιὸν ἀποδυώμεθα ἄνθρωπον. ἐπεὶ δὲ ὁ ὄφις καὶ βλαπτικός ἐστι, κελεύει ἡμᾶς ἀκεραίους εἶναι. τουτέστιν ἁπλοῖς καὶ ἀπονήροις καὶ μὴ βλαπτικοῖς ὡς αἱ περιστεραί. αὗται γάρ, καὶ ἀφαιρούμεναι τὰ τέκνα καὶ διωκόμεναι, αὖθις ἐπανακάμπτουσι πρὸς τοὺς δεσπότας. ἔσο οὖν φρόνιμος ὡς ὄφις, ὥστε μὴ γελᾶσθαι ἐν τῷ βίῳ. ἀλλὰ πάντα τὰ κατὰ σὲ ἀμώμητα διατιθέναι. πρὸς δὲ τὸ βλάπτειν ἑτέροις, ἔσο ὡσεὶ περιστερά. τουτέστιν ἀπόνηρος.

» Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων. παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια. καὶ ἐν ταῖς
» συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε
» ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὁρᾷς. τοῦτό ἐστι τὸ φρόνιμον εἶναι, τὸ προσέχειν καὶ μὴ διδόναι ἀφορμὴν τοῖς θέλουσι θλίβειν. ἀλλὰ φρονίμως διοικεῖν τὰ καθ' ἑαυτούς. ἂν χρήματα θέλῃ ὁ διώκων, δός. ἂν τιμήν. ἵνα μὴ ἔχῃ ἀφορμήν. ἂν δὲ τὴν πίστιν ἀφαιρῆται, φύλαττέ σου τὴν κεφαλήν. οὐ μόνον δὲ πρὸς Ἰουδαίους πέμπειν μέλλει τοὺς μαθητάς, ἀλλὰ καὶ πρὸς τὰ ἔθνη. διὸ καὶ λέγει. εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσι. τουτέστιν εἰς ἔλεγχον αὐτῶν μὴ πιστευόντων.

» Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε. δοθήσεται γὰρ
» ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε. οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα
» τοῦ πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Ἵνα μὴ εἴπωσι καὶ πῶς δυνησόμεθα πεῖσαι σοφοὺς ἰδιῶται ὄντες, κελεύει θαρρεῖν καὶ μὴ μεριμνᾶν. ὅταν μὲν γὰρ μέλλωμεν μεταξὺ πιστῶν διαλέγεσθαι, δεῖ ἡμᾶς προμελετᾶν. καὶ ἑτοίμους εἶναι πρὸς ἀπολογίαν. ὡς ὁ Πέτρος παραινεῖ. μεταξὺ δὲ δήμων καὶ βασιλέων μαινομένων, τὴν ἑαυτοῦ ὑπισχνεῖται ἰσχὺν ἵνα μὴ φοβηθῶμεν. τὸ μὲν γὰρ ὁμολογεῖν, ἡμέτερον. τὸ δὲ σοφῶς ἀπολογεῖσθαι, θεοῦ. καὶ ἵνα μὴ ὑπολάβῃς ὅτι φυσική ἐστιν ἡ πρὸς τὰς ἀπολογίας ἐπιτηδειότης, φησίν. οὐχ ὑμεῖς λαλεῖτε, ἀλλὰ τὸ πνεῦμα.

» Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον. καὶ πατὴρ, τέκνον. καὶ ἐπαναστή-
» σονται τέκνα ἐπὶ γονεῖς. καὶ θανατώσουσιν αὐτούς. Προλέγει αὐτοῖς τὰ συμβησόμενα, ἵνα ὅταν γένωνται μὴ θορυβηθῶσι. δείκνυσι δὲ καὶ τὴν τοῦ κηρύγματος δύναμιν, πῶς ποιεῖ καταφρονεῖν τῆς φύσεως. τοιοῦτος γὰρ ὁ χριστιανισμός. ἀλλὰ καὶ τὴν μανίαν ἐκείνων ἐμφαίνει, ὅτι οὐδὲ τῶν οἰκειοτάτων φείσονται.

» Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. ὁ δὲ ὑπομείνας εἰς τέλος,
» οὗτος σωθήσεται. Τὸ ὑπὸ πάντων, ἀντὶ τοῦ ὑπὸ πολλῶν. οὐ γὰρ πάντες ἐμίσουν αὐτούς. ἦσαν γὰρ καὶ οἱ παραδεξάμενοι τὴν πίστιν. ὁ δὲ ἄχρι τέλους ὑπομείνας, καὶ μὴ ἐν τῇ ἀρχῇ μόνον, ἐκεῖνος τῆς αἰωνίου μεθέξει ζωῆς.

» Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην. ἀμὴν λέ-
» γω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. Τὰ μὲν ἄνω ῥηθέντα φοβερά, οἷον τὸ παραδώσουσιν ὑμᾶς. καὶ τὸ ἔσεσθε μισούμενοι, περὶ τῶν μετὰ τὴν ἀνάληψιν συμβησομένων ἦσαν. τὸ δὲ νῦν λεγόμενον, περὶ τῶν πρὸ τοῦ σταυροῦ. οὐ μὴ γὰρ τελέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ διωκόμενοι, καὶ εὐθὺς ἐλεύσομαι πρὸς ὑμᾶς. κελεύει δὲ φεύγειν διωκομένους. τὸ γὰρ προδήλως ῥίπτειν ἑαυτὸν εἰς κίνδυνον, καὶ αἴτιον γίνεσθαι κατακρίσεως τοῖς φονεύταις, καὶ ζημιοῦν τοὺς

μέλλοντας ὠφελεῖσθαι διὰ τοῦ κηρύγματος, διαβολικόν ἐστι· τὸ γοῦν ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου, μὴ περὶ τῆς δευτέρας παρουσίας νοήσῃς. ἀλλὰ περὶ τῆς πρὸ σταυροῦ συνουσίας καὶ παραμυθίας· ἀποσταλέντες γὰρ καὶ κηρύξαντες, πάλιν ὑπεστράφησαν πρὸς τὸν χριστὸν καὶ συνῆσαν αὐτῷ·

» Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον. οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ·
» ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ. καὶ ὁ δοῦλος ὡς ὁ κύριος
» αὐτοῦ· Διδάσκει ἐνταῦθα ἀνέχεσθαι τῶν ὕβρεων· εἰ γὰρ ἐγὼ ὁ διδάσκαλος καὶ δεσπότης ἠνεσχόμην, πολλῷ μᾶλλον ὑμεῖς οἱ μαθηταὶ καὶ δοῦλοι· ἐρωτᾷς δὲ πῶς φησι τὸ, οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, ὅπου γε πολλοὺς ὁρῶμεν μαθητὰς κρείττους τῶν διδασκάλων· μάθε οὖν ὅτι ἕως ἂν ὦσι μαθηταὶ, ἐλάττους εἰσὶ τῶν διδασκάλων· ἐὰν δὲ κρείττους γένωνται, οὐκ ἔτι λοιπὸν εἰσὶ μαθηταί· ὥσπερ καὶ ὁ δοῦλος, ἕως ἂν ᾖ δοῦλος, οὐκ ἔστιν ὑπὲρ τὸν κύριον αὐτοῦ·

» Εἰ τὸν οἰκοδεσπότην, Βεελζεβοὺλ ἀπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐ-
» τοῦ· μὴ οὖν φοβηθῆτε αὐτούς· οὐδὲν γάρ ἐστι κεκαλυμμένον ὃ οὐκ ἀποκαλυφθήσεται.
» καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται· Παραμυθεῖσθαι φησὶν ἀπὸ τῶν ἐμῶν· εἰ γὰρ ἐμὲ, ἄρχοντα τῶν δαιμονίων ἐκάλεσαν, τί δεινὸν εἰ ὑμᾶς διαβαλοῦσι τοὺς οἰκείους ἐμοί· οἰκιακοὺς γὰρ αὐτοὺς ἐκάλεσεν ἀλλ' οὐ δούλους, τὴν πρὸς αὐτοὺς δεικνὺς οἰκειότητα· ἀλλὰ θαῤῥεῖτε· οὐ γὰρ ἡ ἀλήθεια συγκρυβήσεται. ἀλλ' ὁ χρόνος δείξει καὶ τὴν ὑμῶν ἀρετὴν, καὶ τὴν τῶν διαβαλλόντων κακίαν· οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ γνωσθήσεται· ὥστε εἰ καὶ διαβαλοῦσιν, ἀλλ' ὕστερον γνωριοῦσιν ὑμᾶς·

» Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί. καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύ-
» ξατε ἐπὶ τῶν δωμάτων· Ἅπερ φησὶ μόνοις ὑμῖν εἶπον, καὶ ἐν ἑνὶ τόπῳ, τοῦτο γάρ ἐστι τὸ πρὸς τὸ οὖς καὶ ἐν τῇ σκοτίᾳ, μετὰ παῤῥησίας διδάξατε καὶ μεγαλοφώνως. ὥστε πάντας ἀκούειν ὑμῶν· ἐπεὶ δὲ τῇ παῤῥησίᾳ ἕπονται καὶ κίνδυνοι, ἐπάγει·

» Καὶ μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυνα-
» μένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπο-
» λέσαι ἐν γεέννῃ. Διδάσκει καὶ θανάτου καταφρονεῖν· φοβερωτέρα γὰρ φησὶν ἡ ἐν γεέννῃ κόλασις· οἱ μὲν γὰρ θανατοῦντες, μόνης σαρκὸς ποιοῦνται φθοράν. τὴν δὲ ψυχὴν τυχὸν καὶ εὐεργετοῦσιν· ὁ δὲ θεὸς ῥίπτων εἰς γέενναν, ἀμφότερα καὶ ψυχὴν καὶ σῶμα κολάζει· ἐν γεέννῃ δὲ εἰπὼν, σημαίνει τὸ διηνεκὲς τῆς κολάσεως· γέεννα γὰρ, παρὰ τὸ ἀεὶ γεννᾶσθαι·

» Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν
» γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν· ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι
» εἰσί· μὴ οὖν φοβηθῆτε. πολλῶν στρουθίων διαφέρετε ὑμεῖς· Ἵνα μὴ ὡς ἐγκαταλελειμμένοι ταράσσωνται, φησίν. εἰ οὐδὲ στρουθίον κρατηθήσεται ἀγνοοῦντος ἐμοῦ, πῶς ὑμᾶς οὓς φιλῶ ἐγκαταλείψω· τὴν ἀκριβῆ δὲ γνῶσιν καὶ πρόνοιαν ἐνδεικνύμενος, λέγει τὰς τρίχας ἡμῶν ἠριθμημένας εἶναι αὐτῷ· μὴ νόμιζε δὲ ὅτι τοῦ θεοῦ ἐνεργοῦντος παγιδεύονται τὰ στρουθία, ἀλλ' ὅτι οὐδὲ ἡ ἐκείνων ἄγρα ἀγνοεῖται αὐτῷ·

» Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν
» αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν
» τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς·
Εἰς μαρτύριον προτρέπει· οὐκ ἀρκεῖται γὰρ μόνῃ τῇ κατὰ ψυχὴν πίστει. ἀλλὰ θέλει καὶ τὴν διὰ στόματος· οὐκ εἶπε δὲ, ὅστις ὁμολογήσει ἐμὲ, ἀλλ' ἐν ἐμοί. τουτέστιν ἐν τῇ ἐμῇ δυνάμει· τῇ γὰρ ἄνωθεν βοηθούμενος χάριτι, ὁμολογεῖ ὁ ὁμολογῶν· ἐπὶ δὲ

τοῦ ἀρνουμένου,

τοῦ ἀρνουμένου, οὐκ εἶπεν ἐν ἐμοὶ, ἀλλ᾽ ἐμέ. δεικνὺς ὅτι οὐκ ἔχων τὴν ἄνωθεν βοήθειαν, ἀρνεῖται. πᾶς οὖν ὁ ὁμολογῶν ὅτι θεός ἐστιν ὁ Χριστὸς, εὑρήσει τὸν Χριστὸν ὁμολογοῦντα περὶ αὐτοῦ τῷ πατρὶ, ὅτι γνήσιός ἐστι δοῦλος. οἱ δὲ ἀρνούμενοι, ἀκούσονται τὸ οὐκ οἶδα ὑμᾶς.

» Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν. οὐκ ἦλθον βαλεῖν εἰρήνην,
» ἀλλὰ μάχαιραν. ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ. καὶ θυγατέρα
» κατὰ τῆς μητρὸς αὐτῆς. καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς. καὶ ἐχθροὶ τοῦ ἀν
» θρώπου οἱ οἰκιακοὶ αὐτοῦ. Οὐ πανταχοῦ καλὸν ἡ ὁμόνοια. ἀλλ᾽ ἔστιν ὅτε καὶ ἡ διάστασις. μάχαιρα γοῦν ὁ τῆς πίστεως λόγος: ὃς ἀποτέμνει ἡμᾶς ἀπὸ τῆς σχέσεως τῶν οἰκείων καὶ συγγενῶν, ἐμποδιζόντων ἡμῖν εἰς θεοσέβειαν. οὐ γὰρ ἁπλῶς διχάζεσθαι ἤτοι χωρίζεσθαι ἀπὸ τούτων λέγει, ἀλλ᾽ ὅταν μὴ συνέρχοιντο. μᾶλλον δὲ καὶ ἐμποδίζοιεν εἰς τὴν πίστιν.

» Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. καὶ ὁ φιλῶν υἱὸν ἢ θυ
» γατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Ὁρᾷς ὅτι τότε δεῖ μισεῖν τοὺς γονεῖς καὶ τὰ τέκνα, ὅταν θέλωσι πλέον Χριστοῦ ἀγαπᾶσθαι; καὶ τί λέγω πατέρα καὶ μητέρα καὶ τέκνα. τὸ μεῖζον ἄκουε.

» Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ὅστις φησὶν οὐκ ἀποτάσσεται τῇ παρούσῃ ζωῇ, καὶ ἐκδώσει ἑαυτὸν εἰς θάνατον τὸν ἐπονείδιστον, τοῦτο γὰρ ὁ σταυρὸς παρὰ τοῖς παλαιοῖς, οὐκ ἔστι μου ἄξιος. ἐπεὶ δὲ πολλοὶ ὡς λῃσταὶ καὶ κλέπται σταυροῦνται, προσέθηκε τὸ, καὶ ἀκολουθεῖ ὀπίσω μου. τουτέστι, κατὰ τοὺς ἐμοὺς νόμους ζῇ.

» Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν. καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ
» ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Εὑρίσκειν δοκεῖ τὴν ψυχὴν, ὁ περιποιούμενος τὴν ἐν σαρκὶ ζωήν. ὃς καὶ ἀπόλλυσι ταύτην, αἰωνίᾳ παραπεμπόμενος τιμωρίᾳ. ὁ δὲ ἀπολλύων τὴν ψυχὴν αὐτοῦ καὶ ἀποθνήσκων, οὐχ ὡς λῃστὴς ἢ ὡς πνίγων ἑαυτὸν, ἀλλ᾽ ἕνεκεν Χριστοῦ, ἐκεῖνος σώζει αὐτήν.

» Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται. καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με. ὁ
» δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. καὶ ὁ δεχόμενος
» δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται. Διεγείρει ἡμᾶς ἵνα ὑποδεχώμεθα τοὺς παρὰ Χριστοῦ. ὁ γὰρ τοὺς μαθητὰς αὐτοῦ τιμῶν, ἐκεῖνον τιμᾷ. καὶ δι᾽ ἐκείνου καὶ τὸν πατέρα. δεῖ δὲ ὑποδέχεσθαι τοὺς δικαίους καὶ τοὺς προφήτας, εἰς ὄνομα δικαίου καὶ προφήτου. τουτέστι διότι δίκαιοι εἰσὶ καὶ προφῆται. μὴ διά τινα προστασίαν καὶ ἀντίληψιν παρὰ τοῖς βασιλεῦσιν. ἀλλὰ κἂν τυχὸν προφήτου σχῆμα ἔχῃ τίς, τῷ δὲ ἔργῳ λείπηται, σὺ ὡς προφήτην αὐτὸν δέξαι. καὶ ὁ θεὸς ὡς ἂν εἰ δίκαιον τῷ ὄντι ἐδέξω, ἀμείψεταί σε. τοῦτο γὰρ σημαίνει τὸ, μισθὸν δικαίου λήψεται. ἢ καὶ ἑτέρως νοήσεις. ὅτι δίκαιος λογισθήσεται καὶ αὐτὸς ὁ δεξάμενος. καὶ λήψεται μισθὸν ὃν οἱ δίκαιοι λαμβάνουσιν.

» Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον, εἰς ὄνομα
» μαθητοῦ, ἀμὴν λέγω ὑμῖν οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.
Ἵνα μὴ πενίαν προβάλληταί τις, φησὶν ὅτι, κἂν ποτήριον ὕδατος ψυχροῦ δῷς, χάριν τοῦ εἶναι ἐμὸν μαθητὴν ἐκεῖνον, καὶ τούτου λήψῃ τὸν μισθόν. ποτήριον δὲ ψυχροῦ δίδωσι καὶ ὁ διδάσκων τινὰ φλογιζόμενον τῷ τοῦ θυμοῦ πυρὶ καὶ τῶν ἐπιθυμιῶν. καὶ ποιῶν αὐτὸν μαθητὴν ὀνομάζεσθαι Χριστοῦ. οὐδὲ οὗτος οὖν ἀπόλλυσι τὸν μισθὸν αὐτοῦ.

Κεφάλαιον ἑνδέκατον.

» Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ, με-
» τέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν. Τοὺς μαθη-
τὰς ἀποστείλας, αὐτὸς λοιπὸν ἡσυχάζει. μηδὲν θαυματουργῶν, ἀλλὰ μόνον διδά-
σκων ἐν ταῖς συναγωγαῖς. εἰ γὰρ αὐτὸς ἐθεράπευε παρὼν, οὐκ ἂν προσήρχοντό τινες
τοῖς μαθηταῖς. ἵνα οὖν σχῶσι χώραν ἐκεῖνοι τοῦ θεραπεύειν, αὐτὸς μεταβαίνει.
» Ὁ δὲ Ἰωάννης ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν
» μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ. σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;
Οὐχ ὡς αὐτὸς ἀγνοῶν τὸν Χριστὸν ὁ Ἰωάννης ἐρωτᾷ. πῶς γὰρ, ὑπὲρ οὗ ἐμαρτύρει
ὅτι, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ. ἀλλ᾽ ἐπεὶ οἱ μαθηταὶ αὐτοῦ ἐφθόνουν τῷ Χριστῷ, ἵνα πλη-
ροφορήσῃ ἐκείνους, διὰ τοῦτο ἀποστέλλει αὐτούς. ὥσπερ τὰ θαύματα ἰδόντες, πεισθῶσιν ὅτι
μείζων τοῦ Ἰωάννου ἐστὶν ὁ Χριστός. διὰ τοῦτο καὶ σχηματίζεται αὐτὸς ἐρωτᾶν. σὺ εἶ ὁ
ἐρχόμενος; τουτέστιν ὁ προσδοκώμενος ἐν ταῖς γραφαῖς ἔρχεσθαι μετὰ σαρκός. τινὲς δέ
φασιν ὅτι τὸ ἐρχόμενος, περὶ τῆς εἰς ᾅδην καθόδου ἠρώτησεν ὡς ἀγνοῶν ὁ Ἰωάννης.
ὡσανεὶ λέγων. σὺ εἶ ὁ ἐρχόμενος καὶ εἰς τὸν ᾅδην, ἢ ἕτερον προσδοκῶμεν; τοῦτο δὲ ἀ-
νόητον. ὁ γὰρ Ἰωάννης προφητῶν περισσότερος ὢν, πῶς ἂν ἠγνόει τὴν σταύρωσιν τοῦ
Χριστοῦ καὶ τὴν εἰς ᾅδου κάθοδον. καὶ ταῦτα ἀμνὸν αὐτὸν ὀνομάσας, διὰ τὸ μέλλειν
ὑπὲρ ἡμῶν σφαγῆναι. ἤδει τοίνυν ὁ Ἰωάννης ὅτι καὶ εἰς ᾅδου ἐλεύσεται ὁ κύριος
μετὰ τῆς ψυχῆς. ἵνα κἀκεῖ σώσῃ ὥς φησιν ὁ θεολόγος Γρηγόριος, τοὺς ὅσοι πιστεύειν ἔ-
μελλον εἰ ἐπὶ τῶν ἡμερῶν αὐτῶν ἐσαρκώθη. καὶ οὐχ ὡς ἀγνοῶν ἐρωτᾷ, ἀλλ᾽ ὡς θέ-
λων πληροφορῆσαι τοὺς μαθητὰς αὐτοῦ περὶ τοῦ Χριστοῦ, διὰ τῆς τῶν θαυμάτων ἐρ-
γασίας. ὅρα γὰρ καὶ ὁ Χριστὸς τί λέγει πρὸς τὴν τοιαύτην ἐρώτησιν.
» Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς. πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε
» καὶ βλέπετε. τυφλοὶ ἀναβλέπουσι. καὶ χωλοὶ περιπατοῦσι. λεπροὶ καθαρίζονται.
» καὶ κωφοὶ ἀκούουσι. νεκροὶ ἐγείρονται. καὶ πτωχοὶ εὐαγγελίζονται. καὶ μακάριός
» ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Οὐκ εἶπεν ὅτι, ἀπαγγείλατε τῷ Ἰωάννῃ ὅτι
ἐγώ εἰμι ὁ ἐρχόμενος. ἀλλ᾽ ὡς γινώσκων ὅτι ὁ Ἰωάννης διὰ τοῦτο ἀπέστειλε τοὺς μαθη-
τὰς, ἵνα ἴδωσι τὰ θαύματα, φησὶν ὅτι, ἃ βλέπετε ἀπαγγείλατε τῷ Ἰωάννῃ. καὶ
πάντως ἐκεῖνος ἀφορμῆς δραξάμενος, ἐπὶ πλεῖον περὶ ἐμοῦ μαρτυρήσει πρὸς ὑ-
μᾶς. πτωχοὺς δὲ εὐαγγελιζομένους, ἢ τοὺς τὸ εὐαγγέλιον κηρύττοντας τουτέστι τοὺς ἀπο-
στόλους νοήσεις, πτωχοὶ γὰρ ἦσαν ὡς ἁλιεῖς καὶ καταπεφρονημένοι διὰ ἰδιωτείαν, ἢ τοὺς
τὸ εὐαγγέλιον ἐνωτιζομένους καὶ ἀκούοντας περὶ τῶν αἰωνίων ἀγαθῶν. δεικνύων δὲ
τοῖς Ἰωάννου μαθηταῖς ὅτι οὐ λανθάνουσιν αὐτὸν ἃ διαλογίζονται, φησὶν ὅτι, μα-
κάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. αὐτοὶ γὰρ πολὺν εἶχον περὶ αὐτοῦ δι-
σταγμόν.
» Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου. τί ἐξήλ-
» θετε εἰς τὴν ἔρημον θεάσασθαι. κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; Ἴσως ἀκού-
σαντες οἱ ὄχλοι τῆς ἐρωτήσεως τοῦ Ἰωάννου, ἐσκανδαλίσθησαν ἄν, μήποτε καὶ ὁ Ἰωάν-
νης ἀμφιβάλλει περὶ τοῦ Χριστοῦ. καὶ οὕτως εὐκόλως μετεστράφη τὴν γνώμην, καί-
τοιγε περὶ Χριστοῦ μαρτυρήσας πρότερον. ταύτην οὖν τὴν ὑπόνοιαν ἀναιρῶν ὁ Χρι-
στὸς, φησίν. οὐκ ἔστιν ὁ Ἰωάννης κάλαμος. τουτέστιν εὐμετάτρεπτος. εἰ γὰρ ἦν τοιοῦτος,
πῶς λοιπὸν ἐξήλθετε πρὸς αὐτὸν εἰς τὴν ἔρημον. οὐ γὰρ δὴ πρὸς κάλαμον, ἤτοι εὐρί-
πιστον ἄνθρωπον, ἐξήλθετε ἄν. ἀλλ᾽ ὡς πρὸς μέγαν ἐξήλθετε καὶ βέβαιον ἄνθρωπον;
οὐκοῦν τοιοῦτος μένει οἷον αὐτὸν ἐνομίζετε.

Ἀλλὰ τί

» Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν. ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ
» μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. Ἵνα γὰρ μὴ ἔχωσιν εἰπεῖν ὅτι τρυφῇ δουλεύσας ὕστερον χαῦνος γέγονε, φησὶν οὔ. ἡ γὰρ στολὴ αὐτοῦ τριχίνη οὖσα, δείκνυσιν ὅτι ἐχθρός ἐστι τῆς τρυφῆς. εἰ γὰρ αὖ καὶ μαλακὰ ἐφόρει, καὶ ἐν τοῖς οἴκοις τῶν βασιλέων ἦν. ἀλλ' οὐκ ἐν τῷ δεσμωτηρίῳ, ἐὰν ἤθελε τρυφᾶν. μάθε οὖν ὅτι οὐ δεῖ τὸν ἀκριβῆ χριστιανὸν μαλακὰ φορεῖν.

» Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν. προφήτην; ναὶ λέγω ὑμῖν καὶ περισσότερον προφήτου. Περισσότερος προφήτου ὁ Ἰωάννης, διότι οἱ ἄλλοι προφῆται, μόνον προεῖπον περὶ Χριστοῦ. οὗτος δὲ καὶ αὐτόπτης ἐγένετο. ὅπερ μέγα ὄντως ἐστί. καὶ ὅτι οἱ μὲν ἄλλοι, μετὰ τὸ γεννηθῆναι προεφήτευσαν. οὗτος δὲ καὶ ἐν κοιλίᾳ ὢν τῆς μητρὸς, ἐπέγνω τὸν Χριστὸν καὶ ἐσκίρτα.

» Οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται. ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προ-
» σώπου σου. ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Ἄγγελος ἐκλήθη, καὶ διὰ τὴν ἀγγελικὴν ζωὴν καὶ ἄϋλον σχεδόν. καὶ διότι ἤγγειλε καὶ ἐκήρυξε τὸν Χριστόν. κατεσκεύασε δὲ τὴν ὁδὸν τοῦ Χριστοῦ, ὡς μαρτυρῶν περὶ αὐτοῦ καὶ ὡς βαπτίζων εἰς μετάνοιαν. μετὰ γὰρ τὴν μετάνοιαν, ἄφεσις ἁμαρτιῶν. ἣν ἄφεσιν ὁ Χριστὸς δίδωσι. μετὰ δὲ τὸ πορευθῆναι τοὺς Ἰωάννου μαθητὰς ταῦτα λέγει ὁ Χριστὸς, ἵνα μὴ δόξῃ κολακεύειν ἐκεῖνον. Μαλαχίου δὲ, ἡ ῥηθεῖσα προφητεία. Μαλ. γʹ.

» Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν, μείζων Ἰωάννου τοῦ βαπτιστοῦ. Μετὰ βεβαιώσεως τοῦτο ἀποφαίνεται. ὅτι οὐκ ἔστι τὶς μείζων Ἰωάννου. γυναικῶν δὲ εἰπὼν, ὑπεξεῖλεν ἑαυτόν. αὐτὸς γὰρ ὁ Χριστὸς, γεννητὸς ἦν παρθένου, οὐχὶ γυναικός. τουτέστιν ἐλθούσης εἰς γάμον.

» Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστίν. Ἐπειδὴ πολλὰ εἶπεν ἐγκώμια περὶ Ἰωάννου, ἵνα μὴ νομίσωσιν ὅτι καὶ αὐτοῦ μείζων ἐστὶν ἐκεῖνος, φησὶν ἐνταῦθα φανερώτερον ὅτι, ὁ μικρότερος. ἐγὼ καὶ κατὰ τὴν ἡλικίαν καὶ κατὰ τὴν ὑμῶν ὑπόληψιν, μείζων αὐτοῦ εἰμὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. τουτέστιν ἐν τοῖς πνευματικοῖς καὶ οὐρανίοις ἀγαθοῖς. ἐνταῦθα μὲν γὰρ ἐλαττοῦμαι αὐτοῦ, καὶ καθ' ὃ πρότερόν μου ἐγεννήθη, καὶ καθ' ὃ δοκεῖ ὑμῖν αὐτὸς μέγας. ἐκεῖ δὲ μείζων εἰμί.

» Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιά-
» ζεται. καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. φαίνεται ἀνακόλουθον εἶναι τοῦτο. οὐκ ἔστι δέ. σκόπει γοῦν. καὶ γὰρ περὶ ἑαυτοῦ εἰπὼν ὁ Χριστὸς ὅτι μείζων ἐστὶν Ἰωάννου, ἐνωθεῖ αὐτοὺς εἰς τὸ πιστεῦσαι αὐτῷ. δεικνύων ὅτι πολλοὶ ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν. τουτέστι τὴν εἰς αὐτὸν πίστιν. βίας δὲ χρεία πολλῆς. τὸ γὰρ ἀφεῖναι πατέρα καὶ μητέρα, καὶ τῆς ψυχῆς αὐτῆς καταφρονῆσαι, πόσης βίας ἐστίν.

» Πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος, ἕως Ἰωάννου προεφήτευσαν. Καὶ τοῦτο τῆς αὐτῆς ἀκολουθίας ἐστί. φησὶ γὰρ ὅτι, ἐγώ εἰμι ὁ ἐρχόμενος. πάντες γὰρ οἱ προφῆται πεπλήρωνται. οὐκ ἂν δὲ ἐπληρώθησαν, εἰμὴ ἐγὼ ἦλθον. μηδὲν οὖν προσδοκᾶτε περαιτέρω.

» Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἡλίας ὁ μέλλων ἔρχεσθαι. Εἰ θέλετε φησὶ δέξασθαι, τουτέστιν ἐὰν εὐγνωμόνως κρίνητε καὶ μὴ φθονερῶς, αὐτός ἐστιν ὃν εἶπεν ὁ προφήτης Μαλαχίας Ἡλίαν μέλλοντα. καὶ γὰρ ὁ πρόδρομος καὶ Μαλ. γʹ.
ὁ Ἡλίας τὴν αὐτὴν ἔχουσι διακονίαν. ὁ μὲν, τῆς πρώτης παρουσίας προδραμὼν, ὁ δὲ Ἡλίας τῆς μελλούσης προδραμούμενος. εἶτα δεικνύων ὅτι αἴνιγμά ἐστι τοῦτο τὸν Ἰωάννην

Ἠλίαν εἶναι, καὶ συνέσεως χρεία πρὸς τὸ νοῆσαι, φησὶν ὅτι·

Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω· Ἐνάγων αὐτοὺς εἰς τὸ ἐρωτῆσαι καὶ μαθεῖν·

Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην· ὁμοία ἐστὶ παιδίοις καθημένοις ἐν ἀγορᾷ· καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν, καὶ λέγουσιν. ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε. ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε· Τὸ δυσάρεστον τῶν Ἰουδαίων αἰνίττεται ἐνταῦθα· δυσάρεστοι γὰρ ὄντες, οὔτε τῇ σκληραγωγίᾳ τοῦ Ἰωάννου ἠρέσκοντο, οὔτε τῇ τοῦ Χριστοῦ ἁπλότητι. ἀλλ᾽ ὅμοιοι ἦσαν παιδίοις δυσαρεστουμένοις διὰ κουφότητα· οἷς κἂν κλαίῃ τις, οὐκ ἀρέσκει· κἂν αὐλῇ, οὐδ᾽ οὕτως·

Ἦλθε γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσι. δαιμόνιον ἔχει· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν. ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης. φίλος τελωνῶν καὶ ἁμαρτωλῶν· Θρηνῷ μὲν ἀπεικάζει τὴν Ἰωάννου διαγωγήν· καὶ γὰρ σκληρότητα πολλὴν καὶ ἐν ῥήμασι καὶ ἐν πράγμασιν ἐπεδείκνυτο ὁ Ἰωάννης· τὴν δὲ τοῦ Χριστοῦ, αὐλῷ· καὶ γὰρ χαριέστατος ἦν ὁ κύριος, πᾶσι συγκαταβαίνων ἵνα πάντως κερδήσῃ τούτους. καὶ βασιλείαν εὐαγγελιζόμενος. καὶ οὐδὲν τοιοῦτον σκυθρωπὸν οἷον ὁ Ἰωάννης·

Καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς· Τοῦτο φησίν. ὅτι, λοιπὸν ἐπεὶ οὔτε ὁ Ἰωάννου βίος οὔτε ὁ ἐμὸς ἀρέσκει ὑμῖν, ἀλλὰ πάντας τοὺς τρόπους τῆς σωτηρίας διαπτύετε, δίκαιος φαίνομαι ἐγὼ ἡ σοφία· οὐκ ἔσται γὰρ ἔτι πρόφασις ὑμῖν. ἀλλὰ κατακριθήσεσθε πάντως· καὶ γὰρ ἐγὼ μὲν πάντα πεπλήρωκα. ὑμεῖς δὲ ἀπειθήσαντες, δίκαιον ἐμὲ ὡς μηδὲν παραλιπόντα δεικνύετε·

Τότε ἤρξατο ὁ Ἰησοῦς ὀνειδίζειν τὰς πόλεις ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν· Μετὰ τὸ δεῖξαι ὅτι πάντα ὅσα ἔδει ἐποίησε, καὶ ἔμειναν ἀμετανόητοι, τότε λοιπὸν ὀνειδίζει·

Οὐαί σοι Χοραζίν. οὐαί σοι Βηθσαϊδά· Ἵνα νοήσῃς ὅτι οὐκ ἐκ φύσεως ἦσαν πονηροὶ οἱ μὴ πιστεύσαντες, ἀλλ᾽ ἐκ προαιρέσεως, μέμνηται τῆς Βηθσαϊδά. ἐξ ἧς Ἀνδρέας καὶ Πέτρος καὶ Φίλιππος καὶ οἱ τοῦ Ζεβεδαίου ἦσαν· ὥστε οὐκ ἐκ φύσεως ἡ πονηρία, ἀλλ᾽ ἐκ προαιρέσεως· εἰ γὰρ ἐκ φύσεως, ἦσαν ἂν κἀκεῖνοι πονηροί·

Ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν· πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν· Χείρονας τοὺς Ἰουδαίους λέγει τῶν Τυρίων καὶ Σιδωνίων, καθ᾽ ὃ οἱ μὲν Τύριοι, τὸν φυσικὸν νόμον παρέβησαν. Ἰουδαῖοι δὲ, καὶ τὸν μωσαϊκόν· καὶ ἐκεῖνοι μὲν οὐκ εἶδον θαύματα· οὗτοι δὲ καὶ ἰδόντες, διέβαλλον· ὁ δὲ σάκκος, σύμβολον μετανοίας· καὶ τὸ σποδὸν καὶ κόνιν πάττειν κατὰ τῆς κεφαλῆς, ἐπὶ τῶν πενθούντων βλέπομεν·

Καὶ σὺ Καπερναοὺμ ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ. ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν μέχρι τῆς σήμερον· πλὴν λέγω ὑμῖν ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ σοί· Ἡ Καπερναοὺμ ὑψώθη διὰ τὸ εἶναι πόλις τοῦ Ἰησοῦ· ἐδοξάζετο γὰρ ὡς δῆθεν πατρὶς αὐτοῦ· ἀλλ᾽ οὐδὲν ὠφελήθη, διὰ τὸ μὴ πιστεῦσαι· τοὐναντίον γὰρ καὶ διὰ τοῦτο μᾶλλον κατακέκριται ἕως ᾅδου, ὅτι τοιοῦτον ἔχουσα οἰκήτορα, οὐδὲν ὠφελήθη ἐξ αὐτοῦ· ἐπεὶ δὲ Καπερναοὺμ ἑρμηνεύεται χωρίον παρακλήσεως, βλέπε ὅτι κἂν ἀξιωθῇ τις γενέσθαι χωρίον τοῦ παρακλήτου, τοῦ ἁγίου δηλαδὴ πνεύματος, εἶτα ὑψηλοφρονήσῃ καὶ ἐπαρθῇ ἄχρις οὐρανοῦ, καταπίπτει λοιπὸν διὰ τὴν ὑψηλοφροσύνην· φρίξον οὖν ὦ ἄνθρωπε·

» Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν· ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ
» οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκά-
» λυψας αὐτὰ νηπίοις. Ὃ λέγει τοιοῦτόν ἐστιν. ἐξομολογοῦμαι, ἀντὶ τοῦ εὐχαριστῶ σοι ὦ πάτερ, ὅτι οἱ δοκοῦντες σοφοὶ καὶ ἔμπειροι εἶναι τῶν γραφῶν Ἰουδαῖοι, ἠπείθησαν· οἱ δὲ ἀμαθεῖς καὶ νήπιοι, ἐπίστευσαν καὶ ἔγνων τὰ μυστήρια· ἀπέκρυψε δὲ τὰ μυστήρια ὁ θεὸς ἀπὸ τῶν δοκούντων εἶναι σοφῶν, οὐχ ὡς φθονῶν ἢ ὡς αἴτιος ἀγνωσίας. ἀλλὰ διὰ τὸ μὴ εἶναι ἀξίους, ἐξ αὐτοῦ τούτου τοῦ δοκεῖν ἑαυτοὺς εἶναι σοφούς· ὁ γὰρ δοκῶν ἑαυτὸν σοφὸν, καὶ θαῤῥῶν τῇ οἰκείᾳ γνώσει, οὐδὲ προσκαλεῖται θεόν· καὶ λοιπὸν ὁ θεὸς ὡς μὴ προσκαλούμενος, οὐδὲ βοηθεῖ αὐτῷ. οὐδὲ ἀποκαλύπτει· ἄλλως τε, ὁ θεὸς μᾶλλον διὰ φιλανθρωπίαν οὐκ ἀποκαλύπτει τοῖς πολλοῖς τὰ μυστήρια. ἵνα μὴ πλεῖον κολασθῶσιν, ὡς μετὰ τὸ γνῶναι διαπτύσαντες αὐτά.

» Ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. Δηλοῖ ἐνταῦθα τὴν φιλανθρωπίαν τοῦ πατρὸς, ὅτι οὐχ ὑπ' ἄλλου παρακληθεὶς ἀπεκάλυψε τοῖς νηπίοις. ἀλλ' οὕτως ἤρεσεν αὐτῷ ἐξ ἀρχῆς· εὐδοκία γὰρ, ἡ θέλησις καὶ ἡ ἀρέσκεια.

» Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου. Εἶπεν ἀνωτέρω πρὸς τὸν πατέρα, ὅτι ἀπεκάλυψας ὦ πάτερ· ἵνα οὖν μὴ ὑπολάβῃς ὅτι αὐτὸς οὐδὲν ποιεῖ, πάντα δὲ τοῦ πατρός εἰσι, φησὶν ὅτι, πάντα μοι παρεδόθη. καὶ μία ἐξουσία ἐμοῦ κἀκείνου· τὸ δὲ παρεδόθη ἀκούων, μὴ νόμιζε ὅτι ὡς δούλῳ καὶ ὑποδεεστέρῳ παρεδόθη, ἀλλ' ὡς υἱῷ· καθ' ὃ γὰρ ἐγεννήθη ἐκ τοῦ πατρὸς, κατὰ τοῦτο παρεδόθη αὐτῷ· εἰ μὴ γὰρ ἐγεννήθη, καὶ τῆς αὐτῆς οὐσίας ἦν τῷ πατρὶ, οὐκ ἂν παρεδόθησαν· ὅρα γὰρ τί λέγει· πάντα μοι παρεδόθη. οὐχ ὑπὸ τοῦ δεσπότου, ἀλλ' ὑπὸ τοῦ πατρός μου· ὥσπερ λόγου χάριν, ἐὰν γεννηθῇ εὐειδὲς παιδίον ἀπὸ πατρὸς εὐειδοῦς. καὶ εἴπῃ ὅτι ἐδόθη μοι τὸ κάλλος ἐκ τοῦ πατρός μου.

» Καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ. οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ
» μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Τὸ μεῖζον λέγει, ὅτι, οὐδὲν θαυμαστὸν εἰ πάντων εἰμὶ δεσπότης, ὅπου γε καὶ ἕτερον μεῖζον ἔχω, τὸ εἰδέναι τὸν πατέρα. καὶ οὕτως αὐτὸν γνώσκειν ὥστε καὶ ἑτέροις αὐτὸν ἀποκαλύπτειν· σκόπει δέ. ἀνωτέρω εἶπεν ὅτι ὁ πατὴρ ἀπεκάλυψε τὰ μυστήρια τοῖς νηπίοις· ἐνταῦθα δὲ, ὅτι ὁ υἱὸς ἀποκαλύπτει τὸν πατέρα· ὁρᾷς οὖν μίαν δύναμιν πατρὸς καὶ υἱοῦ, εἴ γε καὶ ὁ πατὴρ ἀποκαλύπτει καὶ ὁ υἱός.

» Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Πάντας καλεῖ. οὐ μόνον Ἰουδαίους, ἀλλὰ καὶ ἐθνικούς· νόησαις γὰρ ἂν κοπιῶντας μὲν, τοὺς Ἰουδαίους. ὡς παρατηρήματα νομικὰ βαρέα μετερχομένους. καὶ κοπιῶντας ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν τοῦ νόμου· πεφορτισμένους δὲ, τοὺς ἐθνικούς. οἳ τῷ βάρει τῶν ἁμαρτιῶν ἐπιέζοντο· τούτοις οὖν πάντας ἀναπαύει ὁ Χριστός· τὸ γὰρ πιστεῦσαι καὶ ὁμολογῆσαι καὶ βαπτίσασθαι, ποῖος κόπος· πῶς δὲ οὐκ ἀνάπαυσις, ὅταν καὶ ἐνταῦθα ἀμέριμνος ᾖς ἐπὶ τοῖς πρὸ τοῦ βαπτίσματος πραχθεῖσι, κἀκεῖ ὡσαύτως ἀνάπαυσις διαδέξηταί σε.

» Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς
» τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ Ἱερεμ. ς'.
» τὸ φορτίον μου ἐλαφρόν ἐστιν. Ζυγὸς τοῦ Χριστοῦ ἡ ταπείνωσις καὶ ἡ πραότης· ὁ γοῦν ταπεινούμενος παντὶ ἀνθρώπῳ, ἀνάπαυσιν ἔχει, ἀτάραχος μένων· ὥσπερ ὁ κενόδοξος καὶ ἀλαζὼν, πάντοτε ἐν μερίμναις, οὐ θέλων ἐλαττωθῆναί τινος. ἀλλὰ λογιζόμενος πῶς πλέον δοξασθήσεται. πῶς νικήσει τοὺς ἐχθρούς. ὁ ζυγὸς τοίνυν τοῦ Χριστοῦ, ἡ

ταπείνωσις λέγω, ἐλαφρός ἐστιν. εὐκολώτερον γάρ ἐστι τῇ ταπεινῇ ἡμῶν φύσει τὸ ταπεινοῦσθαι, ἢ τὸ ἐπαίρεσθαι. ἀλλὰ καὶ πᾶσαι αἱ ἐντολαὶ τοῦ Χριστοῦ, ζυγὸς λέγονται. αἵτινες ἐλαφραί εἰσι διὰ τὴν μέλλουσαν ἀντίδοσιν εἰ καὶ πρὸς καιρὸν βαρεῖαι δοκοῦσιν.

Κεφάλαιον Δωδέκατον.

» Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων. οἱ δὲ μα-
» θηταὶ αὐτοῦ ἐπείνασαν. καὶ ἤρξαντο τίλλειν στάχυας καὶ ἐσθίειν.

Λύων τὰς νομικὰς παρατηρήσεις, ἄγει τοὺς μαθητὰς διὰ τῶν σπορίμων. ἵνα φαγόντες, λύσωσι τοῦ σαββάτου τὸν νόμον.

» Οἱ δὲ φαρισαῖοι ἰδόντες, εἶπον αὐτῷ. ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν
Βασιλει. α'. » ἐν σαββάτῳ. ὁ δὲ, εἶπεν αὐτοῖς. οὐκ ἀνέγνωτε τί ἐποίησε Δαβὶδ ὅτε ἐπείνασεν αὐ-
Κεφ. κα'. » τὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέ-
» σεως ἔφαγεν. οὓς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν οὐδὲ τοῖς μετ' αὐτοῦ, ἀλλὰ τοῖς ἱερεῦ-
» σι μόνοις.

Πάλιν οἱ φαρισαῖοι τὸ φυσικὸν πάθος, τὴν πεῖναν αἰτιῶνται. χείρω αὐτοὶ ἁμαρτάνοντες. ὁ δὲ κύριος, ἀπὸ τῆς περὶ τὸν Δαβὶδ ἱστορίας ἐντρέπει αὐτούς. ἐκεῖνος γάρ φησι διὰ τὴν πεῖναν, καὶ μεῖζόν τι ἐτόλμησεν. ἄρτοι δὲ τῆς προθέσεως, οἱ καθ' ἑκάστην ἡμέραν προτιθέμενοι. προετίθεντο γὰρ ἐν τῇ τραπέζῃ δώδεκα. ἓξ ἐκ τοῦ δεξιοῦ μέρους, καὶ ἓξ ἐκ τοῦ ἑτέρου. καίτοι καὶ προφήτης ἦν ὁ Δαβὶδ, οὐδὲ οὕτως ἔδει φαγεῖν. τοῖς γὰρ ἱερεῦσι μόνοις ἐξῆν. ἀλλὰ καὶ πολλῷ μᾶλλον οὐδὲ τοῖς μετ' αὐτοῦ ἐξῆν. ὅμως διὰ τὴν πεῖναν, συγγνώμης ἄξιος. οὕτως οὖν καὶ οἱ μαθηταί.

» Ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον
» βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι; λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε.

Ὁ νόμος ἐκώλυεν ἐν τῷ σαββάτῳ ἐργάζεσθαι. οἱ οὖν ἱερεῖς, ἐν τῷ σαββάτῳ καὶ ξύλα ἔσχιζον. καὶ πῦρ ἧπτον. ὥστε ἐβεβήλουν τὸ σάββατον. τουτέστιν ἐμίαινον, ὡς ὑμεῖς δοκεῖτε. ἀλλὰ λέγεις μοι, ὅτι ἐκεῖνοι ἱερεῖς ἦσαν. οἱ δὲ μαθηταὶ οὔ. λέγω οὖν, ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε. τουτέστιν ἐπεὶ ἐγὼ ὁ μείζων τοῦ ναοῦ καὶ δεσπότης, μετὰ τῶν μαθητῶν εἰμι, μείζονα ἐξουσίαν ἔχουσιν οὗτοι λύειν τὸ σάββατον παρὰ τοὺς ἱερεῖς.

Ὠσηέ. ς'. » Εἰ δὲ ἐγνώκειτε τί ἐστιν, ἔλεον θέλω καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους.
» κύριος γάρ ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου.

Δεικνύουσιν αὐτοὺς καὶ ἀμαθεῖς, ὡς μὴ γινώσκοντας τὰ προφητικά. οὐκ ἔδει γάρ φησιν ἐλεῆσαι τοὺς ἀνθρώπους πεινῶντας; ἄλλως τε ἐγὼ ὁ υἱὸς τοῦ ἀνθρώπου, κύριός εἰμι τοῦ σαββάτου, ὡς πάντων καὶ τῶν ἡμερῶν δημιουργός. ὥστε ἐγὼ λύω τὸ σάββατον ὡς δεσπότης. νόησον δὲ καὶ κατὰ ἀναγωγήν. ἐπεὶ γὰρ ἐργάται ἦσαν οἱ ἀπόστολοι, θερισμὸς δὲ καὶ στάχυες οἱ πιστεύοντες, ἔτιλλον τούτους οἱ ἀπόστολοι καὶ ἤσθιον. τουτέστι βρῶμα εἶχον τὴν σωτηρίαν τῶν ἀνθρώπων. τοῦτο δὲ ἐποίουν ἐν τοῖς σάββασιν, ἐν τῇ ἀργίᾳ τῶν κακῶν. οἱ δὲ φαρισαῖοι ἠγανάκτουν. οὕτω καὶ τῇ ἐκκλησίᾳ, τῶν διδασκάλων πολλάκις διδασκόντων καὶ ὠφελούντων, οἱ φαρισαΐζοντες καὶ φθονεροὶ ἀπαρέσκονται.

» Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν. καὶ ἰδοὺ ἄνθρωπος ἦν
» ἐκεῖ, τὴν χεῖρα ἔχων ξηράν. καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες εἰ ἔξεστι τοῖς σάββασι
» θεραπεύειν. ἵνα κατηγορήσωσιν αὐτοῦ.

Οἱ ἄλλοι εὐαγγελισταὶ λέγουσιν ὅτι ὁ Ἰησοῦς ἐπηρώτησε τοὺς φαρισαίους. ἔστιν οὖν εἰπεῖν ὅτι φθονεροὶ ὄντες, προέλαβον καὶ ἠρώτησαν αὐτόν. ὡς λέγει ὁ Ματθαῖος. εἶτα ὁ Χριστὸς πάλιν ἠρώτησεν αὐτοὺς, ὥσπερ χλευάζων καὶ τὴν πώρωσιν αὐτῶν διαγελῶν. ὅπερ οἱ ἕτεροι εὐαγγελισταί φασιν. ἠρώτησαν δὲ αὐτὸν, ἵνα σχῶσιν ἀφορμὴν εἰς τὸ διαβάλλειν.

» Ὁ δὲ, εἶπεν αὐτοῖς. τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμ-
» πέσῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ· πόσῳ οὖν δια
» φέρει ἄνθρωπος προβάτου· ὥστε ἔξεστι τοῖς σάββασι καλῶς ποιεῖν·
Δεικνύουσιν αὐτοὺς διὰ μὲν φιλοχρηματίαν, καὶ ἵνα μὴ προβάτου στερηθῶσι, καταλύον-
τας τὸ σάββατον. διὰ δὲ τὸ θεραπευθῆναι ἄνθρωπον, μὴ ἀνεχομένους τοῦτο γενέσθαι· tolerantes
ὥστε ἐν ταυτῷ, καὶ φιλοχρημάτους καὶ ἀπηνεῖς δεικνύει. καὶ καταφρονητὰς τοῦ θεοῦ·
καταφρονοῦσι γὰρ τοῦ σαββάτου, ἵνα μὴ ζημιωθῶσι πρόβατον· ἀνηλεεῖς δέ εἰσιν, ὅτι
ἀνθρώπου θεραπείαν οὐ θέλουσιν· ne fiant damnu ouis . imites
» Τότε λέγει τῷ ἀνθρώπῳ. ἔκτεινόν σου τὴν χεῖρα σου. καὶ ἐξέτεινε καὶ ἀποκατεστάθη
» ὑγιὴς ὡς ἡ ἄλλη· Πολλοὶ καὶ νῦν ἔχουσι ξηρὰς τὰς χεῖρας. τουτέστιν ἀνελεήμονας
καὶ ἀμεταδότους· ἀλλ᾽ ὅταν ὁ λόγος ὁ εὐαγγελικὸς ἐνηχήσῃ αὐτοῖς, ἐκτείνουσιν εἰς με ἐνέχω adduco
τάδοσιν ταύτας· κἂν οἱ φαρισαῖοι, οἱ ἀλαζόνες δαίμονες, οἱ ἀποκεκομμένοι ἡμῶν διὰ participatione
τὴν πρὸς ἡμᾶς ἔχθραν, οὐ θέλουσιν ἐκταθῆναι τὰς χεῖρας ἡμῶν εἰς ἐλεημοσύνην·
» Οἱ δὲ φαρισαῖοι ἐξελθόντες, συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσω-
» σιν· ὁ δὲ Ἰησοῦς γνοὺς, ἀνεχώρησεν ἐκεῖθεν· Ὢ φθόνου· ὅτε εὐεργετοῦνται, τότε ἐκ
μαίνονται· ἀναχωρεῖ δὲ ὁ Ἰησοῦς, διὰ τὸ μήπω ἐνστῆναι τὸν καιρὸν τοῦ πάθους· καὶ ἅ-
μα ἐκείνων φειδόμενος, μὴ ἐγκλήματι φόνου περιπέσωσι. τὸ γὰρ ῥιψοκίνδυνον, οὐ θεά temerariu, no optimu
ρεστον· ὅρα δὲ τὸ ἐξελθόντες· ὅτε γὰρ ἐξῆλθον ἐκ τοῦ θεοῦ, τότε ἠβουλήθησαν ἀπολέσαι
τὸν Ἰησοῦν. οὐδεὶς γὰρ ἐν τῷ θεῷ μένων, τοιαῦτα βουλεύεται·
» Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί. καὶ ἐθεράπευσεν αὐτοὺς πάντας· καὶ ἐπετί
» μησεν αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν· Τὸν φθόνον ἐκείνων παραμυθούμε- consolans
νος, οὐ θέλει φανεροῦσθαι· ἐσπούδαζε γὰρ παντὶ τρόπῳ θεραπεύειν αὐτούς·
» Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος. ἰδοὺ ὁ παῖς μου ὃν Ἡσαΐ· μβ΄·
» ἡρέτισα. ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. θήσω τὸ πνεῦμα μου ἐπ᾽ αὐ-
» τὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. οὐκ ἐρίσει οὐδὲ κραυγάσει·
Εἰσάγει καὶ τὸν προφήτην μάρτυρα τῆς τοῦ Ἰησοῦ πραότητος· ὅσα γάρ φησι θέλου-
σιν οἱ Ἰουδαῖοι, ποιήσει· θέλουσιν αὐτὸν μὴ φαίνεσθαι, οὐκοῦν καὶ τοῦτο ποιήσει. καὶ
οὐκ ἀντιστήσεται ὡς φιλόδοξος, οὐδὲ ἐρίσει. ἀλλὰ παραγγελεῖ τοῖς ὄχλοις ἵνα μὴ φα-
νερώσωσιν αὐτόν· ἀλλὰ καὶ τοῖς ἔθνεσι κρίσιν ἀπαγγελεῖ. τουτέστι καὶ τοὺς ἐθνικοὺς διδά-
ξει· κρίσις γὰρ ἡ διδασκαλία καὶ γνῶσις καὶ διάκρισις τοῦ καλοῦ· ἢ καὶ τὴν μέλλου
σαν κρίσιν ἀπαγγελεῖ τοῖς ἐθνικοῖς. οἳ οὐδέποτε ἤκουσαν περὶ μελλούσης κρίσεως·
» Οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ· Οὐ γὰρ ἐν μέσῳ ἀγο-
ρᾶς ὡς οἱ φιλόδοξοι, ἀλλ᾽ ἐν τῷ ἱερῷ καὶ ταῖς συναγωγαῖς καὶ ἐν τῷ ὄρει καὶ παρὰ
τοῖς αἰγιαλοῖς ἐδίδασκεν·
» Κάλαμον συντετριμμένον οὐ κατεάξει. καὶ λίνον τυφόμενον οὐ σβέσει·
Ἠδύνατο φησὶ τοὺς Ἰουδαίους ὡς κάλαμον συντετριμμένον κατακλάσαι. καὶ τὸν θυ-
μὸν αὐτῶν ὡς λίνον τυφόμενον ἤτοι καιόμενον σβέσαι. ἀλλ᾽ οὐκ ἠθέλησεν, ἕως οὗ πλη
ρώσῃ τὴν οἰκονομίαν καὶ νικήσῃ διὰ πάντων αὐτούς· τοῦτο γὰρ σημαίνει τὸ ἐπαγόμενον· dispensatione
» Ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν. καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν·
Ἵνα γὰρ μὴ ἔχωσί τι προφασίζεσθαι, πάντα ὑπέμεινεν. ὡς ἂν ὕστερον καταδικάσῃ αὐ-
τοὺς, καὶ νικήσῃ μηδὲν ἀντιλέγοντας· καὶ τί γὰρ οὐκ ἐποίησεν ἵνα κερδήσῃ ἐκείνους· ἀλ
λ᾽ οὐκ ἠθέλησαν· ὅθεν τὰ ἔθνη ἐλπιοῦσιν ἐπ᾽ αὐτὸν, ἐπειδὴ οἱ Ἰουδαῖοι οὐκ ἠθέλησαν·
» Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος, τυφλὸς καὶ κωφός. καὶ ἐθεράπευσεν αὐτόν· ὥς
» τε τὸν τυφλὸν καὶ κωφὸν, καὶ λαλεῖν καὶ βλέπειν. καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι. καὶ

» ἔλεγον, μήτι οὗτος ἐστὶν ὁ υἱὸς Δαβίδ; Τὰς πρὸς τὴν πίστιν ὁδοὺς ἀπέκλεισεν ὁ δαί-
μων, ὀφθαλμοὺς καὶ ἀκοὴν καὶ γλῶτταν· ἀλλ' ὁ Ἰησοῦς ἰᾶται. καὶ υἱὸς Δαβὶδ ὀνομάζε-
ται παρὰ τῶν ὄχλων· προσεδοκᾶτο γὰρ ὁ Χριστὸς ἐκ σπέρματος Δαβίδ· καὶ νῦν δέ,
ἐὰν ἴδῃς τινὰ μὴ τ' αὐτὸν νοοῦντα τὸ ἀγαθόν, μήτε ἑτέρου λόγους δεχόμενον, τοῦτον νόμι-
ζε τυφλὸν καὶ κωφόν· ὃν ἰᾶται ὁ θεὸς ἁπτόμενος τῆς καρδίας αὐτοῦ·

» Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες, εἶπον. οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ
» Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων· Καίτοι γε ἀνεχώρησεν ὁ κύριος δι' αὐτούς, ἀλ-
λ' ἐκεῖνοι καὶ πόρρωθεν ἀκούοντες διαβάλλουσιν, εὐεργετουμένων τῶν ἀνθρώπων· οὕ-
τως ἦσαν ἐχθροὶ τῆς φύσεως ὡς ὁ διάβολος·

» Εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς. πᾶσα βασιλεία μερισθεῖ-
» σα καθ' ἑαυτῆς, ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ στα-
» θήσεται· καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθή-
» σεται ἡ βασιλεία αὐτοῦ· Διὰ τοῦ δημοσιεύειν τὰς ἐνθυμήσεις αὐτῶν, δείκνυσιν ὅτι
θεός ἐστιν· ἀπολογεῖται δὲ αὐτοῖς ἀπὸ τῶν κοινῶν παραδειγμάτων. καὶ δείκνυσι τὴν
ἀφροσύνην αὐτῶν· πῶς γὰρ οἱ δαίμονες ἑαυτοὺς ἐκβάλλουσιν, ὅπου γε μᾶλλον ἑαυ-
τοὺς συγκροτοῦσι· σατὰν δὲ λέγεται ὁ ἀντικείμενος·

» Καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι·
» διὰ τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταί· Ἔστω φησὶν ὅτι ἐγὼ τοιοῦτός εἰμι· οἱ δὲ υἱοὶ ὑ-
μῶν, τουτέστιν οἱ ἐμοὶ μαθηταί, ἐν τίνι ἐκβάλλουσιν· οὐ γὰρ δὴ καὶ ἐκεῖνοι ἐν τῷ Βεελ
ζεβούλ· εἰ δὲ ἐκεῖνοι θείᾳ δυνάμει, πολλῷ μᾶλλον ἐγώ· ἐκεῖνοι γὰρ ἐν τῷ ἐμῷ ὀνόμα-
τι θαυματουργοῦσι· διὰ τοῦτο οὖν ἐκεῖνοι πρὸς κατάκρισιν ὑμῶν ἔσονται, ὅτι καὶ ἐκεί-
νους βλέποντες ἐν τῷ ἐμῷ ὀνόματι θαυματουργοῦντας, ἔτι διαβάλλετέ με·

» Εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βα-
» σιλεία τοῦ θεοῦ· Τοῦτο λέγει. ὅτι, εἰ ἐν θείᾳ δυνάμει ἐγὼ ἐκβάλλω τὰ δαιμόνια,
ἄρα ἐγὼ εἰμὶ ὁ υἱὸς τοῦ θεοῦ. καὶ παραγέγονα δι' ὑμᾶς ἵνα εὐεργετηθῆτε· ὥστε ἔφθα-
σεν εἰς ὑμᾶς ἡ ἐμὴ παρουσία· αὕτη γάρ, ἡ βασιλεία τοῦ θεοῦ· τί οὖν τὴν δι' ὑμᾶς γι-
νομένην παρουσίαν μου διαβάλλετε·

» Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρ-
» πάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν. καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει·
Τοσοῦτον φησὶν ἀπέχω τοῦ φίλους ἔχειν τοὺς δαίμονας, ὥστε καὶ ἀντιπάττομαι αὐ-
τοῖς καὶ δεσμῶ αὐτούς. τοὺς πρὸ τῆς ἐμῆς παρουσίας ἰσχυροὺς ὄντας· εἰς τὴν οἰκίαν
γάρ, ἤτοι τὸν κόσμον εἰσελθὼν ὁ Χριστός, τὰ σκεύη τῶν δαιμόνων, τοὺς ἀνθρώπους λέγω,
ἀφήρπασεν·

» Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει·
Πῶς φησίν, ὁ Βεελζεβοὺλ ἔμελλέ μοι συνεργεῖν, ὃς ἀντιπράττει μοι μᾶλλον· ἐγὼ μὲν
γὰρ ἀρετὴν διδάσκω, ἐκεῖνος δὲ κακίαν· πῶς οὖν ἐστι μετ' ἐμοῦ· κἀγὼ μὲν συνάγω
τοὺς ἀνθρώπους εἰς σωτηρίαν, ἐκεῖνος δὲ σκορπίζει· αἰνίττεται δὲ καὶ τοὺς φαρισαίους.
ὅτι αὐτοῦ διδάσκοντος καὶ ὠφελοῦντος πολλούς, ἐκεῖνοι ἐσκεδάννυον τὸν λαὸν ὥστε
μὴ προσέρχεσθαι αὐτῷ· δείκνυσιν οὖν αὐτοὺς δαιμονιώδεις τῷ ὄντι·

» Διὰ τοῦτο λέγω ὑμῖν. πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώ-
» ποις. ἡ δὲ τοῦ πνεύματος βλασφημία, οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις· καὶ ὃς ἐὰν
» εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύ-
» ματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι·
Τοῦτο ἐνταῦθα λέγει. ὅτι πᾶσα μὲν ἄλλη ἁμαρτία, κἂν μικρὰν γοῦν ἔχει ἀπολο-
γίαν·

γίαν· οἷον πορνεία. κλοπή· καταφευγόμεθα γὰρ εἰς τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ συγγνωστότεροί ἐσμεν· ὅταν δέ τις βλέπῃ θαύματα ὑπὸ τοῦ πνεύματος τελούμενα, καὶ διαβάλλῃ ταῦτα ὡς ὑπὸ δαίμονος γινόμενα, ποίαν ἕξει οὗτος ἀπολογίαν· πρόδηλον γὰρ ὅτι οἶδε μὲν ὅτι ἀπὸ πνεύματος ἁγίου γίνονται. ἐθελοκακεῖ δέ· πῶς οὖν ὁ τοιοῦτος συγγνωστός· ὅταν μὲν οὖν ἔβλεπον οἱ Ἰουδαῖοι τὸν κύριον ἐσθίοντα καὶ πίνοντα, καὶ μετὰ τελωνῶν διάγοντα καὶ πορνῶν. καὶ τἄλλα πάντα ὡς υἱὸν ἀνθρώπου πράττοντα, εἶτα διέβαλλον αὐτὸν ὡς φάγον καὶ οἰνοπότην, ὑπὲρ τούτου συγγνώμης ἄξιοι. καὶ οὐδὲ μετάνοιαν ἀπαιτηθήσονται ὑπὲρ τούτου. δοκοῦσι γὰρ εὐλόγως σκανδαλίζεσθαι· ὅταν δὲ βλέποντες αὐτὸν θαυματουργοῦντα, διέβαλλον καὶ ἐβλασφήμουν τὸ πνεῦμα τὸ ἅγιον, λέγοντες αὐτὸ δαιμονιῶδες εἶναι, πῶς ἀφεθήσεται τούτο τὸ ἁμάρτημα αὐτοῖς ἐὰν μὴ μετανοήσωσιν· ὥστε γίνωσκε ὡς ὁ μὲν εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου βλασφημῶν ἀνθρωπίνως ζῶντα βλέπων αὐτὸν, καὶ λέγων αὐτὸν φίλον πορνῶν καὶ φάγον καὶ οἰνοπότην διὰ τὸ ταῦτα τὸν Χριστὸν ποιεῖν, ὁ τοιοῦτος κἂν μὴ μετανοήσῃ, οὐ δώσει ὑπὲρ τούτου λόγον· συγγνώσκεται γὰρ ὡς μὴ νοήσας αὐτὸν θεὸν ὄντα κρυπτόν· ὁ δὲ εἰς τὸ ἅγιον πνεῦμα, ἤτοι τὰς πνευματικὰς πράξεις τοῦ Χριστοῦ βλασφημῶν, καὶ λέγων αὐτὰς δαιμονιώδεις, ἐὰν μὴ μετανοήσῃ, οὐ συγγνωσθήσεται· μή γὰρ εὔλογόν τινα ἀφορμὴν εἰς τὸ διαβάλλειν ἔχει; ὥσπερ ἐκεῖνος ὁ τὸν Χριστὸν ὁρῶν μετὰ πορνῶν ὄντα καὶ τελωνῶν, εἶτα διαβάλλων· οὐκ ἀφεθήσεται οὖν τούτῳ οὔτε ἐνταῦθα οὔτε ἐκεῖ. ἀλλὰ καὶ ἐνταῦθα καὶ ἐκεῖ τιμωρηθήσεται· πολλοὶ γὰρ ἐνταῦθα μὲν κολάζονται, ἐκεῖ δὲ οὐδ᾽ ὅλως. ὡς ὁ πτωχὸς Λάζαρος· ἄλλοι δὲ, καὶ ὧδε καὶ ἐκεῖ. ὡς οἱ Σοδομῖται. καὶ οὗτοι οἱ εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημοῦντες· τινὲς δὲ, οὔτε ὧδε οὔτε ἐκεῖ. ὡς οἱ ἀπόστολοι. ὁ πρόδρομος· κἂν γὰρ δοκῶσι κολάζεσθαι διωκόμενοι, ἀλλ᾽ οὐκ εἰσὶν ἐκεῖνα κολάσεις ὑπὲρ ἁμαρτημάτων, ἀλλὰ δοκιμασίαι καὶ στέφανοι·

» Ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν. ἢ ποιήσατε τὸ δένδρον
» σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται·

Ἐπειδὴ οἱ Ἰουδαῖοι τὰ μὲν θαύματα οὐκ ἠδύναντο διαβάλλειν ὡς κακὰ, τὸν δὲ ταῦτα ποιοῦντα Χριστὸν ἐβλασφήμουν ὡς δαιμονιώδη, φησίν. ἢ καὶ ἐμὲ τὸ δένδρον, λέγετε εἶναι καλὸν, καὶ πάντως ἔσονται καὶ τὰ θαύματά μου ἅτινα εἰσὶν ὁ καρπὸς, καλά. ἢ ἐὰν ἐμὲ λέγητε σαπρὸν δένδρον, εὔδηλον ὅτι καὶ ὁ καρπὸς, ἤτοι τὰ θαύματα, σαπρὸς ἔσται· ἀλλὰ μὴν τὰ θαύματα, τουτέστι τὸν καρπὸν, καλὰ λέγετε εἶναι· καὶ ἐγὼ ἄρα καλός εἰμι, τὸ δένδρον· πάντως γὰρ ἐκ τοῦ καρποῦ τὸ δένδρον γνωρίζεται· ὥστε κἀγὼ ἐκ τῶν θαυμάτων·

» Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες·

Ἰδοὺ φησὶν ὑμεῖς δένδρα πονηρὰ ὄντες, καρπὸν πονηρὸν φέρετε, κακολογοῦντες ἐμέ· ὥστε κἀγὼ ἐὰν ἤμην πονηρὸς, καρπὸν ἂν πονηρὸν προέφερον, καὶ οὐ θαύματα τοιαῦτα· γεννήματα δὲ ἐχιδνῶν τούτους καλεῖ, ἐπεὶ ἐπὶ τῷ Ἀβραὰμ ἐκόμπαζον· δείκνυσιν οὖν αὐτοὺς, ὅτι οὐκ εἰσὶν ἀπὸ τοῦ Ἀβραὰμ, ἀλλὰ προγόνων ἀξίων τῆς πονηρίας αὐτῶν·

» Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας, τὸ στόμα λαλεῖ· ὁ ἀγαθὸς ἄνθρωπος, ἐκ
» τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει ἀγαθά. καὶ ὁ πονηρὸς ἄνθρωπος, ἐκ τοῦ πονηροῦ θη-
» σαυροῦ ἐκβάλλει πονηρά· Ὅταν ἴδῃς τινὰ αἰσχρολόγον, γίνωσκε ὅτι οὐχ ὅσα λέγει ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πολλαπλάσια· καὶ γὰρ ἐκ τοῦ περισσεύματος ἐκχεῖται καὶ εἰς τὰ ἔξω· καὶ θησαυρὸν ἔχων κρυπτὸν, ὀλίγον τι μέρος ἐκφαίνει· ὁμοίως καὶ ὁ ἀγαθὰ λαλῶν, πλείονα ἔχει ἐν τῇ καρδίᾳ·

» Λέγω δὲ ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι πε-

» ρὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως· ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ. καὶ ἐκ τῶν λό-
» γων σου καταδικασθήσῃ· Ἐκφοβεῖ ἐνταῦθα ἡμᾶς, ὅτι καὶ ὑπὲρ τοῦ ἀργοῦ λόγου
δώσομεν λόγον. τουτέστι τοῦ ψευδοῦς. τοῦ συκοφαντικοῦ· ἢ καὶ τοῦ ἀτάκτου καὶ γελοιώ
δους· εἶτα τίθησι μαρτυρίαν ἀπὸ τῆς γραφῆς, ἵνα μὴ δόξῃ οἰκεῖά τινα λέγειν. ἐκ τῶν
λόγων σου δικαιωθήσῃ. καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ·
» Τότε ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ φαρισαίων, λέγοντες. διδάσκα-
» λε. θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν· Θαυμάζων ὁ εὐαγγελιστὴς, προσέθηκε τὸ τότε.
ὅτε γὰρ ὑποταγῆναι ἔδει διὰ τὰ προγεγονότα θαύματα, τότε σημεῖον αἰτοῦσιν· ἐξ
Μαρκ. η΄. κγ. — οὐρανοῦ δὲ θέλουσιν ἰδεῖν σημεῖον, ὡς ἄλλος εὐαγγελιστὴς λέγει· ἐδόκουν γὰρ ὅτι τὰ ἐπὶ
Λουκ. ια΄. — τῆς γῆς θαύματα, ἀπὸ τῆς τοῦ διαβόλου δυνάμεως ποιεῖ· κοσμοκράτωρ γὰρ ὁ
διάβολος. τί οὖν ὁ σωτήρ·
Δευτε. λβ΄. — » Ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς. γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ. καὶ
Ἰωνᾶ. β΄. — » σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου· ὥσπερ γὰρ ἦν Ἰωνᾶς
» ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου
» ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· Πονηρὰν μὲν γενεὰν αὐτοὺς κα-
λεῖ, ὡς ἐπηρεαστὰς καὶ δολεροὺς· μοιχαλίδα δὲ, ὡς ἀφισταμένους ἀπὸ τοῦ θεοῦ, καὶ
δαίμοσι κολλωμένους· σημεῖον δὲ λέγει τὴν ἀνάστασιν αὐτοῦ, ὡς παράδοξον. ἐν γὰρ τῇ
καρδίᾳ τῆς γῆς, τῷ κατωτάτω λέγω τόπῳ, τῷ ᾅδῃ δηλονότι καταβὰς, τριήμερος
ἀνέστη· τὰς τρεῖς δὲ ἡμέρας καὶ τὰς τρεῖς νύκτας, ἀπὸ μέρους νόησον καὶ μὴ ὁλοκλήρους·
ἀπέθανε μὲν γὰρ τῇ παρασκευῇ· μία αὕτη ἡμέρα ἦν· καὶ τῷ σαββάτῳ νεκρός· ἰδοὺ
καὶ ἄλλη ἡμέρα· καὶ ἡ νὺξ δὲ τῆς κυριακῆς, ἔτι νεκρὸν αὐτὸν κατέλαβε· τρία οὖν ἡ-
μερονύκτια ἀπὸ μέρους ἀριθμοῦνται· ἐπεὶ καὶ οὕτως εἰώθαμεν πολλάκις ἀριθμεῖν·
» Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατα-
» κρινοῦσιν αὐτήν. ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε·
Ὁ μὲν Ἰωνᾶς φησὶ μετὰ τὴν ἐκ τοῦ κήτους ἔξοδον, κηρύξας ἐπιστεύθη· ἐγὼ δὲ οὐ δὲ μετὰ
τὴν ἀνάστασιν ὑμῖν πιστευθήσομαι· ὅθεν καὶ κατακριθήσεσθε ὑπὸ τῶν Νινευιτῶν, πι
στευσάντων τῷ δούλῳ μου Ἰωνᾷ χωρὶς σημείων, καὶ ταῦτα βαρβάρων ὄντων, ὑμεῖς οἱ
προφήταις συντεθραμμένοι. οἱ σημεῖα ἰδόντες, μὴ πιστεύσαντες ἐμοὶ τῷ δεσπότῃ·
τοῦτο γὰρ σημαίνει τὸ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε·
Βασι. γ΄. — » Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρι
κεφ. ι΄. — » νεῖ αὐτήν. ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος·
Παραλ. β΄. — » καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε· Ἡ μὲν βασίλισσα φησὶ μακρόθεν ἦλθε. καίτοι
κεφ. θ΄. — γυνὴ ἀσθενὴς οὖσα, ἵνα περὶ δένδρων καὶ ξύλων καὶ φυσικῶν τινων ἀκούσῃ· ὑμεῖς δὲ,
καὶ ἐλθόντα με πρὸς ὑμᾶς, καὶ ἀπόρρητα λέγοντα, οὐκ ἐδέξασθε·
» Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ ἀνύδρων
» τόπων ζητοῦν ἀνάπαυσιν. καὶ οὐχ εὑρίσκει· τότε λέγει. ἐπιστρέψω εἰς τὸν οἶκόν μου
» ὅθεν ἐξῆλθον. καὶ ἐλθὸν, εὑρίσκει σχολάζοντα σεσαρωμένον καὶ κεκοσμημένον· τότε
» πορεύεται καὶ παραλαμβάνει μεθ᾽ ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυ-
» τοῦ. καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου, χείρο
» να τῶν πρώτων· οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ· Δείκνυσιν αὐτοὺς εἰς
ἔσχατον ἀπωλείας καταντήσοντας ἐκ τοῦ μὴ παραδέξασθαι αὐτόν· ὥσπερ γὰρ οἱ δαι-
μόνων ἐλευθερωθέντες, ἐὰν ῥαθυμήσωσι χείρονα πάσχουσιν, οὕτω καὶ ἡ ὑμετέρα γε-
νεὰ κατείχετο δαίμονι ὅτε τὰ εἴδωλα προσεκυνεῖτε. ἀλλὰ διὰ τῶν προφητῶν ἐξέ-
βαλον τοῦτον τὸν δαίμονα· ἦλθον δὲ καὶ αὐτὸς πλέον καθᾶραι ὑμᾶς βουλόμενος·

ἀλλ᾽ ἐπειδὴ

ἀλλ' ἐπειδὴ προσώσαθέ με, καὶ ἀνελεῖν μᾶλλον σπεύδετε, ὡς χεῖρον ἁμαρτάνοντες,
χεῖρον καὶ κολασθήσεσθε. καὶ ἡ ἐσχάτη αἰχμαλωσία ὑμῶν, βαρυτέρα ἔσται τῶν προ-
τέρων. σὺ δὲ νόει καὶ τοῦτο. ὅτι διὰ τοῦ βαπτίσματος ἐκβάλλεται τὸ ἀκάθαρτον πνεῦ-
μα. καὶ πορεύεται ἐν ταῖς ἀνύδροις καὶ ἀβαπτίστοις ψυχαῖς. ἀλλ' ἐν ἐκείναις οὐχ
εὑρίσκει ἀνάπαυσιν. ἀνάπαυσις γὰρ τοῖς δαίμοσι, τὸ τοῖς βεβαπτισμένοις ἐνοχλεῖν
διὰ τῶν πονηρῶν πράξεων. ἐπεὶ τοὺς ἀβαπτίστους ἤδη ἔχει. ὑποστρέφεται οὖν ἐπὶ τὸν
βεβαπτισμένον, μετὰ τῶν ἑπτὰ πνευμάτων. ὥσπερ γὰρ ἑπτὰ τὰ τοῦ πνεύματος χα-
ρίσματα, οὕτως ἐκ τοῦ ἐναντίου ἑπτὰ καὶ τὰ τῆς κακίας πνεύματα. ἐπὰν δὲ εἰσέλ-
θῃ εἰς τὸν βεβαπτισμένον, χείρων ἡ συμφορά. πρότερον μὲν γὰρ ἐλπὶς ἦν διὰ τοῦ βα-
πτίσματος καθαρθῆναι. ἔκτοτε δὲ, δευτέρου βαπτίσματος οὐκ ἔστιν ἐλπίς. εἰ μὴ τοῦ
διὰ μετανοίας. ὃ σφόδρα ἐπίπονον.

» Ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδοὺ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκει-
» σαν ἔξω, ζητοῦντες αὐτῷ λαλῆσαι. Ἀνθρώπινόν τι ἐβούλετο ἐνδείξασθαι ἡ μή-
τηρ, ὅτι ἐξουσιάζει τοῦ παιδός. οὐδὲν γὰρ μέγα οὔπω περὶ αὐτοῦ ἐνόει. διὰ τοῦτο οὖν καὶ
ἔτι λαλοῦντα, βούλεται πρὸς ἑαυτὴν ἐπισπάσασθαι. φιλοτιμουμένη ὡς ὑποτατ-
τομένου αὐτῇ τοῦ υἱοῦ. τί γοῦν ὁ Χριστός. ἐπεὶ τὸν σκοπὸν αὐτῆς ἔγνω, ἄκουε τί φησιν.

» Εἶπε δέ τις αὐτῷ. ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασι ζητοῦντές σοι
» λαλῆσαι. ὁ δὲ, ἀποκριθεὶς εἶπε τῷ εἰπόντι αὐτῷ. τίς ἐστιν ἡ μήτηρ μου. καὶ τίνες εἰσὶν
» οἱ ἀδελφοί μου. καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, εἶπεν. ἰδοὺ ἡ
» μήτηρ μου καὶ οἱ ἀδελφοί μου. ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν
» οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν. Οὐχ ὑβρίζων τὴν μητέ-
ρα λέγει ταῦτα. ἀλλὰ διορθούμενος τὴν φιλόδοξον αὐτῆς καὶ ἀνθρωπίνην γνώμην.
οὐ γὰρ εἶπεν ὅτι, οὐκ ἔστι μου μήτηρ. ἀλλ' ὅτι ἐὰν μὴ ποιῇ τὸ θέλημα τοῦ θεοῦ, οὐδὲν αὐ-
τὴν ὠφελήσει τὸ γεννῆσαί με. οὐ γὰρ ἀρνεῖται τὴν κατὰ φύσιν συγγένειαν, ἀλλὰ προσ-
τίθησι καὶ τὴν κατ' ἀρετήν. οὐδεὶς γὰρ ἀνάξιος, ἀπὸ συγγενείας ὠφελεῖται. διορθωσά-
μενος τοίνυν τῆς κενοδοξίας τὸ νόσημα, ὅμως πάλιν ὑπακούει τῇ μητρὶ καλούσῃ.
φησὶ γὰρ ὁ εὐαγγελιστής.

Κεφάλαιον Τρισκαιδέκατον.

» Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασ-
» σαν. καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί. ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα κα-
» θῆσθαι. καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. Ἐκάθισεν ἐν τῷ πλοίῳ, ἵνα πάν-
τας τοὺς ἀκροατὰς κατὰ πρόσωπον στήσῃ. καὶ πάντες ἀκούωσι. καὶ δὴ ἀπὸ τῆς
θαλάσσης ἁλιεύει τοὺς ἐν τῇ γῇ.

» Καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς, λέγων. Τοῖς μὲν ἁπλάστοις ὄ-
χλοις ἐπὶ τοῦ ὄρους χωρὶς παραβολῶν λαλεῖ. ἐνταῦθα δὲ τῶν δολερῶν Φαρισαίων
ὄντων, ἐν παραβολαῖς λέγει. ἵνα κἂν ὡς μὴ νοοῦντες, ἐρωτήσωσι καὶ μάθωσιν. ἄλ-
λως τε ἀναξίοις οὖσιν, οὐκ ἔδει γυμνὰς τὰς διδασκαλίας αὐτοῖς προκεῖσθαι. οὐ δεῖ
γὰρ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων ῥίπτεσθαι. πρώτην δὲ παραβολὴν λέ-
γει τὴν ποιοῦσαν προσεκτικώτερον τὸν ἀκροατήν. ἄκουε γάρ.

» Ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. Ἑαυτὸν λέγει τὸν σπεί-
ροντα. σπόρον δὲ τὸν λόγον. ἐξῆλθε δὲ, οὐ τόπῳ. πανταχοῦ γὰρ ἦν. ἀλλὰ καθ' ὃ ἐ-
πλησίασεν ἡμῖν μετὰ σαρκὸς, κατὰ τοῦτο λέγεται ἐξελθεῖν, τῶν κόλπων τῶν πατρι-
κῶν δηλονότι. ἐξῆλθεν οὖν πρὸς ἡμᾶς, ἐπειδὴ ἡμεῖς οὐκ ἠδυνάμεθα, πρὸς αὐτὸν
ἐλθεῖν. καὶ τί ποιῆσαι ἐξῆλθεν. ἆρα ἐμπρῆσαι τὴν γῆν διὰ τὰς πολλὰς ἀκαν-

θας; ἆρα τιμωρήσασθαι; οὐχί. ἀλλὰ τοῦ σπεῖραι. τὸν σπόρον δὲ αὐτοῦ εἶπε, διότι
καὶ οἱ προφῆται ἔσπειρον. ἀλλ' οὐ τὸν σπόρον αὐτῶν, ἀλλὰ τὸν τοῦ θεοῦ. οὗτος δὲ
θεὸς ὤν, τὸν σπόρον αὐτοῦ τὸν ἴδιον ἔσπειρεν. οὐ γὰρ χάριτι θείᾳ ἐσοφίσθη. ἄπαγε.
ἀλλ' αὐτὸς ἦν ἡ σοφία τοῦ θεοῦ.

» Καὶ ἐν τῷ σπείρειν αὐτόν, ἃ μέν, ἔπεσε παρὰ τὴν ὁδόν. καὶ ἦλθε τὰ πετεινὰ τοῦ
» οὐρανοῦ. καὶ κατέφαγεν αὐτά. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν
» πολλήν. καὶ εὐθέως ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς. ἡλίου δὲ ἀνατείλαντος
» ἐκαυματίσθη. καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη. Οἱ παρὰ τὴν ὁδόν, εἰσὶν οἱ ῥᾴ-
θυμοι καὶ ὀκνηροί. οἱ οὐδ' ὅλως παραδέχονται τὸν λόγον. ὁ γὰρ λογισμὸς αὐτῶν, ὁδός
ἐστι καταπεπατημένη καὶ σκληρὰ καὶ μὴ ἀροτριωθεῖσα ὅλως. ἀπὸ τούτων οὖν ἁρπά-
ζει τὸν λόγον τὰ πετεινὰ τοῦ οὐρανοῦ. ἤτοι τοῦ ἀέρος τὰ πνεύματα. τουτέστιν οἱ δαίμο-
νες. οἱ δὲ ἐπὶ τὰ πετρώδη, οἱ ἀκούσαντες μέν, διὰ δὲ τὴν ἀσθένειαν μὴ ἀντιβάντες
πειρασμοῖς ἢ θλίψεσιν. ἀλλὰ καταπροδόντες τὴν οἰκείαν σωτηρίαν. ἥλιον γὰρ ἀνα-
τείλαντα, τοὺς πειρασμοὺς νόει. διότι οἱ πειρασμοὶ δεικνύουσι τοὺς ἀνθρώπους. καὶ φα-
νεροῦσιν ὡς ὁ ἥλιος τὰ κρυπτόμενα.

» Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας. καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ ἀπέπνιξαν
» αὐτά. Οὗτοι εἰσὶν οἱ διὰ τῶν φροντίδων ἀποπνίγοντες τὸν λόγον. κἂν γὰρ δοκῇ
ὁ πλούσιος ἀγαθήν τινα πρᾶξιν ποιεῖν, ἀλλ' ὅμως οὐκ αὐξάνεται ἡ πρᾶξις αὕτη οὐδὲ προ-
κόπτει, κωλυομένη ὑπὸ τῶν μεριμνῶν.

» Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλήν. καὶ ἐδίδου καρπόν. ὃ μέν, ἑκατόν. ὃ
» δέ, ἑξήκοντα. ὃ δέ, τριάκοντα. Τὰ τρία μέρη τοῦ σπόρου ἀπώλοντο, καὶ τὸ τέταρτον
1 ἐσώθη μόνον. ὀλίγοι γάρ εἰσιν οἱ σωζόμενοι. ὕστερον δὲ λέγει περὶ τῆς γῆς τῆς ἀγα-
θῆς, διδοὺς ἡμῖν μετανοίας ἐλπίδα. ἔστι γὰρ δυνατὸν κἂν πετρώδης εἴη τις, κἂν παρὰ
τὴν ὁδόν, κἂν ἀκανθοφορῶν, γῆν ἀγαθὴν γενέσθαι αὐτόν. οὐ μὴν ἐπίσης καρπο-
φοροῦσι πάντες οἱ δεξάμενοι τὸν λόγον. ἀλλ' ὁ μέν, ἑκατόν. τυχὸν ὁ ἀκτημοσύνην τε-
λείαν ἔχων καὶ ἄκραν ἄσκησιν. ὁ δέ, ἑξήκοντα. ὁ κοινοβιακὸς τυχὸν μοναχὸς καὶ ἔτι
πρακτικός. ὁ δέ, τριάκοντα. ὁ γάμον σεμνὸν ἑλόμενος, καὶ τὰς ἀρετὰς ὡς ἐγχωρεῖ
σπουδαίως μετερχόμενος. ὅρα δὲ θεοῦ χρηστότητα, πῶς πάντας καὶ τοὺς τὰ μεγάλα
καὶ τοὺς τὰ μέσα καὶ τοὺς τὰ μικρὰ ἐνεργοῦντας δέχεται.

» Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Δηλοῖ ὅτι πνευματικῶς δεῖ νοηθῆναι ταῦτα
παρὰ τῶν τὰ πνευματικὰ ὠτία κεκτημένων. πολλοὶ δὲ ὦτα μὲν ἔχουσιν, ἀλλ' οὐκ εἰς
τὸ ἀκούειν. διὰ τοῦτο οὖν προσέθηκε τό, ὁ ἔχων ὦτα εἰς τὸ ἀκούειν, ἐκεῖνος ἀκουέτω.

» Καὶ προσελθόντες οἱ μαθηταί, εἶπον αὐτῷ. διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς.
» ὁ δέ, ἀποκριθεὶς εἶπεν αὐτοῖς. ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας
» τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθή-
» σεται. ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. Ὁρῶντες οἱ μαθηταὶ ἀ-
σάφειαν πολλὴν ἐν τοῖς ὑπὸ τοῦ Χριστοῦ λεγομένοις, ὡς κοινοὶ κηδεμόνες τοῦ πλήθους
προσέρχονται ἐρωτῶντες. ὁ δέ, φησίν. ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια. τουτέστιν, ἐπεὶ
δὴ ἔχετε προθυμίαν καὶ σπουδήν, δέδοται ὑμῖν. ἐκείνοις δέ, μὴ ἔχουσι σπουδήν, οὐ δέ-
δοται. ἐκεῖνος γὰρ λαμβάνει, ὁ ζητῶν. ζητεῖτε γάρ φησι, καὶ δοθήσεται ὑμῖν. ἴδε γοῦν
πῶς ἐνταῦθα εἶπε μὲν ὁ κύριος τὴν παραβολήν, μόνοι δὲ οἱ μαθηταὶ ζητήσαντες ἔλα-
βον. ὥστε καλῶς εἴπομεν ὅτι τῷ ἔχοντι σπουδήν, ἐκείνῳ δίδοται ἡ γνῶσις. καὶ περισ-
σεύεται. τῷ δὲ μὴ ἔχοντι σπουδὴν καὶ γνώμην ἀξίαν, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται
ἀπ' αὐτοῦ. τουτέστι, κἂν μικρόν τινα σπινθῆρα ἔχῃ τοῦ ἀγαθοῦ, σβέννυσι καὶ τοῦ-

τον· μὴ

τον. μὴ ἐκφυσῶν αὐτὸν διὰ τοῦ πνεύματος καὶ τῶν πνευματικῶν ἔργων, καὶ ἀνάπτων·
» Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι. καὶ ἀκούον-
» τες οὐκ ἀκούουσιν οὐδὲ συνίουσιν. Πρόσεχε. ἐντεῦθεν γὰρ λύεται τὸ ζήτημα τῶν λε
γόντων ὅτι ἐκ φύσεως καὶ ἀπὸ θεοῦ τινὲς εἰσὶ κακοί· εἶπε γάρ φασι καὶ ὁ Χριστὸς. ὅτι, ὑ-
μῖν δέδοται γνῶναι τὰ μυστήρια, Ἰουδαίοις δὲ οὐ δέδοται· λέγομεν οὖν πρὸς τοὺς τοιαῦ
τα λέγοντας σὺν θεῷ, ὅτι ὁ μὲν θεὸς πάντας ποιεῖ νοεῖν τὸ δέον φυσικῶς. πάντα γὰρ Ἰωάν· ά·
ἄνθρωπον φωτίζει ἐρχόμενον εἰς τὸν κόσμον. ἡ δὲ προαίρεσις ἡμῶν σκοτίζει ἡμᾶς· τοῦτο
οὖν καὶ ἐνταῦθα δηλοῦται· φησὶ γὰρ ὅτι βλέποντες φυσικῶς, τουτέστιν ὑπὸ τοῦ θεοῦ δη
μιουργηθέντες νοεῖν, οὐ βλέπουσι προαιρετικῶς· καὶ ἀκούοντες, τουτέστι φυσικῶς ὑπὸ
τοῦ θεοῦ δημιουργηθέντες ὥστε ἀκούειν καὶ συνιέναι, οὐκ ἀκούουσιν. οὐδὲ συνιᾶσιν ἀπὸ
προαιρέσεως· εἰπὲ γάρ μοι. οὐκ ἔβλεπον τὰ θαύματα τοῦ Χριστοῦ; ναί· ἀλλ᾽ ἐποίουν
ἑαυτοὺς τυφλοὺς, καὶ κατηγόρουν αὐτοῦ· τοῦτο γοῦν ἐστι τὸ, βλέποντες οὐ βλέπουσι·
παράγει τοίνυν καὶ τὸν προφήτην μάρτυρα·
» Καὶ ἀναπληροῦται αὐτοῖς ἡ προφητεία Ἡσαΐου, ἡ λέγουσα. ἀκοῇ ἀκούσετε, καὶ Ἡσα·ϛ´· καὶ
» οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ Πράξ· κή·
» λαοῦ τούτου. καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν. καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν,
» μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς. καὶ τοῖς ὠσὶν ἀκούσωσι. καὶ τῇ καρδίᾳ συνῶσι, καὶ
» ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς· Ὁρᾷς τί φησιν ἡ προφητεία; ὅτι οὐ διὰ τοῦτο οὐ
μὴ συνῆτε ὅτι παχεῖαν ἔκτισα τὴν καρδίαν ὑμῶν, ἀλλ᾽ ὅτι ἐπαχύνθη. λεπτὴ δηλονό
τι πρότερον οὖσα· τὸ γὰρ παχυνόμενον, λεπτὸν πρότερον ἦν· παχυνθείσης δὲ ταύ-
της, οὕτω τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· οὐκ εἶπε δὲ ὅτι ἐκάμμυσεν ὁ θεὸς τοὺς
ὀφθαλμοὺς αὐτῶν, ἀλλ᾽ ὅτι ἐκεῖνοι ἐκ προαιρέσεως· τοῦτο δὲ ἐποίησαν φησιν, ἵνα μὴ
ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς. ἐθελοκάκως γὰρ ἐσπούδασαν ἀθεράπευτοι καὶ ἀνε
πίστροφοι μεῖναι·
» Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι. καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει· ἀ-
» μὴν γὰρ λέγω ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ
» οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν· Καὶ οἱ αἰσθητοὶ μὲν ὀφθαλμοὶ
τῶν ἀποστόλων καὶ τὰ ὦτα μακάρια· πλὴν ἀλλὰ μᾶλλον οἱ ψυχικοὶ ὀφθαλμοὶ καὶ
τὰ ὦτα μακαρισμοῦ ἄξια, ὅτι ἐπέγνων τὸν Χριστόν· προτιμᾷ δὲ τούτους τῶν προφη-
τῶν, διότι καὶ σωματικῶς εἶδον οὗτοι τὸν Χριστόν. ἐκεῖνοι δὲ, νοερῶς μόνον· ἀλλὰ καὶ
ὅτι ἐκεῖνοι οὐ τοσούτων μυστηρίων καὶ τοιαύτης ἠξιώθησαν γνώσεως ὅσης οὗτοι· κατὰ
δύο οὖν ὑπερέχουσι τῶν προφητῶν οἱ ἀπόστολοι, καὶ κατὰ τὸ σωματικῶς ἰδεῖν, καὶ
κατὰ τὸ πνευματικώτερον μυηθῆναι τὰ θεῖα. σαφηνίζει οὖν τὴν παραβολὴν τοῖς μα
θηταῖς, λέγων·
» Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος· παντὸς ἀκούοντος τὸν λόγον
» τῆς βασιλείας καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς καὶ ἁρπάζει τὸ ἐσπαρμένον
» ἐν τῇ καρδίᾳ αὐτοῦ· οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς· Προτρέπεται ἡμᾶς εἰς τὸ
συνιέναι τῶν λεγομένων παρὰ τῶν διδασκόντων, ἵνα μὴ καὶ ἡμεῖς ὅμοιοι ὦμεν τοῖς
παρὰ τὴν ὁδὸν· μήποτε δὲ, ἐπεὶ ὁδὸς ἐστὶν ὁ Χριστὸς, παρὰ τὴν ὁδὸν εἰσὶν οἱ ἔξω τοῦ
Χριστοῦ. οἳ οὐκ εἰσὶν ἐν τῇ ὁδῷ, ἀλλὰ παρεκτὸς τῆς ὁδοῦ·
» Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς μετὰ χα
» ρᾶς λαμβάνων αὐτὸν, οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ ἀλλὰ πρόσκαιρός ἐστι· γενομένης
» δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζεται· Θλίψεως εἶπεν, ἐπεὶ
πολλοὶ ὑπὸ γονέων ἢ ἄλλων συμφορῶν θλιβόμενοι, εὐθὺς βλασφημοῦσι· διωγμοῦ δὲ,

διὰ τοὺς ἐπὶ τῶν τυράννων παραπίπτοντας.

» Ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ ἡ μέριμνα τοῦ
» αἰῶνος τούτου καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον καὶ ἄκαρπος γίνεται.

Οὐκ εἶπεν ὅτι ὁ αἰὼν οὗτος συμπνίγει, ἀλλ' ἡ μέριμνα τοῦ αἰῶνος. οὐδὲ ὁ πλοῦτος, ἀλλ' ἡ ἀπάτη τοῦ πλούτου. ὁ πλοῦτος γὰρ ὅταν σκορπισθῇ, οὐ συμπνίγει. ἀλλ' αὔξει τὸν λόγον. ἄκανθαι δὲ, αἱ μέριμναι καὶ αἱ τρυφαί. διότι τὸ πῦρ καὶ τὸ τῆς ἐπιθυμίας καὶ τὸ τῆς γεέννης ἀνάπτουσι. καὶ ὥσπερ ἡ ἄκανθα ὀξεῖα οὖσα, εἰσδύει εἰς τὸ σῶμα καὶ μόλις ἐκβάλλεται, οὕτω καὶ ἡ τρυφή. ἐὰν ψυχῆς κρατήσῃ, εἰσδύει καὶ μόλις ἐκριζοῦται

» Ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιών.
» ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ ὁ μὲν, ἑκατόν. ὁ δὲ, ἑξήκοντα. ὁ δὲ, τριάκοντα.

Διάφορα τὰ τῆς ἀρετῆς εἴδη. διάφοροι καὶ οἱ προκόπτοντες. ὅρα δὲ ὅτι τάξις ἐστὶν ἐν τῇ παραβολῇ. δεῖ γὰρ ἡμᾶς πρῶτον μὲν ἀκοῦσαι τὸν λόγον καὶ συνιέναι. ἵνα μὴ ὦμεν ὡς οἱ παρὰ τὴν ὁδόν. ἔπειτα κατασχεῖν ἑδραίως τὸ ἀκουσθέν. εἶτα μὴ φιλοχρημάτους εἶναι. τί γὰρ ὄφελος εἰ ἀκούσω καὶ κατάσχω, ὑπὸ δὲ φιλοχρηματίας συμπνίξω.

» Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων. ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν,
» ἀνθρώπῳ σπείραντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ. ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώ
» πους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν.
» ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια. προ-
» σελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ. κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπει
» ρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν ἔχει τὰ ζιζάνια. ὁ δὲ, ἔφη αὐτοῖς. ἐχθρὸς ἄνθρωπος
» τοῦτο ἐποίησεν. οἱ δὲ δοῦλοι εἶπον αὐτῷ. θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά;
» ὁ δὲ ἔφη. οὔ. μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον.
» ἄφετε οὖν συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ θερισμοῦ. καὶ ἐν τῷ καιρῷ τοῦ θερι-
» σμοῦ, ἐρῶ τοῖς θερισταῖς. συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς δεσμὰς
» πρὸς τὸ κατακαῦσαι αὐτά. τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου.

Ἐν τῇ προτέρᾳ παραβολῇ εἶπε τὸ τέταρτον μέρος τοῦ σπόρου πεσεῖν εἰς τὴν γῆν τὴν ἀγαθήν. ἐν δὲ τῇ παρούσῃ δείκνυσιν ὅτι οὐδὲ αὐτὸ ἐκεῖνο τὸ πεσὸν εἰς τὴν γῆν τὴν ἀγαθὴν, ἀδιάφθορον εἴασεν ὁ ἐχθρός. διὰ τὸ καθεύδειν καὶ ῥαθυμεῖν ἡμᾶς. ἀγρὸς οὖν, ὁ κόσμος. ἢ ἡ ἑκάστου ψυχή. ὁ σπείρας ὁ χριστός. καλὸν σπέρμα, οἱ ἀγαθοὶ ἄνθρωποι ἢ λογισμοί. ζιζάνια, αἱ αἱρέσεις. ἢ οἱ πονηροὶ λογισμοί. ὁ σπείρας δὲ ταῦτα ὁ διάβολος. καθεύδοντες δὲ ἄνθρωποι, οἱ διὰ ῥαθυμίαν χώραν διδόντες τοῖς αἱρετικοῖς καὶ τοῖς πονηροῖς λογισμοῖς. δοῦλοι δὲ, οἱ ἄγγελοι. οἳ ἀγανακτοῦσιν ἐπὶ τῷ εἶναι αἱρέσεις, ἢ πονηρίας ἐν τῇ ψυχῇ. καὶ βούλονται ἀνασπᾶν καὶ ἐκκόπτειν ἐκ τοῦ βίου τούς τε αἱρετικοὺς καὶ τοὺς τὰ πονηρὰ λογιζομένους. ὁ δὲ θεὸς οὐ συγχωρεῖ τοὺς αἱρετικοὺς διὰ πολέμων ἀναλίσκεσθαι. ἵνα μὴ συμπάσχωσι καὶ συναλίσκωνται καὶ οἱ δίκαιοι. ὁμοίως οὐδὲ διὰ τοὺς πονηροὺς λογισμοὺς θέλει ὁ θεὸς ἐκκόπτειν τὸν ἄνθρωπον. ἵνα μὴ καὶ ὁ σῖτος συνδιαφθαρῇ. οἷον ἐὰν ὁ Ματθαῖος ζιζάνιον ὢν ἐκόπη ἐκ τῆς ζωῆς, συνεξεκόπη ἂν αὐτῷ καὶ ὁ ὕστερον μέλλων ἐξ αὐτοῦ βλαστῆσαι τοῦ λόγου σῖτος. ὁμοίως καὶ ὁ Παῦλος. καὶ ὁ λῃστής. οὗτοι γὰρ ζιζάνια ὄντες, οὐκ ἐξεκόπησαν. ἀλλὰ συνεχωρήθησαν ζῆν, ἵνα αὐξηθῇ ἡ μετὰ ταῦτα αὐτῶν ἀρετή. λέγει τοίνυν τοῖς ἀγγέλοις, ὅτι ἐν τῇ συντελείᾳ, τότε συνάξετε τὰ ζιζάνια. ἤτοι τοὺς αἱρετικούς. ἀλλὰ πῶς; εἰς δεσμάς. τουτέστι δήσαντες αὐτῶν χεῖρας καὶ πόδας. οὐκ ἔτι γὰρ δύναταί τις ἐργάσασθαι τότε. ἀλλὰ πᾶσα πρακτικὴ δύναμις δεσμεῖται. ὁ δὲ σῖτος, ἤτοι οἱ ἅγιοι, συνάγονται παρὰ τῶν θεριστῶν ἀγγέλων εἰς τὰς οὐρανίους ἀποθήκας. ὁμοίως οὖν καὶ οἱ πονηροὶ λο-

γισμοὶ οἱς

γισμοὶ οὓς εἶχεν ὁ Παῦλος ὅταν ἐδίωκεν, ἐκαύθησαν τῷ πυρὶ τοῦ χριστοῦ, ὃ ἦλθε βα-
λεῖν ἐπὶ τῆς γῆς. ὁ δὲ σῖτος, ἤτοι οἱ ἀγαθοὶ λογισμοὶ, συνήχθησαν εἰς τὰς ἀποθή-
κας τῆς ἐκκλησίας.

» Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων. ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρα-
» νῶν, κόκκῳ σινάπεως. ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ. ὃ μικρότερον
» μέν ἐστι πάντων τῶν σπερμάτων. ὅταν δὲ αὐξηθῇ, μεῖζον πάντων τῶν λαχάνων ἐστί.
» καὶ γίνεται δένδρον, ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατασκηνοῦν ἐν τοῖς κλά-
» δοις αὐτοῦ. Κόκκος σινάπεως, τὸ κήρυγμα καὶ οἱ ἀπόστολοι. ὀλίγοι γὰρ δοκοῦντες
οὗτοι, τὴν οἰκουμένην ὅλην περιέλαβον. ὥστε τὰ πετεινὰ τοῦ οὐρανοῦ, τουτέστι τοὺς
κούφην καὶ πτερωτὴν πρὸς τὰ ἄνω ἔχοντας γνώμην, ἀναπαύεσθαι ἐν αὐτοῖς. καὶ
σὺ τοίνυν ἔσο κόκκος σινάπεως. μικρὸς μὲν τὸ φαινόμενον. οὐ γὰρ δεῖ θεατρίζειν τὴν
ἀρετήν. θερμὸς δὲ καὶ ζηλωτὴς καὶ δριμὺς καὶ ἐλεγκτικός. οὕτω γὰρ γενήσῃ μείζων
τῶν λαχάνων, τουτέστι τῶν ἀσθενῶν καὶ οὐ τελείων, τέλειος αὐτὸς ὤν. ὥστε καὶ τὰ
πετεινὰ τοῦ οὐρανοῦ, τουτέστι τοὺς ἀγγέλους, ἐν σοὶ ἀναπαύεσθαι ἀγγελικὴν ζῶντι ζωήν.
χαίρουσι γὰρ καὶ οὗτοι ἐπὶ τοῖς δικαίοις.

» Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς. ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ζύμῃ. ἣν
» λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.
Ζύμην τοὺς ἀποστόλους λέγει, ὥσπερ καὶ κόκκον σινάπεως. ὥσπερ γὰρ ἡ ζύμη μικρὰ
οὖσα, ὅλον τὸ ἄλευρον εἰς ἑαυτὴν μεταποιεῖ, οὕτω καὶ ὑμεῖς ὅλον τὸν κόσμον μετα-
ποιήσετε κἂν ὀλίγοι ἐστέ. σάτον δὲ, μέτρον τι ἦν παρὰ τοῖς Ἰουδαίοις. ὥσπερ καὶ ἡ-
μεῖς ἔχομεν λόγου χάριν, τρίνικας ἢ δεκάλιτρα. τινὲς δὲ ζύμην νοοῦσι τὸ κήρυγμα.
τρία δὲ σάτα, τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις, λογικὸν. θυμικὸν. καὶ ἐπιθυμητικόν.
γυναῖκα δὲ, τὴν ψυχὴν τὴν τὸ κήρυγμα κατακρύψασαν ἐν πάσαις ταῖς αὐτῆς δυ-
νάμεσι, καὶ συνανακραθεῖσαν καὶ ζυμωθεῖσαν καὶ ἁγιασθεῖσαν ὑπ᾽ αὐτοῦ ὅλην. δεῖ
γὰρ ἡμᾶς ὅλους ζυμοῦσθαι καὶ μεταποιεῖσθαι πρὸς τὸ θειότερον. φησὶ γάρ. ἕως οὗ
ἐζυμώθη ὅλον.

» Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις. καὶ χωρὶς παραβο-
» λῆς οὐκ ἐλάλει αὐτοῖς. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος. ἀνοίξω Ψαλ. οζ'.
» ἐν παραβολαῖς τὸ στόμα μου. ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου.
Παράγει τὸν προφήτην προαναφωνοῦντα πῶς ἔμελλε διδάσκειν ὁ Ἰησοῦς. καὶ ὅτι ἐν
παραβολαῖς. ἵνα μὴ νομίσῃς σὺ, ὅτι ὁ χριστὸς καινόν τινα διδασκαλίας τρόπον ἐξεῦρε.
τὸ δὲ ὅπως, μὴ αἰτιολογικῶς λάβῃς. ἀλλ᾽ ἐκ τῆς ἐκβάσεως τοῦ πράγματος. οὐ γὰρ
ἐδίδασκεν ὁ χριστὸς τοιουτοτρόπως, ἵνα πληρωθῇ ἡ προφητεία. ἀλλὰ διότι ἐδίδα-
σκεν ἐν παραβολαῖς, ἐξ ἀποτελέσματος εὑρίσκεται ἐπ᾽ αὐτῷ πληρωθὲν τὸ τοῦ προ-
φήτου. χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, τότε μόνον. οὐ γὰρ δὴ πάντοτε ἐν
παραβολαῖς ἐλάλει. ἠρεύξατο δὲ ὁ κύριος ἃ ἐκρύπτοντο ἀπὸ καταβολῆς κόσμου.
αὐτὸς γὰρ ἐφανέρωσεν ἡμῖν τὰ ἐν οὐρανοῖς μυστήρια.

» Τότε ἀφεὶς τοὺς ὄχλους, ἦλθεν εἰς τὴν οἰκίαν ὁ Ἰησοῦς. Ἀφῆκε τοὺς ὄχλους τότε
ὅτε οὐδὲν ὠφελοῦντο ἀπὸ τῆς διδασκαλίας. αὐτὸς μὲν γὰρ ἐν παραβολαῖς ἔλεγεν,
ὡς ἂν ἐρωτήσωσιν αὐτόν. ἐκεῖνοι δὲ οὐ φροντίσαντες τούτου, οὐδὲ ζητήσαντές τι μα-
θεῖν, εἰκότως ἀφίενται παρ᾽ αὐτοῦ.

» Καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες. φράσον ἡμῖν τὴν παραβολὴν
» τῶν ζιζανίων τοῦ ἀγροῦ. Περὶ ταύτης μόνης ἐρωτῶσιν, ὡς τῶν ἄλλων σαφεστέρων
νομιζομένων αὐτοῖς. ζιζάνια δὲ εἰσὶ πάντα τὰ τῷ σίτῳ ἐπιφυόμενα φθαρτικά. οἷον

ἀέρα. βρώμιον. ὄροβος. καὶ τἆλλα.

» Ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς. ὁ σπείρων τὸ καλὸν σπέρμα, ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώ-
» που. ὁ δὲ ἀγρὸς, ἐστὶν ὁ κόσμος. τὸ δὲ καλὸν σπέρμα, οὗτοι εἰσὶν οἱ υἱοὶ τῆς βασιλείας.
» τὰ δὲ ζιζάνια, εἰσὶν οἱ υἱοὶ τοῦ πονηροῦ. ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτὰ, ἐστὶν ὁ διάβολος.
» ὁ δὲ θερισμὸς, ἡ συντέλεια τοῦ αἰῶνος ἐστίν. οἱ δὲ θερισταὶ, οἱ ἄγγελοι εἰσίν. ὥσπερ οὖν συλ
» λέγεται τὰ ζιζάνια καὶ πυρὶ καίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τού-
» του. ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασι-
» λείας αὐτοῦ πάντα τὰ σκάνδαλα. καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν
» αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.
Ὅσα ἔδει ῥηθῆναι, ἀνωτέρω εἴρηται. εἴπομεν γὰρ ὅτι περὶ τῶν αἱρέσεων ἐνταῦθα δια
λαμβάνει. αἵτινες συγχωροῦνται εἶναι ἄχρι τῆς συντελείας. εἰ γὰρ φονεύοιμεν τοὺς αἱ-
ρετικοὺς καὶ ἐκκόπτοιμεν, στάσεις ἔσονται καὶ μάχαι. καὶ τάχα καὶ τῶν πιστῶν πολ
λοὶ διαφθαρήσονται ἐν ταῖς στάσεσιν. ἀλλὰ καὶ ὁ Παῦλος καὶ ὁ λῃστὴς ζιζάνια εἶ-
χον πρὶν ἢ πιστεῦσαι. οὐκ ἐξεκόπησαν οὖν τότε, ἀλλὰ τὸν μέλλοντα βλαστῆσαι ἐν αὐτοῖς
σῖτον. ὕστερον γὰρ ἐκαρποφόρησαν τῷ θεῷ. τὰ δὲ ζιζάνια, τῷ πυρὶ τοῦ πνεύματος
καὶ τῇ ζέσει κατέκαυσαν.

» Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. ὁ ἔ-
» χων ὦτα ἀκούειν, ἀκουέτω. Ἐπεὶ ὁ ἥλιος δοκεῖ ἡμῖν πάντων τῶν ἀστέρων λαμ-
προτατος, διὰ τοῦτο συγκρίνει πρὸς τὸν ἥλιον τὴν τῶν δικαίων λαμπρότητα. ἐπεὶ καὶ
ὑπὲρ τὸν ἥλιον λάμψουσι. μήποτε δὲ ἐπειδὴ ἥλιος δικαιοσύνης ἐστὶν ὁ Χριστὸς, τότε
οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ Χριστός. ἔσονται γὰρ καὶ αὐτοὶ θεοί.

» Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, θησαυρῷ κεκρυμμένῳ ἐν ἀγρῷ. ὃν εὑρὼν
» ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει πάντα ὅσα ἔχει πωλεῖ, καὶ
» ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον. Ἀγρὸς, ὁ κόσμος. θησαυρὸς, τὸ κήρυγμα καὶ ἡ γνῶσις
τοῦ Χριστοῦ. κέκρυπται δὲ ἐν τῷ κόσμῳ. σοφίαν γάρ φησιν ὁ Παῦλος, κηρύττομεν τὴν
πρὸς Κορ. α΄. κεφ. β΄. ἀποκεκρυμμένην. ὁ δὲ ζητῶν τὴν τοῦ θεοῦ γνῶσιν, εὑρίσκει αὐτήν. καὶ πάντα ὅσα ἔ-
χει, εἴτε δόγματα ἑλληνικὰ εἴτε ἤθη πονηρὰ εἴτε χρήματα, ῥίπτει εὐθέως, καὶ ἀγορά
ζει τὸν ἀγρόν. τουτέστι τὸν κόσμον. κτῆμα γὰρ ἴδιον ἔχει τὸν κόσμον, ὁ τὴν γνῶσιν τοῦ
Χριστοῦ ἔχων. οὐδὲν γὰρ ἔχων, τὰ πάντα κατέχει. καὶ δοῦλα ἔχει τὰ στοιχεῖα, ἐπιτάτ
των αὐτοῖς ὡς ὁ Ἰησοῦς ὡς ὁ Μωσῆς.

» Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς
» μαργαρίτας. ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακε πάντα ὅσα
» εἶχε, καὶ ἠγόρασεν αὐτόν. Θάλασσα, ὁ παρὼν βίος. ἔμποροι, οἱ διὰ τούτου διερχό-
μενοι καὶ ζητοῦντες γνῶσιν τινὰ εὑρεῖν. πολλοὶ μὲν οὖν δοκοῦσι μαργαρῖται, αἱ τῶν
πολλῶν σοφῶν δόξαι. εἷς δὲ ὁ πολύτιμος. μία γὰρ ἡ ἀλήθεια. ἥτις ἐστὶν ὁ Χριστός. ὡς
περ οὖν ὁ μαργαρίτης ἱστορεῖται γεννᾶσθαι ἐν ὀστρέῳ, ᾧπερ ἀνοίγοντι τὰς πτύχας, ἐν-
σκήπτει ἀστραπή. εἶτα πάλιν συγκλείοντος ταύτας, ἐκ τῆς ἀστραπῆς καὶ τῆς δρόσου
συλλαμβάνεται ὁ μαργαρίτης. καὶ διὰ τοῦτο λευκότατός ἐστιν, οὕτω καὶ ὁ Χριστὸς ἐν
τῇ παρθένῳ συνελήφθη ἐξ ἀστραπῆς τῆς ἄνωθεν, τοῦ ἁγίου πνεύματος. καὶ ὥσπερ ὁ
μαργαρίτην ἔχων, πολλάκις κατέχων τοῦτον ἐν τῇ χειρὶ, αὐτὸς μὲν οἶδε πόσον πλοῦ
τον ἔχει. ἄλλοι δὲ ἀγνοοῦσιν, οὕτω καὶ τὸ κήρυγμα ἐν τοῖς ἀφανέσι καὶ εὐτελέσι κρύ-
πτεται. δεῖ οὖν τοῦτον τὸν μαργαρίτην κτᾶσθαι, πάντα διδόντας.

» Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν καὶ
» ἐκ παντὸς γένους συναγαγούσῃ. ἣν ὅτε ἐπληρώθη ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλὸν,

» καὶ καθίσαντες, συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα. τὰ δὲ σαπρὰ ἔξω ἔβαλλον. οὕτως
» ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. ἐξελεύσονται οἱ ἄγγελοι καὶ ἀφοριοῦσι τοὺς πονη-
» ροὺς ἐκ μέσου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. ἐκεῖ ἔ-
» σται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Φοβερὰ αὕτη ἡ παραβολή. δείκνυ
σι γὰρ ὅτι κἂν πιστεύωμεν, μὴ ἔχωμεν δὲ βίον ἀγαθὸν, εἰς τὸ πῦρ ῥιφησόμεθα. σαγήνη
μὲν γὰρ, ἡ διδασκαλία τῶν ἁλιέων ἀποστόλων. ἡ ἐπλάκη ἀπό τε σημείων καὶ μαρ-
τυριῶν προφητικῶν. ἃ γὰρ ἐδίδασκον οἱ ἀπόστολοι, ἐβεβαίουν τοῖς τε θαύμασι καὶ
ταῖς τῶν προφητῶν φωναῖς. αὕτη τοίνυν ἡ σαγήνη, ἐκ παντὸς γένους συνέλαβε.
βαρβάρους. ἕλληνας. ἰουδαίους. πόρνας. τελώνας. λῃστάς. ὅτε δὲ ἐπληρώθη, τουτέ
στιν ὅταν συντελεσθῇ ὁ κόσμος, τότε οἱ ἐν τῇ σαγήνῃ διακρίνονται. κἂν γὰρ ἐπιστεύ-
σαμεν, εὑρεθῶμεν δὲ σαπροὶ, ῥιπτόμεθα. οἱ δὲ μὴ τοιοῦτοι, εἰς ἀγγεῖα βάλλονται. λέγω
δὴ τὰς αἰωνίους σκηνάς. πᾶσα δὲ πρᾶξις εἴτε ἀγαθὴ εἴτε πονηρὰ, βρῶμα λέγεται
εἶναι τῆς ψυχῆς. ἔχει γὰρ ὀδόντας νοητοὺς καὶ ἡ ψυχή. τότε οὖν ἡ ψυχὴ βρύχει τού-
τοις, ἤτοι τὰς πρακτικὰς αὐτῆς δυνάμεις, συντριβομένη διότι τοιαῦτα ἔπραξεν.
» Λέγει αὐτοῖς ὁ Ἰησοῦς. συνήκατε ταῦτα πάντα; λέγουσιν αὐτῷ. ναὶ κύριε. ὁ δὲ,
» εἶπεν αὐτοῖς. διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρα-
» νῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ
» καὶ παλαιά. Εἶδες πῶς αἱ παραβολαὶ προσεκτικωτέρους αὐτοὺς ἐποίησαν; ἰδοὺ
γοῦν οἱ ἄλλως ἀνόητοι καὶ ἀμαθεῖς, συνῆκαν τὰ δυσκόλως εἰρημένα. ὅθεν ἐπαινῶν
αὐτοὺς ὁ σωτὴρ, φησὶν ὅτι, πᾶς γραμματεὺς, καὶ τὰ ἑξῆς. γραμματέας γὰρ λέγει
αὐτοὺς, ὡς νομομαθεῖς. ἀλλ᾽ εἰ καὶ νομομαθεῖς ἦσαν οὐκ ἐναπέμειναν τῷ νόμῳ. ἀλλ᾽ ἐ
μαθητεύθησαν εἰς τὴν βασιλείαν. τουτέστιν εἰς τὴν τοῦ χριστοῦ γνῶσιν. καὶ δύνανται
προφέρειν τά τε τῆς καινῆς, καὶ τῆς παλαιᾶς. οἰκοδεσπότης οὖν ὁ χριστὸς, ὡς πλού-
σιος. ἐν αὐτῷ γὰρ οἱ τῆς σοφίας θησαυροί. ὃς τὰ καινὰ διδάσκων, εἶθ᾽ οὕτως ἔφερε
μαρτυρίας ἀπὸ τῆς παλαιᾶς. οἷον εἶπεν ὅτι καὶ ὑπὲρ ἀργοῦ λόγου εὐθυνθήσῃ. τοῦτο Ματ. ιβ.
τὸ καινόν. εἶτα ἐπήγαγε μαρτυρίαν. ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ καὶ κατακρι
θήσῃ. τοῦτο τὸ παλαιόν. τούτῳ γοῦν ὅμοιοι οἱ ἀπόστολοι. οἷος ὁ παῦλος, λέγων. μιμη Πρὸς Κορ. ά.
ταί μου γίνεσθε καθὼς κἀγὼ χριστοῦ. Κεφά. δ΄.
» Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν. καὶ
» ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν.
Ταύτας εἶπε τὰς παραβολὰς, ἐπειδὴ καὶ ἄλλας μετ᾽ ὀλίγον μέλλει ἐρεῖν. μεταβαί
νει δὲ, ἵνα καὶ ἄλλους ὠφελήσῃ τῇ παρουσίᾳ αὐτοῦ. πατρίδα δὲ αὐτοῦ, τὴν Ναζαρὲτ
νόει. ἐν αὐτῇ γὰρ ἐτράφη. ἐν τῇ συναγωγῇ δὲ διδάσκει, ἐν κοινῷ καὶ παρρησίᾳ λέγων,
ἵνα μὴ ἔχωσιν ὕστερον λέγειν ὅτι παράνομά τινα ἐδίδασκεν.
» Ὥστε ἐκπλήττεσθαι αὐτοὺς καὶ λέγειν. πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνά
» μεις. οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ, καὶ οἱ
» ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς καὶ Σίμων καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ
» οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσί; πόθεν οὖν τούτῳ ταῦτα πάντα. καὶ ἐσκανδαλίζοντο ἐν
» αὐτῷ. Ἀνόητοι ὄντες οἱ Ναζαρηνοὶ, ἐνόμιζον ὅτι ἡ δυσγένεια καὶ ἡ εὐτέλεια τῶν
προγόνων, βλάπτει τινὰ πρὸς τὸ εὐαρεστῆσαι τῷ θεῷ. ἔστω γὰρ ὅτι ἄνθρωπος ψιλὸς ἦν
ὁ Ἰησοῦς, ἀλλ᾽ οὐχὶ θεὸς, τί ἐνεπόδιζεν αὐτὸν μέγαν ἐν θαύμασι γενέσθαι. εὑρίσκον-
ται οὖν καὶ ἀνόητοι καὶ φθονεροί. ἔδει γὰρ αὐτοὺς ἐγκαλλωπίζεσθαι μᾶλλον, ὅτι τοιοῦ-
τον ἡ πατρὶς αὐτῶν ἀγαθὸν ἐξενήνοχεν. ἀδελφοὺς δὲ καὶ ἀδελφὰς εἶχεν ὁ κύριος, τοὺς
τοῦ Ἰωσὴφ παῖδας, οὓς ἔτεκεν ἐκ τῆς τοῦ ἀδελφοῦ αὐτοῦ Κλωπᾶ γυναικός. τοῦ γὰρ

Κλοπᾶ ἄπαιδος τελευτήσαντος, ὁ Ἰωσὴφ ἔλαβε κατὰ τὸν νόμον τὴν γυναῖκα αὐτοῦ. καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς παῖδας ἕξ. τέσσαρας ἄρρενας καὶ δύο θηλείας. τὴν Μαρίαν, ἣ ἐλέγετο τοῦ Κλοπᾶ θυγάτηρ κατὰ τὸν νόμον, καὶ τὴν Σαλώμην· τὸ δὲ πρὸς ἡμᾶς εἰσίν, ἀντὶ τοῦ, μεθ' ἡμῶν ὧδε κατοικοῦσιν· ἐσκανδαλίζοντο οὖν καὶ οὗτοι ἐν τῷ Ἰησοῦ. τάχα λέγοντες καὶ αὐτοὶ ὅτι ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια·

Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. οὐκ ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς, διὰ τὴν ἀπιστίαν αὐτῶν· Ὅρα τὸν Χριστόν, πῶς οὐχ ὑβρίζει αὐτούς· ἀλλὰ πρᾴως φησὶν ὅτι, οὐκ ἔστι προφήτης ἄτιμος. καὶ τὰ ἑξῆς· εἰώθαμεν γὰρ οἱ ἄνθρωποι, τῶν ἐν συνηθείᾳ ἀεὶ καταφρονεῖν. τὰ δὲ ξένα ἀσπάζεσθαι· τὸ δὲ ἐν τῇ οἰκίᾳ αὐτοῦ προσέθηκε, διότι καὶ οἱ ἀδελφοὶ αὐτοῦ, οἱ ἐκ τῆς αὐτῆς οἰκίας, ἐφθόνουν αὐτῷ· οὐκ ἐποίησε δὲ ἐκεῖ δυνάμεις πολλάς, διὰ τὴν ἀπιστίαν αὐτῶν, φειδόμενος αὐτῶν ἵνα μὴ καὶ μετὰ τὰ σημεῖα ἄπιστοι μείναντες, πλεῖον κολασθῶσι· πολλὰ μὲν οὖν οὐκ ἐποίησεν ὀλίγα δ' ἀλλ'. ἵνα μὴ ἔχωσι λέγειν ὅτι, εἰ ὅλως ἐποίησεν ἐπιστεύσαμεν ἄν· σὺ δὲ νόησον καὶ οὕτως. ὅτι καὶ μέχρι τῆς σήμερον ὁ Ἰησοῦς ἐν τῇ πατρίδι αὐτοῦ, τουτέστι παρὰ τοῖς Ἰουδαίοις, ἀτιμάζεται. ἡμεῖς δὲ οἱ ξένοι τιμῶμεν αὐτόν·

Κεφάλαιον Τεσσαρεσκαιδέκατον·

Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ. καὶ εἶπε τοῖς παισὶν αὐτοῦ. οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής. αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ· Οὗτος ὁ Ἡρώδης, υἱὸς ἦν τοῦ τὰ βρέφη ἐν Βηθλεὲμ ἀποκτείναντος. ἐννόησον δὲ ἐντεῦθεν τὸν τῦφον τοῦ τυραννικοῦ βίου· ἰδοὺ γὰρ μετὰ πόσον χρόνον ὁ Ἡρώδης ἀκούει τὰ περὶ Ἰησοῦ· οἱ γὰρ ἐν δυναστείαις βραδέως ταῦτα μανθάνουσι, διὰ τὸ μὴ φροντίζειν τῶν ἐν ἀρετῇ λαμπόντων· φαίνεται δὲ φοβεῖσθαι τὸν βαπτιστὴν οὗτος. διὰ τοῦτο οὐδὲ ἄλλοις τισὶ τολμᾷ ἐξειπεῖν, ἀλλὰ τοῖς παισὶ τουτέστι τοῖς δούλοις· ἐπεὶ δὲ ὅτε ἔζη ὁ Ἰωάννης σημεῖον οὐκ ἐποίησεν, ἐνόμισεν ὁ Ἡρώδης ὅτι ἐκ τῆς ἀναστάσεως προσέλαβε καὶ τοῦτο τὸ χάρισμα παρὰ θεοῦ, τὸ ποιεῖν θαύματα.

Ὁ γὰρ Ἡρώδης κρατήσας τὸν Ἰωάννην, ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ· ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης. οὐκ ἔξεστί σοι ἔχειν αὐτήν· καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβεῖτο τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον· Οὐκ ἐμνήσθη ἐν τοῖς προλαβοῦσι τοῦ κατὰ τὸν Ἰωάννην διηγήματος ὁ Ματθαῖος, διότι σκοπὸς ἦν αὐτῷ μόνα τὰ περὶ Χριστοῦ γράψαι. καὶ γὰρ οὐδὲ νῦν ἐμνήσθη ἄν, εἰ μὴ καὶ τοῦτο εἰς Χριστὸν ἔφερεν. ἤλεγχε δὲ ὁ Ἰωάννης τὸν Ἡρώδην, ὡς παρανόμως ἔχοντα τοῦ ἀδελφοῦ αὐτοῦ τὴν γυναῖκα· ὁ γὰρ νόμος ἐκέλευε, τὴν τοῦ ἀδελφοῦ γυναῖκα τότε λαμβάνειν τὸν ἀδελφόν, ὅτε ἄπαις τελευτήσοι ἐκεῖνος. ἐνταῦθα δὲ ὁ Φίλιππος, οὐκ ἄπαις ἐτελεύτησεν. ἦν γὰρ αὐτῷ παῖς, ἡ ὀρχησαμένη· τινὲς δὲ λέγουσιν ὅτι ζῶντος ἔτι τοῦ Φιλίππου ἀφείλετο ὁ Ἡρώδης καὶ τὴν γυναῖκα καὶ τὴν τετραρχίαν· εἴτε δὲ τοῦτο, εἴτε ἐκεῖνο, παράνομον ἦν τὸ πραχθέν· μὴ φοβούμενος δὲ τὸν θεόν, τὸν ὄχλον ἐφοβεῖτο. ὅθεν καὶ ἀνεβάλλετο τοῦ φονεῦσαι· ἀλλ' ὁ διάβολος ἐξεῦρεν αὐτῷ καιρὸν ἐπιτήδειον·

Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ· ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται· ἡ δέ, προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, δός μοι φησὶν ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ· Ἴδε ἀσέλγειαν· ἡ βασίλισσα ὀρχεῖται. καὶ ὅσῳ καλῶς ὀρχεῖται, τοσούτῳ κακῶς· αἰσχύνη γὰρ βασιλίσσῃ τὸ πράττειν τι ἀπρεπὲς ἐπιδεξίως·

σκόπει δὲ καὶ ἄλλην ἀνοησίαν τοῦ Ἡρώδου. ὤμοσεν ὃ ἐὰν αἰτήσηται δοῦναι. εἰ δὲ τὴν κεφαλήν σου ᾐτήσατο, δέδωκας ἂν αὐτήν; δός μοι φησὶν ὧδε τὴν κεφαλὴν Ἰωάννου. τίνος ἕνεκεν προσέθηκε τὸ ὧδε. ἐφοβεῖτο μήπως ὁ Ἡρώδης σωφρονήσας ὕστερον μεταμεληθῇ. διὰ τοῦτο κατεπείγει, δός μοι ὧδε λέγουσα.

» Καὶ ἐλυπήθη ὁ βασιλεύς. διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, ἐκέλευσε
» δοθῆναι. καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. καὶ ἠνέχθη ἡ κε-
» φαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. καὶ
» προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἦραν τὸ σῶμα καὶ ἔθαψαν αὐτό.

Ἐλυπήθη διὰ τὴν ἀρετήν. θαυμάζει γὰρ ἀρετὴν καὶ πολέμιος. ὅμως διὰ τοὺς ὅρκους, δίδωσι δωρεὰν ἀπάνθρωπον. μανθάνομεν δὲ ἐντεῦθεν ὅτι ἔστιν ὅτε κρεῖττον ἐπιορκεῖν, ἢ διὰ τοὺς ὅρκους ἀσεβές τι ποιεῖν. ἐτάφη δὲ τὸ σῶμα τοῦ βαπτιστοῦ ἐν τῇ Σεβαστῇ Καισαρείᾳ. ἡ δὲ τιμία αὐτοῦ κεφαλή, τὸ πρῶτον κατετέθη εἰς Ἔμεσαν.

» Καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ. Τί ἀπήγγειλαν τῷ Ἰησοῦ. οὐχ ὅτι ἀπέθανεν Ἰωάννης. τὸ γὰρ κατὰ τὸν Ἰωάννην διήγημα, παρενετέθη μέσον. ἀλλ᾽ ὅτι ὁ Ἡρώδης λέγει περὶ αὐτοῦ ὡς Ἰωάννης ἐστίν.

» Καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ᾽ ἰδίαν.
Ἀναχωρεῖ ὁ Ἰησοῦς διὰ τὴν Ἡρώδου μιαιφονίαν, διδάσκων καὶ ἡμᾶς μὴ ῥίπτειν ἑαυτοὺς προφανῶς εἰς κινδύνους. καὶ ἅμα ἵνα μὴ δόξῃ κατὰ φαντασίαν σαρκωθῆναι, διὰ τοῦτο ἀναχωρεῖ. εἰ γὰρ ἐκράτησεν αὐτὸν ὁ Ἡρώδης, ἐπεχείρησεν ἂν ἀνελεῖν. ἐπιχειροῦντος δὲ ἀνελεῖν, ἐὰν ἐκ μέσων τῶν κινδύνων διήρπασεν ἑαυτὸν ὁ Ἰησοῦς, διὰ τὸ μήπω ἐνστῆναι τὸν καιρὸν τοῦ θανάτου, ἔδοξεν ἂν φάντασμα εἶναι. διὰ ταῦτα τοίνυν ἀναχωρεῖ. εἰς ἔρημον δὲ τόπον κατ᾽ ἰδίαν, ἵνα θαυματουργήσῃ τὸ ἐπὶ τοῖς ἄρτοις θαῦμα.

» Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων. καὶ ἐξελθὼν
» ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον. καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς, καὶ ἐθεράπευσε τοὺς ἀρρώ-
» στους αὐτῶν. Πίστιν ἐνδείκνυνται οἱ ὄχλοι, ὅπου γε καὶ ἀναχωροῦντι προσκαρτεροῦσι τῷ Ἰησοῦ. διὸ μισθὸν τῆς πίστεως κομίζονται τὰς ἰάσεις. ἀλλὰ καὶ τὸ πεζῇ ἀκολουθῆσαι, καὶ τὸ χωρὶς τροφῆς, πάντα ταῦτα πίστεως.

» Ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες. ἔρημός ἐστιν ὁ
» τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν. ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας,
» ἀγοράσωσιν ἑαυτοῖς βρώματα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. οὐ χρείαν ἔχουσιν ἀπελθεῖν.
» δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Φιλάνθρωποί εἰσιν οἱ μαθηταί. κήδονται γὰρ τοῦ ὄχλου, καὶ διὰ τοῦτο οὐ θέλουσι νήστεις αὐτοὺς εἶναι. τί οὖν ὁ σωτήρ. δότε φησίν, αὐτοῖς ὑμεῖς φαγεῖν. τοῦτο δὲ λέγει, οὐχ ὡς ἀγνοῶν ὅσην πενίαν εἶχον οἱ ἀπόστολοι. ἄπαγε. ἀλλ᾽ ἵνα εἰπόντων ἐκείνων ὅτι οὐκ ἔχομεν, δόξῃ ἐξ ἀνάγκης ἐλθεῖν ἐπὶ τὸ θαυματουργῆσαι, καὶ οὐ κατὰ φιλοδοξίαν.

» Οἱ δέ, λέγουσιν αὐτῷ. οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. ὁ δὲ εἶπε.
» φέρετέ μοι αὐτοὺς ὧδε. καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, λα-
» βὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν.
Φέρετέ μοι τοὺς ἄρτους ὧδε. εἰ γὰρ καὶ ὀψία ἐστίν, ἀλλ᾽ ὁ τῶν ὡρῶν ποιητὴς πάρειμι. εἰ ἔρημος ὁ τόπος, ἀλλ᾽ ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ἐγώ εἰμι. μανθάνομεν δὲ ἐντεῦθεν ὅτι κἂν ὀλίγα ἔχωμεν, δεῖ ταῦτα εἰς τὴν φιλοξενίαν ἀναλίσκειν. καὶ γὰρ οἱ ἀπόστολοι ὀλίγα ἔχοντες δεδώκασι τοῖς ὄχλοις. ἀλλ᾽ ὥσπερ τὰ ὀλίγα ταῦτα ἐπλεόνασαν, οὕτω καὶ τὰ σὰ ὀλίγα, πληθυνθήσονται. ἀνακλίνει δὲ τοὺς ὄχλους ἐπὶ τοὺς χόρτους, διδάσκων τὴν εὐτέλειαν. ἵνα καὶ σὺ μὴ ἐπὶ κλινῶν πολυτελῶν καὶ στρωμάτων ἀνα-

παύη· ἀναβλέπει δὲ εἰς τὸν οὐρανὸν καὶ εὐλογεῖ τοὺς ἄρτους, τάχα μὲν, καὶ ἵνα πι-
στώσηται ὡς οὐκ ἀντίθεός ἐστιν, ἀλλ᾽ ἐκ τοῦ πατρὸς ἦλθε καὶ οὐρανόθεν· ἅμα δὲ, καὶ ἵνα
παιδεύσῃ ἡμᾶς ἀπτομένους τραπέζης εὐχαριστεῖν καὶ οὕτως ἐσθίειν·
» Καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους. οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις· καὶ ἔ-
» φαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδε-
» κα κοφίνους πλήρεις· οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν
» καὶ παιδίων· Τοῖς μαθηταῖς δίδωσι τοὺς ἄρτους, ἵνα διὰ μνήμης ἔχωσιν ἀεὶ τὸ θαῦ-
μα. καὶ μὴ ἀπέρρυη τῆς διανοίας αὐτῶν. καὶ ἐκεῖνοι συντόμως ἐπελάθοντο· ἵνα δὲ
μὴ νομίσῃς ὅτι κατὰ φαντασίαν ἐθαυματούργησε, διὰ τοῦτο περισσεύουσι· δώδεκα δὲ
κόφινοι, ἵνα καὶ Ἰούδας βαστάσῃ. καὶ μὴ εἰς προδοσίαν ἐκτραχηλισθῇ, ἐνθυμούμενος τὸ
θαῦμα· καὶ τοὺς ἄρτους δὲ πληθύνει καὶ τοὺς ἰχθύας, ἵνα δείξῃ ὅτι αὐτός ἐστιν ὁ γῆς καὶ
θαλάσσης δημιουργός. καὶ ὅτι ἃ καθ᾽ ἑκάστην ἐσθίομεν, αὐτοῦ διδόντος ἐσθίομεν. καὶ ὑπ᾽
αὐτοῦ πληθύνονται· ἐν ἐρήμῳ δὲ τὸ θαῦμα, ὡς ἂν μὴ νομίσῃ τις ὅτι ἐκ πόλεως γεί-
τονος ἠγόρασε τοὺς ἄρτους, καὶ διένειμε τῷ πλήθει. ἔρημος γὰρ ἦν· καὶ οὕτω μὲν κα-
θ᾽ ἱστορίαν. κατὰ δὲ ἀναγωγὴν, μάθε ὅτι ἐπειδὴ Ἡρώδης, ὁ σάρκινος καὶ δερμάτινος
τῶν Ἰουδαίων, τοῦτο γὰρ Ἡρώδης ἑρμηνεύεται, ἀπεκεφάλισε τὸν Ἰωάννην, τὸ τῶν προ-
φητῶν κεφάλαιον. τουτέστι τοῖς περὶ Χριστοῦ προφητεύσασιν οὐκ ἐπίστευσεν, ἀναχωρεῖ
λοιπὸν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον. εἰς τὰ ἔθνη, τὰ ἔρημα τοῦ θεοῦ. καὶ θεραπεύει τοὺς
ἀρρώστους κατὰ ψυχήν· εἶτα καὶ τρέφει τούτους. εἰ μὴ γὰρ ἀφήσει ἡμῖν τὰς ἁμαρτίας,
καὶ θεραπεύσει τὰς ἀρρωστίας διὰ τοῦ βαπτίσματος, οὐ τρέφει ἡμᾶς τῇ μεταδόσει τῶν
ἀχράντων μυστηρίων· οὐδεὶς γὰρ ἀβάπτιστος μεταλαμβάνει· πεντακισχίλιοι δὲ, οἱ τὰς
πέντε αἰσθήσεις κακῶς διακείμενοι· οἳ καὶ διὰ τῶν πέντε ἄρτων θεραπεύονται· ἐπεὶ
γὰρ αἱ πέντε αἰσθήσεις ἐνόσουν, ὅσαι αἱ πληγαὶ, τοσαῦται καὶ αἱ ἔμπλαστροι· δύο
δὲ ἰχθύες, οἱ τῶν ἁλιέων λόγοι. εἷς ἰχθὺς τὸ εὐαγγέλιον· ἕτερος ἰχθὺς, ὁ ἀπόστολος· τι-
νὲς δὲ πέντε ἄρτους, τὴν πεντάτευχον τοῦ Μωσέως ἐνόησαν. γένεσιν. ἔξοδον. λευιτικόν.
ἀριθμούς. δευτερονόμιον· δώδεκα δὲ κόφινοι ἦσαν οἱ ἀρθέντες ὑπὸ τῶν ἀποστόλων καὶ
βασταχθέντες. ὅσα γὰρ ἡμεῖς οἱ ὄχλοι, οὐ δυνάμεθα φαγεῖν, τουτέστι νοῆσαι, ταῦτα οἱ
ἀπόστολοι ἐβάστασαν καὶ ἐχώρησαν· χωρὶς δὲ γυναικῶν καὶ παιδίων, οὐδὲν γὰρ νηπιῶ-
δες ἢ γυναικεῖον καὶ ἄνανδρον ἀπαιτεῖται ὁ Χριστιανὸς ἔχειν·
» Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ
» προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους· Τὸ δυσαπόσπαστον αἰνιτ-
τόμενος τῶν μαθητῶν, εἶπε τὸ ἠνάγκασεν. ἤθελον γὰρ ἀεὶ αὐτῷ συνεῖναι. ἀπολύει δὲ
τοὺς ὄχλους, οὐ θέλων ἐπισύρεσθαι αὐτοὺς, ἵνα μὴ δόξῃ φιλόκομπος·
» Καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γε-
» νομένης, μόνος ἦν ἐκεῖ· τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν βασανιζόμενον ὑπὸ
» τῶν κυμάτων. ἦν γὰρ ἐναντίος ὁ ἄνεμος· Δεικνύων ἡμῖν ὅτι δεῖ ἀπερισπάστως προ-
σεύχεσθαι, εἰς τὸ ὄρος ἀναβαίνει· πάντα γὰρ δι᾽ ἡμᾶς ποιεῖ· οὐ γὰρ αὐτὸς ἐδεῖτο προσευ-
χῆς. ἕως δὲ ὀψίας εὔχεται, διδάσκων ἡμᾶς μὴ ταχέως ἀφίστασθαι τῆς προσευ-
χῆς. ἀλλὰ καὶ τῆς νυκτὸς μάλιστα τοῦτο ποιεῖν· τότε γὰρ ἡσυχία πολλή· συγχωρεῖ δὲ
τοὺς μαθητὰς κλυδωνισθῆναι, ἵνα μάθωσι γενναίως φέρειν τοὺς πειρασμούς. καὶ ἐπιγνῶ-
σι τὴν αὐτοῦ δύναμιν. ἀλλὰ καὶ μέσον τῆς θαλάσσης τὸ πλοῖον, ὡς μείζονα εἶναι
τὸν φόβον·
» Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς, ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς περιπατῶν ἐπὶ
» τῆς θαλάσσης· καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα,

» ἐταράχθησαν, λέγοντες ὅτι φάντασμά ἐστι· καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. εὐθέως δὲ
» ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς λέγων. θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.

Οὐκ εὐθέως αὐτοῖς ἐπέστη λύσων τὸν χειμῶνα, παιδεύων μὴ ταχέως λύσιν αἰτεῖν τῶν συμφορῶν, ἀλλὰ φέρειν γενναίως, ἀλλὰ περὶ τετάρτην φυλακήν· εἰς τέσσαρα γὰρ διαιρεῖται ἡ νὺξ παρὰ τοῖς φυλάσσουσιν ἐκ διαδοχῆς στρατιώταις, ἀνὰ τρεῖς ὥρας ἐχούσης ἑκάστης φυλακῆς. ὁ γοῦν κύριος μετὰ τὴν ἐνάτην ὥραν τῆς νυκτὸς, περιπατῶν ἐπάνω τοῦ ὕδατος ὡς θεὸς, ἐπέστη. οἱ δὲ, διὰ τὸ ἄηθες καὶ ξένον, ἔδοξαν φάντασμα εἶναι. οὐ γὰρ ἀπὸ τοῦ εἴδους ἐγνώρισαν αὐτὸν, ἅμα μὲν καὶ διὰ τὴν νύκτα. ἅμα δὲ καὶ διὰ τὸν φόβον. ὁ δὲ, παραθαρρύνει πρῶτον αὐτοὺς, λέγων. ἐγώ εἰμι, ὁ πάντα δυνάμενος, θαρσεῖτε.

» Ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπε. κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ
» τὰ ὕδατα. Θερμότατος ὢν ὁ Πέτρος τὴν πρὸς Χριστὸν ἀγάπην, ἐπιθυμεῖ ταχέως ἐγγὺς αὐτοῦ γενέσθαι καὶ πρὸ τῶν ἄλλων. πιστεύει δὲ ὅτι ὁ Ἰησοῦς οὐ μόνον αὐτὸς περιπατεῖ ἐπὶ τῶν ὑδάτων, ἀλλὰ καὶ αὐτῷ τοῦτο δώσει. οὐκ εἶπε δὲ κέλευσόν με βαδίσαι, ἀλλὰ πρὸς σὲ ἐλθεῖν. τὸ μὲν γὰρ, ἐπιδείξεως ἦν. τὸ δὲ, ἀγάπης τῆς πρὸς Χριστόν.
» Ὁ δὲ εἶπεν. ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος, περιεπάτει ἐπὶ τὰ ὕδα-
» τα, ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβήθη. καὶ ἀρξάμενος κα-
» ταποντίζεσθαι, ἔκραξε λέγων. κύριε σῶσόν με. Ὑπέστρωσε τῷ Πέτρῳ τὴν θάλασσαν ὁ κύριος, δεικνὺς τὴν ἑαυτοῦ δύναμιν. ὅρα δὲ πῶς τοῦ μείζονος περιγενόμενος ὁ Πέτρος, τῆς θαλάσσης λέγω, τὸν ἄνεμον ἐφοβήθη. οὕτως ἐστὶν ἀσθενὴς ἡ ἀνθρωπίνη φύσις. καὶ αὐτίκα ὅτε ἐφοβήθη, τότε ἤρξατο καταποντίζεσθαι. ὅτε γὰρ ἠσθένησεν ἡ πίστις, τότε βυθίζεται ὁ Πέτρος. τοῦτο δὲ καὶ αὐτὸν ἐποίησε μὴ ὑψηλοφρονεῖν, καὶ τοὺς ἄλλους μαθητὰς παρεμυθήσατο. ἴσως γὰρ ἐφθόνησαν αὐτῷ. ἀλλὰ καὶ πόσον ὑπερέχει ὁ Χριστὸς αὐτοῦ ἔδειξεν.
» Εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ. καὶ λέγει αὐτῷ. ὀλιγό-
» πιστε, εἰς τί ἐδίστασας. καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος. οἱ δὲ
» ἐν τῷ πλοίῳ, ἐλθόντες προσεκύνησαν αὐτῷ, λέγοντες. ἀληθῶς θεοῦ υἱὸς εἶ.

Δεικνύων ὁ Χριστὸς ὅτι οὐχ ὁ ἄνεμος αἴτιος τοῦ καταποντισθῆναι, ἀλλ' ἡ μικροψυχία, οὐ τῷ ἀνέμῳ ἐπιτιμᾷ, ἀλλὰ τῷ μικροψυχήσαντι Πέτρῳ. διὸ καὶ ἀναβιβάσας αὐτὸν, ἔστησεν ἐπὶ τοῦ ὕδατος, ἐάσας τὸν ἄνεμον πνεῖν. οὐκ εἰς τὸ πᾶν δὲ ἐδίστασεν ὁ Πέτρος, ἀλλ' εἰς τί. τουτέστι μερικῶς. καθ' ὃ μὲν γὰρ ἐφοβήθη, κατὰ τοῦτο ἠπίστησε. καθ' ὃ δὲ ἔκραξε κύριε σῶσόν με, κατὰ τοῦτο ἰάσατο τὴν ἀπιστίαν. διὸ ὀλιγόπιστος ἀκούει, ἀλλ' οὐκ ἄπιστος. οἱ οὖν ἐν τῷ πλοίῳ, καὶ αὐτοὶ τοῦ φόβου ἀπελύθησαν. ἐκόπασε γὰρ ὁ ἄνεμος. καὶ δὴ γνόντες ἀπὸ τούτων τὸν Ἰησοῦν, ὁμολογοῦσι τὴν αὐτοῦ θεότητα. οὐ γὰρ ἀνθρώπου τὸ περιπατεῖν ἐπὶ θαλάσσης, ἀλλὰ θεοῦ. καθὰ καὶ ὁ Δαβὶδ λέγει. ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς. [Ψαλ. οϛ΄.] ἀνακτέον δὲ τὸν λόγον. σκάφος, ἡ γῆ. κύματα, ὁ βίος. ὑπὸ τῶν πονηρῶν πνευμάτων ταραττόμενος. νὺξ, ἡ ἀγνωσία. ἐν τῇ τετάρτῃ δὲ φυλακῇ, πρὸς τῷ τέλει δηλονότι τῶν αἰώνων, ἐπέστη ὁ Χριστός. πρώτη μὲν γὰρ φυλακὴ, ἡ πρὸς Ἀβραὰμ διαθήκη. δευτέρα, ὁ Μωσέως νόμος. τρίτη, οἱ προφῆται. τετάρτη, ἡ τοῦ κυρίου παρουσία. αὐτὸς γὰρ ἔσωσε τοὺς κλυδωνιζομένους, εἰσελθὼν καὶ γενόμενος μεθ' ἡμῶν. ὥστε ἡμᾶς ἐπιγνόντας αὐτὸν ὡς θεὸν προσκυνεῖν. ὅρα δὲ καὶ τοῦτο. πῶς τὴν ἄρνησιν τοῦ Πέτρου, εἶτα τὴν ἐπιστροφὴν καὶ μετάνοιαν, προεσήμανε τὰ ἐν τῇ θαλάσσῃ αὐτῷ συμβάντα. ὥσπερ γὰρ ἐκεῖ λέγει θρασυνόμενος, [Μαρκ. ιδ΄.] οὐ μή σε ἀπαρνήσωμαι, οὕτω κἀνταῦθα, κέλευσόν με ἐλθεῖν ἐπὶ τὰ ὕδατα. καὶ

ὥσπερ τότε συνεχωρήθη ἀρνήσασθαι, οὕτω κἀνταῦθα συγχωρεῖται ποντίζεσθαι. ἐνταῦθα χεῖρα δέδωκεν αὐτῷ ὁ κύριος, καὶ οὐκ ἀφῆκε ποντισθῆναι. κἀκεῖ διὰ τῆς μετανοίας αὐτὸν ἀπὸ τοῦ βυθοῦ τῆς ἀρνήσεως εἵλκυσεν.

» Καὶ διαπεράσαντες, ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ. καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄν-
» δρες τοῦ τόπου ἐκείνου, ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν
» αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας. καὶ παρεκάλουν αὐτὸν ἵνα μόνον ἅψωνται τοῦ κρα
» σπέδου τοῦ ἱματίου αὐτοῦ. καὶ ὅσοι ἥψαντο διεσώθησαν. Διὰ πολλοῦ χρόνου ἐπιδημήσαντα τῇ Γεννησαρὲτ τὸν Ἰησοῦν, οὐ μόνον ἐκ τῆς ὄψεως, ἀλλὰ καὶ ἐκ τῶν σημείων ἐπιγνόντες οἱ ἄνθρωποι, πίστιν ἐνδείκνυνται θερμήν. ὥστε ἐπιθυμεῖν καὶ τοῦ κρασπέδου ἅψασθαι. καὶ δὴ τοῦτο ποιήσαντες, ἐθεραπεύθησαν. οὕτως οὖν καὶ σὺ ἅψαι τοῦ ἄκρου τοῦ ἱματίου τοῦ Χριστοῦ. ἤτοι τοῦ τέλους τῆς ἐνσάρκου αὐτοῦ ἐπιδημίας. ἐὰν γὰρ πιστεύσῃς ὅτι ἀνελήφθη, σωθήσῃ. ἱμάτιον γὰρ ἡ σάρξ. κράσπεδον δὲ ταύτης, τὸ τέλος τῆς ἐν γῇ ζωῆς.

Κεφάλαιον πεντεκαιδέκατον.

» Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ Ἱεροσολύμων γραμματεῖς καὶ Φαρισαῖοι,
» λέγοντες. διατί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων. οὐ
» γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν ὅταν ἄρτον ἐσθίωσιν. Εἰ καὶ πᾶσαι αἱ χῶραι εἶχον γραμματεῖς καὶ Φαρισαίους, ἀλλ' οἱ ἐντιμότεροι ἐν Ἱερουσαλὴμ ἦσαν. διὸ καὶ οὗτοι ἐφθόνουν μάλιστα, ὡς φιλοδοξότατοι. ἔθος δὲ εἶχον οἱ Ἰουδαῖοι, μὴ ἀνίπτοις χερσὶν ἐσθίειν, ἀπὸ παλαιᾶς παραδόσεως. ταύτης οὖν τῆς παραδόσεως καταφρονοῦντας ὁρῶντες τοὺς μαθητὰς, ἐνόμισαν αὐτοὺς ἐξουθενεῖν τοὺς πρεσβυτέρους. τί οὖν ὁ σωτήρ. οὐδὲν μὲν πρὸς τοῦτο ἀπολογεῖται. ἀντεγκαλεῖ δὲ αὐτοῖς.

» Ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς. διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ
Ἐξό. κ΄, κ϶ » διὰ τὴν παράδοσιν ὑμῶν. ὁ γὰρ θεὸς ἐνετείλατο, λέγων. τίμα τὸν πατέρα σου καὶ τὴν
Δευτε. ε΄. » μητέρα. καὶ, ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. ὑμεῖς δὲ λέγε-
Λευιτ. κ΄. » τε. ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί. δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐ μὴ τιμή-
» σῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα. καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν
» παράδοσιν ὑμῶν. Οἱ μὲν Φαρισαῖοι κατηγόρουν τῶν μαθητῶν, ὡς ἐντολὴν τῶν πρεσβυτέρων παραβαινόντων. ὁ δὲ Χριστὸς δεικνύει αὐτοὺς τὸν τοῦ θεοῦ νόμον παραβαίνοντας. ἐδίδασκον γὰρ τοὺς παῖδας μηδὲν διδόναι τοῖς γονεῦσιν, ἀλλ' ἀνατιθέναι ὅσα ἔχουσι τῷ γαζοφυλακίῳ τοῦ ἱεροῦ. ἦν γὰρ ἐν τῷ ἱερῷ θησαυρὸς, ἐν ᾧ ὁ βουλόμενος ἔβαλλεν. ἐκαλεῖτο δὲ οὗτος γάζα. ὁ δὲ θησαυρὸς τοῖς πένησι διεδίδοτο. οἱ τοίνυν Φαρισαῖοι πείθοντες τοὺς παῖδας μηδὲν διδόναι τοῖς γονεῦσιν, ἀλλ' ἀνατιθέναι αὐτὰ τῷ θησαυρῷ τοῦ ἱεροῦ, ἐδίδασκον αὐτοὺς λέγειν ὅτι δῶρον ἐστί. τουτέστιν ἀνατεθειμένον τῷ θεῷ ἐστὶν ὦ πάτερ, ὃ ζητεῖς ἐξ ἐμοῦ ὠφεληθῆναι. καὶ οὕτως ἐμέριζον αὐτοὶ μετὰ τῶν παίδων τὰ χρήματα, καὶ οἱ γονεῖς κατελιμπάνοντο ἀπηρωκόμενοι. ἐποίουν δὲ τοῦτο καὶ οἱ δανεισταί. ἐὰν γάρ τις ἐδάνεισέ τινι χρήματα, εἶτα δύσκολος ὁ χρεώστης ἦν καὶ οὐκ ἀπεδίδου τὸ ὀφειλόμενον, ἔλεγεν ὁ δανειστὴς πρὸς τοῦτον τὸν ἀγνώμονα χρεώστην. κορβὰν ἐστὶν ὃ ὀφείλεις μοι. τουτέστι, δῶρον τῷ θεῷ ἀνατεθειμένον. ὁ οὖν χρεώστης ὡς τῷ θεῷ ἔκτοτε ὀφείλων, καὶ ἄκων κατέβαλλε. τοῦτο ἐδίδασκον τοὺς παῖδας οἱ Φαρισαῖοι ποιεῖν.

Ἡσαΐ. κθ΄. » Ὑποκριταί. καλῶς προεφήτευσε περὶ ὑμῶν Ἡσαΐας, λέγων. ἐγγίζει μοι ὁ λαὸς
» οὗτος τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀ-
» πέχει ἀπ' ἐμοῦ. μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων. Δείκνυσι διὰ τῆς Ἡσαΐου φωνῆς, καὶ περὶ τὸν πατέρα αὐτοῦ τοιούτοις

ὄντας

ὄντας αὐτούς, οἷοι καὶ περὶ αὐτὸν εὑρίσκονται. πονηροὶ γὰρ ὄντες, καὶ διὰ τῶν πονηρῶν ἔργων μακρυνόντες ἑαυτοὺς τοῦ θεοῦ, στόματι μόνον ἐλάλουν τὰ τοῦ θεοῦ λόγια. μάτην γὰρ πάντως σέβονται καὶ δοκοῦσι τιμᾶν τὸν θεόν, οἱ διὰ τῶν ἔργων αὐτὸν ἀτιμάζοντες.

» Καὶ προσκαλεσάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς. ἀκούετε καὶ συνίετε. οὐ τὸ εἰσερχό-
» μενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον. ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦτο
» κοινοῖ τὸν ἄνθρωπον. Οὐκ ἔτι τοῖς φαρισαίοις διαλέγεται, ὡς ἀθεραπεύτοις. τῷ ὄχλῳ δέ. καὶ διὰ τοῦ προσκαλέσασθαι δοκεῖ τιμᾶν αὐτούς, ἵνα παραδέξωνται τὸν λόγον αὐτοῦ. καὶ φησὶν ἀκούετε καὶ συνίετε, διανιστῶν αὐτοὺς εἰς προσοχήν. τῶν δὲ φαρισαίων αἰτιωμένων τοὺς μαθητὰς ὡς ἀνίπτοις χερσὶν ἐσθιόντας, ὁ κύριος περὶ βρωμάτων λέγει, ὅτι οὐδὲν βρῶμα κοινοῖ τὸν ἄνθρωπον. τουτέστι μολύνει. καὶ εἰ τὸ βρῶμα οὐ μολύνει, πολλῷ μᾶλλον τὸ ἀνίπτοις χερσὶν ἐσθίειν. μολύνει γὰρ τὸν ἔσω ἄνθρωπον, τὸ λέγειν ἃ μὴ δεῖ. αἰνίττεται δὲ διὰ τούτου τοὺς φαρισαίους, μολυνομένους ἐκ τοῦ λέγειν φθονούντων ῥήματα. ὅρα δὲ σοφίαν. πῶς οὔτε φανερῶς τὸ ἄνιπτον ἐσθίειν νομοθετεῖ, οὔτε ἀπαγορεύει. ἀλλ' ἕτερόν τι διδάσκει, τὸ μὴ ἐκβάλλειν ἀπὸ τῆς καρδίας πονηροὺς λόγους.

» Τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, εἶπον αὐτῷ. οἶδας ὅτι οἱ φαρισαῖοι ἀκού-
» σαντες τὸν λόγον ἐσκανδαλίσθησαν; Οἱ μὲν μαθηταὶ διὰ τοὺς φαρισαίους λέγουσιν ὅτι ἐσκανδαλίσθησαν. πλὴν ἀλλὰ καὶ αὐτοὶ ἐθορυβήθησαν. τοῦτο δὲ δῆλον ἀπὸ τοῦ προσελθεῖν τὸν Πέτρον καὶ ἐρωτῆσαι περὶ τούτου. ὁ γοῦν Ἰησοῦς, ἀκούσας ὅτι ἐσκανδαλίσθησαν οἱ φαρισαῖοι, φησίν.

» Ὁ δὲ, ἀποκριθεὶς, εἶπε. πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος,
» ἐκριζωθήσεται. ἄφετε αὐτούς. ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν. τυφλὸς δὲ τυφλὸν
» ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. Τὰς τῶν πρεσβυτέρων παραδόσεις καὶ τὰ Ἰουδαϊκὰ ἐντάλματα λέγει ἐκριζωθήσεσθαι. οὐχὶ τὰ τοῦ νόμου, ὡς νοοῦσι Μανιχαῖοι. ὁ γὰρ νόμος, φυτεία ἐστὶ θεοῦ. οὐ τοίνυν οὗτος ἐξερριζώθη. μένει γὰρ ἡ ῥίζα αὐτοῦ, τουτέστι τὸ κρυπτόμενον πνεῦμα. τὰ δὲ φύλλα, ἤτοι τὸ φαινόμενον γράμμα, ἀπέρρυη. οὐκ ἔτι γὰρ τὸν νόμον κατὰ τὸ γράμμα, ἀλλὰ κατὰ τὸ πνεῦμα νοοῦμεν. ἀπεγνωσμένων δὲ ὄντων τῶν φαρισαίων καὶ ἀνιάτων, εἶπε τό, ἄφετε αὐτούς. ἐντεῦθεν οὖν μανθάνομεν ὅτι τὸ σκανδαλίζεσθαι τοὺς ἑκόντι σκανδαλιζομένους καὶ ἀνιάτους, οὐκ ἔστιν ἡμῖν βλαβερόν. διδασκάλους δὲ αὐτοὺς λέγει τυφλούς, τυφλῶν. τοῦτο δέ φησιν ὡς δὴ ἀποστήσῃ ἀπ' αὐτῶν τοὺς ὄχλους.

» Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ. φράσον ἡμῖν τὴν παραβολὴν ταύτην. Ὁ Πέτρος ἐπεὶ ᾔδει ὅτι ὁ νόμος ἐκώλυε πάντα ἐσθίειν, δεδιὼς εἰπεῖν τῷ Ἰησοῦ ὅτι, σκανδαλίζομαι ἐφ' οἷς εἶπας φαινομένοις παρανόμοις εἶναι, προσποιεῖται ἄγνοιαν καὶ ἐπερωτᾷ.

» Ὁ δὲ Ἰησοῦς εἶπεν. ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε. οὔπω νοεῖτε ὅτι πᾶν τὸ εἰσπο-
» ρευόμενον εἰς τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; τὰ
» δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρδίας ἐξέρχεται. κἀκεῖνα κοινοῖ τὸν ἄν-
» θρωπον. ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί. φόνοι. μοιχεῖαι. πορ-
» νεῖαι. κλοπαί. ψευδομαρτυρίαι. βλασφημίαι. ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρω-
» πον. τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον. Ἐπιτιμᾷ τοῖς μαθηταῖς ὁ σωτὴρ καὶ ἀφροσύνην ὀνειδίζει, ἢ ὡς σκανδαλισθεῖσιν, ἢ ὡς ἀγνοήσασι τὸ σαφές. φησὶν οὖν ὅτι, τοῦτο τὸ πᾶσι νοούμενον καὶ φαινόμενον οὐ νοεῖτε; ὅτι τὰ μὲν βρώ-

ματα οὐ μένει ἔσω. ἀλλὰ κάτω ἐξέρχονται, μηδὲν μολύνοντα κατὰ ψυχὴν τὸν ἄν-
θρωπον. οὐ γὰρ μένουσιν ἔνδον. οἱ δὲ λογισμοὶ, ἔσωθέν τε γεννῶνται καὶ μένουσιν ἐκεῖ·
καὶ ἐξερχόμενοι, τουτέστιν εἰς ἔργον προχωροῦντες καὶ εἰς πρᾶξιν, μολύνουσι τὸν ἄνθρω
πον· ὁ γὰρ λογισμὸς τῆς πορνείας, ἔσωθέν τε μένων, μιαίνει. καὶ ἐξερχόμενος εἰς ἔρ-
γον καὶ πραττόμενος, καταισπιλοῖ·

» Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς, ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. καὶ ἰδοὺ
» γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγαζεν αὐτῷ λέγουσα. ἐλέη-
» σόν με κύριε υἱὲ Δαβίδ. ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ
» λόγον· Τίνος ἕνεκεν τοὺς μαθητὰς κωλύσας εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν, αὐτὸς εἰς Τύρον
καὶ Σιδῶνα, τὰς ἐθνικὰς πόλεις, παραγίνεται. μάθε οὖν ὅτι οὐχ ὡς κηρύξων ἦλθεν ἐ-
Μαρ· ζ΄· κεῖ· ἐπεὶ ὡς ὁ Μάρκος φησὶ, καὶ ἔκρυψεν ἑαυτόν. ἄλλως τε, ἐπεὶ εἶδε τοὺς φαρισαίους
μὴ δεξαμένους τὸν περὶ βρωμάτων λόγον, μεταβαίνει ἐπὶ τὰ ἔθνη. ἐλέησον δὲ λέ-
γει, οὐχὶ τὴν θυγατέρα μου. ἐκείνη γὰρ ἀναισθητεῖ. ἀλλ᾽ ἐμὲ τὴν τὰ δεινὰ πάσχουσαν ὡς
αἰσθανομένην· καὶ οὐ λέγει ἐλθὲ καὶ ἴασαι. ἀλλ᾽ ἐλέησον· ὁ δὲ, οὐκ ἀποκρίνεται αὐτῇ
λόγον, οὐχ ὡς καταφρονῶν. ἀλλ᾽ ἵνα δείξῃ ὅτι διὰ τοὺς Ἰουδαίους ἦλθε προηγουμένως.
καὶ ἐμφράξῃ τὰς συκοφαντίας αὐτῶν, μὴ ἐχόντων ὕστερον λέγειν ὅτι τοὺς ἐθνικοὺς
εὐεργετεῖ· ἅμα δὲ, ἵνα καὶ τὴν ἐπίμονον πίστιν τῆς γυναικὸς ἐπιδείξῃ·

» Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν, λέγοντες. ἀπόλυσον αὐτὴν,
» ὅτι κράζει ὄπισθεν ἡμῶν· ὁ δὲ, ἀποκριθεὶς εἶπεν. οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβα-
» τα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· Οἱ μαθηταὶ βαρυνθέντες τῇ κραυγῇ τῆς γυ-
ναικὸς, ἠρώτων ἵνα ἀπολύσῃ αὐτήν. τουτέστι παρεκάλουν ἀποπέμψασθαι αὐτήν· τοῦτο
δὲ ἐποίουν; οὐχ ὡς ἄσπλαγχνοι. ἀλλὰ μᾶλλον θέλοντες πεῖσαι τὸν κύριον ἐλεῆσαι
αὐτήν· ὁ δὲ, οὐκ ἀπεστάλην φησὶν εἰ μὴ εἰς τοὺς Ἰουδαίους. οἳ ἀπολωλότα εἰσὶ πρόβα-
τα, ἀπὸ κακίας τῶν ἐμπιστευθέντων αὐτά· διὰ δὲ τούτων δημοσιεύει τὴν πίστιν τῆς
γυναικὸς ἐπὶ πλέον·

» Ἡ δὲ, ἐλθοῦσα προσεκύνησεν αὐτῷ, λέγουσα. κύριε βοήθει μοι· ὁ δὲ, ἀποκριθεὶς εἶπεν.
» οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις· ἡ δὲ εἶπε. ναὶ
» κύριε. καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης
» τῶν κυρίων αὐτῶν· Ἐπεὶ εἶδεν ἡ γυνὴ τοὺς συνηγόρους αὐτῆς, τοὺς ἀποστόλους, ἀποτυ
χόντας, πάλιν πρόσεισι θερμῶς. καὶ κύριον ἀποκαλεῖ· ἐπεὶ δὲ ὁ χριστὸς κύνα αὐτὴν
ἀποκαλεῖ, διὰ τὸ τοὺς ἐθνικοὺς ἀκάθαρτον βίον ἔχειν καὶ περὶ τὰ αἵματα τῶν εἰδωλο
θύτων ἀναστρέφεσθαι· τέκνα δὲ τοὺς Ἰουδαίους, ἐκείνη συνετῶς ἀποκρίνεται καὶ μά-
λα σοφῶς. ὅτι, εἰ καὶ κύων εἰμὶ καὶ οὐκ ἀξία ἄρτον λαβεῖν, τουτέστι δύναμίν τινα
καὶ μέγα σημεῖον, ἀλλ᾽ οὖν τοῦτο τὸ μικρὸν μὲν ὡς πρὸς τὴν σὴν δύναμιν, ἐμοὶ δὲ μέ-
γα, δός· ὥσπερ καὶ τὰς ψίχας, οἱ μὲν τοὺς ἄρτους ἐσθίοντες οὐ μέγα τι ἔχουσιν. οἱ δὲ
κύνες μέγα. καὶ ἐκ τούτων τρέφονται·

» Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ. ὦ γύναι, μεγάλη σου ἡ πίστις. γενηθήτω σοι ὡς
» θέλεις· καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης· Ἐφανέρωσε νῦν ὁ Ἰησοῦς
τὴν αἰτίαν δι᾽ ἣν ἀνεβάλλετο τὴν θεραπείαν ἐξ ἀρχῆς· ἵνα γὰρ ἡ πίστις καὶ ἡ σύνεσις
τῆς γυναικὸς ἀναφανῇ, διὰ τοῦτο οὐκ εὐθὺς ἐξ ἀρχῆς κατένευσεν ὁ χριστός. ἀλλὰ καὶ
ἀποπέμπεται μᾶλλον· νῦν δὲ ἐπεὶ ἐξεκαλύφθη ἡ πίστις αὐτῆς, ἐπαινεῖται. ἀκούου
σα, μεγάλη σου ἡ πίστις· τὸ δὲ γενηθήτω σοι ὡς θέλεις εἰπὼν, ἔδειξεν ὅτι ἐὰν μὴ πίστιν
εἶχεν, οὐκ ἂν ἔτυχε τῆς αἰτήσεως· ὥστε ἐὰν θέλωμεν καὶ ἡμεῖς, οὐδὲν τὸ κωλῦον τυ-
χεῖν ὧν θέλομεν· σημείωσαι δὲ ὅτι κἂν ἅγιοι αἰτῶσιν ὑπὲρ ἡμῶν, ὥσπερ ὑπὲρ ἐκεί-

νης οἱ

νες οἱ ἀπόστολοι, ἀλλ᾽ οὕτω ἡμεῖς ὑπὲρ ἑαυτῶν αἰτοῦντες, πλέον ἀνύομεν. σύμβολον
δὲ ἡ χαναναία, καὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας· καὶ γὰρ καὶ τὰ ἔθνη ἀπωσμένα πρότε-
ρον, ὕστερον εἰς τὴν τῶν υἱῶν τάξιν ἀνεβιβάσθησαν. καὶ τοῦ ἄρτου ἠξιώθησαν, τοῦ σώμα-
τος λέγω τοῦ κυρίου. οἱ δὲ Ἰουδαῖοι, κύνες ἐγένοντο. ἐκ τῶν ψιχίων δοκοῦντες τρέφε-
σθαι. τουτέστι τῶν μικρῶν καὶ εὐτελῶν τοῦ γράμματος. σημαίνει δὲ ἡ Τύρος, συνο-
χήν· ἡ δὲ Σιδών, θηρεύοντες· χαναναία δέ, ἡτοιμασμένη τῇ ταπεινώσει. οἱ γοῦν συνε-
χόμενοι τῇ κακίᾳ ἐθνικοί, ἐν οἷς ἦσαν οἱ θηρεύοντες τὰς ψυχὰς δαίμονες, οὗτοι καὶ τῇ
ταπεινώσει εἰσὶν ἡτοιμασμένοι. οἱ γὰρ δίκαιοι, τῷ ὕψει τῆς βασιλείας τοῦ θεοῦ ἡ-
τοιμάσθησαν.

» Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς, ἦλθε παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας. καὶ ἀνα-
» βὰς εἰς τὸ ὄρος, ἐκάθητο ἐκεῖ. καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοί, ἔχοντες μεθ᾽ ἑαυτῶν
» χωλούς. τυφλούς. κωφούς. κυλλούς. καὶ ἑτέρους πολλούς. καὶ ἔρριψαν αὐτοὺς παρὰ
» τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐθεράπευσεν αὐτούς. ὥστε τοὺς ὄχλους θαυμάσαι βλέπον-
» τας, κωφοὺς λαλοῦντας. κυλλοὺς ὑγιεῖς. χωλοὺς περιπατοῦντας. τυφλοὺς βλέπον-
» τας. καὶ ἐδόξασαν τὸν θεὸν Ἰσραήλ. Οὐ τῇ Ἰουδαίᾳ συνεχῶς ἐπιδημεῖ, ἀλλὰ τῇ
Γαλιλαίᾳ, διὰ τὴν πολλὴν ἀπιστίαν τῶν Ἰουδαίων. οἱ γὰρ Γαλιλαῖοι, πιστότεροι ἦ-
σαν ἐκείνων. ἴδε οὖν τὴν πίστιν αὐτῶν, πῶς καὶ εἰς τὸ ὄρος ἀνέρχονται χωλοὶ ὄντες καὶ
τυφλοί, καὶ οὐ κατοκνοῦσιν. ἀλλὰ καὶ πρὸς τοὺς πόδας ῥίπτονται τοῦ Ἰησοῦ, ὡς ὑπὲρ
ἄνθρωπον δοκοῦντες αὐτόν. ὅθεν καὶ τῆς ἰάσεως ἔτυχον. καὶ σὺ οὖν ἄνελθε εἰς τὸ ὄ-
ρος τῶν ἐντολῶν, ἔνθα κάθηται ὁ κύριος. κἂν τυφλὸς ᾖς, μὴ δυνάμενος ἀφ᾽ ἑαυτοῦ
ἰδεῖν τὸ καλόν. κἂν χωλός, βλέπων μὲν τὸ καλόν, οὐ δυνάμενος δὲ εἰς αὐτὸ ἐλθεῖν.
κἂν κωφός, μήτε ἄλλου ἀκούων παραινοῦντος, μήτε ἄλλῳ παραινέσαι δυνάμενος.
κἂν κυλλός, τουτέστι τὴν χεῖρα εἰς ἐλεημοσύνην μὴ δυνάμενος ἐκτεῖναι. κἂν ἄλλο τι
νοσῇς, πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ καὶ τῶν ἰχνῶν τοῦ βίου ἐκείνου ἁψάμενος,
θεραπευθήσῃ.

» Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπε. σπλαγχνίζομαι ἐπὶ τὸν
» ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι. καὶ ἀπολῦσαι αὐ-
» τοὺς νήστεις οὐ θέλω, μή ποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. Οἱ μὲν ὄχλοι οὐκ ἐτόλμων ἄρ-
τους αἰτῆσαι, ὡς ἐπὶ θεραπείᾳ ἐλθόντες. αὐτὸς δὲ φιλάνθρωπος ὤν, φροντίζει. ἵνα
δὲ μὴ ἔχῃ τις εἰπεῖν ὅτι, ἀλλὰ ἐφόδια ἔχουσι, φησίν. εἰ καὶ εἶχον, ἀνηλώθησαν ἄν. τρεῖς
γὰρ ἤδη ἡμέραι εἰσί. δείκνυσι δὲ ὅτι καὶ μακρόθεν ἦλθον, ἐν τῷ λέγειν ἵνα μὴ ἐκ-
λυθῶσιν ἐν τῇ ὁδῷ. ταῦτα δὲ λέγει πρὸς τοὺς μαθητάς, διεγεῖραι αὐτοὺς βουλόμε-
νος πρὸς τὸ εἰπεῖν αὐτῷ ὅτι, δύνασαι αὐτοὺς θρέψαι ὡς καὶ τοὺς πεντακισχιλίους.
ἀλλ᾽ ἐκεῖνοι ἀνοηταίνουσιν ἔτι.

» Καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι ὥσ-
» τε χορτάσαι ὄχλον τοσοῦτον. Καίτοι ἔδει συνιέναι αὐτοὺς ὅτι καὶ πρότερον πλείους
ἐτράφησαν ἐν ἐρημίᾳ. ἀλλ᾽ ἀναισθήτως ἔχουσιν. ἵν᾽ ὅταν ἴδῃς τούτους ὕστερον σοφίας
τοσαύτης πλήρεις, θαυμάζῃς τὴν τοῦ Χριστοῦ χάριν.

» Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς. πόσους ἄρτους ἔχετε. οἱ δὲ εἶπον. ἑπτά, καὶ ὀλίγα
» ἰχθύδια. καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν. καὶ λαβὼν τοὺς ἑπτὰ ἄρ-
» τους καὶ τοὺς ἰχθύας, εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ. οἱ δὲ μα-
» θηταὶ τῷ ὄχλῳ. καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν
» κλασμάτων ἑπτὰ σπυρίδας πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χω-
» ρὶς γυναικῶν καὶ παιδίων. Εὐτελῆ δὲ διδάσκων, ἐπὶ τὴν γῆν ἀνακλίνει. εὐχαρι-

στεῖν δὲ διπλάσιον τροφῆς ἡμᾶς, εὐχαριστεῖ καὶ αὐτός. ἐρωτᾷς δὲ πῶς ἐκεῖ μὲν, καίτοι πέντε ὄντων ἄρτων καὶ πεντακισχιλίων τῶν τραφέντων, δώδεκα κόφινοι. ἐνταῦθα δὲ πλειόνων τῶν ἄρτων ὄντων καὶ ἐλαττόνων τῶν τραφέντων, ἑπτὰ σπυρίδες ἐπερίττευσαν· ἔστιν οὖν εἰπεῖν ὅτι ἢ αἱ σπυρίδες μείζους ἦσαν τῶν κοφίνων, ἢ ἵνα μὴ ἡ ἰσότης τοῦ θαύματος εἰς λήθην αὐτοὺς ἐμβάλῃ· εἰ γὰρ καὶ νῦν ἐπερίσσευσαν δώδεκα κόφινοι, ἐπελάθοντο ἂν ἐκ τῆς ἰσότητος, ὅτι δεύτερον ἐθαυματούργησεν ἐπὶ ἄρτοις· σὺ δὲ καὶ τοῦτο γνῶθι, ὅτι οἱ τετρακισχίλιοι τουτέστιν οἱ τὰς τέσσαρας ἀρετὰς ἔχοντες τελείως, οὗτοι ἑπτὰ ἄρτοις τουτέστι πνευματικωτέροις λόγοις καὶ τελειοτέροις τρέφονται. ὁ γὰρ ἑπτὰ ἀριθμὸς, τῶν ἑπτὰ πνευματικῶν χαρισμάτων σύμβολον· ἀναπίπτουσι δὲ ἐπὶ τὴν γῆν, ὑποκάτω αὐτῶν τιθέντες πάντα τὰ γήϊνα καὶ καταπατοῦντες αὐτά. ὥσπερ καὶ οἱ πεντακισχίλιοι ἐπὶ τοῖς χόρτοις ἀνέπεσον. τουτέστι, τὴν σάρκα
Ἐκκλη. ιδ'. καὶ τὴν δόξαν ὑποκάτω αὐτῶν ἔθεντο· πᾶσα γὰρ σὰρξ, χόρτος. καὶ πᾶσα ἀνθρώπου δόξα, ὡς ἄνθος χόρτου· ἑπτὰ δὲ σπυρίδες ἐνταῦθα τὰ περιττά, διότι πνευματικὰ καὶ τελειότερα ἦσαν ἃ οὐκ ἠδυνήθησαν φαγεῖν· ἐκεῖνα οὖν ἐπερίσσευσαν αἱ ἑπτὰ
Πρὸς Κορ. α'. σπυρίδες χωροῦσι, τουτέστιν ἃ μόνον τὸ ἅγιον πνεῦμα οἶδε· τὸ γὰρ πνεῦμα πάντα ἐρευ-
κεφ. β'. νᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ.

» Καὶ ἀπολύσας τοὺς ὄχλους, ἐνέβη εἰς τὸ πλοῖον, καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.
Ἀναχωρεῖ ὁ Ἰησοῦς, ἐπεὶ οὐδὲν ἄλλο σημεῖον ἐποίει πλείοις αὐτῷ ἀκολουθεῖν ὡς τὸ
Ἰωάν. ϛ'. τῶν ἄρτων. ὥστε καὶ βασιλέα αὐτὸν ἔμελλον ποιῆσαι, ὡς Ἰωάννης φησίν. ἵνα οὖν φύγῃ τὴν τῆς τυραννίδος ὑποψίαν, μεταβαίνει.

Κεφάλαιον ἑκκαιδέκατον.

» Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι, πειράζοντες ἐπηρώτησαν αὐτὸν ση-
» μεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. Κἂν τοῖς δόγμασι διΐσταντο Φαρισαῖοι καὶ Σαδδουκαῖοι, ἀλλά γε κατὰ Χριστοῦ συμπνέουσι· σημεῖον δὲ ἐκ τοῦ οὐρανοῦ ζητοῦσιν. οἷον ἥλιον στῆσαι. σελήνην· ἐδόκουν γὰρ ὅτι τὰ ἐπὶ τῆς γῆς σημεῖα, ἀπὸ δαιμονικῆς δυνάμεως καὶ ἐν Βεελζεβοὺλ γίνονται. ἠγνόουν γὰρ οἱ ἀνόητοι ὅτι καὶ ὁ Μωσῆς ἐν αἰγύπτῳ πολλὰ σημεῖα ἐκ τῆς γῆς ἐποίησε. καὶ τὸ πῦρ τὸ ἐξ οὐρανοῦ κατελθὸν
Ἰώβ. β'. ἐπὶ τὰ τοῦ Ἰὼβ κτήνη, ἀπὸ τοῦ διαβόλου ἦν· ὥστε οὐ πάντα τὰ ἐξ οὐρανοῦ, ἐκ θεοῦ. οὐδὲ τὰ ἐκ γῆς πάντα, ἐκ δαιμόνων.

» Ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς. ὀψίας γενομένης, λέγετε εὐδία. πυῤῥάζει γὰρ ὁ οὐ-
» ρανός· καὶ πρωῒ, σήμερον χειμών. πυῤῥάζει γὰρ στυγνάζων ὁ οὐρανός· ὑποκριταὶ. τὸ
» μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε; Ἐλέγχει τὴν πειραστικὴν αὐτῶν ζήτησιν, ὑποκριτὰς αὐτοὺς ὀνομάζων. καὶ φησὶν ὅτι ὥσπερ τῶν ἐν οὐρανῷ φαινομένων, ἄλλο μὲν τοῦ χειμῶνος σημεῖον, ἄλλο δὲ τῆς εὐδίας. καὶ οὐκ ἄν τις τὸ σημεῖον τοῦ χειμῶνος ἰδὼν, γαλήνην ζητήσειεν. οὐδὲ τὸ τῆς γαλήνης, χειμῶνα, οὕτω καὶ περὶ ἐμοῦ λογίζεσθαι χρή· ἄλλος γὰρ οὗτος τῆς παρουσίας ὁ καιρὸς, καὶ ἄλλος ὁ μέλλων· νῦν χρεία τῶν ἐν γῇ σημείων. τὰ δὲ ἐν τῷ οὐρανῷ, ἐν ἐκείνῳ τῷ καιρῷ ταμιεύεται, ὅτε ὁ ἥλιος σβεσθήσεται. ἡ σελήνη κρυβήσεται. ὁ οὐρανὸς ἀλλαγήσεται.

» Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ,
Ἰωνᾶ. β'. » εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθε.
Πονηρὰ γενεὰ, ὡς πειράζοντες. μοιχαλὶς, ὡς ἀφιστάμενοι τοῦ θεοῦ καὶ κολλώμενοι τῷ διαβόλῳ· σημεῖον δὲ ἐξ οὐρανοῦ ζητούντων, οὐ δίδωσιν εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. τουτέστιν ὅτι τριήμερος ἐν τῇ κοιλίᾳ τοῦ μεγάλου κήτους τοῦ θανάτου γενόμενος, ἀναστήσεται· τοῦ

τὸ δὲ τὸ σημεῖον, καὶ ἐξ οὐρανοῦ εἴποις ἂν εἶναι. ἐν γὰρ τῷ θανάτῳ αὐτοῦ, ὁ ἥλιος ἐσκοτίσθη· καὶ ἡ κτίσις πᾶσα ἠλλοίωτο· ὅρα δὲ τὴν λέξιν. σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. αὐτοῖς γὰρ ἐδίδοντο τὰ σημεῖα. τουτέστι δι' αὐτοὺς ἐγίνοντο, κἂν ἐκεῖνοι ἠπίστουν. διὸ καὶ καταλιπὼν αὐτοὺς ὡς ἀθεραπεύτους, ἀπῆλθεν·

» Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν, ἐπελάθοντο ἄρτους λαβεῖν· ὁ δὲ Ἰη-
» σοῦς εἶπεν αὐτοῖς. ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ Σαδ-
» δουκαίων· Ὥσπερ ἡ ζύμη ὀξώδης ἐστὶ καὶ παλαιά, οὕτω καὶ ἡ τῶν φαρισαίων καὶ

Σαδδουκαίων διδασκαλία ἔδακνε τὰς ψυχάς, ὀξώδης οὖσα καὶ παλαιὰς παραδόσεις τῶν πρεσβυτέρων εἰσάγουσα· καὶ ὥσπερ ἡ ζύμη μίγμα ἐστὶν ὕδατος καὶ ἀλεύρου, οὕτω καὶ ἡ διδασκαλία τῶν φαρισαίων, μικτὴ ἔκ τε λόγου καὶ βίου διεφθαρμένου· οὐκ εἶπε δὲ αὐτοῖς φανερῶς, προσέχετε ἀπὸ τῆς διδασκαλίας, ἵνα ὑπομνήσῃ αὐτοὺς τῶν σημείων τῶν ἄρτων·

» Οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς, λέγοντες ὅτι, ἄρτους οὐκ ἐλάβομεν· γνοὺς δὲ ὁ Ἰη-
» σοῦς, εἶπεν αὐτοῖς. τί διαλογίζεσθε ἐν ἑαυτοῖς ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε·
» οὔπω νοεῖτε οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κο-
» φίνους ἐλάβετε; οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, καὶ πόσας σπυρίδας
» ἐλάβετε; πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν, προσέχετε ἀπὸ τῆς ζύμης
» τῶν φαρισαίων καὶ Σαδδουκαίων· τότε συνῆκαν ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύ-
» μης τοῦ ἄρτου, ἀλλὰ ἀπὸ τῆς διδαχῆς τῶν φαρισαίων καὶ Σαδδουκαίων·

Ἐνόμιζον ὅτι τοῦτο ἔλεγεν αὐτοῖς, τὸ φυλάττεσθαι τὸν ἐκ τῶν Ἰουδαϊκῶν βρωμάτων μολυσμόν. διὸ καὶ διελογίζοντο ὅτι ἄρτους οὐκ ἔλαβον· ὀνειδίζει τὲ αὐτοῖς ὡς ἀνοήτοις καὶ ὀλιγοπίστοις· καθ' ὃ μὲν γὰρ οὐκ ἐμνήσθησαν πόσοις ἄρτοις πόσους ἔθρεψεν, ἀνόητοι. καθ' ὃ δὲ ἠπίστησαν ὅτι κἂν μὴ ἠγόρασαν ἄρτους ἐξ Ἰουδαίων, ἠδύνατο παραγαγεῖν αὐτός, κατὰ τοῦτο ὀλιγόπιστοι· ὡς δὲ ἐπετίμησεν αὐτοῖς σφοδρότερον, οὐ γὰρ πανταχοῦ ἡ πραότης καλόν, εὐθέως συνῆκαν ὅτι ζύμην τὴν διδασκαλίαν ἐκάλεσε· τοσοῦτον ἰσχύει πανταχοῦ ἡ εὔλογος ἐπιτίμησις·

» Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς φιλίππου, ἠρώτα τοὺς μαθητὰς
» αὐτοῦ, λέγων. τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου·

Ἐμνήσθη τοῦ κτίσαντος τὴν πόλιν, ἐπειδὴ ἐστὶ καὶ ἄλλη Καισάρεια, ἡ Στράτωνος. καὶ οὐκ ἐν ἐκείνῃ ἀλλ' ἐν ταύτῃ αὐτοὺς ἐρωτᾷ· πόρρω γὰρ τῶν Ἰουδαίων ἀπάγει τοὺς μαθητάς, ὡς ἂν μηδένα φοβούμενοι, μετὰ παρρησίας εἴπωσι· πρῶτον δὲ τὴν τοῦ πλήθους ἐρωτᾷ ὑπόληψιν, ἵνα εἰς μείζονα ἀνενεχθῶσιν ἔννοιαν. καὶ μὴ εἰς τὴν αὐτὴν ταπεινότητα τοῖς πολλοῖς πέσωσιν· οὐκ ἐρωτᾷ δὲ τίνα με λέγουσιν οἱ φαρισαῖοι, ἀλλ' οἱ ἄνθρωποι. περὶ τοῦ ἀδόλου πλήθους λέγων·

» Οἱ δὲ εἶπον. οἱ μὲν, Ἰωάννην τὸν βαπτιστήν. ἄλλοι δὲ, Ἡλίαν. ἕτεροι δὲ, Ἱερεμίαν. ἢ
» ἕνα τῶν προφητῶν· Οἱ μὲν Ἰωάννην αὐτὸν ὀνομάζοντες, ἦσαν ὡς ὁ Ἡρώδης. νομί

ζοντες τὸν Ἰωάννην μετὰ τὴν ἀνάστασιν καὶ τοῦτο τὸ χάρισμα λαβεῖν, τὸ τῆς θαυματουργίας· οἱ δὲ Ἡλίαν, διὰ τὸ ἐλεγκτικόν. καὶ διὰ τὸ προσδοκᾶσθαι ὅτι ἐλεύσεται· οἱ δὲ Ἱερεμίαν, διὰ τὸ αὐτοφυὲς τῆς σοφίας καὶ ἄνευ μαθήσεως· ὁ γὰρ Ἱερεμίας, παῖς ὢν εἰς προφητείαν ἐτάχθη· Ἱερεμ· α´.

» Λέγει αὐτοῖς. ὑμεῖς δὲ τίνα με λέγετε εἶναι· ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε. σὺ εἶ
» ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· Καὶ πάλιν ὡς θερμὸς ὁ Πέτρος προπηδᾷ, καὶ ὁμο

λογεῖ ἀληθῶς αὐτὸν εἶναι τὸν υἱὸν τοῦ θεοῦ· οὐ γὰρ εἶπε, σὺ εἶ ὁ χριστὸς υἱὸς τοῦ θεοῦ, χωρὶς τοῦ ὁ ἄρθρου. ἀλλὰ μετὰ τοῦ ἄρθρου, ὁ υἱός. τουτέστιν αὐτὸς ἐκεῖνος ὁ εἷς καὶ μόνος.



οὐ χάριτι υἱὸς, ἀλλ' ὁ ἐξ αὐτῆς τῆς οὐσίας τοῦ πατρὸς γεννηθείς. ἐπεὶ καὶ χριστοὶ πολλοὶ ἦσαν, οἱ ἱερεῖς πάντες καὶ οἱ βασιλεῖς. ἀλλ' ὁ χριστὸς μετὰ τοῦ ἄρθρου, εἷς ἐστιν.

» Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ. μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷ-
» μα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. Μακαρίζει τὸν Πέτρον ὡς ἐκ θείας χάριτος λαβόντα τὴν γνῶσιν. ἀποδεχόμενος δὲ αὐτὸν, δείκνυσι λοιπὸν τὰς τῶν ἄλλων ἀνθρώπων ὑπολήψεις ψευδεῖς. εἶπε δὲ αὐτῷ βὰρ Ἰωνᾶ, τουτέστιν υἱὲ τοῦ Ἰωνᾶ, μονονουχὶ τοῦτο λέγων. ὅτι, ὥσπερ σὺ τοῦ Ἰωνᾶ παῖς, οὕτως ἐγὼ τοῦ πατρός μου τοῦ ἐν οὐρανῷ, ὁμοούσιος ὢν ἐκείνῳ. ἀποκάλυψιν δὲ λέγει τὴν γνῶσιν, ὡς τῶν κρυφίων καὶ ἀγνώστων φανερωθέντων παρὰ τοῦ πατρός.

» Κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκ-
» κλησίαν. καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Ἀμείβεται τὸν Πέτρον ὁ κύριος, μισθὸν αὐτῷ διδοὺς μέγαν, τὸ ἐπ' αὐτῷ οἰκοδομηθῆναι τὴν ἐκκλησίαν. ἐπεὶ γὰρ ὡμολόγησεν αὐτὸν υἱὸν θεοῦ ὁ Πέτρος, φησὶν ὅτι, αὕτη ἡ ὁμολογία ἣν ὡμολόγησας, θεμέλιον μέλλει εἶναι τῶν πιστευόντων. ὥστε πάντα ἄνθρωπον μέλλοντα κτίζειν τὸν τῆς πίστεως οἶκον, ταύτην τὴν ὁμολογίαν ὑποτιθέναι θεμέλιον. κἂν γὰρ μυρίας ἀρετὰς κτίζωμεν, μὴ ἔχωμεν δὲ θεμέλιον τὴν ὀρθὴν ὁμολογίαν, σαθρὰ κτίζομεν. εἰπὼν δὲ τὴν ἐκκλησίαν μου, δείκνυσιν ἑαυτὸν δεσπότην τοῦ παντός. θεοῦ γὰρ δοῦλα τὰ σύμπαντα. πύλαι δὲ ᾅδου, οἱ κατὰ καιροὺς διῶκται. οἱ εἰς ᾅδην προέπεμπον τοὺς χριστιανούς. καὶ οἱ αἱρετικοὶ δὲ, πύλαι εἰς ᾅδην φέρουσαι. πολλῶν οὖν διωκτῶν καὶ πολλῶν αἱρετικῶν ὑπερίσχυσεν ἡ ἐκκλησία. ἔστι δὲ καὶ ἕκαστος ἡμῶν, ἐκκλησία, οἶκος θεοῦ γινόμενος. ἐὰν οὖν ἐπὶ τῇ ὁμολογίᾳ τοῦ Χριστοῦ στηριχθῶμεν, αἱ πύλαι τοῦ ᾅδου, ἤτοι αἱ ἁμαρτίαι, οὐ κατισχύσουσιν ἡμῶν. ἐκ γὰρ τούτων τῶν πυλῶν ὑψωθεὶς καὶ ὁ Δαβὶδ, ἔλεγεν. ὁ
ψαλ. θʹ. ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου. ποίων ὦ Δαβὶδ πυλῶν. τῶν δύο, τοῦ φόνου καὶ τῆς μοιχείας.

» Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς
» γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς. καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον
» ἐν τοῖς οὐρανοῖς. Ὡς θεὸς λέγει τὸ δώσω σοι, ἐξουσιαστικῶς. ὡς γὰρ ὁ πατήρ δέδωκέ σοι τὴν ἀποκάλυψιν, οὕτως ἐγὼ τὰς κλεῖς. κλεῖδας δὲ νοήσεις, τὰς δεσμούσας καὶ λυούσας τὰς τῶν σφαλμάτων ἢ συγχωρήσεις ἢ ἐπιτιμήσεις. ἔχουσι γὰρ ἐξουσίαν ἀφιέναι καὶ δεσμεῖν, οἱ κατὰ Πέτρον τῆς ἐπισκοπικῆς ἀξιωθέντες χάριτος. εἰ γὰρ
Ματ. ιηʹ. καὶ καὶ πρὸς Πέτρον μόνον εἴρηται τὸ δώσω σοι, ἀλλὰ καὶ πᾶσι τοῖς ἀποστόλοις δέδοται.
Ἰωάν. κʹ. πότε. ὅτε εἶπεν, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται. καὶ γὰρ τὸ δώσω, μέλλοντα χρόνον σημαίνει. τουτέστι τὸν μετὰ τὴν ἀνάστασιν. οὐρανοὶ δὲ λέγονται καὶ αἱ ἀρεταί. κλεῖδες δὲ τούτων, αἱ ἐργασίαι. διὰ γὰρ τοῦ ἐργάζεσθαι εἰσερχόμεθα ὥσπερ διά τινων κλειδῶν ἀνοιγουσῶν, εἰς ἑκάστην τῶν ἀρετῶν. ἐὰν δὲ οὐκ ἐργάζομαι, ἀλλὰ μόνον οἶδα τὸ ἀγαθὸν, ἔχω μὲν τὴν κλεῖδα τῆς γνώσεως μόνον. ἔξω δὲ μένω. δέδεται δὲ ἐν τοῖς οὐρανοῖς, τουτέστιν ἐν ταῖς ἀρεταῖς, ὁ μὴ βαδίζων ἐν αὐταῖς. ὁ γὰρ σπουδαῖος, ἐν ταύταις λέλυται. μὴ ἔχωμεν οὖν ἁμαρτίας, ἵνα μὴ σειραῖς τῶν οἰκείων ἁμαρτιῶν δεσμώμεθα.

» Τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός. Ἐβούλετο ὁ Χριστὸς, πρὸ τοῦ σταυροῦ συσκιάζεσθαι τὴν περὶ αὐτοῦ δόξαν. εἰ γὰρ ἤκουσαν οἱ ἄνθρωποι πρὸ τοῦ πάθους ὅτι θεός ἐστιν, εἶτα ἔβλεπον αὐτὸν πάσχοντα, πῶς οὐκ ἂν ἐσκανδαλίσθησαν. διὰ τοῦτο οὖν κρύπτει ἑαυτὸν τοῖς πολλοῖς, ἵνα μετὰ τὴν ἀνάστασιν ἀσκανδαλίστως γνωσθῇ, τοῦ πνεύματος πάντα ἐξομαλίζοντος διὰ τῶν θαυματουργιῶν.

» Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν ἀπελθεῖν
» εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμ-
» ματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. Προλέγει αὐτοῖς τὸ πάθος, ἵνα μὴ ἐλθόντος ἀπροσδοκήτως, σκανδαλισθῶσιν, οἰηθέντες ὡς ἄκων καὶ ἀγνοῶν πέπονθεν. ἐπεὶ γὰρ ἤκουσαν διὰ τῆς τοῦ Πέτρου ὁμολογίας ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἐστι, τότε ἀποκαλύπτει αὐτοῖς καὶ τὰ τοῦ πάθους. μετὰ δὲ τὰ λυπηρὰ, ἐπάγει καὶ τὸ χαρμόσυνον, τὸ ἐν τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

» Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ, λέγων. ἵλεώς σοι κύ-
» ριε, οὐ μὴ ἔσται σοι τοῦτο. Ὃ μὲν ἀπεκαλύφθη, ὁ Πέτρος ὀρθῶς ὡμολόγησεν. ὃ δὲ οὐκ ἀπεκαλύφθη, ἐσφάλη. ἵνα μάθωμεν ὅτι χωρὶς θεοῦ οὐδὲ ἐκεῖνο ἐφθέγξατο τὸ μέγα. μὴ θέλων οὖν παθεῖν τὸν Χριστὸν ὁ Πέτρος, καὶ ἀγνοῶν τὸ τῆς ἀναστάσεως μυστήριον, ἵλεώς σοι κύριε. οὐ μὴ ἔσται σοι τοῦτο, φησίν.

» Ὁ δὲ στραφεὶς εἶπε τῷ Πέτρῳ. ὕπαγε ὀπίσω μου σατανᾶ. σκάνδαλόν μου εἶ, ὅτι
» οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. Ὅτε μὲν ὀρθὰ ἐλάλει ὁ Πέτρος, μακαρίζει αὐτὸν ὁ Χριστός. ὅτε δὲ ἀλόγως ἐδειλίασε καὶ οὐκ ἤθελε παθεῖν αὐτὸν, ἐπέπληξεν. εἰπών. ὕπαγε ὀπίσω μου σατανᾶ. σατανᾶς δὲ, ὁ ἀντικείμενος λέγεται. ὕπαγε οὖν ὀπίσω μου. τουτέστι μὴ ἀνθίστασο, ἀλλ᾽ ἀκολούθει τῷ θελήματί μου. καλεῖ δὲ οὕτως τὸν Πέτρον, ἐπεὶ καὶ τῷ σατανᾷ ἀθέλητον ἦν τὸ παθεῖν τὸν Χριστόν. φησὶν οὖν ὅτι, σὺ μὲν ἀνθρωπίνῳ λογισμῷ δοκεῖς τὸ πάθος ἀπρεπές μοι εἶναι. οὐ νοεῖς δὲ ὅτι ὁ θεὸς διὰ τούτου σωτηρίαν ἐργάζεται. καὶ ὅτι τοῦτο ἐμοὶ πρέπει μάλιστα.

» Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ. εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησά-
» σθω ἑαυτόν. καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Τότε. πότε. ὅτε τῷ Πέτρῳ ἐπετίμησε. θέλων γὰρ δεῖξαι ὅτι ἐσφάλη ὁ Πέτρος κωλύων αὐτὸν τοῦ παθεῖν, φησὶν ὅτι, σὺ ἐμὲ κωλύεις. ἐγὼ δὲ λέγω σοι ὅτι οὐ μόνον τὸ ἐμὲ μὴ παθεῖν ἐπιβλαβές σοι, ἀλλ᾽ οὐδὲ σὺ σωθῆναι δυνήσῃ ἐὰν μὴ καὶ αὐτὸς ἀποθάνῃς. ἀλλὰ καὶ εἴ τις ἄλλος, κἂν ἀνήρ. κἂν γυνή. κἂν πένης. κἂν πλούσιος. θέλει δὲ εἶπεν, ἵνα δείξῃ ὅτι αὐτεξούσιον καὶ οὐκ ἀναγκαστὸν ἡ ἀρετή. ὀπίσω δὲ ἀκολουθεῖ τοῦ Ἰησοῦ, οὐχ ὁ ὁμολογῶν αὐτὸν μόνον υἱὸν θεοῦ, ἀλλ᾽ ὁ καὶ διὰ πάντων τῶν δεινῶν ἐρχόμενος. καὶ τὰ αὐτὰ ὑφιστάμενος. ἀπαρνησάσθω δὲ ἑαυτὸν εἶπε, τὴν τελείαν ἄρνησιν διὰ τῆς ἀπὸ προθέσεως σημαίνων. οἷον μὴ ἐχέτω τι κοινὸν πρὸς τὸ σῶμα. ἀλλὰ καταφρονείτω ἑαυτοῦ. ὥσπερ εἰώθαμεν λέγειν, ὁ δεῖνα τὸν δεῖνα ἠρνήσατο. ἀντὶ τοῦ οὐκ ἔχει φίλον οὐδὲ γνωστὸν, οὕτως οὖν καὶ πᾶς ὀφείλει μηδεμίαν φιλίαν ἔχειν πρὸς τὸ σῶμα. ὥστε καὶ τὸν σταυρὸν αἴρειν. τουτέστι θάνατον αἱρεῖσθαι, καὶ μετὰ σπουδῆς ἐπιζητεῖν καὶ θάνατον τὸν ἐπονείδιστον. τοιοῦτον γὰρ ὁ σταυρὸς παρὰ τοῖς παλαιοῖς. ἀλλὰ καὶ ἀκολουθείτω μοί φησί. πολλοὶ γὰρ σταυροῦνται λησταὶ καὶ κλέπται, ἀλλ᾽ οὐκ εἰσὶν ἐκεῖνοι μαθηταί μου. ἀκολουθείτω οὖν, τουτέστι καὶ πᾶσαν τὴν ἄλλην ἀρετὴν ἐπιδεικνύσθω. ἀπαρνεῖται δὲ ἑαυτὸν καὶ ὁ χθὲς μὲν ἀσελγαίνων, σήμερον δὲ σωφρονῶν. τοιοῦτος ἦν ὁ Παῦλος, ἀπαρνησάμενος ἑαυτὸν ἐν τῷ λέγειν, ζῶ δὲ οὐκ ἔτι ἐγώ. ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Πρὸς Γαλάτ. β΄. αἴρει δὲ τὸν σταυρὸν, ὁ νεκρώσας καὶ σταυρώσας ἑαυτὸν τῷ κόσμῳ.

» Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν
» ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Ἐπὶ μαρτύριον προτρέπεται ἡμᾶς. εὑρίσκει μὲν οὖν τὴν ψυχὴν πρὸς τὸ παρὸν, τουτέστι σώζει, ὁ ἀρνούμενος. ὃς καὶ ἀπόλλυσιν ὕστερον. ἀπόλλυσι δὲ τὴν ψυχὴν, ἀλλ᾽ ἕνεκεν τοῦ Χριστοῦ, ὃς μαρτυρήσει ὑπὲρ αὐτοῦ. ὃς καὶ εὑρήσει αὐτὴν ἐν ἀφθαρσίᾳ καὶ ζωῇ αἰωνίᾳ.

Τί γὰρ ὠφελεῖται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ· ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ· μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀπο- Πρὸς Ῥω· β΄· δώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ· Ἔστω φησὶ καθ᾽ ὑπόθεσιν, ὅτι τὸν κόσμον ὅλον ἐκέρδησας. ἀλλὰ τί τὸ ὄφελος, τῆς ψυχῆς κακῶς διακειμένης, τὸ σῶμα εὐπαθεῖν· ὥσπερ ἂν εἰ τῆς οἰκοδεσποίνης ῥάκια διερρηγμένα φορούσης, αἱ θεραπαινίδες λαμπροφοροῖεν· οὐδὲ γὰρ ἐν τῷ μέλλοντι αἰῶνι δύναταί τις δοῦναι ἀντάλλαγμα ὑπὲρ τῆς ψυχῆς αὐτοῦ· ἐνταῦθα μὲν γὰρ, δύναται δοῦναι δάκρυα. στεναγμούς. ἐλεημοσύνην· ἐκεῖ δὲ οὔ· ἀδωροδόκητος γὰρ κριτὴς διαδέξεται· κατὰ γὰρ τὰ ἔργα δικάζει ἑκάστῳ· ἀλλὰ καὶ φοβερός. ἐν τῇ δόξῃ γὰρ αὐτοῦ ἔρχεται καὶ μετὰ τῶν ἀγγέλων, καὶ οὐχὶ καταπεφρονημένος·

Ἀμὴν λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστώτων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ· Εἶπεν ὅτι μέλλει ἔρχεσθαι ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ· ἵνα οὖν μὴ ἀπιστῶσιν ἐκεῖνοι, φησὶν ὅτι εἰσί τινες ἐνταῦθα, οἳ κατὰ τὸ ἐγχωροῦν ὄψονται ἐν τῇ μεταμορφώσει τὴν δόξαν τῆς δευτέρας παρουσίας· ἅμα δὲ καὶ δείκνυσιν ἐν ποίᾳ δόξῃ ἔσονται οἱ δι᾽ αὐτὸν παθόντες· ὡς γὰρ ἀπέστραψεν ἡ σὰρξ αὐτοῦ τηνικαῦτα, οὕτω κατὰ ἀναλογίαν οἱ ἅγιοι τότε ἐκλάμψουσιν· αἰνίττεται δὲ ἐνταῦθα τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην. οὓς παρέλαβεν εἰς τὸ ὄρος, καὶ ἔδειξεν αὐτοῖς τὴν βασιλείαν αὐτοῦ. τουτέστι τὴν κατάστασιν τὴν μέλλουσαν ἐν ᾗ ἐλεύσεται καὶ αὐτὸς καὶ οἱ δίκαιοι ἐκλάμψουσι· λέγει τοίνυν ὅτι τινὲς τῶν ἐνθάδε οὐ μὴ ἀποθάνωσιν, ἕως οὗ ἴδωσι μεταμορφούμενον· ὅρα δὲ ὅτι οἱ ἑστῶτες ἐν τῷ καλῷ καὶ βέβαιοι, ἐκεῖνοι βλέπουσι τὸν Ἰησοῦν ἐπὶ τὸ λαμπρότερον μεταμορφούμενον, καὶ προκόπτουσιν ἀεὶ ἐν τῇ πίστει καὶ ταῖς ἐντολαῖς·

Κεφάλαιον ἑπτακαιδέκατον·

Καὶ μεθ᾽ ἡμέρας ἕξ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην Λουκ· θ΄· τὸν ἀδελφὸν αὐτοῦ· Οὐκ ἔστιν ἐναντίον τοῦτο τῷ παρὰ τῷ Λουκᾷ ῥηθέντι. ὅτι, μετὰ δὲ τοὺς λόγους τούτους ἐγένοντο ὡσεὶ ἡμέραι ὀκτώ. καὶ τὰ ἑξῆς· ὁ γὰρ Λουκᾶς καὶ τὴν πρώτην ἀριθμεῖ καὶ τὴν ὑστέραν, καθ᾽ ἣν ἀνέβησαν εἰς τὸ ὄρος· ὁ δὲ Ματθαῖος, τὰς μέσας μόνας· ἔλαβε δὲ τὸν μὲν Πέτρον, ὡς σφόδρα ἀγαπῶντα αὐτόν. τὸν δὲ Ἰωάννην, ὡς ἀγαπώμενον. τὸν δὲ Ἰάκωβον, ὡς καὶ αὐτὸν ζηλωτὴν ὄντα· καὶ δῆλον ὅτι ζῆλον εἶχεν, ἀπὸ τοῦ καὶ ὑποσχέσθαι τὸ ποτήριον πιεῖν, καὶ ἀπὸ τοῦ τὸν Ἡρώδην μαχαίρᾳ ἀνελεῖν αὐτὸν πρὸς ἀρέσκειαν τῶν Ἰουδαίων·

Καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν. καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς· Εἰς ὄρος ὑψηλὸν ἀναφέρει αὐτοὺς, δεικνύων ὅτι ἐὰν μή τις ὑψωθῇ, οὐκ ἄξιος γίνεται τοιούτων θεωριῶν· κατ᾽ ἰδίαν δὲ, διότι εἴωθεν ὁ Χριστὸς τὰς παραδοξοτέρας θαυματουργίας ἐν ἀποκρύφῳ ποιεῖν. ἵνα μὴ ὁρώμενος τοῖς πολλοῖς ὡς θεὸς, κατὰ φαντασίαν ἄνθρωπος νομισθῇ· μεταμόρφωσιν δὲ ἀκούων, μὴ νόμιζε ὅτι τὸ σῶμα ἀπέβαλε τότε, ἀλλὰ μένοντος τοῦ σώματος ἐπὶ τοῦ σχήματος· πρόσωπον γὰρ αὐτοῦ ἀκούεις καὶ ἱμάτια, λαμπρότερος ἐφαίνετο. τῆς θεότητος παραδειξάσης μικρόν τι τὰς ἀκτῖνας αὐτῆς. καὶ τοῦτο ὡς ἠδύναντο ἰδεῖν· διὰ τοῦτο γὰρ καὶ βασιλείαν τοῦ θεοῦ ἀνωτέρω εἴρηκε τὴν μεταμόρφωσιν, ὡς ἐκφήνασαν τῆς ἐξουσίας τὸ ἄφατον· καὶ ὅτι γνήσιός ἐστιν υἱὸς τοῦ πατρὸς δείξασαν. καὶ ὡς τῆς δευτέρας παρουσίας τὸ ἀξίωμα φέρουσαν, διὰ τὴν ἄρρητον λαμπρότητα τοῦ προσώπου τοῦ Ἰησοῦ·

» Καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας, μετ' αὐτοῦ συλλαλοῦντες. Τί συνελάλουν. τὴν ἔξοδον φησὶν ὁ Λουκᾶς, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. τουτέστι τὸν σταυρόν. διατί δὲ Μωσῆς καὶ Ἠλίας ὤφθησαν. ἵνα δειχθῇ ὅτι καὶ νόμου καὶ προφητῶν αὐτός ἐστι κύριος, καὶ ὅτι ζώντων καὶ νεκρῶν. Ἠλίας μὲν γὰρ προφήτης, καὶ ζῇ ἔτι. Μωσῆς δὲ νομοθέτης, καὶ τέθνηκεν. ἀλλὰ καὶ ἵνα φανῇ ὅτι οὐκ ἐναντίος ἐστὶ τῷ νόμῳ οὐδ' ἀντίθεος. οὐ γὰρ ἂν ὁ Μωσῆς συνελάλει τῷ ἐναντιουμένῳ τοῖς αὐτοῦ. οὐδ' ἂν Ἠλίας ὁ ζηλωτὴς ἠνείχετο αὐτοῦ, ἀντιθέου ὄντος. ἔτι δὲ, ἵνα λύσῃ τὴν ὑπόνοιαν τῶν λεγόντων αὐτὸν Ἠλίαν ἢ ἕνα τῶν προφητῶν. πόθεν δὲ ἔγνων οἱ μαθηταὶ ὅτι Μωσῆς καὶ Ἠλίας ἦσαν. οὐ γὰρ δὴ ἀπὸ εἰκόνων. ἐπεὶ εἰκόνας ἀνθρώπων ποιεῖν τότε ἀσεβὲς ἐδόκει. ἔοικεν οὖν ὅτι ἀπὸ τῶν λόγων ὧν ἔλεγον ἐπέγνων αὐτούς. τυχὸν γὰρ ὁ μὲν μωσῆς ἔλεγεν. σὺ εἶ οὗ προετύπωσα ἐγὼ τὸ πάθος, σφάξας τὸν ἀμνὸν καὶ τὸ πάσχα τελέσας. Ἠλίας δὲ, σὺ εἶ οὗ τὴν ἀνάστασιν προετύπωσα ἐν τῷ τῆς χήρας υἱῷ. καὶ τοιαῦτά τινα. δεικνύων οὖν τούτοις τοῖς μαθηταῖς, διδάσκει αὐτοὺς, τούτοις μιμεῖσθαι. καὶ κατὰ Μωσῆν μὲν πράοις εἶναι καὶ δημαγωγικούς. κατὰ δὲ Ἠλίαν, ζηλωτὰς καὶ ἀκαμπεῖς ὅτε καιρός. καὶ κινδυνευτικοὺς ὥσπερ οὗτοι ὑπὲρ τῆς ἀληθείας. Λουκ. θ'. Ἀριθ. ζ'.

» Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ. κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. εἰ θέλεις
» ποιήσωμεν ὧδε τρεῖς σκηνάς. σοὶ μίαν. καὶ Μωσῇ μίαν. καὶ μίαν Ἠλίᾳ.

Ὁ Πέτρος βουλόμενος μὴ παθεῖν τὸν χριστὸν, διὰ τὴν πολλὴν ἀγάπην, φησὶν ὅτι καλόν ἐστιν ἐνταῦθα μένειν, καὶ μὴ κατελθεῖν καὶ φονευθῆναι. εἰ γὰρ καὶ ἔλθοι τις ἐνταῦθα, ἔχομεν καὶ Μωσῆν καὶ Ἠλίαν συνεργήσοντας ἡμῖν. Μωσῆς μὲν γὰρ τοὺς Αἰγυπτίους κατηγωνίσατο. Ἠλίας δὲ πῦρ κατήγαγεν ἐκ τοῦ οὐρανοῦ. ὥστε καὶ κατὰ τῶν ἐλευσομένων ἐνταῦθα ἐχθρῶν, τοιοῦτοι ἔσονται. ταῦτα δὲ ἐκ πολλῆς δειλίας ἐλάλει. ὡς ὁ Λουκᾶς φησὶ, μὴ εἰδὼς ὃ λέγει. τὸ γὰρ ἄηθες ἐξέπληξεν αὐτόν. ἢ οὐκ ᾔδει πάντη τί ἐλάλει, θέλων τὸν Ἰησοῦν μένειν ἐν τῷ ὄρει, καὶ μὴ κατελθεῖν καὶ παθεῖν ὑπὲρ ἡμῶν. φοβούμενος δὲ μὴ αὐθάδης δόξῃ, φησὶ τὸ εἰ θέλεις. Ἐξό. ιζ'. Βασιλ. γ'. κεφ. ιη'. Λουκ. θ'.

» Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς. καὶ ἰδοὺ φωνὴ ἐκ
» τῆς νεφέλης, λέγουσα. οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα. αὐτοῦ ἀκούετε.

Σὺ μὲν ὦ Πέτρε, σκηνὰς ζητεῖς χειροποιήτους γενέσθαι. ὁ δὲ πατὴρ, ἄλλην σκηνὴν ἀχειροποίητον τὴν νεφέλην περιέστησε, δεικνύει ὅτι ὥσπερ αὐτὸς ἐν νεφέλῃ ἐφαίνετο τοῖς παλαιοῖς θεὸς ὤν, οὕτω καὶ ὁ αὐτοῦ υἱός. φωτεινὴ δὲ ἡ νεφέλη ἐνταῦθα, οὐ γνοφώδης ὡς ἐν τῇ παλαιᾷ. διότι οὐκ ἐκφοβῆσαι ἠβούλετο, ἀλλὰ διδάξαι. ἐκ τῆς νεφέλης δὲ, ἡ φωνὴ, ἵνα δείξῃ ὅτι ἐκ τοῦ θεοῦ ἦν. τὸ δὲ ἐν ᾧ εὐδόκησα, ἀντὶ τοῦ ᾧ ἐπαναπαύομαι καὶ ἀρέσκομαι. διδάσκει δὲ ὅτι, αὐτοῦ ἀκούετε. κἂν σταυρωθῆναι θέλῃ, μὴ ἐναντιοῦσθε αὐτῷ.

» Καὶ ἀκούσαντες οἱ μαθηταὶ, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφό-
» δρα. καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο αὐτῶν, καὶ εἶπεν. ἐγέρθητε καὶ μὴ φοβεῖσθε.
» ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον εἰ μὴ τὸν Ἰησοῦν μόνον.

Μὴ ἐνεγκόντες τὴν λαμπηδόνα τοῦ νέφους οἱ μαθηταὶ, μὴ δὲ τὴν φωνὴν, ἔπεσον χαμαί. ἦσαν δὲ καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ὕπνῳ βεβαρημένοι. ὕπνον δὲ λέγει τὴν πολλὴν κάρωσιν τὴν ἀπὸ τῆς ὄψεως. ἵνα δὲ μὴ ἐπὶ πολὺ ὁ φόβος παραμένων ἐκβάλῃ τὴν μνήμην τῶν ὁραθέντων, ἐγείρει αὐτοὺς καὶ θαρρύνει. καὶ μόνος αὐτὸς εὑρίσκεται, ἵνα μὴ νομίσῃς ὅτι περὶ Μωσέως ἢ Ἠλίου ἦν ἡ φωνὴ, ἀλλὰ περὶ αὐτοῦ. αὐτὸς γάρ ἐστιν ὁ υἱός. Λουκ. θ'.

» Καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων. μη-

» δενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

Διὰ ταπεινοφροσύνην παραγγέλλει μηδενὶ εἰπεῖν. καὶ ἅμα ἵνα μὴ σκανδαλισθῶσιν οἱ ἀκούοντες τοιαῦτα, ὕστερον σταυρούμενον βλέποντες αὐτόν. ἐνόμισαν γὰρ ἂν αὐτὸν πλάνον εἶναι, κατὰ φαντασίαν ποιήσαντα τὰ θεοπρεπῆ. σὺ δὲ μάθε ὅτι μετὰ ἓξ ἡμέρας, τουτέστι μετὰ τὸν κόσμον τὸν ἐν ἓξ ἡμέραις δημιουργηθέντα, ἡ τοῦ θεοῦ θεωρία. ἐὰν γὰρ οὐχ ὑπερβῇς τὸν κόσμον, καὶ ὑψωθῇς ἐν τῷ ὄρει, οὐ μὴ ἴδῃς λαμπρὰ οὔτε τὸ πρόσωπον τοῦ Ἰησοῦ τὴν θεότητα λέγω. οὔτε τὰ ἱμάτια, τὴν σάρκα. ἴδοις δὲ τότε καὶ Μωσῆν καὶ Ἠλίαν συλλαλοῦντας τῷ Ἰησοῦ. ὁ γὰρ νόμος καὶ οἱ προφῆται καὶ ὁ Ἰησοῦς, ἐν λαλοῦσι καὶ συμφωνοῦσιν. ἀλλὰ καὶ ὅταν εὕρῃς τινὰ ἑρμηνεύοντα τὸ τῆς γραφῆς νόημα λαμπρῶς, γίνωσκε τοῦτον τὸ πρόσωπον τοῦ Ἰησοῦ λαμπρῶς βλέπειν. εἰ δὲ καὶ τὰς λέξεις διασαφεῖ καὶ λαμπρύνει, οὗτος καὶ τὰ ἱμάτια τοῦ Ἰησοῦ λευκὰ βλέπει. ἱμάτια γὰρ τῶν νοημάτων αἱ λέξεις. ἀλλὰ μὴ εἴπῃς κατὰ Πέτρον, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. ἀεὶ γὰρ προκόπτειν δεῖ καὶ οὐ καταμένειν ἐν ἑνὶ βαθμῷ ἀρετῆς καὶ θεωρίας, ἀλλὰ καὶ ἀλλαχοῦ μεταβαίνειν.

» Καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες. τί οὖν οἱ γραμματεῖς λέγουσιν
Μαλ. δ΄. » ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον. Ἀπατῶντες τὸν λαὸν οἱ γραμματεῖς ἔλεγον ὅτι οὐκ ἦν αὐτὸς ὁ χριστός. εἰ γὰρ ἦν, Ἠλίας ἂν ἤρχετο πρῶτον. ἀγνοοῦντες ὅτι δύο τοῦ χριστοῦ παρουσίαι. ὧν τῆς μὲν πρώτης πρόδρομος Ἰωάννης. τῆς δὲ δευτέρας, ὁ Ἠλίας. ὅπερ οὖν καὶ ὁ χριστὸς ἑρμηνεύει τοῖς μαθηταῖς. ἄκουε γάρ.

» Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς. Ἠλίας μὲν ἔρχεται πρῶτον, καὶ ἀποκαταστή-
» σει πάντα. λέγω δὲ ὑμῖν ὅτι Ἠλίας ἤδη ἦλθε, καὶ οὐκ ἐπέγνωσαν αὐτόν. ἀλλ᾽ ἐποίη-
» σαν ἐν αὐτῷ ὅσα ἠθέλησαν. οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ᾽ αὐτῶν.
» τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς.

Ἐν τῷ εἰπεῖν ὅτι Ἠλίας μὲν ἔρχεται, δείκνυσι ὅτι οὔπω ἦλθεν. ἐλεύσεται δὲ πρόδρομος τῆς δευτέρας ἐλεύσεως, καὶ ἀποκαταστήσει πρὸς τὴν πίστιν τοῦ χριστοῦ πάντας τοὺς εὑρεθησομένους πειθηνίους Ἑβραίους, ὥσπερ εἰς πατρῷον κλῆρον ἀποκαθιστῶν αὐτοὺς ἐκπεσόντας. ἐν δὲ τῷ εἰπεῖν ὅτι Ἠλίας ἤδη ἦλθε, τὸν πρόδρομον Ἰωάννην φησίν. ἐποίησαν δὲ ἐν αὐτῷ. ὅσα καὶ ἠθέλησαν, φονεύσαντες αὐτόν. δι᾽ ὧν γὰρ συνεχώρησαν τῷ Ἡρώδῃ φονεῦσαι, δυνάμενοι κωλύειν, ἐκεῖνοι ἐφόνευσαν. τότε τοίνυν ὀξύτεροι γενόμενοι οἱ μαθηταὶ, συνῆκαν ὅτι τὸν Ἰωάννην Ἠλίαν ἐκάλεσε διὰ τὸ πρόδρομον γενέσθαι τοῦτον τῆς πρώτης, ὡς ἐκεῖνος ἔσται τῆς δευτέρας ἐλεύσεως.

» Καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον, προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπετῶν αὐ-
» τὸν, καὶ λέγων. κύριε ἐλέησόν μου τὸν υἱὸν ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει. πολ-
» λάκις γὰρ πίπτει εἰς τὸ πῦρ. καὶ πολλάκις εἰς τὸ ὕδωρ. Σφόδρα ἄπιστος οὗτος ὁ ἄνθρωπος φαίνεται εἶναι, ἐξ ὧν τε εἶπε πρὸς αὐτὸν ὁ χριστὸς, ὦ γενεὰ ἄπιστος, καὶ ὅτι κατηγορεῖ αὐτὸς τῶν μαθητῶν. οὐχ ἡ σελήνη δὲ αἰτία. ἀλλ᾽ ὁ δαίμων ἐπετήρει τὴν σελήνην πλήρη οὖσαν, καὶ τότε ἐπετίθετο, ἵνα βλασφημηθῶσι τὰ ἔργα τοῦ θεοῦ ὡς κακοποιά. σὺ δὲ νόει καὶ ὅτι πᾶς ἄφρων, ὡς σελήνη ἀλλοιοῦται, κατὰ τὸ γεγραμμέ-
Ἐκκλη. κζ. νον, ποτὲ μὲν μέγας φαινόμενος κατ᾽ ἀρετὴν, ποτὲ δὲ ἐλαττούμενος καὶ ἀφανιζόμενος. οὗτος οὖν σεληνιάζεται καὶ καταπίπτει, καὶ εἰς πῦρ, τὸ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας. καὶ εἰς ὕδωρ, τὰ κύματα τοῦ πολυφρόντιδος βίου. ἐν ᾧ ὀλεῖσθαι διάβολος. τουτέστιν ὁ βασιλεύων ἐν τοῖς ὕδασιν. ἢ οὐχὶ κύματα ἀλλεπάλληλα αἱ τῶν πλουσίων φροντίδες.

» Καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦ-
σαι. ἀποκριθεὶς

» σαι. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν. ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσο-
» μαι μεθ' ὑμῶν. ἕως πότε ἀνέξομαι ὑμῶν. φέρετέ μοι αὐτὸν ὧδε. καὶ ἐπετίμησεν αὐ-
» τῷ ὁ Ἰησοῦς. καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον. καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς
» ὥρας ἐκείνης. Ὁρᾷς τὸν ἄνθρωπον τὸ ἑαυτοῦ πταῖσμα τῆς ἀπιστίας τοῖς μαθη-
ταῖς ἀνατιθέντα, ὡς ἀσθενήσασι περὶ τὴν ἴασιν. ὁ τοίνυν κύριος καταισχύνων αὐτὸν,
ἐπεὶ κατηγόρει τῶν μαθητῶν, φησίν. ὦ γενεὰ ἄπιστος. τουτέστιν οὐ τῆς ἐκείνων ἀσθε-
νείας τοσοῦτον τὸ πταῖσμα, ὅσον τῆς σῆς ἀπιστίας. πολλὴ γὰρ οὖσα, ἐνίκησε τὴν ἐκεί-
νων σύμμετρον δύναμιν. τῷ δὲ ἀνθρώπῳ ὀνειδίζων, πᾶσι κοινῶς ὀνειδίζει ὡς ἀπιστοῦσι,
καὶ τοῖς περιεστῶσιν. ἐν δὲ τῷ εἰπεῖν ἕως πότε ἔσομαι μεθ' ὑμῶν, δείκνυσιν ἐπιποθεῖν
τὸ ἐπὶ τῷ σταυρῷ πάθος, καὶ τὴν ἀπ' αὐτῶν ἀναχώρησιν. ἕως πότε γὰρ συνδιαιτῶ-
μαι τοῖς ὑβρισταῖς καὶ ἀπίστοις. ἐπετίμησε δὲ αὐτῷ ὁ Ἰησοῦς. τίνι; τῷ σεληνιαζομέ-
νῳ. ἐκ τούτου ἴσως φαίνεται ὅτι ἄπιστος ὢν καὶ αὐτὸς, τοῦ δαίμονος ἑαυτῷ πρόξενος
ἐγένετο διὰ τὴν ἀπιστίαν.
» Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν, εἶπον. διατί ἡμεῖς οὐκ ἠδυ-
» νήθημεν ἐκβαλεῖν αὐτό. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. διὰ τὴν ἀπιστίαν ὑμῶν. ἀμὴν γὰρ
» λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ μετάβηθι ἐν-
» τεῦθεν ἐκεῖ, καὶ μεταβήσεται. καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. τοῦτο δὲ τὸ γένος οὐκ ἐκ-
» πορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. Ἐφοβήθησαν οἱ ἀπόστολοι μήποτε ἀ-
πώλεσαν τὴν δοθεῖσαν αὐτοῖς κατὰ τῶν δαιμόνων χάριν. διὰ τοῦτο κατ' ἰδίαν ἐρωτῶ-
σιν ἀγωνιῶντες. ὁ δὲ κύριος ὡς ἀτελεστέροις ὀνειδίζων αὐτοῖς, φησὶν ὅτι, διὰ τὴν ἀπι-
στίαν ὑμῶν. ἐὰν γὰρ θερμὴν καὶ ζέουσαν ἔχετε πίστιν, κἂν μικρὰ ἐδόκει, κατορθώσα-
τε ἂν τὰ μεγάλα. ποῦ δὲ ὄρη μετέστησαν οἱ ἀπόστολοι, οὐδαμοῦ μὲν γέγραπται.
πλὴν εἰκὸς ἦν μεταστῆσαι, καὶ μὴ γραφῆναι. οὐ γὰρ πάντα ἐγράφησαν. ἄλλως τε, οὐκ Ἰωάν. κα.
ἀπήτησε καιρὸς, καὶ διὰ τοῦτο οὐ μετέστησαν. ἀλλὰ δὲ μείζονα ἐποίησαν. ὅρα γοῦν
καὶ τὸν κύριον τί ἔφη. ἐρεῖτε τῷ ὄρει τούτῳ μετάβηθι. τουτέστιν ὅταν εἴπητε τότε με-
ταβήσεται. οὐκ εἶπον δὲ οἱ ἀπόστολοι, ὡς μὴ καιροῦ καλοῦντος μὴ δὲ ἀνάγκης, καὶ
διὰ τοῦτο οὐ μετέβησαν ὄρη. ὡς εἴγε εἶπον, μετέβησαν ἄν. τοῦτο δὲ τὸ γένος, τὸ τῶν
δαιμόνων, διὰ προσευχῆς καὶ νηστείας ἐκβάλλεται. δεῖ γὰρ καὶ αὐτοὺς ἐκείνοις μάλι-
στα τοὺς δαιμονῶντας νηστεύειν, καὶ τοὺς μέλλοντας αὐτοὺς θεραπεύειν. τότε δὲ ἡ προσευ-
χὴ, προσευχὴ, ὅταν οὐ μετὰ μέθης ἀλλὰ μετὰ νηστείας γίνηται. νόει δὲ καὶ ὅτι πᾶσα ἡ Πρὸς Κο. α.
πίστις, κόκκος σινάπεως. εὐτελὴς μὲν νομιζομένη διὰ τὴν μωρίαν τοῦ κηρύγματος. κεφ. α.
πλὴν ἐὰν τύχῃ γῆς ἀγαθῆς, εἰς δένδρον αὐξανομένη. ἐν ᾧ τὰ πετεινὰ τοῦ οὐρανοῦ, οἱ
ἀνωτάτω πετόμενοι λογισμοὶ, κατασκηνοῦσιν. ὅστις οὖν ἔχει ταύτην τὴν πίστιν, ἐκεῖνος
δύναται εἰπεῖν τῷ ὄρει τούτῳ, μετάβηθι. τουτέστι τῷ δαίμονι. ἐδείκνυε γὰρ τὸ ἐξελ-
θὸν δαιμόνιον.
» Ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. μέλλει ὁ υἱὸς
» τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρί-
» τῃ ἡμέρᾳ ἐγερθήσεται. καὶ ἐλυπήθησαν σφόδρα. Συνεχῶς προλέγει περὶ τοῦ πά-
θους, ἵνα μὴ ἀηδῶς παθεῖν νομισθῇ. καὶ ἅμα ἵνα γυμνάσῃ αὐτοὺς, καὶ μὴ τῷ ἀπροσ-
δοκήτῳ ταραχθῶσιν ὅταν γένηται. ἐπισυνάπτει δὲ τοῖς λυπηροῖς καὶ τὸ εὐφρόσυ-
νον, τὸ ἀναστήσεται.
» Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναοὺμ, προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες
» τῷ Πέτρῳ, καὶ εἶπον ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; λέγει. ναί.
Ὁ θεὸς ἀντὶ τῶν πρωτοτόκων τῶν Ἑβραίων, ἠθέλησεν ἀφιερωθῆναι αὐτῷ τὴν τοῦ

Λευὶ φυλήν· εὑρέθη δὲ ἀριθμηθεῖσα ἡ τοῦ Λευὶ φυλή, δύο καὶ εἴκοσι χιλιάδες· τὰ δὲ πρωτότοκα, χιλιάδες εἰκοσιδύο καὶ διακόσια ἑβδομήκοντα καὶ τρία· ἀντὶ τούτων οὖν τῶν ἐπέκεινα τῆς τοῦ Λευὶ φυλῆς ὄντων πρωτοτόκων, ὥρισεν ὁ θεὸς δοθῆναι δίδραχμον τοῖς ἱερεῦσιν· ἔκτοτε οὖν γέγονεν ἔθος, ἁπλῶς πάντας τοὺς πρωτοτόκους τελεῖν τὸ δίδραχμον. ὅ ἐστι πέντε σίκλοι. ἤγουν διακόσιοι ὀβολοί· ἐπεὶ οὖν καὶ ὁ κύριος πρωτότοκος ἦν, ἐτέλει καὶ αὐτός· αἰδούμενοι δὲ ἴσως τὸν χριστὸν διὰ τὰς θαυματουργίας, οὐκ ἐκεῖνον ἐρωτῶσιν, ἀλλὰ τὸν Πέτρον· ἢ μᾶλλον πανούργως, ὡσανεὶ λέγοντες τοιαῦτα. ὁ ἀντίθετος τῷ νόμῳ διδάσκαλος ὑμῶν, ἆρα κατεδέξατο τελεῖν τὰ δίδραχμα;

» Καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων. τί σοι δοκεῖ Σί-
» μων. οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον, ἀπὸ τῶν υἱῶν αὐτῶν,
» ἢ ἀπὸ τῶν ἀλλοτρίων· λέγει αὐτῷ ὁ Πέτρος. ἀπὸ τῶν ἀλλοτρίων· ἔφη αὐτῷ ὁ Ἰησοῦς.
» ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί· Ὡς θεὸς καίτοι μὴ ἀκούσας, ᾔδει τί διειλέχθησαν ἐκεῖνοι πρὸς τὸν Πέτρον. διὸ καὶ προφθάνει αὐτόν, λέγων. εἰ οἱ βασιλεῖς τῆς γῆς οὐ λαμβάνουσι φόρον ἀπὸ τῶν υἱῶν αὐτῶν, ἀλλ' ἀπὸ τῶν ἀλλοτρίων, πῶς ὁ ἐπουράνιος βασιλεὺς ἀπ' ἐμοῦ τοῦ υἱοῦ αὐτοῦ λήψεται τὸ δίδραχμον· τοῦτο γὰρ ὡς ἔφην ἄνω, τοῖς ἱερεῦσι καὶ τῷ ναῷ προσήγετο· εἰ οὖν ἐλεύθεροί εἰσιν οἱ υἱοὶ τῶν κάτω βασιλέων, τουτέστι μηδὲν τελοῦντες, πόσῳ μᾶλλον ἐγώ·

» Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν βάλε ἄγκιστρον.
» καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν, ἆρον. καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆ-
» ρα· ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ· Ἵνα φησὶ μὴ λογισθῶμεν ὑπερόπται καὶ καταφρονηταὶ τοῦ νόμου καὶ σκανδαλίσωμεν, δὸς τὸ τέλος· οὐ γὰρ ὡς ὀφείλων δίδωμι, ἀλλ' ὡς τὴν ἐκείνων ἀσθένειαν διορθούμενος· μανθάνομεν γὰρ ἐντεῦθεν ὅτι οὐ δεῖ σκανδαλίζειν ἔνθα μὴ βλαπτόμεθα· ἔνθα γὰρ βλαπτόμεθα ἀπὸ ἔργου τινὸς, οὐ δεῖ φροντίζειν τῶν ἀλόγως σκανδαλιζομένων· ἵνα τοίνυν δείξῃ ὅτι θεός ἐστι, καὶ τῆς θαλάσσης κρατῶν, ἀπέστειλε τὸν Πέτρον ἄξοντα τὸν στατῆρα ἐκ τοῦ ἰχθύος· ἅμα δὲ καὶ μυστήριόν τι μανθάνομεν· ἡ ἡμετέρα γὰρ φύσις ἐστὶν ὁ ἰχθύς, ἐν βυθῷ ἀπιστίας βαπτισθεῖσα. ἀλλ' ὁ ἀποστολικὸς λόγος ἀνείλκυσεν ἡμᾶς. καὶ ἐν τῷ στόματι ἡμῶν εὗρε τὸν στατῆρα, τὰ λόγια τοῦ κυρίου καὶ τὴν ὁμολογίαν τοῦ χριστοῦ· ὁ γὰρ ὁμολογῶν τὸν χριστὸν, ἐκεῖνος ἔχει τὸν στατῆρα ἐν τῷ στόματι, στατῆρα δύο δίδραχμα ἕλκοντα. ἐπεὶ καὶ ὁ χριστὸς δύο φύσεις ἔχει, θεὸς καὶ ἄνθρωπος ὤν· οὗτος οὖν ὁ στατὴρ ὁ χριστὸς, ἐδόθη ὑπὲρ δύο. ὑπὲρ Ἰουδαίων καὶ ἐθνικῶν. καὶ ὑπὲρ δικαίων καὶ ἁμαρτωλῶν· ὅταν δὲ καί τινα ἴδῃς φιλάργυρον, οὐδὲν ἄλλο ἔχοντα διὰ στόματος εἰ μὴ χρυσίον καὶ ἀργύριον, τοῦτον γίνωσκε εἶναι ἰχθὺν, ἐν τῇ θαλάσσῃ τοῦ βίου νηχόμενον· ἐὰν δὲ εὑρεθῇ τις διδάσκαλος κατὰ Πέτρον, ἀγκιστρεύει τοῦτον. καὶ ἐκβάλλει ἀπὸ τοῦ στόματος αὐτοῦ τὸ χρυσίον καὶ τὸ ἀργύριον· στατῆρα δέ τινες νομίζουσι λίθον πολύτιμον εὑρισκόμενον κατὰ Συρίαν. οἱ δὲ, ἑξάγιον, τέταρτον νομίσματος·

Κεφάλαιον ὀκτωκαιδέκατον·

» Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες. τίς ἄρα μείζων ἐστὶν
» ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· Ἐπειδὴ εἶδον τὸν Πέτρον τιμηθέντα ὑπὸ τοῦ χριστοῦ, ἐτιμήθη γὰρ οὗτος προσαχθεὶς τὸν στατῆρα δοῦναι ὑπὲρ χριστοῦ καὶ ὑπὲρ ἑαυτοῦ, διὰ τοῦτο ἔπαθόν τι ἀνθρώπινον. καὶ φθόνῳ δακνόμενοι προσέρχονται πλαγίως ἐρωτῶντες τὸν κύριον, τίς μείζων ἐστίν·

» Καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ εἶπεν.
» ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς

τὴν

τὴν βασιλείαν τῶν οὐρανῶν. ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτος ἐστὶν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ἰδὼν τοὺς μαθητὰς ὁ κύριος, φιλοδοξίας πάθει κρατηθέντας, καταστέλλει αὐτούς, δεικνύων αὐτοῖς διὰ τοῦ ἀτύφου παιδίου ταπεινοφροσύνης ὁδόν. δεῖ γὰρ ἡμᾶς κατὰ τὸ ταπεινὸν τοῦ φρονήματος εἶναι παιδία, οὐχὶ κατὰ τὸ νηπιῶδες τοῦ λογισμοῦ. καὶ κατὰ τὸ ἄκακον, οὐχὶ κατὰ τὸ ἀνόητον. τὸ δὲ ἐὰν μὴ ἐπιστραφῆτε εἰπών, ἔδειξεν ὅτι ἀπὸ ταπεινοφροσύνης ἦλθον εἰς φιλοδοξίαν. δεῖ οὖν στραφῆναι πάλιν ἐκεῖσε, τουτέστιν εἰς τὴν ταπεινοφροσύνην ἀφ' ἧς ἐξήλθετε.

Καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἓν ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. Οὐ μόνον φησὶ δεῖ ὑμᾶς ταπεινοφρονεῖν, ἀλλὰ κἂν ἑτέρους ταπεινοφρονοῦντας τιμήσητε δι' ἐμέ, μισθὸν λήψεσθε. ἐμὲ γὰρ δέχεσθε ὅταν τὰ παιδία τουτέστι τοὺς ταπεινόφρονας, δέχησθε. εἶτα καὶ ἀπὸ τοῦ ἐναντίου φησὶν ὅτι, ὃς δ' ἂν σκανδαλίσῃ τουτέστιν ὑβρίσῃ ἕνα τῶν μικρῶν τούτων, τουτέστι τῶν ἑαυτοὺς σμικρυνόντων καὶ ταπεινούντων, καίτοι γε μεγάλων ὄντων, συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ. αἰσθητὴν γὰρ κόλασιν εἰς τὸ μέσον παράγει, βουλόμενος δεῖξαι ὅτι πολλὴν ὑποστήσονται τιμωρίαν οἱ τοὺς ἐν Χριστῷ ταπεινοὺς ὑβρίζοντες καὶ σκανδαλίζοντες. σὺ δὲ νόει ὅτι κἂν τὸν κατὰ ἀλήθειαν μικρὸν τουτέστι τὸν ἀσθενῆ σκανδαλίσῃ τις, καὶ μὴ πάντα τρόπον ἀναβαστάσῃ, τιμωρηθήσεται. ὁ μὲν γὰρ μέγας, οὐκ εὐσκανδάλιστος. ὁ δὲ μικρός.

Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων. ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα. πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται. Θρηνεῖ ὡς φιλάνθρωπος τὸν κόσμον, ὡς μέλλοντα βλαβῆναι ἀπὸ τῶν σκανδάλων. ἀλλ' εἴποι τις ἄν. καὶ τί δεῖ θρηνεῖν, δέον βοηθῆσαι καὶ χεῖρα ὀρέξαι. ἐροῦμεν οὖν ὅτι καὶ τοῦτο αὐτὸ βοηθείας ἐστί, τὸ θρηνεῖν τινα. πολλάκις γὰρ οὓς παραίνεσις ἡμετέρα οὐκ ὠφέλησε, τούτοις ὠφελοῦμεν ὅταν ἐπ' αὐτοὺς θρηνήσωμεν, εἰς αἴσθησιν ἐρχομένους. καὶ εἰ ἀνάγκη φησὶν ἐλθεῖν τὰ σκάνδαλα, πῶς φευξόμεθα ταῦτα. ἀνάγκη μὲν ἐλθεῖν, ἀλλ' οὐκ ἀνάγκη ἀπολέσθαι. ἔστι γὰρ ἀντιτάξασθαι τοῖς σκανδάλοις. σκάνδαλα δὲ νόει τοὺς ἐμποδίζοντας πρὸς τὰ καλά. κόσμον δέ, τοὺς κάτω ἀνθρώποις καὶ χαμερπεῖς. οἳ καὶ εὐκόλως ἐμποδίζονται.

Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτόν, καὶ βάλε ἀπὸ σοῦ. καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλόν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον. καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ. καλόν σοι ἐστὶ μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός. Χεῖρα καὶ πόδα καὶ ὀφθαλμόν, τοὺς φίλους νόει. οὓς ἐν τάξει μελῶν ἔχομεν. κἂν οὖν τοιοῦτοί τινες ὦσιν οἱ βλάπτοντες ἡμᾶς, τουτέστιν οἰκιακοὶ φίλοι, δεῖ καταφρονεῖν αὐτῶν ὡς σεσηπότων μελῶν, καὶ ἐκκόπτειν ἵνα μὴ καὶ ἄλλους βλάψωσιν. ὥστε ἐκ τούτων δῆλον ὅτι εἰ καὶ ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα τουτέστι τοὺς βλάπτοντας, ἀλλ' οὐκ ἀνάγκη ἡμᾶς βλαβῆναι. ἐὰν γὰρ ποιήσωμεν ὡς εἶπεν ὁ κύριος, καὶ ἐκκόψωμεν ἀφ' ἡμῶν τοὺς βλάπτοντας ἡμᾶς κἂν φίλοι ὦσιν, οὐ βλαβησόμεθα.

Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρα-

» νοῖς· ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός· Παραγγέλλει μὴ ἐξουθενεῖν τοὺς νομιζομένους μικρούς, τουτέστι τοὺς πτωχοὺς τῷ πνεύματι, τοὺς μεγάλους παρὰ τῷ θεῷ· τοσοῦτον γάρ φησιν ἀγαπῶνται ὑπὸ τοῦ θεοῦ, ὡς ἀγγέλους ἔχειν ἐπιστάτας πρὸς τὸ μὴ βλαβῆναι ὑπὸ δαιμόνων· ἕκαστος γὰρ τῶν πιστῶν, μᾶλλον δὲ καὶ πάντες οἱ ἄνθρωποι ἀγγέλους ἔχομεν· τῶν δὲ μικρῶν καὶ ταπεινῶν ἐν Χριστῷ οἱ ἄγγελοι τοσοῦτον εἰσὶν οἰκεῖοι τῷ θεῷ, ὥστε τὸ πρόσωπον αὐτοῦ διὰ παντὸς ὁρῶσιν, ἔμπροσθεν αὐτοῦ ἱστάμενοι· φαίνεται δὲ ἐκ τούτου ὅτι εἰ καὶ πάντες ἀγγέλους ἔχομεν, ἀλλ' οἱ τῶν ἁμαρτωλῶν ἄγγελοι ὥσπερ αἰσχυνόμενοι διὰ τὸ ἡμῶν ἀπαρρησίαστον, οὐ δὲ αὐτοὶ ἔχουσι παρρησίαν ὁρᾶν τὸ πρόσωπον τοῦ θεοῦ, καὶ δέεσθαι τάχα ὑπὲρ ἡμῶν· οἱ δὲ τῶν ταπεινοφρονούντων, οὗτοι ὁρῶσι τὸ θεῖον πρόσωπον, διὰ τὸ ἔχειν παρρησίαν· καὶ τί λέγω φησὶν ὅτι ἀγγέλους ἔχουσιν οἱ τοιοῦτοι. ἐγὼ διὰ τοῦτο ἦλθον ἵνα σώσω τὸ ἀπολωλός. καὶ τοὺς παρὰ τοῖς πολλοῖς νομιζομένους οὐδαμινοὺς οἰκειώσωμαι·

» Τί ὑμῖν δοκεῖ, ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐ-
» τῶν, οὐχὶ ἀφεὶς τὰ ἐννενηκονταεννέα ἐπὶ τὰ ὄρη, πορευθεὶς ζητεῖ τὸ πλανώμενον; καὶ
» ἐὰν γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς
» ἐννενηκονταεννέα τοῖς μὴ πεπλανημένοις· οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πα-
» τρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων·

Τίνι ἀνθρώπῳ ἐγένοντο ἑκατὸν πρόβατα· τῷ Χριστῷ· πᾶσα γὰρ ἡ λογικὴ κτίσις, ἄγγελοί τε καὶ ἄνθρωποι, τὰ ἑκατόν εἰσι πρόβατα. ὧν ποιμὴν ὁ Χριστός, οὐ πρόβατον γάρ ἐστι κτίσμα, ἀλλ' υἱὸς θεοῦ· οὗτος οὖν ἀφῆκε τὰ ἐννενηκονταεννέα ἐν τῷ οὐρανῷ. μορφὴν δὲ δούλου λαβών, ἦλθε ζητῆσαι τὸ ἓν πρόβατον, ὅ ἐστιν ἡ ἀνθρωπίνη φύσις. καὶ χαίρει ἐπὶ τούτῳ, ἢ ἐπὶ τῇ τῶν ἀγγέλων στερρότητι· τοῦτο οὖν συλληπτικῶς αἰνίττεται, ὅτι ὁ θεὸς ἐπιμελεῖται τῆς ἐπιστροφῆς τῶν ἁμαρτωλῶν. καὶ χαίρει ἐπὶ τούτοις μᾶλλον ἢ τοῖς μόνιμον ἔχουσι τὴν ἀρετήν·

» Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ
» αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, πα-
» ράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο. ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆ-
» μα· ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακού-
» σῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης· Σφοδρὸν κατατείνας κατὰ τῶν σκανδαλιζόντων λόγον, νῦν καὶ τοὺς σκανδαλιζομένους διορθοῦται· ἵνα γὰρ σὺ ὁ σκανδαλιζόμενος μὴ παντελῶς ἀναπέσῃς, ὡς τοῦ σκανδαλίζοντος τὸ οὐαὶ ἔχοντος, φησὶν ὅτι, σὲ τὸν σκανδαλιζόμενον τουτέστι βλαπτόμενον βούλομαι ἐλέγχειν τοὺς ἀδικοῦντάς σε καὶ βλάπτοντας, ἐὰν ὦσι χριστιανοί· ὅρα γὰρ τί λέγει· ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, τουτέστιν ὁ χριστιανός· εἰ μὲν γὰρ ἄπιστος ἀδικεῖ, τότε ὑπεξίστασο καὶ τῶν προσόντων σοι· εἰ δὲ ἀδελφός, ἔλεγχε τοῦτον· οὐ γὰρ εἶπεν ὕβρισον, ἀλλ' ἔλεγξον. ἐάν σου ἀκούσῃ τουτέστι καταγνῷ ἑαυτοῦ· ἰδίᾳ γὰρ θέλει πρῶτον τοὺς ἁμαρτάνοντας ἐλεγχθῆναι. ἵνα μὴ ἐνώπιον πολλῶν ἐλεγχθέντες, ἀναιδέστεροι γένωνται· ἐὰν δὲ καὶ ἐπὶ δύο μαρτύρων ἢ τριῶν ἐλεγχθεὶς μὴ δυσωπηθῇ, τότε ἐπὶ τῶν τῆς ἐκκλησίας προέδρων δημοσίευσον τὸ πταῖσμα· ἐπεὶ γὰρ οὐκ ἤκουσε τῶν δύο ἢ τριῶν, καίτοι γε ὁ νόμος λέγει ἵνα
Δευτε· ιζ'· καὶ β'· πρὸς Κο· ιγ' ἐπὶ δύο μαρτύρων ἢ τριῶν ἵσταται τουτέστι βεβαιοῦται πᾶν ῥῆμα, ὑπὸ τῆς ἐκκλησίας λοιπὸν σωφρονισθήτω· ἐὰν δὲ οὐ δὲ ταύτης ἀκούσῃ, τότε ἔστω ἀπόβλητος. ἵνα μὴ τῆς ἰδίας κακίας μεταδῷ καὶ τοῖς ἄλλοις· παρεικάζει δὲ τοῖς τελώναις τοὺς τοιούτους ἀδελφούς. διαβεβλημένον γάρ τι χρῆμα ὁ τελώνης· παραμυθία δὲ τῷ ἠδικημένῳ, τὸ τὸν ἀδικοῦντα, τελώνην νομίζεσθαι καὶ ἐθνικόν, τουτέστιν ἁμαρτωλόν. καὶ ἄπι-

σου· τοῦτο

σον. τοῦτο οὖν μόνον κόλασις τοῦ ἀδικοῦντος; οὐχί. ἀλλ᾽ ἄκουε καὶ τῶν ἑξῆς.

» Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. καὶ
» ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Ἐὰν σὺ φησὶν, ὁ ἀδικηθεὶς ἔχῃς ὡς τελώνην καὶ ἐθνικὸν τὸν ἀδικοῦντα, ἔσται καὶ ἐν τῷ οὐρανῷ τοιοῦτος. ἐὰν δὲ λύσῃς αὐτὸν, τουτέστι συγχωρήσῃς, ἔσται καὶ ἐν τῷ οὐρανῷ συγκεχωρημένος. οὐ γὰρ μόνον ὅσα λύουσιν οἱ ἱερεῖς εἰσὶ λελυμένα, ἀλλ᾽ ὅσα καὶ ἡμεῖς οἱ ἀδικηθέντες ἢ δεσμοῦμεν ἢ λύομεν, κἀκεῖνα ἔσται δεδεμένα ἢ λελυμένα.

» Πάλιν ἀμὴν λέγω ὑμῖν ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παν-
» τὸς πράγματος οὗ ἐὰν αἰτήσωνται γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐ-
» ρανοῖς. οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. Συνάγει ἡμᾶς διὰ τῶν τοιούτων ῥημάτων εἰς τὴν ἀγάπην. ἐπεὶ γὰρ ἐκώλυσεν ἡμᾶς ἀπὸ τοῦ σκανδαλίζειν ἀλλήλοις, καὶ βλάπτειν καὶ βλάπτεσθαι, νῦν λέγει καὶ περὶ τῆς πρὸς ἀλλήλοις συμφωνίας. συμφωνοῦντες δὲ νοοῦνται, οὐχ οἱ ἐπὶ κακῷ συνερχόμενοι, ἀλλ᾽ οἱ ἐπ᾽ ἀγαθῷ. ὅρα γὰρ τί εἶπεν. ἐὰν δύο ὑμῶν. τουτέστι τῶν πιστευόντων. τῶν ἐναρέτων. συνεφώνησαν γὰρ καὶ Ἄννας καὶ Καϊάφας, ἀλλὰ ψεκτῶς. ὥστε διὰ τοῦτο πολλάκις εὐχόμενοι οὐ λαμβάνομεν, διότι οὐδὲ συμφωνίαν πρὸς ἀλλήλοις ἔχομεν. οὐκ εἶπε δὲ ὅτι ἔσομαι. οὐ γὰρ μέλλει οὐδὲ βραδύνει, ἀλλ᾽ εἰμί. τουτέστιν, αὐτίκα ἐκεῖ εὑρίσκομαι. νοήσεις δὲ ὅτι καὶ ὅταν συμφωνήσῃ ἡ σὰρξ καὶ τὸ πνεῦμα, καὶ μὴ ἐπιθυμῇ κατὰ τοῦ πνεύματος ἡ σὰρξ, τότε ἐστὶν ἐν μέσῳ ὁ κύριος. συμφωνοῦσι δὲ καὶ αἱ τρεῖς δυνάμεις τῆς ψυχῆς, τὸ λογικόν. τὸ θυμικόν. καὶ τὸ ἐπιθυμητικόν. ἀλλὰ καὶ ἡ παλαιὰ καὶ ἡ νέα συμφωνοῦσιν αἱ δύο. καὶ ἐν μέσῳ αὐτῶν εὑρίσκεται ὁ χριστὸς, ὑπ᾽ ἀμφοῖν κηρυττόμενος.

» Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος, εἶπε. κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός
» μου, καὶ ἀφήσω αὐτῷ. ἕως ἑπτάκις; λέγει αὐτῷ ὁ Ἰησοῦς. οὐ λέγω σοι ἕως ἑπτάκις,
» ἀλλ᾽ ἕως ἑβδομηκοντάκις ἑπτά. Τοῦτό ἐστιν ὃ ἐρωτᾷ ὁ Πέτρος. ποσάκις ἐὰν ἁμάρτῃ, εἶτα προσέρχηται καὶ αἰτῇ συγγνώμην μεταμελόμενος, συγχωρήσω αὐτῷ. προσέθηκε δὲ τὸ, εἰς ἐμὲ ἐὰν ἁμάρτῃ, εἰς γὰρ θεὸν ἐὰν ἁμάρτῃ, οὐκ ἐγὼ ὁ ἰδιώτης δύναμαι αὐτῷ συγχωρεῖν, εἰ μή πού γε ὁ θεοῦ τάξιν ἔχων, ὁ ἱερεύς. ἐὰν δὲ εἰς ἐμὲ ἁμάρτῃ, εἶτα ἀφήσω αὐτῷ, ἔσται ἀφειμένος, κἂν ἰδιώτης εἰμὶ ἐγὼ καὶ οὐχὶ ἱερεύς. τὸ δὲ ἕως ἑβδομηκοντάκις ἑπτὰ εἶπεν, οὐχ ἵνα ἀριθμῷ περικλείσῃ τὴν συγχώρησιν, ἄλογον γάρ ἐστι καθῆσθαί τινα ἀριθμοῦντα ἕως οὗ ποσωθῶσι τετρακόσια ἐνενήκοντα. τοσαῦτα γὰρ τὰ ἑβδομηκοντάκις ἑπτὰ, ἀλλὰ τὸ ἄπειρον ἐνταῦθα σημαίνει. ὡς ἂν εἰ ἔλεγεν. ὁσάκις ἂν πταίσας μετανοῇ, συγχώρει αὐτῷ. τοῦτο γὰρ καὶ διὰ τῆς ἑξῆς παραβολῆς λέγει, ὅτι δεῖ ἡμᾶς συμπαθεῖς εἶναι.

» Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν, ἀνθρώπῳ βασιλεῖ. ὃς ἠθέλησε συνά-
» ραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. Ἡ μὲν ἔννοια τῆς παραβολῆς, διδάσκει συγχωρεῖν τὰ εἰς ἡμᾶς παρὰ τῶν ὁμοδούλων ἁμαρτανόμενα. καὶ μάλιστα ἐὰν καὶ συγχωρήσεως ἐκεῖνοι χρήζοντες προσπίπτωσι. τὸ δὲ κατὰ μέρος ἐξηγεῖσθαι τὴν παραβολὴν, μόνου ἂν εἴη τοῦ νοῦν χριστοῦ ἔχοντος. πλὴν ἐπιβαλοῦμεν καὶ αὐτοί. βασιλεία, ὁ τοῦ θεοῦ λόγος. ἀλλ᾽ οὐ μικρῶν τινων βασιλεία, ἀλλ᾽ οὐρανῶν. ὡμοιώθη οὖν οὗτος ἀνθρώπῳ βασιλεῖ, σαρκωθεὶς δι᾽ ἡμᾶς καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. συναίρει δὲ λόγον μετὰ τῶν δούλων αὐτοῦ, ὡς ἀγαθὸς κρίνων αὐτοῖς. οὐ γὰρ ἀκρίτως κολάζει. ὠμότητος γὰρ τοῦτο.

» Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων.

» μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι καὶ τὴν γυ-
» ναῖκα αὐτοῦ καὶ τὰ τέκνα καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι· Μυρίων ταλάν-
των χρεωφειλέται ἡμεῖς, ὡς εὐεργετούμενοι μὲν καθ' ἑκάστην, μηδὲν δὲ ἀγαθὸν ἀντιδι-
δόντες τῷ θεῷ· μυρίων ταλάντων χρεωφειλέται, καὶ οἱ προστασίαν λαοῦ δεξάμενοι
καὶ ἀνθρώπων πολλῶν. ἕκαστος γὰρ ἄνθρωπος τάλαντον, κατὰ τὸν λέγοντα. μέγα ἄν-
θρωπος, εἶτα μὴ καλῶς κεχρημένοι τῇ ἀρχῇ· τὸ δὲ ἀπεμπράσκεσθαι τὸν χρεώστην σὺν γυ-
ναικὶ καὶ τοῖς αὐτοῦ τέκνοις, δηλοῖ τὴν ἀλλοτρίωσιν τὴν ἀπὸ τοῦ θεοῦ· ὁ γὰρ ἀπεμπρασκόμε-
νος, ἑτέρου δεσπότου γίνεται· μήποτε δὲ γυνὴ μὲν ἡ σάρξ, ὡς σύζυγος οὖσα τῆς ψυ-
χῆς. τέκνα δέ, αἱ πράξεις αἱ ἐνεργούμεναι κακῶς ὑπὸ τῆς ψυχῆς καὶ τοῦ σώματος·
κελεύει οὖν τὴν σάρκα δοθῆναι τῷ σατανᾷ εἰς ὄλεθρον. τουτέστι νόσοις ἢ πάθει δαίμο-
νος παραδοθῆναι· ἀλλὰ καὶ τὰ τέκνα, λέγω δὴ τὰς ἐνεργείας τῶν κακῶν, στρεβλω-
θῆναι· οἷον, ἔστι τινὸς χεὶρ κλέπτουσα, ταύτην ὁ θεὸς ξηραίνει ἢ στραγαλίζει διά τινος
δαίμονος· ἰδοὺ οὖν ἡ γυνὴ ἡ σάρξ, καὶ τὰ τέκνα, ἤτοι ἡ ἐνέργεια τοῦ κακοῦ, παρεδόθησαν
τῇ κακώσει ἵνα τὸ πνεῦμα σωθῇ· οὐκ ἔτι γὰρ ἐνεργήσει κλεπτικῶς ἐκεῖνος ὁ ἄνθρωπος·
» Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ, λέγων. κύριε μακροθύμησον ἐπ' ἐμοί, καὶ
» πάντα σοι ἀποδώσω· σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτόν.
» καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ· Ἴδε τὴν τῆς μετανοίας ἰσχὺν, καὶ τὴν φιλανθρω-
πίαν τοῦ κυρίου. ἡ μὲν γὰρ μετάνοια, ἐποίησε τὸν δοῦλον πεσεῖν ἀπὸ τῆς κακίας. ὁ γὰρ
ἱστάμενος βεβαίως ἐν τῇ κακίᾳ, οὐ συγχωρητέος. ἡ δὲ φιλανθρωπία τοῦ θεοῦ, συνεχώ-
ρησε παντελῶς τὸ δάνειον. καίτοιγε ὁ δοῦλος οὐ συγχώρησιν παντελῆ ἐζήτει, ἀλλὰ
προθεσμίαν· μάνθανε τοίνυν ὅτι ὁ θεὸς καὶ πλείονα δίδωσιν ὧν αἰτούμεθα. ἐπεὶ το-
σαύτη ἐστὶν ἡ φιλανθρωπία αὐτοῦ, ὥστε καὶ ἐκεῖνο τὸ δοκοῦν σκληρὸν, τὸ προστάξαι
πωληθῆναι αὐτὸν, οὐκ ἀπὸ σκληρότητος εἶπεν. ἀλλ' ἵνα καταπλήξῃ τὸν δοῦλον, καὶ
πείσῃ αὐτὸν πρὸς ἱκετείαν καὶ παράκλησιν ἀποβλέψαι·
» Ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ ὃς ὤφειλεν αὐτῷ
» ἑκατὸν δηνάρια. καὶ κρατήσας αὐτὸν ἔπνιγε λέγων. ἀπόδος μοι εἴ τι ὀφείλεις· πε-
» σὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν, λέγων. μακροθύμη-
» σον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω. ὁ δὲ οὐκ ἤθελεν. ἀλλ' ἀπελθὼν ἔβαλεν αὐτὸν
» εἰς φυλακὴν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον· Ἐξελθὼν ὁ συγχωρηθεὶς, οὕτω πνίγει
τὸν σύνδουλον· οὐδεὶς γὰρ ἐν τῷ θεῷ μένων, ἀσυμπαθής. ἀλλ' ὁ ἐξελθὼν ἐκ τοῦ θεοῦ, καὶ
ἀλλότριος ἐκείνου ὤν· τοσαύτη δὲ ἡ ἀπανθρωπία, ὥστε τὰ μείζω συγχωρηθέντα, τά-
λαντα γὰρ μυρία, ἐπὶ τοῖς ἐλάττοσιν, ἑκατὸν γὰρ δηνάρια, μὴ συγγνωμονῆσαι ὅλως, μὴ
δὲ ἀναβολὴν δοῦναι. καίτοιγε ὁ σύνδουλος τὰ αὐτὰ ῥήματα λέγει, ἀναμιμνήσκων
αὐτὸν δι' ὧν αὐτὸς ἐσώθη· μακροθύμησον γάρ φησιν ἐπ' ἐμοί, καὶ ἀποδώσω σοι·
» Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα. καὶ ἐλθόντες
» διεσάφησαν τῷ κυρίῳ ἑαυτῶν πάντα τὰ γενόμενα· Οἱ ἄγγελοι μισοπόνηροι ἐντεῦ-
θεν καὶ φιλάγαθοι φαίνονται· οὗτοι γὰρ οἱ σύνδουλοι· οὐχ ὡς ἀγνοοῦντι δὲ τῷ κυρίῳ
ταῦτα λέγουσιν. ἀλλ' ἵνα σὺ μάθῃς ὅτι ἄγγελοι εἰσὶν ἔφοροι ἡμῶν, καὶ ὅτι ἀγανακτοῦσι
κατὰ τῶν ἀπανθρώπων·
» Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ, λέγει αὐτῷ. δοῦλε πονηρέ, πᾶσαν
» τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι. ἐπεὶ παρεκάλεσάς με, οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύν-
» δουλόν σου ὡς καὶ ἐγώ σε ἠλέησα; καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ, παρέδωκεν αὐτὸν τοῖς
» βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ· Κρίνεται διὰ φιλανθρωπίαν
ὁ δεσπότης πρὸς τὸν δοῦλον, ἵνα δείξῃ ὅτι οὐκ αὐτὸς, ἀλλ' ἡ ὠμότης τοῦ δούλου ἀνα-

τρέπει τὴν

τρέπει τὴν δωρεὰν καὶ ἡ ἀγνωμοσύνη· τίσι δὲ βασανισταῖς παραδίδωσι· τιμωρητικαῖς
τάχα δυνάμεσιν, ὥστε αἰωνίως κολάζεσθαι· τὸ γὰρ ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον,
τοῦτο σημαίνει. ὅτι, ἕως τότε κολαζέσθω, ἕως οὗ ἀποδῷ· ἀλλὰ μὴν οὐδέποτε ἀποδώ-
σει τὸ ὀφειλόμενον, ἤτοι τὴν ὀφειλομένην καὶ ἀξίαν τιμωρίαν· ἀεὶ ἄρα κολασθήσεται·
» Οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελ-
» φῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν· Οὐκ εἶπεν ὁ πατὴρ
ὑμῶν, ἀλλ᾽ ὁ πατήρ μου. ἀνάξιοι γάρ εἰσιν οἱ τοιοῦτοι πατέρα ἔχειν τὸν θεόν· ἀπὸ δὲ τῆς
καρδίας βούλεται ἀφιέναι, ἀλλ᾽ οὐκ ἀπὸ χειλέων μόνον· νόησον δὲ καὶ πόσον κακὸν
ἡ μνησικακία, ὅταν τὴν δωρεὰν τοῦ θεοῦ ἀνέτρεψε· καίτοι γε ἀμεταμέλητα τὰ χα-
ρίσματα τοῦ θεοῦ. ἀλλ᾽ ὅμως ἀνετράπησαν·

Κεφάλαιον Ἐννεακαιδέκατον·

» Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλι-
» λαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου· καὶ ἠκολούθησαν
» αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ· Πάλιν τῇ Ἰουδαίᾳ ἐπιδημεῖ,
ἵνα μὴ ἔχωσι προφασίζεσθαι οἱ ἀπιστοῦντες τῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι οὐ συνεχέστε-
ρον ἡμῖν ἐπεχωρίαζεν, ἀλλὰ τοῖς Γαλιλαίοις· πάλιν οὖν μετὰ τὴν διδασκαλίαν καὶ
τὸ συντελεσθῆναι τοὺς λόγους, ἀκολουθοῦσι τὰ θαύματα· δεῖ γὰρ ἡμᾶς καὶ διδάσκειν,
ἀλλὰ καὶ πράττειν· ἀλλ᾽ οἱ ἀνόητοι Φαρισαῖοι τὰ θαύματα ἰδόντες, δέον πιστεῦσαι,
οἱ δὲ πειράζουσιν· ἄκουε γάρ·
» Καὶ προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι πειράζοντες αὐτόν, καὶ λέγοντες εἰ ἔξεστιν ἀν-
» θρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν· ὁ δέ, ἀποκριθεὶς εἶπεν αὐ-
» τοῖς. οὐκ ἀνέγνωτε ὅτι ὁ ποιήσας ἀπ᾽ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς; καὶ Γενέ· β΄·
» εἶπεν. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα. καὶ
» προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· ὥστε οὐκ Πρὸς Κορ· α΄
» ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία· ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· κεφ· ζ΄·
Ὢ τῆς ἀνοίας. ᾤοντο ἐπιστομίσειν διὰ τῶν ἐρωτημάτων τὸν Χριστόν· ἐὰν γὰρ εἴπῃ ὅτι
ἔξεστι κατὰ πᾶσαν αἰτίαν ἀπολύειν τὴν γυναῖκα, ἕξουσι λέγειν αὐτῷ. πῶς οὖν εἶπας
ὅτι, μὴ ἀπολυέτω τις εἰ μὴ τὴν μοιχαλίδα μόνον· εἰ δὲ εἴπῃ ὅτι οὐκ ἔξεστιν ἀπολύειν
τὴν γυναῖκα, διαβαλοῦσιν αὐτὸν ὡς ἀντινομοθετοῦντα τῷ Μωσεῖ· ἐκεῖνος γὰρ ἐκέλευ-
σεν ἐκβάλλειν τὴν μισηθεῖσαν, καὶ χωρὶς εὐλόγου αἰτίας· τί οὖν ὁ Χριστός· δείκνυσιν ὅτι Δευτε· ιζ΄·
τοῦ πλάσαντος ἡμᾶς ἐξ ἀρχῆς ἔργον ἐστὶ καὶ νομοθεσία, ἡ μονογαμία· ἐξ ἀρχῆς γὰρ
φησὶν ἕνα συνέζευξεν ὁ θεὸς μιᾷ· ὥστε οὐ δεῖ ἕνα ἄνδρα πολλαῖς συνάπτεσθαι, οὐ-
δὲ μίαν πολλοῖς. ἀλλ᾽ ὡς ἐξ ἀρχῆς συνεζύγησαν μένειν, μὴ διασπῶντας τὴν συνοίκη-
σιν ἀλόγως· οὐκ εἶπε δὲ ὅτι, ἐγὼ ἐποίησα ἄρσεν καὶ θῆλυ. ἵνα μὴ πλήξῃ αὐτούς.
ἀλλ᾽ ἀορίστως, ὁ ποιήσας· οὕτως οὖν φησι περισπούδαστόν ἐστι τῷ θεῷ τὸ τῆς συζυγίας
ἀγαθόν, ὥστε καὶ τοὺς γονεῖς συνεχώρησεν ἀφιέναι, καὶ κολλᾶσθαι τοῖς ἀνδράσιν·
πῶς δὲ ἐν μὲν τῇ γενέσει γέγραπται ὅτι ὁ Ἀδὰμ εἶπε τό, ἀντὶ τούτου καταλείψει Γενε· β΄·
ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, ἐνταῦθα δὲ φησὶν ὁ Χριστὸς ὅτι ὁ θεὸς
εἶπεν. ἕνεκεν τούτου καταλείψει. καὶ τὰ ἑξῆς· λέγομεν οὖν ὅτι καὶ ὃ εἶπεν ὁ Ἀδάμ,
ἐκ θεοῦ εἶπεν· ὥστε ὁ τοῦ Ἀδὰμ λόγος, τοῦ θεοῦ ἐστιν· ἐπεὶ τοίνυν μία σὰρξ ἐγένοντο,
καὶ διὰ τὴν μίξιν καὶ τὴν φυσικὴν στοργὴν κολλώμενοι, ὥσπερ ἐναγές ἐστι τὸ τὴν οἰ-
κείαν σάρκα τέμνειν, οὕτω καὶ τὸ διασπᾶν τοὺς συζύγους· οὐκ εἶπε δὲ μὴ χωριζέτω
Μωσῆς, ἵνα μὴ ταράξῃ αὐτούς. ἀλλ᾽ ἄνθρωπος ἁπλῶς, δεικνύων τὸ μέσον τοῦ συζεύ-
ξαντος θεοῦ καὶ τοῦ διαλύοντος ἀνθρώπου·

Δευτ. κδ΄. » Λέγουσιν αὐτῷ. τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι
» αὐτήν. λέγει αὐτοῖς. ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀ-
» πολῦσαι τὰς γυναῖκας ὑμῶν. ἀπ᾽ ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. λέγω δὲ ὑμῖν ὅτι ὃς
» ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται. καὶ
» ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται. Οἱ Φαρισαῖοι ἰδόντες ὅτι ὁ κύριος ἐπεστόμι-
σεν αὐτούς, ἠναγκάσθησαν λοιπὸν, καὶ εἰς μέσον ἄγουσι τὸν Μωϋσῆν ἀντινομοθετοῦντα
τῷ Χριστῷ. καὶ φασί. πῶς οὖν Μωσῆς ἐνετείλατο βιβλίον ἀποστασίου δοῦναι, καὶ ἀπο-
λύειν. ὁ οὖν κύριος περιτρέπων τὸ πᾶν τῆς κατηγορίας εἰς τὴν ἐκείνων κεφαλὴν, ὑπὲρ
Μωσέως ἀπολογεῖται, καὶ φησίν. οὐκ ἐναντία τῷ θεῷ ὁ Μωσῆς νομοθετῶν τοῦτο φησίν,
ἀλλὰ πρὸς τὴν ὑμετέραν μοχθηρίαν τοῦτο ἐνομοθέτησεν. ἵνα μὴ δι᾽ ἀκολασίαν θέλον-
τες ἑτέραις συνεῖναι, ἀνέλητε τὰς προτέρας γυναῖκας. ἀπηνεῖς γὰρ ὄντες, ἐφόνευον
ἂν τὰς γυναῖκας εἰ ἠναγκάζοντο κατέχειν αὐτάς. νῦν δὲ, βιβλίον ἀποστασίου προσέτα-
ξε διδόναι ταῖς μισουμέναις παρὰ τῶν ἀνδρῶν. ἐγὼ δὲ λέγω ὑμῖν φησὶν, ὅτι τὴν πορ-
νευθεῖσαν γυναῖκα, καλὸν ἐκβάλλειν ὡς μοιχαλίδα. ἐὰν δὲ τὴν μὴ πορνευθεῖσαν ἐκ-
βάλῃ τις, παραίτιος αὐτῇ γίνεται μοιχείας. νόει δὲ καὶ τοῦτο, ὅτι ὁ κολλώμενος τῷ κυ-
ρίῳ ἓν πνεῦμά ἐστι, καὶ συζυγία γίνεται τῷ πιστῷ πρὸς Χριστόν. πάντες γὰρ σύσσωμοι
γεγόναμεν αὐτῷ, καὶ μέλη ἐκ μέρους Χριστοῦ ἐσμέν. καλῶς οὖν οὐ δύναταί τις χωρί-
Πρὸς Ῥωμ. η΄. σαι τὴν τοιαύτην συζυγίαν, κατὰ τὸν τοῦ Παύλου λόγον, λέγοντος. τίς ἡμᾶς χωρίσει
ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. ἃ οὖν ὁ θεὸς συνέζευξεν, οὔτε ἄνθρωπος οὔτε τις ἑτέρα
κτίσις, οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε ἐξουσίαι, ὡς ὁ Παῦλος φησὶ, χωρίσαι δύνανται.
» Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυ-
» ναικὸς, οὐ συμφέρει γαμῆσαι. Θορυβοῦνται οἱ μαθηταὶ, καὶ φασὶν ὅτι, εἰ διὰ τοῦτο
συνήφθησαν ἵνα ἓν ὦσι καὶ ἀδιάσπαστοι μένωσι παρ᾽ ὅλον τὸν βίον, ὥστε κἂν μοχθηρὰ
ἄλλως ᾖ ἡ γυνὴ, μὴ τολμᾶν ἐκβάλλειν αὐτὴν, οὐ συμφέρει γαμῆσαι. κουφότερον γὰρ
μὴ γαμεῖν, ἀλλὰ μάχεσθαι καὶ παλαίειν φυσικαῖς ἐπιθυμίαις, ἢ πονηρᾶς γυναι-
κὸς ἀνέχεσθαι. αἰτίαν γὰρ ἀνθρώπου μετὰ τῆς γυναικὸς, τὴν ἀδιάσπαστον ἕνωσιν λέ-
γει. τινὲς δὲ καὶ οὕτω νοοῦσιν, ὅτι εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου τουτέστιν εἰ αἰ-
τίαν, ἤγουν μομφὴν καὶ καταιτίασιν μέλλει ἔχειν ὁ ἀνὴρ ὡς ἐκβάλλων τὴν γυναῖκα
παρανόμως, οὐ συμφέρει γαμῆσαι.
» Ὁ δὲ εἶπεν αὐτοῖς. οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ᾽ οἷς δέδοται.
Ἐπειδὴ εἶπον οἱ μαθηταὶ ὅτι κρεῖττόν ἐστι τὸ μὴ εἰς γάμον ἐλθεῖν, φησὶν ὁ κύριος ὅτι μέ-
γα μὲν τὸ τῆς παρθενίας χρῆμα, ἀλλ᾽ οὐ πᾶσι κατορθωτόν. ἀλλ᾽ ἐκείνοις μόνοις οἷς συ-
νεργεῖ ὁ θεός. τὸ γὰρ δέδοται ἐνταῦθα κεῖται ἀντὶ τοῦ οἷς συνεργεῖ ὁ θεός. ἐκείνοις δὲ
δίδοται, τοῖς αἰτοῦσιν. αἰτεῖτε γάρ φησι, καὶ δοθήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει.
» Εἰσὶ γὰρ εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως. καὶ εἰσὶν εὐνοῦχοι
» οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων. καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυ-
» τοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δυνάμενος χωρεῖν, χωρείτω. Ὀλίγων φη-
σὶν ἐστὶ τὸ κατόρθωμα τοῦτο τῆς παρθενίας. εἰσὶ γὰρ εὐνοῦχοι τινὲς ἐκ κοιλίας μητρὸς αὐ-
τῶν. τουτέστιν, εἰσί τινες ἐκ φυσικῆς κράσεως ἀκίνητοι μένοντες πρὸς τὰς μίξεις. οἳ καὶ
ἀκερδῶς σωφρονοῦσιν. εἰσὶ καὶ οἱ εὐνουχιζόμενοι ὑπὸ ἀνθρώπων. ἑαυτοὺς δὲ εὐνουχί-
ζουσι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, οὐχ οἱ ἐκτέμνοντες ἑαυτοὺς, ἐπικατάρατον γὰρ
τοῦτο, ἀλλ᾽ οἱ ἐγκρατευόμενοι. νόει δὲ καὶ οὕτως. ἔστιν εὐνοῦχος ἀπὸ φύσεως, ὁ διὰ τὴν
φυσικὴν κρᾶσιν μὴ εὐκίνητος εἰς ἀφροδίσια. ὑπὸ δὲ ἀνθρώπων εὐνουχίζεται, ὁ ἐκ
διδασκαλίας ἀνθρωπίνης ἐκτεμὼν τὴν τῆς σαρκικῆς ἐπιθυμίας πύρωσιν. ἑαυτὸν

δὲ εὐνουχίζει, ὁ μὴ ὑπ᾽ ἄλλου ἀλλ᾽ ὑφ᾽ ἑαυτοῦ διδαχθείς, καὶ αὐτομαθῶς πρὸς σωφρο
σύνην ἀποκλίνας· οὗτος οὖν καὶ ἄριστός ἐστιν, ὁ μὴ ἄλλῳ ἀλλ᾽ ἑαυτῷ ὁδηγηθεὶς πρὸς τὴν
βασιλείαν τῶν οὐρανῶν· προαιρετικῶς δὲ θέλων ἡμᾶς ἐνεργεῖσθαι τὴν ἀρετήν, φη-
σίν. ὁ δυνάμενος χωρεῖν, χωρείτω· οὐ γὰρ ἀναγκάζει παρθενεύειν. οὐ δὲ τὸν γάμον κα-
ταλύει. ἀλλὰ τὴν παρθενίαν προτίθησιν·

» Τότε προσηνέχθη αὐτῷ παιδία ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται·
» οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς· ὁ δὲ Ἰησοῦς εἶπεν. ἄφετε τὰ παιδία, καὶ μὴ κω-
» λύετε αὐτὰ ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν·

Προσέφερον μητέρες τὰ τέκνα, ἵνα εὐλογηθῶσι διὰ τῆς ἐπαφῆς τῶν χειρῶν· ἀκόσμως
δὲ καὶ τεθορυβημένως προσήρχοντο. καὶ διὰ τοῦτο κωλύουσιν οἱ μαθηταί. ἅμα καὶ
οἰόμενοι ὅτι ἐλαττοῦται τὸ ἀξίωμα τοῦ διδασκάλου, ἐκ τοῦ τὰ παιδία προσφέρεσθαι·
ὁ γοῦν Χριστὸς δεικνύων ὅτι τὸ ἄτυφον μᾶλλον ἀποδέχεται, φησίν. ἄφετε τὰ παιδία.
τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· οὐκ εἶπε τούτων, ἀλλὰ τῶν τοιούτων.
τουτέστι τῶν τὴν ἁπλότητα ἐχόντων. τῶν ἀκάκων. τῶν ἀπονήρων· κἂν διδάσκαλός τις
ᾖ, καὶ προσέρχωνταί τινες αὐτῷ παιδικὰ ἐρωτήματα ἐρωτῶντες, προσδεχέσθω
τούτους, καὶ μὴ κωλυέτω·

» Καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας, ἐπορεύθη ἐκεῖθεν· καὶ ἰδοὺ εἷς προσελθὼν, εἶπεν
» αὐτῷ. διδάσκαλε ἀγαθέ, τί ἀγαθὸν ποιήσω ἵνα ἔχω ζωὴν αἰώνιον· ὁ δὲ εἶπεν αὐτῷ.
» τί με λέγεις ἀγαθόν. οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός· Οὐχ ὡς πειράζων προσῆλθεν
οὗτος. ἀλλ᾽ ὡς θέλων μαθεῖν, καὶ διψῶν τῆς αἰωνίου ζωῆς· προσῆλθε δὲ τῷ Χριστῷ ὡς
ἀνθρώπῳ ψιλῷ. καὶ διὰ τοῦτο φησὶν ὁ κύριος. τί με λέγεις ἀγαθόν. οὐδεὶς ἀγαθὸς εἰ
μὴ εἷς ὁ θεός· τουτέστιν, ἐὰν ὡς ἕνα τῶν διδασκάλων με λέγῃς εἶναι ἀγαθόν, κακῶς λέ
γεις. οὐδεὶς γὰρ ἀνθρώπων κυρίως ἀγαθός. ἅμα μὲν ὅτι καὶ εὐμετάβολοί ἐσμεν ἀπὸ
τοῦ ἀγαθοῦ ἐκπίπτοντες. ἅμα δὲ ὅτι καὶ συγκρινομένη πρὸς τὴν τοῦ θεοῦ ἀγαθότητα ἡ
ἀνθρωπίνη, πονηρία νομίζεται·

» Εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωήν, τήρησον τὰς ἐντολάς· λέγει αὐτῷ. ποίας· ὁ δὲ Ἐξό· κ΄· κ(αὶ)
» Ἰησοῦς εἶπε. τό, οὐ φονεύσεις. οὐ μοιχεύσεις. οὐ κλέψεις. οὐ ψευδομαρτυρήσεις. τίμα Λευι· ιθ΄·
» τὸν πατέρα σου καὶ τὴν μητέρα. καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν·

Ὁ κύριος ἐπὶ τὰς νομικὰς ἐντολὰς παραπέμπει τὸν ἐρωτήσαντα, ἵνα μὴ ἔχωσι λέ-
γειν οἱ Ἰουδαῖοι ὅτι τοῦ νόμου καταφρονεῖ· τί οὖν·

» Λέγει αὐτῷ ὁ νεανίσκος. πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου. τί ἔτι ὑστερῶ·

Τινὲς ὡς κομπαστὴν καὶ ἀλαζόνα διαβάλλουσι τοῦτον· πῶς γὰρ κατώρθωσε τὸ ἀγα-
πᾶν τὸν πλησίον, ἔγε πλούσιος ἦν· οὐδεὶς γὰρ ἀγαπῶν τὸν πλησίον ὡς ἑαυτόν, πλου-
σιώτερος ἐστὶ τοῦ πλησίον· πᾶς δὲ ἄνθρωπος, πλησίον· τινὲς δὲ οὕτω νοοῦσι τοῦτο· ὑπό
θες φησίν, ὅτι ταῦτα πάντα ἐφύλαξα. τί μοι ἔτι λείπει·

» Ἔφη αὐτῷ ὁ Ἰησοῦς. εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ
» δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι· ἀκούσας δὲ ὁ νεα
» νίσκος τὸν λόγον, ἀπῆλθε λυπούμενος. ἦν γὰρ ἔχων κτήματα πολλά· Ὅσα μὲν φη-
σιν εἶπες κατορθῶσαι, ταῦτα ἰουδαϊκῶς κατώρθωσας· εἰ δὲ θέλεις τέλειος, τουτέστιν
ἐμὸς εἶναι μαθητὴς καὶ Χριστιανός, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς αὐτί-
κα ὁμοῦ πάντα. μὴ παρακρατῶν τινα, ἵνα ἀδιάλειπτον ποιῇς τὴν ἐλεημοσύνην·
οὐ γὰρ εἶπε δίδου πτωχοῖς, ἀλλὰ δὸς ἅπαξ καὶ γυμνώθητι· εἶτα ἐπεὶ εἰσί τινες ἐλεοῦν-
τες μέν, πάσης δὲ ῥυπαρίας ἀνάμεστον βίον ἔχοντες, φησί. καὶ δεῦρο ἀκολούθει μοι·
τουτέστι, καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν ἔχε· ὁ μέντοι νεανίσκος ἐλυπήθη· ἐπεθύμει

μὲν γὰρ, καὶ βαθεῖα καὶ πίων ἦν ἡ γῆ τῆς καρδίας αὐτοῦ, ἀλλ' αἱ ἄκανθαι τοῦ πλού-
του συνέπνιγον. ἦν γάρ φησιν ἔχων κτήματα πολλά. ὁ μὲν γὰρ ὀλίγα ἔχων, οὐχ ὁ-
μοίως κατέχεται τούτοις. ἐν γὰρ τοῖς πολλοῖς τυραννικώτερος ὁ δεσμός. ἐπεὶ δὲ
πρὸς πλούσιον διελέγετο ὁ κύριος, φησὶν ὅτι, ἕξεις ἐν οὐρανοῖς θησαυρὸν, ἐπεὶ φιλο-
χρήματος ἦ.

» Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ. ἀμὴν λέγω ὑμῖν ὅτι δυσκόλως πλούσιος
» εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι
» κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰ-
σελθεῖν. Ἕως ἂν ᾖ πλούσιος, καὶ αὐτὸς μὲν ἔχῃ περιττὰ, ἄλλοι δὲ οὐδὲ τὰ ἀναγ-
καῖα, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐπειδὰν μέν τοι ἀποτινάξηται
πάντα, τότε οὐ πλούσιος. καὶ λοιπὸν εἰσελεύσεται. ἀδύνατον γὰρ πολλὰ ἔχοντα εἰ-
σελθεῖν, ὥσπερ καὶ τὴν κάμηλον ἀδύνατον διελθεῖν διὰ τρυπήματος βελόνης. ἴδε οὖν
πῶς ἀνωτέρω μὲν δύσκολον εἶπε τὸ εἰσελθεῖν. ἐνταῦθα δὲ ἀδύνατον παντελῶς. τι-
νὲς δὲ κάμηλον, οὐ τὸ ζῶον φασὶν, ἀλλὰ τὸ παχὺ σχοινίον. ᾧ χρῶνται οἱ ναῦται πρὸς
τὸ ῥίπτειν τὰς ἀγκύρας.

» Ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἐξεπλήσσοντο σφόδρα, λέγοντες. τίς ἄρα δύ-
» ναται σωθῆναι. ἐμβλέψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. παρὰ ἀνθρώποις τοῦτο ἀδύνα-
» τόν ἐστι. παρὰ δὲ θεῷ πάντα δυνατά. Οἱ μαθηταὶ φιλάνθρωποι ὄντες, ἐρωτῶ-
σιν οὐχ ὑπὲρ ἑαυτῶν, πένητες γὰρ ἦσαν, ἀλλ' ὑπὲρ πάντων ἀνθρώπων. ὁ οὖν κύριος δι-
δάσκει μὴ τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ συμμετρεῖν τὴν σωτηρίαν, ἀλλὰ τῇ τοῦ θεοῦ δυνά-
μει. ἐὰν γάρ τις ἄρξηται μὴ πλεονεκτεῖν, προκόψει καὶ εἰς τὸ τὰ περιττὰ ἀπαντλεῖν.
ἀπὸ δὲ τούτου, καὶ εἰς τὸ τὰ ἀναγκαῖα κενοῦν προβήσεται. καὶ οὕτως εὐοδωθήσε-
ται συμμαχίᾳ θεοῦ.

» Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ. ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθή-
» σαμέν σοι. τί ἄρα ἔσται ἡμῖν. Εἰ καὶ δοκεῖ ὁ Πέτρος μὴ ἀφεῖναί τινα μεγάλα ὡς ὢν
πτωχὸς, ἀλλ' οὖν γίνωσκε ὅτι πάνυ τι πολλὰ ἀφῆκε καὶ αὐτός. καὶ γὰρ σχέσιν πλείονα
ἔχομεν οἱ ἄνθρωποι ἐν τοῖς ὀλίγοις. ἀλλὰ καὶ πᾶσαν κοσμικὴν ἡδυπάθειαν ὑπερεῖ-
δεν ὁ Πέτρος, καὶ τὴν πρὸς τοὺς γονεῖς φιλοσαρκίαν. ταῦτα γὰρ τὰ πάθη, οὐ μόνον
κατὰ πλουσίων, ἀλλὰ καὶ κατὰ πενήτων ἐπιστρατεύει. τί οὖν ὁ κύριος;

» Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν
» τῇ παλιγγενεσίᾳ ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθήσεσθε
» καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνοις, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.
Ἆρα καθεσθήσονται; οὐχί. ἀλλὰ τὴν ὑπερβάλλουσαν τιμὴν διὰ τῆς καθέδρας ἐδή-
λωσε. καὶ ὁ Ἰούδας οὖν καθεσθήσεται; οὐχί. οἱ ἀκολουθήσαντες γὰρ εἶπεν. τουτέστιν οἱ
ἄχρι τέλους. ἐκεῖνος δὲ οὐκ ἄχρι τέλους. ἄλλως τε, πολλάκις ὁ θεὸς ὑπισχνεῖται ἀ-
γαθὰ τισὶν ἀξίοις οὖσιν. ἐπὰν δὲ μεταβληθέντες καὶ ἀνάξιοι γένωνται, ἀφαιρεῖται αὐ-
τά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν σκυθρωποτέρων, πολλάκις ἀπειλεῖ καὶ οὐκ ἐπάγει, με-
ταβληθέντων ἡμῶν. παλιγγενεσίαν δὲ, τὴν ἀνάστασιν νόει.

» Καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς ἢ ἀδελφὰς, ἢ πατέρα ἢ μητέρα, ἢ γυναῖ-
» κα ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται. καὶ ζωὴν
» αἰώνιον κληρονομήσει. Ἵνα μή τις ὑπολάβῃ ἐπὶ μόνων τῶν μαθητῶν ἁρμόζειν τὸ
εἰρημένον, ἐπλάτυνε τὴν ὑπόσχεσιν ἐπὶ πάντας τοὺς ποιοῦντας τὰ ὅμοια. ἕξουσι γὰρ
ἀντὶ μὲν τῶν κατὰ σάρκα συγγενῶν, τὴν πρὸς θεὸν οἰκειότητα καὶ τὴν ἀδελφότητα.
ἀντὶ δὲ τῶν ἀγρῶν, τὸν παράδεισον. καὶ ἀντὶ τῶν ἐκ λίθων οἴκων, τὴν ἄνω Ἱερουσαλήμ.

ἀντὶ μητρὸς, τὰς ἐν ἐκκλησίᾳ πρεσβύτιδας. ἀντὶ παιδὸς, τοὺς πρεσβυτέρους. ἀντὶ γυναικὸς, πάσας τὰς πιστὰς γυναῖκας. οὐ γάμῳ, ἄπαγε. ἀλλὰ διαθέσει καὶ σχέσει πνευματικῇ καὶ τῇ πρὸς αὐτὰς φιλανθρώπῳ κηδεμονίᾳ. οὐ κελεύει δὲ ὁ κύριος χωρίζεσθαι ἁπλῶς ἀπὸ τῶν οἰκείων, ἀλλ' ὅταν ἐμποδίζωσι πρὸς εὐσέβειαν. ὥσπερ καὶ ψυχῆς καὶ σώματος κελεύει καταφρονεῖν, οὐχ ὥστε ἀποκτιννύειν ἑαυτούς. ὅρα δὲ ὅτι ἀγαθὸς ὢν ὁ θεὸς, οὐ μόνα ταῦτα δίδωσιν, ἀλλὰ καὶ ζωὴν προστίθησιν αἰώνιον. σπούδασον οὖν καὶ σὺ πωλῆσαι τὰ ὑπάρχοντά σοι, καὶ δοῦναι τοῖς πτωχοῖς. ὑπάρχοντα δέ εἰσι, τῷ μὲν θυμώδει, ὁ θυμός. τῷ δὲ μοιχῷ, ἡ μοιχευτικὴ διάθεσις. τῷ δὲ μνησικάκῳ, ἡ μνησικακία. πώλησον οὖν ταῦτα, καὶ δὸς τοῖς πτωχοῖς δαίμοσι καὶ παντὸς ἀγαθοῦ ἐστερημένοις. ἀντίστρεψον τὰ πάθη τοῖς τῶν παθῶν δημιουργοῖς, καὶ τότε ἕξεις τὸν θησαυρὸν, τουτέστι τὸν χριστὸν, ἐν τῷ οὐρανῷ σου. τουτέστιν ἐν τῷ ὑψηλῷ σου νοΐ. οὐρανὸν γὰρ ἔχει ἐν ἑαυτῷ, ὁ γενόμενος οἷος ὁ ἐπουράνιος.

» Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι. καὶ ἔσχατοι, πρῶτοι. Τοὺς Ἰουδαίους ἐνταῦθα αἰνίττεται καὶ τοὺς ἐθνικούς. οἱ μὲν γὰρ, πρῶτοι ὄντες, ἔσχατοι ἐγένοντο. οἱ δὲ ἐθνικοὶ ἔσχατοι ὄντες, πρῶτοι κατέστησαν. καὶ ἵνα σαφῶς μάθῃς τὸ λεγόμενον, ἐπισυνάπτει καὶ τὴν ἑπομένην παραβολήν.

Κεφάλαιον Εἰκοστόν.

» Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, ἀνθρώπῳ οἰκοδεσπότῃ. ὅστις ἐξῆλθεν ἅ-
» μα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. καὶ συμφωνήσας μετὰ τῶν
» ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. καὶ
» ἐξελθὼν περὶ τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς. καὶ ἐκείνοις εἶ-
» πεν. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. οἱ δὲ ἀπῆλ-
» θον. πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐνάτην ὥραν, ἐποίησεν ὡσαύτως. περὶ δὲ τὴν
» ἐνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀργούς. καὶ λέγει αὐτοῖς. τί ὧδε ἑστή-
» κατε ὅλην τὴν ἡμέραν ἀργοί. λέγουσιν αὐτῷ. ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. λέγει αὐτοῖς.
» ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε. Ὁ χριστὸς ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. ὃς ὁμοιοῦται ἀνθρώπῳ, καθὸ μορφὴν ἡμετέραν ἔλαβεν. οἰκοδεσπότης δὲ, ὡς δεσπόζων τοῦ οἴκου. τουτέστι τῆς ἐκκλησίας. οὗτος οὖν ὁ χριστὸς, ἐξῆλθεν ἐκ τῶν κόλπων τοῦ πατρὸς, καὶ μισθοῦται ἐργάτας εἰς τὸν ἀμπελῶνα. ἤτοι τὰς γραφὰς ἢ τὰς ἐντολάς. ἢ ἕκαστον μισθοῦται εἰς τὸ ἐργάζεσθαι τὸν ἀμπελῶνα. ἤτοι τὴν οἰκείαν ψυχήν. μισθοῦται δὲ τὸν μὲν, τὸ πρωΐ. τουτέστι κατὰ τὴν νεαρὰν ἡλικίαν. τὸν δὲ, κατὰ τὴν τρίτην ὥραν. τὴν μειρακιώδη ἡλικίαν. τοὺς δὲ, κατὰ τὴν ἕκτην καὶ ἐνάτην. ὅτε εἰκοσιπέμπτου εἴη τις ἐνιαυτοῦ, ἢ τριακοστοῦ, καὶ ἁπλῶς ἀνδρικῆς ἡλικίας. περὶ δὲ τὴν ἐνδεκάτην, τοὺς γέροντας. πολλοὶ γὰρ καὶ γέροντες ἐπίστευσαν. ἢ καὶ ἄλλως. ἡμέρα λέγεται ὁ παρὼν αἰών. ἐν αὐτῷ γὰρ ἐργαζόμεθα ὡς ἐν ἡμέρᾳ. ἐκάλεσεν οὖν ὁ κύριος τῇ πρώτῃ ὥρᾳ, τοὺς περὶ τὸν Ἐνὼχ καὶ τὸν Νῶε. τῇ τρίτῃ, τοὺς περὶ τὸν Ἀβραάμ. τῇ ἕκτῃ, τοὺς περὶ τὸν Μωσέα. τῇ ἐνάτῃ, τοὺς προφήτας. τῇ ἐνδεκάτῃ ἤτοι τῷ τέλει τῶν αἰώνων, τοὺς ἐθνικούς. οἳ ἀργοὶ ἦσαν, πάσης ἀγαθοεργίας. οὐδεὶς γὰρ αὐτοὺς ἐμισθώσατο. ὅτι μὴ δὲ ἀπεστάλη προφήτης τις εἰς τὰ ἔθνη.

» Ὀψίας δὲ γενομένης, λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ. κάλεσον
» τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώ-
» των. καὶ ἐλθόντες οἱ περὶ τὴν ἐνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. ἐλθόντες δὲ οἱ
» πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται. καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. λα-
» βόντες δὲ, ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες ὅτι, οὗτοι οἱ ἔσχατοι μίαν ὥραν

» ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ
» τὸν καύσωνα; ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν. ἑταῖρε οὐκ ἀδικῶ σε. οὐχὶ δηναρίου συ
» νεφώνησάς μοι; ἆρον τὸ σὸν καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί·
» ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ
» ἀγαθός εἰμι· οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι. καὶ οἱ πρῶτοι, ἔσχατοι. πολλοὶ γάρ εἰ-
» σι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί· Ὀψία, ἡ συντέλεια· ἐν γοῦν τῇ συντελείᾳ, λαμβάνου
σι πάντες ἀνὰ δηνάριον. ὅ ἐστιν ἡ τοῦ ἁγίου πνεύματος χάρις, ἀναμορφοῦσα τὸν ἄν-
θρωπον εἰς τὸ κατ' εἰκόνα, καὶ ποιοῦσα θείας φύσεως κοινωνόν· πλέον δὲ ἐκοπίασαν οἱ
πρὸ τῆς τοῦ χριστοῦ ἐπιδημίας, καθ' ὃ οὔπω ἦν τότε ὁ θάνατος λυθεὶς, οὐδὲ ὁ διάβολος
συνετρίβη. ἀλλ' ἔτι ἔζη ἡ ἁμαρτία· ἡμεῖς δὲ χάριτι χριστοῦ διὰ τοῦ βαπτίσματος δικαιω
θέντες, δύναμιν λαμβάνομεν εἰς τὸ νικῆσαι τὸν ἀντίπαλον ἡμῶν, ἤδη καταβληθέντα
καὶ θανατωθέντα ὑπὸ τοῦ χριστοῦ· ἀλλὰ καὶ κατὰ τὴν προτέραν ἑρμηνείαν, οἱ νεώτεροι
πιστεύσαντες, πλείονα κάματον ἔχουσιν ὑπὲρ τοὺς ἐν γήρᾳ προσελθόντας· ὁ μὲν γὰρ νέος,
τὸ βάρος τοῦ θυμοῦ καὶ τὸν καύσωνα τῆς ἐπιθυμίας βαστάζει, πολεμῶν τοῖς πάθε-
σιν· ὁ δὲ γέρων ἐν γαλήνῃ γίνεται· ἀλλ' ὅμως πάντες, μιᾶς δωρεᾶς τοῦ ἁγίου πνεύ-
ματος ἀξιοῦνται· διδάσκει οὖν ἡμᾶς ἡ παραβολὴ, ὅτι κἂν τῷ γήρᾳ ἔστι μεταγνῶναι καὶ
τῆς βασιλείας τυχεῖν. τοῦτο γὰρ ἡ ἑνδεκάτη ὥρα· οὐ φθονήσουσι δὲ οἱ ἅγιοι τοῖς τὰ ἴσα
λαβοῦσιν. ἄπαγε. ἀλλὰ τοῦτο δείκνυται ἐντεῦθεν, ὅτι τοσαῦτα καὶ τηλικαῦτά εἰσι τὰ
διδόμενα τοῖς δικαίοις ἀγαθὰ, ὥστε καὶ φθόνον κινῆσαι δύνανται·

» Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰ-
» δίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς. ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα. καὶ ὁ υἱὸς τοῦ
» ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι. καὶ κατακρινοῦσιν αὐ-
» τὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ
» σταυρῶσαι. καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται· τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν
» Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς, προσκυνοῦσα καὶ αἰτοῦσά τι παρ' αὐτοῦ· ὁ δὲ εἶπεν
» αὐτῇ. τί θέλεις· λέγει αὐτῷ. εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου, εἷς ἐκ δεξιῶν σου
» καὶ εἷς ἐξ εὐωνύμων σου ἐν τῇ βασιλείᾳ σου· Ἐνόμιζον οἱ τοῦ Ζεβεδαίου ὅτι ἐὰν ἀ-
πέλθῃ εἰς Ἱεροσόλυμα ὁ κύριος, βασιλεύσει τὴν αἰσθητὴν βασιλείαν· ἤκουον γὰρ αὐτοῦ συ
νεχῶς λέγοντος ὅτι, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα· ἔπαθον οὖν ἀνθρώπινόν τι. καὶ προ-
σελθεῖν τὴν μητέρα πείθουσιν, αὐτοὶ εὐλαβούμενοι ἐν τῷ φανερῷ προσελθεῖν· κρύ-
Μαρ. ι· φα γὰρ προσῆλθον καὶ αὐτοὶ, ὡς ὁ Μάρκος λέγει. φησὶ γάρ· ὅτι, προσπορεύονται αὐ
τῷ Ἰάκωβος καὶ Ἰωάννης. ἀντὶ τοῦ λάθρα καὶ ἰδίᾳ προσέρχονται·

» Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν. οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον
» ὃ ἐγὼ μέλλω πίνειν; ἢ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; λέγουσιν αὐτῷ.
» δυνάμεθα· Τὴν μητέρα καταλείψας, τοῖς υἱοῖς διαλέγεται. ἵνα δείξῃ ὡς οὐκ
ἠγνόησεν ὅτι αὐτοὶ προεβάλλοντο τὴν μητέρα· καὶ φησὶ πρὸς αὐτούς. οὐκ οἴδατε τί
αἰτεῖσθε, πῶς ἐστι μέγα καὶ τὰς τῶν ἀγγέλων δυνάμεις ἐκπλῆττον· εἶτα ἀπάγων αὐ
τοὺς τῶν τοιούτων λογισμῶν, ἐπὶ κινδύνους μᾶλλον προτρέπεται· ἐρωτᾷ δὲ, οὐκ ἀ-
γνοῶν, ἀλλ' ἵνα ἀναγκάσῃ φανερῶσαι τὸ ἕλκος διὰ τῆς ἀποκρίσεως. καὶ σπουδάσωσι
πληρῶσαι τὴν ὑπόσχεσιν· τοῦτο γὰρ λέγει, ὅτι ἐπεὶ οὐ δύναταί τις γενέσθαι κοινωνὸς
τῆς βασιλείας μου εἰ μὴ καὶ τῶν ἐμῶν παθημάτων γένηται κοινωνὸς, εἴπατέ μοι
εἰ δύνασθε τὰ ὅμοια παθεῖν· ποτήριον γὰρ λέγει τὸ μαρτύριον καὶ τὸν οἰκεῖον θάνα-
τον, ἅμα μὲν δεικνύων ὅτι εὔκολόν ἐστιν ὥσπερ τὸ πιεῖν ποτήριον, καὶ δεῖ λοιπὸν καὶ
ἡμᾶς ὡς εὐκόλῳ τούτῳ προσέχειν. ἅμα δὲ δηλῶν ὅτι καὶ αὐτὸς ἡδέως προσίεται
τὸν θάνατον·

τὸν θάνατον. ὥσπερ δὲ ὁ πίνων ποτήριον, εὐθέως ὑπνώττει καταβαρούμενος, οὕτω καὶ ὁ τὸ τοῦ μαρτυρίου ποτήριον πίνων, εἰς τὸν τοῦ θανάτου καταφέρεται ὕπνον. καὶ βάπτισμα δὲ ὀνομάζει τὸν θάνατον αὐτοῦ, ὡς καθαρτικὸν ὄντα πάντων ἡμῶν. οἱ δὲ ὑπέσχοντο, οὐκ εἰδότες ὃ ἔλεγον. ἀλλὰ μόνον πρὸς τὸ τυχεῖν ὧν ἤθελον, πάντα εὐκόλως ὑπισχνούμενοι.

» Καὶ λέγει αὐτοῖς. τὸ μὲν ποτήριόν μου πίεσθε. καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζο
» μαι βαπτισθήσεσθε: τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν
» δοῦναι. ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου. Μαρτυρήσετε μὲν οἶδα τοῦτο. καὶ

ἐξέβη πάντως. Ἰάκωβον μὲν γὰρ Ἡρώδης ἀπέκτεινεν. Ἰωάννην δὲ Τραϊανὸς κατεδίκασε μαρτυροῦντα τῷ λόγῳ τῆς ἀληθείας. τὸ δὲ καθίσαι, οὐκ ἔστιν ἐμὸν δοῦναι. ἀλλ' οἷς ἡτοίμασται. τουτέστιν ἐὰν εὑρεθῇ τις μετὰ τοῦ μαρτυρῆσαι, καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν ἔχων, ἐκεῖνος λήψεται τὴν δωρεάν. ἐκείνῳ γὰρ ἡτοίμασται τῷ κοπιάσαντι. ὥσπερ καὶ τοῖς ἀθλοῦσιν οἱ στέφανοι ἑτοιμάζονται. ὥσπερ οὖν ἀγῶνος δρομικοῦ προκειμένου, καὶ ἀγωνοθετοῦντος τοῦ βασιλέως, ἐὰν προσέλθῃ τις μηδόλως ἀγωνισάμενος, καὶ εἴπῃ. δὸς ἐμοὶ τὸν στέφανον ὦ ἀγωνοθέτα τῷ μὴ ἀγωνισαμένῳ, εἴποι ἂν αὐτῷ ἐκεῖνος. οὐκ ἔστιν ἐμὸν δοῦναι κατὰ χάριν τὸν στέφανον, ἀλλ' ᾧ ἡτοίμασται. τουτέστι τῷ δραμόντι καὶ νικήσαντι, οὕτω δὴ κἀνταῦθα φησὶν ὁ Χριστὸς, ὅτι οὐκ ἐγὼ κατὰ χάριν δύναμαι δοῦναι ὑμῖν τὴν ἐκ δεξιῶν μου καθέδραν. ἄλλων γὰρ, τῶν κοπιασάντων ἐστί. καὶ ἐκείνοις ἡτοίμασται. ἐρωτήσεις οὖν, ἆρα λοιπὸν τινὲς μέλλουσι καθεσθῆναι. μαθήσῃ δὲ ὅτι οὐδεὶς ἐκεῖ καθήσεται. μόνης γὰρ τῆς θείας οὐσίας τοῦτό ἐστι. πρὸς τίνα γὰρ τῶν ἀγγέλων εἶπε κάθου ἐκ δεξιῶν μου. ἀλλὰ τοῦτο εἶπεν ὁ κύριος πρὸς τὴν ἐκείνων ὑπόνοιαν. μὴ νοήσαντες γὰρ ὅτι τὸ καθεσθῆναι ἐπὶ δώδεκα θρόνοις, τὸ δοξασθῆναί ἐστι. δι' ἀρετὴν, ἐζήτουν τοιαύτην καθέδραν.

» Καὶ ἀκούσαντες οἱ δέκα, ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. ὁ δὲ Ἰησοῦς προσ
» καλεσάμενος αὐτοὺς, εἶπεν. οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν.
» καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. οὐχ οὕτως ἔσται ἐν ὑμῖν. ἀλλ' ὃς ἐὰν θέλῃ ἐν
» ὑμῖν μέγας γενέσθαι, ἔσται ὑμῶν διάκονος. καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔσται
» ὑμῶν δοῦλος. ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου, οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι,
» καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. Ὅτε εἶδον οἱ δέκα τοὺς δύο ἐπι

τιμηθέντας παρὰ τοῦ Χριστοῦ, τότε καὶ αὐτοὶ ἀγανακτοῦσι. καὶ ἔδειξαν ὅτι καὶ προήχθοντο ἐπὶ τῇ τούτων τιμῇ. ἔτι γὰρ ἦσαν ἀτελεῖς. οἱ μὲν γὰρ, κατεξανίσταντο τῶν δέκα. οἱ δὲ, ἐφθόνουν τοῖς δύο. ἐπεὶ οὖν οἱ δέκα ἀκούσαντες ἐθορυβήθησαν, προσκαλεῖται αὐτοὺς, τῇ κλήσει πρὸ τῶν λόγων αὐτοὺς καταπραΰνων. καὶ γὰρ οἱ τοῦ Ζεβεδαίου ἀπορραγέντες τῶν ἄλλων, ὡμίλουν αὐτῷ. πᾶσιν οὖν κοινῶς ὁμιλεῖ. εἰδὼς γὰρ τυραννικὸν τὸ φιλόπρωτον, καὶ σφοδροτέρας δεόμενον πληγῆς, βαθύτερον αὐτῶν καθικνεῖται. εἰς τὴν τῶν ἐθνικῶν καὶ ἀπίστων μοῖραν αὐτοὺς ἀπορρίπτων εἰ φιλοδοξεῖν θέλουσιν. καὶ οὕτως αὐτοὺς ἐντρέπει, φάσκων. οἱ μὲν ἄλλοι ἄνθρωποι διότι ἄρχουσι λαμπρύνονται. καὶ τὸ ἐρᾶν τῶν πρωτείων, τῶν ἐθνικῶν ἐστι πάθος. οἱ δὲ ἐμοὶ μαθηταὶ, ἀπὸ ταπεινώσεως τιμῶνται. ὥστε καὶ ὁ μείζων θέλων εἶναι, ὀφείλει διακονεῖν τοῖς ὑποδεεστέροις. ὅπερ τῆς ἄκρας ἐστὶ ταπεινώσεως. ἐν ἐμαυτῷ δὲ τοῦτο δείκνυμι. ὃς ἄρχων ὢν καὶ βασιλεὺς τῶν ἐν οὐρανοῖς, ἐταπείνωσα ἐμαυτὸν, διακονήσων ὑμῖν εἰς τὴν σωτηρίαν. καὶ τοσοῦτον δουλεύσων ὑμῖν, ὥστε καὶ τὴν ψυχὴν δοῦναι λύτρον ἀντὶ πολλῶν. τουτέστι πάντων. οἱ γὰρ πάντες, πολλοί. Πρὸς φιλ. β

» Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἱεριχὼ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. καὶ ἰδοὺ

» δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν λέγον
» τες. ἐλέησον ἡμᾶς κύριε υἱὸς Δαβίδ. ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς ἵνα σιωπήσωσιν.
» οἱ δὲ μεῖζον ἔκραζον, λέγοντες. ἐλέησον ἡμᾶς κύριε υἱὸς Δαβίδ. καὶ στὰς ὁ Ἰησοῦς ἐ-
» φώνησεν αὐτοὺς, καὶ εἶπε. τί θέλετε ποιήσω ὑμῖν. λέγουσιν αὐτῷ. κύριε, ἵνα ἀνοιχθῶ-
» σιν ἡμῶν οἱ ὀφθαλμοί. σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς, ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, καὶ
» εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοί. καὶ ἠκολούθησαν αὐτῷ. Ἀπὸ τῆς φή-
μης οἱ τυφλοὶ γνόντες τὸν κύριον, ἐδράξαντο τοῦ καιροῦ. ἀκούσαντες μὲν ὅτι παρέρ-
χεται τὴν ὁδὸν, πιστεύσαντες δὲ ὅτι Ἰησοῦς ὁ ἐκ σπέρματος Δαβὶδ τὸ κατὰ σάρκα,
δυνατὸς ἦν θεραπεῦσαι αὐτούς. ὡς δὲ ἄγαν θερμοὶ περὶ τὴν πίστιν, οὐδὲ ἐπιστομιζόμε
νοι ἐσιώπων. ἀλλὰ καὶ πλείω ἔκραζον. ὅθεν οὐδὲ ἐρωτᾷ αὐτοὺς εἰ πίστιν ἔχουσιν, ἀλλὰ
τί θέλουσιν. ἵνα μή τις νομίσῃ ὅτι ἄλλα βουλομένοις, ἄλλα δίδωσι. δείκνυσιν οὖν ὅτι οὐχ
ἕνεκεν τοῦ λαβεῖν ἀργύριον ἐβόων, ἀλλὰ τοῦ ἰαθῆναι. ἁψάμενος δὲ θεραπεύει, ἵνα μά
θωμεν ὅτι πᾶν μέλος τῆς ἁγίας αὐτοῦ σαρκὸς, ζωοποιὸν καὶ θεοῦ μέλος ἦν. εἰ δὲ
Λουκ. ιη'. ὁ Λουκᾶς καὶ ὁ Μάρκος ἕνα λέγουσι τὸν τυφλὸν, οὐδὲν τοῦτο διαφωνεῖ. ἐκεῖνοι γὰρ τοῦ
Μάρκ. ι'. ἐπιφανεστέρου ἐμνήσθησαν. ἄλλως τε, ὁ Λουκᾶς λέγει ὅτι πρὸ τοῦ ἀπελθεῖν εἰς Ἰεριχὼ
ἐθεράπευσε τυφλόν. ὁ δὲ Μάρκος, μετὰ τὸ ἐξελθεῖν ἀπὸ Ἰεριχώ. ὁ οὖν Ματθαῖος φιλο-
σύντομος ὢν, περιέλαβεν ἐν ταὐτῷ τοὺς δύο. νόησον δὲ τυφλοὺς, τοὺς ἐξ ἐθνῶν. οἱ ἐκ
παρόδου ἰάθησαν. οὐ γὰρ προηγουμένως ἦλθεν ὁ Χριστὸς διὰ τοὺς ἐθνικοὺς, ἀλλὰ διὰ τοὺς
ἐξ Ἰσραήλ. ὥσπερ δὲ οἱ τυφλοὶ ἐξ ἀκοῆς ἔμαθον περὶ τοῦ Ἰησοῦ, οὕτω καὶ οἱ
ἐθνικοὶ ἐξ ἀκοῆς πίστεως. οἱ δὲ ἐπιστομίζοντες τοὺς τυφλοὺς μὴ κράζειν τὸ ὄνομα τοῦ
Ἰησοῦ, εἰσὶν οἱ διῶκται τύραννοι. οἳ ἐπειρῶντο ἐπιστομίζειν τὴν ἐκκλησίαν. ἀλλ᾽ ἐκείνη
πλέον ὡμολόγει τὸ τοῦ Χριστοῦ ὄνομα. διὸ καὶ ἰάθη καὶ βλέπει τὸ τῆς ἀληθείας φῶς
λαμπρότερον. καὶ ἀκολουθεῖ τῷ Χριστῷ, κατὰ τὸν βίον μιμουμένη αὐτόν.

ἐγγίζω

Κεφάλαιον εἰκοστὸν πρῶτον.

» Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθσφαγὴ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν,
» τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς, λέγων αὐτοῖς. πορεύθητε εἰς τὴν κώμην τὴν
» ἀπέναντι ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ᾽ αὐτῆς. λύσαν
» τες ἀγάγετέ μοι. καὶ ἐάν τις ὑμῖν εἴπῃ τὶ, ἐρεῖτε ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει, εὐ-
» θέως δὲ ἀποστέλλει αὐτούς. τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προ-
Ἡσα. ξβ'. » φήτου, λέγοντος. εἴπατε τῇ θυγατρὶ Σιών. ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς, καὶ
καὶ Ζαχ. θ'. » ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου. Ἐκάθισεν ἐπὶ τῆς ὄνου, οὐδεμιᾶς ἄλ
λης οὔσης χρείας εἰ μὴ τὸ πληρῶσαι τὴν προφητείαν. καὶ ἵνα δείξῃ ὑμῖν ὅπως δεῖ εὐτε
λῶς ἐποχεῖσθαι. οὐ γὰρ ἐφ᾽ ἵππου, ἀλλ᾽ ἐπὶ ὀναρίου εὐτελοῦς ὠχήθη. πληροῖ γοῦν τὴν
προφητείαν καὶ καθ᾽ ἱστορίαν καὶ κατὰ ἀναγωγήν. καθ᾽ ἱστορίαν μὲν, ὡς ἐπὶ ὄνου καθί-
σας, τὸ ὁρώμενον. κατὰ ἀναγωγὴν δὲ, ὅτι καὶ ἐπὶ τοῦ πώλου ἐκάθισε. τοῦ νέου καὶ ἀ-
δαμάστου λαοῦ, τοῦ ἀνυποτάκτου. ἐδέδεντο δὲ καὶ ἡ ὄνος καὶ ὁ πῶλος, ταῖς σειραῖς
τῶν οἰκείων ἁμαρτιῶν. δύο δὲ ἀπεστάλησαν λύσοντες. ὁ μὲν Παῦλος εἰς τὰ ἔθνη.
Πέτρος δὲ, εἰς τὴν περιτομήν. τουτέστι τοὺς Ἰουδαίους. καὶ μέχρι δὲ τοῦ νῦν, δύο λύου-
σιν ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν, ὁ ἀπόστολος καὶ τὸ εὐαγγέλιον. ἔρχεται δὲ ὁ Χριστὸς
πραῢς, οὐ γὰρ ἦλθε κρῖναι τὸν κόσμον ἐν τῇ πρώτῃ παρουσίᾳ, ἀλλὰ σῶσαι. ἀλλὰ καὶ
οἱ μὲν ἄλλοι βασιλεῖς τῶν Ἑβραίων, ἅρπαγες ἦσαν καὶ ἄδικοι. ὁ δὲ Χριστὸς, βασι-
λεὺς πραΰς.
» Πορευθέντες δὲ οἱ μαθηταὶ, καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς,
» ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον. καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ

ἐπεκάθισεν

» ἐπεκάθισεν ἐπάνω αὐτῶν. Ὁ μὲν Λουκᾶς καὶ ὁ Μάρκος ὑποζύγιον μόνον εἶπον. Μαρ. ια'.
Ματθαῖος δὲ ὄνον καὶ πῶλον. οὐκ ἐναντία λέγοντες. ἀγομένῳ γὰρ τῷ πώλῳ συνηκο- Λουκ. ιθ'.
λούθει καὶ ἡ μήτηρ. ἐκάθισε δὲ ἐπάνω αὐτῶν, οὐχὶ τῶν δύο ὑποζυγίων, ἀλλὰ τῶν ἱμα
τίων. ἢ πρῶτον μὲν ἐκάθισεν ἐπὶ τῆς ὄνου, εἶτα καὶ ἐπὶ τοῦ πώλου. ἐπεὶ καὶ πρῶτον
ἐπανεπαύσατο τῇ τῶν Ἰουδαίων συναγωγῇ, εἶτα τῷ ἐξ ἐθνῶν λαῷ.
» Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν αὐτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ. ἄλλοι δὲ ἔκοπτον κλά
» δους ἀπὸ τῶν δένδρων, καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκο-
» λουθοῦντες, ἔκραζον λέγοντες. ὡσαννὰ τῷ υἱῷ Δαβίδ. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνό
» ματι κυρίου. ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Κατὰ μὲν τὴν ἱστορίαν, πολλὴν τιμὴν ἐμ-
φαίνει ἡ τῶν ἱματίων ὑπόστρωσις. καὶ τῶν κλάδων ἡ τομή, πανηγύρεως ἔνδειξις. κα
τὰ δὲ ἀναγωγήν, μάνθανε ὅτι μετὰ τὸ ἐπιθεῖναι τοὺς ἀποστόλους τὰ ἱμάτια αὐτῶν,
ἤτοι τὰς ἀρετὰς αὐτῶν, τότε ἐπικάθηται ὁ κύριος. εἰ γὰρ μὴ καλλωπισθῇ ἡ ψυχὴ
ταῖς ἀποστολικαῖς ἀρεταῖς, οὐκ ἐποχεῖται ἐπὶ ταύτης ὁ θεός. οἱ δὲ προάγοντες, εἰσὶν
οἱ πρὸ τῆς τοῦ Χριστοῦ σαρκώσεως προφῆται. οἱ δὲ ἀκολουθοῦντες, οἱ μετὰ ταῦτα
μάρτυρες καὶ διδάσκαλοι. οἱ τὰ ἱμάτια αὐτῶν στρωννύουσι τῷ Χριστῷ. τουτέστι τὴν
σάρκα ὑποτάσσουσι τῷ πνεύματι. ἱμάτιον γὰρ καὶ κάλυμμα τῆς ψυχῆς, τὸ σῶ-
μα. ἔστρωσαν οὖν ἐν τῇ ὁδῷ. τουτέστιν ἐν τῷ Χριστῷ. ἐγὼ γάρ εἰμι ἡ ὁδός, φησίν. ἐὰν γὰρ Ἰωάν. ιδ'.
μή τις τὴν σάρκα αὐτοῦ στρώσῃ τουτέστι ταπεινώσῃ, ἐν τῇ ὁδῷ, τουτέστιν ἐν τῷ Χριστῷ
μένων καὶ μὴ αἱρετικὸς ὤν, οὐκ ἐποχεῖται ἐπὶ τούτου ὁ κύριος. τὸ δὲ ὡσαννά, οἱ μὲν
λέγουσιν ὅτι ὕμνον ἢ ψαλμὸν σημαίνει. οἱ δέ, ὃ καὶ ἀκριβέστερον, σῶσον δή. ἐρχόμενος
δὲ λέγεται ὁ κύριος, ὡς προσδοκώμενος παρὰ τοῖς Ἑβραίοις ἐλθεῖν. οὕτω γὰρ καὶ ὁ Ἰωάν
νης λέγει. σὺ εἶ ὁ ἐρχόμενος. ἀντὶ τοῦ ὁ προσδοκώμενος ἐλεύσεσθαι. καὶ ἄλλως δὲ λέ
γεται ὁ ἐρχόμενος ὡς καθ' ἡμέραν προσδοκωμένης τῆς δευτέρας αὐτοῦ παρουσίας. δεῖ
οὖν ἕκαστον ἀεὶ ἐλπίζειν τὴν συντέλειαν, καὶ ἀεὶ ἐρχόμενον τὸν κύριον, καὶ ἑτοιμάζεσθαι.
» Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη πᾶσα ἡ πόλις, λέγουσα. τίς ἐστιν
» οὗτος. οἱ δὲ ὄχλοι ἔλεγον. οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλι-
λαίας. Οἱ ὄχλοι ἄδολοι ὄντες καὶ ἄπλαστοι, οὔτε ἐφθόνουν τῷ Χριστῷ, οὔτε πάλιν
τὴν προσήκουσαν περὶ αὐτοῦ ὑπόληψιν εἶχον. διὸ καὶ νῦν προφήτην αὐτὸν λέγουσι. μή
ποτε δὲ ἐπεὶ μετὰ τοῦ ἄρθρου φασὶν ὁ προφήτης, δύναται νοηθῆναι ὅτι οὗτός ἐστιν ὁ
προσδοκώμενος προφήτης. ὃν εἶπε Μωσῆς ὅτι, προφήτην ὑμῖν ὁ θεὸς ἀναστήσει. οὐ γὰρ Δευτε. ιη'.
εἶπον, οὗτός ἐστι προφήτης, ἀλλ' ὁ προφήτης. τουτέστιν ἐκεῖνος ὁ ἐλπιζόμενος.
» Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας
» καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ. καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε. καὶ τὰς
» καθέδρας τῶν πωλούντων τὰς περιστεράς. καὶ λέγει αὐτοῖς. γέγραπται. ὁ οἶκός μου
» οἶκος προσευχῆς κληθήσεται. ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. Ἡσαΐ. νζ'.
Ὡς δεσπότης τοῦ οἴκου ὅ ἐστι τοῦ ἱεροῦ, ἐξέβαλε τοὺς πωλοῦντας. δεικνὺς ὅτι τὰ τοῦ πα
τρός, καὶ αὐτοῦ εἰσι. τοῦτο δὲ ἐποίει, ἅμα μὲν καὶ τῆς εὐκοσμίας τοῦ ἱεροῦ φροντίζων,
ἅμα δὲ καὶ τὴν μετάθεσιν τῶν θυσιῶν σημαίνων. δι' ὧν γὰρ ἐξέβαλλε τοὺς βόας καὶ
τὰς περιστεράς, προεμήνυσεν ὅτι οὐκ ἔτι χρεία ζωοθυσιῶν ἢ σφαγίων, ἀλλὰ προσευ-
χῆς. ὁ γὰρ οἶκός μου φησὶν οἶκος προσευχῆς. ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃ
στῶν. ἐν γὰρ τοῖς σπηλαίοις τῶν λῃστῶν, γίνονται σφαγαὶ καὶ αἱματεκχυσίαι. ἢ καὶ
διὰ τοὺς καπηλεύοντας καὶ ἀγοράζοντας καὶ πωλοῦντας, σπήλαιον λῃστῶν ἐκάλεσε
τὸ ἱερόν. τὸ γὰρ φιλοκερδές, λῃστρικὸν πάθος ἐστί. κολλυβισταὶ δὲ εἰσὶν οἱ παρ' ἡμῖν λε-
γόμενοι ζαπελῖται. κόλλυβος γάρ, εἶδος ἐστὶ νομίσματος εὐτελοῦς. ὥσπερ ἔχομεν τυ-

γὰρ ἡμεῖς τοὺς ὀβολοὺς ἢ τὰ ἀργύρια. πωλοῦσι δὲ περιστεράς, καὶ οἱ τοὺς ἐν ταῖς ἐκκλησίαις βαθμοὺς πωλοῦντες. τὴν γὰρ τοῦ πνεύματος χάριν, ὅ ἐστι περιστερά, πωλοῦσιν αὐτοί. ὅθεν ἐκβάλλονται ἐκ τοῦ ἄνω ναοῦ, καὶ τοῦ κάτω. ἀνάξιοι γάρ εἰσιν ἱερατεύειν. βλέπε δὲ καὶ σὺ μήποτε τὸ ἱερὸν τοῦ θεοῦ, τουτέστι τὴν σὴν διάνοιαν, ποιήσῃς σπήλαιον λῃστῶν. τουτέστι τῶν δαιμόνων. γενήσεται δὲ σπήλαιον, ἐὰν ἔχωμεν λογισμοὺς φιλοΰλους, πωλοῦντας καὶ ἀγοράζοντας καὶ φιλοχρηματοῦντας. ἄχρι καὶ αὐτῶν τῶν κολλύβων ἤτοι τῶν εὐτελῶν νομισμάτων φθάνοντας. καὶ ἐὰν πωλῶμεν δὲ καὶ ἐκποιώμεθα τὰς περιστεράς, τουτέστιν εἴ τι ἐν ἡμῖν εἴη πνευματικὸν δόγμα καὶ λογισμὸς τοιοῦτος, σπήλαιον λῃστῶν ἐποιήσαμεν ἑαυτούς.

» Καὶ προσῆλθον αὐτῷ χωλοὶ καὶ τυφλοὶ ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς. Ἐξ ὧν θεραπεύει τοὺς ἀσθενεῖς, δεικνύων ὅτι θεός ἐστι καὶ καλῶς ποιεῖ. ἐκβάλλων μετ' ἐξουσίας ἐκ τοῦ οἴκου αὐτοῦ τοὺς ἀναξίους. δηλοῦται δὲ καὶ τοῦτο, ὅτι μεθ' ὃ ἐξεβλήθησαν οἱ Ἰουδαῖοι, οἱ τῷ νόμῳ καὶ ταῖς ζωοσφαγίαις προσέχοντες, οἱ τυφλοὶ καὶ χωλοὶ οἱ ἐξ ἐθνῶν προσελήφθησαν, θεραπευθέντες ὑπ' αὐτοῦ.

» Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς παῖ
» δας κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέγοντας. ὡσαννὰ τῷ υἱῷ Δαβίδ, ἠγανάκτησαν. καὶ
» εἶπον αὐτῷ. ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς. ναί. οὐδέποτε ἀνέ
ταλ. ή. » γνωτε ὅτι, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; Οἱ Φαρισαῖοι ἰδόντες τοὺς παῖδας προσφέροντας τῷ Χριστῷ τὸν ὕμνον τοῦ Δαβίδ, ὃν δοκεῖ ὁ προφήτης τῷ θεῷ ἀναθεῖναι, διαπρίονται τῷ φθόνῳ, καὶ κακίζουσιν αὐτὸν ὡς ἀνεχόμενον τὰ τοῦ θεοῦ ἐπ' αὐτῷ λέγεσθαι. ὁ δέ, ἐπιβεβαιῶν μᾶλλον, φησὶ ναί. τοσοῦτον γάρ φησιν ἀπέχω τοῦ ἐπιστομίσαι τοὺς λέγοντάς μοι ταῦτα, ὥστε καὶ τὸν προφήτην παράγω μάρτυρα. καὶ ὑμᾶς ἀποδείκνυμι ἢ ἀμαθεῖς ἢ φθονερούς. οὐκ ἀνέγνωτε γὰρ ὅτι, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; τὸ κατηρτίσω δὲ σημαίνει ἀντὶ τοῦ ἄρτιον καὶ τέλειον ἐδέξω ὕμνον, κἂν ἐκεῖνοι ἀτελεῖς δοκῶσι τὴν ἡλικίαν. οὐ γὰρ ἐκεῖνοι ἔλεγον ἃ ἔλεγον, ἀλλὰ τὸ στόμα μόνον δεδωκότες τῷ πνεύματι, ὄργανα ἦσαν ἐκείνου. διὰ τοῦτο οὖν φησιν ἐκ στόματος νηπίων, αἰνιττόμενος ὡς οὐ τῆς αὐτῶν διανοίας ἦσαν τὰ ῥήματα, ἀλλὰ μόνου τοῦ στόματος θείᾳ χάριτι κινουμένου. ἐσήμαινε δὲ τοῦτο ὅτι καὶ ἀπὸ τῶν ἐθνῶν τῶν νηπίων καὶ μωρῶν εὐλογηθήσεται. καὶ τῶν ἀποστόλων δὲ παραμυθία ἦν τοῦτο, ὅτι δοθήσεται καὶ αὐτοῖς ὁ λόγος κἂν ἀφελεῖς ὦσι. καὶ σὺ δὲ ἐὰν νηπιάζῃς τῇ κακίᾳ ἄκακος ὤν, καὶ θηλάζῃς τὸ πνευματικὸν γάλα, τὰ θεῖα λόγια, τότε γενήσῃ ἄξιος τοῦ ὑμνεῖν τὸν θεόν.

» Καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν. καὶ ηὐλίσθη ἐκεῖ. Ἀναχωρεῖ ἀπὸ τούτων ὡς ἀναξίων, καὶ ἔρχεται εἰς Βηθανίαν ὃ ἑρμηνεύεται οἶκος ὑπακοῆς. ἀπὸ γὰρ τῶν ἀνυποτάκτων ἐπὶ τοὺς ὑπακούοντας αὐτῷ μεταβαίνει, καὶ αὐλίζεται ἐν αὐτοῖς. φησὶ γάρ. ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω.

» Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασεν. καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς
» ὁδοῦ, ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον. καὶ λέγει αὐτῇ.
» μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. καὶ
» ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν, λέγοντες. πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ. Ἐπειδὴ συχνὰς ἐποίει θαυματουργίας ὁ κύριος πρὸς εὐεργεσίαν πάσας ὁρῶσας, οὐδεμίαν δὲ κολαστικὴν θαυματουργίαν ἐνεδείξατο, ἵνα μὴ νομίσωσί τινες ὅτι οὐ δύναται κολάζειν, δείκνυσιν ἐνταῦθα καὶ ταύτην αὐτοῦ τὴν δύναμιν. οὐκ εἰς ἀνθρώπους κατα χρησάμενος ταύτῃ, ἀλλ' εἰς δένδρον ὡς φιλάνθρωπος. ὥσπερ καὶ πρὸ τούτου εἰς τοὺς χοίρους.

ξηροῖς. ξηραίνει οὖν τὸ δένδρον, ἵνα σωφρονίσῃ ἀνθρώπους. θαυμάζουσι δὲ οἱ μαθη-
ταί. εἰκότως. τοῦτο γὰρ τὸ δένδρον ὑγρότερόν ἐστι, καὶ μᾶλλον δείκνυσι τὸ θαῦμα ὅτι τα-
χέως ἐξηράνθη. σημαίνει δὲ ἡ συκῆ, καὶ τὴν τῶν Ἰουδαίων συναγωγήν. φύλλα μό-
νον ἔχουσαν, τουτέστι τὸ φαινόμενον γράμμα, οὐχὶ τὸν καρπὸν τοῦ πνεύματος. ἀλλὰ
καὶ πᾶς ἄνθρωπος τῇ γλυκύτητι τοῦ παρόντος βίου ἑαυτὸν ἐκδεδωκὼς, συκῇ ἀπεικάζε-
ται. ὃς καρπὸν οὐκ ἔχει πνευματικὸν, ἵνα πεινῶντι τῷ Ἰησοῦ δῷ. φύλλα δὲ μόνον,
τὴν πρόσκαιρον φαντασίαν καὶ καταῤῥέουσαν. οὗτος οὖν κατηραμένος ἀκούει. πο-
ρεύεσθε γάρ φησιν, οἱ κατηραμένοι εἰς τὸ πῦρ. ἀλλὰ καὶ ξηραίνεται. ἀποτηγανιζο- Ματ. κέ.
μένου γὰρ αὐτοῦ ἐν τῇ φλογὶ, ξηραίνεται ἡ γλῶσσα αὐτοῦ ὡς καὶ ἡ τοῦ πλουσίου. Λουκ. ιϛ'.
» Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ
» διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε. ἄρθητι
» καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται. καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προ-
» σευχῇ, πιστεύοντες, λήψεσθε. Μεγάλη ἡ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς ἐπαγγελία,
τὸ τὰ ὄρη μεθιστᾶν δύνασθαι, ἐὰν μὴ διακριθῶμεν τουτέστι διστάσωμεν. ὅσα γὰρ αἰτοῦ-
μεν ἀδιστάκτως πιστεύοντες τῇ τοῦ θεοῦ δυνάμει, ληψόμεθα. ναί φησι. καὶ ἐὰν αἰτήσω-
μαί τι ἀσύμφορον, πιστεύω δὲ ἀνοήτως ὅτι δώσει μοι τοῦτο ὁ θεὸς, ἆρα λήψομαι καὶ
ἐκεῖνο τὸ ἀσύμφορον; καὶ πῶς φιλάνθρωπος ὁ θεὸς, εἴγε τὸ ἀσύμφορόν μου αἴτημα
πληροῖ. ἄκουε οὖν. πρῶτον μὲν ὅτι ὅταν ἀκούσῃς πίστιν, οὐχὶ τὴν ἀνόητον, ἀλλὰ
τὴν ὄντως, νοεῖν ὀφείλεις. καὶ προσευχὴν ἐκείνην, τὴν τὰ συμφέροντα αἰτουμένην.
ὡς ὁ κύριος παρέδωκε, λέγων. μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς Ματ. ϛ'.
ἀπὸ τοῦ πονηροῦ. καὶ ὅσα τῆς τοιαύτης εὐχῆς ῥήματα. ἔπειτα ὅρα καὶ τὴν λέξιν
τοῦ διακριθῆτε. ὁ γὰρ ἡνωμένος τῷ θεῷ, καὶ ἓν ὢν πρὸς ἐκεῖνον, καὶ μὴ διακριθεὶς καὶ
χωρισθεὶς, πῶς ἂν τὸ ἀσύμφορον αἰτήσοιτο. ὥστε ἐὰν ἀχώριστοι καὶ ἀδιάκριτοι ὦμεν
τοῦ θεοῦ, τότε τὰ συμφέροντα αἰτησόμεθα καὶ ληψόμεθα.
» Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν, προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσ-
» βύτεροι τοῦ λαοῦ, λέγοντες. ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς. καὶ τίς σοι ἔδωκε τὴν ἐξου-
» σίαν ταύτην. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. ἐρωτήσω κἀγὼ ὑμᾶς λόγον ἕνα. ὃν
» ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. τὸ βάπτισμα Ἰωάννου
» πόθεν ἦν, ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς, λέγοντες. ἐὰν
» εἴπωμεν ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν. διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ. ἐὰν δὲ εἴπωμεν ἐξ ἀν-
» θρώπων, φοβούμεθα τὸν ὄχλον. πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην. καὶ ἀπο-
» κριθέντες τῷ Ἰησοῦ εἶπον. οὐκ οἴδαμεν. ἔφη αὐτοῖς καὶ αὐτός. οὐδὲ ἐγὼ λέγω ὑμῖν
» ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Φθονοῦντες οἱ νομοδιδάσκαλοι ὅτι ἐξέβαλεν ἀπὸ
τοῦ ἱεροῦ τοὺς καπηλεύοντας, προσέρχονται ἐρωτῶντες αὐτὸν τοιάδε τινά. ὡς τίς σὺ
ἐκβάλλεις ἀπὸ τοῦ ἱεροῦ τοὺς πραγματευομένους. ἆρα ὡς ἱερεύς; καὶ μὴν ἱερατικὴν
ἀρχὴν οὐκ ἔχεις. ἆρ' οὖν ὡς βασιλεύς; καὶ μὴν οὔτε βασιλεὺς εἶ, οὔτε ἐὰν ὑπῆρχες,
ἐξῆν σοι τοιαῦτα ποιεῖν. οὐ γὰρ ἔξεστι ταῦτα τοῖς βασιλεῦσιν ἐν ἱερῷ πράττειν. ἠρώτων
δὲ ταῦτα τὸν κύριον, ἵνα ἐὰν μὲν εἴπῃ ὅτι, ἐν τῇ ἐμῇ ἐξουσίᾳ ταῦτα ποιῶ, διαβάλλω-
σιν αὐτὸν ὡς ἀντάρτην, καὶ ἰδίαν ἐξουσίαν ἔχειν λέγοντα. ἐὰν δὲ εἴπῃ ὅτι, ἐν τῇ θείᾳ
ἐξουσίᾳ ταῦτα ποιῶ, ἀποστήσωσιν ἀπ' αὐτοῦ τοὺς ὄχλους τοὺς ὑμνοῦντας αὐτὸν ὡς θεὸν,
δείξαντες τοῖς ὄχλοις ὅτι, ἰδοὺ οὐκ ἔστι θεὸς αὐτὸς, ἀλλ' ἐν τῇ τοῦ θεοῦ ἐξουσίᾳ ταῦτα
ποιεῖ ὡς δοῦλος. τί οὖν ὁ Χριστὸς, ἡ αὐτοσοφία. δράττεται τοὺς σοφοὺς ἐν τῇ πανουρ-
γίᾳ αὐτῶν. καὶ ἐρωτᾷ αὐτοὺς περὶ τοῦ Ἰωάννου τὰ ὅμοια. ἵνα ἐὰν μὲν εἴπωσιν ὅτι ἐξ
οὐρανοῦ ἦν τὸ κήρυγμα τοῦ Ἰωάννου, εὑρεθῶσι θεομάχοι, ὡς μὴ παραδεξάμενοι τοῦτο.

ἐὰν δὲ ἐξ ἀνθρώπων εἴπωσι, κινδυνεύσωσιν ἐκ τοῦ ὄχλου· πάντες γὰρ ὡς προφήτην εἶχον τὸν Ἰωάννην· δείκνυσι δὲ ἐντεῦθεν ὁ κύριος, ὅτι τοῖς κακούργως ἐρωτῶσιν οὐ δεῖ ἀποκρίνεσθαι· οὐδὲ γὰρ οὐδ' αὐτὸς ἀπεκρίνατο τοῖς ἐρωτῶσιν αὐτὸν Ἰουδαίοις ἐν δόλῳ, καίτοι οὐκ ἠπόρει ἀποκρίσεως· ἅμα δὲ μανθάνομεν ὅτι καὶ τὸ ἑαυτὸν ἐγκωμιάζειν, οὐκ ἔστι κατὰ Χριστόν· ἰδοὺ οὖν ὁ κύριος δυνάμενος εἰπεῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ, οὐκ εἶπεν. ἵνα μὴ δόξῃ ἑαυτὸν ἐγκωμιάζειν·

» Τί δὲ ὑμῖν δοκεῖ. ἄνθρωπος εἶχε τέκνα δύο. καὶ προσελθὼν τῷ πρώτῳ εἶπε· τέ-
» κνον ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου· ὁ δέ, ἀποκριθεὶς εἶπεν. οὐ θέλω·
» ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθε· καὶ προσελθὼν τῷ δευτέρῳ, εἶπεν ὡσαύτως· ὁ δέ,
» ἀποκριθεὶς εἶπεν. ἐγὼ κύριε. καὶ οὐκ ἀπῆλθε· τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ
» πατρός· λέγουσιν αὐτῷ. ὁ πρῶτος· λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τε-
» λῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ θεοῦ· ἦλθε γὰρ πρὸς ὑ-
» μᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ
» πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ·

Δύο τάγματα εἰσάγει. ἓν μὲν τῶν ἐξ ἀρχῆς ὑπισχνουμένων. οἷοι ἦσαν οἱ Ἰουδαῖοι, εἰπόντες. πάντα ὅσα εἶπεν ὁ θεὸς ποιήσομεν καὶ ἀκουσόμεθα· ἕτερον δέ, τῶν ἀπειθησάντων. οἷον πορνῶν καὶ τελωνῶν, ἀλλὰ δὴ καὶ τοῦ ἐξ ἐθνῶν λαοῦ. οἱ ἐξ ἀρχῆς μὴ ὑπακούσαντες τῷ θελήματι τοῦ θεοῦ, ὕστερον μετέγνωσαν καὶ ὑπήκουσαν· ὅρα οὖν τὴν σοφίαν τοῦ Χριστοῦ. οὐκ εὐθὺς ἐξ ἀρχῆς εἶπεν αὐτοῖς ὅτι, κρείττονες ὑμῶν εἰσὶν οἱ τελῶναι καὶ αἱ πόρναι. ἀλλὰ προκατέσχεν αὐτοὺς καὶ ὡμολόγησαν ὅτι ἐκ τῶν δύο υἱῶν ἐκεῖνος πειθήνιος, ὁ ποιήσας τὸ θέλημα τοῦ πατρός· εἶθ' οὕτως ὁμολογησάντων ἐκείνων, ἐπήγαγεν ὅτι ἦλθεν Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης. τουτέστιν ἐν ἀμέμπτῳ βίῳ. οὐκ ἔχετε γὰρ εἰπεῖν ὅτι ἐπίψογος ἦν αὐτῷ ὁ βίος. ἀλλ' ὅμως αἱ πόρναι ὑπήκουσαν, ὑμεῖς δὲ οὔ· διὸ καὶ προάγουσιν ὑμᾶς, τουτέστι πρότεραι ὑμῶν εἰσέρχονται, εἰς τὴν βασιλείαν· ὥστε ἀγωνίσασθε καὶ ὑμεῖς, ἵνα κἂν γοῦν μετ' ἐκείνας εἰσέλθητε καὶ αὐτοὶ πιστεύσαντες· ἐὰν δὲ μὴ πιστεύσητε, οὐδ' ὅλως εἰσελεύσεσθε· πολλοὶ δὲ καὶ μέχρι τοῦ νῦν ὑπισχνοῦνται μὲν τῷ θεῷ καὶ πατρί, μοναχοὶ τυχὸν ἔσεσθαι ἢ ἱερεῖς· μετὰ δὲ τὴν ὑπόσχεσιν ῥαθυμοῦσιν· ἕτεροι δέ, μοναχικὴν μὲν ἢ ἱερατικὴν διαγωγὴν οὐκ ἐπηγγείλαντο, μοναχικῶς δὲ καὶ ἱερατικῶς διάγουσιν· ὥστε οὗτοι τέκνα εὐπειθῆ, οἱ πράττοντες κἂν μηδὲν ὑπέσχοντο·

» Ἄλλην παραβολὴν ἀκούσατε· ἄνθρωπος ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμ-
» πελῶνα. καὶ φραγμὸν αὐτῷ περιέθηκε. καὶ ὤρυξεν ἐν αὐτῷ ληνόν. καὶ ᾠκοδόμησε
» πύργον. καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς. καὶ ἀπεδήμησεν· Ἄλλην παραβολὴν αὐτοῖς

ἐπιφέρει, δεικνύων ὅτι καὶ μυρίας ἐπιμελείας ἀξιωθέντες, οὐκ ἐβελτιώθησαν· ἄνθρωπος γὰρ οἰκοδεσπότης ὁ κύριος. ὁ διὰ τὴν φιλανθρωπίαν, ἄνθρωπος προσαγορευόμενος· ἀμπελὼν δὲ ὁ λαὸς τῶν Ἰουδαίων, φυτευθεὶς παρὰ τοῦ θεοῦ ἐν τῇ γῇ τῆς ἐπαγ-
Ἐξό· ιε· γελίας· εἰσαγαγὼν γάρ φησι καταφύτευσον αὐτοὺς εἰς ὄρος ἅγιόν σου· φραγμὸς δὲ ὁ νόμος, οὐκ ἐῶν αὐτοὺς ἐπιμιγῆναι τοῖς ἔθνεσιν· ἢ οἱ ἅγιοι ἄγγελοι οἱ ἐφύλαττον τὸν Ἰσραήλ. ληνός, τὸ θυσιαστήριον. πύργος, ὁ ναός. γεωργοὶ δὲ οἱ διδάσκαλοι τοῦ λαοῦ, φαρισαῖοι καὶ γραμματεῖς. ἀπεδήμησε δὲ ὁ οἰκοδεσπότης θεός, ὅτε μηκέτι ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς· ἡ ἀποδημία τοῦ θεοῦ, ἡ μακροθυμία. δοκεῖ γὰρ καὶ ὑπνώττειν καὶ ἀποδημεῖν ὁ θεὸς ἐν τῷ μακροθυμεῖν, καὶ μὴ παρὰ πόδας τῶν ἀδικημάτων ἀπαιτεῖν τὰς εὐθύνας·

» Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργούς, λαβεῖν

» γοῖς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ. καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν,
» ἔδειραν. ὃν δὲ, ἀπέκτειναν. ὃν δὲ, ἐλιθοβόλησαν. πάλιν ἀπέστειλεν ἄλλους δούλους
» πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. ὕστερον δὲ ἀπέστειλε πρὸς αὐ
» τοὺς τὸν υἱὸν αὐτοῦ, λέγων. ἐντραπήσονται τὸν υἱόν μου. οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν, εἶ-
» πον ἐν ἑαυτοῖς. οὗτός ἐστιν ὁ κληρονόμος. δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν
» τὴν κληρονομίαν αὐτοῦ. καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀ-
πέκτειναν. Ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, κατὰ τοὺς τῶν προφητῶν χρόνους. δοῦ-
λοι γὰρ ἀποσταλέντες, οἱ προφῆται. οὓς καὶ ὕβρισαν διαφόρως οἱ γεωργοί. τουτέστιν οἱ
κατὰ καιροὺς ψευδοπροφῆται καὶ ψευδοδιδάσκαλοι. τὸν μὲν γὰρ ἔδειραν. ὥσπερ
τὸν Μιχαίαν, πατάξαντος αὐτὸν ἐπὶ σιαγόνα Σεδεκίου. τὸν δὲ ἀπέκτειναν. ὥσπερ Παρα. α΄.
τὸν Ζαχαρίαν, μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. ἐλιθοβόλησαν δὲ, ὡς Ζαχαρίαν κεφ. κδ΄.
τὸν υἱὸν Ἰωδαὲ τὸν ἀρχιερέα. ὕστερον δὲ ἀπεστάλη ὁ υἱὸς τοῦ θεοῦ, ἐν σαρκὶ φανείς. τὸ
δὲ ἐντραπήσονται τὸν υἱόν μου εἶπεν, οὐκ ἀγνοῶν ὅτι ἔμελλον αὐτὸν ἀποκτεῖναι, ἀλλὰ
τὸ ὀφειλόμενον γενέσθαι σημαίνων. ἔδει γάρ φησιν εἰ καὶ τοὺς δούλους ἀπέκτειναν,
ἀλλὰ κἂν τοῦ υἱοῦ τὸ ἀξίωμα ἐντραπῆναι. οἱ δὲ γεωργοὶ ἰδόντες αὐτὸν, εἶπον. οὗτος
ἐστὶν ὁ κληρονόμος. δεῦτε ἀποκτείνωμεν αὐτόν. καὶ γὰρ οἱ Ἰουδαῖοι οἱ λέγοντες ὅτι οὗ-
τος ἐστὶν ὁ Χριστὸς, ἐκεῖνοι αὐτὸν ἐσταύρωσαν. ἐξέβαλον δὲ αὐτὸν ἔξω τοῦ ἀμπελῶνος,
ἔξω γὰρ τῆς πόλεως ἀπεκτάνθη ὁ κύριος. ἀλλὰ καὶ ἐπεὶ ἀμπελῶνα ἐλέγομεν εἶναι
τὸν λαὸν, ἔξω τοῦ ἀμπελῶνος, τουτέστιν ἔξω τῆς τοῦ ἀδόλου λαοῦ γνώμης, αὐτὸν ἀπέ
κτειναν οἱ Φαρισαῖοι, οἱ πονηροὶ γεωργοί.

» Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις. λέγουσιν
» αὐτῷ. κακοὺς κακῶς ἀπολέσει αὐτούς. καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωρ
» γοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Ὅταν ἔλθῃ.
πότε. ἆρα ἐν τῇ δευτέρᾳ παρουσίᾳ; φαίνεται μὲν καὶ οὕτω νοεῖσθαι. πλὴν κρεῖτ
τον οὕτω νοηθῆναι. κύριος τοῦ ἀμπελῶνος, ὁ θεὸς καὶ πατήρ. ὃς ἀπέστειλε τὸν υἱὸν
αὐτοῦ τὸν καὶ φονευθέντα ὑπ᾽ αὐτῶν. ὅταν οὖν οὗτος ἔλθῃ, τουτέστιν ὅταν ἐπιβλέψῃ
ἐπὶ τὴν ἀνομίαν ἣν ἐποίησαν οἱ Ἰουδαῖοι, τότε κακοὺς κακῶς ἀπολέσει αὐτοὺς, τὰ Ῥω
μαϊκὰ στρατεύματα ἐπιπέμψας. καὶ τὸν ἀμπελῶνα αὐτοῦ τουτέστι τὸν λαὸν, ἐκδώ
σεται ἄλλοις γεωργοῖς. τουτέστιν ἀποστόλοις καὶ διδασκάλοις. νόησον δὲ ἀμπελῶνα,
καὶ τὰς θείας γραφάς. ἐν αἷς φραγμὸς μέν ἐστι τὸ γράμμα. ληνὸς δὲ ὀρυχθεὶς, τὸ βά
θος τοῦ πνεύματος. πύργος δὲ ἡ θεολογία, διηρμένη καὶ ὑψηλοτάτη οὖσα. ταύτας οὖν
τὰς γραφὰς, εἶχον μὲν πρότερον κακοὶ γεωργοὶ, οἱ Φαρισαῖοι. ἐξέδοτο δὲ ἡμῖν ταύτας
ὁ θεὸς, τοῖς καλῶς γεωργοῦσιν αὐτάς. ἐκεῖνοι γὰρ καὶ τὸν κύριον ἀπέκτειναν ἔξω τοῦ
ἀμπελῶνος. τουτέστιν ἔξω ὧν ἔλεγον αἱ γραφαί.

» Λέγει αὐτοῖς ὁ Ἰησοῦς. οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς. λίθον ὃν ἀπεδοκίμα Ψαλ. ριζ΄
» σαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. παρὰ κυρίου ἐγένετο αὕτη,
» καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν; διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ᾽ ὑ-
» μῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. καὶ ὁ
» πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται. ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ, λικμήσει αὐτόν.
Λίθον ἑαυτὸν ὀνομάζει. οἰκοδόμους δὲ, τοὺς διδασκάλους τῶν Ἰουδαίων. οἳ ὡς ἀχρεῖον
μὲν αὐτὸν ἀπεδοκίμασαν, λέγοντες. Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις. αὐτὸς δὲ
ἐκ νεκρῶν ἀναστὰς, ἐτέθη εἰς κεφαλὴν γωνίας. τουτέστι κεφαλὴ τῆς ἐκκλησίας ἐγέ
νετο, συνάπτων τοὺς Ἰουδαίους καὶ τοὺς ἐθνικοὺς εἰς μίαν πίστιν. ὥσπερ γὰρ ὁ λίθος ὁ τὴν
γωνίαν ἐν τῇ οἰκοδομῇ ποιῶν, συνέχει τὸν ἔνθεν καὶ τὸν ἐκεῖθεν τοῖχον, οὕτω καὶ ὁ Χριστὸς

εἰς μίαν πίστιν πάντας συνέδησεν· ἡ γωνία δὲ αὕτη, θαυμαστή ἐστι καὶ παρὰ κυρίου ἐγένετο· ἡ γὰρ συνέχουσα ἡμᾶς ἐκκλησία καὶ ἑνοποιοῦσα τῇ πίστει, παρὰ κυρίου ἐγένετο. καὶ ἔστι θαύματος ἀξία πολλοῦ, διὰ τὸ καλῶς οἰκοδομηθῆναι. καὶ ἄλλως δὲ ἐστι θαυμαστή, διότι τοῖς θαύμασιν ἐβεβαιώθη καὶ ἐκραταιώθη ὁ λόγος ὁ τοῦ Χριστοῦ. ὥστε ἡ σύστασις τῆς ἐκκλησίας θαυμαστή ἐστιν· ἤρθη οὖν ἡ βασιλεία τοῦ θεοῦ ἀπὸ τῶν Ἰουδαίων, τουτέστιν ἡ οἰκειότης ἡ πρὸς θεόν, καὶ ἐδόθη τοῖς πιστεύσασιν· οἱ γὰρ προσκόπτοντες τῷ λίθῳ, καὶ σκανδαλιζόμενοι ἐπὶ τῷ Χριστῷ, συνθλασθήσονται μὲν καὶ ἐν τῇ δευτέρᾳ παρουσίᾳ. πλὴν καὶ ἐντεῦθεν ἤδη ἐλικμήθησαν ὑπ' αὐτοῦ. τουτέστι διεσπάρησαν ἁπανταχοῦ τῆς γῆς· ὥσπερ ὁρῶμεν νῦν τοὺς ἀθλίους Ἰουδαίους· τοῦτο οὖν ἐστι τὸ λικμήσει, τουτέστι διασπερεῖ αὐτούς·

Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ, ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει· καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν τοὺς ὄχλους. ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶχον· Πάλιν ὅρα ὅτι ὁ μὲν ὄχλος ὁ ἄδολος καὶ ἄπλαστος, ἀκολουθεῖ τῇ ἀληθείᾳ. οἱ δὲ νομοδιδάσκαλοι κακουργοῦσιν· ἀλλὰ καὶ μέχρι τοῦ νῦν ζητοῦσιν οἱ Ἑβραῖοι κρατῆσαι τὸν Ἰησοῦν. ἀλλ' οὐ κρατοῦσιν αὐτὸν οὐδὲ νοοῦσι. τὸν γὰρ ἀντίχριστον κρατήσουσι, καὶ ἐκείνῳ προσκυνήσουσιν· ὁ δὲ Χριστὸς οὐ ληφθήσεται, ἤτοι νοηθήσεται, παρ' αὐτῶν·

Κεφάλαιον εἰκοστὸν δεύτερον·

Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς, λέγων. ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ, καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν· πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων. εἴπατε τοῖς κεκλημένοις. ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμασα. οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα. δεῦτε εἰς τοὺς γάμους· οἱ δέ, ἀμελήσαντες ἀπῆλθον. ὁ μὲν εἰς τὸν ἴδιον ἀγρόν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ· οἱ δὲ λοιποί, κρατήσαντες τοὺς δούλους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν· καὶ ἀκούσας ὁ βασιλεὺς ἐκεῖνος, ὠργίσθη. καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν· Καὶ αὕτη ἡ παραβολὴ τὴν τῶν Ἰουδαίων ἀπείθειαν ὑποσημαίνει, ὥσπερ καὶ ἡ τοῦ ἀμπελῶνος. πλὴν ὅσον ἐκείνη μὲν τὸν θάνατον τοῦ Χριστοῦ, αὕτη δὲ χαρὰν γαμήλιον ἤτοι τὴν ἀνάστασιν δηλοῖ· δείκνυσι δὲ αὕτη καὶ χείρονα πλημμελήσαντας τούτους τῶν ἐν τῇ προτέρᾳ παραβολῇ· ἐκεῖνοι μὲν γὰρ καρποὺς ἀπαιτούμενοι, ἐφόνευσαν τοὺς ἀπαιτητάς. οὗτοι δὲ εἰς γάμους καλούμενοι, τὴν μιαιφονίαν ἐπεδείξαντο· ἀνθρώπῳ οὖν βασιλεῖ ὁμοιοῦται ὁ θεός, οὐ γὰρ φαίνεται οἷός ἐστιν, ἀλλ' οἷον δεῖ πρὸς ἡμᾶς φαίνεσθαι· ὅταν μὲν οὖν ὡς ἄνθρωποι ἀποθνήσκωμεν, τοῖς ἀνθρωπίνοις ἐλαττώμασιν ὑποκείμενοι, ὡς ἄνθρω-
ψαλ· πά· πος φαίνεται ἡμῖν ὁ θεός· ὅταν δὲ ὡς θεοὶ περιπατῶμεν, τότε ἵσταται ὁ θεὸς ἐν συναγωγῇ θεῶν. ὥσπερ οὖν καὶ ὅταν ὡς θηρία ζῶμεν, γίνεται καὶ ἐκεῖνος ἡμῖν πάνθηρ καὶ ἄρκτος καὶ λέων· ποιεῖ δὲ γάμον τῷ υἱῷ αὐτοῦ, συνάπτων αὐτὸν πάσῃ ψυχῇ ὡραίᾳ· νυμφίος γὰρ ὁ Χριστός. νύμφη δὲ ἡ ἐκκλησία καὶ ἡ ψυχή· δοῦλοι δὲ ἀποσταλέντες πρότερον, οἱ περὶ τὸν Μωσέα εἰσίν. οἷς οὐκ ἐπείσθησαν οἱ Ἑβραῖοι. ἀλλὰ παρεπίκραναν τὸν θεὸν ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, καὶ οὐκ ἠθέλησαν τὸν λόγον τοῦ θεοῦ καὶ τὴν χαρὰν παραδέξασθαι τὴν πνευματικήν· εἶτα ἀπεστάλησαν ἄλλοι δοῦλοι, οἱ προφῆται· ἀλλὰ καὶ τούτων τοὺς μὲν ἀπέκτειναν, ὡς τὸν Ἡσαΐαν. τοὺς δέ,
Ἱερεμ· λή· ὕβρισαν. ὡς τὸν Ἱερεμίαν, εἰς λάκκον βορβόρου ἐμβαλόντες. οἱ δὲ μετριώτεροι παρῃτήσαντο, ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν ἀπελθών, τουτέστιν εἰς φιλόσαρκον βίον καὶ τυφ-

λὸν ἀπονεύσας. ἀγρὸς γὰρ ἑκάστου ἴδιος, τὸ σῶμα. ὁ δὲ, εἰς τὴν ἐμπορίαν αὐτοῦ. τουτέστιν εἰς τὸν φιλοκερδῆ βίον. οἱ γὰρ ἔμποροι, φιλοκερδέστατον γένος. δείκνυσιν οὖν ἡ παραβολὴ ὅτι οἱ ἀποτυγχάνοντες τοῦ πνευματικοῦ γάμου, καὶ τῆς πρὸς Χριστὸν συναφείας καὶ ἑστιάσεως, διὰ δύο ταῦτα ὡς ἐπὶ τὸ πλεῖστον ἀποτυγχάνουσιν. ἢ διὰ τὰς σωματικὰς ἡδονὰς, ἢ διὰ τὸ τῆς φιλοκερδείας πάθος. ἄριστον δὲ ἐνταῦθα ὀνομάζει, καίτοι ἀλλαχοῦ δεῖπνον αὐτὸ λέγων, οὐκ ἀλόγως. δεῖπνον μὲν γὰρ, ὡς ἐν ἐσχάτοις καιροῖς τελείως φανέντος τοῦ τοιούτου γάμου, καὶ πρὸς τῇ ἑσπέρᾳ ἤδη τῷ τέλει τῶν αἰώνων. ἄριστον δὲ, διότι καὶ ἐν τοῖς προτέροις αἰῶσιν ἀπεκαλύπτετο τὸ μυστήριον, εἰ καὶ ἀμυδρότερον. ταῦροι δὲ καὶ σιτιστὰ, ἡ παλαιὰ καὶ ἡ νέα διαθήκη. ἡ μὲν γὰρ παλαιὰ, ἐμφαίνεται διὰ τῶν ταύρων. ζωοθυσίας γὰρ εἶχεν. ἡ δὲ νέα, διὰ τῶν σιτιστῶν. ἄρτους γὰρ προσφέρομεν νῦν ἐν τῷ θυσιαστηρίῳ. οἱ ἐτυμώτερον δὲ κληθεῖεν σιτιστὰ, ὡς ἐκ σίτου συνιστάμενοι. καλεῖ τοίνυν ἡμᾶς ὁ θεὸς ἵνα φάγωμεν καὶ τὰ τῆς παλαιᾶς γραφῆς ἀγαθὰ καὶ τὰ τῆς νέας. ἀλλὰ καὶ ὅταν ἴδῃς τινὰ ἑρμηνεύοντα τὰ θεῖα λόγια σαφῶς, γίνωσκε τὸν τοιοῦτον σιτιστὰ βρώματα διδόναι. οἱονεὶ γὰρ σιτίζει καὶ ἐμβρωματίζει τοὺς ἀπλουστέρους, ὁ σαφῶς διδάσκων. ζητήσεις δὲ ἐνταῦθα πῶς λέγει καλέσατε τοὺς κεκλημένους. εἰ κεκλημένοι ἦσαν, πῶς ἔμελλον πάλιν αὐτοὺς καλεῖν. μάνθανε οὖν ὅτι ἕκαστος ἡμῶν κέκληται ἀπὸ φύσεως, εἰς τὸ καλὸν ὑπὸ τοῦ λόγου τοῦ ἐμφύτου διδασκάλου καλούμενος. ὅμως ὁ θεὸς καὶ τοὺς ἔξω διδασκάλους πέμπει, ἵνα τοὺς ὑπὸ τοῦ λόγου κεκλημένους φυσικῶς, καὶ οὗτοι ἔξωθεν καλέσωσιν. ἀπέστειλε δὲ ὁ βασιλεὺς τὰ στρατεύματα αὐτοῦ, τουτέστι τὰ Ῥωμαϊκὰ, καὶ τοὺς ἀπειθεῖς Ἰουδαίους ἀπώλεσε. καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε τὴν Ἱερουσαλὴμ, ὡς καὶ ὁ φιλαλήθης Ἰώσηπος λέγει.

» Τότε λέγει τοῖς δούλοις αὐτοῦ. ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι, οὐκ ἦσαν
» ἄξιοι. πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἐὰν εὕρητε καλέσατε εἰς
» τοὺς γάμους. καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς, συνήγαγον πάντας ὅσους
» εὗρον, πονηρούς τε καὶ ἀγαθοὺς, καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. Ἐπειδὴ οἱ πρότεροι δοῦλοι, οἱ περὶ Μωσέα καὶ οἱ προφῆται οὐκ ἔπεισαν, τότε ἄλλους δούλους ἀποστέλλει, τοὺς ἀποστόλους. οἳ τοὺς ἐξ ἐθνῶν ἐκάλεσαν, οὐκ ἐν τῇ ὁδῷ τῇ ἀληθινῇ βαδίζοντας, ἀλλ' ἄλλους ἀλλαχῆ μεμερισμένους, καὶ ἐν ὁδοῖς πλείοσι καὶ δόγμασι διεσχισμένους. μᾶλλον δὲ παρὰ τὰς διεξόδους τῶν ὁδῶν ὄντας. τουτέστιν ἐν πλάνῃ πολλῇ καὶ ἀνωμαλίᾳ. καὶ γὰρ καὶ αὐτοὶ πρὸς ἑαυτοὺς ἐστασίαζον, καὶ οὐκ ἐν ταῖς ὁδοῖς ἦσαν, ἀλλὰ παρὰ τὰς διεξόδους. καὶ ἐκεῖνα γὰρ τὰ δόγματα τὰ πονηρὰ ἃ ἐδογμάτιζον, οὐ πάντες ἔστεργον ὁμοίως. ἀλλ' οἱ μὲν τοιῶσδε. οἱ δὲ τοιῶσδε. μήποτε δὲ βέλτιον καὶ οὕτω νοηθῆναι. ὁδὸς ἐστὶν ὁ βίος ἑκάστου καὶ ἡ πολιτεία. διέξοδοι δὲ ἀπὸ τῆς ὁδοῦ, τὰ δόγματα. οἱ γοῦν Ἕλληνες ὁδοὺς ἔχοντες πονηρὰς, τουτέστι βίους ἐπιψόγους, ἀπὸ τῶν βίων τῶν πονηρῶν καὶ ἐπὶ τὰ δόγματα ἐξέβησαν τὰ ἄθεα, θεοὺς αἰσχροὺς ὑποστήσαντες συνηγόρους τοῖς πάθεσιν. ἐξελθόντες οὖν οἱ ἀπόστολοι ἐκ τῆς Ἱερουσαλὴμ ἐπὶ τὰ ἔθνη, συνήγαγον πάντας πονηρούς τε καὶ ἀγαθούς. τουτέστι τούς τε πάσης κακίας πεπληρωμένους, καὶ τοὺς μετριώτερον ἔχοντας. οὓς καὶ ἀγαθοὺς ὀνομάζει ὡς πρὸς σύγκρισιν ἐκείνων.

» Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ
» ἐνδεδυμένον ἔνδυμα γάμου. καὶ λέγει αὐτῷ. ἑταῖρε πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔν-
» δυμα γάμου. ὁ δὲ ἐφιμώθη. τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις. δήσαντες αὐτοῦ
» χεῖρας καὶ πόδας, ἄρατε αὐτὸν καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ἐκεῖ ἔσται
» ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

ἡ μὲν εἰς τὸν γάμον εἴσελευσις, ἄνευ διακρίσεως γίνεται. χάριτι γὰρ μόνῃ πάντες ἐκλήθημεν, ἀγαθοί τε καὶ πονηροί. ἡ δὲ ζωὴ μετὰ ταῦτα τῶν εἰσελθόντων, οὐκ ἀνεξέταστος ἔσται. ἀλλὰ καὶ πάνυ πολλὴν ἐξέτασιν ποιεῖται ὁ βασιλεὺς τῶν μετὰ τὸ εἰσελθεῖν εἰς τὴν πίστιν ῥυπαρῶν εὑρισκομένων. φρίξωμεν οὖν ἐννοήσαντες ὅτι εἰ μὴ ἔχοι τις βίον καθαρὸν, οὐδὲν αὐτὸν ὠφελεῖ ἡ πίστις μόνη. οὐ μόνον γὰρ ἐκβάλλεται ἐκ τοῦ γάμου, ἀλλὰ καὶ εἰς τὸ πῦρ ἀποπέμπεται. τίς δὲ ἐστιν ὁ ῥυπαρὰ ἱμάτια φορῶν. ὁ μὴ ἐνδυσάμενος σπλάγχνα οἰκτιρμῶν. χρηστότητα. φιλαδελφίαν. πολλοὶ οὖν ἑαυτοὺς ἐξαπατῶντες κεναῖς ἐλπίσι, νομίζουσιν ὅτι τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτεύξονται. καὶ παρεμβάλλουσιν ἑαυτοὺς τῷ τῶν ἀνακειμένων χορῷ, οἰόμενοι περὶ ἑαυτῶν μεγάλα. δικαιολογούμενος δὲ ὁ κύριος πρὸς τὸν ἀνάξιον ἐκεῖνον, δείκνυσιν ἡμῖν δύο ταῦτα. ἓν μὲν, ὅτι φιλάνθρωπός ἐστιν. ἕτερον δὲ, ὅτι καὶ ἡμᾶς δεῖ μὴ καταγινώσκειν τινῶν, κἂν φανερῶς ἁμάρτωσιν, εἰ μὴ ἐλεγχθῶσιν οἱ ἁμαρτόντες. λέγει οὖν ὁ κύριος τοῖς διακόνοις, ἀγγέλοις τιμωρητικοῖς. δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας. τουτέστι τὰς πρακτικὰς τῆς ψυχῆς αὐτοῦ δυνάμεις. ἐν τῷ αἰῶνι μὲν γὰρ τῷ ἐνεστῶτι, ἔστι πρᾶξαι καὶ ἐνεργῆσαί τι. ἐν δὲ τῷ μέλλοντι, δεσμοῦνται πᾶσαι αἱ πρακτικαὶ δυνάμεις τῆς ψυχῆς. καὶ οὐκ ἔστι ποιῆσαί τι ἀγαθὸν εἰς ἀντισήκωσιν τῶν ἁμαρτιῶν. βρυγμὸς δὲ ὀδόντων, ἡ τότε γενησομένη ἀνόνητος μεταμέλεια. πολλοὶ δὲ εἰσὶ κλητοὶ, πολλοὺς γὰρ καλεῖ ὁ θεὸς, μᾶλλον δὲ πάντας. ὀλίγοι δὲ ἐκλεκτοὶ, ὀλίγοι γὰρ οἱ σωζόμενοι καὶ ἄξιοι τοῦ ἐκλεγῆναι παρὰ θεοῦ. ὥστε τοῦ μὲν θεοῦ, τὸ καλεῖν. τὸ δὲ ἐκλεκτοὺς γενέσθαι ἢ μὴ, ἡμέτερόν ἐστι. δείκνυσι τοίνυν ὅτι διὰ τοὺς Ἰουδαίους ἐλέχθη ἡ παραβολή. οἳ ἐκλήθησαν μέν. οὐκ ἐξελέγησαν δὲ, ὡς μὴ ἀκούσαντες.

» Τότε πορευθέντες οἱ φαρισαῖοι, συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν
» λόγῳ. καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν ἡρωδιανῶν.

ΛΟΥΚ. Κ΄. Ἐπιβουλὴ ἦν τὸ γινόμενον. διὰ τοῦτο καὶ ὁ Λουκᾶς ἐγκαθέτους τοὺς τοιούτους ὀνομάζει, ὡς ὑποπεμφθέντας ἐπὶ τῷ ἐπιβουλεῦσαι Χριστῷ. ἡρωδιανοὶ δὲ ἦσαν, ἢ οἱ τοῦ Ἡρώδου στρατιῶται, ἢ οἱ νομίζοντες Ἡρώδην εἶναι τὸν Χριστόν. ἐπεὶ γὰρ ἐκλιπόντων τῶν ἀρχόντων Ἰούδα, ἐβασίλευσεν ὁ Ἡρώδης, ἐνόμισαν ὅτι αὐτὸς ἐστὶν ὁ Χριστός. ἔρχονται τοίνυν οἱ φαρισαῖοι μετὰ τούτων παγιδεύσοντες αὐτόν. ἄκουε δὲ πῶς ὁμιλοῦσιν αὐτῷ.

» Λέγοντες διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ. καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ δι-
» δάσκεις. καὶ οὐ μέλει σοι περὶ οὐδενός. οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. εἰ-
» πὲ οὖν ἡμῖν τί σοι δοκεῖ, ἔξεστι δοῦναι κῆνσον καίσαρι, ἢ οὔ; γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονη-
» ρίαν αὐτῶν, εἶπε. τί με πειράζετε ὑποκριταί. ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήν-
» σου. οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. καὶ λέγει αὐτοῖς. τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ
» ἐπιγραφή. λέγουσιν αὐτῷ. καίσαρος. τότε λέγει αὐτοῖς. ἀπόδοτε οὖν τὰ καίσαρος
» καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. καὶ ἀκούσαντες ἐθαύμασαν. καὶ ἀφέντες αὐτὸν
» ἀπῆλθον. Νομίζοντες μαλάξαι αὐτὸν καὶ χαυνῶσαι τοῖς ἐπαίνοις, κολακεύουσιν. ἵνα χαυνωθεὶς εἴπῃ ὅτι οὐ δεῖ διδόναι τὸν φόρον, καὶ ἐκ τούτου κρατήσωσιν αὐτὸν ὡς στασιαστὴν καὶ ἀνασείοντα τὸν λαὸν κατὰ τοῦ καίσαρος. διὰ τοῦτο καὶ τοὺς ἡρωδιανοὺς ἐπάγονται, ὡς τοῦ βασιλέως ὄντας, ἵνα κατάσχωσιν αὐτὸν ὡς νεωτεριστήν. οὐ λαμβάνεις δὲ πρόσωπον φασί, τουτέστιν οὐδὲν ἂν εἴποις πρὸς χάριν Πιλάτου ἢ Ἡρώδου. εἰπὲ οὖν ἡμῖν. ὀφείλομεν καὶ ἀνθρώποις ὑποτελεῖς εἶναι, καὶ φέρειν αὐτοῖς τὸ τέλος, ὥσπερ καὶ τῷ θεῷ τὸ δίδραχμον, ἢ μόνῳ τῷ θεῷ τελέσωμεν, οὐχὶ δὲ καὶ τῷ καίσαρι; τοῦτο δὲ ἔλεγον ὡς ἔφην, ἵνα ἐὰν εἴπῃ ὅτι οὐ δεῖ τελεῖν τῷ καίσαρι, συλλάβωσιν αὐτὸν καὶ ἀποκτείνωσιν ὡς τοὺς περὶ Θευδᾶν καὶ Ἰούδαν, τοὺς λέγοντας μὴ δεῖν θύειν ὑπὲρ τοῦ

ὀνόματος τοῦ καίσαρος. ὁ δὲ Ἰησοῦς διὰ τοῦ ἐντετυπῶσθαι τῷ νομίσματι τὸν καίσαρα, πείθει αὐτοὺς ὡς δεῖ τῷ καίσαρι ἀποδιδόναι τὰ ἑαυτοῦ. τουτέστι τὰ ἔχοντα τὴν αὐτοῦ εἰκόνα. καὶ ἐν τοῖς σωματικοῖς καὶ τοῖς ἔξω, ὑποτάττεσθαι τῷ βασιλεύοντι. ἐν δὲ τοῖς ἔσω καὶ πνευματικοῖς, τῷ θεῷ. δεῖ δὲ καὶ οὕτω νοεῖν, ὡς δεῖ ἕκαστον ἡμῶν τὰ τοῦ καίσαρος, τουτέστι τὰ τοῦ δαίμονος τοῦ τῶν κάτω κρατοῦντος, αὐτῷ ἐκείνῳ ἀποδιδόναι καὶ προσρίπτειν. οἷον. ἔχεις θυμὸν ἀπὸ τοῦ καίσαρος, ῥῖψον τοῦτον ἐπ᾽ αὐτόν. θυμώθητι κατ᾽ αὐτοῦ. οὕτω γὰρ δυνήσῃ καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ ἀποδοῦναι. ἀλλὰ μὴν καὶ διττοὶ ὄντες ἡμεῖς, ἐκ ψυχῆς γὰρ καὶ σώματος συνιστάμεθα, τῷ μὲν σώματι ὡς καίσαρι, ὀφείλομεν διατροφὰς καὶ σκεπάσματα. τῷ δὲ ἐν ἡμῖν θειοτέρῳ, τὰ ἁρμόδια.

» Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν.
» καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες. διδάσκαλε, Μωσῆς εἶπεν. ἐάν τις ἀποθάνῃ μὴ ἔχων Δευ. κέ.
» τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα
» τῷ ἀδελφῷ αὐτοῦ. ἦσαν δὲ παρ᾽ ἡμῖν ἑπτὰ ἀδελφοί. καὶ ὁ πρῶτος, γαμήσας ἐτελεύ-
» τησε. καὶ μὴ ἔχων σπέρμα, ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. ὁμοίως καὶ
» ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. ἐν τῇ
» οὖν ἀναστάσει, τίνος τῶν ἑπτὰ ἔσται γυνή. πάντες γὰρ ἔσχον αὐτήν. Ἐπιστομισθέντων

τῶν φαρισαίων σὺν τοῖς ἡρωδιανοῖς, πάλιν οἱ Σαδδουκαῖοι πειράζουσιν. αἵρεσις δὲ ἦν τούτων τοιαύτη. οὐκ ἐπίστευον οὔτε ἀνάστασιν οὔτε πνεῦμα οὔτε ἄγγελον, ἀπεναντίας τοῖς φαρισαίοις διακείμενοι. πρᾶγμα οὖν συντιθέασι μὴ γενόμενον. θὲς γὰρ ὅτι οἱ δύο ἔλαβον αὐτήν, καὶ ἀπέθανον. πῶς δὲ ὁ τρίτος οὐκ οἰωνίσατο καὶ ἀπείπατο τὸν γάμον, τοῖς πρὸ αὐτοῦ παιδευθείς. πλάττονται δ᾽ οὖν οἰόμενοι τὸν Χριστὸν εἰς ἀπορίαν ἐμβαλεῖν, ἵνα τὴν ἀνάστασιν διαβάλλωσιν. καὶ τὸν Μωσέα τῷ πλάσματι αὐτῶν συνήγορον παραλαμβάνουσιν. ἑπτὰ δὲ εἶπον εἶναι τοὺς ἀδελφοὺς, ἵνα ἐπὶ πλέον κωμῳδήσωσι τὸ τῆς ἀναστάσεως μυστήριον. καὶ τίνος αὐτῶν φασὶν ἔσται ἡ γυνή. εἴποι οὖν αὐτοῖς. ὦ μωροὶ Σαδδουκαῖοι, τοῦ πρώτως γεγαμηκότος ἔσται ἡ γυνή, εἴγε συγχωρήσωμεν ὅτι καὶ ἐν τῇ ἀναστάσει γάμος ἐστίν, οἱ γὰρ ἄλλοι, ὑποβολιμαῖοι, οὐχὶ νόμιμοι ἄνδρες.

» Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν
» δύναμιν τοῦ θεοῦ. ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται. ἀλλ᾽ ὡς ἄγ-
» γελοι θεοῦ ἐν οὐρανῷ εἰσί. περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥη-
» θὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ, λέγοντος. ἐγώ εἰμι ὁ θεὸς Ἀβραάμ, καὶ ὁ θεὸς Ἰσαάκ, καὶ ὁ θεὸς Ἐξό. γ΄.
» Ἰακώβ; οὐκ ἔστιν ὁ θεὸς, θεὸς νεκρῶν, ἀλλὰ ζώντων. καὶ ἀκούσαντες οἱ ὄχλοι, ἐξεπλήσ-
» σοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. Δείκνυσιν ὁ σωτὴρ ὅτι καὶ ἀνάστασις ἔσται, καὶ οὐ τοιαύ-

τη σαρκικὴ ὡς πλανῶνται, ἀλλὰ θειοτέρα καὶ πνευματικωτέρα. τί γάρ φησι πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. εἰ μὲν γὰρ τὰς γραφὰς ἐγινώσκετε, ἠπίστασθε ἂν ὅτι ὁ θεὸς, οὐκ ἔστι νεκρῶν θεὸς, ἀλλὰ ζώντων. εἰ δὲ τὴν δύναμιν τοῦ θεοῦ ᾔδειτε, ἐγινώσκετε ἂν ὅτι τῷ θεῷ πάντα δυνατά. ὥστε καὶ τοὺς ἀνθρώπους ὡς ἀγγέλους ποιῆσαι πολιτεύεσθαι. ὅρα δὲ τὴν σοφίαν τοῦ κυρίου. ἐκεῖνοι ἀπὸ τοῦ Μωσέως ἐσπούδαζον περιτρέψαι, τὸ τῆς ἀναστάσεως δόγμα, καὶ οὗτος ἀπὸ τοῦ Μωσέως πάλιν πείθει αὐτούς. ἐγὼ γάρ εἰμί φησιν, ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ὁ θεὸς οὐκ ἔστι τῶν μὴ ὄντων θεὸς, ἀλλὰ τῶν ὑφισταμένων καὶ ὄντων. οὐ δὲ γὰρ εἶπεν. ἐγὼ ἤμην, ἀλλ᾽ εἰμί. εἰ γὰρ καὶ ἐτελεύτησαν, ἀλλὰ τῇ ἐλπίδι τῆς ἀναστάσεως ζῶσιν. ἀλλ᾽ ἐρωτᾷς, πῶς οὖν ἀλλαχοῦ φησιν ὅτι καὶ νεκρῶν καὶ ζώντων κυριεύει. μάθε τοίνυν ὅτι νεκροὺς ἐκεῖ λέγει, τοὺς ἀποθανόντας μὲν, μέλλοντας δὲ ζήσεσθαι. ἐνταῦθα δὲ ὁ κύριος πρὸς τὴν αἵρεσιν τῶν Σαδδουκαίων ἐνιστάμενος,

δογματιζόντων μὴ εἶναι τὴν ψυχὴν ἀθάνατον, ἀλλὰ πάντη διαφθείρεσθαι, φησὶν
ὅτι οὐκ ἔστιν ὁ θεὸς, θεὸς νεκρῶν, τουτέστι τῶν ὡς ὑμῖν δοκεῖ διαφθειρομένων παντε-
λῶς, ἀλλὰ τῶν ζώντων. τουτέστι τῶν ἀθάνατον ἐχόντων τὴν ψυχὴν, καὶ ἀναστησομέ-
νων εἰ καὶ νῦν νεκροί εἰσιν.

» Οἱ δὲ φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ
» αὐτό. καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς, πειράζων αὐτὸν, καὶ λέγων. διδάσκα-
Δευτε. ς'. » λε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ. ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ. ἀγαπήσεις κύριον τὸν
Λευϊ. ιθ'. καὶ » θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. αὕτη
πρὸς Ρω. ιγ' » ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. δευτέρα δὲ, ὁμοία αὐτῇ. ἀγαπήσεις τὸν πλησίον σου
» ὡς σεαυτόν. ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

Ἐξ ἀμέτρου φθόνου πρόσεισιν ὁ πειράζων. ἐπεὶ γὰρ εἶδον καταισχυνθέντας τοὺς Σαδ-
δουκαίους, καὶ ἐπαινούμενον τὸν κύριον ἐπὶ τῇ σοφίᾳ, προσίασι πειράζοντες εἰ προστί-
θησι τῇ ἐντολῇ τῇ πρώτῃ, ὡς διορθούμενος τὸν νόμον, ἵνα εὕρωσι λαβὴν κατ' αὐτοῦ.
ὁ δὲ κύριος δημοσιεύων αὐτῶν τὴν κακίαν, ὅτι οὐ διὰ τὸ μαθεῖν ἦλθον, ἀλλ' ἀπὸ τοῦ μὴ
ἔχειν ἀγάπην, διὰ τὸ φθονεῖν δὲ μᾶλλον καὶ ζηλοτυπεῖν, δείκνυσι τὴν ἀγάπην ὑπερέ-
χουσαν τῶν ἐντολῶν. καὶ διδάσκει ὅτι οὐ μερικῶς δεῖ ἀγαπᾶν τὸν θεὸν, ἀλλ' ὅλους
ἑαυτοὺς διδόναι τῷ θεῷ. τρεῖς γὰρ ταύτας περὶ τὴν τοῦ ἀνθρώπου ψυχὴν κατανοοῦμεν
διαφορὰς, τὸ φυτικὸν. τὸ ζωῶδες. τὸ λογικόν. καθ' ὃ μὲν γὰρ αὔξεται καὶ τρέφε-
ται καὶ τὸ ὅμοιον γεννᾷ, τοῖς φυτοῖς ὁμοιοῦται. καθ' ὃ δὲ θυμοῦται καὶ ἐπιθυμεῖ,
τοῖς ζώοις. καθ' ὃ δὲ διανοεῖται, λογικὸς λέγεται. ὅρα οὖν ἐνταῦθα σημαινόμενα ταῦ-
τα τὰ τρία. ἀγαπήσεις τὸν θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου. τοῦτο, τὸ ζωῶδες μέρος τοῦ
ἀνθρώπου. καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου. τοῦτο, τὸ φυτικόν. ἔμψυχα γὰρ τὰ φυτά. καὶ
ἐν ὅλῃ τῇ διανοίᾳ σου. τοῦτο, τὸ λογικόν. ὥστε τὸ δεῖν ἀγαπᾶν τὸν θεὸν ὁλοψύχως, τοῦ-
τό ἐστι. τὸ διὰ πάντων τῶν τῆς ψυχῆς μερῶν καὶ δυνάμεων αὐτῷ προσέχειν. αὕτη
πρώτη καὶ μεγάλη ἐντολὴ, εἰς εὐσέβειαν ἡμᾶς γυμνάζουσα. δευτέρα δὲ ὁμοία αὐτῇ
εἰς τὰ πρὸς ἀνθρώπους δίκαια διεγείρουσα. δύο γάρ εἰσι τὰ εἰς ἀπώλειαν φέροντα.
δόγματα πονηρὰ, καὶ βίος διεφθαρμένος. ἵνα μὲν οὖν μὴ ἐμπέσωμεν εἰς δόγματα
ἀσεβῆ, δεῖ ἀγαπᾶν τὸν θεόν. ἵνα δὲ μὴ ἔχωμεν βίον διεφθαρμένον, δεῖ ἀγαπᾶν τὸν πλη-
σίον. ὁ γὰρ ἀγαπῶν τὸν πλησίον, πάσας τὰς ἐντολὰς πληροῖ. καὶ ὁ πληρῶν τὰς ἐν-
τολὰς, ἀγαπᾷ τὸν θεόν. ὥστε δι' ἀλλήλων συγκροτοῦνται καὶ συνίστανται αἱ δύο αὗ-
ται ἐντολαί. καὶ περιέχουσι πάσας τὰς ἄλλας ἐντολάς. τίς γὰρ ἀγαπῶν τὸν θεὸν
καὶ τὸν πλησίον, ἢ κλέψει. ἢ μνησικακήσει. ἢ μοιχεύσει. ἢ φονεύσει. ἢ πορνεύσει. οὗ-
τος δὲ ὁ νομικὸς, ἐξ ἀρχῆς μὲν πειράζων ἦλθεν. εἶτα ἀπὸ τῆς τοῦ χριστοῦ ἀποκρίσεως
Μάρκος. ιβ'. βελτιωθεὶς, ἐπῃνέθη ὡς καὶ ὁ Μάρκος φησὶν, ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, ἠγάπη-
σεν αὐτὸν, καὶ εἶπεν αὐτῷ. οὐ μακρὰν εἶ τῆς βασιλείας τοῦ θεοῦ.

» Συνηγμένων δὲ τῶν φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων. τί ὑμῖν δοκεῖ
Ψαλ. ρθ'. » περὶ τοῦ χριστοῦ, τίνος υἱός ἐστι. λέγουσιν αὐτῷ. τοῦ Δαβίδ. λέγει αὐτοῖς. πῶς οὖν Δα-
» βὶδ ἐν πνεύματι, κύριον αὐτὸν καλεῖ, λέγων. εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ
» δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. εἰ οὖν Δαβὶδ κα-
» λεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστί. καὶ οὐδεὶς ἐδύνατο ἀποκριθῆναι αὐτῷ λόγον.
» οὐ δὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκ ἔτι.

Ἐπειδὴ ψιλὸν ἄνθρωπον αὐτὸν ἐνόμιζον εἶναι, ἀνατρέπει αὐτῶν τὴν δόξαν. καὶ διδά-
σκει τὸ ἀληθὲς διὰ τῆς τοῦ Δαβὶδ προφητείας, ὅτι καὶ κύριός ἐστι, τὴν θεότητα τὴν
ἑαυτοῦ ἀνακηρύττων. εἰπόντων γὰρ τῶν φαρισαίων ὅτι υἱός ἐστι τοῦ Δαβὶδ ὁ χριστὸς, του-
τέστιν

τέστιν ἄνθρωπος ψιλὸς, φησί. πῶς οὖν ὁ Δαβὶδ κύριον αὐτὸν ὀνομάζει. καὶ οὐχ ἁπλῶς κύριον, ἀλλ' ἐν πνεύματι. τουτέστι διὰ τῆς τοῦ πνεύματος χάριτος ἀποκαλυφθεὶς αὐτῷ· οὐκ ἀρνούμενος δὲ τὸ εἶναι υἱὸς Δαβὶδ ταῦτα λέγει, ἀλλὰ τοῦτο δεικνύων, ὅτι οὐκ ἔστι ψιλὸς ἄνθρωπος, ἐκ μόνου τοῦ δαυϊτικοῦ σπέρματος καταγόμενος· ταῦτα δὲ ἐρωτᾷ ὁ κύριος, ὡς ἂν ἢ εἰπόντες ὅτι, οὐκ οἴδαμεν, ἐρωτήσωσι καὶ μάθωσιν. ἢ εἰπόντες τὸ ἀληθὲς, πιστεύσωσιν. ἢ μηδὲν ἔχοντες εἰπεῖν, καταισχυνθῶσι καὶ ἀναχωρήσωσι, μηκέτι τολμῶντες ἐρωτῆσαι αὐτόν·

Κεφάλαιον εἰκοστὸν τρίτον·

» Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ, λέγων. ἐπὶ τῆς Μω-
» σέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι· πάντα οὖν ὅσα ἂν εἴπωσιν
» ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε. κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. λέγουσι γὰρ καὶ
» οὐ ποιοῦσιν. Ὅτε αὐτοὺς ἐπεστόμισε, καὶ ἔδειξεν ἀνίατα νοσοῦντας, τότε περὶ αὐτῶν λέγει· περὶ βίου δὲ καὶ πολιτείας διαλέγεται, διορθούμενος τοὺς ἀκούοντας. ἵνα μὴ καταφρονῶσι τῶν διδασκάλων, κἂν διεφθαρμένου βίου ὦσιν· ἅμα δὲ δείκνυσιν ὅτι οὐδὲ τῷ νόμῳ ἐναντιοῦται. ἀλλὰ μᾶλλον θέλει τὰ τοῦ νόμου πράττεσθαι, κἂν οἱ ταῦτα διδάσκοντες ἀνάξιοι ὦσιν· ὅσα γάρ φησι λέγουσιν οἱ διδάσκαλοι, τὸν Μωϋσῆν νομίζετε ταῦτα λέγειν, μᾶλλον δὲ τὸν θεόν· ἆρ' οὖν πάντα ὅσα λέγουσι δεῖ ποιεῖν, κἂν κακὰ ὦσι; λέγομεν οὖν, πρῶτον μὲν ὅτι οὐδὲ τολμήσειέ ποτε ὁ διδάσκων προτρέψασθαί τινα εἰς κακόν· ἔπειτα εἰ καὶ δῶμεν τοῦτο, ὅτι ἔσται τις εἰς κακὸν βίον προτρεπόμενος, οὐκ ἀπὸ τῆς Μωσέως καθέδρας ὁ τοιοῦτος, οὐδ' ἀπὸ τοῦ νόμου φθέγγεται· ὁ δὲ κύριος, περὶ τῶν ἐν τῇ Μωσέως καθέδρᾳ καθημένων λέγει. τουτέστι τῶν τὰ τοῦ νόμου διδασκόντων· δεῖ οὖν τῶν διδασκόντων τι ἀπὸ τοῦ θείου νόμου ἀκούειν, κἂν αὐτοὶ μὴ ποιῶσιν·

» Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους
» τῶν ἀνθρώπων. τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά· πάντα δὲ τὰ ἔργα
» αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι δὲ τὰ φυλακτήρια
» αὐτῶν. καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν· Φορτία βαρέα ἐπετίθεσαν οἱ φαρισαῖοι, ἀναγκάζοντες τοὺς ἀνθρώπους τὰς ἐντολὰς τοῦ νόμου ἐκπληροῦν. λεπτὰς οὔσας καὶ δυσφυλάκτους· ἢ καὶ πλείω τῶν ἐντολῶν τοῦ νόμου ἐβάρυνον, παραδόσεις τινὰς παραδιδόντες ἐπέκεινα τοῦ νόμου, αὐτοὶ δὲ τῷ δακτύλῳ αὐτῶν μὴ κινοῦντες. τουτέστι μηδὲν αὐτοὶ ἐνεργοῦντες, μηδὲ πλησιάσαι τολμῶντες τοῖς τοιούτοις φορτίοις· ὅταν γὰρ ὁ διδάσκων, οὐ μόνον διδάσκῃ ἀλλὰ καὶ πράττει, δοκεῖ συμβαστάζειν καὶ συνεργεῖν τοῖς διδασκομένοις· ὅταν δὲ ἐμὲ μὲν ἐπιφορτίζῃ, αὐτὸς δὲ μηδὲν πράττῃ, βαρύνει μᾶλλον ἐμέ. δεικνύων δὲ ἐξ ὧν αὐτὸς ἀμελεῖ, ὡς ἀδύνατόν ἐστι κατορθωθῆναι ἃ λέγει· ἐγκαλεῖ τοίνυν ὁ κύριος τοῖς φαρισαίοις, ὡς μὴ θέλουσι συμβαστάζειν τὰ βάρη τῶν ἐντολῶν, καὶ συμπράττειν· οὐ μόνον δὲ οὐ ποιοῦσι τι ἀγαθὸν, ἀλλὰ καὶ σχηματίζονται ὡς ποιοῦντες· καίτοι κἂν ἐποίουν, διὰ δὲ τὸ θεαθῆναι ἐποίουν, ὑφῃρεῖτο ἂν αὐτοῖς τὸ κέρδος· νῦν δὲ πόσης καταδίκης ἄξιοι, ὅταν οὔτε ποιῶσι, καὶ θέλωσι δοξάζεσθαι ὡς ποιοῦντες. τί δὲ ποιοῦσι. πλατύνουσι τὰ φυλακτήρια αὐτῶν. καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν· τοῦτο δὲ τοιοῦτον ἦν· ἐν τῷ νόμῳ ἔκειτο. ἐφάψατε ἐπὶ τῆς χειρὸς ὑμῶν, καὶ ἔσται ἀσάλευτα πρὸ ὀφθαλμῶν ὑμῶν· ἔγραφον οὖν ἐπὶ δύο διφερίων, τουτέστι χαρτίων, τὰς δέκα τοῦ νόμου ἐντολάς. καὶ ἐτίθεσαν τὸ μὲν ἓν ἐπὶ τοῦ μετώπου αὐτῶν. τὸ δὲ ἕτερον ἐκρέμων ἐπὶ τῆς δεξιᾶς· τὰ δὲ κράσπεδα ἐποίουν ἐπὶ τῶν ἄκρων τῶν ἱματίων, ὑακίνθινά τινα ἢ κόκ- Δευτε. ϛ'.

κινα κλώσματα οἷον κροσσούς. καὶ τοῦτο δὲ ἐν τῷ νόμῳ εὗρον κείμενον. ἵνα ὁρῶντες αὐτὰ, μὴ ἐπιλανθάνωνται τῶν ἐντολῶν τοῦ θεοῦ. ὁ δὲ θεὸς οὐ τοῦτο ἐβούλετο. ἀλλὰ τὸ μὲν ἔχειν ἐπὶ τῆς χειρὸς τὸ φυλακτήριον, ἐσήμαινε τὸ δεῖν ἐργάζεσθαι τὰς ἐντολάς. τὸ δὲ κόκκινα εἶναι τὰ κράσπεδα, ἐδήλου ὅτι δεῖ ἡμᾶς τῷ αἵματι τοῦ χριστοῦ σημειοῦσθαι. ἐκεῖνοι δὲ ἐποίουν τά τε φυλακτήρια μεγάλα καὶ τὰ κράσπεδα, ἵνα δόξωσι νομοφύλακες εἶναι τοῖς ὁρῶσι ταῦτα. [Ἀριθ. κε. ιε.]

» Φιλοῦσι δὲ τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ῥαββί. Βαβαὶ οἷον λέγει. διότι γὰρ φιλοῦσι, διὰ τοῦτο κατακρίνονται. εἰ δὲ ὁ μόνον φιλῶν τὴν πρωτοκλισίαν ψέγεται, ὁ καὶ πάντα πράττων ὑπὲρ ταύτης, τίνος ἄξιος. καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς. ἔνθα μᾶλλον ὤφειλον καὶ τοὺς ἄλλους διδάσκειν ταπεινοφρονεῖν, ἐκεῖ αὐτοὶ ἐκεῖνοι διεφθείροντο. πάντα γὰρ ἔπραττον ὑπὲρ δόξης. καὶ ταῦτα πράττοντες οὐκ ἐπῃσχύνοντο. ἀλλὰ μᾶλλον ἤθελον καλεῖσθαι ῥαββὶ ῥαββί. τουτέστι διδάσκαλοι.

Ἰακώ. γ΄. » Ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί. εἷς γάρ ἐστιν ὑμῶν ὁ διδάσκαλος, ὁ χριστός. καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς. εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. μηδὲ κληθῆτε καθηγηταί. εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητὴς, ὁ χριστός. ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διάκονος. ὅστις δὲ ὑψώσει ἑαυτὸν, ταπεινωθήσεται. καὶ ὅστις ταπεινώσει ἑαυτὸν, ὑψωθήσεται. Οὐ κωλύει ὁ χριστὸς τὸ καλεῖσθαί τινα διδάσκαλον, ἀλλὰ τὸ ἐμπαθῶς θέλειν καλεῖσθαι, καὶ πάντα τρόπον σπουδάζειν εἰς τὸ κληθῆναι. τὸ γὰρ διδασκαλικὸν ἀξίωμα, μόνῳ πρόσεστι κυρίως θεῷ. πατέρα δὲ μὴ καλέσητε λέγων, οὐ κωλύει τὴν πρὸς τοὺς γονεῖς τιμήν. ἐπεὶ θέλει ἡμᾶς τιμᾶν τοὺς γονεῖς, καὶ μάλιστα τοὺς πνευματικοὺς πατέρας. ἀλλὰ πρὸς τὸν ἀληθῆ πατέρα ἐπιγινώσκειν, τουτέστι τὸν θεὸν, ἀνάγει. κυρίως γὰρ πατὴρ ὁ θεός. οἱ δὲ σωματικοὶ, οὐκ αἴτιοι τῆς γεννήσεως, ἀλλ' ὑπουργοὶ καὶ συναίτιοι. δεικνύων δὲ τὸ κέρδος τῆς ταπεινοφροσύνης, φησὶν ὅτι, ὁ μείζων ὑμῶν ὀφείλει εἶναι ὑμῶν διάκονος καὶ ἔσχατος. ὃς γὰρ ὑψώσει ἑαυτὸν οἰηθεὶς εἶναί τι, ταπεινωθήσεται, ἐγκαταλειφθεὶς ὑπὸ τοῦ θεοῦ.

» Οὐαὶ δὲ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι. διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα. Ὑποκριτὰς τούτους καλεῖ, ὡς ἐπαγγελλομένους εὐλάβειαν καὶ μηδὲν τοιοῦτας ἄξιον τῆς ἐπαγγελίας. ἀλλὰ προφάσει τοῦ προσεύχεσθαι μακρὰ, τουτέστιν ἐπὶ πολὺν καιρὸν, κατεσθίοντας τὰ τῶν χηρῶν χρήματα. τῷ ὄντι γὰρ ἐμπαῖκται ἦσαν, καταγελῶντες τῶν ἁπλουστέρων καὶ ἐκμυελίζοντες αὐτούς. διὸ καὶ περισσότερον λήψεσθε κρίμα, διότι ἅπαντα τὰ τῶν χηρῶν κατεσθίετε. αἷς ἔδει μᾶλλον ἐπιχορηγεῖν, καὶ τὴν πενίαν αὐτῶν διορθοῦσθαι. καὶ ἄλλως δὲ περισσότερον ἔσται τὸ κατάκριμα, ὅτι διὰ προσχήματος ἀγαθοῦ ἔργου, τοῦ προσεύχεσθαι, πονηρόν τι κατεργάζονται, τὸ κατεσθίειν τὰ τῶν χηρῶν. πλείστης γὰρ κατακρίσεως ἄξιος, ὁ διὰ προσχήματος ἀγαθοῦ δελεάζων εἰς τὸ κακόν.

» Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων. ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. Οὐ μόνον φησὶν ὑμεῖς ἄπιστοί ἐστε, καὶ τὸν βίον διεφθαρμένον ἔχετε, ἀλλὰ καὶ ἑτέρους διδάσκετε μὴ πιστεύειν ἐμοί. καὶ διὰ τοῦ βίου τοῦ ὑμετέρου καὶ τοῦ ὑποδείγματος διαφθείρετε. εἴωθε γὰρ ὁ λαὸς ὁμοιοῦσθαι τοῖς ἄρχουσι, καὶ μᾶλλον

εἰ πρὸς

εἰ πρὸς τὸ κακὸν ῥέποντας ὁρᾷ τούτους. πᾶς οὖν πονηρὸς διδάσκαλος καὶ ἄρχων, ὁράτω τί κερδαίνει, ὅτι τὸ οὐαί. ὡς διὰ τοῦ οἰκείου βίου μὴ ἐῶν τινὰς προκόπτειν εἰς τὸ ἀγαθόν.

» Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι περιάγετε τὴν θάλασσαν
» καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον. καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέν-
» νης διπλότερον ὑμῶν. Οὐ μόνον φησὶ τοὺς Ἰουδαίους διαφθείρετε, ἀλλὰ καὶ τοὺς ἐξ εἰδωλολατρῶν προσελθόντας τῇ Ἰουδαϊκῇ θρησκείᾳ. τούτους γὰρ προσηλύτους ὠνόμαζον. σπουδάζετε μὲν γὰρ ἐπιστρέψαι τινὰ πρὸς τὴν Ἰουδαϊκὴν ἀγωγὴν καὶ περιτομήν. ὅταν δὲ Ἰουδαΐσῃ, τότε ἀπόλλυται, διαφθειρόμενος ὑπὸ τῆς ὑμῶν κακίας. υἱὸς δὲ γεέννης, ὁ ἄξιος ταύτης, καὶ οἰκειότητά τινα πρὸς αὐτὴν ἔχων ὥστε καυθῆναι ὑπ' αὐτῆς.

» Οὐαὶ ὑμῖν ὁδηγοὶ τυφλοὶ, οἱ λέγοντες. ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν. ὃς δ' ἂν
» ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει. μωροὶ καὶ τυφλοί. τίς γὰρ μείζων ἐστὶν, ὁ χρυσὸς;
» ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν. καὶ ὃς ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν. ὃς δ' ἂν
» ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. μωροὶ καὶ τυφλοί. τί γὰρ μεῖζον, τὸ δῶ-
» ρον, ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον. ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει ἐν αὐ-
» τῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ. καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ
» κατοικοῦντι αὐτόν. καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ θεοῦ, καὶ ἐν τῷ
» καθημένῳ ἐπάνω αὐτοῦ. Τυφλοὺς αὐτοὺς ὀνομάζει, ὡς μὴ θέλοντας τὰ πρέποντα διδάσκειν. καὶ τὰ μὲν ἐλαχιστότερα τιμῶντας, τὰ δὲ τιμῆς ἄξια, δευτέρου λόγου ἀξιοῦντας. καὶ γὰρ τὸν χρυσὸν τὸν ἐν τῷ ναῷ, καὶ τὰ χερουβὶμ καὶ τὴν στάμνον τὴν χρυσῆν, προετίμων αὐτοῦ τοῦ ναοῦ. διὸ καὶ τοὺς πολλοὺς ἐδίδασκον ὅτι οὐδέν ἐστι τὸ κατὰ τοῦ ναοῦ ὀμνύειν. ἀλλὰ τὸ εἰς τὸν χρυσὸν τὸν τῷ ναῷ περικείμενον. ὃς διὰ τοῦτο πάντως αἰδέσιμος ἦν, ὅτι τῷ ναῷ περιέκειτο. καὶ τὰ δῶρα δὲ τὰ ἐπὶ τοῦ θυσιαστηρίου τιθέμενα, τιμιώτερα ἔλεγον εἶναι αὐτοῦ τοῦ θυσιαστηρίου. ὥστε καὶ οὕτως ἐδογμάτιζον οἱ φαρισαῖοι, ὅτι ἐάν τις ὤμοσε κατὰ τοῦ χρυσοῦ σκεύους, ἢ βοὸς ἢ προβάτου εἰς θυσίαν προσαχθέντος, εἶτα ἐπιώρκησε, κατεδικάζετο τὰ ἴσα ἀποτίσαι. τὸ γὰρ δῶρον, τοῦ θυσιαστηρίου προετίμων διὰ τὰ ἐκ τῶν θυσιῶν κέρδη. εἰ δὲ κατὰ τοῦ ναοῦ ὀμόσας ἐπιώρκησεν, ἐπεὶ οὐκ ἠδύνατο ὅμοιον τῷ ναῷ κτίσαι, διὰ τοῦτο ἀπελύετο. καὶ ἐδόκει λοιπὸν ἐλαφρότερος εἶναι ὁ ὅρκος ὁ εἰς τὸν ναὸν, διὰ τὸ φιλοκερδὲς τῶν φαρισαίων. ἐπὶ μὲν οὖν τῆς παλαιᾶς, οὐ συγχωρεῖ ὁ Χριστὸς μεῖζον εἶναι τὸ δῶρον, τοῦ θυσιαστηρίου. ἐφ' ἡμῶν δὲ τὸ θυσιαστήριον ὑπὸ τῶν δώρων ἁγιάζεται μᾶλλον. εἰς γὰρ τὸ δεσποτικὸν σῶμα αὐτὸ ἐκεῖνο μεταβάλλονται θείᾳ χάριτι οἱ ἄρτοι. διὸ καὶ ἁγιάζεται ὑπὸ τούτων τὸ θυσιαστήριον.

» Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον
» καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ
» τὸν ἔλεον καὶ τὴν πίστιν. ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. ὁδηγοὶ τυφλοί.
» οἱ διυλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες. Πάλιν ὀνειδίζει αὐτοὺς ὡς ἀνοήτους, διότι τῶν μειζόνων ἐντολῶν καταφρονοῦντες, ἐν τοῖς μικροῖς ἐζήτουν τὴν ἀκρίβειαν. οὐ δὲ τὴν τοῦ κυμίνου δεκάτωσιν παρορῶντες, ἀλλὰ κἀκεῖνο ἀποδεκατοῦντες. καὶ εἴ τις αὐτοὺς κατεμέμψατο ὡς μικρολόγους προέφερον ὅτι ὁ νόμος τοῦτο λέγει. κρεῖττον δὲ ἦν καὶ θεαρεστότερον, εἰ τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν ἀπῄτουν παρὰ τοῦ λαοῦ. τίς δέ ἐστιν ἡ κρίσις. τὸ μηδὲν ἄδικον καὶ ἄλογον ποιεῖν, ἀλλὰ πάντα κεκριμένως καὶ μετὰ λόγου. αὐτίκα γὰρ τῇ κρίσει ἕπεται καὶ ὁ ἔλεος.

ὁ γὰρ κεκριμένως ποιῶν πάντα, οἶδε καὶ τίνας δεῖ ἐλεεῖν· τῷ δὲ ἐλέῳ ἕπεται ἡ πίστις· ὁ γὰρ ἐλεῶν πιστεύει πάντως ὅτι οὐδὲν ἀπολέσει, ἀλλὰ πάντα λήψεται· ἄλλως τε, δεῖ ἐλεεῖν, ἀλλὰ καὶ πιστεύειν θεῷ ἀληθινῷ. πολλοὶ γὰρ τῶν Ἑλλήνων ἔλεον μὲν εἶχον. μὴ πιστεύοντες δὲ εἰς τὸν ζῶντα θεὸν, οὐκ εἶχον τῷ ἐλέῳ ἑπομένην τὴν πίστιν. δεῖ οὖν ἕκαστον τῶν διδασκάλων, ἀποδεκατοῦν ἀπὸ τοῦ λαοῦ αὐτοῦ, τουτέστιν ἀπαιτεῖν ἀπὸ τῶν δέκα αἰσθήσεων, τῶν πέντε σωματικῶν καὶ τῶν πέντε ψυχικῶν, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· τὸ δὲ ταῦτα ἔδει ποιῆσαι εἶπεν ὁ κύριος, οὐ προστιθέμενος ἐπὶ τὸ ἀποδεκατοῦν τὰ λάχανα, ἀλλ' ἵνα μὴ δόξῃ ἀντινομοθετεῖν τέως τῷ Μωσεῖ· ὁδηγοὺς δὲ τυφλοὺς αὐτοὺς ὀνομάζει, διότι αὐχοῦντες διδάσκειν καὶ πάντα εἰδέναι, οὐδένα ὠφέλουν. ἀλλὰ καὶ μᾶλλον πάντας διέφθειρον, εἰς βόθρον ῥίπτοντες ἀπιστίας· τὸν κώνωπα δὲ διυλίζοντας τούτους ὀνομάζει, ὡς τὰ μὲν μικρὰ ἁμαρτήματα παραφυλαττομένους. τὴν δὲ κάμηλον ἤτοι τὰ μεγάλα, καταπίνοντας καὶ παρορῶντας·

» Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ
» ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας· φαρισαῖε
» τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ
» τὸ ἐκτὸς αὐτῶν καθαρόν· Τὰς παραδόσεις τῶν πρεσβυτέρων κρατοῦντες, ἔπλυνον τὰ ποτήρια καὶ τὰς παροψίδας. τουτέστι τοὺς πίνακας ἐν οἷς τὰ ὄψα τίθενται· ἐξ ἁρπαγῆς δὲ ἔπινον οἶνον, καὶ ἐδέσματα ἤσθιον. ἃ ἐμόλυνον μᾶλλον αὐτά· μὴ κτήσῃ οὖν φησὶν οἶνον ἐξ ἀδικίας, καὶ γίνεται λοιπὸν τὸ ἔσωθεν τοῦ ποτηρίου καθαρόν· ἢ οὐ περὶ ποτηρίων καὶ πινάκων λέγει, ἀλλὰ περὶ τῆς σωματικῆς καὶ ἔξω καταστάσεως, καὶ τῆς ἔσω καὶ πνευματικῆς. σὺ μὲν γάρ φησι, τὸ ἔξω τοῦ ποτηρίου, τουτέστι τὴν ἔξω σου κατάστασιν, σχηματίζεις εἰς τὸ σεμνοπρεπέστερον. τὸ δὲ ἔσω σου γέμει ῥύπου· ἁρπάζεις γὰρ καὶ ἀδικεῖς. δεῖ δὲ τὰ ἔσω πλύνειν. τουτέστι τὴν ψυχήν. ἵνα τῇ καθαρότητι τῆς ψυχῆς, συνεκλάμψῃ καὶ ἡ ἔξωθεν σεμνοπρέπεια·

» Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι παρομοιάζετε τάφοις
» κεκονιαμένοις. οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νε-
» κρῶν, καὶ πάσης ἀκαθαρσίας· οὕτω καὶ ὑμεῖς, ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώ-
» ποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας· Καὶ αὕτη ἡ παραβολὴ ὁμοίως νοεῖται τῇ προλαβούσῃ· ἐσπούδαζον γὰρ τὴν μὲν ἔξωθεν κατάστασιν σεμνοὶ φαίνεσθαι, ὥσπερ οἱ τάφοι οἱ κεκονιαμένοι. τουτέστι τῇ γύψῳ καὶ τῇ ἀσβέστῳ λελευκασμένοι. τὰ δὲ ἔσω, πάσης ἀκαθαρσίας καὶ νεκρῶν καὶ σεσηπότων ἔργων ἦσαν πλήρεις·

» Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν
» προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε. εἰ ἦμεν ἐν ταῖς ἡμέ-
» ραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν·
» ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας·
Ταλανίζει αὐτοὺς οὐχ ὅτι οἰκοδομοῦσι τοὺς τάφους τῶν προφητῶν, τοῦτο γὰρ θεάρεστον, ἀλλ' ὅτι προσποιούμενοι ταῦτα, καὶ δῆθεν καταγινώσκοντες τῶν πατέρων αὐτῶν, χείρονα ἐκείνων ἐποίουν. καὶ ὑπερνικῶντες ἦσαν ἐκείνους τῇ κακίᾳ. ψευδόμενοι προφανῶς. ὅτι, εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἐφονεύομεν τοὺς προφήτας. αὐτοὶ γὰρ τὸν τῶν προφητῶν δεσπότην ἔμελλον φονεῦσαι· διὸ καὶ φησίν·

» Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν· ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς
» φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης· Οὐκ ἐπιτάττων αὐτοῖς, ἢ συνωθῶν πρὸς τὸ

φονεῦσαι

φονεῦσαι αὐτὸν, λέγει τὸ, πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. ἀλλὰ τοιοῦτόν τι λέγει. ἐπειδὴ ὄφεις ἐστὲ καὶ γεννήματα τοιούτων πατέρων, καὶ εἰς τοσαύτην κακίαν ἐξετραχηλίσθητε ὥστε ἀνιάτως ἔχειν, συντομώτερον σπουδάσατε νικῆσαι τοὺς πατέρας ὑμῶν· τοῦτο δὲ ἔσται ἐὰν ἐμὲ φονεύσητε· αὐτὸ γὰρ τὸ ἀκρότατον τῆς κακίας καταλήψεσθε, ἐὰν τὴν ἐλλείπουσαν τοῖς πατράσιν ὑμῶν μιαιφονίαν ἀναπληρώσητε· πῶς οὖν τοιοῦτοι ὄντες, φύγητε τὴν κόλασιν·

» Διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς, προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς.
» καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε. καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συνα-
» γωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν· Ἐλέγχει αὐτοὺς ψευδῶς εἰπόντας ὅτι, εἰ ἤμεθα ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἐφονεύομεν τοὺς προφήτας· ἰδοὺ γάρ φησιν, ἐγὼ ἀποστέλλω προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς. ἀλλ' ὅμως ἀποκτενεῖτε αὐτούς· περὶ δὲ τῶν ἀποστόλων ταῦτα λέγει. τὸ γὰρ ἅγιον πνεῦμα, καὶ διδασκαλίαις αὐτοὺς κοσμῆσαν, γραμματεῖς ἐποίησε, τουτέστι τοῦ λαοῦ διδασκάλους, καὶ προφήτας καὶ σοφίας πάσης πεπληρωμένους· ἀποστέλλω δὲ εἶπε, δεικνὺς τὸ τῆς θεότητος ἐξουσιαστικόν·

» Ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵ-
» ματος Ἄβελ, τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε
» μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου· ἀμὴν λέγω ὑμῖν, ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν Παρα· β΄·
» γενεὰν ταύτην· Ἐπὶ τοὺς τότε ὄντας Ἰουδαίους φησὶν ἥξειν πᾶν αἷμα ἀδίκως ἐκ- κεφ· ι΄·
χυθέν· χεῖρον γὰρ τιμωρηθήσονται παρὰ τοὺς πατέρας αὐτῶν, οἱ μὴ δὲ μετὰ τοσαῦτα παραδείγματα σωφρονισθέντες· ὥσπερ καὶ ὁ Λάμεχ παρὰ τὸν Κάϊν πλέον ἐκολάσθη, Γεν· δ΄·
καίτοι οὐκ ἀδελφὸν ἀνελών, διότι οὐκ ἐσωφρονίσθη τῷ κατὰ τὸν Κάϊν ὑποδείγματι· ἥξει οὖν φησιν ἐφ' ὑμᾶς πᾶν αἷμα, ἀπὸ Ἄβελ ἕως Ζαχαρίου· εὐκαίρως δὲ ἐμνήσθη τοῦ Ἄβελ· ὡς γὰρ ὁ Ἄβελ διὰ φθόνον ἀνῃρέθη, οὕτω καὶ ὁ Χριστὸς φθονηθείς· ποίου δὲ Ζαχαρίου ἐνταῦθα μέμνηται· οἱ μὲν, τοῦ ἐν τοῖς δώδεκα προφήταις φασὶ συναριθμουμένου· οἱ δὲ, τοῦ πατρὸς τοῦ προδρόμου· λόγος γὰρ ἔχει παραδοθεὶς ἡμῖν, ὅτι τόπος τὶς ἦν ἐν τῷ ναῷ, ἐν ᾧ ἵσταντο αἱ παρθένοι· ὁ τοίνυν Ζαχαρίας ἀρχιερεὺς ὤν, καὶ μετὰ τὸ τεκεῖν τὸν Χριστὸν τὴν θεοτόκον ἔστησεν ἐν τῷ τόπῳ τῶν παρθένων· ἀγανακτήσαντες δὲ ἐπὶ τούτῳ οἱ Ἰουδαῖοι, ἀπέκτειναν αὐτὸν, ὡς μετὰ τῶν παρθένων τάξαντα γυναῖκα γεννήσασαν· οὐδὲν δὲ θαυμαστὸν εἰ καὶ ὁ πατὴρ τοῦ προδρόμου εἶχε πατέρα Βαραχίαν ὀνόματι. ὥσπερ καὶ ὁ ἐν τοῖς δώδεκα προφήταις, Βαραχίου λέγεται υἱός· εἰκὸς γὰρ ὥσπερ τὰ τούτων ὀνόματα συνέδραμον, οὕτω καὶ τὰ τῶν πατέρων αὐτῶν·

» Ἱερουσαλὴμ Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀ-
» πεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρό-
» πον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε· ἰδοὺ
» ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος· λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν
» εἴπητε. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· Διπλασιάζει τὸ ὄνομα τῆς Ἱερουσαλὴμ, ἐλεῶν αὐτὴν καὶ ἀνακαλούμενος συμπαθῶς· ὥσπερ γὰρ πρός τινα φιλουμένην μὲν διακαῶς, καταφρονοῦσαν δὲ τοῦ φιλοῦντος, ἀπολογεῖται, μέλλων ἐπάγειν τὴν κόλασιν· αἰτιᾶται γὰρ αὐτὴν ὡς φονικήν. καὶ ὅτι πολλάκις θέλοντος αὐτοῦ ἐλεῆσαι ταύτην, αὐτὴ οὐκ ἠθέλησε. ἀλλὰ τῷ διασκορπίζοντι αὐτὴν πειθομένη διαβόλῳ, καὶ ἀπάγοντι ἀπὸ τῆς ἀληθείας, ἥτις ἑνοειδές τι χρῆμα ἐστὶ, τὸν συνάγοντα κύριον οὐκ ἐδέχετο· οὐδὲν γὰρ οὕτω σκορπίζει ἀπὸ θεοῦ, ὡς ἁμαρτία· ὥσπερ αὖ συνάγει πρὸς θεὸν τὸ ἀγαθὸν συνειδός· τὴν φιλοστοργίαν δὲ ἐνδεικνύμενος, τὸ τῆς ὀρνι-

θος ὑπόδειγμα τέθεικε. διὸ ἐπεὶ οὐ θέλετε, ἀφίημι τὸν ναὸν ἔρημον. ἐντεῦθεν δὲ μανθάνομεν ὅτι δι' ἡμᾶς, κατοικεῖ καὶ τοὺς ναοὺς ὁ θεός. ὅταν δὲ ἡμεῖς ἀπεγνωσμένοι ὦμεν, τότε καὶ οἱ ναοὶ ἀφίενται. οὐ μὴ οὖν με ἴδητε ἄχρι τῆς δευτέρας παρουσίας. τότε γὰρ καὶ ἄκοντες αὐτὸν προσκυνήσουσι. καὶ ἐροῦσι τὸ, εὐλογημένος ὁ ἐρχόμενος. τὸ δὲ ἀπ' ἄρτι, ἀντὶ τοῦ μετὰ τὸ σταυρωθῆναι νόησον, μὴ μέντοι γε τὴν ὥραν ἐκείνην καθ' ἣν ταῦτα ἔλεγε. εἶδον γὰρ αὐτὸν ἀφ' οὗ ἐλάλησε ταῦτα πολλάκις. μετὰ μέντοι τὸ σταυρωθῆναι, οὐκ εἶδον αὐτὸν, οὐδὲ ἴδωσιν ἄχρις ἂν ἐνστῇ ἡ παρουσία αὐτοῦ.

Κεφάλαιον Εἰκοστὸν τέταρτον.

» Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ. καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ
» αὐτοῦ, ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. βλέπετε
» ταῦτα πάντα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται. Ἐξελθὼν ἀπὸ τοῦ ἱεροῦ, ἔδειξεν ὅτι ἀπὸ τῶν Ἰουδαίων μεταστήσεται. καὶ καθὼς εἶπεν ὅτι, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος, οὕτω δὴ καὶ ποιεῖ. καὶ προλέγει τὴν κατάλυσιν τοῦ ναοῦ τοῖς μαθηταῖς. ἐπειδὴ γὰρ ἐκεῖνοι πρόσγεια φρονοῦντες, περὶ τὰ κάλλη τῶν οἰκοδομημάτων ἐπτόηντο, καὶ ὡσανεὶ ἐδείκνυον τῷ χριστῷ. ἴδε ποίου οἴκου κάλλη ἀφίης ἔρημα, ἀπάγει αὐτοὺς τοῦ μὴ προσηλῶσθαι τοῖς ἐπιγείοις, καὶ ἐπὶ τὴν ἄνω Ἱερουσαλὴμ παραπέμπει. οὐ μὴ μείνῃ λέγων ὧδε λίθος ἐπὶ λίθον. τοῦτο δὲ εἶπε, τὴν παντελῆ ἀπώλειαν τῆς οἰκοδομῆς αἰνιττόμενος, καὶ ὑπερβολικὸν τὸν λόγον ποιούμενος.

» Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐ-
» τοῦ κατ' ἰδίαν, λέγοντες. εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται. καὶ τί τὸ σημεῖον τῆς σῆς πα-
» ρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος. Ἰδίᾳ προσέρχονται, ὡς περὶ μεγάλων μέλλοντες ἐρωτῆσαι. περὶ δύο γὰρ ἐρωτῶσι πραγμάτων. πότε ταῦτα ἔσται. τουτέστιν ἡ κατάλυσις τοῦ ναοῦ καὶ ἡ ἅλωσις τῆς Ἱερουσαλήμ. καὶ ἄλλο, τί τὸ σημεῖον τῆς σῆς παρουσίας.

» Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ
» ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες. ἐγώ εἰμι ὁ χριστός. καὶ πολλοὺς πλανή-
Δευτε. ιη'. σουσιν. Πολλοί φησιν ἥξουσιν ἀνακηρύττοντες ἑαυτοὺς χριστούς. καὶ γὰρ Δοσίθεος ὁ Σαμαρείτης ἔλεγεν ὅτι, ἐγώ εἰμι ὁ ὑπὸ τοῦ Μωσέως προαγορευθεὶς προφήτης. καὶ Σίμων δὲ ὁ Σαμαρείτης, μεγάλην τοῦ θεοῦ δύναμιν ἑαυτὸν ὠνόμαζεν.

» Μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων. ὁρᾶτε μὴ θροεῖσθε. δεῖ γὰρ
» τὰ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος. ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βα-
» σιλεία ἐπὶ βασιλείαν. καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους. πάν-
» τα δὲ ταῦτα ἀρχὴ ὠδίνων. Πολέμους, τοὺς ἐν Ἱεροσολύμοις λέγει τῶν Ῥωμαίων. οὐ μόνον δὲ πολέμους λέγει γενήσεσθαι, ἀλλὰ καὶ λιμοὺς καὶ λοιμοὺς, δεικνύων, ὅτι θεήλατος ἔσται κατὰ τῶν Ἰουδαίων ἡ ὀργή. τοὺς μὲν γὰρ πολέμους ἔχοι ἄν τις εἰπεῖν ἀπὸ τῆς τῶν ἀνθρώπων ἐπηρείας γινομένους. λιμοὺς δὲ καὶ λοιμοὺς, οὐδαμόθεν ἄλλοθεν ἢ ἀπὸ θεοῦ πάντως. εἶτα ἵνα μὴ νομίσωσιν ὅτι πρὶν ἢ κηρύξωσι συντελεσθήσεται ὁ κόσμος, φησὶ μὴ θορυβεῖσθε. οὔπω γὰρ ἡ συντέλεια. οὐδὲ γὰρ ἅμα τῇ κατασκαφῇ τῆς Ἱερουσαλὴμ, καὶ ἡ κοινὴ συντέλεια ἔσται. ἔθνος δὲ ἐπὶ ἔθνος καὶ βασιλείαν ἐπὶ βασιλείαν ἐγερθήσεσθαι λέγει, διὰ τὰ ἐσόμενα τοῖς Ἰουδαίοις κακά. ἅπερ εἰσὶν ἀρχὴ ὠδίνων. ὥσπερ γὰρ αἱ ὠδῖνες γίνονται τῇ τικτούσῃ, καὶ οὕτω τίκτει, οὕτω καὶ ὁ παρὼν αἰὼν, μετὰ τὰς συγχύσεις καὶ τοὺς πολέμους ἀπογεννήσει τὰ μέλλοντα.

» Τότε παραδώσουσιν ὑμᾶς εἰς θλίψιν. καὶ ἀποκτενοῦσιν ὑμᾶς. καὶ ἔσεσθε μισού-

μενοι

» μένοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. καὶ τότε σκανδαλισθήσονται πολ-
» λοί, καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους. καὶ πολλοὶ ψευδοπροφῆ-
» ται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς. καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν,
» ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.
Προλέγει τὰ συμβησόμενα κακὰ, παραθαρρύνων διὰ τοῦ προλέγειν τοὺς μαθητάς.
τὸ γὰρ ἀπροσδόκητον εἴωθεν ἐκφοβεῖν καὶ ταράττειν. προομαλίζει οὖν τὸν φόβον διὰ
τοῦ προαγορεύειν τὰ μέλλοντα δεινὰ, τοὺς φθόνους. τὰς ἔχθρας. τοὺς σκανδαλισμούς.
τοὺς ψευδοπροφήτας. οἱ πρόδρομοι τοῦ ἀντιχρίστου εἰσὶν, ἀποπλανῶντες τοὺς πολλούς.
ὥστε πρὸς πᾶν εἶδος ἀνομίας ἐκτραχηλίζειν αὐτούς. διὰ δὲ τὸ πληθυνθῆναι τὴν
ἀνομίαν ἐκ τῆς πλάνης τοῦ ἀντιχρίστου, ἐκθηριωθήσονται οἱ ἄνθρωποι, ὡς μηδὲ πρὸς
τοὺς οἰκειοτάτους σώζειν ἰκμάδα τινὰ ἀγάπης, ἀλλὰ παραδίδοσθαι ὑπ' ἀλλήλων. ὁ δὲ
ἄχρι τέλους ὑπομείνας, καὶ καρτερικῶς φέρων, καὶ μὴ ἐνδοὺς πρὸς τὰ ἐπαγόμενα,
σωθήσεται ὡς δόκιμος στρατιώτης ἀναφανείς.

» Καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρ-
» τύριον πᾶσι τοῖς ἔθνεσι. καὶ τότε ἥξει τὸ τέλος. Οὐκ ἐμποδισθήσεσθε εἰς τὸ κηρύτ-
τειν. θαρρεῖτε. κηρυχθήσεται γὰρ τὸ εὐαγγέλιον ἐν πᾶσι τοῖς ἔθνεσιν, εἰς μαρτύριον. του-
τέστιν εἰς ἔλεγχον, εἰς κατηγορίαν τῶν μὴ πιστευσάντων. καὶ τότε ἥξει τὸ τέλος, οὐχὶ
τοῦ κόσμου, ἀλλὰ τῆς Ἱερουσαλήμ. πρὸ γὰρ τοῦ ἁλῶναι τὴν Ἱερουσαλὴμ ἐκηρύχθη τὸ Πρὸς Κολ.
εὐαγγέλιον, ὥσπερ καὶ ὁ Παῦλος λέγει. τοῦ εὐαγγελίου κηρυχθέντος ἐν πάσῃ τῇ κτί-
σει τῇ ὑπ' οὐρανόν. ὅτι γὰρ περὶ τοῦ τέλους τῶν Ἱεροσολύμων λέγει, δῆλον ἀπὸ τῶν
ἑξῆς. φησὶ γάρ.

» Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, Δανι. θ'.
» ἑστὼς ἐν τόπῳ ἁγίῳ. ὁ ἀναγινώσκων νοείτω. Βδέλυγμα τῆς ἐρημώσεως, τὴν στήλην
λέγει τοῦ τὴν πόλιν κρατήσαντος. ἣν ἔστησεν ἐν τοῖς ἀδύτοις τοῦ ναοῦ. ἐρημώσεως
μὲν οὖν, διότι ἐπορθήθη ἡ πόλις. βδέλυγμα δὲ, διότι τὰς στήλας καὶ τὰς εἰκόνας
τῶν ἀνθρώπων, βδελύγματα ὠνόμαζον οἱ Ἑβραῖοι, τὴν εἰδωλολατρίαν μισοῦντες.

» Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη. ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαι-
» νέτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ. καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι
» τὰ ἱμάτια αὐτοῦ. Τὴν τῶν συμφορῶν ἄφυκτον ὑπερβολὴν αἰνιττόμενος, φησὶν
ὅτι χρὴ φεύγειν ἀνεπιστρόφως, μηδενὸς φροντίζοντας τῶν ἐν ταῖς οἰκίαις ὄντων,
μήτε ἱματίων μήτε ἀλλοίων σκευῶν. τινὲς δὲ βδέλυγμα τῆς ἐρημώσεως, τὸν ἀντί-
χριστον νοοῦντες, ὡς ἐπ' ἐρημώσει τοῦ κόσμου καὶ καταστροφῇ τῶν ἐκκλησιῶν ἐσόμε-
νον καὶ καθίσοντα ἐν τῷ ναῷ, νοοῦσι καὶ ταῦτα οὕτως. ὅτι, ὁ ἐπὶ τοῦ δώματος, του-
τέστιν ἐν τῷ ὕψει τῶν ἀρετῶν ὢν, μὴ καταβάτω ἀπὸ τοῦ ὕψους τῶν ἀρετῶν, ὥστε
ἆραι τὰ τοῦ σώματος. οἰκία γὰρ τῆς ψυχῆς, τὸ σῶμα. δεῖ δὲ καὶ ἀπὸ τοῦ ἀγροῦ ἀνα-
χωρεῖν. τουτέστι τῶν γηΐνων. ἀγρὸς γὰρ ὁ βίος. καὶ μηδὲ τὸ ἱμάτιον αἴρειν, τὴν πα-
λαιὰν κακίαν ἣν ἐξεδυσάμεθα.

» Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.
Αἱ μὲν γὰρ ἔγκυοι οὐ δυνήσονται φεύγειν, τῷ φορτίῳ τῆς γαστρὸς βαρυνόμεναι. αἱ
δὲ θηλάζουσαι, διὰ τὴν πρὸς τὰ τέκνα συμπάθειαν, μήτε ἐᾶσαι αὐτὰ δυνάμεναι,
μήτε μὴν βαστάζειν καὶ σὺν αὐτοῖς σωθῆναι, οὐκ ἐκφεύξονται τὴν τότε ὀργήν. ἢ καὶ
τοῦτο αἰνίττεται ὁ Χριστὸς, τὴν τεκνοφαγίαν. λέγει γὰρ ὁ Ἰώσηπος ὅτι λιμοῦ ὄντος διὰ
τὴν πολιορκίαν, ὤπτησε γυνὴ τὸ τέκνον αὐτῆς, καὶ ἔφαγε.

» Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος μηδὲ σαββάτῳ.

Ἐν προσώπῳ τῶν ἀποστόλων πρὸς Ἰουδαίους ταῦτα φησίν· οἱ γὰρ ἀπόστολοι προέφθα-
σαν ἐξελθόντες τῆς Ἱερουσαλήμ· τοῖς Ἰουδαίοις οὖν λέγει εὔχεσθαι ἵνα μὴ γένηται ἡ
φυγὴ αὐτῶν ἐν χειμῶνι, διὰ τὴν δυσκολίαν τοῦ καιροῦ μὴ δυναμένων ἀποδρᾶναι·
μὴ δὲ ἐν σαββάτῳ· τότε γὰρ ἀργοῦσι κατὰ τὸν νόμον. καὶ οὐκ ἂν ἐπιτολμήσωσι τῇ
φυγῇ· σὺ δὲ καὶ οὕτω νόει. ὅτι δεῖ εὔχεσθαι ἵνα μὴ γένηται ἡ φυγὴ ἡμῶν ἡ ἐκ τοῦ
βίου τούτου, τουτέστιν ἡ τελευτή, ἐν σαββάτῳ, τῇ ἀργίᾳ τῶν καλῶν πράξεων. μὴ δὲ
ἐν χειμῶνι, τῇ ἀκαρπίᾳ τῶν ἀγαθῶν, ἀλλ' ἐν εὐδίᾳ ψυχῆς καὶ ἀταραξίᾳ·

» Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐ-
» δ' οὐ μὴ γένηται· καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα
» σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι· Θλῖψις ἀφόρητος
τότε ἦν. ἐκελεύσθησαν γὰρ οἱ τῶν Ῥωμαίων στρατιῶται, μηδενὸς φείδεσθαι. ἀλλ' ὁ
θεὸς διὰ τοὺς μέλλοντας πιστεύειν ἐξ αὐτῶν, ἢ καὶ πιστεύσαντας ἤδη, οὐκ ἀφῆκεν ἄρ-
δην ἀναιρεθῆναι· ἀλλὰ καὶ τὰς θλίψεις καὶ τὸν πόλεμον ἐκολόβωσεν· εἰ γὰρ ἐκρά-
τησεν ἐπὶ πλέον ὁ πόλεμος, πάντες ἂν οἱ ἔνδον ὑπὸ τοῦ λιμοῦ διεφθάρησαν· τινὲς
δὲ περὶ τῶν τοῦ ἀντιχρίστου ἡμερῶν νοοῦσι ταῦτα· οὐκ ἔστι δὲ περὶ τοῦ ἀντιχρίστου ταῦ-
τα, ἀλλὰ περὶ τῆς ἁλώσεως τῆς Ἱερουσαλήμ· τὰ δὲ περὶ τοῦ ἀντιχρίστου, ἐντεῦθεν
ἄρχεται· ἄκουε οὖν·

» Τότε ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ Χριστός, ἢ ὧδε, μὴ πιστεύσητε· ἐγερθήσονται γὰρ
» ψευδόχριστοι καὶ ψευδοπροφῆται. καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε
» πλανῆσαι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς· ἰδοὺ προείρηκα ὑμῖν· Ἐπειδὴ δύο προσή-
νεγκαν ἐρωτήσεις οἱ μαθηταί, περὶ τῆς ἁλώσεως τῆς Ἱερουσαλήμ. καὶ τῆς παρου-
σίας τοῦ κυρίου, εἰπὼν περὶ τῆς ἁλώσεως, ἐντεῦθεν ἄρχεται περὶ τῆς ἑαυτοῦ παρου-
σίας, καὶ τῆς συντελείας τοῦ κόσμου· τὸ δὲ τότε, οὐ τὸ ἑξῆς ἐμφαίνει, ὅτι εὐθὺς μετὰ τὸ
ἁλῶναι τὴν Ἱερουσαλήμ, ἐάν τις ὑμῖν εἴπῃ. καὶ τὰ ἑξῆς. ἀλλὰ τὸν καιρὸν ἐκεῖνον ἐμ-
φαίνει καθ' ὃν μέλλει γενήσεσθαι· ὥστε εἶναι τὸ λεγόμενον τοιόνδε. τότε, τουτέστιν ὅταν
μέλλῃ ὁ ἀντίχριστος ἐλθεῖν, ἔσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται πολλοί, ἐκ φαν-
τασίας δαιμόνων διαπαίζοντες τοὺς τῶν ὁρώντων ὀφθαλμούς, πρὸς τὸ ἀπατῆσαί τι-
νας· ὥστε ἢν μὴ νήφωσι καὶ οἱ δίκαιοι ἀπατηθήσονται· ἀλλ' ὑμῖν ἰδοὺ προείρηκα. οὐκ
ἔχετε πρόφασιν· δύνασθε γὰρ μὴ ἀπατηθῆναι·

» Ἐὰν οὖν εἴπωσιν ὑμῖν, ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἐξέλθητε. ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ
» πιστεύσητε· ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσ-
» μῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου· ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συ-
» ναχθήσονται οἱ ἀετοί· Ἐὰν ἔλθωσι φησὶν οἱ ἀπατεῶνες, λέγοντες ὅτι ἦλθεν ὁ Χρι-
στός. ἀλλ' ἐν τῇ ἐρήμῳ ἐστὶ κρυπτόμενος. ἢ ἐν οἰκίᾳ τινί, καὶ ἐν τοῖς ταμείοις καὶ ἐσωτέ-
ροις τόποις ταύτης, μὴ ἀπατηθῆτε· ἡ γὰρ τοῦ Χριστοῦ παρουσία, οὐ δέεται τοῦ δείξον-
τος. ἀλλὰ καταφανὴς ἔσται πᾶσιν, ὥσπερ καὶ ἡ ἀστραπή. καὶ γὰρ αὕτη, καὶ αἰφνί-
διός ἐστι, καὶ πᾶσι κατάδηλος· οὕτως οὖν κἀκείνη, πᾶσι τοῖς ἐν τῷ κόσμῳ ἔκδηλος ἔ-
σται· οὐ γὰρ ὥσπερ ἐν τῇ προτέρᾳ παρουσίᾳ ἀπὸ τόπου εἰς τόπον μετέβαινεν, οὕτω
καὶ ἐν τῇ δευτέρᾳ. ἀλλ' ἐν ῥιπῇ ὀφθαλμοῦ παρέσται· καὶ ὥσπερ ἐπὶ νεκρὸν σῶμα
συνάγονται ὀξέως οἱ ἀετοί, οἱ γῦπες δηλαδή, οὕτω καὶ ἔνθα ἂν εἴη ὁ Χριστός, ἐλεύσον-
Ζαχ· ιδ'· ται πάντες οἱ ἅγιοι οἱ τὰ ὑψηλὰ πετόμενοι, καὶ ἐν ταῖς νεφέλαις ἀρπαγησόμενοι ὡς
ἀετοί· πτῶμα δὲ πάντως ὁ Χριστός, διὰ τὸ πεσεῖν ὑπὲρ ἡμῶν καὶ ἀποθανεῖν. ὡς καὶ ὁ
Λουκ· β'· Συμεὼν λέγει. οὗτος κεῖται εἰς πτῶσιν·

Ἰωὴλ· β'· » Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται. καὶ ἡ σελή-

» νη οὐ δώσει τὸ φέγγος αὐτῆς. καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ. καὶ αἱ δυ-
» νάμεις τῶν οὐρανῶν σαλευθήσονται. Μετὰ τὴν τοῦ ἀντιχρίστου φησὶν ἔλευσιν, ἥτις
ταχὺ λυθήσεται, τοῦτο γὰρ διὰ τοῦ εὐθέως ἐδήλωσεν, ὁ ἥλιος σκοτισθήσεται. ἀντὶ τοῦ
ἀμαυρωθήσεται. οὐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῷ τῆς τοῦ χριστοῦ παρουσίας
φωτί. ὥσπερ καὶ τὰ ἄστρα καὶ ἡ σελήνη. τίς γὰρ ἔτι χρεία τοιούτου αἰσθητοῦ φω-
τὸς, νυκτὸς οὐκ οὔσης, καὶ τοῦ ἡλίου τῆς δικαιοσύνης ὀφθέντος. ἀλλὰ καὶ αἱ δυνά-
μεις τῶν οὐρανῶν σαλευθήσονται, τουτέστιν ἐκπλαγήσονται καὶ φρίξουσιν, ὁρῶσαι
τὴν κτίσιν ἀλλοιουμένην, καὶ πάντας τοὺς ἀπὸ Ἀδὰμ μέχρι τότε ἀνθρώπους, δώσειν
μέλλοντας λόγον.

» Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ. καὶ τότε κό-
» ψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς. καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ
» τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Ὁ σταυρὸς τότε ὀφθή-
σεται ἐν τῷ οὐρανῷ ὑπὲρ τὸν ἥλιον λάμπων, πρὸς ἔλεγχον τῶν Ἰουδαίων. ὥσπερ
γάρ τι δικαίωμα μέγιστον ἔχων τὸν σταυρὸν, ἔρχεται κατὰ τῶν Ἰουδαίων ὁ κύριος. καθά-
περ εἴ τις λίθῳ πληγεὶς ἐπεδείκνυτο τὸν λίθον. σημεῖον δὲ λέγει τὸν σταυρὸν, ὥσπερ τι
τρόπαιον καὶ περίσημον βασιλικόν. τότε τοίνυν κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς,
αἱ Ἰουδαϊκαὶ, θρηνοῦσαι τὴν ἑαυτῶν ἀπείθειαν. καὶ πάντες δὲ οἱ τὰ γήϊνα φρονοῦν-
τες, εἰ καὶ χριστιανοί εἰσι, κόψονται. φυλαὶ γὰρ τῆς γῆς λεχθεῖεν ἂν οἱ τοῖς γηΐνοις προσ-
κείμενοι. εἰ δὲ καὶ μετὰ τοῦ σταυροῦ ἔρχεται ὁ κύριος, ἀλλ᾽ οὖν καὶ μετὰ δυνάμεως καὶ
δόξης πολλῆς.

» Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης. καὶ ἐπισυνά- Δανιήλ·ιβ·
» ξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ᾽ ἄκρων οὐρανῶν ἕως ἄκρων
αὐτῶν. Ἀποστελεῖ τοὺς ἀγγέλους ἐπισυνάξαι τοὺς ἁγίους καὶ τοὺς ἐκ νεκρῶν ἀναστάν-
τας, ὥστε ὑπαντῆσαι αὐτῷ ἐν νεφέλαις, τιμῶν αὐτοὺς καὶ τῇ δι᾽ ἀγγέλων κλήσει. εἰ δὲ
ὁ Παῦλος λέγει αὐτοὺς διὰ νεφελῶν ἁρπαγήσεσθαι, οὐκ ἐναντίον τοῦτο. συλλεγέντας Πρὸς Θε·ά·
γὰρ ὑπὸ τῶν ἀγγέλων, ἁρπάσουσιν αἱ νεφέλαι. ἡ σάλπιγξ δὲ, πρὸς πλείονα ἔκπληξιν. κεφ·δ΄·

» Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν. ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένη-
» ται ἁπαλὸς, καὶ τὰ φύλλα ἐκφυῇ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. οὕτω καὶ ὑμεῖς
» ὅταν ἴδητε πάντα ταῦτα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. Ὅταν φησὶ ταῦτα
πάντα γένηται, οὐ πολὺ ἔσται τὸ μέσον τῆς συντελείας καὶ τῆς ἐμῆς παρουσίας. θέ-
ρος δὲ λέγει τὸν μέλλοντα αἰῶνα. καὶ γαλήνην ἀπὸ χειμῶνος. ἀλλὰ τοῖς δικαίοις.
ὡς τοῖς γε ἁμαρτωλοῖς, χειμὼν καὶ ταραχὴ μᾶλλον ἐστίν. ὥσπερ οὖν φησι τῆς συκῆς
τοὺς κλάδους καὶ τὰ φύλλα ὁρῶντες, θέρος ἐλπίζετε, οὕτω καὶ τὰ σημεῖα ἐκεῖνα ἃ
εἶπον ὁρῶντες, τὸν ἥλιον καὶ τὴν σελήνην ἀλλοιούμενα, τὴν ἐμὴν προσδέχεσθε πα-
ρουσίαν.

» Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γένηται. ὁ
» οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται. οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.
Γενεὰν ἐνταῦθα λέγει, οὐ τὴν τότε οὖσαν, ἀλλὰ τὴν τῶν πιστῶν. ὡσανεὶ τοῦτο λέγων.
οὐ μὴ παρέλθῃ ἡ γενεὰ τῶν πιστῶν, ἕως οὗ ταῦτα πάντα γένηται. μὴ γὰρ ἐπειδὴ ἀ-
κούετε λιμοὺς καὶ λοιμοὺς, νομίσητε ὅτι ἡ γενεὰ τῶν πιστῶν ὑπὸ τούτων τῶν κακῶν
φθαρήσεται. ἀλλὰ παραμενεῖ. καὶ οὐδὲν αὐτῆς κρατήσει δεινόν. τινὲς δὲ τὸ, ταῦτα
πάντα, περὶ τῆς ἁλώσεως μόνης τῆς Ἱερουσαλὴμ ἐνόησαν, οὐχὶ καὶ περὶ τῆς δευ-
τέρας παρουσίας. ὅθεν οὕτως ἑρμηνεύουσιν. οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη. τουτέστιν
ὑμῶν τῶν ἀποστόλων ἡ γενεὰ, ὄψεται τὰς τῆς Ἱερουσαλὴμ συμφοράς. βεβαιῶν δὲ

τὰ ῥηθέντα, φησὶν ὅτι εὐκολώτερόν ἐστιν ἀφανισθῆναι οὐρανὸν καὶ γῆν, τὰ πεπηγότα ταῦτα καὶ ἀκίνητα στοιχεῖα, ἢ τῶν ὑπ᾽ ἐμοῦ ῥηθέντων διαψευσθῆναί τι.

» Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρα-
» νῶν, εἰ μὴ ὁ πατήρ μου μόνος. Διδάσκει τοὺς μαθητὰς ἐνταῦθα, μὴ ζητεῖν μανθάνειν τὰ ὑπερβαίνοντα τὴν ἀνθρωπίνην γνῶσιν. ἐν τῷ εἰπεῖν γὰρ οὔτε οἱ ἄγγελοι, ἐπέσχεν αὐτοὺς τοῦ νῦν μαθεῖν ὅπερ καὶ οἱ ἄγγελοι ἀγνοοῦσιν. ἐν δὲ τῷ εἰπεῖν ὅτι ὁ πατήρ μου μόνος, ἐκώλυσεν αὐτοὺς καὶ τοῦ ζητῆσαι μαθεῖν εἰς τὸ μετέπειτα. εἰ γὰρ εἶπεν ὅτι οἶδα μὲν, οὐ θέλω δὲ ὑμῖν εἰπεῖν, ἐλυπήθησαν ἂν ὡς δῆθεν καταφρονούμενοι ὑπ᾽ αὐτοῦ. νῦν δὲ ἐν τῷ εἰπεῖν ὅτι οὐδὲ ὁ υἱὸς οἶδεν εἰ μὴ ὁ πατὴρ μόνος, κωλύει αὐτοὺς ζητεῖν. ὥσπερ καὶ πατέρες πολλάκις κατέχοντές τι ἐν ταῖς χερσὶν, εἶτα ζητούμενοι τοῦτο ὑπὸ τῶν παίδων, καὶ μὴ θέλοντες δοῦναι, κρύπτουσιν αὐτὸ, λέγοντες. οὐκ ἔχομεν ὃ ζητεῖτε. καὶ οὕτω παύονται τὰ παιδία κλαυθμυριζόμενα. οὕτω καὶ ὁ κύριος, ἵνα παύσῃ τοὺς ἀποστόλους θέλοντας μαθεῖν περὶ τῆς ἡμέρας καὶ τῆς ὥρας, εἶπεν ὅτι οὐδὲ ἐγὼ οἶδα εἰ μὴ ὁ πατὴρ μόνος. ὅτι γὰρ γινώσκει καὶ αὐτὸς τὴν ὥραν καὶ τὴν ἡμέραν ἐκείνην, δῆλον μὲν καὶ ἐξ ἄλλων πολλῶν. πάντα γὰρ ὅσα ἔχει ὁ πατὴρ, τοῦ υἱοῦ εἰσι. καὶ τὴν γνῶσιν δὲ ἔχει τῆς ἡμέρας. καὶ ὁ υἱὸς ἄρα ἔχει ταύτην. ἐκδηλότερον δὲ, ἐκ τοῦδε. πῶς γὰρ ἐνδέχεται ἀγνοεῖν τὴν ἡμέραν τὸν υἱὸν, ᾧ τὰ πρὸ τῆς ἡμέρας οὕτως ἔγνωσται. ὁ γὰρ ἐπὶ τὰ πρόθυρα ἀγαγὼν, πρόδηλον ὅτι καὶ τὴν θύραν ἠπίστατο. ἀλλὰ συμφερόντως οὐκ ἤνοιξε ταύτην. οὐ συμφέρει γὰρ ἡμῖν τὸ εἰδέναι πότε ἡ συντέλεια. ἵνα μὴ ῥαθυμήσωμεν. ἡ γὰρ ἄγνοια διεγηγερμένους ἡμᾶς ποιεῖ.

Γεν. ς΄. καὶ ζ΄. » Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.
» ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες,
» γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρις ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ οὐκ
» ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ
» υἱοῦ τοῦ ἀνθρώπου. Πρὸς βεβαίωσιν τῶν ἀψευδῶν αὐτοῦ λόγων, κέχρηται τοῖς κατὰ τὸν Νῶε γενομένοις. ὥσπερ γὰρ τότε χλεύην ἡγοῦντο τινὲς τὴν τῆς κιβωτοῦ κατασκευὴν, ἕως οὗ ἦλθε τὸ πάθος καὶ ἠφάνισε πάντας, οὕτω καὶ νῦν χλευάζουσί τινες τοὺς περὶ τῆς συντελείας λόγους. ἀλλ᾽ αἰφνιδίως φησὶν ἐπελεύσεται ὁ ὄλεθρος. δείκνυσι δὲ ὅτι τοῦ ἀντιχρίστου ἐλθόντος, ἡ ἡδονὴ κρατήσει τῶν ἀνθρώπων. καὶ εἰς γάμους καὶ τρυφὰς ἀποκλινοῦσιν ὑβριστικώτερον, ὥσπερ καὶ οἱ ἐπὶ Νῶε γίγαντες.

» Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ. ὁ εἷς παραλαμβάνεται, καὶ ὁ εἷς ἀφίεται. δύο ἀ-
» λήθουσαι ἐν τῷ μύλωνι. μία παραλαμβάνεται, καὶ μία ἀφίεται. Τότε φησὶν ἀμερίμνων ὄντων πάντων, καὶ ἐργαζομένων τὰ οἰκεῖα ἔργα, ὁ μὲν εἷς παραλαμβάνεται, τουτέστιν ὁ δίκαιος, εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα. ὁ δὲ εἷς, ὁ ἁμαρτωλὸς δηλονότι, ἀφίεται κάτω. ἀλλὰ κἂν δοῦλοι τινὲς ὦσι καὶ ἀλήθωσι, καὶ ἐν τούτοις, οἱ μὲν παραλαμβάνονται, ὅσοι ἄξιοι. οἱ δὲ ἀφίενται, ὅσοι ἀνάξιοι. ὥστε μανθάνομεν καὶ ἐντεῦθεν ὅτι καὶ δοῦλοι καὶ θήλειαι, οὐκ ἐμποδίζονται πρὸς ἀρετήν.

» Γρηγορεῖτε οὖν ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται. ἐκεῖνο δὲ γινώσκε-
» τε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν. καὶ
» οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι. ὅτι ᾗ
» ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Ἀγρυπνεῖν ἐπιτάττει καὶ ἑτοιμάζεσθαι, ἤτοι ἔχειν τὰ τῆς ἀρετῆς ἔργα προτεθησαυρισμένα, ἵνα ἐπειδὰν ἔλθῃ ὁ κύριος, ἀπαιτῶν τι ὧν θέλει, ἔχωμεν διδόναι. ὅρα δὲ πῶς οὐκ εἶπεν ὅτι, οὐκ οἶδα ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἀλλ᾽ οὐκ οἴδατε. κλέπτην δὲ τὴν συντέλειαν ὀνομάζει, καὶ τὸν

ἑκάστου θανάτου· αἰνίττεται δὲ ἐντεῦθεν ὅτι καὶ νυκτὸς ἔσται ἡ παρουσία αὐτοῦ· ὥσπερ γὰρ ὁ κλέπτης ἀφανῶς ἔρχεται, οὕτω καὶ ἡ ἐμὴ παρουσία. ὥστε μὴ ῥαθυμεῖτε. ἀλλὰ νήφετε· εἰ γὰρ ᾔδειμεν τὴν τελευτὴν ἡμῶν πότε ἔσται, ἐκείνην ἂν μόνην τὴν ἡμέραν ἐσπουδάζομεν εὐαρεστεῖν τῷ θεῷ· νῦν δὲ ἀγνοοῦντες, νήφομεν ἀεὶ πρὸς τὰ τῆς ἀρετῆς ἔργα·

» Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ· μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν· Διαπορεῖ ὁ κύριος τίς ἔσται ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, ἵνα δείξῃ ὅτι σπάνιος καὶ δυσεύρετος ὁ τοιοῦτος· δύο δὲ ἀπαιτεῖται πᾶς οἰκονόμος, πίστιν καὶ φρόνησιν· εἴτε γὰρ πιστὸς μέν ἐστι καὶ οὐδὲν κλέπτει, φρόνιμος δὲ οὐχ ὑπάρχει, ἀλλὰ μάτην ἀπόλλυσι τὰ χρήματα. εἴτε φρόνιμος δῆθεν ὢν κλέπτει αὐτὸς, οὐδὲν ὄφελος. ὁ τοίνυν εὑρεθησόμενος τότε πιστὸς καὶ φρόνιμος, ἐκεῖνος καὶ τῶν τελειοτέρων ἐπιτεύξεται. λέγω δὴ τῆς βασιλείας τῶν οὐρανῶν· πάντων γὰρ τῶν ὑπαρχόντων τῷ θεῷ, κληρονόμοι ἔσονται οἱ ἅγιοι· πιστὸς δὲ δοῦλος καὶ φρόνιμος, καὶ πᾶς διδάσκαλος ὁ ἐν καιρῷ διδοὺς τὴν τροφὴν ἑκάστῳ τῶν ὑπ' αὐτοῦ διδασκομένων. οἷος ὁ Παῦλος. νῦν μὲν γάλα ποτίζων. νῦν δὲ σοφίαν λαλῶν. πιστός τε διάκονος ὤν, ὁ πρότερον βλάσφημος. καὶ φρόνιμος, ὡς μὴ ἀγνοῶν τὰ νοήματα τοῦ ἐχθροῦ. ἀλλὰ καὶ πᾶς ὁ ὁτιοῦν παρὰ θεοῦ λαβὼν, εἴτε χρήματα, εἴτε δυναστείαν, εἴτε ἀρχὴν, ὀφείλει καὶ πιστῶς καὶ φρονίμως διοικεῖν ταῦτα, ὡς λόγον δώσων·

» Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ. χρονίζει ὁ κύριός μου ἐλθεῖν, καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους. ἐσθίῃ δὲ καὶ πίνῃ μετὰ τῶν μεθυόντων, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει. καὶ διχοτομήσει αὐτόν. καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· Εἰπὼν πῶς τιμηθήσεται ὁ πιστὸς δοῦλος, νῦν λέγει πῶς κολασθήσεται ὁ πονηρός· ἐὰν γάρ τις οἰκονομίαν τινὸς χαρίσματος πιστευθεὶς, καταφρονῇ τοῦ ἐκεῖθεν δικαστηρίου. καὶ λέγῃ ὅτι χρονίζει ὁ κύριός μου, τουτέστιν οὐ παραυτίκα καὶ εὐθέως τὴν τιμωρίαν ἐπιτίθησι. καὶ τὴν ἀνεξικακίαν τοῦ θεοῦ, ἀφορμὴν πονηρίας ποιῆται. καὶ τύπτῃ τοὺς συνδούλους αὐτοῦ, φημὶ δὴ σκανδαλίζῃ, καὶ τύπτῃ τὴν συνείδησιν αὐτῶν, οἱ γὰρ ἀρχόμενοι, βλέποντες τοὺς ἄρχοντας κακῶς χρωμένους τοῖς δοθεῖσι, πλήσσονται σκανδαλιζόμενοι, καὶ βλάπτονται, ὁ τοιοῦτος οὖν διχοτομηθήσεται. τουτέστι γυμνωθήσεται τοῦ προσόντος αὐτῷ χαρίσματος. καὶ τότε φανήσεται οἷος ἦν. καὶ βληθήσεται εἰς τὸ σκότος· πρώην μὲν γὰρ διὰ τοῦ προσχήματος ἠπάτα. οἷοι πολλοὶ τῶν ἀρχιερέων, ἅγιοι δοκοῦντες διὰ τὸ ἀξίωμα· τότε δὲ ἀρθήσεται ἀπ' αὐτῶν ἡ χάρις. καὶ ὡς ὑποκριταὶ κολασθήσονται, ἄλλο ὄντες καὶ ἄλλο φαινόμενοι·

Κεφάλαιον Εἰκοστὸν πέμπτον·

» Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν, δέκα παρθένοις. αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί. αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον· Ἐπὶ τοῦ προσώπου τῶν παρθένων σχηματίζει τὴν περὶ ἐλεημοσύνης παραβολὴν, ἵνα ἐπειδὴ μέγα πρᾶγμα ἐστὶ, μὴ τοῦτο μόνον κατορθῶν τις, ἀμελῇ τῶν ἄλλων. ἀλλὰ

μάνθανε ὡς τῆς ἐλεημοσύνης χωρὶς, κἂν παρθενίαν ἔχῃς, μετὰ πορνῶν ἐκβληθήσῃ. εἰκότως δὲ ὁ ἀσυμπαθὴς καὶ ἀνελεήμων ἐκβάλλεται, κἂν παρθένος εἴη. ὁ μὲν γὰρ πόρνος, πάθους ἡττήθη τυραννικοῦ τε καὶ φυσικοῦ. ὁ δὲ ἀνελεήμων, χρημάτων. ὅσῳ οὖν ὁ ἀνταγωνιστὴς ἀσθενέστερος, τοσούτῳ ἀσυγχώρητος ὁ νικηθεὶς ὑπὸ τοῦ τῆς φιλοχρηματίας πάθους. καὶ μωρὸς δὲ ὁ τοιοῦτος δι᾽ αὐτὸ τοῦτο, τὸ νικῆσαι μὲν φυσικὴν πύρωσιν. ἡττηθῆναι δὲ τοῦ μικροῦ πάθους τῶν χρημάτων. νυσταγμὸς δὲ, ὁ θάνατος. χρονισμὸς δὲ τοῦ νυμφίου, τὸ μὴ συντόμως γίνεσθαι τὴν δευτέραν παρουσίαν.

» Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν, ἰδοὺ ὁ νυμφίος ἔρχεται. ἐξέρχεσθε εἰς ἀπάντη-
» σιν αὐτοῦ. τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπά-
» δας αὐτῶν. αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον. δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ
» λαμπάδες ἡμῶν σβέννυνται. ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι. μήποτε οὐκ
» ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν. πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε
» ἑαυταῖς. ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος. καὶ αἱ ἕτοιμοι εἰσῆλ-
» θον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους. καὶ ἐκλείσθη ἡ θύρα. ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ
» παρθένοι, λέγουσαι. κύριε κύριε ἄνοιξον ἡμῖν. ὁ δὲ, ἀποκριθεὶς εἶπεν. ἀμὴν λέγω ὑμῖν
» οὐκ οἶδα ὑμᾶς. γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ
» ἀνθρώπου ἔρχεται. Μεσούσης τῆς νυκτὸς λέγει κραυγὴν γενέσθαι, ἵνα δείξῃ ὅτι ἀνέλπιστος ἔρχεται ὁ κύριος, ὥσπερ μεσονυκτίου πάντες ἤδη καθεύδομεν βαθεῖ ὕπνῳ. ἀλλὰ μετὰ κραυγῆς ἔρχεται. σάλπιγξ γὰρ ἠχήσει ἐν τῇ δευτέρᾳ παρουσίᾳ. λαμπάδες δὲ, καὶ αἱ ψυχαὶ ἡμῶν, καὶ ὁ νοῦς ἑκάστου λαμπάς ἐστιν. ἥτις τότε ἀνάπτεται ὅτε ἔχει τὸ τῶν ἀρετῶν ἔλαιον καὶ τὴν ἐλεημοσύνην. μωραὶ δὲ ὄντως εἰσὶν αἱ παρθένοι καὶ κατὰ τοῦτο, καθὸ τότε ἐζήτουν τὸ ἔλαιον, ὅτε οὐκ ἔτι καιρὸς πραγματείας. αἱ δὲ φρόνιμοί φασι. μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν. ἡ γὰρ ἀρετὴ τοῦ πλησίου μου, μόλις ἀρκέσει ἐκείνῳ πρὸς ἀπολογίαν. μήτι γε καὶ ἐμοί. ἕκαστος γὰρ ἐκ τῶν ἔργων αὐτοῦ δικαιωθήσεται, οὐχὶ τῶν τοῦ πλησίον. ἀλλ᾽ αἱ μωραὶ πρὸς τοὺς πωλοῦντας ἀπέρχονται. τουτέστι πρὸς τοὺς πένητας. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. μεταμέλονται αἱ μωραὶ διότι μὴ ἐποίησαν ἐλεημοσύνην. καὶ νῦν πρῶτον γινώσκουσιν ὅτι ἀπὸ τῶν πενήτων ἔδει ἡμᾶς τὸ ἔλαιον ἔχειν. τοῦτο οὖν ἐστιν ὃ λέγει. ὅτι ἀπῆλθον πρὸς τοὺς πωλοῦντας ἀγοράσαι ἔλαιον. τουτέστιν ἀπῆλθον τῇ διανοίᾳ πρὸς τοὺς πένητας, καὶ ἀνελογίσαντο οἷον ἀγαθὸν ἡ ἐλεημοσύνη. ἀλλὰ γὰρ ἐκλείσθη αὐταῖς ἡ θύρα. μεταμελείας γὰρ καὶ ἐργασίας καιρὸς οὐκ ἔστι μετὰ τὴν ἐνθένδε ἀποβίωσιν. ὁ γοῦν κύριος λέγει αὐταῖς. οὐκ οἶδα ὑμᾶς. ὁ γὰρ φιλάνθρωπος καὶ ἐλεήμων, οὐκ οἶδε τὰς ἀνελεήμονας. πῶς γὰρ τὰς ἀλλοτρίους αὐτοῦ, καὶ ἀνομοίας. γίνωσκε δὲ ὅτι καὶ πᾶσα ψυχὴ, λαμπάδα καὶ φωτισμὸν ἐκ θεοῦ ἔχει. καὶ πᾶσαι ἐγείρονται εἰς συνάντησιν τοῦ κυρίου. πᾶσαι γὰρ ἐπιθυμοῦσι τοῦ συναντῆσαι καὶ συναφθῆναι θεῷ. ἀλλὰ τοῦ θεοῦ δόντος φωτισμὸν καὶ λαμπάδα, αἱ μὲν φρόνιμοι, διὰ τῆς ἀγαθοεργίας ἐπιβάλλουσιν ἔλαιον. αἱ δὲ μωραὶ ἐῶσαι τὰς λαμπάδας ἀνελαίους, ἀποκλείονται. μὴ ἔχουσαι ἀγαθὰ ἔργα δι᾽ ὧν ἀνάψει τὸ ἐν αὐταῖς φῶς. ἐὰν γὰρ μὴ τὰ καλὰ ἐργαζώμεθα, ἐσβέσαμεν τὸ ἐν ἡμῖν φῶς τοῦ θεοῦ.

» Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν, ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐ-
» τοῖς τὰ ὑπάρχοντα αὐτοῦ. καὶ ᾧ μὲν, ἔδωκε πέντε τάλαντα. ᾧ δὲ, δύο. ᾧ δὲ, ἕν. ἑκά-
» στῳ κατὰ τὴν ἰδίαν δύναμιν. καὶ ἀπεδήμησεν εὐθέως. πορευθεὶς δὲ ὁ τὰ πέντε τά-
» λαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα. ὡσαύτως
» καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο. ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελθὼν ὤρυξεν ἐν
τῇ γῇ,

τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ. μετὰ δὲ χρόνον πολὺν, ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ᾽ αὐτῶν λόγον. Εἰπὼν ἄνω ὅτι οὐκ οἴδατε τὴν ἡμέραν ὅτε ἥξει ὁ κύριος, προστίθησι καὶ τὴν παραβολὴν ταύτην, δεικνύων ὅτι αἰφνιδίως ἐλεύσεται. ὡσανεὶ γὰρ ἄνθρωπος ἀποδημῶν, οὕτω δὴ καὶ ὁ κύριος ἐκάλεσε τοὺς ἰδίους δούλους. καὶ τάδε καὶ τάδε αὐτοῖς διέθετο. ἀποδημῶν οὖν λέγεται ὁ δι᾽ ἡμᾶς γενόμενος ἄνθρωπος χριστὸς, ἢ καθὸ ἀνέβη εἰς οὐρανούς. ἢ καθὸ μακροθυμεῖ, καὶ οὐκ εὐθὺς ἀπαιτεῖ τὴν ἐργασίαν, ἀλλ᾽ ἀναμένει. δοῦλοι δὲ αὐτοῦ, οἱ τὴν τοῦ λόγου διακονίαν πεπιστευμένοι. οἷον ἀρχιερεῖς. ἱερεῖς. διάκονοι. καὶ χαρίσματα πνευματικὰ λαβόντες, οἱ μὲν μείζονα, οἱ δὲ ἐλάττονα. ἕκαστος κατὰ τὴν ἰδίαν δύναμιν. τουτέστι κατὰ τὸ μέτρον τῆς πίστεως καὶ τῆς καθαρότητος. ἐν γὰρ τῷ ἀγγείῳ ᾧ δώσω ἐγὼ τῷ θεῷ, ἐν ἐκείνῳ ἐπιβάλλει μοι τὴν δωρεὰν αὐτοῦ. εἰ μικρὸν δώσω, ὀλίγην. εἰ μέγα, πολλήν. εὐθέως δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, ἀπελθὼν εἰργάσατο. ὅρα τὴν ἐντρέχειαν αὐτοῦ, πῶς οὐδὲν ἠμέλησεν. ἀλλ᾽ εὐθέως εἰργάζετο, διπλασιάζων ὃ ἔλαβεν. ὁ γὰρ μὴ μόνον ἑαυτὸν ὠφελῶν, εἴτε λόγον ἔχοι, εἴτε πλοῦτον, εἴτε δυναστείαν παρὰ βασιλεῦσιν, εἴτε ἄλλην οἱανοῦν δύναμιν ἢ τέχνην, ἀλλὰ καὶ ἑτέρους θέλων ὠφελεῖν, ὁ τοιοῦτος διπλασιάζει τὸ δοθὲν αὐτῷ. ὁ δὲ χώσας τὸ τάλαντον, ὅς ἐστιν ὁ τῆς ἰδίας μόνον ὠφελείας φροντίζων, καὶ μὴ καὶ τῆς τῶν ἄλλων. ὃς καὶ κατακρίνεται. ἀλλὰ καὶ ἐὰν εὐφυῆ ἴδῃς καὶ ἐπιτήδειον ἄνθρωπον, τῇ εὐφυΐᾳ εἰς πραγματείας καὶ δολιότητας καὶ γήϊνα πράγματα καταχρησάμενον, τὸν τοιοῦτον εἰπὲ κατορύξαι τὸ τάλαντον εἰς τὴν γῆν. τουτέστιν εἰς τὰ τῆς γῆς πράγματα. μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ δοὺς τὸ ἀργύριον, ἢ τὰ λόγια αὐτοῦ. ἀργύριον γὰρ πεπυρωμένον, τὰ τοῦ θεοῦ λόγια. ἢ ἁπλῶς πᾶν ὁ τοιοῦν χάρισμα, λαμπρὸν καὶ ἔνδοξον ποιοῦν τὸν ἔχοντα, ἀργύριον λεχθείη. καὶ συναίρει λόγον, ἀπαιτῶν καὶ λογοπραγῶν τοὺς λαβόντας.

Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν, προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων. κύριε, πέντε τάλαντά μοι παρέδωκας. ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς. ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ. εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ. ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν, εἶπε. κύριε, δύο τάλαντά μοι παρέδωκας. ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς. ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ. εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ. ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς, εἶπε. κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας. καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ. ἴδε ἔχεις τὸ σόν. ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν αὐτῷ. πονηρὲ δοῦλε καὶ ὀκνηρέ. ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα. ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις. καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. ἄρατε οὖν ἀπ᾽ αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται. ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ. καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Οἱ μὲν ἐπεργασάμενοι τοῖς δοθεῖσιν, ἐπαινοῦνται ὑπὸ τοῦ δεσπότου ὁμοίως ἀμφότεροι. εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἑκάτερος αὐτῶν ἀκούων. ἀγαθὸν δὲ ἐνταῦθα πάντως τὸν φιλάνθρωπον, τὸν ἄφθονον νοοῦμεν. ὃς τὴν οἰκείαν ἀγαθότητα καὶ τοῖς πλησίον ἐφαπλοῖ. ἐπὶ ὀλίγα δὲ πιστοὶ φανέντες, ἐπὶ πολλῶν καθίστανται. καὶ γὰρ εἰ καὶ ἐνταῦθα χαρισμάτων ἀξιούμεθα, ὅμως οὐδέν εἰσι ταῦτα πρὸς τὰ μέλ-

λονται ἀγαθά. χαρὰ δὲ τοῦ κυρίου, ἡ ἀληθὴς εὐφροσύνη ἣν ἔχει ὁ θεός, εὐφραινόμενος ἐπὶ τοῖς ἔργοις αὐτοῦ, ὡς ὁ Δαβὶδ λέγει. (Ψαλ. ργ´.) τοιαύτην οὖν εὐφροσύνην εὐφραίνονται καὶ οἱ ἅγιοι ἐπὶ τοῖς ἔργοις αὐτῶν. ὥσπερ οὖν οἱ ἁμαρτωλοὶ λυποῦνται ἐπὶ τοῖς οἰκείοις ἔργοις, καὶ μεταμέλονται. καὶ τὸν κύριον δὲ πλοῦτον ἔχοντες οἱ ἅγιοι, χαίρουσιν ἐπ' αὐτῷ. ὅρα δὲ ὅτι καὶ ὁ τὰ πέντε τάλαντα λαβών, καὶ ὁ τὰ δύο, τῶν αὐτῶν ἀγαθῶν ἀξιοῦνται. ὅταν γάρ τις, καὶ ὀλίγα λαβών, ὅμως τὴν δοθεῖσαν αὐτῷ χάριν κἂν μικρὰ εἴη καλῶς οἰκονομήσῃ, ἴσην τιμὴν ἀπολήψεται τῷ μεγάλων ἀξιωθέντι, καὶ κατορθώσαντι. ἕκαστος γὰρ καθ' ὃ ἔλαβε, κατὰ τοῦτο καὶ ἄκρος δοκεῖ ἐὰν κατορθώσῃ. ἀλλ' οἱ μὲν εὐγνώμονες δοῦλοι, τοιοῦτοι. ὁ δὲ πονηρὸς καὶ ὀκνηρός, ἄλλως ἀπολογεῖται, καὶ ἑαυτοῦ ἀξίως. σκληρὸν γὰρ ὀνομάζει τὸν δεσπότην. ὥσπερ καὶ νῦν πολλοὶ τῶν διδασκόντων λέγουσι. σκληρὸν ὄντι τὸ ζητεῖν παρὰ ἀνθρώπων ὑπακοήν, οἷς οὐκ ἐνεποίησεν ὁ θεὸς τὸ ὑπήκοον, οὐ δὲ ἐνέσπειρεν αὐτοῖς τὸ εὐπειθές. τοῦτο γὰρ αἰνίττεται διὰ τοῦ εἰπεῖν θερίζεις ὅπου οὐκ ἔσπειρας. τουτέστιν, ᾧτινι οὐκ ἐνέσπειρας τὸ εὐπειθές, ἀπαιτεῖς παρ' ἐκείνου τὸ εὐπειθές. λέγων δὲ σκληρὸν τὸν δεσπότην ὁ δοῦλος, ἑαυτὸν κατακρίνει. ἐπεὶ γὰρ σκληρὸς ἦν, ὤφειλε μᾶλλον ἐπιμελεῖσθαι, ὡς σκληρὸν καὶ ἀπηνῆ ἔχων δεσπότην. εἰ γὰρ τὰ ἑτέρων ἀπαιτεῖ, μᾶλλον τὰ ἑαυτοῦ ἀπαιτήσει. ὥστε ἔδει καὶ σὲ πλεονάσαι ὃ ἔλαβες, καὶ ποιῆσαι μαθητάς, ἀφ' ὧν ἀπῄτησεν ἂν τὸ ὀφειλόμενον. τραπεζίτας γὰρ τοὺς μαθητὰς ὀνομάζει, ὡς δοκιμάζοντας ἢ ἀποδοκιμάζοντας τὸν λόγον. τόκον δὲ ἀπαιτεῖ παρὰ τῶν μαθητῶν, τὴν τῶν ἔργων ἐπίδειξιν. ὁ γὰρ μαθητής, λαμβάνων παρὰ τοῦ διδασκάλου τὸν λόγον, ἔχει μὲν καὶ αὐτόν, καὶ ἀποδίδωσιν αὐτὸν ὁλόκληρον. προσδίδωσι δὲ καὶ τόκον, τὴν ἐργασίαν τοῦ ἀγαθοῦ. αἴρεται οὖν ἀπὸ τοῦ πονηροῦ καὶ ὀκνηροῦ δούλου τὸ χάρισμα. ὁ γὰρ λαβὼν χάρισμά τι εἰς τὸ ὠφελῆσαι ἄλλοις, καὶ μὴ κεχρημένος οὕτω, καὶ αὐτὸ ἀπόλλυσιν. ὁ δὲ πλείονα σπουδὴν ποιησάμενος, πλείονα ἐπισπᾶται καὶ τὴν δωρεάν. τῷ γὰρ ἔχοντι σπουδήν, δοθήσεται πλείων ἡ χάρις, καὶ περισσευθήσεται. ἀπὸ δὲ τοῦ μὴ ἔχοντος σπουδήν, καὶ τὸ χάρισμα ὃ δοκεῖ ἔχειν, ἀρθήσεται. ὁ γὰρ μὴ σπουδὴν ἔχων, μὴ δὲ ἐπεργασάμενος οἷς ἔλαβεν, οὐκ ἔχει τὸ χάρισμα. ἀλλὰ δοκεῖ ἔχειν. ἠμαύρωσε γὰρ τοῦτο διὰ τῆς ἀμελείας.

» Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι
» μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ. καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ
» πάντα τὰ ἔθνη. καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρό-
» βατα ἀπὸ τῶν ἐρίφων. καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ
» εὐωνύμων.

Ἐπειδὴ ἡ πρώτη παρουσία τοῦ κυρίου, ἐν ἀτιμίᾳ γέγονε καὶ ὕβρει, φησὶ τό, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ. ἐν γὰρ τῇ δευτέρᾳ μετὰ δόξης ἐλεύσεται, ἀγγέλων δορυφορούντων αὐτόν. πρῶτον δὲ ἀφορίζει τοὺς ἁγίους ἀπὸ τῶν ἁμαρτωλῶν, ἀπαλλάσσων αὐτοὺς ἀγωνίας, καὶ ἵστησι, καὶ τότε φωνεῖ πρὸς αὐτούς. πρόβατα μὲν οὖν καλεῖ τοὺς ἁγίους, διὰ τὸ ἥμερον. καὶ ὅτι καρπὸν ἡμῖν διδόασι καὶ ὠφέλειαν ὡς τὰ πρόβατα, καὶ ἔριον χορηγοῦντες ἤτοι σκέπην θείαν καὶ πνευματικήν, καὶ γάλα τουτέστι τροφὴν προσήκουσαν. ἐρίφους δέ, τοὺς ἁμαρτωλούς. κατὰ κρημνῶν γὰρ βαδίζουσι. καὶ ἄτακτοί εἰσι καὶ ἄκαρποι ὡς ὁ ἔριφος.

» Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κλη-
Πρὸς Ἐφε. α´. » ρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα
» γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα, καὶ ἐποτίσατέ με. ξένος ἤμην, καὶ συνηγάγε-
» τέ με. γυμνός, καὶ περιεβάλετέ με. ἠσθένησα, καὶ ἐπεσκέψασθέ με. ἐν φυλακῇ ἤμην,

καὶ ἤλθετε

» καὶ ἤλθετε πρός με. τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες. κύριε, πότε σε
» εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν. ἢ διψῶντα, καὶ ἐποτίσαμεν. πότε δέ σε εἴδομεν
» ξένον, καὶ συνηγάγομεν. ἢ γυμνὸν, καὶ περιεβάλομεν. πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν
» φυλακῇ, καὶ ἤλθομεν πρὸς σέ. καὶ ἀποκριθεὶς ὁ βασιλεὺς, ἐρεῖ αὐτοῖς. ἀμὴν λέγω
» ὑμῖν, ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Οὐ πρότερον τιμᾷ ἢ κολάζει, πρὶν ἢ δικάσηται. φιλάνθρωπος γάρ ἐστι. καὶ ἡμᾶς δὲ τοῦτ᾽ αὐτὸ παιδεύει, μὴ πρότερον κολάζειν πρὶν ἂν ἐξετάσωμεν. οὕτω γὰρ ἀναπολόγητοι μᾶλλον ἔσονται οἱ μετὰ δικαστήριον κολασθέντες. εὐλογημένους δὲ καλεῖ τοὺς ἁγίους, ὡς ὑπὸ τοῦ πατρὸς ἀποδεχθέντας. κληρονόμους δὲ αὐτοὺς ποιεῖται τῆς βασιλείας, ἵνα δείξῃ ὅτι κοινωνοὺς αὐτοὺς ποιεῖ ὁ θεὸς τῆς ἑαυτοῦ δόξης, ὡς υἱοὺς αὐτοῦ. οὐ γὰρ εἶπε, λάβετε, ἀλλὰ κληρονομήσατε, οἱονεί τινα πατρῴαν περιουσίαν. ἀδελφοὺς δὲ ἐλαχίστους καλεῖ, ἢ τοὺς αὐτοῦ μαθητὰς, ἢ πάντας ἁπλῶς τοὺς πένητας. πᾶς γὰρ πένης, ἀδελφός ἐστι τοῦ χριστοῦ κατ᾽ αὐτὸ τοῦτο, ἐπεὶ καὶ ὁ χριστὸς ἐν πενίᾳ διήγαγεν. ὅρα δὲ καὶ τὴν τοῦ θεοῦ δικαιοσύνην, πῶς ἀνακηρύττει τοὺς ἁγίους. ὅρα καὶ τὴν ἐκείνων εὐγνωμοσύνην, πῶς δι᾽ ἐπιείκειαν ἀρνοῦνται τὸ θρέψαι. ἀλλ᾽ ὁ κύριος τὰ εἰς τοὺς πένητας γενόμενα, εἰς ἑαυτὸν ἀναδέχεται.

» Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων. πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ
» αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γὰρ, καὶ οὐκ
» ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα καὶ οὐκ ἐποτίσατέ με. ξένος ἤμην, καὶ οὐ συνηγάγετέ
» με. γυμνὸς, καὶ οὐ περιεβάλετέ με. ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ
» με. τότε ἀποκριθήσονται καὶ αὐτοὶ, λέγοντες. κύριε, πότε σε εἴδομεν πεινῶντα. ἢ δι-
» ψῶντα. ἢ ξένον. ἢ γυμνὸν. ἢ ἀσθενῆ. ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι. τότε ἀπο-
» κριθήσεται αὐτοῖς, λέγων. ἀμὴν λέγω ὑμῖν, ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν
» ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον. οἱ δὲ
» δίκαιοι, εἰς ζωὴν αἰώνιον. Τοὺς ἐξ εὐωνύμων εἰς τὸ πῦρ ἐκπέμπει, ὃ ἡτοίμασται τῷ διαβόλῳ. ἐπεὶ γὰρ ἀσυμπαθεῖς εἰσιν οἱ δαίμονες, καὶ ἀπηνῶς διάκεινται καὶ ἐχθρωδῶς πρὸς ἡμᾶς, εἰκότως τῆς αὐτῆς τιμωρίας ἀξιοῦνται οἱ τῆς αὐτῆς γνώμης ὄντες. οἳ καὶ ἐκ τῶν ἰδίων αὐτῶν ἔργων ἐπικατάρατοι ἐγένοντο. ὅρα δὲ ὅτι οὐχ ἡτοίμασεν ὁ θεὸς τὸ πῦρ τοῖς ἀνθρώποις, οὐδὲ τὴν κόλασιν ἐποίησε δι᾽ ἡμᾶς, ἀλλὰ διὰ τὸν διάβολον. ἐγὼ δὲ ποιῶ ἐμαυτὸν τῇ κολάσει ὑπόδικον. φρίξον δὲ ἄνθρωπε, ἐννοήσας ἐντεῦθεν ὅτι ἰδοὺ οὗτοι οὔτε ὡς πόρνοι, οὔτε ὡς ἅρπαγες, οὔτε ὡς ἄλλο τι πλημμελήσαντες κακὸν, κολάζονται. ἀλλ᾽ ὡς μὴ ποιήσαντες ἀγαθόν. τῷ ὄντι γὰρ ἐὰν καλῶς σκοπήσῃς, ἅρπαξ ἐστὶ καὶ πολλὰ ἔχων καὶ μὴ ἐλεῶν, κἂν μηδὲν ἀδικήσῃ προδήλως. ὅσα γὰρ ἔχει περισσότερα τοῦ δέοντος, ἥρπασε πάντως ἀπὸ τῶν χρηζόντων μὲν, μὴ λαμβανόντων δὲ ἐξ αὐτοῦ. εἰ γὰρ εἰς κοινὸν ταῦτα κατέθηκεν, ἦσαν ἂν κἀκεῖνοι ἀνενδεεῖς. νῦν δὲ ἐπεὶ ἀπέκλεισε ταῦτα, καὶ ἰδιοποιήσατο, διὰ τοῦτο πένονται ἐκεῖνοι. ὥστε ὁ ἀνελεήμων, ἅρπαξ ἐστί. τοσούτους ἀδικῶν ὅσους εὐεργετεῖν ἠδύνατο, καὶ οὐκ εὐηργέτησεν. ὅθεν ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον καὶ μηδέποτε λήγουσαν. οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώνιον. ὥσπερ γὰρ οἱ ἅγιοι ἄπαυστον ἕξουσι χαρὰν, οὕτω καὶ οἱ ἄδικοι ἄπαυστον κόλασιν. κἂν Ὠριγένης φλυαρῇ λέγων ὅτι ἐστὶ κολάσεως τέλος, καὶ οὐκ ἀεὶ τιμωρηθήσονται οἱ ἁμαρτωλοὶ, ἀλλ᾽ ἔσται ὅτε εἰς τὸν τῶν δικαίων τόπον ἐλεύσονται, διὰ τῆς κολάσεως καθαρθέντες. ἐλέγχεται γὰρ ἐντεῦθεν φανερῶς, τοῦτο μὲν, ἐν οἷς λέγει ὁ κύριος κόλασιν αἰώνιον τουτέστιν οὐδέποτε λήγουσαν. τοῦτο δὲ, ἐν οἷς προβάτοις μὲν παρεικάζει τοὺς δικαίους, ἐρίφοις δὲ τοὺς ἁμαρτωλούς. ὥσπερ γὰρ ἔριφος οὐκ

ἂν ποτε γένοιτο πρόβατον, οὕτως οὐδὲ ὁ ἁμαρτωλὸς καθαρθήσεταί ποτε, καὶ δίκαιος γενήσεται. σκότος δὲ ἐξώτερον, τὸ πορρώτερον τοῦ φωτὸς τοῦ θείου, καὶ διὰ τοῦτο καὶ χαλεπωτέραν ποιοῦν τὴν κόλασιν. ἔστι δὲ καὶ αἰτίαν τινὰ εἰπεῖν εἰς τοῦτο. ὁ ἁμαρτωλὸς καὶ ἐνταῦθα μὲν σκότος ἔχει, ἐκπεσὼν τοῦ τῆς δικαιοσύνης ἡλίου. ἀλλ' ἐπεὶ ἐλπὶς ἔτι μεταβολῆς, διὰ τοῦτο οὐκ ἔστι τὸ σκότος τοῦτο ἐξώτερον. μετὰ μέντοι ἀποθανεῖν, καὶ ἐπισταίη ἡ τῶν πεπραγμένων ἐξέτασις, διαδέχεται αὐτὸν τὸ ἐξώτερον. οὐκ ἔτι γὰρ ἐλπὶς ἔτι μεταβολῆς. ἀλλὰ παντελῆ στέρησιν τῶν τοῦ θεοῦ ἀγαθῶν ὑφίσταται. ἐν ὅσῳ γὰρ ἐνταῦθα ἐστὶ, κἂν μετρίως ἀπολαύει τῶν τοῦ θεοῦ ἀγαθῶν, τῶν αἰσθητῶν τῆς κτίσεως λέγω, καὶ δοκεῖ δοῦλος εἶναι ὁπωσοῦν τοῦ θεοῦ, ἐν τῷ οἴκῳ αὐτοῦ τῇ κτίσει ταύτῃ διάγων, καὶ ὑπ' αὐτοῦ τρεφόμενος καὶ διεξαγόμενος. τότε δὲ παντάπασιν ἀποκόπτεται τοῦ θεοῦ, οὐδενὸς μετέχων τῶν αὐτοῦ ἀγαθῶν. διὰ τοῦτο ἐστὶ τὸ σκότος, συγκριτικῶς λεγόμενον ἐξώτερον, ὡς πρὸς τὸ ἐνταῦθα. ὅπερ οὐκ ἔστιν ἐξώτερον, ὡς μὴ παντελῶς ἀποκοπτομένου ἐντεῦθεν ἤδη τοῦ ἁμαρτωλοῦ. ἀλλὰ σὺ φεῦγε τὸ ἄσπλαγχνον. καὶ τὴν ἐλεημοσύνην ἐργάζου καὶ αἰσθητῶς μὲν, πλὴν ἀλλὰ καὶ πνευματικῶς. θρέψον γὰρ τὸν χριστὸν πεινῶντα τὴν ἡμετέραν σωτηρίαν. ἀλλὰ καὶ τὸν πεινῶντα διδασκαλίας ἐὰν θρέψῃς καὶ ποτίσῃς, ἔθρεψας χριστὸν καὶ ἐπότισας. ὁ γὰρ ἐν τῷ χριστιανῷ χριστὸς καὶ ἡ πίστις τρέφεται καὶ αὔξεται διὰ τῆς διδασκαλίας. ἀλλὰ κἂν ἴδῃς τινὰ, ξένον γινόμενον τῆς ἄνω πατρίδος, συνεισάγαγε. τουτέστι σὺν τῷ καὶ αὐτὸς εἰσέρχεσθαι εἰς οὐρανοὺς, εἰσάγαγε κἀκεῖνον. μὴ ἄλλοις κηρύσσων, αὐτὸς δὲ ἀδόκιμος ὤν. κἄν τις τὸ τῆς ἀφθαρσίας ἱμάτιον ἀποβάλῃ, ὃ διὰ τοῦ βαπτίσματος ἔσχε,
Πρὸς Ῥω· ιδ'· καὶ γυμνωθείη, ἔνδυσον αὐτόν. καὶ τὸν ἀσθενοῦντα τῇ πίστει ὡς ὁ Παῦλος φησὶ, προσλαβοῦ. καὶ τὸν καθειργμένον ἐν τῇ φυλακῇ, τῷ σώματι τούτῳ τῷ σκοτεινῷ, ἐπίσκεψαι, ὥσπερ τι φέγγος αὐτῷ τὴν νουθεσίαν δωρούμενος. ταῦτα πάντα τὰ ἓξ εἴδη τῆς ἀγάπης, ἐπιτέλει μὲν καὶ σωματικῶς, πλὴν ἀλλὰ καὶ ψυχικῶς. διπλῶν γὰρ ὄντων ἡμῶν, ἐκ ψυχῆς καὶ σώματος, δύνανται ταῦτα διπλῶς κατορθωθῆναι.

Κεφάλαιον εἰκοστὸν ἕκτον.

» Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μαθη-
» ταῖς αὐτοῦ. οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται. καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου
» παραδίδοται εἰς τὸ σταυρωθῆναι. Ἐπειδὴ βασιλείας ἐμνήσθη καὶ ἀνταποδόσεως, εὐκαίρως λοιπὸν καὶ περὶ τοῦ πάθους τοῦ οἰκείου διαλέγεται. μονονουχὶ τοῦτο λέγων, ὅτι, καὶ οἱ σταυρώσαντές με τοῦ πυρὸς ἀξιωθήσονται.

» Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ,
» εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα. καὶ συνεβουλεύσαντο ἵνα τὸν
» Ἰησοῦν δόλῳ κρατήσωσι, καὶ ἀποκτείνωσιν. ἔλεγον δέ. μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυ-
» βος γένηται ἐν τῷ λαῷ. Τοῦ νόμου κελεύοντος ἕνα εἶναι ἀρχιερέα διὰ βίου, πολλοὺς ἐποίουν αὐτοὶ παρανόμως, ἀμείβοντες αὐτοὺς κατ' ἐνιαυτόν. διὸ καὶ πρὸς τὸν τοῦ ἐνιαυτοῦ ἐκείνου ἀρχιερέα ἔρχονται βουλευσόμενοι περὶ φόνου, ὅθεν ἔδει μᾶλλον τοὺς φονευτὰς κολάζεσθαι. ἀρχιερεῖς δὲ λέγει, τοὺς πεπληρωκότας ἤδη τὴν ἐνιαύσιον λειτουργίαν. τὸν δὲ ἀνόσιον φόνον μέλλοντες πράξειν, οὐχὶ τὸν θεὸν, ἀλλὰ τὸν ὄχλον φοβοῦνται. ἐδεδίεσαν γὰρ μήπως ἐν τῇ ἑορτῇ φονευσάντων αὐτὸν, διεγερθῇ ὁ ὄχλος εἰς ἄμυναν. ἢ καὶ τοῦ προσάγειν τὰς νενομισμένας θυσίας ἀπόσχηται διὰ τὴν μιαιφονίαν αὐτῶν. καὶ ἀπολέσωσιν αὐτοὶ τὰ ἐκ τῶν θυσιῶν κέρδη. ἴσως δὲ καὶ τοῦτο ἐφοβοῦντο, μήποτε ἐν τῇ ἑορτῇ φονευθέντος, ἐπίσημος γένηται καὶ ἔνδοξος αὐτοῦ ὁ θάνατος. αὐτοὶ γὰρ ἠβούλοντο ἀφανίσαι τὸ μνημόσυνον αὐτοῦ. ἐκεῖνοι μὲν οὖν οὕτω

πρὸ τῆς

πρὸ τῆς ἑορτῆς βουλευθέντες μετὰ τὴν ἑορτὴν τάχα φονεῦσαι· ὁ δὲ, δεικνὺς ὅτι
οὐχ ὅτε ἤθελον, ἀλλ᾽ ὅτε ἠθέλησεν αὐτὸς πάσχει, συνεχώρησεν αὐτοῖς κατὰ τὸν καιρὸν
τοῦ πάσχα συλλαβεῖν. ἵνα ὅτε τὸ τυπικὸν πάσχα ἐγίνετο, τότε καὶ τὸ ἀληθινὸν πά-
σχα ἐκβαίη· ἔστι δὲ καὶ τὴν μιαιφονίαν αὐτῶν καταμαθεῖν. οἱ γὰρ μὴ βουλόμενοι
ἐν τῇ ἑορτῇ φονεῦσαι αὐτὸν, ὅτε εὗρον τὸν προδιδόντα, τότε φονεύουσι. καταφρονήσαν-
τες καὶ τοῦ ὄχλου, μόνον ἵνα τὸ θέλημα αὐτῶν γένηται·

» Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ «
» γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ «
» ἀνακειμένου· Τινὲς τρεῖς λέγουσιν εἶναι τὰς ἀλειψάσας τὸν κύριον γυναῖκας. ὧν καὶ «
οἱ τέσσαρες εὐαγγελισταὶ μέμνηνται· ἄλλοι δὲ δύο ταύτας φασί. μίαν τὴν παρὰ
τῷ Ἰωάννῃ, ἥτις ἐστὶ Μαρία ἡ ἀδελφὴ τοῦ Λαζάρου. καὶ τὴν νῦν παρὰ τῷ Ματθαίῳ Ἰωάν· ιβ΄
μνημονευομένην. ἥτις ἐστὶν ἡ αὐτὴ τῇ παρὰ τῷ Λουκᾷ καὶ τῷ Μάρκῳ· τὸν δὲ Σίμω- Λουκ· ζ΄·
να τοῦτον τὸν λεπρὸν, φασί τινες καὶ πατέρα εἶναι τοῦ Λαζάρου. ὃν ἀπὸ τῆς λέπρας Μάρ· ιδ΄·
καθαρίσας, εἱστιᾶτο παρ᾽ αὐτῷ· λέγεται δὲ ὅτι καὶ ὁ κύριος εἰπὼν τοῖς μαθηταῖς,
ἀπέλθετε πρὸς τὸν δεῖνα, καὶ δείξει ὑμῖν ἀνώγεων ἐστρωμένον, πρὸς τοῦτον ἀποστέλλει
αὐτούς· ἀμέλει καὶ ὑπεδέξατο ὥς φασι τὸν κύριον. καὶ παρ᾽ αὐτῷ τὸ πάσχα ἐτέλε-
σεν· ἡ γοῦν γυνὴ ἰδοῦσα τὸν λεπρὸν καθαρισθέντα, ἐθάρρησεν ὡς καὶ αὐτὴ τῆς ἐφέ-
σεως τεύξεται, καὶ καθαρισθήσεται τὴν ψυχικὴν λέπραν· πίστιν δὲ πολλὴν ἐνεδεί-
ξατο, τὸ οὕτω τίμιον μύρον καταχέασα, καὶ ἀφειδήσασα τούτου· ἐπὶ τὴν κεφαλὴν
δὲ τοῦτο καταχέει, τῷ κυριωτάτῳ μέρει τὴν τιμὴν προσάγουσα· καὶ σὺ γοῦν εἰ λε-
πρὰν ἔχεις ψυχὴν καὶ φαρισαϊκὴν, τετυφωμένην ἤτοι ἀπηλλοτριωμένην θεοῦ, δέξαι τὸν
Ἰησοῦν εἰς τὴν οἰκίαν σου. καὶ μύρισον αὐτὸν τῷ μύρῳ τῶν ἀρετῶν· δύνασαι γὰρ κα-
θαρθέντος σε τῆς λέπρας τοῦ Ἰησοῦ, σκευάσαι μύρον, καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ κα-
ταχέαι· τίς δὲ ἡ κεφαλὴ τοῦ Χριστοῦ, ἢ ἡ θεότης αὐτοῦ. πρὸς ἣν ἡ εὐωδία τῶν ἀρε-
τῶν προσφέρεται· κατευθυνθήτω γάρ φησιν, ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν Ψαλ· ρμ΄·
σου κύριε· εὐωδίαν οὖν τὴν ἐκ τοῦ πολυσυνθέτου μύρου τῶν ἀρετῶν προσάγαγε τῇ θεό- «
τητι τοῦ Χριστοῦ· ἀλλὰ δὴ καὶ εἰ μὴ μόνον ἄνθρωπον ψιλὸν αὐτὸν δογματίζεις, ἀλλὰ καὶ «
θεὸν, τότε τὴν κεφαλὴν αὐτοῦ ἤτοι τὴν θεότητα εὐωδίασας. τουτέστιν, ἐθεολόγησας·

» Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἠγανάκτησαν, λέγοντες. εἰς τί ἡ ἀπώλεια αὕτη· ἠ-
» δύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς· γνοὺς δὲ ὁ Ἰησοῦς,
» εἶπεν αὐτοῖς· τί κόπους παρέχετε τῇ γυναικί· ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ· πάν-
» τοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ᾽ ἑαυτῶν. ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Οἱ μαθηταὶ
πολλὰ περὶ ἐλεημοσύνης ἀκούσαντες, καὶ πολλοὺς αὐτῆς ποιούμενοι λόγους, ἐμέμψαν-
το τὴν γυναῖκα. ὡς μᾶλλον τὸν ἔλεον ζητοῦντος τοῦ θεοῦ, ἢ τὴν εἰς αὐτὸν τιμήν· ὁ
δὲ ἐπιπλήττει τοῖς μαθηταῖς, διότι ἀκαίρως ἐμέμψαντο τὴν γυναῖκα. δεῖ γὰρ μὴ
τὰ ὑψηλὰ ἀπαιτεῖν παρὰ τῶν ἄρτι προσιόντων, καὶ μάλιστα παρὰ γυναίου ἀσθενοῦς. «
ἀλλὰ τὴν μετρίαν γοῦν αὐτῶν πίστιν δέχεσθαι· ὅταν γάρ τις προσφέρῃ τῷ θεῷ δῶ-
ρον, μὴ ἀπόστρεφε αὐτόν. μηδὲ κατάκλα τὴν προθυμίαν αὐτοῦ ἀπολύων αὐτὸν εἰς «
τὸ διαδοῦναι πτωχοῖς, ἀλλ᾽ ἄφες πληρῶσαι τὴν προσαγωγήν· εἰ μέντοι βουλευόμε- «
νός τις συμβούλῳ σοι χρήσεται, πότερον δεῖ δοῦναι πτωχοῖς ἢ προσαγαγεῖν τῷ θεῷ, «
συμβούλευσον αὐτῷ δοῦναι πτωχοῖς· μετὰ μέντοι προσαγάγοι, περιττόν ἐστιν ἀποστρέ-
φειν αὐτόν· δεῖ γὰρ τὴν εἰς τὸν θεὸν τιμὴν προκρίνειν πάντων ἁπλῶς, καὶ τῆς ἐλεη-
μοσύνης αὐτῆς· μηδὲ γὰρ ἐπεὶ διὰ φιλανθρωπίαν ἀναδέχεται εἰς ἑαυτὸν ὁ Χριστὸς
τὸν ἔλεον, νομίσῃς ὅτι δεῖ καταφρονεῖν τοῦ θεοῦ, καὶ τὴν ἐλεημοσύνην μόνον ἐπιτη-

δεύειν· ἐπεὶ οὕτω γε καὶ ἱεροσυλεῖν δεῖ λοιπόν. καὶ ἐκ τῶν συληθέντων ἐλεημοσύνην ποιεῖν· ἀλλ᾽ οὐκ ἔστι τοῦτο· ὅτι γὰρ οὐκ ἔστι ταυτὸν τὸ ἐλεεῖν πτωχοὺς καὶ τὸ τιμῆσαι τὸν χριστὸν αὐτὸν ἐκεῖνον, καὶ θεραπεῦσαι, ἄκουε· τοὺς πτωχοὺς γάρ φησι πάντοτε ἔχετε μεθ᾽ ἑαυτῶν. ἐμὲ δὲ οὐ πάντοτε ἔχετε· ὁρᾷς οὖν πῶς ἄλλο ἐστὶ τὸ τὸν χριστὸν θεραπεύειν, καὶ ἄλλο τὸ πτωχοὺς ἐλεεῖν, εἰ καὶ διὰ φιλανθρωπίαν ὁ χριστὸς εἰς ἑαυτὸν ἀναδέχεται τὰ εἰς τοὺς πένητας γινόμενα·

» Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με
» ἐποίησεν· ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ,
» λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη, εἰς μνημόσυνον αὐτῆς· Διδάσκει ἡμᾶς ὅτι κατά τινα θείαν κίνησιν ἐποίησε τοῦτο ἡ γυνή. προτυποῦσα τὸν θάνατον αὐτοῦ, καὶ τὴν τοῦ σώματος ταφήν· οὐ γὰρ ἂν ἠνέσχετο ὁ κύριος μύρῳ καταχρίεσθαι, εἰ μὴ μυστήριόν τι ἐδήλου· ὡς θεὸς δὲ προεῖπε τὸ ἐσόμενον, ὅτι εἰς καύχημα αὐτῆς μέλλει λαλεῖσθαι πανταχοῦ ὃ ἐποίησεν ἔργον ἡ γυνή· ἴδε δὲ τὴν τοῦ θεοῦ φιλανθρωπίαν. πῶς ἀμείβεται τὴν γυναῖκα μεγάλῃ χάριτι· ποιεῖ γὰρ αὐτὴν μνημονεύεσθαι δι᾽ ὅλου, ἄχρις ἂν τὸ αὐτοῦ εὐαγγέλιον διασώζηται· πῶς δὲ εἰς τὸν ἐνταφιασμὸν αὐτοῦ συνεβάλλετο τὸ μύρον· ἔθος ἦν τοῖς Ἰουδαίοις μετὰ μύρων ἐνταφιάζειν τὰ σώματα, ὡς καὶ οἱ Αἰγύπτιοι ἐποίουν, διὰ τὸ ἄσηπτα τηρεῖσθαι καὶ ἄνευ δυσωδίας· δεικνύουσα οὖν φησὶν ἡ γυνὴ ἐκ τοῦ τὸ μύρον καταχέαι, ὅτι τὸ σῶμά μου ἐνταφιασθήσεται· ταῦτα δὲ πάντα λέγει, δυσωπῶν καὶ ἐντρέπων τὸν Ἰούδαν, δι᾽ οὗ ἔμελλε ταφῇ παραδοθῆναι· νόησον δὲ καὶ κατὰ ἀναγωγήν, λεπρὸν μὲν εἶναι τὸν ἐθνικὸν λαόν. γυναῖκα δὲ ἁμαρτωλήν, τὴν ἐξ ἐθνῶν συναγωγὴν καὶ ἐκκλησίαν. ἥτις τὸ μύρον, τουτέστι τὴν πίστιν, εἰς τὴν τοῦ χριστοῦ κεφαλήν, ἤτοι τὴν θεότητα, ἐξέχεε· πᾶς γὰρ ὁ πιστεύων θεὸν εἶναι τὸν χριστόν, μύρον καταχέει εἰς τὴν κεφαλὴν τοῦ χριστοῦ· ὁ δὲ Ἰούδας ἐπιτιμήσας τῇ γυναικί, ὡς Ἰωάννης
Ἰωάν· ιβ´· φησί, τύπον ἐπέχει τῶν Ἰουδαίων. τῶν ἔτι καὶ νῦν γογγυζόντων κατὰ τῆς ἐκκλησίας·

» Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς
» εἶπε. τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν· οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα
» ἀργύρια· καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ· Ὅτε ἡ ἀλλοτρία γυνή, ἡ πόρνη, τοσαύτην ἐπεδείξατο τιμήν, τότε ὁ μαθητὴς ἀπέρχεται προδώσων αὐτόν· οὐ γὰρ μάτην κεῖται τό, τότε πορευθείς. ἀλλ᾽ ἵνα δείξῃ τὴν ἀναίδειαν τοῦ Ἰούδα· ὁ Ἰσκαριώτης δὲ προστίθησιν, ἵνα γνωριμώτερον αὐτὸν ποιήσῃ. ἦν γὰρ καὶ ἕτερος Ἰούδας ὁ καὶ Λεββαῖος· οὗτος μέντοι ὁ προδότης, ἀπὸ κώμης τινὸς ἦν, ἥτις ἐκαλεῖτο Ἰσκαρα· οἱ δέ, ἔστησαν τριάκοντα ἀργύρια. ἀντὶ τοῦ συνεφώνησαν, ἀφώρισαν δοῦναι. οὐχ ὡς οἱ πολλοὶ νοοῦσιν, ἀντὶ τοῦ ἐζυγοστάτησαν· ἐζήτει οὖν εὐκαιρίαν, μόνον αὐτὸν παραδοῦναι αὐτοῖς· ἐφοβοῦντο γὰρ τὸν ὄχλον. καὶ διὰ τοῦτο ἐμισθώσαντο τὸν Ἰούδαν ἵνα καταμηνύσῃ αὐτοῖς πότε καταμόνας ἐστί·

» Τῇ δὲ πρώτῃ τῶν ἀζύμων, προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ. ποῦ
» θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα· ὁ δὲ εἶπεν. ὑπάγετε εἰς τὴν πόλιν πρὸς
» τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ. ὁ διδάσκαλος λέγει. ὁ καιρός μου ἐγγύς ἐστι. πρὸς σὲ ποιῶ
» τὸ πάσχα μετὰ τῶν μαθητῶν μου· καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ
» Ἰησοῦς. καὶ ἡτοίμασαν τὸ πάσχα· Πρώτην τῶν ἀζύμων, τὴν πρὸ τῶν ἀζύμων φησὶν ἡμέραν οἷον τί λέγω. τῇ παρασκευῇ ἑσπέρας ἔμελλον ἐκεῖνοι φαγεῖν τὸ πάσχα. καὶ αὕτη ἐκαλεῖτο τῶν ἀζύμων· ὁ γοῦν κύριος πέμπει τοὺς μαθητὰς τῇ πέμπτῃ. ἣν ὀνομάζει ὁ εὐαγγελιστὴς πρώτην τῶν ἀζύμων ὡς πρὸ τῆς παρασκευῆς οὖσαν καθ᾽ ἣν παρασκευὴν τῇ ἑσπέρᾳ, ἤσθιον τὰ ἄζυμα· προσέρχονται τοίνυν οἱ μαθηταί, καὶ ἐρωτῶσι.

πῶσι. ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα. οὐ γὰρ εἶχον οὔτε ἐκεῖνοι οὔτε αὐ-
τὸς ἴδιον οἶκον· ἀποστέλλει δὲ αὐτοὺς πρὸς ἄνθρωπον μὴ γινωσκόμενον μήτε γινώσκοντα,
ὥσπερ καὶ ἐπὶ τῆς ὄνου ἐποίησε, δεικνύων αὐτοῖς ὅτι δύναται καὶ ἀπὸ ψιλῶν ῥη-
μάτων πεῖσαι καὶ τοὺς μηδόλως αὐτὸν γινώσκοντας, ὑποδέξασθαι αὐτόν· ἤθελε γὰρ
τὸ πάσχα τελέσαι, ἵνα μὴ δόξῃ ἐναντίος εἶναι τῷ νόμῳ· καιρὸν δὲ αὐτοῦ ὀνομάζει τὴν
σφαγήν, ὡς ἂν μάθωμεν ὅτι οὐκ ἀγνοῶν οὐδὲ ἄκων σφαγιάζεται· προστίθησι δὲ
τῷ ὅτι πρὸς σὲ ποιῶ τὸ πάσχα, ἀντὶ τοῦ ἐν τῇ σῇ οἰκίᾳ μετὰ τῶν μαθητῶν μου, ἵνα
ἀρκοῦσα γένηται ἡ παρασκευή, ὡς πολλῶν μελλόντων φαγεῖν·

» Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα· καὶ ἐσθιόντων αὐτῶν, εἶπεν. ἀμὴν
» λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με· καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν
» αὐτῷ ἕκαστος αὐτῶν. μήτι ἐγώ εἰμι κύριε; Ἐκ τούτου νομίζουσί τινες ὅτι τῷ ἐνιαυ-
τῷ ἐκείνῳ οὐκ ἔφαγε τὸ πάσχα ὁ κύριος· λέγουσι γὰρ ὅτι ἱστάμενοι ἤσθιον τὸν ἀμνόν. ὁ
δὲ Χριστὸς ἀνέκειτο. οὐκ ἄρα ἔφαγε τὸ πάσχα· φαμὲν οὖν ὅτι ἔφαγε πρῶτον τὸ πά-
σχα ἱστάμενος. εἶτα ἀναπεσών, παρέδωκε τὸ οἰκεῖον μυστήριον· πρῶτον γὰρ τὸ τυπικὸν τε-
λέσας, οὕτω τὸ ἀληθινὸν ἐπετέλεσε· προαγγέλλει δὲ τὰ περὶ τὸν Ἰούδαν, ἵνα διορθώ-
σηται αὐτόν, αἰδεσθέντα εἰ μή τι ἄλλο, τὴν γοῦν κοινὴν τράπεζαν. καὶ γνόντα ὅτι
θεὸν μέλλει προδιδόναι, τὸν τὰς καρδίας εἰδότα· οἱ δὲ μαθηταὶ ἠγωνίων. εἰ γὰρ καὶ
καθαρὸν εἶχον τὸ συνειδός, ὅμως πλέον ἐπίστευον τῷ Χριστῷ, ἢ ἑαυτοῖς, ὡς ἐκείνῳ κρεῖττον
εἰδότι τὰς αὐτῶν καρδίας·

» Ὁ δὲ, ἀποκριθεὶς εἶπεν. ὁ ἐμβάψας μετ᾽ ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με
» παραδώσει· ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ. οὐαὶ δὲ
» τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται. καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεν-
» νήθη ὁ ἄνθρωπος ἐκεῖνος· ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτόν, εἶπε. μήτι ἐγώ εἰ-
» μι ῥαββί; λέγει αὐτῷ. σὺ εἶπας· Ἐλέγχει φανερῶς τὸν προδότην, ἐπειδὴ κρυφίως
ἐλεγχόμενος οὐ διωρθοῦτο· διὰ τοῦτο οὖν φανεροῖ αὐτόν, λέγων. ὁ ἐμβάψας μετ᾽ ἐμοῦ.
ὡς ἂν κἂν οὕτω διορθωθῇ· ἀναιδὴς δὲ ὢν ὁ Ἰούδας, ἐνέβαπτεν ἐν τῷ αὐτῷ τρυβλίῳ,
ἤτοι πινακίῳ· εἶτα φησίν. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ
αὐτοῦ· τουτέστιν εἰ καὶ προώριστο παθεῖν ἐπὶ σωτηρίᾳ τοῦ κόσμου ὁ Χριστός, ἀλλ᾽ οὐ δή-
που διὰ τοῦτο τιμητέος ὁ Ἰούδας. ἀλλ᾽ οὐαὶ αὐτῷ· οὐ γὰρ ὡς συνεργῶν τῇ τοῦ θεοῦ βου-
λῇ τοῦτο ἔπραξεν, ἀλλὰ τὴν οἰκείαν κακίαν ἐκθεραπεύων· καὶ γὰρ εἰ ἀκριβῶς σκο-
πήσεις, οὐδὲ ἤθελεν ὁ Χριστὸς προηγουμένως σταυρωθῆναι. ἐμφαίνει δὲ τοῦτο καὶ διὰ τοῦ
ἀπεύχεσθαι τὸ ποτήριον· ἐπεὶ δὲ ᾔδει πρὸ πάντων τῶν αἰώνων ὡς ἄλλως οὐ δυνα-
τὸν σωθῆναι τοὺς ἀνθρώπους, διὰ τὴν κακίαν τοῦ ἐχθροῦ, θελητὸν γίνεται αὐτῷ τὸ προη-
γουμένως ἀθέλητον· λέγων δὲ ὅτι καλὸν ἦν εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος, δεί-
κνυσιν ὅτι ἡ ἀνυπαρξία, κρείττων τῆς ἐν ἁμαρτίαις ὑπάρξεως· ὅρα δὲ καὶ τὴν λέξιν
τοῦ ὑπάγει. ἐμφαίνει γὰρ ὡς ἀποδημία μᾶλλον, οὐ θάνατος ἔσται ἡ νέκρωσις αὐτοῦ·

» Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον καὶ εὐχαριστήσας, ἔκλασε καὶ ἐδί-
» δου τοῖς μαθηταῖς, καὶ εἶπε. λάβετε, φάγετε. τοῦτό ἐστι τὸ σῶμά μου·

Διὰ τοῦτο προσέθηκε τό, ἐσθιόντων, ἵνα παραστήσῃ τὴν ἀπανθρωπίαν τοῦ Ἰούδα. ὅτι ἐν
τραπέζῃ καὶ τῶν αὐτῶν βρωμάτων κοινωνίᾳ ὅτε εἰ καὶ θηρίον ἦν, πρᾳότερος ἂν ἐγε-
γόνει, τότε οὐδὲ ἐλεγχόμενος συνῆκεν. ἀλλὰ καὶ τοῦ σώματος αὐτοῦ γευόμενος, οὐ με-
ταμελεῖται· τινὲς δέ φασιν ὅτι ἐξελθόντος τοῦ Ἰούδα, μετέδωκε τῶν μυστηρίων τοῖς
ἄλλοις μαθηταῖς· οὐκοῦν καὶ ἡμεῖς οὕτω ποιεῖν ὀφείλομεν, καὶ τοὺς πονηροὺς ἀπείρ-
γειν τῶν μυστηρίων· εὐχαριστεῖ δὲ μέλλων κλάσαι τὸν ἄρτον, ἅμα μὲν ἵνα καὶ ἡμᾶς

παιδεύσῃ μετ' εὐχαριστίας τὸν ἄρτον προσφέρεσθαι. ἅμα δὲ καὶ ἵνα δείξῃ ὅτι εὐχαρίστως τὴν κλάσιν τοῦ οἰκείου σώματος, ἤτοι τὴν νέκρωσιν δέχεται, καὶ οὐ δυσχεραίνει ὡς ἐπὶ ἀκουσίῳ τινί. καὶ ἵνα καὶ ἡμεῖς οὕτω δεχώμεθα εὐχαρίστως τὸ μαρτύριον. εἰπὼν δὲ, τοῦτό μου ἐστὶ τὸ σῶμα, δεικνύει ὅτι αὐτὸ τὸ σῶμα τοῦ κυρίου ἐστὶν ὁ ἄρτος ὁ ἁγιαζόμενος ἐν τῷ θυσιαστηρίῳ, καὶ οὐχὶ ἀντίτυπον. οὐ γὰρ εἶπε τοῦτό ἐστιν ἀντίτυπον, ἀλλὰ τοῦτό μου ἐστὶ τὸ σῶμα. ἀρρήτῳ γὰρ ἐνεργείᾳ μεταποιεῖται, κἂν φαίνηται ἡμῖν ἄρτος. ἐπεὶ γὰρ ἀσθενεῖς ἐσμεν, καὶ οὐκ ἂν ἐδεξάμεθα κρέα ἐσθίειν ὠμὸν, καὶ ἀνθρώπου σάρκα, διὰ τοῦτο ἄρτος μὲν ἡμῖν φαίνεται. σὰρξ δὲ τῷ ὄντι ἐστί.

» Καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς, λέγων: πίετε ἐξ αὐτοῦ πάντες. τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ὥσπερ ἡ παλαιὰ διαθήκη, σφάγια εἶχε καὶ αἷμα, οὕτω καὶ ἡ καινὴ, αἷμα ἔχει καὶ σφαγήν. περὶ πολλῶν δὲ εἶπεν ἐκχύνεσθαι, ἀντὶ τοῦ περὶ πάντων: καὶ οἱ πάντες γὰρ πολλοί εἰσι. τίνος δὲ ἕνεκεν ἄνω μὲν οὐκ εἶπε, λάβετε φάγετε πάντες. ἐνταῦθα δὲ, πίετε ἐξ αὐτοῦ πάντες. οἱ μέν φασιν ὅτι διὰ τὸν Ἰούδαν τοῦτο εἶπεν. ὁ γὰρ Ἰούδας τὸν μὲν ἄρτον ἔλαβεν. οὐκ ἔφαγε δέ. ἀλλ' ἔκρυψε, πρὸς τὸ δεῖξαι τοῖς Ἰουδαίοις ὅτι τὸν ἄρτον σῶμα ἑαυτοῦ καλεῖ ὁ Ἰησοῦς. τὸ δὲ πόμα καὶ ἄκων ἔπιε, μὴ δυνάμενος πάντως κρύψαι αὐτό. διὰ τοῦτο οὖν εἶπε, πίετε πάντες. οἱ δὲ, ἀναγωγικώτερον φασὶν ὅτι τὸ μὲν τὴν στερεὰν τροφὴν προσίεσθαι, οὐ πάντων ἐστὶν, ἀλλὰ τῶν τελειοτέρων. τὸ δὲ ποτίζεσθαι, πάντων. διὰ τοῦτο οὖν ἐνταῦθα ἔφη. πίετε πάντες. τὸ γὰρ τὰ ἁπλούστερα τῶν δογμάτων παραδέχεσθαι, πάντων.

» Λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. Γευσάμενος τοῦ ποτηρίου, ἀπαρτᾶται λοιπὸν τῷ σωματικῷ πόματι. καινὸν δέ τινα τρόπον γεύσασθαι ἐπαγγέλλεται ἐν τῇ βασιλείᾳ. τουτέστιν ἐν τῇ ἀναστάσει. ἀναστὰς γὰρ, ἔφαγε καὶ ἔπιε καινόν τινα τρόπον. οὐ γὰρ ὡς χρῄζων τροφῆς σωματικῆς γεύσεως νόμοις, ἀλλὰ πιστούμενος τὴν ἀληθῆ τοῦ σώματος φύσιν. βασιλείαν δὲ εἰκότως τὴν ἑαυτοῦ ἀνάστασιν ὀνομάζει. τότε γὰρ κατήργησε τὸν θάνατον, βασιλεὺς τῷ ὄντι φανείς. ἢ καὶ οὕτω νοήσαις. καινὸν πόμα, ἡ ἀποκάλυψις τῶν μυστηρίων τοῦ θεοῦ. ἃ τότε ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, τουτέστιν ἐν τῇ δευτέρᾳ παρουσίᾳ ἀποκαλυφθήσεται, καινὰ ὄντα. τουτέστιν οἷα οὐκ ἠκούσαμεν ἄλλοτε. πίνειν δὲ ἐκεῖνα λέγεται ὁ Χριστὸς μεθ' ἡμῶν, διότι τὴν ἡμετέραν ὠφέλειαν, τροφὴν καὶ πόσιν οἰκείαν ἡγεῖται.

» Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. Μεθ' ὃ ἐδείπνησαν, ὕμνησαν, ἵνα μάθωμεν ὅτι καὶ ἡμᾶς οὕτω δεῖ ποιεῖν. εἰς δὲ τὸ ὄρος τῶν ἐλαιῶν ἔρχεται, καὶ οὐκ εἰς ἄλλον τόπον, ἵνα μὴ δόξῃ φεύγειν. οὐ γὰρ εἰς ἄγνωστον τόπον ἀναχωρεῖ, ἀλλ' εἰς γνώριμον τοῖς Ἰουδαίοις. ἅμα δὲ καὶ ὑποχωρεῖ τῆς μιαιφόνου πόλεως, ἐγκαταλείψας αὐτὴν, ἵνα ἐπιδιωχθῇ, καὶ ἐλέγχῃ αὐτοὺς ὕστερον, ὅτι καὶ ὑποχωροῦντα ἐπεδίωκον.

Ζαχαρ. ιγ´ » Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς. πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. γέγραπται γάρ. πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης. μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ὡς θεὸς προλέγει τὰ ἐσόμενα. ἵνα δὲ μὴ σκανδαλισθῶσιν ὡς κατηγορούμενοι ὑπ' αὐτοῦ, εἶπεν ὅτι γέγραπται, πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσονται τὰ πρόβατα. τοῦτο αἰνιττόμενος, ὅτι, ἐγὼ συνεῖχον ὑμᾶς. τὸ δὲ ἐμὲ ἀπελθεῖν, ὑμᾶς σκορπίσει. πατάξαι δὲ λέγεται ὁ πατὴρ τὸν υἱὸν, διότι γνώμῃ αὐτοῦ, ἤτοι παραχωρήσει, ἐσταυρώ-

σιν οἱ Ἰουδαῖοι τὸν κύριον· δυνάμενος γὰρ κωλῦσαι, εἶτα μὴ κωλύσας, λέγεται πατά-
ξαι διὰ τὴν παραχώρησιν· εἶτα λύων αὐτῶν τὴν λύπην, εὐαγγελίζεται αὐτοῖς ὅτι,
ἐγερθήσομαι καὶ προάξω, τουτέστι προφθάσω, εἰς τὴν Γαλιλαίαν ὑμᾶς. δεικνύων ἐν-
τεῦθεν ὅτι τὴν μὲν Ἱερουσαλὴμ ἐγκαταλείψει. εἰς δὲ τὰ ἔθνη ἀπελεύσεται· τὴν
γὰρ Γαλιλαίαν ἐθνικοὶ κατῴκουν·

» Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ. εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ οὐ-
» δέποτε σκανδαλισθήσομαι· ἔφη αὐτῷ ὁ Ἰησοῦς. ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκ-
» τί, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με· Ὑπὸ πολλῆς αὐθαδείας ὁ Πέτρος
μόνος ὑπισχνεῖται μὴ σκανδαλισθῆναι· διὸ εἴασεν αὐτὸν ὁ Χριστὸς πεσεῖν, ἵνα πείσῃ μὴ
ἑαυτῷ θαρρεῖν, ἀλλὰ τῷ θεῷ. καὶ ἀπιστοτέροις ἡγεῖσθαι τοὺς τοῦ Χριστοῦ λόγους, τῆς οἰ-
κείας συνειδήσεως· ἐπεὶ καὶ ἀπονοίας γέμει, τὸ εἰπεῖν εἰ πάντες σκανδαλισθήσον-
ται. δείκνυσι γὰρ αὐτὸν ἀλαζόνα, καὶ μὴ ἐπιγινώσκοντα τὴν οἰκείαν ἀσθένειαν· προ-
λέγει οὖν αὐτῷ ὁ κύριος καὶ τὴν ὥραν, ὅτι ἐν ταύτῃ τῇ νυκτί, καὶ πρὶν ἢ ἀλέκτορα φω-
νῆσαι. καὶ τὸν ἀριθμὸν τῶν ἀρνήσεων, ὅτι ἐκ τρίτου ἀρνήσεται·

» Λέγει αὐτῷ ὁ Πέτρος. κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσωμαι· ὁμοίως
» δὲ καὶ πάντες οἱ μαθηταὶ εἶπον· τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγό-
» μενον Γεθσημανή. καὶ λέγει τοῖς μαθηταῖς. καθίσατε αὐτοῦ, ἕως οὗ ἀπελθὼν προ-
» σεύξομαι ἐκεῖ· Ὁ Πέτρος θέλων ἐνδείξασθαι ὅτι γνησίαν ἔχει διάθεσιν, ἀντιλέγει
τῷ σωτῆρι· ἀπαλλαγεὶς γὰρ τοῦ διὰ τὴν προδοσίαν φόβου, ἐκ πολλῆς ἀγάπης καὶ
φιλοτιμίας ἤρξατο καὶ τῶν ἄλλων κατεξανίστασθαι, καὶ τῷ Χριστῷ ἀνθίστασθαι· ἀλ-
λὰ καὶ οἱ λοιποὶ μαθηταί, ἀπὸ ἀγνοίας ὑπισχνοῦντο περὶ τῆς τῶν πειρασμῶν πεί-
ρας, ἃ οὐκ ἔμελλον τελειῶσαι· ἀπέρχεται δὲ ἰδίᾳ προσευξόμενος, σχολῆς γὰρ καὶ ἰδια-
σμοῦ δεῖται ἡ προσευχή·

» Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ
» ἀδημονεῖν· τότε λέγει αὐτοῖς. περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε
» ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ· καὶ προελθὼν μικρόν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, προ-
» σευχόμενος καὶ λέγων. πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦ-
» το· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· Οὐ πάντας παραλαμβάνει τοὺς μαθητάς,
ἀλλὰ τοὺς τρεῖς οἷς ἔδειξε τὴν δόξαν ἐν τῷ Θαβώρ, ἵνα μὴ ἰδόντες αὐτὸν προσευχόμενον
καὶ ἀδημονοῦντα, σκανδαλισθῶσιν· ὅμως δὲ καὶ τούτους ἀφίησι. καὶ ἀπελθὼν ἰδιαί-
τατα προσεύχεται· οἰκονομικῶς δὲ λυπεῖται καὶ ἀδημονεῖ, ὅπως πιστώσηται ὅτι ἀ-
ληθῶς ἄνθρωπος ἦν· τῆς γὰρ ἀνθρωπίνης φύσεως τὸ δειλιᾶν θάνατον. διότι καὶ παρὰ
φύσιν εἰσῆλθεν ὁ θάνατος. καὶ διὰ τοῦτο ἡ φύσις φεύγει τοῦτον· ἅμα δὲ ἵνα καὶ λά-
θῃ τὸν διάβολον. καὶ ἐπιπηδήσῃ αὐτῷ ὡς ψιλῷ ἀνθρώπῳ, ὥστε θανατῶσαι αὐτόν.
καὶ οὕτω συνέβη· ἄλλως τε, εἰ ἐπεπήδησε τῷ θανάτῳ ὁ κύριος, ἔδωκεν ἂν τοῖς Ἰου-
δαίοις ἀπολογίαν, ὡς οὐχ ἥμαρτον ἀποκτείναντες τὸν ἐπιπηδήσαντα τῷ πάθει· ἐκ τού-
του δὲ μανθάνομεν καὶ αὐτοὶ μὴ ἐπιρρίπτειν ἑαυτοὺς εἰς πειρασμούς, ἀλλ' εὔχεσθαι
ῥυσθῆναι ἐκ τούτων· διὰ τοῦτο γὰρ καὶ οὐ πολὺ παρεξέρχεται διάστημα, ἀλλὰ πλησίον
τῶν τριῶν μαθητῶν, ἵνα ἀκούοντες αὐτοῦ, μιμήσωνται καὶ αὐτοὶ πειρασμοῖς περιπε-
σόντες. καὶ τὰ ὅμοια εὔξωνται· ποτήριον δὲ ὀνομάζει τὸ πάθος, ἢ διὰ τὸν ἐκ τούτου
ὕπνον, ἢ διότι εὐφροσύνης αἴτιον καὶ σωτηρίας ἡμῖν ἐγένετο· θέλει δὲ παραβιβασθῆ-
ναι τὸ ποτήριον, ἢ ἵνα δείξῃ ὅτι ὡς ἄνθρωπος φυσικοῖς νόμοις παραιτεῖται τὸν θάνα-
τον, καθὰ προείρηται, ἢ διότι οὐκ ἤθελε τηλικοῦτον ἁμάρτημα ἁμαρτεῖν τοὺς Ἑβραίους,
ὥστε δι' αὐτὸ καθαίρεσιν γενέσθαι τοῦ ναοῦ, καὶ ἀπώλειαν τοῦ λαοῦ· πλὴν τὸ πατρικὸν

θέλημα βούλεται γενέσθαι. ἵνα καὶ ἡμεῖς μάθωμεν ὅτι εἰ καὶ ἡ φύσις ἀνθέλκει ἡ-
μᾶς, δεῖ πείθεσθαι τῷ θεῷ μᾶλλον, καὶ τὸ ἐκείνου θέλημα πληροῦν.
» Καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας. καὶ λέγει τῷ
» Πέτρῳ. οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; γρηγορεῖτε καὶ προσεύχε
» σθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.
Ἐπειδὴ θρασὺς ἦν ὁ Πέτρος καὶ οἱ ἄλλοι μαθηταὶ, ἐλέγχει αὐτῶν τὴν ἀσθένειαν, ὡς
Μαρ. ιδ'. προπετέστερα φθεγξαμένων. καὶ μάλιστα τῷ Πέτρῳ διαλέγεται. οὕτω μίαν ὥραν
οὐκ ἰσχύσατε ἀγρυπνῆσαι μετ' ἐμοῦ; καὶ πῶς τὰς ψυχὰς ὑμῶν ὑπὲρ ἐμοῦ θήσετε.
ἀλλὰ πάλιν ἐπειδὴ διὰ τοῦ ἐλέγχου ἔπληξε, θεραπεύει ἐν τῷ εἰπεῖν ὅτι τὸ μὲν πνεῦ
μα πρόθυμον, ἀλλ' ἡ τῆς σαρκὸς ἀντιπίπτει ἀσθένεια. τουτέστι, συγγνώμης ἀξιῶ ὑμᾶς,
ὅτι οὐ διὰ καταφρόνησιν ἀπενυστάξατε, ἀλλὰ δι' ἀσθένειαν. ὥστε λοιπὸν ἐπεὶ ἀσθενεῖς
ἐστε, μὴ θρασύνεσθε. ἀλλὰ προσεύχεσθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμὸν μηδόλως.
ἄλλοι δὲ τὸ μὴ εἰσέλθητε εἰς πειρασμὸν, νοοῦσιν ἀντὶ τοῦ μὴ νικηθῆτε ὑπὸ τοῦ πειρα-
σμοῦ. οὐ γὰρ δή φασι κελεύει ἡμᾶς ἀπειράστους εἶναι. οἱ πειρασμοὶ γάρ εἰσιν οἱ στεφα-
νοῦντες. ἀλλὰ τὸ μὴ καταποθῆναι ὑπὸ τοῦ πειρασμοῦ, καὶ εἰσελθεῖν εἰς τὴν κοιλίαν
αὐτοῦ ὡς θηρίου τινὸς, τοῦτο κελεύει εὔχεσθαι. ὁ γὰρ ἡττηθεὶς ὑπὸ τοῦ πειρασμοῦ, εἰσῆλ
θεν εἰς αὐτόν. τουτέστι κατεπόθη ὑπ' αὐτοῦ.
» Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο, λέγων. πάτερ μου εἰ οὐ δύναται τοῦτο
» τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. καὶ ἐλ
» θὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας. ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι.
» καὶ ἀφεὶς αὐτοὺς, ἀπελθὼν πάλιν προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών.
Μάνθανε ὦ ἄνθρωπε συνεχῶς προσεύχεσθαι ἐν τοῖς πειρασμοῖς, ἀκούων ὅτι καὶ ὁ κύ-
ριος πολλάκις ηὔχετο. εὑρὼν δὲ αὐτοὺς πάλιν καθεύδοντας, οὐ διήλεγξεν, ἵνα μὴ λυ-
πήσῃ. ἀλλ' ἀφίησι. καὶ ἀπελθὼν προσηύξατο ἐκ τρίτου, βεβαιῶν τὸ ἀνθρώπινον. ἀλη-
θείας γὰρ ἐνδεικτικὸς ὁ τρία ἀριθμὸς, καὶ βεβαιώσεως.
» Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ, καὶ λέγει αὐτοῖς. καθεύδετε τὸ λοιπὸν
» καὶ ἀναπαύεσθε. ἰδοὺ ἤγγικεν ἡ ὥρα. καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας
» ἁμαρτωλῶν. ἐγείρεσθε ἄγωμεν. ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με. Δεικνύων ὅτι οὐ χρείαν
ἔχει τῆς παρ' αὐτῶν ἐπικουρίας ὅτε μέλλει παραδοθῆναι, φησὶν αὐτοῖς. καθεύδετε τὸ
λοιπόν. ἢ κατ' εἰρωνείαν τοῦτο φησὶν, ὡσανεὶ τοῦτο λέγων. ἰδοὺ ἤγγικεν ὁ προδότης. καὶ
εἰ ἀρέσκει ὑμῖν, καὶ παρέχει ὁ καιρὸς, καθεύδετε. ἐγείρει οὖν αὐτοὺς ἀπὸ τοῦ τόπου ἐκεί-
νου ἔνθα προσηύχετο, καὶ προσέρχεται τοῖς μέλλουσιν αὐτὸν συλλαβεῖν. καὶ προσυ-
παντᾷ αὐτοῖς, ὥς τι εὐφρόσυνον μέλλουσι δοῦναι αὐτῷ. οὕτω καὶ ἐκεῖνα ἃ ηὔχετο,
διὰ τὸ πιστώσασθαι τὴν οἰκονομίαν ηὔχετο. καὶ θέλων μὴ παθεῖν, ἵνα συντηρηθῶσιν οἱ
Ἑβραῖοι ἐκ τῆς ἀπωλείας ἣ ἔμελλε καταλήψεσθαι αὐτοὺς διὰ τὴν εἰς αὐτὸν ἁμαρτίαν.
» Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος
» πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ
» δὲ παραδιδοὺς αὐτὸν, ἔδωκεν αὐτοῖς σημεῖον, λέγων. ὃν ἂν φιλήσω, αὐτός ἐστι. κρατή-
» σατε αὐτόν. καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ, εἶπε. χαῖρε ῥαββί. καὶ κατεφίλησεν αὐ
» τόν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. ἑταῖρε ἐφ' ᾧ πάρει. τότε προσελθόντες, ἐπέβαλον τὰς
» χεῖρας ἐπὶ τὸν Ἰησοῦν. καὶ ἐκράτησαν αὐτόν. Ὁρᾷς τὰ τῶν ἀρχιερέων σκεύη;
ξύλα καὶ μάχαιραι. οὕτως ἦσαν εἰρηνικοὶ, καὶ τὸ πνεῦμα τῆς πραότητος ἔχοντες.
τὸ δὲ εἷς τῶν δώδεκα εἶπεν ὁ εὐαγγελιστὴς, θαυμάζων ὅτι καίτοι ἐξειλεγμένος ὤν, καὶ
μετὰ τῶν πρώτων ταττόμενος, ὅμως τῷ διαβόλῳ δέδωκεν ἑαυτόν. ὥστε καὶ σὺ φοβοῦ

ἄνθρωπε, καὶ τῶν οἰκειοτάτων εἴης, μήποτε ἀπὸ ῥαθυμίας ἐκπέσῃς. σύσσημον δὲ
δίδωσιν ὁ Ἰούδας, διότι καὶ νὺξ ἦν, καὶ οὐκ ἠδύναντο διαγνῶναι. ἄλλως τε καὶ οἱ ἐλ-
θόντες συλλαβεῖν, οὐκ ἦσαν ἐκ τοῦ ὄχλου τοσοῦτοι ὅσοι ἐκ τῶν δούλων τῶν ἀρχιερέων.
οἳ οὐδ' ὅλως τάχα ἐγνώριζον τὸν Ἰησοῦν. ἀλλ' ὁ μαθητὴς γνωρίζει αὐτοῖς τὸν διδά-
σκαλον, ἐκ τοῦ καταφιλεῖν. εἰδὼς γὰρ τὴν φιλανθρωπίαν τοῦ κυρίου, θρασύνεται καὶ
φιλῆσαι. ὁ δὲ, ἀνέχεται ἄχρι καὶ τῆς τελευταίας ὥρας, σπουδάζων διὰ τῆς μα-
κροθυμίας αὐτὸν κερδῆσαι. ὅτε δὲ οὐδὲ οὕτως ἐσωφρονίσθη, τότε ποιεῖ αὐτοὺς πεσεῖν
ὡς ὁ Ἰωάννης φησίν. ἵνα κἂν διὰ τοῦ πεσεῖν, ἐπιγνῶσι τὴν αὐτοῦ δύναμιν. ὡς δὲ οὐ- Ἰωάν. ιη'.
δ' οὕτως ἀπέστησαν τῆς θρασύτητος, τότε ἐκδίδωσιν ἑαυτόν. ἑταῖρον δὲ τὸν Ἰούδαν
καλεῖ, κωμῳδῶν αὐτὸν καὶ διασύρων, ὡς δῆθεν ἑταίρου φίλημα δόντα. τὸ δὲ ἐφ' ᾧ
πάρει. ἀντὶ τοῦ ἐπὶ ποίῳ σκοπῷ πάρει ἐνταῦθα. ἆρα ὡς φίλος; καὶ μὴν οὐκ ἔδει
μετὰ μαχαιρῶν παρεῖναι. ἀλλ' ὡς ἐχθρός; καὶ πῶς καταφιλεῖς. ἐλέγχει τοίνυν αὐ-
τὸν ὡς δόλιον.

» Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ.
» καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. τότε λέγει αὐτῷ ὁ
» Ἰησοῦς. ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς. πάντες γὰρ οἱ λαβόν-
» τες μάχαιραν, ἐν μαχαίρᾳ ἀπoθανοῦνται. ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέ-
» σαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; πῶς οὖν
» πληρωθῶσιν αἱ γραφαὶ, ὅτι οὕτω δεῖ γενέσθαι. Πέτρος ἦν ὁ τὴν μάχαιραν σπα-
σάμενος, καθὰ Ἰωάννης φησίν. εἶχε δὲ μάχαιραν, ὡς ἄρτι τὸ ἀρνίον θύσας ὃ ἔφαγον. Ἰωάν. ιη'.
μὴ ἐγκαλῶμεν δὲ τῷ Πέτρῳ. οὐ γὰρ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ διδασκάλου ζηλώ-
σας, τοῦτο ἐποίησεν. ὁ δὲ κύριος μεταρυθμίζων αὐτὸν εἰς εὐαγγελικὴν πολιτείαν, διδά-
σκει μὴ χρῆσθαι μαχαίρᾳ, κἂν τὸν θεὸν δοκῇ τις ἐκδικεῖν. τεμὼν δὲ τὸ ὠτίον ὁ Πέ-
τρος, δείκνυσιν ὅτι ἀνηκοΐαν ἐνόσουν οἱ Ἰουδαῖοι. εἶτα καὶ τὸ τοῦ νόμου ῥητὸν τίθησιν,
ὅτι ὁ φονεὺς ἀντιφονεύεται. ὁ γὰρ νόμος τοῦτο φησὶν, ὅτι οἱ λαβόντες μάχαιραν, ἐν Γεν. θ'.
μαχαίρᾳ ἀποθανοῦνται. αἰνίττεται δὲ ὅτι ὑπὸ τῆς τῶν Ῥωμαίων μαχαίρας ἀναι-
ρεθήσονται οἱ κατ' αὐτοῦ λαβόντες τὴν μάχαιραν Ἰουδαῖοι. οὐκ εἶπε δὲ ὅτι δύναμαι
παραστῆσαι δώδεκα λεγεῶνας ἀγγέλων, ἀλλὰ παρακαλέσαι τὸν πατέρα μου. οἰκονομι-
κῶς τοῦτο λέγων ὡς ἄνθρωπος, διὰ τὴν αὐτῶν ἀσθένειαν. πολλὰ γὰρ ἦν τότε ἐπιδεί-
ξας ἀνθρώπινα. τὸν ἱδρῶτα, τὴν δειλίαν. καὶ οὐκ ἂν ἔδοξε πιθανὰ λέγειν, ἂν ἔλε-
γεν ὅτι δύναμαι αὐτὸς ἐγὼ παραστῆσαι ἀγγέλοις. ἀντὶ τῶν δώδεκα οὖν φησι μαθη-
τῶν, παρέστησαν ἄν μοι δώδεκα τάγματα ἀγγέλων, εἰ ἤθελον. λεγεὼν γάρ ἐστι τὸ μέγι-
στον τάγμα, ἑξακισχίλιοι ἱππεῖς. δεῖ οὖν φησι, ταῦτα πάντα γενέσθαι, ὅπως πληρωθῶ-
σιν αἱ γραφαὶ αἱ ταῦτα προαναφωνήσασαι. οὐχ ὅτι δὲ προανεφώνησαν αἱ γραφαὶ,
διὰ τοῦτο οἱ Ἰουδαῖοι κακοί. ἀλλὰ διότι ἔμελλον ἀπὸ πονηρᾶς προαιρέσεως ταῦτα
ποιῆσαι οἱ Ἰουδαῖοι, διὰ τοῦτο ἐν ταῖς γραφαῖς ταῦτα ἐτέθησαν ὑπὸ τοῦ πνεύματος.

» Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις. ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαι-
» ρῶν καὶ ξύλων συλλαβεῖν με; καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱε-
» ρῷ, καὶ οὐκ ἐκρατήσατέ με. τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν
» προφητῶν. Δείκνυσι τὴν ἄλογον αὐτῶν ἐπιχείρησιν. καὶ ὅτι οὐ τῆς αὐτῶν ἰσχύος
γέγονε τὸ συλλαβεῖν αὐτόν. ὅτε γὰρ ἤμην φησὶν ἐν τῷ ἱερῷ, ἠθέλετέ με συσχεῖν. καὶ διό-
τι οὐ συνεχώρουν ὑμῖν, οὐκ ἠδυνήθητε. νῦν δὲ ἑκὼν προδίδωμι ἑαυτόν. οἶδα γὰρ ὅτι
ἀδύνατόν ἐστι διαψευσθῆναι τὰς γραφὰς, αἳ προεῖπον τὴν ὑμετέραν κακίαν.

» Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν, ἔφυγον. οἱ δὲ, κρατήσαντες, τὸν Ἰησοῦν

» ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συ-
» νήχθησαν. ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως.
» καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος. Οἱ μὲν ἄλλοι μα-
θηταὶ ἔφυγον. ὁ δὲ Πέτρος θερμότερον διακείμενος περὶ τὸν διδάσκαλον, ἠκολούθει
Ἰωάν. ιη'. μακρόθεν. εἰ δὲ καὶ ὁ Ἰωάννης ἠκολούθει, ἀλλ' οὐχ ὡς μαθητὴς, ἀλλ' ὡς γνώριμος
τοῦ ἀρχιερέως.

» Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ συνέδριον ὅλον, ἐζήτουν ψευδομαρτυ
» ρίαν κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσι. καὶ οὐχ εὗρον: καὶ πολλῶν ψευδο-
» μαρτύρων προσελθόντων, οὐχ εὗρον. Εἰς τὸν Καϊάφαν ἀπάγουσι τὸν Ἰησοῦν. ἐκεῖ-
νος γὰρ ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. ἔνθα καὶ οἱ λοιποὶ διενυκτέρευον, μὴ φαγόν
τες τότε τὸ πάσχα. ἀλλ' ἀναμείναντες, ἵνα ἀποκτείνωσι τὸν κύριον, καὶ παραβαίτες τὸν
νόμον. ὁ μὲν γὰρ κύριος κατὰ τὸν νενομισμένον καιρὸν ἔφαγεν. ἐκεῖνοι δὲ ἵνα μόνον
ἀποκτείνωσι τὸν κύριον, καταφρονοῦσι καὶ τοῦ νόμου.

» Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες, εἶπον. οὗτος ἔφη. δύναμαι κατα-
» λῦσαι τὸν ναὸν τοῦ θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. καὶ ἀναστὰς ὁ ἀρ-
» χιερεὺς εἶπεν αὐτῷ. οὐδὲν ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν. ὁ δὲ Ἰησοῦς ἐσιώ
» πα. καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς, εἶπεν αὐτῷ. ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος, ἵνα
» ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. λέγει αὐτῷ ὁ Ἰησοῦς. σὺ εἶπας.
ψευδομάρτυρες ὄντως ἦσαν οὗτοι. ὁ γὰρ Χριστὸς οὐκ εἶπεν ὅτι, δύναμαι καταλῦσαι,
ἀλλὰ λύσατε. καὶ οὐκ εἶπε. τὸν ναὸν τοῦ θεοῦ, ἀλλὰ τὸν ναὸν τοῦτον. τουτέστι τὸ σῶ-
μα μου. καὶ πάλιν οὐκ εἶπεν. οἰκοδομήσω, ἀλλ' ἐγερῶ. ὥστε φανερῶς ψευδομάρτυ-
ρες οὗτοι, ἄλλα εἰπόντα τὸν Χριστὸν, ἄλλα λέγοντες εἰπεῖν. ὁ οὖν Ἰησοῦς προειδόμενος εἰ-
δὼς τὸ κριτήριον αὐτῶν, ἐσιώπα. οὓς γὰρ σημεῖα οὐκ ἔπειθον, πῶς δὴ ἀπολογίαι ἔπει
σαν. ὁ δὲ ἀρχιερεὺς, βουλόμενος ῥῖψαι αὐτὸν εἰς βλασφημίαν, ἐρωτᾷ. ἵνα ἐὰν μὲν
εἴπῃ ὅτι ἐγώ εἰμι ὁ υἱὸς τοῦ θεοῦ, ὡς βλάσφημος κατακριθῇ. ἐὰν δὲ ἀρνήσηται, ἔχῃ
α'. πρὸς Κορ. γ'. αὐτὸν καθ' ἑαυτοῦ μαρτυρήσαντα. ἀλλ' ὁ κύριος ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουρ
γίᾳ αὐτῶν, ἀποκρίνεται. σὺ εἶπας. ἀντὶ τοῦ, τὸ σὸν ὡμολόγησε στόμα ὅτι ἐγώ εἰμι ὁ
υἱὸς τοῦ θεοῦ.

» Πλὴν λέγω ὑμῖν. ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς
Δανιήλ. ζ'. » δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Ἐκ τῆς τοῦ Δανιὴλ προφη
τείας αὐτοῖς διαλέγεται. ἐκεῖνος γάρ φησιν ὅτι, εἶδον ὡς υἱὸν ἀνθρώπου ἐρχόμενον
ἐπὶ τῶν νεφελῶν. ἐπεὶ γὰρ ἐνόμιζον αὐτὸν πλάνον εἶναι, ἐν ταπεινῷ φαινόμενον σχή-
ματι, φησὶν ὅτι, ὄψεσθέ με τότε μετὰ δυνάμεως ἐρχόμενον, καὶ συγκαθήμενον τῷ πα-
τρί. δύναμιν γὰρ ἐνταῦθα τὴν τοῦ πατρὸς λέγει. καὶ οὐκ ἀπὸ γῆς, ἀλλ' ἀπ' οὐρανοῦ ἐρ-
χόμενον.

» Τότε ὁ ἀρχιερεὺς, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, λέγων ὅτι, ἐβλασφήμησε. τί ἔτι
» χρείαν ἔχομεν μαρτύρων. ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ. τί ὑμῖν δοκεῖ.
» οἱ δὲ, ἀποκριθέντες εἶπον. ἔνοχος θανάτου ἐστίν. Ἔθος ἦν τοῖς Ἰουδαίοις, ὅταν τι ἀ-
καρτέρητον ἐπέλθοι, διαρρήσσειν τοὺς χιτῶνας. οὕτως οὖν καὶ ὁ Καϊάφας, ὡς ἐπὶ βλα
σφημίᾳ δῆλῃ πρὸς ἀπάτην τοῦ ὄχλου τοῦτο ἐποίησεν. ἵνα δείξῃ αὐτοῖς ὅτι μεγάλως
ἐβλασφήμησεν. εἶθ' οὕτως ἀναγκάσῃ αὐτοὺς εἰπεῖν ὅτι ἔνοχος θανάτου ἐστί. πλὴν κα-
τάμαθε ὅτι τὸ τὸν Καϊάφαν διαρρῆξαι τὰ ἱμάτια, σύμβολον ἦν τοῦ τὴν ἀρχιερωσύ
νην τῆς παλαιᾶς, διαρραγῆναι.

» Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ. καὶ ἐκολάφισαν αὐτόν. οἱ δὲ ἐρράπισαν,
λέγοντες.

» λέγοντες. προφήτευσον ἡμῖν Χριστὲ, τίς ἐστιν ὁ παίσας σε. Ὅτε κατεκρίθη, τότε ἐνε-
δείξαντο εἰς αὐτὸν τὰ ἐπονείδιστα. καὶ ἐνέπαιζον αὐτῷ, περιβάλλοντες, ὡς ἕτερος Μαρ. ιδ'.
εὐαγγελιστής φησιν, ἱματίῳ τὸ πρόσωπον αὐτοῦ. ἐπεὶ γὰρ ὡς προφήτην αὐτὸν εἶ- Λου. κβ'.
χον, διὰ τοῦτο ἐμπαίζουσιν οὕτως αὐτῷ. κολαφίζειν δέ ἐστι τὸ διὰ τῶν χειρῶν πλήττειν,
συγκαμπτομένων τῶν δακτύλων. καὶ ἵνα ἀφελέστερον εἴπω, διὰ τοῦ γρόνθου κονδυλίζειν.
» Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ. καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη, λέ-
» γουσα. καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων, λέ-
» γων. οὐκ οἶδα τί λέγεις. ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη. καὶ λέ-
» γει τοῖς ἐκεῖ, καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου,
» ὅτι, οὐκ οἶδα τὸν ἄνθρωπον. μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες, εἶπον τῷ Πέτρῳ.
» ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ. καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. τότε ἤρξατο κα-
» ταναθεματίζειν καὶ ὀμνύειν ὅτι, οὐκ οἶδα τὸν ἄνθρωπον. καὶ εὐθέως ἀλέκτωρ ἐφώ-
» νησε. καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ, εἰρηκότος αὐτῷ ὅτι, πρὶν ἀλέκτορα
» φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

Ἀπείρῳ φόβῳ καταγωνισθεὶς ὁ Πέτρος, ἐπελάθετο τῶν ὑποσχέσεων. καὶ τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ δουλεύειν. οἷον ἀποτεθνηκὼς τῷ φόβῳ, καὶ μὴ δὲ εἰδὼς ὃ λέγει. νόει δέ μοι καὶ κατὰ ἀναγωγήν. ὅτι ἐλέγχεται ὑπὸ τῆς παιδίσκης ὁ Πέτρος. τουτέστι τῆς ἀνθρωπίνης ἀσθενείας, τῆς μικρᾶς καὶ δουλοπρεποῦς, ἄχρις οὗ ὁ ἀλέκτωρ φωνήσας, εἰς αἴσθησιν αὐτὸν ἤγαγεν. ἀλέκτωρ δέ ἐστιν ὁ λόγος. ὁ μὴ ἐῶν ἡμᾶς ῥαθυμεῖν καὶ καθεύδειν, ἀλλὰ λέγων. γρηγορεῖτε. καί, ἔγειραι ὁ καθεύδων. ὑπὸ τοῦ λόγου τοίνυν ὥσπερ ὑπό τινος ἀλέκτορος διυπνισθεὶς ὁ Πέτρος, ἐξελθὼν ἔξω τῆς αὐλῆς τοῦ ἀρχιερέως, τουτέστι τῆς περιοχῆς τοῦ πεπωρωμένου νοῦ. καὶ ἐκβὰς ἀπὸ τῆς ἀναισθησίας, ἔκλαυσε πικρῶς. ἕως μὲν γὰρ ἦν ἐν τῇ αὐλῇ τοῦ πεπωρωμένου νοός, οὐκ ἔκλαιεν. οὐ γὰρ ᾐσθάνετο. ὁπηνίκα δὲ ἐξῆλθεν, εἰς αἴσθησιν ἦλθεν. (margin: Πρὸς Ἐφε. έ.)

Κεφάλαιον. Εἰκοστὸν ἕβδομον.

» Πρωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτε-
» ροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν. καὶ δήσαντες αὐτὸν ἀπήγαγον.
» καὶ παρέδωκαν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Ἴδε τὸν διάβολον πῶς ὅλως αὐτοὺς

κατεῖχεν, ἐν τοιαύταις ἡμέραις πείσας φονεύειν, ἐν αἷς πολλῶν ἔδει θυσιῶν καὶ προσφορῶν, ὑπὲρ τῶν ἄλλων ἁμαρτιῶν, καὶ ἁγνείας καὶ καθαρσίας. οἱ δὲ καὶ δεσμοῦσι καὶ ἀπάγουσι πρὸς τὸν ἡγεμόνα Πιλάτον. ὃς ἀπὸ Πόντου μὲν ἦν. Ῥωμαίοις δὲ ὑποτελῶν, ἀπεστάλη ἡγεμὼν τῆς Ἰουδαίας. παρέδωκαν δὲ τὸν κύριον τῷ Πιλάτῳ, ὡς δῆθεν στασιώδη, καὶ κατὰ τοῦ βασιλέως μελετήσαντα.

» Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε
» τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, λέγων. ἥμαρτον πα-
» ραδοὺς αἷμα ἀθῷον. οἱ δὲ εἶπον. τί πρὸς ἡμᾶς. σὺ ὄψει. καὶ ῥίψας τὰ ἀργύρια
» ἐν τῷ ναῷ, ἀνεχώρησε. καὶ ἀπελθὼν ἀπήγξατο. Ἐν ὑστεροβουλίᾳ γίνεται ὁ Ἰούδας.

καὶ μεταμέλεται μέν, οὐ καλῶς δέ. τὸ μὲν γὰρ ἑαυτοῦ καταγνῶναι, καλόν. τὸ δὲ ἀπάγξασθαι, δαιμονιῶδες. οὐ φέρων γὰρ τοὺς ἐς ὕστερον ὀνειδισμούς, ὑπεξάγει ἑαυτὸν τοῦ βίου, δέον δακρῦσαι καὶ ἐξιλεώσασθαι τὸν προδοθέντα. τινὲς δὲ λέγουσιν ὅτι ὁ Ἰούδας φιλάργυρος ὤν, ὑπελάμβανεν ὅτι αὐτός τε κερδήσει τὰ ἀργύρια προδοὺς Χριστόν, καὶ ὁ Χριστὸς οὐκ ἀποκτανθήσεται. ἀλλὰ διαφύγῃ τοὺς Ἰουδαίους, ὡς πολλάκις διέφυγε. τότε δὲ ἰδὼν αὐτὸν κατακριθέντα, καὶ ἤδη καταδικασθέντα ἀποθανεῖν, μετεμελήθη, ὡς τοῦ πράγματος ἀποβάντος παρ' ὅπερ ὑπελάμβανε. διὸ καὶ ἀπήγ-

ξατο ἵνα προλάβῃ τὸν Ἰησοῦν ἐν τῷ ᾅδῃ, καὶ ἱκετεύσας σωτηρίας τεύξηται· πλὴν
γίνωσκε ὅτι ἔθηκε μὲν τὸν τράχηλον αὐτοῦ εἰς τὴν ἀγχόνην, ἀπὸ δένδρου τινὸς κρεμά-
σας ἑαυτόν· τοῦ δὲ δένδρου κλιθέντος, ἐπέζησε. τοῦ θεοῦ θέλοντος αὐτὸν ἢ εἰς μετά-
νοιαν σωτηρῆσαι, ἢ εἰς παραδειγματισμὸν καὶ αἰσχύνην· φασὶ γὰρ ὅτι νόσῳ ὑδερι-
κῇ περιπέπτωκεν. ὥστε ἔνθα ἅμαξα ῥᾳδίως διέρχεται, αὐτὸν μὴ δύνασθαι διελθεῖν·
Πρά. α. εἶτα πρηνὴς πεσὼν ἐλάκησεν, ἀντὶ τοῦ διερράγη, ὡς ὁ Λουκᾶς φησὶν ἐν ταῖς πράξεσιν·
» Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον. οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορ-
» βανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι· συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν
» ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις· διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵμα
Ζαχ. ια. » τος ἕως τῆς σήμερον· τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου, λέγοντος.
» καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ
» υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως καθὰ συνέταξέ μοι κύριος·
Κορβανᾶν ἔλεγον τὸν ἐν τῷ ἱερῷ θησαυρόν, εἰς ὃν ἔβαλλον τὰ προσφερόμενα τῷ θεῷ
δῶρα· ὅρα δὲ τὸν θεὸν πῶς ματαιοῖ αὐτοὺς, ὥστε φημίζεσθαι τὴν μιαιφόνον αὐτῶν
γνώμην· ἕως γὰρ τῆς σήμερον, φησίν, ἀγρὸς αἵματος καλεῖται ὁ ἀγρὸς ἐκεῖνος·
ὥστε πάντας ἀναμιμνήσκεσθαι ὅτι τὸν κύριον ἐφόνευσαν· μάνθανε δὲ καὶ τοῦτο, ὅτι
καὶ παρὰ τοῖς Ἰουδαίοις τοσοῦτον ἡ φιλοξενία ἐσπουδάζετο, ὥστε καὶ τοῖς ξένοις εἰς
ταφὴν χωρίον τι ἀγορασθῆναι· αἰσχυνώμεθα οὖν ἡμεῖς, οἱ τελειοτέρου μὲν βίου δοκοῦν-
τες εἶναι, τοὺς δὲ ξένοις παραβλεπόμενοι· τὴν τιμὴν δὲ τοῦ τετιμημένου φησί, δηλονότι
τοῦ Χριστοῦ· ἀτίμητος μὲν γὰρ ἦν. ἐτιμήθη δὲ ἀπὸ υἱῶν Ἰσραήλ. τουτέστι τὴν τιμὴν
αὐτοῦ ἔστησαν οἱ υἱοὶ Ἰσραήλ, συμφωνήσαντες τῷ Ἰούδᾳ δοῦναι τριάκοντα ἀργύρια·
» Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος. καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμών, λέγων.
» σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ. σὺ λέγεις· καὶ ἐν τῷ κατη-
» γορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο· τότε
» λέγει αὐτῷ ὁ Πιλᾶτος. οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; καὶ οὐκ ἀπεκρίθη αὐ-
» τῷ πρὸς οὐδὲ ἓν ῥῆμα· ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν· Ὡς ἐπὶ δημοσίοις
ἐγκλήμασι κατηγορούμενος, ἀπάγεται πρὸς Πιλᾶτον. ὅθεν καὶ ἐρωτᾷ αὐτὸν εἰ ἐπεβά-
λετο ἀνταρσίᾳ, καὶ ἐπεχείρησε βασιλεῦσαι τῶν Ἰουδαίων· ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ. σὺ
λέγεις. ἀπόκρισιν δοὺς αὐτῷ σοφωτάτην· οὔτε γὰρ εἶπεν ὅτι, οὐκ εἰμί. οὔτε πάλιν
ὅτι, εἰμί. ἀλλὰ μέσως πως ἔφη. σὺ λέγεις· τοῦτο γὰρ δύναται καὶ οὕτω νοηθῆναι,
ὅτι, εἰμὶ καθὼς λέγεις· καὶ οὕτως, ὅτι, ἐγὼ μὲν τοῦτο οὐ λέγω. σὺ δὲ λέγεις· ἄλλο
μέντοι οὐδὲν ἀπεκρίνατο· ᾔδει γὰρ τὸ κριτήριον μὴ κατὰ λόγον προβαῖνον· ἐθαύ-
μαζεν οὖν ὁ Πιλᾶτος τὸν κύριον, ἅμα μὲν ὡς καταφρονοῦντα θανάτου. ἅμα δὲ, πῶς
λόγιος ὢν καὶ μυρία ἔχων προβαλέσθαι εἰς ἀπολογίαν, οὐδὲν ἀπεκρίνατο. ἀλλὰ τῶν
ἐγκαλούντων ὑπερεώρα· διδασκόμεθα δὲ καὶ ἡμεῖς ἐντεῦθεν ὅταν πρὸς δικαστήριον
ἔχωμεν διεφθαρμένον, μηδὲν λέγειν. ἵνα μήτε θόρυβον πλείονα ἐγείρωμεν, μήτε κατα
κρίσεως πλείονος ὦμεν αἴτιοι τοῖς μὴ τῶν ἀπολογιῶν ἡμῶν ἀκούουσι·
» Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον· εἶχον
» δὲ τότε δέσμιον ἐπίσημον, λεγόμενον Βαραββᾶν· συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐ-
» τοῖς ὁ Πιλᾶτος. τίνα θέλετε ἀπολύσω ὑμῖν. Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον Χρι-
» στόν· ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν· Ὁ Πιλᾶτος ἐσπούδαζεν ἀπολῦσαι
τὸν Χριστόν, εἰ καὶ μαλακώτερον τοῦ δέοντος· ἔδει γὰρ ἐνστῆναι αὐτὸν ὑπὲρ τοῦ ἀλη-
θοῦς· πρῶτον μὲν οὖν ἠρώτησε τὸν κύριον. οὐκ ἀκούεις τί οὗτοί σου καταμαρτυροῦσιν; ἠρώ
τησε δὲ ἵνα ἀπολογησαμένου τοῦ Χριστοῦ, σχοίη ἀφορμὴν πρὸς τὸ ἀπολῦσαι αὐτόν· ἐπεὶ
δὲ οὐκ

δὲ οὐκ ἀπελογεῖτο ὁ κύριος, γινώσκων πάντως ὅτι κἂν ἀπολογήσηται οὐκ ἀφεθήσεται, ἑτέραν ὁδὸν τρέπεται ὁ Πιλᾶτος. καὶ καταφεύγει λοιπὸν ἐπὶ τὸ ἔθος, μονονουχὶ τοῦτο λέγων. εἰ μὴ ὡς ἀθῶον ἀφίετε τὸν Ἰησοῦν, κἂν ὡς κατάκριτον χαρίσασθε τοῦτον τῇ ἑορτῇ. ποῦ γὰρ ἂν ὑπέλαβεν ὁ Πιλᾶτος ὅτι ἀθῶον ὄντα τὸν Ἰησοῦν αἰτήσονται σταυρωθῆναι, καὶ τὸν ὑπαίτιον λῃστὴν ἀπολύσουσιν. εἰδὼς οὖν ὅτι ὑπαίτιος οὐκ ἔστι, φθονεῖται δὲ, τούτου ἕνεκεν ἐρωτᾷ αὐτούς. ὅθεν δείκνυται ὅτι μαλακώτερος ἦν. ἔδει γὰρ αὐτὸν προκινδυνεῦσαι τοῦ ἀγαθοῦ. διὰ τοῦτο οὖν καὶ ἄξιος κατακρίσεως, ὡς τὴν ἀλήθειαν συγκαλύψας. Βαραββᾶς δὲ ἑρμηνεύεται, υἱὸς τοῦ πατρός. βαρ γὰρ, ὁ υἱός. ἀββᾶ δὲ ὁ πατήρ. οἱ τοίνυν Ἰουδαῖοι, τὸν υἱὸν τοῦ πατρὸς αὐτῶν, τοῦ διαβόλου, ἐξητήσαντο. τὸν δὲ Ἰησοῦν ἐσταύρωσαν. καὶ μέχρι δὲ τοῦ νῦν, τῷ μὲν υἱῷ τοῦ πατρὸς αὐτῶν, τῷ ἀντιχρίστῳ, προστίθενται. τὸν δὲ Χριστὸν παραιτοῦνται.

» Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα.
» μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ. πολλὰ γὰρ ἔπαθον σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτόν. οἱ
» δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι, ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν.
» τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν, εἶπεν αὐτοῖς. τίνα θέλετε ἀπὸ τῶν
» δύο ἀπολύσω ὑμῖν. οἱ δὲ εἶπον. Βαραββᾶν. λέγει αὐτοῖς ὁ Πιλᾶτος. τί οὖν ποιήσω
» Ἰησοῦν τὸν λεγόμενον Χριστόν. λέγουσιν αὐτῷ πάντες. σταυρωθήτω. ὁ δὲ ἡγεμὼν ἔφη.
» τί γὰρ κακὸν ἐποίησεν. οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες. σταυρωθήτω. ἰδὼν δὲ ὁ
» Πιλᾶτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψα-
» το τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων. ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τού-
» του. ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς, εἶπε. τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ
» ἐπὶ τὰ τέκνα ἡμῶν. τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν. τὸν δὲ Ἰησοῦν φραγγε-
» λώσας, παρέδωκεν ἵνα σταυρωθῇ.

Ὢ τοῦ θαύματος. κρινόμενος ὑπὸ Πιλάτου, ἐξεφόβει τὴν τούτου γυναῖκα. οὐκ αὐτὸς δὲ ὁρᾷ τὸ ὄναρ, ἀλλ᾽ ἡ γυνή, ἢ διότι ἀνάξιος ἦν αὐτός. ἢ ὅτι οὐκ ἂν ἐπιστεύθη, ἀλλ᾽ ἔδοξε πρὸς χάριν λέγειν. τυχὸν δὲ καὶ ἐσιώπησεν ἄν, εἰ εἶδε τοῦτο οἷα κριτὴς ὤν. προνοίας δὲ ἔργον τὸ ὄναρ. οὐχ ἵνα ἀπολυθῇ ὁ Χριστὸς διὰ τοῦτο γενόμενον, ἀλλ᾽ ἵνα σωθῇ ἡ γυνή. πῶς οὖν οὐκ ἀπέλυσεν. ὅτι οὐκ ἦν ἀσφαλὲς αὐτῷ ἀφεῖναι αὐτόν, οἷα ἐπὶ τυραννίδι κατηγορούμενον. ἀλλ᾽ ἐχρῆν ἀποδείξεις ζητῆσαι. εἰ στρατιώτας κατέλεγεν. εἰ ὅπλα ἐχάλκευε. νῦν δὲ ὡς κοῦφος καὶ μαλακὸς, παρασύρεται. διόπερ οὐδὲ ἀνέγκλητος. αἰτιωμένων γὰρ ἐκείνων τὸν ἐν κακίᾳ περιβόητον δέδωκε. πολλὰ δὲ Χριστοῦ ἠρώτα, τί οὖν ποιήσω Ἰησοῦν, κυρίους ποιῶν τῆς κρίσεως ἐκείνους. καίτοι ἡγεμὼν ὤν, ἠδύνατο αὐτὸν ἁρπάσαι, ὥσπερ τὸν Παῦλον ὁ χιλίαρχος. Πρά. κά. οἱ δὲ, σταυρωθήτω ἔλεγον, οὐ μόνον ἀποκτεῖναι αὐτὸν βουλόμενοι, ἀλλὰ καὶ πονηρᾷ αἰτίᾳ περιβαλεῖν. ὁ γὰρ σταυρὸς τοῖς πονηροῖς ἀπέκειτο τιμωρία. νίπτεται δὲ, καθαρὸν δῆθεν ἑαυτὸν ἀποδεικνύων τοῦ μύσους. κακῶς φρονῶν. δίκαιον γὰρ ὀνομάζων τὸν Ἰησοῦν, ὅμως προδέδωκε τοῖς φονευταῖς. οἱ δὲ, ἐφ᾽ ἑαυτοὺς ἀναδέχονται τὴν ἐπὶ τῷ φόνῳ αὐτοῦ τιμωρίαν. ἣ καὶ κατέλαβεν αὐτούς, τῶν Ῥωμαίων ἀφανισάντων αὐτοὺς καὶ τὰ τέκνα αὐτῶν. ἀλλὰ καὶ οἱ μέχρι τοῦ νῦν Ἑβραῖοι, τέκνα ὄντες ἐκείνων τῶν φονευσάντων τὸν κύριον, τὸ αἷμα αὐτοῦ ἕλκουσιν ἐφ᾽ ἑαυτούς. διὰ γὰρ τὴν εἰς τὸν κύριον ἀπιστίαν διώκονται παρὰ πάντων. καὶ οὐδεμία παρρησία τούτοις διωκομένοις, δι᾽ αὐτὸ τοῦτο. ἐφραγγέλλωσε δὲ τὸν Ἰησοῦν, τουτέστιν ἐμάστιξεν, ἢ αὐτοῖς χαριζόμενος, ἢ δεικνύων ὅτι κατεδίκασε καὶ αὐτὸς αὐτόν, καὶ οὐχὶ ἀθῶον ἄνθρωπον μέλλουσι σταυρῶσαι, ἀλλ᾽ ἤδη τιμωρημένον. ἐπληρώθη οὖν καὶ τὸ, τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας.

» Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συν-

» γαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν. καὶ ἐκδύσαντες αὐτὸν, περιέθηκαν αὐτῷ χλαμύ-
» δα κοκκίνην. καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐ-
» τοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ. καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαι-
» ζον αὐτῷ, λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων. καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλα-
» βον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. Ἐνταῦθα ἐπληροῦτο τὸ τοῦ
ψαλ. λη'. Δαβίδ. ὄνειδος ἄφρονι ἔδωκάς με. οἱ γὰρ στρατιῶται ἀνόητοι ὄντες, ἄξια ἑαυτῶν ἐ-
ποίουν. τὴν μὲν γὰρ χλαμύδα ἀντὶ πορφύρας ὡς βασιλέα ἐνέδυσαν. τὸν δὲ κάλα-
μον ἔδωκαν ἀντὶ σκήπτρου, τὸν δὲ στέφανον, ἀντὶ διαδήματος. προσεκύνουν δὲ παίζον-
τες. τοῦτο γὰρ δηλοῖ τὸ γονυπετεῖν. τὸ προσκυνεῖν. ὅρα δὲ πῶς πᾶσαν ἰδέαν ὕβρεως
διεξῆλθον. τὸ μὲν πρόσωπον διὰ τῶν ἐμπτυσμάτων, τὴν δὲ κεφαλὴν διὰ τοῦ στεφά-
νου, τὴν δὲ χεῖρα διὰ τοῦ καλάμου, τὸ δὲ λοιπὸν σῶμα διὰ τῆς χλαμύδος, τὰ ὦτα
διὰ τῶν χλευαστικῶν λόγων ὑβρίζοντες. πλὴν εἰ καὶ ἐκεῖνοι παικτικῶς ἐποίουν ἃ
ἐποίουν, ὅμως σὺ νόει ταῦτα καὶ μυστικώτερον ὑπὸ τοῦ Ἰησοῦ τελεσθῆναι. ἡ μὲν γὰρ χλα-
μὺς ἡ κοκκίνη, τὴν ἡμετέραν φύσιν ἐδήλου. ἣν αἱματώδη οὖσαν καὶ φονικὴν, ἀνελάβετο.
καὶ ἐνδυσάμενος ἡγίασεν. ὁ δὲ στέφανος ὁ ἐξ ἀκανθῶν, αἱ ὑπὸ μεριμνῶν τοῦ βίου συμβᾶσαι
ἁμαρτίαι. ἃς ἀναλίσκει τῇ οἰκείᾳ θεότητι ὁ Χριστός. τοῦτο γὰρ αἰνίττεται ἡ κεφαλὴ αὐτοῦ.
ὁ δὲ κάλαμος, τῆς ἡμετέρας σαρκὸς τῆς σαθρᾶς καὶ ἀσθενοῦς, ἐστὶ σύμβολον ἣν ἀνέλα-
ψαλ. ριζ'. βεν ὁ κύριος καθὰ καὶ ὁ Δαβὶδ λέγει. δεξιὰ κυρίου ὕψωσέ με. διὰ δὲ τῶν ὤτων δεξάμενος
τὰς δυσφημίας, ἰάσατο τὸν διὰ τῶν ὤτων τῆς Εὔας ἐπεισελθόντα τοῦ ὄφεως ψιθυρισμόν.
» Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ
» ἱμάτια αὐτοῦ. καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. ἐξερχόμενοι δὲ, εὗρον ἄνθρωπον
» κυρηναῖον, ὀνόματι Σίμωνα. τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.
Μαρ. ιε'. Οἱ μὲν τρεῖς φασὶν ὅτι Σίμων ἐβάστασε τὸν σταυρὸν τοῦ Ἰησοῦ. ὁ δὲ Ἰωάννης, αὐτὸν τὸν
Λου. κγ'. κύριον φησὶ βαστάσαι. εἰκὸς οὖν ἀμφότερα γενέσθαι. ἐξ ἀρχῆς μὲν γὰρ ὁ Ἰησοῦς ἐβά-
Ἰωάν. ιθ'. στασε τὸν σταυρὸν, μηδενὸς θελήσαντος βαστάσαι. ἐν δὲ τῇ ὁδῷ εὑρόντες Σίμωνα, ἐπέθη-
καν τούτῳ τὸν σταυρόν. σὺ δὲ καὶ τοῦτο μάνθανε, ὅτι σίμων ἑρμηνεύεται ὑπακοή. ὁ οὖν
ἔχων ὑπακοὴν, ἐκεῖνος αἴρει τὸν σταυρὸν τοῦ Χριστοῦ. ἀλλὰ καὶ ἡ κυρήνη τῆς πενταπό-
λεως οὖσα, δηλοῖ τὰς πέντε αἰσθήσεις, ἀναγκαζομένας αἴρειν τὸν σταυρόν.
» Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον γολγοθὰ, ὅς ἐστι λεγόμενος κρανίου τόπος, ἔδωκαν
» αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον. καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. σταυρώσαν-
ψαλ. κα'. » τες δὲ αὐτὸν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον. ἵνα πληρωθῇ τὸ ῥηθὲν
» ὑπὸ τοῦ προφήτου. διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβα-
» λον κλῆρον. καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ
» τὴν αἰτίαν αὐτοῦ γεγραμμένην. οὗτος ἐστὶν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων. Κρανίου τόπος
ἐλέγετο, διότι φασὶν οἱ ἐκ παραδόσεως πατέρων παραλαβόντες, ὅτι ὁ Ἀδὰμ ἐκεῖ τέθα-
πται. ὥσπερ γὰρ πάντες ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ ζωοποιηθῆναι
ἡμᾶς ἔδει. μὴ ταραχθῇς δὲ ἀκούων τῶν εὐαγγελιστῶν, τούτου μὲν λέγοντος ὄξος μετὰ χο-
λῆς προσενεχθῆναι τῷ κυρίῳ. τοῦ δὲ Μάρκου, ἐσμυρνισμένον οἶνον. τοῦ δὲ Ἰωάννου, ὄξος
καὶ χολὴν μετὰ ὑσσώπου. πολλὰ γὰρ ἐγίνοντο παρὰ πολλῶν, οἷα ἀτάκτου πλήθους ὄντος,
καὶ ἄλλου ἄλλο ποιοῦντος. εἰκὸς οὖν τὸν μὲν, οἶνον προσφέρειν. τὸν δὲ, ὄξος μετὰ χολῆς. πολ-
λοὶ δὲ θανάτου ἦσαν τρόποι. ἀλλ' ὅμως σταυρῷ θανατοῦται ὁ Χριστὸς, ἵνα καὶ τὸ ξύλον
ἁγιάσῃ δι' οὗ κατηράθημεν. καὶ τὰ σύμπαντα εὐλογήσῃ. τά τε οὐράνια, ἃ δηλοῦται
διὰ τοῦ ἀνωτάτου μέρους τοῦ σταυροῦ. καὶ τὰ ὑποχθόνια, ἃ δηλοῦται διὰ τοῦ ὑποπο-
δίου. καὶ τὰ πέρατα τῆς γῆς, τό, τε ἀνατολικὸν καὶ τὸ δυτικὸν, ἃ δηλοῦται διὰ τῶν

ἐκ πλαγίου μερῶν τοῦ σταυροῦ. ἀλλὰ καὶ ἵνα ἐκτείνας τὰς χεῖρας ἐναγκαλίσηται καὶ συ
νάξῃ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα. διαμερίζονται δὲ τὰ ἱμάτια αὐτοῦ οἱ
στρατιῶται, ὡς εὐτελοῦς καὶ μηδὲν ἄλλο ἔχοντος. ὃν δὲ εἶπεν ἄλλος εὐαγγελιστὴς τί Ἰωάν. ιθ´.
τλον, τοῦτον ὁ Ματθαῖος φησὶν αἰτίαν. ἐπέγραψαν γὰρ τίνος ἕνεκεν ἐσταυρώθη. ὅτι
ὡς βασιλεὺς τῶν Ἰουδαίων, καὶ ὡς νεωτεριστής. ἐκεῖνοι μὲν οὖν τὸ βασιλεὺς ἐπέγραψαν
ἐπὶ διαβολῇ. πλὴν ἡ μαρτυρία αὕτη πιστὴ, ὡς παρὰ τῶν ἐχθρῶν εἰσενεχθεῖσα. βασιλεὺς
γάρ ἐστιν ὁ κύριος, ἐπ' αὐτὸ τοῦτο ἐλθὼν ἵνα σώσῃ τοὺς Ἰουδαίους. ἐπεὶ δὲ οἱ σαρκικοὶ Ἰου
δαῖοι, οὐκ ἠθέλησαν βασιλεῦσαι αὐτὸν ἐπ' αὐτοὺς, βασιλεὺς γίνεται τῶν πνευματικῶν
Ἰουδαίων. τουτέστι τῶν ἐξομολογουμένων. Ἰουδαῖος γὰρ ἐξομολογούμενος λέγεται.
» Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταὶ, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. οἱ δὲ πα
» ραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες. ὁ
» καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν. εἰ υἱὸς εἶ τοῦ θεοῦ,
» κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμμα
» τέων καὶ πρεσβυτέρων καὶ φαρισαίων, ἔλεγον. ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶ
» σαι; εἰ βασιλεὺς Ἰσραὴλ ἐστὶ, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν ἐπ' αὐ
» τῷ. πέποιθεν ἐπὶ τὸν θεὸν, ῥυσάσθω νῦν αὐτὸν, εἰ θέλει αὐτόν. εἶπε γὰρ ὅτι, θεοῦ εἰμὶ
» υἱός. τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτῷ. Πρὸς διαβολὴν
τοῦ χριστοῦ συσταυροῦσιν αὐτῷ δύο λῃστάς. ἵνα καὶ αὐτὸς τοιοῦτος νομισθῇ, παράνομος
ὡς ἐκεῖνοι. τύπος δὲ ἦσαν οὗτοι τῶν δύο λαῶν, τοῦ τε ἰουδαϊκοῦ καὶ τοῦ ἐθνικοῦ. ἀμ-
φότεροι γὰρ παράνομοι, καὶ ὀνειδίζοντες τὸν χριστόν. ὥσπερ καὶ οὗτοι πρότερον οἱ λῃ
σταὶ ὠνείδιζον ἀμφότεροι. ὕστερον δὲ ὁ εἷς ἐπιγνοὺς αὐτὸν, ὡμολόγησε βασιλέα. διὸ
καὶ ἔλεγε. μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου. οὕτως οὖν καὶ ὁ ἐθνικὸς λαὸς ὡμο- Λου. κγ´.
λόγησε τὸν χριστόν. ὁ δὲ ἕτερος λῃστὴς, ὁ ἰουδαϊκὸς λαὸς, ἐβλασφήμει. ὁ διάβολος δὲ
ὑπέβαλε τοὺς λέγοντας, εἰ υἱὸς εἶ τοῦ θεοῦ κατάβηθι ἀπὸ τοῦ σταυροῦ, ἵνα ἐρεθισθεὶς κατα
βῇ, καὶ ἀνατραπῇ ἡ πάντων διὰ τοῦ σταυροῦ σωτηρία. διὸ ὁ χριστὸς, καὶ υἱὸς ὢν τοῦ θεοῦ
καὶ οὐκ ἐπείσθη τῷ ἐχθρῷ. ἵνα καὶ σὺ μανθάνῃς ὅτι οὐ δεῖ πείθεσθαι τοῖς τοῦ διαβό
λου τεχνάσμασιν, ἀλλὰ τὸ καλὸν πράττειν κἂν οἱ ἄνθρωποι πονηρὰν ὑπόληψιν μέλ
λωσιν ἔχειν.
» Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐννάτης. περὶ
» δὲ τὴν ἐννάτην ὥραν, ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων. ἠλὶ ἠλὶ λιμὰ σαβαχθα
» νί. τουτέστι, θεέ μου θεέ μου, ἱνατί με ἐγκατέλιπες. τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων, ἀκούσαν
» τες, ἔλεγον ὅτι, Ἠλίαν φωνεῖ οὗτος. καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν
» σπόγγον, πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν. οἱ δὲ λοιποὶ ἔλεγον.
» ἄφες ἴδωμεν εἰ ἔρχεται ἠλίας σώσων αὐτόν. Τὸ γενόμενον σκότος, οὐκ ἦν κατὰ φυ
σικὴν ἀκολουθίαν. οἷον ἀπὸ ἐκλείψεως ἡλίου φυσικῶς γενομένης. οὐδέποτε γὰρ τεσσα-
ρεσκαιδεκαταίας οὔσης τῆς σελήνης, ἔκλειψις γίνεται ἡλίου. ἀλλ' ὅταν ἡ λεγομένη
γέννα εἴη, τότε αἱ φυσικαὶ τοῦ ἡλίου ἐκλείψεις γίνονται. ἐν δὲ τῇ σταυρώσει, τεσσαρες
καιδεκαταία ἦν ἡ σελήνη πάντως. τὸ γὰρ πάσχα τῶν Ἑβραίων τότε ἐτελεῖτο. ὥστε Ἐξό. ιβ´.
ὑπὲρ φύσιν τὸ πάθος. κοσμικὸν δὲ ἦν τὸ σκότος οὐ μερικὸν ὥσπερ ἐν Αἰγύπτῳ, ἵνα Ἐξό. ι´.
δειχθῇ ὅτι πενθεῖ ἡ κτίσις ἐπὶ τῷ πάθει τοῦ κτίστου. καὶ ὅτι ἀπὸ τῶν Ἰουδαίων ἀπέστη τὸ
φῶς. οἱ αἰτοῦντες δὲ ἐξ οὐρανοῦ σημεῖον ἰδεῖν Ἰουδαῖοι, νῦν βλεπέτωσαν τὸν ἥλιον
σκοτιζόμενον. ἕκτῃ δὲ ἡμέρᾳ τοῦ ἀνθρώπου πλασθέντος, καὶ ἕκτῃ ὥρᾳ φαγόντος ἀπὸ
τοῦ ξύλου (αὕτη γὰρ τῆς βρώσεως ἡ ὥρα) ὁ κύριος ἀναπλάττων τὸν ἄνθρωπον, καὶ τὸ
σφάλμα ἰώμενος, ἕκτῃ ἡμέρᾳ καὶ ἕκτῃ ὥρᾳ τῷ ξύλῳ προσπήγνυται. ἑβραΐσι δὲ Γενέ. β´.

διαλέκτῳ λέγει τὸ προφητικόν, ἵνα δείξῃ ὅτι οὐ μάχεται τῇ παλαιᾷ γραφῇ· τὸ δὲ ἵνα τί με ἐγκατέλιπες, εἶπεν ὡς ἂν δείξῃ ὅτι ἄνθρωπος ἀληθῶς ἐγένετο, καὶ οὐ κατὰ φαντασίαν· καὶ γὰρ ὁ ἄνθρωπος φυσικὴν ὄρεξιν ἔχει τῆς ζωῆς, φιλόζωος ὤν· ὥσπερ οὖν ἠγωνίασε καὶ ἠδημόνησε πρὸ τοῦ σταυροῦ, δεικνύων τὴν ἐκ φύσεως προσοῦσαν ἡμῖν δειλίαν, οὕτω καὶ νῦν φησίν. ἵνα τί με ἐγκατέλειπες, ἐμφαίνων τὴν φυσικὴν φιλοζωΐαν ἡμῶν· καὶ γὰρ ὄντως ἄνθρωπος ἦν, καὶ ἡμῖν τὰ πάντα ὅμοιος, χωρὶς ἁμαρτίας· τινὲς δὲ οὕτω τοῦτο ἐνόησαν, ὅτι τὸ τῶν Ἰουδαίων πρόσωπον ἀναλαμβάνων ὁ σωτήρ, φησίν. ἵνα τί ἐγκατέλιπες τὸν Ἰουδαϊκὸν λαὸν ὦ πάτερ, ἵνα τηλικαύτην ἁμαρτίαν ποιήσῃ, καὶ ἀπωλείᾳ παραδοθῇ. ὡς γὰρ ἐξ Ἰουδαίων γενόμενος ὁ Χριστός, τὸ ἐγκατέλιπές με φησίν, ἀντὶ τοῦ τὴν ἐμὴν συγγένειαν, τὸν ἐμὸν λαὸν ἵνα τί ἀφῆκας ὥστε τοιοῦτον κακὸν καθ' ἑαυτοῦ ποιῆσαι· μὴ νοήσαντες δὲ τὴν φωνὴν οἱ τοῦ ὄχλου ἄγροικοι ὄντες καὶ ἀμαθεῖς τῶν προφητικῶν, ἐνόμιζον ὅτι Ἠλίαν φωνεῖ· οὐ γὰρ πάντες οἱ Ἰουδαῖοι τὰ προφητικὰ ἐγίνωσκον. ὥσπερ ἴσως οὐδὲ νῦν οἱ χριστιανοὶ πάντες, τὰ τῶν εὐαγγελίων· ὄξος δὲ ἐπότιζον αὐτόν, ἵνα ἀποθάνῃ τάχιον πρὶν ἐλθεῖν τὸν Ἠλίαν βοηθήσοντα αὐτῷ. ὅθεν οἱ λοιποὶ λέγουσιν. ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. τουτέστι μὴ ποιήσῃς αὐτὸν ἀποθανεῖν, ὡς ἂν γνῶμεν εἰ βοηθήσει αὐτῷ Ἠλίας·

» Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα· καὶ ἰδοὺ τὸ κατα-
» πέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω. καὶ ἡ γῆ ἐσείσθη. καὶ αἱ πέ-
» τραι ἐσχίσθησαν. καὶ τὰ μνημεῖα ἀνεῴχθησαν. καὶ πολλὰ σώματα τῶν κεκοιμημέ-
» νων ἁγίων ἠγέρθη. καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς
Ἰωάν. ί. » τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς· Κράζει μεγάλῃ φωνῇ ὁ Ἰησοῦς, ἵνα
γνῶμεν ὅτι ὅπερ ἔλεγεν, ὅτι, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, ἀληθὲς ἦν. κατ' ἐξου-
Λου. κγ'. σίαν γὰρ ἀφίησι τὴν ψυχήν· τίς δὲ ἦν ἡ φωνή· πάτερ εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου· οὐ γὰρ βεβιασμένως, ἀλλ' ἑκοντὶ ἀφῆκε τὸ πνεῦμα. τοῦτο γὰρ σημαίνει τὸ παρατίθημι· ἐμφαίνει δὲ καὶ τὸ μέλλειν αὐτὴν πάλιν ἀπολήψεσθαι· τοιοῦτον γὰρ ἡ παραθήκη. πάλιν ἀποδιδομένη· χάρις δὲ τῷ κυρίῳ, ὅτι ἐκείνου ἀποθανόντος, καὶ τοῦ πνεύματος αὐτοῦ εἰς χεῖρας τοῦ πατρὸς παρατεθέντος, ἔκτοτε καὶ αἱ τῶν ἁγίων ψυχαὶ εἰς χεῖρας τοῦ θεοῦ τίθενται, ἀλλ' οὐχ ὡς πρότερον ἐν τοῖς τοῦ ᾅδου μυχοῖς. ὥστε ἁγιασμὸς ἡμῶν γέγονεν ὁ θάνατος τοῦ Χριστοῦ· διὸ καὶ μεγάλῃ φωνῇ προσκαλεῖται τὸν θάνατον, μὴ τολμῶντα προσελθεῖν, εἰ μὴ κληθείη· τὸ δὲ καταπέτασμα τοῦ ναοῦ, ὀθόνη τις ἦν μέσον κρεμαμένη τοῦ ναοῦ, καὶ ἀποτειχίζουσα τὰ ἔσω πρὸς τὰ ἔξω, οἱονεὶ μεσότοιχον· σχίζεται τοίνυν τοῦτο, δεικνῦντος τοῦ θεοῦ ὅτι ὁ ναὸς ὁ ἄβατος, ὁ ἀθέατος, οὗ τὰ ἐσώτατα ἀπετείχιζε τὸ καταπέτασμα, οὕτω χυδαιωθήσεται καὶ βεβηλωθήσεται, ὥστε πᾶσιν εἶναι βατὸς καὶ θεατός· τινὲς δὲ καὶ ἄλλας αἰτίας λέγουσιν. ἐσήμαινε γάρ φασι, τὸ καταπέτασμα σχιζόμενον, τὴν τοῦ γράμματος τοῦ νομικοῦ περιαίρεσιν. καὶ ὅτι ἀποκαλυφθήσεται πάντα τὰ νομικά, ἃ πρότερον τῷ γράμματι οἱονεί τινι καταπετάσματι συνεκρύπτοντο. καὶ τὰ πρὶν ἀσαφῆ καὶ αἰνιγματώδη, φανερωθήσεται νῦν εἰς τὸν Χριστὸν ἐκβάντα. ἔστι δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι ἔθος ἦν τοῖς Ἰουδαίοις ἐπὶ ταῖς κατὰ θεοῦ βλασφημίαις, περιῤῥήγνυσθαι τοὺς χιτῶνας· καὶ νῦν οὖν ὁ θεῖος ναὸς ὥσπερ δυσχεραίνων ἐπὶ τῷ τοῦ θεοῦ θανάτῳ, περιεῤῥήξατο τὴν ἑαυτοῦ ἐσθῆτα, τὸ καταπέτασμα· καὶ ἄλλα δ' ἂν ἔχοι τις εἰπεῖν. ἀλλ' αὐτάρκη ταῦτα· τὰ δὲ στοιχεῖα ἐσείσθησαν, ἅμα μὲν καὶ δημιουργὸν ἐμφαίνοντα εἶναι τὸν πάσχοντα. ἅμα δὲ καὶ δηλοῦντα ὡς μετακινηθήσεται τὰ πράγματα· τὸν γὰρ σεισμὸν ἡ γραφὴ ἐπὶ τῆς τῶν πραγμάτων μεταθέσεως τάττει· ἐγένετο οὖν ἡ μετάθεσις τῆς τοῦ θεοῦ ἐπισκοπῆς, ἀπὸ

τῶν

τῶν Ἰουδαίων ἐπὶ τὰ ἔθνη· καὶ αἱ πέτραι ἤτοι αἱ λίθινοι καρδίαι τῶν ἐθνικῶν, ἐσχίσθησαν· καὶ ὑπεδέξαντο τὸν τῆς ἀληθείας σπόρον· καὶ οἱ νενεκρωμένοι ταῖς ἁμαρτίαις, ἐξανέστησαν. καὶ ἦλθον εἰς τὴν ἁγίαν πόλιν, τὴν ἄνω Ἱερουσαλήμ. καὶ ἐνεφανίσθησαν τοῖς πολλοῖς, τοῖς διὰ τῆς πλατείας ὁδοῦ ὁδεύουσιν· ἐμφανισθέντες δὲ αὐτοῖς, ἀρχέτυπον αὐτοῖς ἐγένοντο ἀγαθοῦ βίου καὶ ἐπιστροφῆς· ὁ γὰρ ἰδὼν τὸν πρώην νενεκρωμένον ὑπὸ τῶν παθῶν, ἐπιστραφέντα καὶ ἀνελθόντα εἰς τὴν ἁγίαν ἐν οὐρανοῖς πόλιν, μιμεῖται αὐτὸν πάντως. καὶ ἐπιστρέφει καὶ αὐτός· ταῦτα μὲν οὖν περιεργότερον ἐνοήθη· σὺ δὲ γίνωσκε ὅτι ἡ τῶν νεκρῶν ἔγερσις ἡ ἐν τῷ σταυρῷ τοῦ κυρίου γενομένη, ἐδήλου καὶ τῶν ἐν τῷ ᾅδῃ ψυχῶν τὴν ἐλευθερίαν· ὤφθησαν δὲ πολλοῖς οἱ ἀναστάντες τότε, ἵνα μὴ δόξῃ φάντασμα εἶναι τὸ γενόμενον· ἀνέστησαν δὲ οὗτοι, χάριν τοῦ σημείου· πρόδηλον δὲ ὅτι πάλιν τεθνήκασι· τινὲς δὲ λέγουσιν ὅτι μετὰ τὸ ἀναστῆναι τὸν χριστὸν, ἀνέστησαν καὶ οὗτοι, καὶ οὐκ ἔτι ἀπέθανον. τοῦτο δὲ οὐκ οἶδα εἰ δεῖ παραδέχεσθαι·

Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ᾽ αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες. ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος· ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ, ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς γαλιλαίας διακονοῦσαι αὐτῷ. ἐν αἷς ἦν Μαρία ἡ μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου· Ὁ μὲν ἐθνικὸς ἑκατόνταρχος, ἀπὸ τῶν σημείων πιστεύει σὺν τοῖς περὶ αὐτόν. οἱ δὲ προφητῶν κατακούσαντες καὶ νόμου Ἰουδαῖοι, ἄπιστοι μένουσι· τοσοῦτόν ἐστιν ἡ πονηρία κακόν· καὶ ἐμαρτύρησε δὲ ὁ ἑκατόνταρχος οὗτος ὑπὲρ χριστοῦ ὕστερον· γυναῖκες δὲ θεωροῦσαι τὰ γενόμενα, αἳ μάλιστα πάντων συμπαθέστεραι, καὶ τὸ γένος τὸ κατακριθὲν, ἀπολαύει πρῶτον τῆς τῶν ἀγαθῶν θεωρίας· καὶ οἱ μὲν μαθηταὶ φεύγουσιν. αἱ δὲ γυναῖκες καρτεροῦσι· Μαρίαν δὲ Ἰακώβου καὶ Ἰωσῆ μητέρα, τὴν θεοτόκον λέγει. ὁ γὰρ Ἰάκωβος καὶ Ἰωσῆς, τοῦ Ἰωσὴφ ἦσαν παῖδες ἀπὸ τῆς προτέρας αὐτοῦ γυναικός· ἐπεὶ οὖν ἡ θεοτόκος, γυνὴ ἐλέγετο τοῦ Ἰωσὴφ, εἰκότως καὶ τῶν παίδων αὐτοῦ μήτηρ ἤτοι μητρυιὰ ἐλέγετο· ἡ δὲ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, Σαλώμη ἐκαλεῖτο· φασὶ δὲ καὶ ταύτην θυγατέρα εἶναι τοῦ Ἰωσήφ·

Ὀψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσὴφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ. οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ· τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα· καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ. καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν· ἦν δὲ ἐκεῖ Μαρία ἡ μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου· Ἐκρύπτετο μὲν πάλαι ὁ Ἰωσήφ. νῦν δὲ μέγα πρᾶγμα τολμᾷ τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τοῦ διδασκαλικοῦ σώματος. καὶ τοσαύτην ἔχθραν πρὸς πάντας Ἰουδαίους ἀναδεξάμενος. ὡς μεγάλην δὲ δωρεὰν, δίδωσιν αὐτῷ τὸ σῶμα ὁ Πιλᾶτος· ὡς γὰρ στασιαστοῦ θανατωθέντος τοῦ χριστοῦ, εἰκότως τὸ σῶμα αὐτοῦ ἔμελλεν ἄταφον ῥιφῆναι· ἀλλ᾽ ὁ Ἰωσὴφ πλούσιος ὤν, εἰκὸς ὅτι καὶ ἔδωκεν δὴ τῷ Πιλάτῳ χρυσίον· καὶ λαβὼν τιμᾷ αὐτὸ, καταθεὶς ἐν μνημείῳ καινῷ, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη· τοῦτο δὲ οἰκονομίας θεοῦ ἦν. ἵνα μὴ ἀναστάντος τοῦ κυρίου, ἔχοι τις εἰπεῖν ὅτι ἄλλος πρότερον ταφεὶς ἐκεῖ νεκρὸς, ἀνέστη· διὰ τοῦτο οὖν καινὸν τὸ μνημεῖον· ἡ Μαρία δὲ ἡ μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία τουτέστιν ἡ θεοτόκος, ἣν ἀνωτέρω ἐκάλεσεν Ἰωσῆ καὶ Ἰακώβου μητέρα, αὗται αἱ δύο κάθηνται ἀπέναντι τοῦ τάφου, προσεδρεύουσαι ὥστε εἰ παύσαιτο ἡ μανία, ἀπελθεῖν καὶ περιχυθῆναι τῷ σώματι, καὶ μυρίσαι αὐτό· περὶ τῶν τοιούτων,

Ἡσα. κζ΄. γυναικῶν ἔλεγεν Ἡσαΐας. γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε. οὐ γὰρ λαός ἐστιν ἔχων
σύνεσιν. φανερῶς γὰρ περὶ τοῦ ἰουδαϊκοῦ λαοῦ τοῦ σταυρώσαντος τὸν κύριον, λέγει ὅτι
οὐκ ἔχουσι σύνεσιν. προσκαλεῖται οὖν ταύτας καταλεῖψαι μὲν, τὸν ἀσύνετον λαὸν, προ-
σελθεῖν δὲ τοῖς ἀποστόλοις, καὶ εὐαγγελίσασθαι αὐτοῖς τὴν ἀνάστασιν.
» Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευὴν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι
» πρὸς Πιλᾶτον, λέγοντες. κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς
» ἡμέρας ἐγείρομαι. κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας. μή-
» ποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν αὐτόν. καὶ εἴπωσι τῷ λαῷ ἠγέρθη
» ἀπὸ τῶν νεκρῶν. καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. ἔφη αὐτοῖς ὁ Πιλᾶτος. ἔ-
» χετε κουστωδίαν. ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε. οἱ δὲ, πορευθέντες ἠσφαλίσαντο
» τὸν τάφον, σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας. Οὐκ ὀνομάζει τὸ σάββα-
τον, σάββατον, διότι οὐδὲ σάββατον ἦν, ὅσον ἐπὶ τῇ κακίᾳ τῶν Ιουδαίων. τοῦ γὰρ νόμου
διαγορεύοντος τῇ ἡμέρᾳ τοῦ σαββάτου μηδένα κινεῖσθαι ἐκ τοῦ τόπου αὐτοῦ, οἱ παράνο-
μοι Ιουδαῖοι πρὸς τὸν ἀλλόφυλον Πιλᾶτον συνάγονται, ἀντὶ τῆς νενομισμένης συνά-
ξεως. ἀλλ' ἐκεῖνοι μὲν ὑπὸ τῆς ἑαυτῶν κινοῦνται πονηρίας εἰς τὸ προσελθεῖν τῷ Πι-
λάτῳ, καὶ ἀσφαλίσασθαι τὸν τάφον. θεοῦ δὲ οἰκονομία τοῦτο. ἵνα ἡ ἀνάστασις γένοι-
το ὑπὸ μάρτυσι τοῖς ἐχθροῖς, καὶ ἐσφραγισμένου τοῦ τάφου καὶ φυλαττομένου. ἄξιον
δὲ ζητῆσαι πόθεν οἱ Ιουδαῖοι μαθόντες, εἶπον ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. οὐ γὰρ
δήπου ὁ κύριος εἶπε τοῦτο σαφῶς καὶ γυμνῶς. ἔστιν οὖν εἰπεῖν ὅτι ἀπὸ τοῦ παραδείγμα-
Ματ. ιβ΄. τος τοῦ Ιωνᾶ τοῦτο ἔγνωσαν. εἶπε γὰρ ὁ Χριστὸς ὅτι, ὥσπερ Ιωνᾶς ἦν τρεῖς ἡμέρας ἐν
τῇ κοιλίᾳ τοῦ κήτους, οὕτω καὶ ἐγὼ ἐν τῇ κοιλίᾳ τῆς γῆς. ἢ καὶ ἀπὸ τοῦ λύσατε τὸν
ναὸν τοῦτον. πρότερον μὲν γὰρ μὴ νοήσαντες τοῦτο, ἀλλὰ νομίσαντες ὅτι περὶ τοῦ
ναοῦ λέγει τοῦ ἰουδαϊκοῦ, κατεμαρτύρησαν αὐτοῦ. νῦν δὲ γνόντες ὅτι ναὸν ἔλεγε τὸ
σῶμα τὸ ἴδιον, φοβοῦνται. καὶ πλάνον αὐτὸν ἀποκαλοῦσι, μὴ δὲ μετὰ θάνατον τὴν
κακίαν λύσαντες. κουστωδία δὲ λέγεται παρὰ Ρωμαίοις, ἡ φυλακή. τοὺς οὖν ἐπὶ τῷ
φυλάττειν τεταγμένους στρατιώτας, κουστωδίαν ὀνομάζει.

Κεφάλαιον. Εἰκοστὸν ὄγδοον.

Μαρ. ιϛ΄. » Ὀψὲ δὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδα-
Λου. κδ΄. » ληνὴ καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον. καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας. ἄγγε-
Ἰωάν. κ΄. » λος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας,
» καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπή. καὶ τὸ ἔνδυμα αὐτοῦ λευ-
» κὸν ὡσεὶ χιών. ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νε-
» κροί. ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπε ταῖς γυναιξί. μὴ φοβεῖσθε ὑμεῖς. οἶδα γὰρ ὅτι
» Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. οὐκ ἔστιν ὧδε. ἠγέρθη γὰρ καθὼς εἶπε. δεῦτε ἴδετε
» τὸν τόπον ὅπου ἔκειτο ὁ κύριος. καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐ-
» τοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἐκεῖ αὐ-
» τὸν ὄψεσθε. ἰδοὺ εἶπον ὑμῖν. καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ
» χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. Τὸ ὀψὲ σαββάτων,
Λου. κδ΄. ἴσον ἐστὶ τῷ παρὰ τῷ Λουκᾷ εἰρημένῳ, ὄρθρου βαθέος. καὶ τῷ παρὰ τῷ Μάρκῳ, λίαν
Μαρ. ιϛ΄. πρωῒ ἀνατείλαντος τοῦ ἡλίου. ἥλιον γὰρ ἐνταῦθα νοεῖν ὀφείλομεν τὰς ὀρθρινὰς τοῦ ἡ-
λίου αὐγάς. ἀφ' οὗ γὰρ ἡ ὀγδόη ὥρα τῆς νυκτὸς ἐπιλάβηται, ἔκτοτε ἡ ἀρχὴ τῆς
μελλούσης ἡμέρας. καὶ ἡ πρωΐα δοκεῖ ἐπιλαβέσθαι. τότε τοίνυν, ὀψὲ μὲν ἦν σαβ-
βάτου, ἀρχὴ δὲ τῆς κυριακῆς. ἣν μίαν τῶν σαββάτων ὀνομάζει. σάββατα μὲν
γὰρ ἔλεγον τὰς ἡμέρας τῆς ἑβδομάδος. μίαν δὲ, τὴν πρώτην. ὥστε εἶναι τὴν κυ-

ριακήν, μίαν τῶν σαββάτων. τουτέστι πρώτην τῶν ἡμερῶν τῆς ἑβδομάδος. πρὸς γὰρ τὴν πρώτην εὐθὺς καὶ ἡ δευτέρα λέγεται. εἶτα ἡ τρίτη. καὶ ἑξῆς αἱ λοιπαί. ἀνέστη τοίνυν ὁ κύριος, ἔτι τοῦ λίθου ἐπικειμένου τῷ τάφῳ. μετὰ δὲ τὸ ἀναστῆναι τὸν κύριον, καὶ ὁ ἄγγελος ἔρχεται. ἵνα ἀποκυλίσας τὸν λίθον, δῷ πάροδον ταῖς γυναιξὶν εἰς τὸν τάφον. σεισμὸς δὲ γίνεται ἵνα ἀφυπνισθῶσιν οἱ φύλακες, καὶ μάθωσι τὸ καινὸν τοῦ γενομένου. ἀνέστη οὖν τριήμερος ὁ κύριος. πῶς δὲ ἀριθμοῦνται αἱ τρεῖς ἡμέραι. ἕκτῃ ὥρᾳ τῆς παρασκευῆς ἐσταυρώθη. ἀπὸ ταύτης ἕως ἐνάτης, σκότος· τοῦτο νύκτα μοι νόησον. πάλιν ἀπὸ τῆς ἐνάτης, φῶς. τοῦτο ἡμέρα. ἰδοὺ ἡμερονύκτιον. πάλιν ἡ νὺξ τῆς παρασκευῆς καὶ τοῦ σαββάτου ἡ ἡμέρα, δεύτερον ἡμερονύκτιον. ἡ νὺξ πάλιν τοῦ σαββάτου καὶ ὁ τῆς κυριακῆς ὄρθρος, κατὰ τὸν Ματθαῖον λέγοντα. τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἀπὸ γὰρ τοῦ ὄρθρου καὶ ἡ ἡμέρα ὅλη ἀριθμεῖται, ἰδοὺ τρίτον ἡμερονύκτιον. καὶ ἄλλως δὲ δύνασαι ἀριθμῆσαι τὰς τρεῖς ἡμέρας. τῇ παρασκευῇ παρέδωκε τὸ πνεῦμα. μία αὕτη ἡμέρα. τῷ σαββάτῳ ἦν ἐν τῷ τάφῳ. δευτέρα αὕτη ἡμέρα. τῇ δὲ νυκτὶ τῆς κυριακῆς ἀνέστη. ἀπὸ μέρους οὖν ἀριθμεῖται καὶ ἡ κυριακὴ εἰς ἄλλην ἡμέραν. ὥστε ἰδοὺ τρεῖς ἡμέραι. καὶ γὰρ καὶ ἐπὶ τῶν κεκοιμημένων, ἐὰν ἀποθάνῃ τις περὶ δεκάτην ὥραν τῆς ἡμέρας, καὶ ἕτερος περὶ πρώτην ὥραν τῆς αὐτῆς ἡμέρας, ἀμφότεροι ἐν τῇ αὐτῇ ἡμέρᾳ λέγονται τεθνάναι. ἔχω σοι καὶ ἄλλην αἰτίαν εἰπεῖν εἰς τοῦτο, πῶς τρεῖς ἡμέραι καὶ τρεῖς νύκτες ἀριθμηθήσονται. πρόσεχε οὖν. τῇ πέμπτῃ ἑσπέρας ἐποίησε τὸ δεῖπνον ὁ κύριος. καὶ τοῖς μαθηταῖς ἔλεγε, λάβετε φάγετε τὸ σῶμά μου. ὥστε ἐπεὶ ἐξουσίαν εἶχεν ἀφ' ἑαυτοῦ θεῖναι τὴν ψυχὴν αὐτοῦ, δῆλον ὅτι ἔκτοτε ἀπέσφαξεν ἑαυτόν, ἀφ' οὗ διεδίδου τοῖς οἰκείοις μαθηταῖς τὸ σῶμα. οὐδεὶς γὰρ ἐσθίει τι, ἐὰν μὴ πρότερον ἐσφαγμένον εἴη. ἀρίθμησον οὖν. τῇ ἑσπέρᾳ διεδίδου τὸ οἰκεῖον σῶμα. ἡ νὺξ ἐκείνη, καὶ ἡ ἡμέρα τῆς παρασκευῆς ἄχρι τῆς ἕκτης ὥρας, ἰδοὺ ἓν ἡμερονύκτιον. πάλιν τὸ ἀπὸ τῆς ἕκτης ὥρας σκότος ἕως τῆς ἐνάτης, καὶ τὸ ἀπὸ τῆς ἐνάτης φῶς ἕως τῆς ἑσπέρας, ἰδοὺ δεύτερον ἡμερονύκτιον. ἡ νὺξ πάλιν ἡ μετὰ τὴν παρασκευήν, καὶ ἡ ἡμέρα τοῦ σαββάτου, ἰδοὺ τρίτον ἡμερονύκτιον. σαββάτων δὲ ὀψὲ ἀνέστη. τρία ταῦτα ὁλόκληρα ἡμερονύκτια. τὸν δὲ ἄγγελον, ὁ μὲν Ματθαῖος ἔφη καθῆσθαι ἐν τῷ λίθῳ. ὁ δὲ Μάρκος ἀποκυλίσαντα τὸν λίθον, ἔνδον τοῦ μνημείου καθῆσθαι ἐν τοῖς δεξιοῖς. ἆρ' οὖν ἐναντιοφωνοῦσιν; οὐχί. Μαρ. ις'.
ἀλλ' εἰκός ἐστι φανῆναι πρῶτον τὸν ἄγγελον καθήμενον ἐν τῷ λίθῳ. εἶτα εἰσελθουσῶν τῶν γυναικῶν, προάγειν τὸν ἄγγελον. καὶ πάλιν φανῆναι ἐντὸς τοῦ μνημείου καθήμενον ἐν τοῖς δεξιοῖς. εἶπε δὲ πρὸς τὰς γυναῖκας, μὴ φοβεῖσθε ὑμεῖς, τουτέστιν οἱ μὲν φύλακες ἄξιοί εἰσι φοβεῖσθαι. ὑμεῖς δὲ αἱ τοῦ κυρίου μαθήτριαι, μὴ φοβεῖσθε. μετὰ δὲ ἀπαλλάττει αὐτὰς τοῦ δέους, εὐαγγελίζεται αὐταῖς τὴν ἀνάστασιν. ἔδει γὰρ πρότερον ἐκβαλεῖν τὸ δέος, εἶτα εὐαγγελίσασθαι. οὐκ αἰσχύνεται δὲ ἐσταυρωμένον ὀνομάζων τὸν κύριον. τῷ γὰρ σταυρῷ ὥσπερ τροπαίῳ τινὶ ἐγκαυχᾶται, πάντα τὰ ἀγαθὰ προξενηκότι ἡμῖν.

» Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν
» αὐταῖς, λέγων. χαίρετε. αἱ δέ, προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προ-
» σεκύνησαν αὐτῷ. τότε λέγει αὐταῖς ὁ Ἰησοῦς. μὴ φοβεῖσθε. ὑπάγετε ἀπαγγείλατε
» τοῖς ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν γαλιλαίαν. κἀκεῖ με ὄψονται.

Προσφωνεῖ ταῖς γυναιξὶ τὸ χαίρετε. ἐπεὶ γὰρ τὸ γυναικεῖον γένος λυπεῖσθαι κατεκρίθη, ὁ κύριος διὰ τῆς ἀναστάσεως αὐτοῦ τὴν χαρὰν προεξένησε τῷ γυναικείῳ γένει. καὶ εὐλόγησεν αὐτάς. διὸ ἐκεῖναι ἀπὸ τῆς πολλῆς περὶ αὐτὸν αἰδοῦς καὶ τιμῆς, τοὺς πό

δας αὐτοῦ κρατοῦσι. δι' εὐλάβειαν μὴ τολμῶσαι ἄλλου μέρους τοῦ σώματος ἅψα-
σθαι, εἰ μὴ τῶν ἐσχάτων μερῶν τοῦ σώματος αὐτοῦ. τινὲς δέ φασιν ὅτι ἐξεπίτηδες ἐδρά-
ξαντο τῶν ποδῶν αὐτοῦ, ὡς ἂν μάθωσιν εἰ ἀληθῶς ἀνέστη καὶ μὴ κατὰ φαντασίαν,
μηδὲ πνεῦμα ἐστίν. ὑπενόουν γὰρ ὅτι πνεῦμα ἐστί. τότε μὲν οὖν αἱ δύο αὗται Μαρίαι
Ἰωάν. κ'. ἥψαντο τῶν ποδῶν αὐτοῦ. κατὰ δὲ τὸν Ἰωάννην, ἡ μαγδαληνὴ Μαρία ἐπιχειρεῖ μὲν
ἅψασθαι, οὐ συγχωρεῖται δέ. διότι ἤθελεν ἀεὶ συνεῖναι αὐτῷ ὥσπερ καὶ πρότερον.
ἢ μᾶλλον διὰ τοῦτο οὐ συγχωρεῖται ἅψασθαι τοῦ Ἰησοῦ κατὰ τὸν Ἰωάννην, ὡς περίερ-
γος. ἐπεὶ γὰρ ὥς φησιν ὁ Ματθαῖος, ἥψατο αὐτοῦ τῶν ποδῶν, τίς ἦν ἔτι χρεία πάλιν
ἅψασθαι. ὥστε ὡς περιττὴν οὖσαν λοιπὸν αὐτὴν ἀπωθεῖται.

» Πορευομένων δὲ αὐτῶν, ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγει-
» λαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων,
» συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες. εἴπατε
» ὅτι, οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων. καὶ ἐὰν ἀκου-
» σθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. οἱ
» δὲ, λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς ἐδιδάχθησαν. καὶ διεφημίσθη ὁ λόγος οὗτος
» παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον. Οἱ μὲν ἀπὸ τῆς κουστωδίας ἀπήγγειλαν πάν-
τα. ὅτι σεισμὸς ἐγένετο. ὅτι ὁ λίθος ἤρθη αὐτομάτως. ὅτι αὐτοὶ φοβηθέντες ἐγένοντο
ὡσεὶ νεκροί. οἱ δὲ Ἰουδαῖοι οὔτε τὰ ἐπὶ τῷ πάθει γενόμενα θαύματα, οὔτε τὰ ἐπὶ τῷ
τάφῳ μαρτυρούμενα παρὰ τῶν στρατιωτῶν δυσωπηθέντες, τῷ ἰδίῳ πάθει τῇ φιλαρ-
γυρίᾳ ὑπονοθεύουσι τοὺς στρατιώτας. παραπείθοντες αὐτοὺς τὸ πάντων ἀσεβέστερον
φθέγξασθαι καὶ ἀνοητότερον, ὅτι ἐκλάπη. πῶς γὰρ ἂν ἔκλεψαν ὦ ἀνόητοι, οἱ μαθη-
ταὶ, οἱ διὰ τὸν φόβον ἀποκλεισθέντες καὶ μὴ τολμῶντες ὅλως ἐξελθεῖν. πῶς δ' ἂν εἰ
ἔκλεψαν, ἀπέθνησκον ὕστερον δι' αὐτὸν, κηρύττοντες ὅτι ἀνέστη, καὶ ὑπὲρ τοῦ ψεύδους
κατακοπτόμενοι.

» Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐ-
» τοῖς ὁ Ἰησοῦς. καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ. οἱ δὲ, ἐδίστασαν. καὶ προσελθὼν
» ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς, λέγων. ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.
» πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πα-
» τρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνε-
» τειλάμην ὑμῖν. καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας
Ἰωάν. κ'. » τοῦ αἰῶνος. Κατὰ τὸν Ἰωάννην πρῶτον ὤφθη τοῖς μαθηταῖς ὁ Ἰησοῦς, κατ' αὐτὴν
τὴν ἡμέραν τῆς ἀναστάσεως, τῶν θυρῶν κεκλεισμένων. εἶτα μεθ' ἡμέρας ὀκτὼ, ὅτε καὶ
ὁ θωμᾶς ἐπίστευσεν. εἶτα ἐπειδὴ ἔμελλον εἰς γαλιλαίαν ἀπαντῆσαι, οὔπω δὲ πάντες
ὁμοῦ συνήχθησαν, ἀλλά τινες αὐτῶν ἡλίευον ἐπὶ τῆς τιβεριάδος, ἐφάνη τότε τοῖς
ἁλιεύουσι μόνοις, ἑπτὰ οὖσι. νῦν οὖν ὅ φησιν ὁ Ματθαῖος, ὕστερον ἐγένετο, τῶν παρὰ τῷ
Ἰωάννῃ πρότερον γενομένων. πολλάκις γὰρ ἐφάνη αὐτοῖς, δι' ἡμερῶν τεσσαράκοντα
ἐφιστάμενος καὶ πάλιν ἀφιστάμενος, οὐ πάντοτε καὶ διόλου αὐτοῖς συμπαρών. οἱ οὖν
ἕνδεκα μαθηταὶ οἱ κορυφαῖοι, σὺν τοῖς λοιποῖς πάντως ἅπασι τοῖς ἀκολουθοῦσι, τῷ
χριστῷ προσεκύνησαν. οἱ δὲ ἐδίστασαν. ἀντὶ τοῦ τινὲς δὲ ἐδίστασαν. εἰκὸς οὖν οὕτω νοηθῆ-
ναι. οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν γαλιλαίαν, καὶ προσεκύνησαν αὐτῷ οἱ
ἕνδεκα. οἱ δὲ, ἀντὶ τοῦ τινὲς δὲ, τυχὸν ἐκ τῶν ἑβδομήκοντα, ἐδίστασαν περὶ τοῦ χριστοῦ.
ὕστερον μέντοι ἐβεβαιώθησαν καὶ αὐτοί. τινὲς δὲ οὕτω νοοῦσιν. ὅτι ὁ μὲν Ματθαῖος
Ἰωάν. κ'. παρῆκεν εἰπεῖν τίνες ἦσαν οἱ διστάσαντες. ὃ δὲ παρῆκεν οὗτος, εἶπεν ὁ Ἰωάννης, ὅτι θω-
Λου. κδ'. μᾶς ἦν ὁ διστάσας. τυχὸν δὲ καὶ πάντες ἐδίστασαν. ὅπερ ὁ Λουκᾶς λέγει. ὀφείλεις οὖν

οὕτω νοῆσαι. ὅτι εἰς μὲν τὴν γαλιλαίαν ἐλθόντες, προσεκύνησαν αὐτῷ· οὗτοι δὲ οἱ προσκυνήσαντες ἐν τῇ γαλιλαίᾳ, ἐδίστασαν πρότερον ἐν τῇ Ἱερουσαλὴμ, ὡς ὁ Λουκᾶς φησίν. ἐλάλησεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, ὅτι, ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. τοῦτο δὲ τοιοῦτόν ἐστιν. εἶχον μὲν ὡς θεὸς καὶ δημιουργὸς τὴν ἐξουσίαν πάντων (τὰ σύμπαντα γὰρ δοῦλα σὰ, πρὸς τὸν θεόν φησιν ὁ Δαβὶδ) ἀλλὰ τὴν ἑκούσιον ὑποταγὴν ταλ·ριή· οὐκ εἶχον. νῦν οὖν μέλλω καὶ ταύτην ἕξειν· ὑποταγήσονται γάρ μοι τὰ πάντα. ἐπεὶ διὰ τοῦ σταυροῦ ἐνίκησα τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου· διττὴ γάρ ἐστιν ἡ ὑποταγή. ἡ μὲν, ἀκούσιος. καθὸ πάντες δοῦλοι τοῦ θεοῦ ἐσμὲν καὶ ἄκοντες, ὥσπερ καὶ οἱ δαίμονες· ἡ δὲ, ἑκούσιος. καθὸ Παῦλος δοῦλος ἦν Χριστοῦ· πρότερον μὲν οὖν τὴν ἀκούσιον μόνην ὑποταγὴν ἐχόντων πάντων, ἐξ ἡμισείας ὥσπερ εἶχεν ὁ σωτὴρ τὴν πάντων ἐξουσίαν· μετὰ δὲ τὸν σταυρὸν, τῆς θεογνωσίας ἐφαπλωθείσης πᾶσι, καὶ τὴν ἑκούσιον ὑποταγὴν ὑποταγέντων πάντων, εἰκότως φησὶν ὁ Χριστὸς ὅτι, νῦν ἔλαβον πᾶσαν τὴν ἐξουσίαν· πρότερον μὲν γὰρ μερικῶς προσῆν μοι ἡ ἐξουσία, ὡς ἀκουσίως μόνον δουλευόντων μοι καθὸ ποιητής εἰμι· νῦν δὲ καὶ μετὰ ἐπιγνώσεως δουλευόντων μοι τῶν ἀνθρώπων, πᾶσα καὶ ὁλόκληρος ἡ ἐξουσία ἐδόθη μοι· παρὰ τίνος δὲ ἐδόθη αὐτῷ· ἢ πάντως παρ᾽ ἑαυτοῦ καὶ τῆς οἰκείας ταπεινώσεως· εἰ μὴ γὰρ ἐταπεινώθη καὶ συνεπάλαικε τῷ ἀντιπάλῳ διὰ τοῦ σταυροῦ, οὐκ ἂν ἔσωσεν ἡμᾶς· ὥστε τὸ ἐδόθη μοι ἐξουσία, οὕτω νόει. ἐκ τῶν οἰκείων μου ἀγώνων καὶ παλαισμάτων ἔσωσα τοὺς ἀνθρώπους. καὶ περιεγένοντό μοι λοιπὸν κλῆρος καὶ περιούσιος λαός· ἐπὶ γῆς μὲν οὖν ἔχει τὴν ἐξουσίαν ὁ κύριος, καθὸ πᾶσα ἡ γῆ ἐπέγνω αὐτόν. ἐν οὐρανῷ δὲ, διότι ὁ μισθὸς τῶν πιστευόντων αὐτῷ καὶ τὸ πολίτευμα, ἐν οὐρανοῖς ὑπάρχει· καὶ γὰρ καὶ ἄλλως, ἐπεὶ ἡ ἀνθρωπίνη φύσις ἡ πρώην κατάκριτος, συνημμένη τῷ θεῷ λόγῳ καθ᾽ ὑπόστασιν, ἐν οὐρανῷ κάθηται ὑπ᾽ ἀγγέλων προσκυνουμένη, εἰκότως φησὶν ὅτι ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ· καὶ γὰρ ἡ ἀνθρωπίνη φύσις ἡ πρώην δουλεύουσα, νῦν ἐν Χριστῷ ἄρχει πάντων· συνελόντα οὖν φάναι, οὕτω νόει τὸ ἐδόθη μοι πᾶσα ἐξουσία. εἰ μὲν ὡς ἀπὸ τοῦ θεοῦ λόγου λεγόμενον ἐκλάβοις, οὕτως, ἐδόθη μοι ἡ πᾶσα ἐξουσία, καθὸ καὶ ἄκοντες καὶ ἑκόντες νῦν ἐπιγινώσκουσί με θεὸν, οἱ πρώην κατὰ τὸν τῆς ἀκουσίου ὑποταγῆς τρόπον δουλεύοντές μοι· εἰ δὲ ὡς ἀπὸ τῆς ἀνθρωπίνης φύσεως λεγόμενον, οὕτω νόει. ὅτι, ἐγὼ ἡ πρώην κατάκριτος φύσις, κατὰ δὲ τὴν πρὸς τὸν υἱὸν τοῦ θεοῦ ἀσύγχυτον ἕνωσιν θεὸς οὖσα, ἔλαβον τὴν ἐξουσίαν κατὰ πάντων. ὥστε προσκυνεῖσθαι ὑπ᾽ ἀγγέλων ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς δοξάζεσθαι ὑπὸ τῶν περάτων πάντων· ἀποστέλλει οὖν τοὺς μαθητὰς οὐκ ἔτι πρὸς τοὺς Ἰουδαίους μόνους. ἀλλ᾽ ἐπεὶ πάντων ἔλαβε τὴν ἐξουσίαν, πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ἁγιάσας ἐν ἑαυτῷ, εἰκότως πρὸς πάντα τὰ ἔθνη πέμπει. ἐντειλάμενος βαπτίζειν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· αἰσχυνέσθωσαν οὖν Ἄρειος καὶ Σαβέλλιος· ἄρειος μὲν, καθ᾽ ὃ οὐκ εἶπεν ὁ Χριστὸς εἰς τὰ ὀνόματα βαπτίζειν, ἀλλ᾽ εἰς τὸ ὄνομα· ὄνομα δὲ τῶν τριῶν ἓν, ἡ θεότης· εἷς οὖν θεὸς τὰ τρία· σαβέλλιος δὲ, καθ᾽ ὃ καὶ τῶν τριῶν προσώπων ἐμνήσθη ὁ κύριος· οὐχ ἑνὸς προσώπου, ὡς ἐκεῖνος ἐφλυάρει, τὰ τρία ὀνόματα ἔχοντος. καὶ ποτὲ μὲν καλουμένου πατρὸς, ποτὲ δὲ υἱοῦ, ποτὲ δὲ πνεύματος, ἀλλὰ τριῶν μᾶλλον προσώπων ἓν ὄνομα ἐχόντων, τὸ θεός· εἶτα ἐπεὶ οὐκ ἀρκεῖ τὸ βαπτισθῆναι μόνον, ἀλλὰ δεῖ καὶ ἐργάζεσθαι τὸ ἀγαθὸν μετὰ τὸ βάπτισμα, φησί. διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. οὐχ ἓν ἢ δύο, ἀλλὰ πάντα τὰ ἐντάλματά μου· φρίξωμεν οὖν ἀδελφοὶ, ἐννοοῦντες ὅτι ἐὰν ἓν λείπῃ ἡμῖν, οὐκ ἐσμὲν τέλειοι δοῦλοι τοῦ Χριστοῦ. πάντα γὰρ ἀπαιτούμεθα φυλάττειν· ὅρα δὲ τὴν τοῦ κυρίου διάλεξιν, πῶς ἀμφότερα τὰ κεφα-

λαια τοῦ χριστιανισμοῦ περιέχει, θεολογίαν καὶ πρακτικὴν ἀρετήν· εἰπὼν μὲν γὰρ ὅτι δεῖ βαπτίζειν εἰς τὸ ὄνομα τῆς τριάδος, τὴν θεολογίαν ἡμῖν παρέδωκεν. εἰπὼν δὲ διδάσκειν καὶ τὸ τὰς ἐντολὰς τηρεῖν, τὴν πρακτικὴν ἀρετὴν ἡμῖν εἰσηγήσατο· προσθαρρύνων δὲ αὐτοὺς, ἐπειδὴ ἀπέστελλεν εἰς ἔθνη καὶ εἰς σφαγὰς καὶ κινδύνους, φησὶν ὅτι, μὴ φοβεῖσθε. ἐγὼ γὰρ ἔσομαι μεθ' ὑμῶν ἄχρι τῆς συντελείας τοῦ αἰῶνος· ὅρα δὲ καὶ τοῦτο, πῶς ἐμνήσθη τῆς συντελείας ἵνα διαναστήσῃ αὐτοὺς μᾶλλον καταφρονεῖν τῶν δεινῶν· μὴ δυσχεραίνητε γάρ φησι, συντέλειαν ἕξουσι πάντα, εἴτε ἀλγεινὰ ἐστὶν κοσμικὰ, εἴτε ἀγαθά· ὥστε μήτε τοῖς ἀλγεινοῖς ὑποπέσητε. παρέρχονται γάρ. μήτε τοῖς ἀγαθοῖς ἀπατηθῆτε. συντελοῦνται γάρ· οὐ μόνοις δὲ τοῖς ἀποστόλοις τοῦτο ὑπέσχετο, τὸ συνεῖναι αὐτοῖς, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς τοῖς αὐτοῦ μαθηταῖς· οὐ γὰρ δήπου οἱ ἀπόστολοι ἄχρι τῆς συντελείας ἔμελλον ζῆν· καὶ ἡμῖν οὖν καὶ τοῖς μεθ' ἡμᾶς ὑπισχνεῖται τοῦτο· οὐκ ἄχρι δὲ τῆς συντελείας παρὼν, μετὰ τὴν συντέλειαν ἀπέσται. ἄπαγε. ἐκτότε γὰρ μᾶλλον συνέσται καθαρώτερον καὶ τρανότερον. τὸ γὰρ ἕως, οὐ τὸ μετὰ ταῦτα ἀναιρεῖ, ἔνθα δὴ εὑρεθῇ κείμενον ἐν τῇ γραφῇ· Εὐχαριστήσαντες οὖν τῷ κυρίῳ τῷ ἐνταῦθα συνόντι ἡμῖν, καὶ πᾶν ἀγαθὸν χορηγοῦντι, καὶ πάλιν συνεσομένῳ τελεώτερον μετὰ τὴν συντέλειαν, συντελέσωμεν ἐνταῦθα τὴν ἐξήγησιν· αὐτῷ γὰρ πρέπει πᾶσα εὐχαριστία καὶ δόξα καὶ τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων·

Ἀμήν·

Τέλος τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον

Ἑρμηνείας Θεοφυλάκτου·

ΒΙΌΣ ΤΟΥ͂ ΜΆΡΚΟΥ ΚΑΤᾺ ΣΩΦΡΌΝΙΟΝ.

Μάρκος μαθητὴς καὶ ἑρμηνευτὴς Πέτρου, καθὼς τοῦ Πέτρου ἐξηγουμένου ἀκήκοε, παρακληθεὶς ἐν τῇ Ῥώμῃ παρὰ τῶν ἀδελφῶν, βραχὺ συνέταξεν εὐαγγέλιον. ᾧπερ ἐντυχὼν Πέτρος ἐδοκίμασε, καὶ τῇ ἐκκλησίᾳ ἀναγνωσθησόμενον αὐθεντίας ἐξέδωκε, καθὰ συγγέγραπται Κλήμης ἐν τῷ ἕκτῳ τῶν ὑποτυπώσεων λόγῳ. καὶ Παπίας Ἱεραπολίτης ἐπίσκοπος μέμνηται τούτου τοῦ Μάρκου. καὶ Πέτρος ἐν τῇ πρώτῃ ἐπιστολῇ, ἐπ' ὀνόματι Βαβυλῶνος, εἰκονικῶς Ῥώμην σημαίνων. ἀσπάζεται ὑμᾶς φησὶν ἡ ἐν Βαβυλῶνι συνεκλεκτή, καὶ Μάρκος ὁ ἐμὸς υἱός. παραλαβὼν τοιγαροῦν τὸ εὐαγγέλιον ὅπερ αὐτὸς συνέταξε, καταλαμβάνει τὴν Αἴγυπτον, καὶ πρῶτος ἐν Ἀλεξανδρείᾳ Ἰησοῦν Χριστὸν κηρύττων, κατεστήσατο ἐκκλησίαν. τοσαύτῃ παιδεύσει καὶ βίου καρτερίᾳ διέπρεψεν, ὥστε πάντας τοὺς ἀκολουθοῦντας τῷ Χριστῷ ἕπεσθαι τῇ τούτου διαγωγῇ. ὅθεν καὶ Φίλων ὁ τῶν Ἰουδαίων ἐλλογιμώτατος, ὁρῶν ἐν Ἀλεξανδρείᾳ πρώτην ἐκκλησίαν ἔτι ἰουδαΐζουσαν, ὡσανεὶ εἰς ἔπαινον τοῦ οἰκείου ἔθνους, βίβλον περὶ τῆς τούτων διαγωγῆς συνεγράψατο. καὶ ὥσπερ Λουκᾶς διηγεῖται τοὺς ἐν Ἱεροσολύμοις πιστεύσαντας πάντα ἐσχηκέναι κοινά, οὕτως κἀκεῖνος ὅπερ ἐν Ἀλεξανδρείᾳ ἐπὶ Μάρκου τοῦ διδασκάλου ἑώρα γινόμενον, τῇ μνήμῃ παρέδωκε. τελευτήσας δὲ τῷ ὀγδόῳ τοῦ Νέρωνος ἔτει, ἀπετέθη ἐν Ἀλεξανδρείᾳ, διαδεξαμένου αὐτὸν Ἀνανίου.

ΒΙΌΣ ΤΟΥ͂ ΜΆΡΚΟΥ ἘΚ ΤΗ͂Σ ΤΟΥ͂ ΔΩΡΟΘΈΟΥ
μάρτυρος καὶ Τυρίων ἐπισκόπου συνόψεως.

Μάρκος ὁ εὐαγγελιστής, καὶ πρῶτος Ἀλεξανδρείας ἐπίσκοπος, Ἀλεξανδρεῦσι καὶ πάσῃ τῇ περιχώρῳ αὐτῆς ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ κυρίου, ἀπὸ Αἰγύπτου καὶ μέχρι Πενταπόλεως, ἐπὶ δὲ τῆς βασιλείας Τραϊανοῦ, ἐν Ἀλεξανδρείᾳ κάλων λαβὼν κατὰ τοῦ τραχήλου καὶ συρεὶς ἀπὸ τῶν καλουμένων Βουκόλου τόπων, ἕως τῶν καλουμένων Ἀγγέλων, ἐκεῖ ἐκάη πυρί, ὑπὸ τῶν εἰδωλομανῶν, μηνὶ Φαρμουθὶ λέως, καὶ ἐκεῖ ἐτάφη ἐν τοῖς Βουκόλου.

ΤᾺ ΚΕΦΆΛΑΙΑ ΤΟΥ͂ ΚΑΤᾺ Μάρκον εὐαγγελίου.

περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

ζ'. Περὶ τῶν μαθητῶν ἀνίπτοις χερσὶν ἐσθιόντων.

περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ θεοῦ.

περὶ τῆς συροφοινικίσσης.

περὶ τοῦ σαββάτου.

η'. Περὶ τῶν ἑπτὰ ἄρτων.

περὶ τῶν ζητούντων σημεῖον.

περὶ τῆς ζύμης τῶν φαρισαίων.

περὶ τοῦ τυφλοῦ.

περὶ τῆς ἐν καισαρείᾳ ἐπερωτήσεως.

περὶ τῆς ἐπιτιμήσεως πέτρου.

θ'. Περὶ τῆς μεταμορφώσεως τοῦ ἰησοῦ.

περὶ τοῦ σεληνιαζομένου.

περὶ τῶν διαλογιζομένων τίς μείζων.

περὶ τοῦ ἀφελεῖν τὸ σκάνδαλον.

ι'. Περὶ τῶν ἐπερωτησάντων εἰ ἔξεστιν ἀπολύειν τὴν γυναῖκα.

περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰησοῦν.

περὶ τῶν υἱῶν Ζεβεδαίου.

περὶ τοῦ βαρτιμαίου.

ια'. Περὶ τοῦ πώλου.

περὶ τῆς ξηρανθείσης συκῆς.

περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ τραπεζιτῶν.

περὶ τοῦ θάρσους πρὸς τὸν θεόν.

περὶ τῆς ἀμνησικακίας.

περὶ τῶν ἐπερωτησάντων τὸν κύριον ἀρχιερέων καὶ πρεσβυτέρων.

ιβ'. Περὶ τοῦ ἀμπελῶνος.

περὶ τῶν ἐπερωτησάντων τὸν κύριον διὰ τὸν κῆνσον.

περὶ τῶν σαδδουκαίων.

περὶ τοῦ γραμματέως.

περὶ τῆς τοῦ κυρίου, ἐπερωτήσεως.

περὶ τοῦ τοὺς ὑποκριτὰς εὐλαβεῖσθαι.

περὶ τῆς τὰ δύο λεπτά.

ιγ'. Περὶ τῆς συντελείας.

περὶ τῆς ἡμέρας καὶ ὥρας.

ιδ'. Περὶ τῆς ἀλειψάσης τὸν κύριον μύρῳ.

περὶ τοῦ πάσχα.

περὶ τῆς τοῦ Χριστοῦ παραδόσεως.

περὶ τῆς ἀρνήσεως πέτρου.

περὶ τῶν τῷ κυρίῳ παρὰ τῷ ἀρχιερεῖ ἐπιτεθεισῶν αἰτιῶν.

ιε'. Περὶ ἐκείνων ἃ ἐπὶ τοῦ πιλάτου ἔπαθεν.

περὶ ἔθους.

περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ κυρίου.

περὶ τῆς ταφῆς.

ιϛ'. Περὶ τῆς τοῦ χριστοῦ ἀναστάσεως.

Τίσι μετὰ τὴν ἔγερσιν ὁ κύριος ὤφθη.

Πῶς τοῖς ἀποστόλοις τὴν τοῦ εὐαγγελίου κήρυξιν διέταξεν.

ΘΕΟΦΥΛΑΚΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ, ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ ΕΥΑΓΓΕΛΙΟΝ.

Τὸ κατὰ Μάρκον εὐαγγέλιον, μετὰ δέκα ἔτη τῆς τοῦ Χριστοῦ ἀναλήψεως συνεγράφη ἐν Ῥώμῃ· ἦν μὲν γὰρ οὗτος ὁ Μάρκος Πέτρου μαθητής· οὗ καὶ υἱὸν αὐτοῦ ὁ Πέτρος ὀνομάζει, πνευματικὸν πάντως. ἐκαλεῖτο δὲ καὶ Ἰωάννης. ἀνεψιὸς δὲ Βαρνάβα. ἀλλὰ καὶ Παύλου συνέκδημος· τέως μέντοι Πέτρῳ συνὼν τὰ πλεῖστα, καὶ ἐν Ῥώμῃ συνῆν· ἠτήσαντο οὖν αὐτὸν οἱ ἐν Ῥώμῃ πιστοὶ, μὴ μόνον ἀγράφως κηρύσσειν, ἀλλὰ καὶ ἐγγράφως αὐτοῖς ἐκθέσθαι τὴν κατὰ Χριστὸν πολιτείαν· μόλις οὖν πεισθεὶς συνεγράψατο· τῷ δὲ Πέτρῳ ἀπεκαλύφθη παρὰ θεοῦ ὅτι Μάρκος συνέγραψεν εὐαγγέλιον· ἰδὼν οὖν, καὶ ἐπιβεβαιώσας ὡς ἀληθὲς, εἶτα ἐπίσκοπον αὐτὸν ἐξαπέστειλεν εἰς Αἴγυπτον· ἔνθα δὴ καὶ κηρύξας, ἐν Ἀλεξανδρείᾳ τε ἐκκλησίαν συστησάμενος, τοὺς πρὸς τῷ μεσημβρινῷ κλίματι πάντας ἐφώτισεν· ἔστιν οὖν ὁ χαρακτὴρ τοῦ εὐαγγελίου σαφὴς, καὶ οὐδὲν ἔχων περινενοημένον· σχεδὸν δὲ καὶ κατὰ πάντα τῷ Ματθαίῳ συντρέχει ὁ παρὼν εὐαγγελιστὴς, πλὴν ὅσον ὁ Ματθαῖος πλατύτερος. καὶ ὅτι ὁ μὲν Ματθαῖος, τῆς κατὰ σάρκα γεννήσεως τοῦ κυρίου ἐν ἀρχῇ μνημονεύει· οὗτος δὲ ἀπὸ τοῦ προφήτου Ἰωάννου ἤρξατο· ὅθεν τινὲς (εἰ καὶ περιεργότερον δοκεῖ) τοιοῦτόν τι νόημα εἶπον ἐπὶ τοῖς εὐαγγελισταῖς· ὁ ἐπὶ τῶν χερουβὶμ καθήμενος θεὸς, ἃ τετραπρόσωπα ἡ γραφὴ λέγει, ἔδωκεν ἡμῖν τετράμορφον καὶ τὸ εὐαγγέλιον, ἑνὶ πνεύματι συνεχόμενον· ὥσπερ οὖν τῶν χερουβὶμ ἕκαστον, ἓν μὲν πρόσωπον εἶχεν ὅμοιον λέοντι, ἕτερον δὲ ἀνθρώπῳ, καὶ ἕτερον ἀετῷ, καὶ ἕτερον μόσχῳ, οὕτω καὶ ἡ τοῦ εὐαγγελικοῦ κηρύγματος πραγματεία· τὸ μὲν γὰρ κατὰ Ἰωάννην εὐαγγέλιον, ἔχει λέοντος πρόσωπον. βασιλικὸν γὰρ ὁ λέων καὶ ἡγεμονικόν· ὁμοίως οὖν καὶ ὁ Ἰωάννης ἀπὸ τοῦ βασιλικοῦ καὶ δεσποτικοῦ ἀξιώματος τῆς θεότητος τοῦ λόγου ἤρξατο, εἰπών· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ θεὸς ἦν ὁ λόγος· τὸ δὲ κατὰ Ματθαῖον ἀνθρωπόμορφον· ἀπὸ γὰρ τῆς κατὰ σάρκα γεννήσεως καὶ ἐνανθρωπήσεως τοῦ λόγου, ἤρξατο· τὸ δὲ κατὰ Μάρκον, ἀετῷ παρεικαζόμενον. ἀπὸ γὰρ προφήτου ἤρξατο τοῦ Ἰωάννου. ἡ δὲ προφητικὴ χάρις, προορατικὴ οὖσα, καὶ ὀξέως τὰ πόρρω βλέπουσα, ὡς ἀετός ἐστι· φασὶ γὰρ τὸν ἀετὸν ὀξυδερκέστατον εἶναι, ὥστε καὶ μόνον τῶν ἄλλων ζώων, πρὸς τὸν ἥλιον δύνασθαι ἀτενίζειν μὴ καμμύοντα· μόσχῳ δὲ ὅμοιον τὸ κατὰ Λουκᾶν, διότι ἀπὸ τῆς ἱερατείας τοῦ Ζαχαρίου ἤρξατο, ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ θυμιῶντος· καὶ μόσχος δὲ ἦν ὁ θυόμενος τότε· ἄρχεται οὖν ὁ Μάρκος τοῦ εὐαγγελίου, ἀπὸ τῆς τοῦ προδρόμου διαγωγῆς καὶ ἐνδείξεως· ἄκουε οὖν τί φησι·

Πέτρ· ἐπι· α· κεφ· ε·

Ἰεζε· κεφ· α· καὶ μα.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

» Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ θεοῦ, ὡς γέγραπται ἐν τοῖς προφή-
» ταις· ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν
» ὁδόν σου ἔμπροσθέν σου· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου. εὐ-
» θείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· Ἰωάννην τὸν τελευταῖον τῶν προφητῶν, ἀρχὴν εἶναι τοῦ εὐαγγελίου τοῦ υἱοῦ τοῦ θεοῦ φησί. τὸ γὰρ τέλος τῆς παλαιᾶς, ἀρχὴ τῆς νέας διαθήκης. ἡ δὲ μαρτυρία ἡ περὶ τοῦ προδρόμου, ἀπὸ δύο προφητῶν ἐλήφθη· τοῦ μὲν γὰρ Μαλαχίου ἐστὶ τὸ, ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατα- Μαλ· γ·

Ἠσα· μ΄· σκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου· τοῦ δὲ Ἡσαΐου, τὸ, φωνὴ βοῶντος καὶ τὰ ἑξῆς· ἀπὸ δὲ τοῦ θεοῦ καὶ πατρὸς πρὸς τὸν υἱόν ἐστιν ὁ λόγος, λέγοντος ἄγγελον εἶναι τὸν πρόδρομον. διά τε τὸ ἀγγελικὴν καὶ σχεδὸν ἄϋλον ἔχειν ζωὴν, καὶ τὸ ἀγγέλλειν καὶ μηνύειν τὸν χριστὸν ἐρχόμενον· κατεσκεύασε δὲ τὴν ὁδὸν τοῦ κυρίου, τὰς ψυχὰς τῶν Ἰουδαίων διὰ τοῦ βαπτίζειν παρασκευάζων δέξασθαι τὸν χριστόν· τὸ δὲ πρὸ προσώπου σου, τοῦτο σημαίνει. ὅτι, ἐγγύς σου ἔσται ὁ ἄγγελός σου· ὅθεν δείκνυται ἡ οἰκειότης τοῦ προδρόμου πρὸς τὸν χριστόν· καὶ γὰρ καὶ τῶν βασιλέων ἐγγὺς προπορεύονται οἱ μάλιστα οἰκεῖοι· Φωνὴ δὲ βοῶντος ἐν τῇ ἐρήμῳ, τάχα μὲν καὶ ἐν τῇ ἐρήμῳ τοῦ Ἰορδάνου. τάχα δὲ καὶ ἐν τῇ συναγωγῇ τῶν Ἰουδαίων, ἥτις ἔρημος ἦν παντὸς ἀγαθοῦ· ὁδὸς δὲ, ἡ νέα διαθήκη· τρίβοι δὲ ἡ παλαιὰ, ὡς κατατετριμμένη· πρὸς μὲν οὖν τὴν ὁδὸν ὤφειλον ἑτοιμασθῆναι, τουτέστι πρὸς τὴν νέαν διαθήκην. τῆς δὲ παλαιᾶς τὰς τρίβους εὐθείας ποιῆ-

Ψαλ· ιζ΄· σαι. πάλαι μὲν δεξάμενοι ταύτας, εἶτα σκολιοὶ φανέντες καὶ χωλάναντες ἀπὸ τῶν τρίβων αὐτῶν·

» Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς
» ἄφεσιν ἁμαρτιῶν· καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱερο
» σολυμῖται. καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογού-
» μενοι τὰς ἁμαρτίας αὐτῶν· Τὸ βάπτισμα Ἰωάννου οὐκ εἶχεν ἄφεσιν ἁμαρτιῶν. ἀλλὰ μετάνοιαν μόνην εἰσῆγε τοῖς ἀνθρώποις· πῶς οὖν φησὶν ἐνταῦθα ὁ Μάρκος ὅτι, εἰς ἄφεσιν ἁμαρτιῶν· λέγομεν οὖν ὅτι ἐκήρυσσε βάπτισμα μετανοίας· τοῦτο δὲ τὸ κήρυγμα τῆς μετανοίας, ποῦ ἔφερεν· εἰς ἄφεσιν ἁμαρτιῶν. τουτέστιν εἰς τὸ τοῦ χριστοῦ βάπτισμα, ὃ εἶχεν ἄφεσιν τῶν ἁμαρτιῶν· ὥσπερ ὅταν λέγωμεν, ἦλθεν ὁ δεῖνα δορυφόρος τοῦ βασιλέως κηρύσσων βρωμάτων παρασκευὴν εἰς εὐεργεσίαν τῶν παρασκευαζόντων, οὐ τοῦτο λέγομεν ὅτι, ὁ δορυφόρος εὐεργετῆσαι μέλλει τοὺς παρασκευάζοντας τὰ βασιλικὰ βρώματα. ἀλλ' ὅτι αὐτὸς ἐκήρυσσε τὴν παρασκευὴν τῶν βρωμάτων, ἵνα οἱ ταύτην ἑτοιμάσαντες ὑποδεξάμενοι τὸν βασιλέα, εὐεργετηθῶσιν ὑπ' αὐτοῦ. οὕτως οὖν κἀνταῦθα ὁ πρόδρομος ἐκήρυσσε βάπτισμα μετανοίας, ὡς ἂν οἱ μετανοήσαντες δεξάμενοι τὸν χριστὸν, ἄφεσιν ἁμαρτιῶν λάβωσιν·

» Ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν
» ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον· Εἴπομεν περὶ τούτων ἐν τῷ κατὰ Ματθαῖον· καὶ νῦν δὲ ἐροῦμεν ὅσα ἐκεῖ παραλέλειπται. ὅτι πένθους σύμβολον ἦν τὸ ἔνδυμα. δεικνῦντος τοῦ προφήτου ὅτι δεῖ πενθεῖν τὸν μετανοοῦντα. πένθους γὰρ ὁ σάκκος· ἡ δὲ δερματίνη ζώνη, τὴν νέκρωσιν δηλοῖ τοῦ ἰουδαϊκοῦ λαοῦ· ὅτι δὲ πένθος

Ματ· ια΄· ἐδήλου ἡ στολὴ, φησὶ καὶ ὁ κύριος. ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε. θρῆνον λέγων τὴν τοῦ προδρόμου πολιτείαν· φησὶ γάρ. ἦλθεν Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ εἴπατε, δαιμόνιον ἔχει· ἀλλὰ καὶ ἡ τροφὴ τοῦ Ἰωάννου, πάντως μὲν καὶ τὴν ἐγκράτειαν αὐτόθεν δηλοῖ. τάχα δὲ καὶ τῆς τότε τοῦ λαοῦ λογικῆς τροφῆς σύμβολον ἦν, οὐκ ἐσθίοντός τι τῶν καθαρῶν πετεινῶν τοῦ οὐρανοῦ, οὐδὲ νοοῦντός τι ὑψηλόν. ἀλλὰ τρεφομένου λόγῳ μετεωροπόρῳ μὲν δοκοῦντι καὶ ἀναπηδῶντι, καταπίπτοντι δὲ πάλιν· τοιοῦτον γὰρ ἡ ἀκρὶς, πηδῶσα ὡς εἰς τὸ ὕψος, εἶτα πάλιν καταπίπτουσα· ὥσπερ οὖν καὶ μέλι μὲν ἤσθιεν ὁ λαὸς τὸ ὑπὸ τῶν μελισσῶν γεννώμενον, τῶν προφητῶν, μὴ γεωργούμενον δὲ καὶ ἡμερούμενον διὰ τοῦ καλῶς νοεῖσθαι καὶ ζητεῖσθαι καὶ καταλαμβάνεσθαι· εἶχον μὲν γὰρ τὰς γραφὰς οἱ Ἑβραῖοι οἷόν τι μέλι. ἀλλ' οὐκ ἐγεώργουν αὐτὰς, οὐδὲ ἠρεύνων·

» Καὶ ἐκήρυσσε λέγων. ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου. οὗ οὐκ εἰμὶ ἱκανὸς κύ-

ψας λῦσαι

» ψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδα-
» τι. αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ. Οὐδὲ ἔσχατος φησὶ δοῦλος αὐτοῦ
ἄξιός εἰμι εἶναι, ὥστε λῦσαι τὸν ἱμάντα, τουτέστι τὸν δεσμὸν τὸν ἀπὸ λώρου τῶν ὑποδη
μάτων· νοεῖται δὲ καὶ οὕτω. πάντες οἱ ἐρχόμενοι καὶ βαπτιζόμενοι ὑπὸ Ἰωάννου, ἔλυον
το διὰ τῆς μετανοίας ἀπὸ τοῦ δεσμοῦ τῶν ἁμαρτιῶν αὐτῶν, ἐν τῷ πιστεύειν εἰς τὸν
χριστόν· πάντων μὲν οὖν τῶν ἄλλων ἔλυεν ὁ Ἰωάννης τοὺς ἱμάντας καὶ τοὺς δεσμοὺς τῶν
ἁμαρτιῶν. τοῦ δὲ Ἰησοῦ τὸν ἱμάντα οὐκ ἴσχυσε λῦσαι, διότι οὐδὲ εὗρεν ἱμάντα τουτέ
στιν ἁμαρτίαν ἐν αὐτῷ·

» Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς γαλιλαίας,
» καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην· καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος,
» εἶδε σχιζομένους τοὺς οὐρανούς, καὶ τὸ πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν· καὶ
» φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν. σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα·

Οὔτε διὰ τὸ ἀφεθῆναι τῶν ἁμαρτιῶν, ἔρχεται ὁ Ἰησοῦς ἐπὶ τὸ βάπτισμα. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν. οὔτε ὡς πνεύματος μεταληψόμενος· τὸ γὰρ βάπτισμα Ἰωάννου ὡς εἴπον ἁμαρτίας μὴ καθαῖρον, πῶς ἂν πνεῦμα ἔδωκεν· ἀλλὰ μὴν οὐδὲ διὰ τὸ μετανοῆσαι ἔρχεται βαπτισθησόμενος· πολλῷ γὰρ ἦν κρείττων καὶ τοῦ βαπτιστοῦ. διατί οὖν ἔρχεται· ἢ πάντως ἵνα φανερωθῇ ὑπὸ Ἰωάννου τῷ λαῷ· ἐπεὶ γὰρ πολλοὶ συνέρρεον, εὐδόκησεν ἐλθεῖν ὡς ἂν μαρτυρηθῇ ἐνώπιον τῶν πολλῶν τούτων, τίς ἐστι. καὶ ἅμα ἵνα πληρώσῃ καὶ πᾶσαν δικαιοσύνην. τουτέστι πάσας τὰς ἐντολὰς τοῦ νόμου· ἐπεὶ γὰρ ἐντολὴ καὶ τοῦτο δοκεῖ, τὸ πεισθῆναι τῷ προφήτῃ βαπτίζοντι ὡς ὑπὸ θεοῦ πεμφθέντι, πληροῖ καὶ ταύτην. τὸ δὲ πνεῦμα κάτεισιν, οὐχ ὅτι ἐδέετο τούτου ὁ χριστός. πῶς γὰρ ὃ ἦν ἐν αὐτῷ οὐσιωδῶς μένον. ἀλλ' ἵνα μάθῃς σὺ ὅτι ὅταν βαπτίζῃ, καὶ εἰς σὲ πνεῦμα ἅγιον ἐλεύσεται· ἅμα δὲ καὶ τοῦτο ἐνήργει ἡ τοῦ πνεύματος κάθοδος. ἐπεὶ γὰρ εἶπεν ὁ πατὴρ ἄνωθεν, οὗτός ἐστιν ὁ υἱός μου, ἵνα μὴ νομίσωσιν οἱ ἀκούοντες ὅτι περὶ τοῦ Ἰωάννου λέγει, κάτεισι τὸ πνεῦμα ἐπὶ τὸν Ἰησοῦν. δεικνύον ὅτι περὶ τούτου ἐλέχθη. σχίζονται δὲ οἱ οὐρανοί, ἵνα μάθωμεν ὅτι ὅταν βαπτισθῶμεν, ἀνοίγονται καὶ ἡμῖν·

» Καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον. καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέ
» ρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ σατανᾶ. καὶ ἦν μετὰ τῶν θηρίων. καὶ ἄγγε
» λοι διηκόνουν αὐτῷ· Διδάσκων ἡμᾶς ὁ κύριος μὴ δυσχεραίνειν ἐὰν μετὰ τὸ βάπτι-
σμα πειρασμοῖς περιπέσωμεν, τούτου ἕνεκεν ἄνεισιν εἰς τὸ ὄρος, πειρασθησόμενος· μᾶλλον δὲ οὐκ ἄνεισιν, ἀλλ' ἀνάγεται ὑπὸ τοῦ ἁγίου πνεύματος. δεικνύων καὶ ἡμῖν ὅτι οὐκ ἐπιπηδᾶν δεῖ τοῖς πειρασμοῖς, ἀλλ' ἐπιόντας ὑποδέχεσθαι. διὰ τοῦτο δὲ ἀναβαίνει εἰς ὄρος, ἵνα τῇ ἐρημίᾳ τοῦ τόπου θαρρήσῃ ὁ διάβολος, καὶ προσέλθῃ· εἴωθε γὰρ ὅταν ἴδῃ ἡμᾶς μεμονωμένους, τηνικαῦτα ἐπιτίθεσθαι· ἄβατος δὲ ἦν ὁ τόπος τοσοῦτον, ὥστε καὶ θηρίων γέμειν· οἱ δὲ ἄγγελοι διηκόνουν αὐτῷ μετὰ τὸ νικῆσαι τὸν πειραστήν. καὶ ταῦτα ἐν τῷ κατὰ Ματθαῖον κεῖται πλατύτερον· Ματ·δ'·

» Μετὰ δὲ τὸ παραδοθῆναι τὸν Ἰωάννην, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν γαλιλαίαν, κη-
» ρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ, καὶ λέγων ὅτι, πεπλήρωται ὁ και-
» ρός. καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ. μετανοεῖτε, καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ·

Ἀναχωρεῖ εἰς τὴν γαλιλαίαν ἀκούσας ὅτι Ἰωάννης παρεδόθη τῇ φυλακῇ, ἵνα δείξῃ καὶ ἡμῖν ὅτι δεῖ μὴ ὁμόσε χωρεῖν τοῖς πειρασμοῖς, ἀλλ' ὑποφεύγειν. ἐπὰν δὲ ἐμπέσωμεν, φέρειν· φαίνεται δὲ τὰ αὐτὰ τῷ Ἰωάννῃ κηρύσσων ὁ κύριος. οἷον τὸ μετανοεῖτε, καὶ τό, ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ. οὐκ ἔστι δέ· ὁ μὲν γὰρ Ἰωάννης, τὸ μετανοεῖτε ἔλεγεν, ὥστε ὑποχωρῆσαι ἀπὸ τῶν ἁμαρτιῶν· ὁ δὲ χριστὸς τὸ μετανοεῖτε λέγει, ὥστε ἀπὸ

τοῦ νομικοῦ γράμματος φυγεῖν· διὸ καὶ προσέθηκε τὸ, πιστεύετε ἐν τῷ εὐαγγελίῳ· ὁ γὰρ μέλλων πιστεῦσαι διὰ τοῦ εὐαγγελίου, κατήργηκε τὸν νόμον λοιπόν. πεπληρῶσθαι γάρ φησιν ὁ κύριος καὶ τὸν καιρὸν τοῦ νόμου· ἄχρι γάρ φησι τοῦ νῦν ἐνήργει ὁ νόμος. ἀπὸ τοῦ νῦν δὲ ἡ βασιλεία τοῦ θεοῦ, ἡ κατὰ τὸ εὐαγγέλιον πολιτεία πάρεστιν· ἥτις εἰκότως παρεικάζεται τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὅταν γὰρ ἴδῃς ὡς ἄσαρκον μικροῦ πολιτευόμενον τὸν κατὰ τὸ εὐαγγέλιον βιοῦντα, ἆρα οὐ καλῶς εἴποις ὅτι οὗτος τὴν βασιλείαν τῶν οὐρανῶν (ὅτε οὐκ ἔστι βρῶσις ἢ πόσις) ἤδη ἔχει κἂν μακρὰν εἶναι δοκῇ·

» Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς γαλιλαίας, εἶδε Σίμωνα καὶ Ἀνδρέαν τὸν
» ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν. ἦσαν γὰρ ἁλιεῖς. καὶ
» εἶπεν αὐτοῖς. δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων· καὶ εὐ-
» θέως ἀφέντες τὰ δίκτυα αὐτῶν, ἠκολούθησαν αὐτῷ· καὶ προβὰς ἐκεῖθεν ὀλίγον,
» εἶδεν Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ
» πλοίῳ καταρτίζοντας τὰ δίκτυα. καὶ εὐθέως ἐκάλεσεν αὐτούς· καὶ ἀφέντες τὸν πα-
» τέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν, ἀπῆλθον ὀπίσω αὐτοῦ·

Ἰωάν· α· Τοῦ προδρόμου ἦσαν μαθηταὶ, Πέτρος καὶ Ἀνδρέας. ἰδόντες δὲ τὸν Ἰησοῦν ὑπὸ τοῦ Ἰωάννου μαρτυρηθέντα, προσῆλθον αὐτῷ· εἶτα ἐπειδὴ Ἰωάννης παρεδόθη, λυπηθέντες ἀνεχώρησαν πάλιν εἰς τὴν οἰκείαν τέχνην· ὅθεν ὁ Χριστὸς ἐκ δευτέρου τούτους καλεῖ. δευτέρα γάρ ἐστιν αὕτη ἡ κλῆσις· ὅρα δὲ αὐτοὺς ἐκ δικαίων πόνων τρεφομένους, ἀλλ᾽ οὐκ ἐξ ἀδίκων· τοιοῦτοι γὰρ οἱ ἄξιοι γίνεσθαι πρῶτοι Χριστοῦ μαθηταί· ἀφέντες οὖν εὐθέως τὰ ἐν χερσὶν, ἠκολούθησαν αὐτῷ. οὐ γὰρ δεῖ ἀναβάλλεσθαι, ἀλλ᾽ εὐθέως ἀκολουθεῖν· μετὰ δὲ τούτους, τὸν Ἰάκωβον σαγηνεύει καὶ τὸν Ἰωάννην. οἳ καὶ αὐτοὶ πένητες ὄντες, ὅμως ἐγηροτρόφουν τὸν πατέρα· ἀφῆκαν δὲ τὸν πατέρα, οὐχ ὅτι καλόν ἐστιν ἀφιέναι τοὺς πατέρας, ἀλλ᾽ ὅτι ἔμελλεν αὐτοὺς ἐμποδίσαι πρὸς τὴν ἀκολούθησιν· οὕτως οὖν καὶ σὺ ὅταν ἐμποδίζῃ παρὰ τῶν γονέων, ἄφες αὐτοὺς καὶ πρόσδραμε τῷ ἀγαθῷ· φαίνεται γὰρ ὁ Ζεβεδαῖος μὴ πιστεῦσαι· ἡ μέντοι μήτηρ τῶν ἀποστόλων, πιστεῦσαι καὶ ἠκολούθει γὰρ ἴσως τοῦ Ζεβεδαίου ἀποθανόντος· ἴσθι δὲ καὶ τοῦτο, ὅτι πρῶτον καλεῖται ἡ πρᾶξις, εἶτα ἡ θεωρία· οἱ μὲν οὖν περὶ τὸν Πέτρον, τῆς πρακτικῆς εἰσὶ σύμβολον· θερμότατος γὰρ οὗτος, καὶ προπηδῶν τῶν ἄλλων· οἵα δὴ καὶ ἡ πρακτική ἐστιν· οἱ δὲ περὶ τὸν Ἰωάννην, τὴν θεωρίαν ὑποσημαίνουσι· θεολογικώτατος γὰρ ὁ Ἰωάννης.

» Καὶ εἰσπορεύονται εἰς Καπερναούμ· καὶ εὐθέως τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν συ-
» ναγωγὴν, ἐδίδασκε· καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. ἦν γὰρ διδάσκων αὐτοὺς
» ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς·

Πόθεν εἰσπορεύονται. εἰς Καπερναούμ· ἀπὸ τῆς Ναζαρέτ· ἐν οὖν τῇ ἡμέρᾳ τοῦ σαββάτου, ὅτε συνήγοντο ἀναγινώσκοντες, τότε εἰσῆλθε διδάξων καὶ ὁ Χριστός· καὶ γὰρ καὶ ὁ νόμος ἐπὶ τούτῳ ἐν τῷ σαββάτῳ ἀργεῖν ἐκέλευεν, ἵνα σχολάζωσιν οἱ ἄνθρωποι τῇ ἀναγνώσει, συναγόμενοι ἐπὶ τὸ αὐτό· ἐδίδασκεν οὖν ὁ κύριος ἐλεγκτικῶς, οὐ κολακευτικῶς ὡς οἱ φαρισαῖοι· προτρεπόμενος γὰρ εἰς τὸ ἀγαθὸν, ἠπείλει τιμωρίαν τοῖς ἀπειθοῦσιν·

» Καὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν, ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ. ἀνέκραξε λέ-
» γων. ἔα. τί ἡμῖν καὶ σοὶ Ἰησοῦ Ναζαρηνέ. ἦλθες ἀπολέσαι ἡμᾶς. οἶδά σε τίς εἶ. ὁ ἅγιος
» τοῦ θεοῦ· καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων. Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ· καὶ
» σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον, καὶ κράξαν φωνῇ μεγάλῃ, ἐξῆλθεν ἐξ
» αὐτοῦ· καὶ ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν πρὸς ἑαυτοὺς, λέγοντας. τί ἐστι τοῦτο. τίς
» ἡ διδαχὴ ἡ καινὴ αὕτη, ὅτι κατ᾽ ἐξουσίαν καὶ τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσ-
» σει, καὶ ὑπακούουσιν αὐτῷ· ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς
Γαλιλαίας·

» Γαλιλαίας. Ἀκάθαρτα λέγονται τὰ πονηρὰ πνεύματα, διὰ τὸ χαίρειν ταῖς αἰ-
σχραῖς ἐφήδεσθαι πράξεσιν. ἀπώλειαν δὲ ἑαυτοῦ ἡγεῖτο ὁ δαίμων, τὸ ἐξελθεῖν ἐκ τοῦ ἀν-
θρώπου. ἀνηλεεῖς γὰρ ὄντες οἱ δαίμονες, κακόν τι πάσχειν οἴονται, εἰ μὴ ἐῶνται αὐτοὶ
κακοποιεῖν τοὺς ἀνθρώπους. ἀλλὰ δὴ καὶ ὡς φιλόσαρκοι ὄντες, καὶ τοῖς ἀτμοῖς τοῖς
ὑλικοῖς εἰωθότες τρέφεσθαι, ἀτροφίαν ἔχουσι πολλὴν ὅταν μὴ κατοικῶσιν ἐν σώμα-
τι. διὸ καὶ ὁ κύριος φησὶν ὅτι ἐν νηστείᾳ ἐξέρχεται τὸ δαιμόνιον γένος. οὐκ εἶπε δὲ ὁ Μαρ· θ΄·
μιαρὸς ὅτι, ἅγιος εἶ. πολλοὶ γὰρ καὶ τῶν προφητῶν ἦσαν ἅγιοι. ἀλλ' ὁ ἅγιος, μετὰ
τῆς τοῦ ἄρθρου προσθήκης, ὁ μόνος καὶ ὡρισμένος. ὁ δὲ Χριστὸς ἐπιστομίζει αὐτὸν, ἵνα
μάθωμεν ὅτι κἂν ἀληθῆ λέγωσιν οἱ δαίμονες, ἐπιστομιστέοι. ῥίπτει δὲ αὐτὸν τὸ δαιμό-
νιον καὶ σπαράσσει, ὡς ἂν οἱ βλέποντες, ἰδόντες ποίου κακοῦ ἐλευθεροῦται ὁ ἄνθρω-
πος, πιστεύσωσι διὰ τὸ θαῦμα.
» Καὶ εὐθέως ἐκ τῆς συναγωγῆς ἐξελθὼν, ἦλθεν εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου,
» μετὰ Ἰακώβου καὶ Ἰωάννου. ἡ δὲ πενθερὰ τοῦ Σίμωνος, κατέκειτο πυρέσσουσα. καὶ εὐ-
» θέως λέγουσιν αὐτῷ περὶ αὐτῆς. καὶ προσελθὼν ἤγειρεν αὐτὴν, κρατήσας τῆς χει-
» ρὸς αὐτῆς. καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως, καὶ διηκόνει αὐτοῖς.
Ἀνεχώρησεν ὡς εἰωθὼς ἦν ἐν τῷ σαββάτῳ πρὸς τὴν ἑσπέραν ἐπὶ ἑστίασιν εἰς τὸν οἶκον
τῶν μαθητῶν. ἡ δὲ ὀφείλουσα διακονεῖν, κατείχετο πυρετῷ. ἀλλ' ἐκεῖνος ἰᾶται αὐ-
τήν. ἡ δὲ διακονεῖ αὐτοῖς. δεικνύντος τοῦ λόγου ὅτι, ἐὰν κατεχόμενον νοσήματι ἰάση-
ταί σε ὁ θεὸς, τῇ ὑγείᾳ κέχρησο πρὸς τὴν τῶν ἁγίων διακονίαν, καὶ πρὸς ὑπηρεσίαν
τοῦ θεοῦ. πυρέσσει δὲ καὶ ὁ θυμούμενος. ὃς ἀπὸ τοῦ θυμοῦ προπετής ἐστι τὴν χεῖρα. ἀλ-
λ' ἐὰν ὁ λόγος κρατήσῃ τῆς χειρὸς αὐτοῦ, καὶ μὴ προπετῶς ἐκτείνῃ αὐτὴν, διακονεῖ
τῷ λόγῳ ὁ πυρέσσων τέως ὑπὸ τοῦ θυμοῦ. ὁ γὰρ θυμώδης, ἐὰν κρατήσῃ αὐτοῦ τῆς χει-
ρὸς ὁ λόγος, ἀνίσταται. καὶ τότε διακονεῖ τῷ λόγῳ ὁ θυμός.
» Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχον-
» τας, καὶ τοὺς δαιμονιζομένους. καὶ ἡ πόλις ὅλη ἐπισυνηγμένη ἦν πρὸς τὴν θύραν. καὶ
» ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις. καὶ δαιμόνια πολλὰ ἐξέβα-
» λε. καὶ οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια ὅτι ᾔδεισαν αὐτόν. Οὐχ ἁπλῶς πρόσκειται
τὸ ὅτε ἔδυ ὁ ἥλιος. ἀλλ' ἐπειδὴ ἐνόμιζον μὴ ἐξεῖναι τινὶ θεραπεύειν τῇ ἡμέρᾳ τοῦ σαβ-
βάτου, τούτου ἕνεκεν ἀνέμενον τὴν τοῦ ἡλίου δύσιν, καὶ τότε ἔφερον τοὺς θεραπευθη-
σομένους. πολλοὺς δὲ ἐθεράπευσεν, ἀντὶ τοῦ πάντας. οἱ γὰρ πάντες, πολλοί. ἢ οὐ πάν-
τας ἐθεράπευσεν, ἦσαν γάρ τινες ἄπιστοι. οἱ οὐκ ἐθεραπεύθησαν, διὰ τὴν ἀπιστίαν αὐ-
τῶν. ἀλλὰ πολλοὺς ἰᾶτο ἐκ τῶν προσαχθέντων, δηλονότι τοὺς πίστιν ἔχοντας. οὐκ
ἠφίει δὲ τὰ δαιμόνια λαλεῖν, καθὼς εἴπον, διδάσκων ἡμᾶς μὴ πιστεύειν αὐτοῖς κἂν
ἀληθῆ λέγωσιν. εἰ γὰρ εὕρωσί τινας ὅλως πιστεύοντας αὐτοῖς, τί οὐκ ἂν ποιήσαιεν
τοῖς ἀληθοῦσι παραμιγνύντες οἱ κατάρατοι τὰ ψευδῆ. οὕτω καὶ ὁ Παῦλος ἐκώλυσε
τὸ πνεῦμα τοῦ πύθωνος, λέγοντος. οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν. οὐ Πράξ· ις΄·
γὰρ ἤθελεν ὁ ἅγιος ἀπὸ ἀκαθάρτου στόματος συνίστασθαι καὶ μαρτυρεῖσθαι.
» Καὶ πρωῒ ἔννυχον λίαν ἀναστὰς, ἐξῆλθε. καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον, κἀκεῖ προ-
» σηύχετο. καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ οἱ μετ' αὐτοῦ. καὶ εὑρόντες αὐτὸν, λέγουσιν
» αὐτῷ ὅτι, πάντες σε ζητοῦσι. καὶ λέγει αὐτοῖς. ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις,
» ἵνα καὶ ἐκε[illegible]ηρύξω. εἰς τοῦτο γὰρ ἐλήλυθα. καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐ-
» τῶν εἰς ὅ[illegible] Γαλιλαίαν, καὶ τὰ δαιμόνια ἐκβάλλων. Μεθ' ὃ ἐθεράπευσε τοὺς νο-
σοῦντας, ἀ[illegible]εῖ ἰδίᾳ, διδάσκων ἡμᾶς μὴ πρὸς ἐπίδειξίν τι ποιεῖν. ἀλλὰ κἂν ποιή-
σωμέν τι ἀγ[illegible]λανθάνειν σπεύδειν. καὶ προσεύχεται δὲ, δεικνύων ἡμῖν ὅτι τῷ θεῷ

δεῖ ἀνατιθέναι ἐάν τι ἀγαθὸν ποιήσωμεν. καὶ λέγειν πρὸς ἐκεῖνον ὅτι, πᾶσα δόσις ἀγαθὴ ἄνωθέν ἐστιν ἐκ σοῦ καταβαίνουσα. οὐ γὰρ δὴ αὐτὸς ἐκεῖνος ἐδεῖτο προσευχῆς. ζητοῦσι δὲ αὐτὸν τοῖς ὄχλοις καὶ ποθοῦσιν, οὐκ ἐπιδίδωσιν ἑαυτόν. ἀλλ' ἀπεύχεται μὲν, βαδίζειν δὲ ὅμως καὶ ἐπὶ τοὺς ἄλλους τοὺς δεομένους θεραπείας καὶ διδασκαλίας. οὐ γὰρ δεῖ ἐν ἑνὶ τόπῳ περιγράφειν τὴν διδασκαλίαν, ἀλλὰ πανταχοῦ ἐκτείνειν τὰς τοῦ λόγου ἀκτῖνας. ὅρα δὲ πῶς συμπλέκει τῇ διδασκαλίᾳ τὴν πρᾶξιν. κηρύσσων γὰρ, εἶτα καὶ τὰ δαιμόνια ἐξέβαλε. οὕτως οὖν καὶ σὺ, μετὰ τοῦ διδάσκειν, καὶ πράττε. ἵνα μὴ μάταιος ᾖ σου ὁ λόγος. εἰ μὴ γὰρ καὶ θαύματα ἐπεδείκνυτο ὁ Χριστὸς, οὐκ ἂν ὁ λόγος αὐτοῦ ἐπιστεύετο.

» Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς, παρακαλῶν αὐτὸν, καὶ γονυπετῶν αὐτὸν, καὶ λέ-
» γων αὐτῷ ὅτι, ἐὰν θέλῃς δύνασαί με καθαρίσαι. ὁ δὲ Ἰησοῦς σπλαγχνισθεὶς, ἐκτεί-
» νας τὴν χεῖρα, ἥψατο αὐτοῦ. καὶ λέγει αὐτῷ. θέλω καθαρίσθητι. καὶ εἰπόντος αὐ-
» τοῦ, εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη. Εὐγνώμων ὁ λεπρὸς καὶ

πιστός. διὸ οὐκ εἶπεν ὅτι, ἐὰν αἰτήσῃ τὸν θεὸν, ἀλλ' ἐὰν θέλῃς, ὡς θεῷ πιστεύων αὐτῷ. ἅπτεται δὲ αὐτοῦ ὁ Χριστὸς, ἵνα δείξῃ ὅτι οὐδὲν ἀκάθαρτον. ὁ γὰρ νόμος ἐκέλευε μὴ ἅπτεσθαι τοῦ λεπροῦ, ὡς ἀκαθάρτου. ἀλλ' ὁ σωτὴρ δεικνύων ὅτι ἀκάθαρτον οὐδέν ἐστι κατὰ φύσιν, καὶ ὅτι τὰ τοῦ νόμου καταργεῖσθαι δεῖ παρατηρήματα καὶ ὡς ταῦτα κρατεῖ κατὰ ἀνθρώπων ψιλῶν, ἅπτεται τοῦ λεπροῦ. καίτοιγε ὁ Ἐλισσαῖος τοσοῦτον ἐδεδοίκει τὸν νόμον, ὥστε καὶ τὸν Νεεμὰν μὴ δὲ ἰδεῖν ὑπομεῖναι, λεπρὸν ὄντα καὶ δεόμενον θεραπείας.

Βασι. δ΄. » Καὶ ἐμβριμησάμενος αὐτῷ, εὐθέως ἐξέβαλεν αὐτόν. καὶ λέγει αὐτῷ. ὅρα μηδε-
Κεφ. ε΄. καὶ » νὶ μηδὲν εἴπῃς. ἀλλ' ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ
Λου. δ΄. » σου ἃ προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς. ὁ δὲ, ἐξελθὼν ἤρξατο κηρύσσειν πολ-
Λευϊ. ιδ΄. » λὰ, καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελ-
» θεῖν. ἀλλ' ἔξω ἐν ἐρήμοις τόποις ἦν. καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

Καὶ διὰ τούτων διδασκόμεθα μὴ ἐπιδείκνυσθαι ὅταν τινὶ ἀγαθὸν ἐνδειξώμεθα. ἰδοὺ γὰρ καὶ αὐτὸς παραγγέλλει τῷ καθαρισθέντι, μὴ φημίζειν αὐτόν. καίτοιγε ᾔδει ὅτι ἐκεῖνος οὐ πεισθήσεται, ἀλλὰ φημίσει. ὅμως ὡς εἶπον παιδεύων ἡμᾶς τὸ ἀφιλότιμον, παραγγέλλει μηδενὶ εἰπεῖν. πλὴν δεῖ τὸν εὐεργετηθέντα εὐγνωμονεῖν καὶ εὐχαριστεῖν, κἂν ὁ εὐεργετήσας μὴ χρῄζῃ. καὶ γὰρ ὁ λεπρὸς εἰ καὶ ὁ κύριος παρήγγειλεν, ἀλλ' αὐτὸς διεφήμισε τὸ εὐεργέτημα. ἀποστέλλει δὲ αὐτὸν πρὸς τὸν ἱερέα, διότι ὁ νόμος
Λευϊ. ιδ΄. ἐκέλευεν, ἐὰν μὴ ὁ ἱερεὺς ἀποφήνηται καθαρὸν γενέσθαι τὸν τέως λεπρὸν, μὴ ἐξεῖναι ἄλλως εἰσέρχεσθαι αὐτὸν εἰς τὴν πόλιν, ἀλλ' ἀπελαύνεσθαι. προστάττει δὲ καὶ τὸ δῶρον προσενεγκεῖν, ὃ ἐξ ἔθους εἶχον οἱ καθαρισθέντες προσφέρειν, ὥσαν μαρτύριον εἴη τοῦτο. ὡς οὐκ ἔστιν ἀντίθετος τῷ νόμῳ, ἀλλὰ τοσοῦτον στέργει αὐτὸν, ὥστε καὶ τὰ ὑπὸ τοῦ νόμου κελευόμενα καὶ αὐτὸς προστάττει.

Κεφάλαιον δεύτερον.

» Καὶ εἰσῆλθε πάλιν εἰς Καπερναοὺμ δι' ἡμερῶν. καὶ ἠκούσθη ὅτι εἰς οἶκόν ἐστι. καὶ
» εὐθέως συνήχθησαν πολλοὶ, ὥστε μηκέτι χωρεῖν μὴ δὲ τὰ πρὸς τὴν θύραν. καὶ ἐλά-
» λει αὐτοῖς τὸν λόγον. καὶ ἔρχονται πρὸς αὐτὸν, παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ
» τεσσάρων. καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέ-
» γην ὅπου ἦν. καὶ ἐξορύξαντες, χαλῶσι τὸν κράββατον ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο.
» ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, λέγει τῷ παραλυτικῷ. τέκνον, ἀφέωνταί σοι αἱ ἁ-
μαρτίαι σου. Τί ἐστι τὸ δι' ἡμερῶν. ἀντὶ τοῦ διελθουσῶν ἡμερῶν τινων. ἐπεὶ δὲ εἰσῆλ

θεν, ἀκούσαντες ὅτι ἐν οἴκῳ ἐστὶ, συνέδραμον. προσδοκήσαντες ῥᾷον ἐντυχεῖν αὐτῷ.
πολλὴ δὲ ἡ πίστις τῶν ἀνδρῶν, ὥστε καὶ τὴν στέγην ὀρύξαι καὶ χαλάσαι· διὸ καὶ ὁ κύ-
ριος θεραπεύει, ἰδὼν τὴν πίστιν αὐτῶν τῶν κομισάντων. ἢ καὶ ἐκείνου τοῦ παραλυ-
τικοῦ· καὶ γὰρ κἀκεῖνος οὐκ ἂν ἐδέξατο ἀρθῆναι, εἰ μὴ ἐπίστευσεν ὡς ἰαθήσεται· πολ-
λάκις γὰρ διὰ τὴν τοῦ προσφέροντος πίστιν, ἰᾶται τοὺς προσφερομένους, ἀπίστους ὄν-
τας· πολλάκις δὲ τοὐναντίον, διὰ τὴν τοῦ προσφερομένου. καίτοι ἀπίστων ὄντων τῶν
προσφερόντων· πρῶτον δὲ τὰς ἁμαρτίας ἀφίησι τῷ ἀῤῥώστῳ, εἶτα καὶ τὴν νόσον θε-
ραπεύει. καὶ γὰρ ἐξ ἁμαρτιῶν τὰ χαλεπώτερα τῶν ἀῤῥωστημάτων ὡς ἐπὶ τὸ πλεῖ-
στον γίνονται· ὥσπερ καὶ τὸν παρὰ τῷ Ἰωάννῃ παραλυτικὸν, ἐξ ἁμαρτιῶν παρεθῆναι
φησὶν ὁ κύριος· οὐκ ἔστι γὰρ εἷς ὁ παρὰ τῷ Ἰωάννῃ, καὶ ὁ νῦν μνημονευόμενος. ἀλλ' ἕτε- Ἰωάν. ε'.
ρος καὶ ἕτερος· ὁ μὲν γὰρ παρὰ τῷ Ἰωάννῃ, οὐκ εἶχεν ἄνθρωπον. ὁ δὲ νῦν, τέσσαρας
ἔχει. καὶ ὁ μὲν, ἐν τῇ προβατικῇ. ὁ δὲ νῦν, ἐν οἰκίᾳ. καὶ ὁ μὲν, ἐν Καπερναούμ. ὁ δὲ,
ἐν Ἱεροσολύμοις. καὶ ἄλλας δὲ ἂν εὕροις διαφοράς. πλὴν γίνωσκε ὅτι ὁ παρὰ τῷ
Ματθαίῳ, καὶ ὁ νῦν μνημονευόμενος παρὰ τῷ Μάρκῳ, εἷς ἐστιν. Ματ. θ'.

» Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρ-
» δίαις αὐτῶν, τί οὗτος οὕτω λαλεῖ βλασφημίας. τίς δύναται ἀφιέναι ἁμαρτίας,
» εἰ μὴ εἷς ὁ θεός· καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕτως αὐτοὶ
» διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς. τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑ-
» μῶν· τί ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ, ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰ-
» πεῖν, ἔγειραι καὶ ἆρόν σου τὸν κράββατον καὶ περιπάτει· ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν
» ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, λέγει τῷ παραλυτικῷ.
» σοὶ λέγω, ἔγειραι καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου· καὶ ἠγέρ-
» θη εὐθέως. καὶ ἄρας τὸν κράββατον, ἐξῆλθεν ἐναντίον πάντων· ὥστε ἐξίστασθαι πάν-
» τας καὶ δοξάζειν τὸν θεὸν, λέγοντας ὅτι, οὐδέποτε οὕτως εἴδομεν. Οἱ μὲν φαρισαῖοι ὡς
βλάσφημον διέβαλλον τὸν κύριον, ὅτι ἠφίει ἁμαρτίας. μόνου γὰρ θεοῦ τὸ ἀφιέναι ἁ-
μαρτίας· ὁ δὲ κύριος καὶ ἄλλο τεκμήριον δίδωσι τοῦ εἶναι θεὸς, τὸ τὰς καρδίας αὐ-
τῶν γινώσκειν· θεὸς γὰρ μόνος οἶδε τὰ ἐγκάρδια ἑκάστου, ὡς καὶ ὁ προφήτης λέγει. σὺ Βασιλ. γ'.
ἐπίστασαι καρδίας μονώτατος· ἀλλ' ἐκεῖνοι καίτοι ἀνακαλυφθέντων, τῶν ἐν ταῖς καρ- Κεφ. κ'.
δίαις αὐτῶν, ὅμως ἀναίσθητοι μένουσι. μὴ συγχωροῦντες τὸ καὶ ἁμαρτήματα δύνα-
σθαι θεραπεύειν, τῷ τὰς καρδίας αὐτῶν εἰδότι· πιστοῦται μέντοι καὶ βεβαιοῖ ὁ κύριος
διὰ τοῦ τὸ σῶμα θεραπεῦσαι, τὸ καὶ τὴν ψυχὴν αὐτοῦ ἰάσασθαι. διὰ τοῦ ἐμφανοῦς τὸ
ἀφανὲς βεβαιώσας, καὶ διὰ τοῦ εὐχερεστέρου τὸ δυσχερέστερον. κἂν ἐκείνοις οὐχ οὕτως
ἐδόκει· οἱ γὰρ φαρισαῖοι δυσχερέστερον ᾤοντο τὸ τὸ σῶμα θεραπεῦσαι, ὡς φαινόμενον.
τὸ δὲ τὴν ψυχὴν εἰπεῖν θεραπευθῆναι, εὐχερές. διότι ἀφανὴς ἦν ἡ θεραπεία· ὥστε καὶ
τοιαῦτα ἂν ἴσως διελογίζοντο. ἰδοὺ ὁ πλάνος, ἀφῆκε τὸ θεραπεῦσαι τὸ σῶμα, τὸ φα-
νερὸν, καὶ θεραπεύει τὴν ἀφανῆ ψυχὴν, λέγων. ἀφέωνταί σοι αἱ ἁμαρτίαι· πάντως
γὰρ εἰ ἠδύνατο, τὸ σῶμα ἂν ἐθεράπευσε, καὶ οὐ κατέφυγεν εἰς τὸ ἀφανές· ὁ γοῦν
σωτὴρ δεικνὺς αὐτοῖς ὅτι ἀμφότερα δύναται, φησί. τί ἐστιν εὐκοπώτερον, τὸ θερα-
πεῦσαι σῶμα, ἢ ψυχήν· πάντως τὸ θεραπεῦσαι σῶμα· ἀλλ' ὑμῖν δοκεῖ τοὐναντίον·
ἐγὼ τοίνυν διὰ τοῦ τὸ σῶμα θεραπεῦσαι, ὅπερ τῇ μὲν ἀληθείᾳ εὐχερὲς, δυσχερὲς δὲ
δοκεῖ ὑμῖν, πιστώσομαι καὶ τὴν τῆς ψυχῆς θεραπείαν· ἥτις δυσχερὴς μὲν, διὰ δὲ τὸ
ἀφανὴς εἶναι καὶ ἀνέλεγκτος, δοκεῖ εὐχερής· τότε γοῦν λέγει τῷ παραλυτικῷ, ἔγει-
ραι καὶ ἆρον τὸν κράββατόν σου, εἰς πίστωσιν πλείονα τοῦ θαύματος, ὅτι οὐ κατὰ φαντα-
σίαν ἐστί. καὶ ἅμα ἵνα δείξῃ ὅτι οὐ μόνον ἰάσατο, ἀλλὰ καὶ δύναμιν ἐνέθηκεν· οὕτως

οὖν ποιεῖ καὶ ἐπὶ τῶν ψυχικῶν ἀῤῥωστημάτων, οὐ μόνον ἀπαλλάττει ἡμᾶς τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ δύναμιν ἐντίθησιν εἰς τὸ ἐργάζεσθαι τὰς ἐντολάς. δύναμαι οὖν κἀγὼ παράλυτος ὢν ἰαθῆναι. ἔστι γὰρ καὶ νῦν ὁ Χριστὸς ἐν Καπερναοὺμ, τῷ οἴκῳ τῆς παρακλήσεως, τουτέστι τῇ ἐκκλησίᾳ. οἶκος γὰρ τοῦ παρακλήτου, ἡ ἐκκλησία. εἰμὶ δ' ἐγὼ παράλυτος, τὰς τῆς ψυχῆς δυνάμεις ἀνενεργήτους καὶ ἀκινήτους ἔχων πρὸς τὸ καλόν. ἀλλ' ἐὰν ὑπὸ τῶν τεσσάρων εὐαγγελιστῶν ἀρθῶ, καὶ ἀπαχθῶ πρὸς τὸν κύριον, τότε ἀκούσω τέκνον. υἱὸς γὰρ τοῦ θεοῦ γίνομαι διὰ τῆς τῶν ἐντολῶν ἐργασίας. καὶ ἀφεθήσονταί μοι αἱ ἁμαρτίαι. ἀλλὰ πῶς ἀπαχθήσομαι ἔμπροσθεν τοῦ Ἰησοῦ. ἐὰν τὴν στέγην ἀνορύξωσι. τίς δὲ ἡ στέγη; ὁ νοῦς ὁ ὑπερκείμενος πάντων τῶν ἐν ἡμῖν. οὗτος δὲ ἔχει γοῦν πολὺν καὶ κεράμους. τὰ γήϊνα λέγω πράγματα. ἀλλ' ἐὰν ἀποσκευασθῶσι ταῦτα πάντα, καὶ ἀνορυχθῇ ἡ ἐν ἡμῖν τοῦ νοῦ δύναμις καὶ ἀποφορτισθῇ, εἶτα χαλασθῶ τουτέστι ταπεινωθῶ (οὐ γὰρ δεῖ ἐπαρθῆναι διότι ἡ στέγη τοῦ νοῦ ἀπεφορτίσθη. ἀλλὰ μετὰ τὸ ἀποφορτισθῶ, ὀφείλω χαλασθῆναι τουτέστι ταπεινωθῆναι) τότε τοίνυν ἰαθήσομαι, καὶ ἀρῶ τὸν κράββατον ἤτοι τὸ σῶμα. πρὸς τὴν τῶν ἐντολῶν ἐργασίαν κινῶν αὐτό. οὐ γὰρ δεῖ μόνον ἐγερθῆναι ἀπὸ τῆς ἁμαρτίας, καὶ νοῆσαι ὅτι ἁμαρτάνομεν, ἀλλὰ καὶ τὸν κράββατον, τουτέστι τὸ σῶμα, ἆραι εἰς ἐργασίαν τοῦ καλοῦ. τότε τοίνυν καὶ εἰς θεωρίαν φθάσαι δυνησόμεθα. ὥστε πάντας τοὺς ἐν ἡμῖν λογισμούς, λέγειν ὅτι, οὐδέποτε οὕτως εἴδομεν. τουτέστιν οὐδέποτε οὕτως ἐνοήσαμεν ὡς νῦν, ὅτε παράλυτοι ὄντες ἰάθημεν. ὁ γὰρ τῶν ἁμαρτιῶν καθαρθεὶς, ἐκεῖνος ὁρᾷ τὰ ὄντα.

» Καὶ ἐξῆλθε πάλιν παρὰ τὴν θάλασσαν. καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν. καὶ
» ἐδίδασκεν αὐτούς. καὶ παράγων εἶδε λευὶ τὸν τοῦ ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον,
» καὶ λέγει αὐτῷ ἀκολούθει μοι. καὶ ἀναστὰς, ἠκολούθησεν αὐτῷ. καὶ ἐγένετο ἐν τῷ κα-
» τακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειν-
» το τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. ἦσαν γὰρ πολλοὶ, καὶ ἠκολούθησαν αὐτῷ. καὶ οἱ
» γραμματεῖς καὶ οἱ φαρισαῖοι, ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτω-
» λῶν, ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ. τί ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ
» πίνει. καὶ ἀκούσας ὁ Ἰησοῦς, λέγει αὐτοῖς. οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλ-
» λ' οἱ κακῶς ἔχοντες. οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Μετὰ τὸ τελέσαι τὸ ἐπὶ τῷ παραλυτικῷ θαῦμα ὁ κύριος, ἐξέρχεται παρὰ τὴν θάλασσαν. τάχα θέλων ἰδιάσαι. ἀλλ' ὁ ὄχλος συντρέχει πάλιν. ἵνα σὺ μάθῃς ὅτι ὅσον ἀποφεύγεις τὴν δόξαν, τοσοῦτον αὕτη καταδιώξεταί σε. εἰ μέντοι διώκεις αὐτὴν σὺ, ἀποφεύξεταί σε ἐκείνη. ὥσπερ οὖν καὶ ὁ κύριος ἔφυγε παρὰ τὴν θάλασσαν, καὶ πάλιν ὁ ὄχλος αὐτὸν κατεδίωκεν. οὐ μὴν ἀλλὰ καὶ ἐκεῖθεν ἔφυγε. καὶ παράγων ἐζώγρησε τὸν Ματθαῖον. ὁ λευὶ γὰρ ὁ παρὰ τῷ Μάρκῳ νῦν λεγόμενος, ὁ Ματθαῖός ἐστι. διώνυμος γὰρ ἦν. ὁ μὲν οὖν Λουκᾶς καὶ ὁ Μάρκος, λευὶ αὐτὸν ὀνομάζουσι, συγκαλύπτοντες τὸ ὄνομα. αὐτὸς δὲ ἐκεῖνος, οὐκ αἰσχύνεται. ἀλλὰ τὸ καθ' ἑαυτὸν ἀπαγγέλλει. ἐθεάσατο γάρ φησιν, ὁ Ἰησοῦς Ματθαῖον τὸν τελώνην. οὕτως οὖν καὶ ἡμεῖς μὴ ἐπαισχυνώμεθα ἐξαγορεύειν τὰς οἰκείας ἁμαρτίας. ἐκάθητο δὲ ἐπὶ τὸ τελώνιον ὁ λευὶ, ὡς ἔοικεν ἀπαιτῶν τινας, ἢ λογοπραγῶν, ἢ ἄλλο τι ποιῶν ὧν εἰώθασιν οἱ τελῶναι ἐν τοῖς οἰκείοις ἐργαστηρίοις ποιεῖν. ὁ δὲ, οὕτως ἦν διεγηγερμένος, ὥστε καταλείψας πάντα ἠκολούθησεν. οἷα δὲ εὐφραινόμενος, συνεκάλεσε πολλοὺς εἰς ἑστίασιν. οἱ δὲ φαρισαῖοι αἰτιῶνται, καθαροὺς δῆθεν ἑαυτοὺς ποιοῦντες. ὁ δὲ κύριος, οὐκ ἦλθον φησὶ καλέσαι δικαίους. τουτέστιν ὑμᾶς τοὺς δικαιοῦντας ἑαυτοὺς (κατ' εἰρωνείαν γὰρ τοῦτό φησιν) ἀλλὰ ἁμαρτωλούς. καλέσαι δὲ αὐτοὺς, οὐχ ἵνα μένωσιν ἁμαρτωλοὶ, ἀλλ' εἰς μετάνοιαν. τουτέστιν ἵνα ἐπι-

γραφῶσιν· ἵνα γὰρ μὴ νομίσῃς ὅτι καλεῖ μὲν τοὺς ἁμαρτωλοὺς, οὐδὲν δὲ αὐτοὺς βελτιοῖ, φησὶ τὸ, εἰς μετάνοιαν·

» Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν φαρισαίων νηστεύοντες. καὶ ἔρχονται καὶ λέ-
» γουσιν αὐτῷ· διατί οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ μα
» θηταὶ οὐ νηστεύουσι· καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος, ἐν ᾧ
» ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστι, νηστεύειν; ὅσον χρόνον μεθ᾽ ἑαυτῶν ἔχουσι τὸν νυμφίον, οὐ δύ-
» νανται νηστεύειν· ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, καὶ τότε
» νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις· Καὶ οἱ τοῦ Ἰωάννου μαθηταὶ ἀτελέστερον διακείμενοι, τοῖς ἰουδαϊκοῖς ἐνέμενον ἔθεσιν· ὅθεν προσέρχονταί τινες τῷ Χριστῷ, εἰς ὑπόδειγμα τούτους ἄγοντες, καὶ αἰτιώμενοι διατὶ οἱ μαθηταὶ αὐτοῦ οὐ νηστεύουσιν ἐπίσης αὐτοῖς· ὁ δὲ, νῦν μέν φησι, νυμφίος εἰμὶ ἐγώ. καὶ δεῖ αὐτοὺς εὐθυμεῖν καὶ μὴ νηστεύειν. ὅταν δὲ ἀρθῶ ἐγὼ ἀπὸ τοῦ βίου τούτου, τότε πειρασμοῖς περιπεσόντες, καὶ νηστεύουσι καὶ θλιβήσονται· νυμφίον μὲν οὖν ἑαυτὸν ὀνομάζει, οὐ μόνον ὡς νυμφευόμενον τὰς παρθένους ψυχὰς, ἀλλὰ καὶ διότι ὁ καιρὸς τῆς πρώτης παρουσίας αὐτοῦ, οὐ πένθους οὐδὲ σκυθρωπότητός ἐστι τοῖς εἰς αὐτὸν πιστεύουσιν, οὐδὲ κόπους ἔχων. ἀλλ᾽ εὐκόπως καὶ χωρὶς ἔργων τῶν τοῦ νόμου, διὰ τοῦ βαπτίσματος ἀναπαύων ἡμᾶς· ποῖος γὰρ πόνος βαπτίσασθαι· ἀλλ᾽ ὅμως διὰ τοῦ εὐχεροῦς τούτου, σωτηρίαν εὑρίσκομεν· υἱοὶ δὲ νυμφῶνος οἱ ἀπόστολοι, ὡς τῆς χαρᾶς τοῦ κυρίου καὶ αὐτοὶ καταξιούμενοι, καὶ παντὸς ἐπουρανίου ἀγαθοῦ καὶ πάσης ἡδονῆς μέτοχοι· νόει δὲ καὶ οὕτως. ὅτι πᾶς ἄνθρωπος ὅταν τὴν ἀρετὴν ἐργάζηται, υἱὸς νυμφῶνος ἐστίν· ἕως μὲν οὖν ἔχει μεθ᾽ ἑαυτοῦ τὸν νυμφίον Χριστὸν, οὐ νηστεύει. τουτέστιν, οὐ τὰ τῆς μετανοίας ἔργα ἐπιδείκνυται. πῶς γὰρ ὁ μὴ πταίων. ὅταν δὲ ἀρθῇ ἀπ᾽ αὐτοῦ ὁ νυμφίος Χριστὸς, εἰς ἁμαρτίαν δηλαδὴ ὀλισθήσαντος, τότε νηστεύει καὶ μετανοεῖ, ἵνα τὴν ἁμαρτίαν ἰάσηται·

» Οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιρράπτει, ἐπὶ ἱματίῳ παλαιῷ· εἰδὲ μὴ, αἴ-
» ρει τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν, τοῦ παλαιοῦ. καὶ χεῖρον σχίσμα γίνεται· καὶ οὐδεὶς
» βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰδὲ μὴ, ῥήσσει ὁ νέος τοὺς ἀσκούς. καὶ ὁ οἶνος
» ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον·
Ὥσπερ φησὶν εἰ ῥάκος ἄγναφον, τουτέστι καινὸν, ἐπιβληθείη ἱματίῳ παλαιῷ, διαρρήγνυσι τοῦτο τῇ οἰκείᾳ στερρότητι. οἶνός τε νέος τῇ αὐτοῦ θερμότητι τοὺς ἀσκοὺς διαρρήσσει, οὕτω καὶ οἱ μαθηταί μου οὔπω γεγόνασιν ἰσχυροί. ὥστε ἐὰν βαρήσωμεν αὐτοὺς, βλάψομεν· παλαιοῖς γὰρ ἐοίκασιν ἱματίοις, διὰ τὸ ἀσθενὲς τῆς αὐτῶν γνώμης, οὐ χρὴ οὖν ἐπιβάλλειν αὐτοῖς τὸ τῆς νηστείας βαρὺ ἐπίταγμα· ἢ καὶ οὕτω νοήσεις. οἱ τοῦ Χριστοῦ μαθηταὶ καινοὶ ὄντες, οὐ δύνανται δουλεύειν παλαιοῖς ἔθεσι καὶ νόμοις·

» Καὶ ἐγένετο παραπορεύεσθαι αὐτὸν ἐν τοῖς σάββασι διὰ τῶν σπορίμων. καὶ ἤρ-
» ξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδοποιεῖν, τίλλοντες τοὺς στάχυας· καὶ οἱ φαρισαῖοι ἔλεγον αὐ
» τῷ. ἴδε τί ποιοῦσιν ἐν τοῖς σάββασιν ὃ οὐκ ἔξεστι· καὶ αὐτὸς ἔλεγεν αὐτοῖς. οὐδέποτε
» ἀνέγνωτε τί ἐποίησε Δαβὶδ ὅτε χρείαν ἔσχε καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ;
» πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς
» προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐ-
» τῷ οὖσι· καὶ ἔλεγεν αὐτοῖς. τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος
» διὰ τὸ σάββατον· ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου·
Οἱ μαθηταὶ τοῦ κυρίου τοὺς στάχυας ἐκτίλλουσιν, οἷα μηκέτι κατὰ νόμον ἐθισθέντες ζῆν· οἱ δὲ φαρισαῖοι ἀγανακτοῦντες, ἐπιστομίζονται ὑπὸ τοῦ Χριστοῦ, παράγοντος τὸν Δαβὶδ δι᾽ ἀνάγκην παραλύσαντα τὸν νόμον ἐπὶ Ἀβιάθαρ ἀρχιερέως. φεύγων γὰρ ὁ

Βασιλ. α΄. Κεφ. κα΄.

προφήτης Δαβὶδ ἀπὸ προσώπου Σαοὺλ, ἦλθεν εἰς τὸν ἀρχιερέα τοῦτον, καὶ ἠπάτησεν αὐτὸν ὡς παρὰ τοῦ βασιλέως ἀποσταλεὶς εἰς ἀναγκαίαν χρείαν στρατιωτικήν. ὅτε καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγε, καὶ τὴν τοῦ Γολιὰθ ῥομφαίαν ἀφείλετο ἀνατεθειμένην τῷ κυρίῳ. δώδεκα δὲ ἦσαν οἱ ἄρτοι καθ' ἑκάστην ἡμέραν προτιθέμενοι ἐπὶ τῆς τραπέζης, ἓξ ἐκ δεξιῶν καὶ ἓξ ἐξ εὐωνύμων. ζητοῦσι δέ τινες πῶς ὁ μὲν εὐαγγελιστὴς νῦν τὸν ἀρχιερέα Ἀβιάθαρ ὠνόμασεν, ἡ δὲ βίβλος τῶν βασιλειῶν, Ἀβιμέλεχ τοῦτον ὀνομάζει. ἔστιν οὖν εἰπεῖν ὅτι διώνυμος ἦν ἴσως ὁ Ἀβιάθαρ, ὁ αὐτὸς καὶ Ἀβιμέλεχ καλούμενος. ἢ καὶ ἄλλως. ἡ μὲν τῶν βασιλειῶν βίβλος, ἱερέα λέγει εἶναι τότε Ἀβιμέλεχ. ὁ δὲ εὐαγγελιστὴς, ἀρχιερέα εἶναι τὸν ἀβιάθαρ. ὥστε οὐκ ἐναντία ταῦτα. ἦν γὰρ ἱερεὺς μὲν, ἀβιμέλεχ. ἀρχιερεὺς δὲ, Ἀβιάθαρ. νόει δὲ καὶ κατὰ ἀναγωγήν. ὅτι οἱ τοῦ Χριστοῦ μαθηταὶ, ἐν τῷ σαββάτῳ τουτέστιν ἐν τῇ τῶν ψυχῶν ἀναπαύσει, (σάββατον γὰρ κατάπαυσις ἑρμηνεύεται) ὅταν οὖν ἔχωσιν ἀνάπαυσιν ἀπὸ τῶν παθῶν, μὴ πολεμούμενοι ὑπὸ τῶν δαιμόνων, τότε ὁδοποιοῦσι. τουτέστι καὶ ἑτέροις πρὸς τὴν ἀρετὴν ὁδηγοὶ γίνονται. τίλλοντες καὶ ἐκριζοῦντες πάντα τὰ ἀπὸ τῆς γῆς καὶ τῆς κάτω φαντασίας βλαστάνοντα. ἐὰν γὰρ μὴ πρότερον καταπαύσῃ τις ἀπὸ τῶν παθῶν, καὶ ἐν ἠρεμίᾳ καταστήσῃ ἑαυτὸν, οὐκ ἂν ὁδοποιήσῃ ἑτέροις, καὶ ὁδηγὸς ἐπὶ τὸ ἀγαθὸν γένηται.

Κεφάλαιον Τρίτον.

» Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν. καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν
» χεῖρα. καὶ παρετήρουν αὐτὸν εἰ τοῖς σάββασι θεραπεύσει αὐτὸν, ἵνα κατηγορήσωσιν
» αὐτοῦ. καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα. ἔγειραι εἰς τὸ μέ-
» σον. καὶ λέγει αὐτοῖς. ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶ-
» σαι ἢ ἀποκτεῖναι; οἱ δὲ ἐσιώπων. καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλλυπού-
» μενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ. ἔκτεινον τὴν χεῖρα
» σου. καὶ ἐξέτεινε καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.

Τῶν μαθητῶν κατηγορηθέντων ὑπὸ τῶν Ἰουδαίων, διότι τῷ σαββάτῳ τοὺς στάχυας ἔτιλλον, ὁ κύριος ἐπεστόμισε μὲν τοὺς κατηγόρους καὶ διὰ τοῦ κατὰ τὸν Δαβὶδ ὑποδείγματος. ἐπιπλέον δὲ αὐτοὺς καὶ νῦν ἐντρέπων, θαυματουργεῖ. δεικνύων ὅτι, τοσοῦτον οὐχ ἁμαρτάνουσιν οἱ μαθηταί μου, ὥστε καὶ αὐτὸς ἐγὼ ἐργάζομαι ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου, θαῦμα ἐπιδεικνύμενος. ὥστε εἰ κακόν ἐστι τὸ θαυματουργεῖν, ἔστι κακὸν ἁπλῶς καὶ τὸ ἐργάζεσθαι τὰ ἀναγκαῖα ἐν τῷ σαββάτῳ. ἀλλὰ μὴν τὸ θαυματουργεῖν ἐπὶ σωτηρίᾳ ἀνθρώπου θεῖόν ἐστιν, οὐκ ἄρα παρανομεῖ ὁ ἐν τῷ σαββάτῳ μὴ κακόν τι ἐργαζόμενος. διὰ τοῦτο οὖν καὶ ἐρωτᾷ αὐτοὺς εἰ ἔξεστιν ἀγαθοποιῆσαι, ἐντρέπων αὐτοὺς ὡς κωλύοντας αὐτὸν ἀπὸ τοῦ ἀγαθοποιεῖν. ξηρὰν δὲ ἔχει τὴν χεῖρα τὴν δεξιὰν, πᾶς ὁ μὴ πράττων τὰ τῆς δεξιᾶς μερίδος ἔργα. πρὸς ὃν λέγει ὁ Χριστός. ἔγειραι, τουτέστιν ἀνάστα ἀπὸ τῆς ἁμαρτίας, καὶ στῆθι εἰς τὸ μέσον. τουτέστιν εἰς τὴν μεσότητα τῶν ἀρετῶν. πᾶσα γὰρ ἀρετὴ, μεσότης ἐστίν. οὔτε εἰς τὴν ἔλλειψιν οὔτε εἰς τὴν ὑπερβολὴν ἀπονεύουσα. τότε τοίνυν ὅταν σταθῇ εἰς τὴν μεσότητα, ἀποκατασταθήσεται ἡ χεὶρ αὐτοῦ ὑγιής. ὅρα δὲ καὶ τὸ ἀποκατεστάθη. καὶ γὰρ ἦν ὅτε εἴχομεν ὑγιεῖς τὰς χεῖρας. τουτέστι τὴν πρακτικὴν ἐνέργειαν. ὅτε οὔπω παράβασις. ἀφ' οὗ δὲ ἐξετάθη ἡ χεὶρ ἡμῶν ἐπὶ τὸν ἀπηγορευμένον καρπὸν, ἔκτοτε ἐξηράνθη πρὸς τὴν τοῦ καλοῦ ἐργασίαν. πάλιν οὖν ἀποκατασταθήσεται εἰς τὴν προτέραν ὑγείαν, ὅταν ἐν τῷ μέσῳ σταθῶμεν τῶν ἀρετῶν.

» Καὶ ἐξελθόντες οἱ Φαρισαῖοι, εὐθέως μετὰ τῶν Ἡρωδιανῶν συμβούλιον ἐποίουν κατ'
» αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. καὶ ὁ Ἰησοῦς ἀνεχώρησε μετὰ τῶν μαθητῶν αὐτοῦ

πρὸς τὴν

» πρὸς τὴν θάλασσαν. καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας, ἠκολούθησεν αὐτῷ, καὶ
» ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ Ἱεροσολύμων, καὶ ἀπὸ τῆς Ἰδουμαίας, καὶ πέραν τοῦ Ἰορ-
» δάνου. καὶ οἱ περὶ Τύρον καὶ Σιδῶνα, πλῆθος πολὺ, ἀκούσαντες ὅσα ἐποίει, ἦλθον
» πρὸς αὐτόν. καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν
» ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν. πολλοὺς γὰρ ἐθεράπευσεν. ὥστε ἐπιπίπτειν αὐτῷ
» ἵνα αὐτοῦ ἅψωνται, ὅσοι εἶχον μάστιγας. καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα ὅταν αὐ-
» τὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ, καὶ ἔκραζε λέγοντα ὅτι, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. καὶ πολ-
» λὰ ἐπετίμα αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν. Τίνες ἦσαν οἱ Ἡρωδιανοί.
ἤτοι οἱ στρατιῶται τοῦ Ἡρώδου. ἢ αἵρεσίς τις νεοφανὴς, δογματίζουσα τὸν Ἡρώδην αὐ-
τὸν εἶναι τὸν Χριστὸν, διὰ τὸ ἐπ' αὐτοῦ πέρας δέξασθαι τὴν τῶν ἰουδαϊκῶν βασιλέων δια-
δοχήν. ἡ γὰρ προφητεία τοῦ Ἰακὼβ διελάμβανεν, ὅτε ἐκλείψουσιν οἱ ἐξ Ἰούδα ἄρ- Γεν. μθʹ.
χοντες, τότε τὸν Χριστὸν ἐλθεῖν. ἐπεὶ οὖν ἐπὶ τῶν Ἡρώδου χρόνων οὐδεὶς ἦν ἰουδαϊκὸς
ἄρχων, ἀλλ' αὐτὸς ἦρχεν ἀλλόφυλος ὢν (Ἰδουμαῖος γὰρ ἦν) ἐνόμισάν τινες αὐτὸν
εἶναι τὸν Χριστὸν, καὶ αἵρεσιν συνεστήσαντο. οὗτοι τοίνυν ἐπεχείρουν ἀπολέσαι τὸν κύριον.
ὁ δὲ ἀναχωρεῖ, οὔπω γὰρ ἦν ὁ τοῦ πάθους καιρός. ἅμα δὲ καὶ ἵνα πλείονας εὐεργε-
τήσῃ, διὰ τοῦτο ἀναχωρεῖ ἀπὸ τῶν ἀγνωμόνων. καὶ γὰρ ἠκολούθησαν αὐτῷ πολλοί,
καὶ ἰᾶτο αὐτούς. ἀλλὰ καὶ οἱ Τύριοι καὶ οἱ Σιδώνιοι ἀλλόφυλοι ὄντες, ὠφελοῦντο.
οἱ δὲ συγγενεῖς αὐτοῦ ἐδίωκον αὐτόν. οὕτως οὐδὲν ὄφελος συγγενείας εἰ μὴ τρόπος ἀγα-
θὸς εἴη. καὶ οἱ μὲν ἀλλογενεῖς ἤρχοντο πρὸς αὐτὸν μακρόθεν. οἱ δὲ Ἰουδαῖοι, πρὸς
αὐτὸν ἐρχόμενον ἐδίωκον. ὅρα δὲ καὶ τὸ ἀφιλόδοξον αὐτοῦ. καὶ γὰρ ἵνα μὴ ἐνοχλῶ-
σιν αὐτὸν οἱ ὄχλοι, πλοιάριον ἐπιζητεῖ. ὥσαν ἐμβὰς αὐτῷ, ἀνενόχλητος τηροῖτο. μά-
στιγας δὲ λέγει τὰς νόσους. καὶ γὰρ ὄντως αἱ νόσοι πολλὰ ἡμῖν εἰς παιδείαν συμβάλ-
λονται. μαστιγοῦντος ἡμᾶς ὡς πατὴρ παῖδας, τοῦ θεοῦ. νόησον δὲ καὶ ὅτι οἱ μὲν
Ἡρωδιανοί, οἱ σαρκικοὶ καὶ δερμάτινοι, ἀποκτεῖναι βούλονται τὸν Ἰησοῦν. Ἡρώδης γὰρ,
δερμάτινος ἑρμηνεύεται. οἱ δὲ ἐξελθόντες ἀπὸ τῶν οἴκων αὐτῶν καὶ ἀπὸ τῶν πα-
τρίδων αὐτῶν, τουτέστι τῶν πρὸς τὴν σάρκα σχέσεων, ἐκεῖνοι ἀκολουθοῦσιν αὐτῷ. ὅ-
θεν καὶ αἱ μάστιγες αὐτῶν θεραπεύονται. αἱ ἁμαρτίαι λέγω. αἳ τὸ συνειδὸς μαστί-
ζουσαι. καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα ἐκδιώκονται. πρόσχες δὲ ὅτι τοῖς μαθη-
ταῖς αὐτοῦ προστάττει ὁ Ἰησοῦς ἵνα προσκαρτερῇ αὐτῷ πλοιάριον, διὰ τοὺς ὄχλους ὅ-
πως μὴ θλίβωσιν αὐτόν. Ἰησοῦς γάρ ἐστιν ὁ ἐν ἡμῖν λόγος. ὃς προστάττει ἵνα τὸ πλοιά-
ριον ἡμῶν. τουτέστι τὸ σῶμα, προσκαρτερῇ αὐτῷ, καὶ μὴ ἐμβάλληται εἰς τὸν κλύ-
δωνα τῶν τοῦ βίου πραγμάτων. ἵνα μὴ θλίβωσιν οἱ ὄχλοι, αἱ τῶν πραγμάτων
ταραχαὶ, τὸν ἐν ἡμῖν Χριστόν.
» Καὶ ἀναβαίνει εἰς τὸ ὄρος. καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτὸς, καὶ ἀπῆλθον πρὸς
» αὐτόν. καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν καὶ ἔ-
» χειν ἐξουσίαν θεραπεύειν τὰς νόσους καὶ ἐκβάλλειν τὰ δαιμόνια. καὶ ἐπέθηκε τῷ Σί-
» μωνι ὄνομα Πέτρον. καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ
» Ἰακώβου. καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα, βοανεργὲς, ὅ ἐστιν υἱοὶ βροντῆς. καὶ Ἀν-
» δρέαν. καὶ Φίλιππον. καὶ Βαρθολομαῖον. καὶ Ματθαῖον. καὶ Θωμᾶν. καὶ Ἰάκω-
» βον τὸν τοῦ Ἀλφαίου. καὶ Θαδδαῖον. καὶ Σίμωνα τὸν Κανανίτην. καὶ Ἰούδαν Ἰσκα-
» ριώτην, ὃς καὶ παρέδωκεν αὐτόν. Ἀναβαίνει εἰς τὸ ὄρος ὥστε προσεύξασθαι. ἐπεὶ
γὰρ θαύματα ἐποίησε, μετὰ τὴν τῶν θαυμάτων ἐπίδειξιν προσεύχεται. διδάσκων
πάντως ἡμᾶς ὅτι δεῖ εὐχαριστεῖν τῷ θεῷ ὅταν τι φθάσωμεν καλὸν ἐργασάμε-
νοι, καὶ τῇ τοῦ θεοῦ δυνάμει ἐπανατιθέναι τοῦτο. ἢ ἐπειδὴ ἔμελλε χειροτονῆσαι

τοὺς ἀποστόλους, τούτου ἕνεκεν ἄνεισι προσευξόμενος· ἵνα μάθωμεν ὅτι καὶ ἡμᾶς δεῖ ὅταν τινὰς χειροτονῆσαι μέλλωμεν, πρότερον εὔχεσθαι ἵνα ἀποκαλυφθῇ ἡμῖν ὁ ἄξιος, καὶ μὴ κοινωνήσωμεν ἀνομίαις ἀλλοτρίαις· καὶ τὸν Ἰούδαν δὲ προβάλλεται ἀπόστολον, ἵνα μάθωμεν ὅτι οὐ διὰ τὴν μέλλουσαν κακίαν τινὸς, ὁ θεὸς ἀποστρέφεται ἐκεῖνον τὸν μέλλοντα ἐργάσασθαι τὸ κακόν. ἀλλὰ διὰ τὴν ἀρετὴν αὐτοῦ ἣ νῦν πρόσεστιν αὐτῷ, τιμῆς ἀξιοῖ αὐτὸν, κἂν ἐς ὕστερον μέλλῃ κακὸς ἀποβῆναι· ἀπαριθμεῖται δὲ τὰ τῶν ἀποστόλων ὀνόματα, διὰ τοὺς ψευδαποστόλους. ἵνα ὦσι γνώριμοι οἱ ἀληθεῖς· υἱοὺς δὲ βροντῆς ὀνομάζει τοὺς τοῦ Ζεβεδαίου, ὡς μεγαλοκήρυκας καὶ θεολογικωτάτους·

» Καὶ ἔρχονται εἰς οἶκον. καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς
» μήτε ἄρτον φαγεῖν· καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν. ἔλεγον
» γὰρ ὅτι ἐξέστη· καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες, ἔλεγον ὅτι Βεελ-
» ζεβοὺλ ἔχει. καὶ ὅτι καὶ ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια·

Ἀκούσαντες, φησὶν, οἱ παρ' αὐτοῦ, τουτέστιν οἱ οἰκεῖοι αὐτοῦ, τυχὸν οἱ ἀπὸ τῆς αὐτῆς πατρίδος, ἢ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν· ἔλεγον γὰρ ὅτι ἐξέστη. τουτέστιν ὅτι δαίμονα ἔχει· ἀκούοντες γὰρ ὅτι δαιμόνια ἐκβάλλει, καὶ νόσους ἰᾶται, ἀπὸ φθόνου ἐνόμιζον ὅτι δαίμονα ἔχει, καὶ ἐξέστη· ὅθεν ἤθελον κρατῆσαι αὐτὸν, ὡς ἂν δεσμήσωσιν ὡς δαιμονῶντα· καὶ οἱ μὲν παρ' αὐτοῦ, τουτέστιν οἱ οἰκεῖοι αὐτοῦ, οὕτως· ὁμοίως δὲ καὶ οἱ ἀπὸ Ἱεροσολύμων γραμματεῖς, δαιμόνιον ἔχειν, αὐτὸν ἔλεγον· ἐπειδὴ γὰρ ἀντιλέγειν οὐκ εἶχον τοῖς γινομένοις, ἑτέρῳ τρόπῳ διαβάλλουσιν αὐτὰ, ὅτι ἀπὸ δαιμόνων γίνονται·

» Καὶ προσκαλεσάμενος αὐτοὺς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς. πῶς δύναται σατα-
» νᾶς σατανᾶν ἐκβάλλειν· καὶ, ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆ-
» ναι ἡ βασιλεία ἐκείνη· καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία
» ἐκείνη· καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν, καὶ μεμέρισται, οὐ δύναται σταθῆναι. ἀλλὰ
» τέλος ἔχει· οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ διαρ-
» πάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ. καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει·

Ἀπὸ παραδειγμάτων ἀναντιρρήτων ἀνατρέπει τοὺς βασκαίνους Ἰουδαίους· πῶς γάρ φησι δυνατὸν, δαίμονα δαίμονας ἐκβάλλειν· ὥσπερ καὶ ἐν ταῖς οἰκίαις ὁρῶμεν, ἕως μὲν εἰρηνεύουσιν οἱ ἐν ταύταις, συνίστανται· ἐπὰν δὲ μερισθῶσι, καταλύονται· πῶς δέ φησι δύναταί τις τὰ σκεύη τοῦ ἰσχυροῦ διαρπάσαι, ἐὰν μὴ πρότερον αὐτὸν δήσῃ· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἰσχυρὸς, ὁ δαίμων. σκεύη δὲ αὐτοῦ, οἱ ἄνθρωποι οἱ χωροῦντες αὐτόν· ἐὰν οὖν μὴ πρότερον δήσῃ τις τὸν δαίμονα, καὶ καταλύσῃ, πῶς τὰ σκεύη αὐτοῦ, τοὺς δαιμονῶντας λέγω, διαρπάσει ἐξ αὐτοῦ· ὥστε ἐπεὶ ἐγὼ διαρπάζω τὰ σκεύη αὐτοῦ, τουτέστιν ἐλευθερῶ τοὺς ἀνθρώπους ἀπὸ τοῦ δαιμονικοῦ πάθους, πρότερον λοιπὸν ἔδησα καὶ κατέλυσα τοὺς δαίμονας. καὶ ἐχθρὸς αὐτῶν εἰμί· πῶς οὖν ὑμεῖς λέγετε ὅτι Βεελζεβοὺλ ἔχω. τουτέστι, δαιμόνων φίλος ὢν καὶ μάγος, ἐκβάλλω τοὺς δαίμονας·

» Ἀμὴν λέγω ὑμῖν ὅτι πάντα ἀφεθήσεται τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώ-
» πων, καὶ βλασφημίαι ὅσας ἂν βλασφημήσωσιν. ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα
» τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου κρίσεως· ὅτι ἔλεγον,
» πνεῦμα ἀκάθαρτον ἔχει·

Τοιοῦτόν τι φησὶν ἐνταῦθα. ὅσα μὲν ἄλλα ἁμαρτάνουσιν οἱ ἄνθρωποι, τυχὸν ἔχουσιν ἂν καὶ προφασίσασθαί τι, καὶ συγγνώμης τυχεῖν. τοῦ θεοῦ τῇ τῶν ἀνθρώπων ἀσθενείᾳ συγκαταβαίνοντος· οἷον. ἔλεγον τὸν κύριον φάγον καὶ οἰνοπότην, φίλον τελωνῶν καὶ ἁμαρτωλῶν, συγγνώμης ἀξιωθήσονται ἐπὶ τούτῳ· ὅταν δὲ βλέποντες αὐτὸν θαύματα ἐξαίσια ἐργαζόμενον, βλασφημῶσι τὸ πνεῦμα, τουτέστι τὰς

διὰ τοῦ

διὰ τοῦ ἁγίου πνεύματος γινομένας θαυματουργίας, τότε πῶς ἀφέσεως τεύξονται, ἐὰν
μὴ μετανοήσωσιν. ὅταν μὲν γὰρ ἐσκανδαλίζοντο ἐπὶ τῇ σαρκὶ τοῦ χριστοῦ, ὑπὲρ τούτου
κἂν μὴ μετενόησαν συνεχωρήθησαν ἄν, ὡς ἄνθρωποι σκανδαλισθέντες. ὅταν δὲ ὁρῶντες
αὐτὸν θεοῦ ἔργα ποιοῦντα, ἔτι ἐβλασφήμουν, πῶς ἀμετανόητοι μείναντες ἀφεθήσονται.

» Ἔρχονται οὖν οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτοῦ. καὶ ἔξω ἑστῶτες, ἀπέστειλαν πρὸς αὐ-
» τὸν φωνοῦντες αὐτόν. καὶ ἐκάθητο ὁ ὄχλος περὶ αὐτόν. εἶπον δὲ αὐτῷ. ἰδοὺ ἡ μήτηρ
» σου καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε. καὶ ἀπεκρίθη αὐτοῖς, λέγων. τίς ἐστιν ἡ μήτηρ μου
» καὶ οἱ ἀδελφοί μου. καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν καθημένους, λέγει. ἴδε ἡ
» μήτηρ μου καὶ οἱ ἀδελφοί μου. ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ θεοῦ, οὗτος ἀδελ-
» φός μου καὶ ἀδελφή μου καὶ μήτηρ ἐστί. Οἱ ἀδελφοὶ τοῦ κυρίου, φθονοῦντες προ-
σῆλθον κρατῆσαι αὐτὸν ὡς ἐξεστηκότα καὶ δαιμονῶντα. ἡ δὲ μήτηρ, φιλοδοξίας πά-
θει τάχα κρατηθεῖσα, ἦλθεν ἀπὸ τῆς διδασκαλίας αὐτὸν περισπῶσα. καὶ δεικνύου-
σα τοῖς ὄχλοις ὅτι τὸν ὑπ᾽ αὐτῶν θαυμαζόμενον οὕτως αὐτὴ περιάγει, ὥστε καὶ ἀπο-
σπᾶν τῆς διδασκαλίας. ὁ γοῦν κύριος ἀποκρίνεται ὅτι, οὐδὲν ὠφελήσει τὴν μητέρα
μου τὸ γενέσθαι μου μητέρα, ἐὰν μὴ καὶ τὴν ἄλλην ἀρετὴν ἔχῃ. ὁμοίως οὐδὲ τοὺς
ἀδελφούς μου ἡ συγγένεια. ἐκεῖνοι γάρ εἰσιν ἀληθῶς χριστοῦ συγγενεῖς, οἱ τὸ θέλημα τοῦ
θεοῦ ποιοῦντες. οὐκ οὖν ἀρνούμενος τὴν μητέρα ταῦτα λέγει. ἀλλὰ δεικνύων ὅτι οὐ
διὰ τὸ γεννῆσαι μόνον ἔσται ἀξία τιμῆς, ἀλλὰ καὶ διὰ τὴν ἄλλην πᾶσαν ἀρετήν. ὡς
ἥν γε ἐκείνην οὐκ ἔχῃ, ἄλλοι προτιμηθήσονται εἰς τὴν συγγένειαν.

Κεφάλαιον Τέταρτον.

» Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν. καὶ συνήχθη πρὸς αὐτὸν ὄχλος
» πολύς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον, καθῆσθαι ἐν τῇ θαλάσσῃ. καὶ πᾶς ὁ ὄχλος
» πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦν. καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλά.
Εἰ καὶ ἔδοξεν ἀποπέμψασθαι τὴν μητέρα, ὅμως πάλιν ὑπακούει αὐτῆς. δι᾽ ἐκείνην
γὰρ ἐξέρχεται παρὰ τὴν θάλασσαν. κάθηται δὲ ἐν τῷ πλοίῳ, ἵνα κατὰ πρόσωπον
ἔχων πάντας, ἐν ἐπηκόῳ πάντων λέγοι, καὶ μηδένα ἔχοι κατὰ νώτου.
» Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ. ἀκούετε. ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι.
» καὶ ἐγένετο ἐν τῷ σπείρειν, ὃ μέν, ἔπεσε παρὰ τὴν ὁδόν. καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ
» καὶ κατέφαγεν αὐτό. ἄλλο δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες ὅπου οὐκ εἶχε γῆν πολλήν, καὶ
» εὐθέως ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς. ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη,
» καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη. καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας. καὶ ἀνέβη-
» σαν αἱ ἄκανθαι καὶ συνέπνιξαν αὐτό, καὶ καρπὸν οὐκ ἔδωκε. καὶ ἄλλο ἔπεσεν εἰς τὴν
γῆν τὴν καλήν, καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα, καὶ ἔφερεν ἐν τριά-
» κοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν. καὶ ἔλεγεν. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. ὅτε
» δὲ ἐγένετο καταμόνας, ἠρώτησαν αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβο-
» λήν. καὶ ἔλεγεν αὐτοῖς. ὑμῖν δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ θεοῦ.
» ἐκείνοις δὲ τοῖς ἔξω, ἐν παραβολαῖς τὰ πάντα γίνεται. ἵνα βλέποντες, βλέπωσι καὶ μὴ
» ἴδωσι. καὶ ἀκούοντες, ἀκούωσι καὶ μὴ συνῶσι. μήποτε ἐπιστρέψωσι, καὶ ἀφεθῇ αὐ-
» τοῖς τὰ ἁμαρτήματα. Πρώτην ταύτην τὴν παραβολὴν τίθησι τὴν περὶ τοῦ σπό-
ρου, ἵνα ποιήσῃ προσεκτικωτέρους τοὺς ἀκροατάς. ἐπεὶ γὰρ μέλλει εἰπεῖν ὅτι ὁ σπό-
ρος ἐστὶν ὁ λόγος, ἐμπεσὼν δὲ εἰς ἀπροσέκτους φθείρεται, τούτου ἕνεκεν πρὸ τῶν ἄλ-
ση. λων τὰ τοιαῦτα λέγει. ὡς ἂν σπουδάσωσιν οἱ ἀκροαταὶ μὴ ἐκείνῃ τῇ γῇ ὁμοιωθῆναι
τῇ τὸν σπόρον διαφθειρούσῃ. τίς οὖν ἐστιν ὁ σπείρων. αὐτὸς ὁ χριστός. ὃς ἐξῆλθεν ἐκ τῶν
κόλπων τῶν πατρικῶν φιλανθρωπίᾳ καὶ συγκαταβάσει ἀνεκφοιτήτως. ἐξῆλθε δὲ

οὐχ ἵνα ἐμπρήσῃ τὴν κατηραμένην γῆν, καὶ τὰς πονηρὰς καρδίας. οὐδὲ ἵνα ἐκτέμῃ τὰς ἀκάνθας. ἀλλ᾽ ἵνα σπείρῃ τὸν σπόρον. ποῖον δὲ σπόρον. ἆρα τὸν τοῦ Μωσέως. ἆρα τὸν τῶν προφητῶν; οὐχί. ἀλλὰ τὸν αὐτοῦ. τουτέστιν, ἵνα τὸ εὐαγγέλιον αὐτοῦ κηρύξῃ. ἐκεῖνος μὲν οὖν ἔσπειρε. τῶν δὲ σπερμάτων, ὃ μὲν, ἔπεσεν εἰς ψυχὴν καταπεπατημένην ὑπὸ πολλῶν. καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, οἱ δαίμονες λέγω οἱ τὸν ἀέρα κατέχοντες, κατέφαγον τὸν σπόρον. τοιοῦτοι γάρ εἰσιν οἱ ἀνθρωπάρεσκοι. ὁδὸς καταπεπατημένη ὑπὸ πολλῶν. ὅταν γάρ τις πάντα πράττῃ πρὸς τὸ ἀρέσαι τούτῳ κἀκείνῳ, οὗτος καταπατεῖται ὑπὸ πολλῶν. ὅρα δὲ, οὐκ εἶπεν ὅτι ἔρριψεν αὐτὸ ἐπὶ τὴν ὁδὸν, ἀλλ᾽ ἔπεσεν. ὁ μὲν γὰρ σπείρων, ὡς εἰς ἀγαθὴν γῆν ἔῤῥιπτει. ἐκείνη δὲ πονηρὰ εὑρισκομένη, φθείρει τὸν σπόρον ἤτοι τὸν λόγον. τινὲς δὲ τὸ παρὰ τὴν ὁδὸν ἔπεσε, χαριέντως ἐνόησαν, ὅτι

Ἰω. ιδʹ. ἔπεσεν εἰς ἄπιστον καρδίαν. ὁδὸς μὲν γὰρ ὁ Χριστός. παρὰ τὴν ὁδὸν δέ εἰσιν οἱ ἄπιστοι. οἱ ἔξω τῆς ὁδοῦ τουτέστι τοῦ Χριστοῦ. ἄλλο δὲ πίπτει ἐπὶ ψυχὴν πετρώδη. τοὺς εὐκόλως λέγω δεχομένους, εἶτα ἀποβάλλοντας. οἱ πετρώδεις εἰσὶ, κατά τι μικρὸν ἐοικότες τῇ πέτρᾳ, τῷ Χριστῷ φημὶ, καθὸ ἐδέξαντο τὸν λόγον. καθὸ δὲ πρὸς καιρὸν δέχονται, εἶτα ἀποβάλλουσιν, ἀπεοικότες. καὶ ἄλλο εἰς ψυχὴν πολύφροντιν. ἄκανθαι γὰρ αἱ φροντίδες. τὸ δὲ τέταρτον, εἰς γῆν ἀγαθήν. ὅρα γοῦν πῶς σπάνια τὰ καλὰ, καὶ ὀλίγοι οἱ σωζόμενοι. τὸ τέταρτον γὰρ μόνον τοῦ σπόρου εὑρίσκεται διασωθέν. τοῖς οὖν μαθηταῖς ἐρωτήσασιν αὐτὸν ἰδίᾳ, φησὶν ὅτι, ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια. ἆρ᾽ οὖν κατὰ ἀποκλήρωσιν καὶ εἱμαρμένην ἐκ φύσεως τοῖς μὲν δέδοται, τοῖς δὲ οὔ; μὴ γένοιτο. ἀλλ᾽ ἐκείνοις δέδοται, τοῖς ζητοῦσι. ζητεῖτε γάρ φησι, καὶ δοθήσεται ὑμῖν. τοὺς δὲ λοιποὺς ἐτύφλωσεν ὁ θεὸς, ἵνα μὴ πρὸς πλείονα κατάκρισιν αὐτῶν εἴη τὸ νοεῖν τὸ δέον, μὴ πραττόντων αὐτό. ἄλλως τε, θέλεις γνῶναι ὅτι ὁ θεὸς πάντας ἐποίησε βλέπειν τὸ δέον; ἄκουε. ἵνα βλέποντες. τοῦτο τοῦ θεοῦ. μὴ βλέπωσι. τοῦτο τῆς κακίας αὐτῶν. ὁ μὲν γὰρ θεὸς βλέποντας αὐτοὺς ἔπλασε. τουτέστι νοοῦντας τὸ καλόν. αὐτοὶ δὲ οὐ βλέπουσιν, ἑκουσίως καμμύοντες, ἵνα μὴ ἐπιστραφῶσι καὶ διορθωθῶσιν. ὥσπερ εἰ γὰρ τῇ ἑαυτῶν σωτηρίᾳ καὶ βελτιώσει φθονοῦσιν. ἔστι δὲ καὶ οὕτω νοῆσαι. ὅτι, τοῖς λοιποῖς ἐν παραβολαῖς λέγω, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσι. μή ποτε κἂν ἐκ τούτου ἐπιστρέψωσι καὶ διορθωθῶσιν.

» Καὶ λέγει αὐτοῖς. οὐκ οἴδατε τὴν παραβολὴν ταύτην; καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε. ὁ σπείρων, τὸν λόγον σπείρει. οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδὸν, ὅπου σπείρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν εὐθέως ἔρχεται ὁ σατανᾶς καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν. καὶ οὗτοι εἰσὶν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι, οἳ ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν. καὶ οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν. εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως σκανδαλίζονται. καὶ οὗτοι εἰσὶν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οἱ τὸν λόγον ἀκούοντες, καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι, εἰσπορευόμεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται. καὶ οὗτοι εἰσὶν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον καὶ παραδέχονται. καὶ καρποφοροῦσιν ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν. Τρεῖς τάξεις εἰσὶν ἐνταῦθα τῆς ἀπωλείας τοῦ λόγου. οἱ μὲν γὰρ παρὰ τὴν ὁδὸν, ἀπρόσεκτοι. οἱ δὲ παρὰ τὴν πέτραν, μικρόψυχοι. οἱ δὲ παρὰ τὰς ἀκάνθας, οἱ τρυφηταί. τῶν μέντοι παραδεξαμένων καὶ διασωσάντων τὸν σπόρον, πάλιν τρεῖς τάξεις. οἱ μὲν καρποφοροῦντες ἐν ἑκατὸν, οἱ τέλειον βίον καὶ ἀκρότατον ἔχοντες. οἱ δὲ ἐν ἑξήκοντα, οἱ μέσως ἔχοντες. οἱ δὲ ἐν τριάκοντα, ὅσοι μικρὰ μὲν, πλὴν

καὶ αὐτοὶ

γενόμενον· ἐξ ἡμισείας δὲ πιστὸς ὁ ἀνήρ· καθὸ μὲν γὰρ πίπτει παρὰ τοὺς πόδας, πιστός. καθὸ δὲ παρακαλεῖ ἵνα ἔλθῃ, οὐχ ὅσην δεῖ πίστιν ἐνδείκνυται· ἔδει γὰρ εἰπεῖν ὅτι, εἰπὲ λόγῳ· ὡς ἐν παρέργῳ δὲ ἀπερχομένου τοῦ κυρίου, θεραπεύεται καὶ ἡ αἱμόῤῥοις· πιστοτάτη δὲ ἡ γυνή, ὅτι καὶ ἀπὸ τῶν ἱματίων ἐνόμισεν ὠφεληθῆναι· διὸ καὶ τυγχάνει τῆς θεραπείας· νοήσεις δὲ ταῦτα καὶ εἰς τὴν ἀνθρωπίνην φύσιν. ἥτις αἱμόῤῥοις ἦν· ἐπήγαζε γὰρ τὴν ἁμαρτίαν. ἥτις φόνος ἐστὶ τῆς ψυχῆς, καὶ τὸ αἷμα τῶν ψυχῶν ἡμῶν ἐκχέει· ὑπὸ πολλῶν δὲ ἰατρῶν, τῶν σοφῶν λέγω τοῦ κόσμου τούτου, καὶ μὴν καὶ τοῦ νόμου καὶ τῶν προφητῶν, οὐκ ἠδυνήθη θεραπευθῆναι· ἅμα δὲ ἥψατο τῶν ἱματίων τοῦ χριστοῦ, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἰάθη· ὁ γὰρ πιστεύων ὅτι ἐσαρκώθη ὁ χριστὸς, οὗτός ἐστιν ὁ ἁψάμενος τῶν ἱματίων αὐτοῦ·

» Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ, τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπι-
» στραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε. τίς μου ἥψατο τῶν ἱματίων· καὶ ἔλεγον αὐτῷ οἱ μαθη-
» ταὶ αὐτοῦ. βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις τίς μου ἥψατο; καὶ περιε-
» βλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν· ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέ-
» γονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν· ὁ
» δὲ εἶπεν αὐτῇ. θύγατερ, ἡ πίστις σου σέσωκέ σε. ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ
» τῆς μάστιγός σου· Ἐξέρχεται δύναμις ἀπὸ τοῦ χριστοῦ, οὐ τοπικῶς μεταβαίνουσα, ἀλλὰ πρός τε τοὺς ἄλλους διαδιδομένη, καὶ ἐν τῷ χριστῷ ἀμείωτος μένουσα· ὥσπερ καὶ μαθήματα, καὶ παρὰ τοῖς διδάσκουσιν εἰσὶ, καὶ τοῖς μανθάνουσι παραδίδονται· ὅρα δὲ πῶς οἱ μὲν ὄχλοι συνέθλιβον, οὐδεὶς δὲ αὐτοῦ ἥψατο. ἡ δὲ μὴ θλίβουσα αὐτὸν, ἐκείνη ἥψατο αὐτοῦ· μυστήριον γὰρ ἐντεῦθεν μανθάνομεν, ὅτι οὐδεὶς τῶν ὄχλους καὶ ταραχὰς ἐχόντων ἅπτεται τοῦ Ἰησοῦ, ἀλλὰ μόνον θλίβει αὐτόν· εἴ τις δὲ μὴ ὀχλοίη τὸν Ἰησοῦν, μὴ δὲ τοὺς ἐν ἑαυτῷ λογισμοὺς ταραχαῖς περιβάλλοι, ἐκεῖνος ἅπτεται αὐτοῦ· τίνος δὲ ἕνεκεν ὁ κύριος φανεροῖ τὴν γυναῖκα· πρῶτον μὲν ἵνα τὴν πίστιν τῆς γυναικὸς δοξάσῃ. ἔπειτα, ἵνα καὶ τὸν ἀρχισυνάγωγον παραθαῤῥύνῃ, ὅτι καὶ τὸ αὐτοῦ θυγάτριον οὕτω σωθήσεται· καὶ ἅμα, ἵνα καὶ τὴν γυναῖκα τοῦ πολλοῦ φόβου ἀπολύσῃ· καὶ γὰρ ἐδεδίει ἡ γυνὴ, ὡς κλέψασα τὴν ἴασιν· διὸ καὶ ὁ εὐαγγελιστὴς λέγει, φοβηθεῖσα δὲ καὶ τρέμουσα ἦλθεν· ὁ οὖν κύριος οὐ λέγει ὅτι, ἐγὼ σέσωκά σε, ἀλλ᾽ ἡ πίστις σου· πορεύου τοίνυν εἰς εἰρήνην. τουτέστιν εἰς ἀνάπαυσιν· ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον. ἄπελθε ἀναπαύου. ὡς τόγε μέχρι τοῦ νῦν, ἐν λύπαις ὑπῆρχες καὶ ταραχαῖς·

» Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες ὅτι, ἡ θυγάτηρ
» σου ἀπέθανε. τί ἔτι σκύλλεις τὸν διδάσκαλον· ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λό-
» γον λαλούμενον, λέγει τῷ ἀρχισυναγώγῳ. μὴ φοβοῦ. μόνον πίστευε· καὶ οὐκ ἀφῆ-
» κεν οὐδένα αὐτῷ συνακολουθῆσαι, εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελ-
» φὸν Ἰακώβου· καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον,
» κλαίοντας καὶ ἀλαλάζοντας πολλά· καὶ εἰσελθὼν, λέγει αὐτοῖς. τί θορυβεῖσθε καὶ
» κλαίετε. τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει· καὶ κατεγέλων αὐτοῦ. ὁ δὲ, ἐκ-
» βαλὼν πάντας, παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα, καὶ τοὺς
» μετ᾽ αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον. καὶ κρατήσας τῆς
» χειρὸς τοῦ παιδίου, λέγει αὐτῇ. ταλιθὰ κοῦμι. ὅ ἐστι μεθερμηνευόμενον, τὸ κοράσιον
» (σοὶ λέγω) ἔγειραι. καὶ εὐθέως ἀνέστη τὸ κοράσιον, καὶ περιεπάτει· ἦν γὰρ ἐτῶν
» δώδεκα· καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ. καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα μηδεὶς
» γνῷ τοῦτο· καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν· Οἱ τοῦ ἀρχισυναγώγου, νομίζοντες ἕνα τῶν διδασκάλων εἶναι τὸν χριστὸν, διὰ τοῦτο παρεκάλουν ἵνα ἐλθὼν προσεύξηται ἐπὶ τῷ

κορασίῳ· καὶ λοιπὸν ἐπειδὴ ἀπέθανεν, ἐνόμιζον μηκέτι αὐτοῦ χρείαν εἶναι. διὰ τὸ τεθνηκέναι αὐτήν· ἀλλ' ἐκεῖνος θαῤῥύνει τὸν πατέρα, καὶ μόνον πίστευε φησίν· οὐκ ἀφίησι δὲ οὐδένα ἕτερον συνακολουθῆσαι, εἰ μὴ τοὺς τρεῖς μαθητάς, οὐ γὰρ δὴ ὁ ταπεινὸς Ἰησοῦς θέλει πρὸς ἐπίδειξιν τὶ ποιεῖν· λέγοντος δὲ αὐτοῦ ὅτι οὐκ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει, καταγελῶσιν. ὡς ἂν μὴ ἔχωσιν ὕστερον λέγειν ὅτι κάτοχος ἐγένετο, καὶ οὐδὲν θαυμαστὸν εἰ ἀνέστησεν αὐτήν. ἀλλ' αὐτοὶ ἑαυτῶν καταμαρτυροῦντες ἐλέγχονται, ὡς ἀληθῶς τεθνηκυῖαν ἀνέστησεν· ὅπου γε καὶ κατεγέλων αὐτοῦ λέγοντος ὅτι οὐκ ἀπέθανε· κρατεῖ δὲ τῆς χειρός, ἵνα ἐνθῇ ταύτῃ δύναμιν. καὶ δίδωσιν αὐτῇ φαγεῖν, ὥστε πιστώσηται τὴν ἀνάστασιν, ὅτι ἀληθῶς καὶ οὐ κατὰ φαντασίαν γέγονεν·

Κεφάλαιον ἕκτον·

» Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ. καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ
» μαθηταὶ αὐτοῦ· καὶ γενομένου σαββάτου, ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν. καὶ
» πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο, λέγοντες· πόθεν τούτῳ ταῦτα. καὶ τίς ἡ σοφία ἡ
» δοθεῖσα αὐτῷ. ὅτι καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται· οὐχ οὗτος
» ἐστὶν ὁ τέκτων, ὁ υἱὸς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σίμωνος;
» καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ·

Ἐπιβαίνει τῆς πατρίδος, οὐκ ἀγνοῶν ὅτι καταφρονήσουσιν αὐτοῦ. ἀλλ' ἵνα μὴ ἔχωσιν ὕστερον λέγειν ὅτι, εἰ ἦλθεν, ἐπιστεύσαμεν ἄν· ἅμα δὲ, καὶ τὴν φθονερὰν γνώμην αὐτῶν ἐλέγχων· δέον γὰρ καυχᾶσθαι μᾶλλον ἐπὶ τῷ κυρίῳ, ὡς κοσμοῦντι τὴν αὐτῶν πατρίδα διά τε τῆς διδασκαλίας καὶ τῶν θαυμάτων, οἱ δὲ, ἐξευτελίζουσιν αὐτὸν ἐπὶ τῷ ταπεινῷ τοῦ γένους· τοσοῦτόν ἐστι κακὸν ὁ φθόνος· ἐπισκοτεῖ γὰρ τοῖς ἀγαθοῖς ἀεί, καὶ οὐκ ἐᾷ τοὺς φθονοῦντας ταῦτα ἰδεῖν· καὶ νῦν δὲ πολλοί, ὡς δυσγενεῖς τινὰς διαβάλλουσιν, ἀξίους ὄντας τἆλλα τιμῆς, κακῶς φρονοῦντες καὶ λίαν ἀγεννῶς·

» Ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς ὅτι, οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐ-
» τοῦ, καὶ ἐν τοῖς συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύνα-
» μιν ποιῆσαι. εἰ μὴ ὀλίγοις ἀῤῥώστοις ἐπιθεὶς τὰς χεῖρας, ἐθεράπευσε. καὶ ἐθαύμαζε
» διὰ τὴν ἀπιστίαν αὐτῶν· Καθολικῶς φησιν ὁ κύριος ὅτι πάντες οἱ προφῆται, ἄτιμοι ἐν ταῖς πατρίσιν αὐτῶν· εἴτε γὰρ λαμπροὺς ἔχουσι συγγενεῖς, φθονοῦσιν οὗτοι αὐτοῖς. καὶ διὰ τοῦτο ἀτιμάζουσιν· εἴτε δυσγενεῖς εἰσι, πάλιν διὰ τὴν δυσγένειαν ἀτιμάζονται· οὐκ ἠδύνατο δὲ ἐκεῖ δυνάμεις ποιῆσαι, οὐχ ὅτι αὐτὸς ἀσθενὴς ἦν, ἀλλ' ὅτι ἐκεῖνοι ἄπιστοι ἦσαν· φειδόμενος γὰρ αὐτῶν, ἵνα μὴ πρὸς πλείονα κατάκρισιν αὐτῶν εἶεν τὰ σημεῖα, μηδὲ οὕτω πιστευόντων, διὰ τοῦτο οὐ ποιεῖ δυνάμεις ἐκεῖ· ἄλλως τε, ἐν ταῖς θαυματουργίαις χρεία τῆς τε τοῦ ποιοῦντος δυνάμεως, καὶ τῆς τῶν δεχομένων πίστεως· ἐκεῖσε τοίνυν τοῦ ἑτέρου λείποντος, ἤτοι τῆς τῶν θεραπευομένων πίστεως, οὐκ ἐνεδέχετο σημεῖα ποιῆσαι τὸν Ἰησοῦν· οὕτω γὰρ νοεῖν ὀφείλομεν τὸ οὐκ ἠδύνατο. ἀντὶ τοῦ οὐκ ἐνεδέχετο·

» Καὶ περιῆγε τὰς κώμας κύκλῳ διδάσκων· καὶ προσκαλεῖται τοὺς δώδεκα. καὶ ἤρ-
» ξατο αὐτοὺς ἀποστέλλειν δύο δύο. καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκα-
» θάρτων. καὶ παρήγγελλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς τὴν ὁδόν, εἰ μὴ ῥάβδον μόνον,
» μὴ πήραν. μὴ ἄρτον. μὴ εἰς τὴν ζώνην χαλκόν. ἀλλ' ὑποδεδεμένους σανδάλια· καὶ μὴ
» ἐνδύσησθε δύο χιτῶνας. καὶ ἔλεγεν αὐτοῖς· ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένε-
» τε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν· καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, μὴ δὲ ἀκούσωσιν ὑμῶν,
» ἐκπορευόμενοι ἐκεῖθεν ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, εἰς μαρ-
» τύριον αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόῤῥοις ἐν ἡμέρᾳ

» κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Οὐκ ἐν ταῖς πόλεσι μόνον ἐδίδασκεν ὁ κύριος, ἀλλὰ
καὶ ἐν ταῖς κώμαις, ἵν᾽ ἡμεῖς μάθωμεν μὴ δὲ τῶν μικρῶν καταφρονεῖν. μὴ δὲ ἀεὶ τὰς
μεγάλας πόλεις ἐπιζητεῖν. ἀλλὰ κἀν τοῖς χωριδίοις τοῖς εὐτελέσι σπείρειν τὸν λόγον.
οὐ μόνον δὲ αὐτὸς διδάσκει. ἀλλὰ καὶ τοὺς δώδεκα ἀποστέλλει δύο δύο, ἵνα καὶ προθυ-
μότεροι ὦσιν. εἰ μὲν γὰρ ἕνα ἀπέστελλεν, ἦν ἂν ὁ εἷς ἐκεῖνος ἀπρόθυμος. πάλιν εἰ
πλείους τῶν δύο, οὐκ εἰς πολλὰς ἂν κώμας ἐξήρκεσεν ὁ ἀριθμὸς τῶν ἀποστόλων. δύο
τοίνυν ἀποστέλλει. ἀγαθοὶ γὰρ οἱ δύο ὑπὲρ τὸν ἕνα, φησὶν ἐκκλησιαστής. παραγγέλλει δὲ Ἐκκλ. δʹ.
αὐτοῖς μηδὲν αἴρειν, μήτε πήραν μήτε χαλκὸν μήτε ἄρτον, παιδεύων αὐτοὺς τὸ ἀφιλο
χρήματον διὰ τούτων. καὶ ὡς ἂν οἱ ὁρῶντες αὐτοὺς, δυσωπῶνται αὐτοὺς, τὴν ἀκτημο-
σύνην, διδάσκοντας ἀφ᾽ ὧν αὐτοὶ μηδὲν ἔχουσι. τίς γὰρ ἰδὼν τὸν ἀπόστολον μήτε πή-
ραν μήτε ἄρτον (τὸ ἀναγκαιότατον) αἴροντα, οὐκ ἂν κατεδυσωπήθη, καὶ πρὸς τὴν
ἀκτημοσύνην ἀπεδύσατο. ἐν μιᾷ δὲ οἰκίᾳ καταμένειν αὐτοὺς κελεύει, ἵνα μὴ δόξωσι
διὰ γαστριμαργίαν ἀκατάστατοι εἶναι, ἄλλοις ἐξ ἄλλων ἀμείβοντες. ἀπὸ δὲ τῶν μὴ δε-
χομένων αὐτοὺς, ἐκτινάσσειν λέγει τὸν χοῦν, δεικνύοντας ὅτι μακρὰν ὁδὸν ἐβάδισαν
δι᾽ αὐτοὺς, καὶ οὐδὲν ὠφελήθησαν. ἢ ὅτι οὐδὲν ἀπ᾽ αὐτῶν ἔχον, οὐ δὲ κἂν χοῦν. ἀλλὰ καὶ
τοῦτον ἐξετίναξαν. ὥστε εἶναι τοῦτο εἰς μαρτύριον αὐτοῖς. τουτέστιν εἰς ἔλεγχον. ἀμὴν γὰρ
λέγω ὑμῖν ὅτι ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν τῇ κρίσει, ἢ τοῖς μὴ παραδε-
ξαμένοις ὑμᾶς. οἱ μὲν γὰρ Σοδομῖται κολασθέντες ἐντεῦθεν, φορητότερον ἐκεῖσε κο-
λασθήσονται. καὶ ἅμα, οὐ δὲ ἀπεστάλησαν πρὸς αὐτοὺς ἀπόστολοι. οἱ δὲ μὴ παραδε-
ξάμενοι τοὺς ἀποστόλους, χαλεπώτερα ἐκείνων πείσονται.
» Καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα μετανοήσωσι, καὶ δαιμόνια πολλὰ ἐξέβαλλον. καὶ
» ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους, καὶ ἐθεράπευον. Ὅτι ἤλειφον ἐλαίῳ οἱ ἀπό-
στολοι, μόνος ὁ Μάρκος διηγεῖται. ὁ καὶ Ἰάκωβος ὁ ἀδελφόθεος, ἐν τῇ καθολικῇ ἐπι-
στολῇ φησίν. ἀσθενεῖ τις ἐν ὑμῖν, προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. καὶ
προσευξάσθωσαν ἐπ᾽ αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ. ἔστιν οὖν τὸ ἔλαιον καὶ πρὸς κό-
πους ὠφέλιμον, καὶ φωτὸς αἴτιον, καὶ ἱλαρότητος πρόξενον, καὶ σημαίνει τὸ ἔλεος τοῦ
θεοῦ, καὶ τὴν χάριν τοῦ πνεύματος, δι᾽ ἧς καὶ κόπων ἀπαλλαττόμεθα, καὶ φῶς καὶ
χαρὰν καὶ ἱλαρότητα πνευματικὴν δεχόμεθα.
» Καὶ ἤκουσεν ὁ βασιλεὺς ἡρώδης (φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ) καὶ ἔλε-
» γεν ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη. καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις
» ἐν αὐτῷ. ἄλλοι ἔλεγον ὅτι Ἠλίας ἐστίν. ἄλλοι δὲ ἔλεγον ὅτι προφήτης ἐστὶν, ὡς εἷς τῶν
» προφητῶν. ἀκούσας δὲ ὁ Ἡρώδης, εἶπεν ὅτι, ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν.
» αὐτὸς ἠγέρθη ἐκ νεκρῶν. Οὗτος ὁ Ἡρώδης, υἱὸς ἦν τοῦ τὰ βρέφη ἀποκτείναντος. τε-
τράρχην δὲ ὄντα, βασιλέα αὐτὸν ὁ Μάρκος λέγει, ἀδιαφόρως χρώμενος τῷ ὀνόματι.
οὗτος οὖν ἀκούων τοῦ κυρίου τὰ θαύματα, καὶ εἰδὼς ὡς δίκαιον ὄντα μάτην ἀνεῖλε
τὸν Ἰωάννην, ὑπέλαβεν ὅτι ἀνέστη ἐκ νεκρῶν. καὶ ἐκ τῆς ἀναστάσεως προσέλαβε τὸ θαυ
ματουργεῖν. πρότερον γὰρ ὁ Ἰωάννης οὐδὲν σημεῖον ἐποίησεν. ἀπὸ δὲ τῆς ἀναστάσεως
ἐνόμισεν ὁ Ἡρώδης προσλαβεῖν αὐτὸν τῶν σημείων τὴν ἐργασίαν. ἄλλοι δὲ ἔλεγον ὅτι
Ἠλίας ἐστὶν, ἤλεγχε γὰρ τοὺς πολλούς. ὡς ὅταν ἔλεγεν. ὦ γενεὰ ἄπιστος. Ἡρώδης δὲ δέ-
δοικεν. οὕτως ἦν ἐλεεινὸς, ὥστε τὸν νεκρὸν φοβεῖσθαι.
» Αὐτὸς γὰρ ὁ Ἡρώδης, ἀποστείλας ἐκράτησε τὸν Ἰωάννην. καὶ ἔδησεν αὐτὸν ἐν φυλα
» κῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν.
» ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ ὅτι, οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.
» ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἐδύνατο. ὁ γὰρ Ἡρώ

» δης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτόν.
» καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει. καὶ ἡδέως αὐτοῦ ἤκουεν. Παρεντίθησιν ἐνταῦθα τὴν περὶ τοῦ θανάτου τοῦ βαπτιστοῦ διήγησιν ὁ Μάρκος, ἀφορμῆς δραξάμενος. τὴν δὲ Ἡρωδιάδα, οἱ μὲν, ζῶντος τοῦ Φιλίππου φασὶν ἁρπάσαι τὸν Ἡρώδην. καὶ διὰ τοῦτο ἐλέγχεσθαι αὐτὸν ὡς παρανομοῦντα, τοῦ ζῶντος ἀδελφοῦ ἀφαιρούμενον τὴν γυναῖκα. οἱ δὲ, ὅτι ἀπέθανε μὲν ὁ Φίλιππος, πλὴν ἐπὶ θυγατρί. θυγατρὸς δὲ οὔσης, οὐκ ἔδει τὸν Ἡρώδην τὴν γυναῖκα τοῦ ἀδελφοῦ γαμῆσαι οὐδὲ μετὰ θάνατον. ὁ γὰρ νόμος τότε ἐκέλευε τὸν ἀδελφὸν τὴν τοῦ ἀδελφοῦ γυναῖκα λαμβάνειν, ὅτε μὴ ὑπῆν παιδίον. ἐνταῦθα δὲ ὑπῆρχεν ἡ θυγάτηρ. παράνομος ἄρα ὁ γάμος. ὅρα δὲ πόσον ἰσχύει ἡ λύσσα τοῦ ἔρωτος. ὥστε καὶ τὸν Ἡρώδην τοσαύτην αἰδῶ καὶ φόβον πρὸς τὸν Ἰωάννην ἔχοντα, καταφρονῆσαι τούτου, πρὸς τὸ θεραπεῦσαι μόνον τὴν ἀκολασίαν.

» Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει
» τοῖς μεγιστᾶσιν αὐτοῦ, καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας. καὶ εἰσελ
» θούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος, καὶ ὀρχησαμένης καὶ ἀρεσάσης τῷ Ἡρώ
» δῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ. αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ
» δώσω σοι. καὶ ὤμοσεν αὐτῇ ὅτι, ὃ ἐάν με αἰτήσῃς δώσω σοι, ἕως ἡμίσους τῆς βασι-
» λείας μου. ἡ δὲ, ἐξελθοῦσα εἶπε τῇ μητρὶ αὐτῆς. τί αἰτήσωμαι. ἡ δὲ εἶπε. τὴν κεφα-
» λὴν Ἰωάννου τοῦ βαπτιστοῦ. καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα,
» ᾐτήσατο λέγουσα. θέλω ἵνα μοι δῷς ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ
» βαπτιστοῦ. καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμέ-
» νους, οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτω
» ρα, ἐπέταξεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ. ὁ δὲ, ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν
» τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορα
» σίῳ. καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐ-
» τοῦ, ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ.

Πότος μὲν συγκροτεῖται. ὁ σατανᾶς δὲ ὀρχεῖται διὰ τοῦ κορασίου. καὶ ὅρκος τελεῖται ἄθεσμος καὶ ἄθεος, μᾶλλον δὲ ἀνόητος. ἡ δὲ πονηρὰ γυνὴ, δός μοι φησὶν ἐξ αὐτῆς. τουτέστι παραυτίκα, αὐτῇ τῇ ὥρᾳ. ὁ δὲ ἀνόητος καὶ ἐρωτόληπτος Ἡρώδης, δέδοικε τοὺς ὅρκους. καὶ διὰ τοῦτο φονεύει τὸν δίκαιον. ἔδει δὲ ἐπιορκῆσαι ἐνταῦθα, καὶ μὴ τοιοῦτον μύσος ἐργάσασθαι. οὐ πανταχοῦ γὰρ τὸ εὐορκεῖν καλόν. σπεκουλάτωρ δὲ, ὁ δήμιος λέγεται στρατιώτης, ὃς πρὸς τὸ φονεύειν τέτακται. πτῶμα δὲ, τὸ σῶμα λέγει. μετὰ γὰρ τὸ ἀποκεφαλισθῆναι πεπτὸν τὸ σῶμα, πτῶμα λέγεται. ἔστι δὲ καὶ κατὰ θεωρίαν ταῦτα ἐκλαβεῖν. Ἡρώδης μὲν γὰρ, ὁ δερμάτινος λαὸς τῶν Ἰουδαίων. ἔγημε δὲ γυναῖκα, τὴν ψευδῆ καὶ ἀσελγῆ δόξαν. ἧς ἔτι καὶ νῦν ἡ θυγάτηρ ὀρχεῖται καὶ κινεῖται παρὰ τοῖς Ἰουδαίοις, ἡ πλανῶσα αὐτοὺς γνῶσις τῶν γραφῶν. δοκοῦσι γὰρ γινώσκειν τὰς γραφάς. ἀλλ' οὐκ ἔστι τοῦτο. ἀπεκεφάλισαν γὰρ τὸν Ἰωάννην. ἤτοι τὸν προφητικὸν λόγον. τὸ γὰρ κεφάλαιον τῆς προφητείας, τὸν Χριστὸν λέγω, οὐκ ἐδέξαντο. εἰ γοῦν καὶ ἔχουσι τὸν προφητικὸν λόγον, ἀλλὰ χωρὶς τῆς κεφαλῆς αὐτὸν ἔχουσι. τουτέστι τοῦ Χριστοῦ.

» Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ
» ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν. καὶ εἶπεν αὐτοῖς. δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρη
» μον τόπον, καὶ ἀναπαύσασθε ὀλίγον. ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολ-
» λοί. καὶ οὐδὲ φαγεῖν εὐκαίρουν. καὶ ἀπῆλθον εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ' ἰδίαν.
» καὶ εἶδον αὐτοὺς ὑπάγοντας καὶ ἐπέγνωσαν αὐτὸν πολλοί. καὶ πεζῇ ἀπὸ πασῶν τῶν
» πόλεων συνέδραμον ἐκεῖ. καὶ προῆλθον αὐτοὺς, καὶ συνῆλθον πρὸς αὐτόν.

Μεθὸ

Μετὰ ὃ ἐκήρυξαν οἱ ἀπόστολοι, συνάγονται πρὸς τὸν Ἰησοῦν. ἵνα καὶ ἡμεῖς μανθάνωμεν, ἐπειδὰν προβληθῶμεν εἰς διακονίαν τινὰ, μὴ ἀφηνιάζειν καὶ κατεπαίρεσθαι τοῦ προβαλομένου. ἀλλ' ἐκεῖνον εἰδέναι κεφαλὴν, καὶ πρὸς αὐτὸν ἐπιστρέφειν, καὶ ἀπαγγέλλειν αὐτῷ ὅσα ἢ ἐποιήσαμεν ἢ ἐδιδάξαμεν· χρὴ γὰρ μὴ μόνον διδάσκειν, ἀλλὰ καὶ ποιεῖν· ἀναπαύει δὲ ὁ Χριστὸς τοὺς μαθητὰς, ἵνα πάλιν μάθωσιν οἱ προεστῶτες, τοὺς κοπιῶντας ἔν τε λόγῳ καὶ διδασκαλίᾳ ἀναπαύσεως ἀξιοῦν. καὶ μὴ ἀεὶ κατατείνειν αὐτοὺς τοῖς πόνοις· εἰς ἔρημον δὲ τόπον ἀναχωρῶν διὰ τὸ ἀφιλόδοξον, ὅμως οὐδ' ἐνταῦθα λανθάνει τοὺς ζητοῦντας αὐτόν· ἀλλὰ τοσοῦτον ἐγρηγόρουν ἵνα μὴ διαφύγῃ αὐτοὺς, ὥστε καὶ προῆλθον αὐτούς. τουτέστι προέφθασαν οἱ ὄχλοι τοὺς ἀποστόλους, καὶ ἀπῆλθον εἰς τὸν τόπον ἔνθα ἔμελλεν ἀναπαυθῆναι ὁ Ἰησοῦς· οὕτως οὖν καὶ σὺ προλάμβανε τὸν Ἰησοῦν, μὴ ἀναμένων ἵνα ἐκεῖνος σὲ προσκαλέσηται. ἀλλὰ προτρέχων, καὶ μᾶλλον σὺ προφθάνων ἐκεῖνον·

» Καὶ ἐξελθὼν ὁ Ἰησοῦς, εἶδε πολὺν ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, ὅτι ἦσαν ὡς
» πρόβατα μὴ ἔχοντα ποιμένα. καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά· καὶ ἤδη ὥρας
» πολλῆς γενομένης, προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγουσιν αὐτῷ ὅτι, ἔρη-
» μός ἐστιν ὁ τόπος. καὶ ἤδη ὥρα πολλή. ἀπόλυσον αὐτοὺς ἵνα ἀπελθόντες εἰς τοὺς κύ-
» κλῳ ἀγροὺς καὶ κώμας, ἀγοράσωσιν ἑαυτοῖς ἄρτους. τί γὰρ φάγωσιν οὐκ ἔχουσιν· ὁ
» δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς. δότε αὐτοῖς ὑμεῖς φαγεῖν· καὶ λέγουσιν αὐτῷ. ἀπελθόν-
» τες ἀγοράσωμεν διακοσίων δηναρίων ἄρτους, καὶ δῶμεν αὐτοῖς φαγεῖν; ὁ δὲ λέγει
» αὐτοῖς. πόσους ἄρτους ἔχετε. ὑπάγετε καὶ ἴδετε· καὶ γνόντες, λέγουσι. πέντε, καὶ δύο
» ἰχθύας· καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας, συμπόσια συμπόσια, ἐπὶ τῷ χλω-
» ρῷ χόρτῳ· καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ, ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα·

Οἱ φαρισαῖοι, λύκοι ὄντες ἅρπαγες, οὐκ ἐποίμαινον τὸν λαὸν, ἀλλὰ κατήσθιον· διὰ τοῦτο πρὸς τὸν Χριστὸν, τὸν ἀληθινὸν ποιμένα, συνάγονται, ἐκείνους ἀποφεύγοντες· ὅθεν οὗτος τροφὴν αὐτοῖς δίδωσι, προηγουμένως τὴν ἐπωφελεστέραν καὶ τιμιωτέραν, τὴν διὰ λόγου. εἶτα καὶ τὴν σωματικήν· ὅρα δὲ τοὺς μαθητὰς, πῶς προκόπτουσιν ἐπὶ τὸ φιλανθρωπότερον· ἐλεήσαντες γὰρ τοὺς ὄχλους, προσέρχονται τῷ Χριστῷ, καὶ περὶ αὐτῶν ἀξιοῦσιν· ὁ δὲ κύριος πειράζων αὐτοὺς, καὶ δοκιμάζων εἰ τὴν αὐτοῦ ἐπέγνωσαν δύναμιν, ὅτι δύναται αὐτοὺς διαθρέψαι, λέγει. δότε αὐτοῖς ὑμεῖς φαγεῖν· οἱ δὲ καὶ καταμέμφονται αὐτὸν, ὡς μὴ γνόντα πόση μὲν αὐτοῖς ἡ ἔνδεια. πόσον δὲ καὶ τὸ τοῦ ὄχλου πλῆθος· βαρυνόμενοι γὰρ λέγουσι τὸ, ἀγοράσωμεν δηναρίων διακοσίων ἄρτους, καὶ δώσωμεν αὐτοῖς φαγεῖν; τέλος μέντοι ἀνακλίνει πάντας ἐπὶ τῷ χόρτῳ διακεχωρισμένως· τοῦτο γάρ ἐστι τὸ, συμπόσια συμπόσια. ἀντὶ τοῦ τραπέζας διαφόρους· τοῦτο δὲ σημαίνει καὶ τὸ, πρασιαὶ πρασιαὶ ἀνέπεσον. τουτέστι διάφορα κόμματα καὶ μέρη· πρασιαὶ γὰρ λέγονται τὰ ἐν τοῖς κήποις διάφορα κόμματα, ἐν οἷς φυτεύονται διάφορα πολλάκις λάχανα·

» Καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐ-
» λόγησε. καὶ κατέκλασε τοὺς ἄρτους, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παραθῶσιν
» αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι· καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν· καὶ
» ἦραν κλασμάτων δώδεκα κοφίνους πλήρεις, καὶ ἀπὸ τῶν ἰχθύων· καὶ ἦσαν οἱ φαγόν-
» τες τοὺς ἄρτους, πεντακισχίλιοι ἄνδρες· Ἀναβλέπει εἰς τὸν οὐρανὸν, ἅμα μὲν καὶ ἡμᾶς διδάσκων παρὰ τοῦ θεοῦ αἰτεῖσθαι τὴν τροφὴν, καὶ μὴ παρὰ τοῦ διαβόλου. ὅπερ ποιοῦσιν οἱ ἐξ ἀδίκων πόρων διατρεφόμενοι. ἅμα δὲ καὶ τοῖς ὄχλοις τότε δεικνύων ὡς οὐκ ἔστιν ἀντίθεος, ἀλλὰ τὸν θεὸν ἐπικαλεῖται· δίδωσι δὲ τοῖς μαθηταῖς,

ἵνα τοῦ θαύματος μὴ ἐπιλάθωνται, ὡς ταῖς οἰκείαις χερσὶ δεξάμενοι τοὺς ἄρτους. καὶ δώδεκα δὲ κόφινοι περιττεύουσι, δι᾽ αὐτὸ τοῦτο. ἵνα ἐπ᾽ ὤμων ἕκαστος ἄρας κόφινον, ἀνεπίληστον τηρῇ τὸ θαῦμα. περιουσία δὲ δυνάμεως, τὸ μὴ μόνον θρέψαι τοσούτους, ἀλ-
Ἐξό. ιϛ΄. λὰ καὶ περιττὰ καταλιπεῖν. Μωσῆς μὲν γὰρ εἰ καὶ τὸ μάννα ἐδίδου, ἀλλὰ πρὸς τὴν
Βασι. γ΄. ἑκάστου χρείαν. τὸ γὰρ περιττεῦον, σκώληκας ἐξέζεε. καὶ Ἠλίας δὲ τὴν χήραν διατρέ-
κεφ. ιζ΄. φων, τὸ αὔταρκες ἐχορήγει. Ἰησοῦς δὲ ὡς δεσπότης, καὶ περιττεύειν ποιεῖ. ταῦτα μὲν οὖν κατὰ τὴν ἱστορίαν. κατὰ δὲ ἀναγωγὴν, πέντε ἄρτοι, οἱ Μωσαϊκοὶ λόγοι. πέντε γὰρ τὰ τοῦ Μωσέως βιβλία. γένεσις. ἔξοδος. λευιτικόν. ἀριθμοί. δευτερονόμιον. ἰχθύες δὲ δύο, οἱ τῶν ἁλιέων λόγοι. ὁ ἀπόστολος καὶ τὸ εὐαγγέλιον. τούτοις οὖν τρέφονται αἱ πέντε ἡμῶν αἰσθήσεις. αὗται γάρ εἰσιν οἱ πεντακισχίλιοι. οὐχ ἅπαντα δὲ δυνάμεθα φαγεῖν. ἀλλὰ πολλὰ περιττεύουσιν. ἃ οἱ ἀπόστολοι δύνανται βαστάσαι. τὰ γὰρ δυσκολώτερα τῶν τοῦ νόμου καὶ τῶν τοῦ εὐαγγελίου νοημάτων, ἡμεῖς μὲν οἱ ἔτι ταῖς πέντε αἰσθήσεσι δουλεύοντες, οὐ βαστάζομεν. οἱ ἀπόστολοι δέ.

» Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ, ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς
» τὸ πέραν πρὸς Βηθσαϊδὰ, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον. καὶ ἀποταξάμενος αὐτοῖς,
» ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι. καὶ ὀψίας γενομένης, ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς
» θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς. καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύ-
» νειν. ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς. καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς, ἔρχε-
» ται πρὸς αὐτοὺς, περιπατῶν ἐπὶ τῆς θαλάσσης. καὶ ἤθελε παρελθεῖν αὐτούς. οἱ δὲ,
» ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέκρα-
» ξαν. πάντες γὰρ αὐτὸν εἶδον, καὶ ἐταράχθησαν. καὶ εὐθέως ἐλάλησε μετ᾽ αὐτῶν, καὶ
» λέγει αὐτοῖς. θαρσεῖτε. ἐγώ εἰμι. μὴ φοβεῖσθε. καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον. καὶ
» ἐκόπασεν ὁ ἄνεμος. καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον. οὐ γὰρ
» συνῆκαν ἐπὶ τοῖς ἄρτοις. ἦν γὰρ αὐτῶν ἡ καρδία πεπωρωμένη.

Ἠνάγκασε τοὺς μαθητάς. οὐ γὰρ ἤθελον ἀποσπασθῆναι αὐτοῦ, ἀλλὰ βίᾳ ἐχωρίζοντο, ἅμα μὲν διὰ τὴν πρὸς αὐτὸν ἀγάπην. ἅμα δὲ καὶ διὰ τὸ ἀπορεῖν πῶς ἂν ἔλθοι πρὸς αὐτοὺς πλοίου μὴ ὄντος. ἀπολύσας οὖν τοὺς ὄχλους, ἀνέβη προσεύξασθαι κατ᾽ ἰδίαν. σχολῆς γὰρ καὶ ἀταραξίας δεῖται ἡ προσευχή. ἀφίησι δὲ τοὺς μαθητὰς πειρασθῆναι, ἵνα μάθωσιν ὑπομένειν. διὰ τοῦτο γὰρ οὐ δὲ εὐθέως αὐτοῖς ἐφίσταται, ἀλλὰ δι᾽ ὅλης τῆς νυκτὸς συγχωρεῖ κλυδωνίζεσθαι, ἵνα διδάξῃ καρτερεῖν. καὶ μὴ ἐν ἀρχῇ τῶν δεινῶν ἐλπίζειν ἄνεσιν. ὅρα δὲ καὶ ἕτερον. ὅτι ὅταν μέλλῃ παύειν τὰ δεινὰ, τότε μᾶλλον εἰς μείζονα φόβον ἐντίθησιν. ἰδόντες γὰρ αὐτὸν, ἔκραξαν, ταραχθέντες ὡς ἐπὶ φαντάσματι. καὶ εὐθέως διὰ τῆς φωνῆς θεραπεύει αὐτοὺς, λέγων. μὴ φοβεῖσθε. εἶτα καὶ διὰ τοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, τὴν τελεωτέραν αὐτοῖς ἀταραξίαν περιποιεῖται. εὐθὺς γὰρ ἐκόπασεν ὁ ἄνεμος. μέγα δὲ θαῦμα τὸ ἐπὶ θαλάσσης περιπατεῖν, καὶ θεοῦ ποιοῦντι. τὸ δὲ καὶ ταραχῆς οὔσης, καὶ τοῦ ἀνέμου ἐναντιουμένου, ἐπίτασις τοῦ θαύματος. οἱ δὲ ἀπόστολοι οὐ συνιέντες ἐπὶ τοῖς ἄρτοις, ἀπὸ τούτου τοῦ θαύματος τοῦ ἐπὶ τῇ θαλάσσῃ συνῆκαν. ἔοικεν οὖν ὁ Χριστὸς καὶ διὰ τοῦτο συγχωρῆσαι αὐτοὺς πειρασθῆναι, ἵνα ἐπεὶ μὴ ἀπὸ τῶν ἄρτων αὐτὸν ἐπέγνωσαν, ἐπιγνῶσιν ἀπὸ τῆς θαλάσσης, καὶ ὠφεληθῶσιν.

» Καὶ διαπεράσαντες, ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρέτ. καὶ προσωρμίσθησαν. καὶ ἐξελ-
» θόντων αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως ἐπιγνόντες αὐτὸν, περιδραμόντες ὅλην τὴν πε-
» ρίχωρον ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου
» ἤκουον ὅτι ἐκεῖ ἐστι. καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ πόλεις ἢ ἀγροὺς, ἐν ταῖς

ἀγοραῖς

» ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας. καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου
» τοῦ ἱματίου αὐτοῦ ἅψωνται. καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσώζοντο.
Διὰ χρόνου ὡς ἔοικεν, ἐπεδήμησεν ὁ κύριος τῷ τόπῳ. διὸ καὶ ὁ εὐαγγελιστὴς λέγει.
ἐπιγνόντες αὐτὸν, προσέφερον τοὺς ἀσθενεῖς. οὐκ ἔτι γὰρ εἰς τὰς οἰκίας ἐκάλουν. ἀλλ᾽ αὐ
τοὶ μᾶλλον προσέφερον τοὺς κακῶς ἔχοντας, παρακαλοῦντες ἵνα κἂν τοῦ κρασπέ-
δου ἅψωνται. τὸ γὰρ περὶ τὴν αἱμόῤῥοουν θαῦμα, πάντων τὰς ἀκοὰς κατέσχε. καὶ
πλείονα πίστιν αὐτοῖς ἐνέθηκεν.

Κεφάλαιον. Ἕβδομον.

» Καὶ συνάγονται πρὸς αὐτὸν οἱ φαρισαῖοι, καί τινες τῶν γραμματέων ἐλθόντες
» ἀπὸ ἱεροσολύμων. καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσὶ, τουτέστιν ἀνί-
» πτοις, ἐσθίοντας ἄρτους, ἐμέμψαντο. οἱ γὰρ φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ
» πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέ
» ρων. καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι. καὶ ἄλλα πολλά ἐστιν ἃ παρέ-
» λαβον κρατεῖν. βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν. ἔπειτα ἐπε
» ρωτῶσιν αὐτὸν οἱ φαρισαῖοι καὶ οἱ γραμματεῖς. διατί οἱ μαθηταί σου οὐ περιπα-
» τοῦσι κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλ᾽ ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον.
Οἱ τοῦ κυρίου μαθηταὶ διδαχθέντες μόνης ἀντέχεσθαι τῆς ἀρετῆς, καὶ μηδὲν ἄλλο
προσπεριεργάζεσθαι, ἀνίπτοις χερσὶν ἤσθιον ἀπεριέργως καὶ ἁπλῶς. οἱ οὖν φαρισαῖοι
θέλοντες εὑρεῖν σκώμματος πρόφασιν, δράσσονται τούτου. καὶ οὐ μέμφονται αὐ-
τοὺς ὡς παραβαίνοντας τὸν νόμον, ἀλλὰ παράδοσιν τῶν πρεσβυτέρων. οὐ γὰρ ἐν τῷ
νόμῳ γέγραπται νίπτεσθαι πυγμῇ, τουτέστιν ἄχρι τοῦ ἀγκῶνος. πυγμὴ γὰρ λέγεται τὸ
ἀπὸ τοῦ ἀγκῶνος ἄχρι καὶ τῶν ἄκρων δακτύλων. ἀλλ᾽ ἀπὸ τῶν πρεσβυτέρων εἶχον
τοῦτο παραδεδομένον.
» Ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς ὅτι, καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν Ἡσα. κθ'.
» ὑποκριτῶν, ὡς γέγραπται. οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν
» πόῤῥω ἀπέχει ἀπ᾽ ἐμοῦ. μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλ-
» ματα ἀνθρώπων. ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν
» ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων. καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ
» ποιεῖτε. καὶ ἔλεγεν αὐτοῖς. καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ θεοῦ, ἵνα τὴν παράδο-
» σιν ὑμῶν τηρήσητε. Μωσῆς γὰρ εἶπε. τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. καὶ, Ἐξό. κ'.
» ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. ὑμεῖς δὲ λέγετε. ἐὰν εἴπῃ ἄν- καὶ Δευ. ε.
» θρωπος τῷ πατρὶ ἢ τῇ μητρὶ κορβᾶν ὅ ἐστι δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐκ Λευΐ. κ'.
» ἔτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ. ἀκυροῦντες τὸν λό
» γον τοῦ θεοῦ τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε. καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.
Ἐμβριθέστερον ἐλέγχων τοὺς Ἰουδαίους ὁ κύριος, παράγει καὶ τὸν προφήτην κατηγο-
ροῦντα αὐτῶν. ἐκεῖνοι μὲν οὖν τοῖς μαθηταῖς ἐνεκάλουν ὅτι τὴν τῶν πρεσβυτέρων
παράδοσιν παρέβαινον. ὁ κύριος δὲ αὐτοῖς ἀντεπιφέρει σφοδρότερον ἔγκλημα, τὸ
τὸν τοῦ Μωσέως νόμον παραβαίνειν. ὁ μὲν γὰρ νόμος φησὶ, λέγει. τίμα τὸν πατέρα σου
καὶ τὴν μητέρα σου. ὑμεῖς δὲ διδάσκετε τοὺς παῖδας λέγειν πρὸς τοὺς γονεῖς ὅτι, κορ
βᾶν, τουτέστι δῶρον καὶ ἀνατεθειμένον τῷ θεῷ ἐστιν ὃ ζητεῖς ἐξ ἐμοῦ. οἱ γὰρ φαρισαῖοι θέ
λοντες κατεσθίειν τὰ τῶν ἀφελεστέρων, ἐδίδασκον τοὺς παῖδας, ἐάν τι εἶχον οἱονεὶ πε-
κούλιον, καὶ ἐζήτουν τοῦτο οἱ γονεῖς, λέγειν ὅτι, ἤδη ἀφιέρωσα τοῦτο τῷ θεῷ. καὶ μηκέτι
ζήτει, ὡς ἀνατεθὲν τῷ κυρίῳ. οὕτως οὖν ἀπατῶντες τοὺς παῖδας, καὶ συμπείθοντες
αὐτοὺς ἀφιεροῦν δῆθεν τῷ θεῷ ἃ εἶχον, τοὺς μὲν πατέρας ἐποίουν περιφρονεῖν. αὐτοὶ

δὲ τὰ ἀφιερωθέντα κατήσθιον· τοῦτο οὖν αὐτοῖς ὁ κύριος ἐγκαλεῖ, ὡς διὰ κέρδος παραβαίνουσι τὸν τοῦ θεοῦ νόμον·

» Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον, ἔλεγεν αὐτοῖς. ἀκούετέ μου πάντες, καὶ συνίετε. οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν, ὃ δύναται αὐτὸν κοινῶσαι. ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ' αὐτοῦ, ἐκεῖνά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω· καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς· καὶ λέγει αὐτοῖς. οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὐ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον, οὐ δύναται αὐτὸν κοινῶσαι; ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν. καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα· ἔλεγε δὲ ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον· ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται. μοιχεῖαι. πορνεῖαι. φόνοι. κλοπαί. πλεονεξίαι. πονηρίαι. δόλος. ἀσέλγεια. ὀφθαλμὸς πονηρός. βλασφημία. ὑπερηφανία. ἀφροσύνη· πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον·

Ὁ κύριος διδάσκων τοὺς ἀνθρώπους ὅτι τὰ τῶν βρωμάτων παρατηρήματα ἃ ὁ νόμος διαγορεύει, οὐκ ὀφείλομεν νοεῖν σωματικῶς, ἄρχεται ἐντεῦθεν ἀνακαλύπτειν μετρίως τὸ τοῦ νόμου βούλημα· καὶ φησὶν ὅτι οὐδὲν τῶν εἰσπορευομένων δύναται κοινῶσαι, τουτέστι μιᾶναί τινα. ἀλλὰ τὰ ἐκπορευόμενα ἐκ τῆς καρδίας, ἐκεῖνά εἰσι τὰ μιαίνοντα. καὶ καταλέγει ταῦτα· ὀφθαλμὸν δὲ πονηρὸν φησὶν, ἢ τὸν φθόνον, ἢ τὴν ἀκολασίαν· καὶ γὰρ καὶ ὁ φθονῶν, ὀφθαλμὸν πονηρὸν καὶ βάσκανον ἐπιβάλλει τῷ φθονουμένῳ. καὶ ὁ ἀκόλαστος διὰ τοῦ ὀφθαλμοῦ ὁρῶν τὸ πονηρὸν μετέρχεται· βλασφημίαν δὲ λέγει, τὴν εἰς θεὸν ὕβριν· οἷον ὅταν λέγῃ τις ὅτι οὐκ ἔστι πρόνοια, τοῦτο βλασφημία· διὸ ἐπισυνάπτει τὴν ὑπερηφανίαν· ὑπερηφανία γάρ ἐστιν ὡσανεὶ καταφρόνησις θεοῦ. ὅταν τις ἐργαζόμενός τι ἀγαθὸν, οὐ τῷ θεῷ ἐπιγράφεται τοῦτο, ἀλλὰ τῇ οἰκείᾳ δυνάμει· ἀφροσύνην δὲ νόει, τὴν εἰς ἀνθρώπους ὕβριν· πάντα οὖν ταῦτα τὰ πάθη μιαίνουσι τὴν ψυχὴν, ἐξ αὐτῆς πηγάζοντα καὶ ἐξερχόμενα· πρὸς μὲν οὖν τὸν ὄχλον, ἀσαφέστερον εἶπεν ὁ κύριος· διὸ καὶ ἔλεγεν. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. τουτέστιν, ὁ νοῶν νοείτω· τοῖς δὲ ἀποστόλοις νομίσασι βαθύτερόν τι λέγειν τὸν κύριον, καὶ προσελθοῦσι καὶ ἐρωτῶσι περὶ τῆς παραβολῆς, τουτέστι τοῦ σκοτεινοῦ λόγου (παραβολὴ γάρ ἐστιν ὁ σκοτεινὸς λόγος) πρῶτον μὲν ἐπετίμησεν, εἰπών. οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε; εἶτα διέλυσε τὸ ἄπορον·

» Καὶ ἐκεῖθεν ἀναστὰς, ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος. καὶ εἰσελθὼν εἰς οἰκίαν, οὐδένα ἤθελε γνῶναι. καὶ οὐκ ἠδυνήθη λαθεῖν· ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ (ἦν δὲ ἡ γυνὴ ἑλληνὶς τῷ γένει) καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς· ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ. ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα. οὐ γὰρ καλόν ἐστι λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις· ἡ δὲ ἀπεκρίθη, καὶ λέγει αὐτῷ. ναὶ κύριε. καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων· καὶ εἶπεν αὐτῇ. διὰ τοῦτον τὸν λόγον, ὕπαγε· ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου· καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς, εὗρε τὸ δαιμόνιον ἐξεληλυθὸς, καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης·

Μεθὸ περὶ τῶν βρωμάτων εἶπεν ὁ κύριος, καὶ εἶδεν ἀπειθοῦντας τοὺς Ἰουδαίους, μεταβαίνει ἐπὶ τὰ τῶν ἐθνικῶν ὅρια· ἀπιστησάντων γὰρ τῶν Ἰουδαίων, ἡ σωτηρία τοῖς ἔθνεσιν ἔμελλε γενέσθαι· αὐτὸς μέντοι προηγουμένως σπουδάζει λαθεῖν, ἵνα μὴ ἔχωσιν

ὕστερον

ὕστερον αἰτιᾶσθαι αὐτὸν οἱ Ἰουδαῖοι, ὡς εἰς τὰ ἀκάθαρτα ἔθνη προσδραμόντα. οὐ μέντοι ἠδυνήθη λαθεῖν· οὐ γὰρ ἐνεδέχετο αὐτὸν λαθεῖν, καὶ μὴ παρά τινος γνωσθῆναι. ἡ οὖν γυνὴ ἀκούσασα περὶ αὐτοῦ, ἐπιδείκνυται πίστιν θερμήν· διὰ τοῦτο οὖν καὶ ὁ κύριος οὐκ εὐθέως ὑπακούει, ἀλλ᾽ ἀναβάλλεται τὴν δωρεάν, ἵνα δείξῃ τὴν τῆς γυναικὸς ἐπίμονον πίστιν. καὶ ὅτι καίτοι ἀποπεμπομένη, προσκαρτερεῖ. ἵνα καὶ ἡμεῖς μάθωμεν μὴ ἀποπηδᾶν εὐθὺς ὅταν εὐξάμενοι μὴ αὐτίκα τυγχάνωμεν. ἀλλὰ προσκαρτερῶμεν ἄχρις ἂν λάβωμεν. κυνάρια δὲ ὀνομάζει τοὺς ἐθνικούς, ὡς μιαροὺς δοκοῦντας τοῖς Ἰουδαίοις. ἄρτον δέ, τὴν εὐεργεσίαν. ἣν τοῖς παιδίοις, ἤτοι τοῖς Ἑβραίοις, ἀφώρισεν ὁ θεός. τὰς γὰρ εὐεργεσίας τοῖς Ἑβραίοις ἀπέστειλε. φησὶν οὖν ὁ κύριος ὅτι οὐ δεῖ τοὺς ἐθνικοὺς μετασχεῖν τῆς εὐεργεσίας ἣ τοῖς Ἰουδαίοις ἀφώρισαι. ἐπεὶ δὲ συνετῶς ἀπεκρίθη ἡ γυνὴ καὶ πιστῶς, ἔτυχε τῆς ἐπιθυμίας. οἱ μὲν γὰρ Ἰουδαῖοι φησί, τὸν ἄρτον ἔχουσι. τουτέστι σὲ ὁλόκληρον, τὸν ἐξ οὐρανοῦ καταβάντα, καὶ τὰς σὰς εὐεργεσίας. ἐγὼ δὲ ψιχία αἰτῶ. τουτέστι μερικὴν εὐεργεσίαν. ὅρα δὲ καὶ τὸν κύριον, πῶς οὐκ εἶπεν ὅτι, ἡ δύναμίς μου ἔσωσέ σε. ἀλλὰ τί φησί. διὰ τὸν λόγον τοῦτον, τουτέστι διὰ τὴν πίστιν σου, ὕπαγε. ἐκαθαρίσθη γὰρ ἡ θυγάτηρ σου. μάνθανε οὖν καὶ σὺ ἐντεῦθεν ἐπωφελὲς μάθημα. καὶ γὰρ ἕκαστος ἡμῶν ὅταν ἁμαρτάνῃ, γυνή ἐστι. τουτέστιν ἀσθενὴς ψυχή. φοινίκισσα δέ, ὡς τὴν φοινικὴν ἁμαρτίαν καὶ αἱματώδη καὶ φονεύτειαν ἔχουσα. θυγατέρα δὲ ἔχει ἡ τοιαύτη ψυχή, τὴν πονηρὰν πρᾶξιν. ἥτις ἔχει δαιμόνιον. αἱ γὰρ πονηραὶ πράξεις, δαιμόνων εἰσίν. ἁμαρτωλοὶ οὖν ὄντες, καὶ κυνάρια ὀνομαζόμεθα, ἀκαθαρσίας γέμοντα. διὰ τοῦτο οὐδὲ ἄξιοι ἐσμὲν λαβεῖν τὸν ἄρτον τοῦ θεοῦ. ἤτοι μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων. ἐὰν μέντοι ἐπιγνῶμεν ἑαυτοὺς διὰ τῆς ταπεινοφροσύνης, καὶ ὅτι κυνάρια ἐσμὲν ὁμολογήσωμεν, καὶ ἐξαγορεύσωμεν τὰς ἁμαρτίας ἡμῶν, τότε ἰαθήσεται ἡ θυγάτηρ. τουτέστιν ἡ πρᾶξις ἡ δαιμονιώδης.

» Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς
» Γαλιλαίας, ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως. καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλά-
» λον, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. καὶ ἀπολαβόμενος αὐτὸν
» ἀπὸ τοῦ ὄχλου κατ᾽ ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ. καὶ πτύσας,
» ἥψατο τῆς γλώττης αὐτοῦ. καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν, ἐστέναξε. καὶ λέγει αὐτῷ.
» ἐφφαθά. ὅ ἐστι διανοίχθητι. καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαί. καὶ ἐλύθη ὁ δεσ-
» μὸς τῆς γλώττης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς. καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν.
» ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυττον. καὶ ὑπερπερισσῶς
» ἐξεπλήσσοντο, λέγοντες. καλῶς πάντα πεποίηκε. καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ
» τοὺς ἀλάλους λαλεῖν. Οὐκ ἐμβραδύνει τοῖς τῶν ἐθνικῶν τόποις, ἀλλὰ ταχέως με-

θίσταται, ἵνα ὡς ἔφην μὴ δώσει τοῖς Ἰουδαίοις λέγειν ὡς παρανομεῖ, μιγνύμενος τοῖς ἐθνικοῖς. μεταστὰς οὖν τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, τῇ Γαλιλαίᾳ πρόσεισι. καὶ δὴ κωφὸν μογιλάλον (ἀπὸ δαίμονος δὲ τὸ πάθος ἦν) ἰᾶται. κατ᾽ ἰδίαν μὲν αὐτὸν ἀπολαβών, οὐ γὰρ ἦν φιλόκομπος ὁ ταπεινώσας ἑαυτὸν μέχρι τῆς ἡμετέρας πτωχείας. οὐδὲ ἤθελεν ὡς ἐπὶ τὸ πλεῖστον ἔμπροσθεν πολλῶν θαυματουργεῖν, εἰ μὴ ἄρα διὰ τὴν τῶν ὁρώντων ὠφέλειαν. πτύσας δὲ ἥψατο τῆς γλώττης αὐτοῦ, ἵνα δείξῃ ὅτι πάντα τὰ μέρη τῆς ἁγίας αὐτοῦ σαρκὸς θεῖα ἦσαν καὶ ἅγια. ὥσπερ καὶ τὸ πτύσμα ἔλυσε νῦν καὶ τὰ τῆς γλώττης δεσμά. καίτοι περίττωμά ἐστι πᾶν πτύσμα. ἀλλ᾽ ἐπὶ τοῦ κυρίου καινότερα καὶ θεῖα πάντα. ἀναβλέψας δὲ εἰς τὸν οὐρανὸν στενάζει, τάχα μὲν καὶ ὡς παρακαλῶν τὸν πατέρα ἵνα ἐλεήσῃ τὸν ἄνθρωπον. καὶ ἡμᾶς διδάσκων ἐπειδὰν μέλλωμεν θαῦμα ποιεῖν, πρὸς θεὸν ὁρᾶν, κἀκεῖθεν ἐξαιτεῖσθαι τὴν τῶν θαυμάτων

δύναμιν· τάχα δὲ καὶ ὥσπερ ἐλεῶν τὴν ἀνθρωπίνην φύσιν, πῶς οὕτω παρεδόθη τῷ διαβόλῳ, ὥστε οὕτως ἐμπαίζεσθαι καὶ τοιαῦτα πάσχειν· ὅθεν καὶ θεραπεύσας, κηρύττεται παρὰ τῶν θεραπευομένων, κἂν αὐτὸς αὐτοῖς διαστέλληται καὶ παραγγέλλῃ μηδὲν λέγειν· διδασκόμεθα γὰρ ἐντεῦθεν ὡς ὅταν μὲν εὐεργετῶμεν, οὐκ ὀφείλομεν ἀπαιτεῖν κρότοις καὶ διαφημισμοῖς. ὅταν δὲ εὐεργετώμεθα, κηρύσσειν καὶ φημίζειν τοὺς ἀγαθοποιήσαντας, κἂν ἐκεῖνοι μὴ θέλωσιν·

Κεφάλαιον ὄγδοον·

» Ἐν ἐκείναις ταῖς ἡμέραις, παμπόλλου ὄχλου ὄντος, καὶ μὴ ἐχόντων τί φάγωσι,
» προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς. σπλαγχνίζομαι ἐπὶ τὸν
» ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι. καὶ ἐὰν ἀπο-
» λύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν μα-
» κρόθεν ἥκασι· καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. πόθεν τούτους δυνήσεταί τις
» ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας· καὶ ἐπηρώτα αὐτούς. πόσους ἄρτους ἔχετε· οἱ δὲ
» εἶπον. ἑπτά· καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ
» ἄρτους, εὐχαριστήσας, ἔκλασε. καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παραθῶσι· καὶ παρέ-
» θηκαν τῷ ὄχλῳ· καὶ εἶχον ἰχθύδια ὀλίγα. καὶ εὐλογήσας, εἶπε παραθεῖναι καὶ αὐτά·
» ἔφαγον δὲ καὶ ἐχορτάσθησαν. καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας·
» ἦσαν δὲ οἱ φαγόντες ὡς τετρακισχίλιοι. καὶ ἀπέλυσεν αὐτούς·

Ἤδη καὶ πρότερον ἐθαυματούργησέ τι τοιοῦτον ὁ κύριος. καὶ νῦν δὲ θαυματουργεῖ, ἀφορμῆς εὐλόγου δραξάμενος· ἡ δὲ ἦν, τὸ τρεῖς ἡμέρας παραμεῖναι τὸν ὄχλον, καὶ τὰ ἐφόδια ἑκάστου ἀναλωθῆναι. οὐ πάντοτε γὰρ ἐθαυματούργει ἐπὶ ταῖς τροφαῖς, ἵνα μὴ δόξωσιν ὅτι διὰ τὴν τροφὴν ἀκολουθοῦσιν αὐτῷ οἱ ὄχλοι· καὶ νῦν οὖν εἰ μὴ ἦν κίνδυνος ἐλπιζόμενος ἐκ τῆς ἀτροφίας προσγενέσθαι τῷ ὄχλῳ, οὐκ ἂν ἐθαυματούργησεν· ὅρα δὲ καὶ τοὺς μαθητάς, πῶς ἀνοήτως ἔτι ἔχουσιν, οὐδέπω πιστεύοντες τῇ δυνάμει αὐτοῦ ἀπὸ τῶν προτέρων. αὐτὸς δὲ οὐδὲν ἐπιμέμφεται, διδάσκων καὶ ἡμᾶς μὴ ἐπιπλήττειν σφοδρότερον τοῖς ἀμαθέσιν. ἀλλ' ἔστιν ἃ καὶ συγγνωμονεῖν αὐτοῖς ὡς ἀνοήτοις· ἀναλογίζου δὲ καὶ τοῦτο, ὅτι ὁ χριστὸς οὐδένα βούλεται νῆστιν ἀπολῦσαι. πάντας γὰρ θέλει κατατρυφᾶν τῶν αὐτοῦ χαρισμάτων, καὶ μάλιστα τοὺς τρεῖς ἡμέρας αὐτῷ παραμείναντας. τουτέστι τοὺς βαπτισθέντας· ἐπεὶ γὰρ φώτισμα λέγεται τὸ βάπτισμα, τὸ δὲ βάπτισμα ἐν τρισὶ καταδύσεσι τελεῖται, ἐν τρισὶν ἡμέραις εἰσὶν οἱ φωτιζόμενοι διὰ τοῦ βαπτίσματος· λαμβάνει τοίνυν τοὺς ἑπτὰ ἄρτους. τοὺς πνευματικωτέρους λόγους φημί. ὁ γὰρ ἑπτὰ ἀριθμός, τοῦ πνεύματός ἐστι σύμβολον. τὸ πνεῦμα γάρ ἐστι τὸ τελειοῦν τὰ πάντα. καὶ ἐν τῷ ἑπτὰ ἀριθμῷ τελειοῦται ὁ βίος ἡμῶν, καὶ ὁ αἰὼν οὗτος· τρώγουσι δὲ οἱ πεφωτισμένοι καὶ χορτάζονται, καὶ περισσεύματα ἐῶσιν. οὐ γὰρ πάντα δύνανται φαγεῖν τὰ θεῖα νοήματα· ἀλλ' ἐκεῖ μὲν ἐν τῇ τῶν πέντε ἄρτων θαυματουργίᾳ, δώδεκα κόφινοι καὶ πολλὰ τὰ περισσεύματα, πεντακισχίλιοι γὰρ ἦσαν. τουτέστι, ταῖς αἰσθήσεσι ταῖς πέντε δουλεύοντες. καὶ διὰ τοῦτο οὐκ ἠδυνήθησαν πολλὰ φαγεῖν, ἀλλ' ὀλίγοις ἠρκέσθησαν. διὸ καὶ πολλὰ τὰ περιττεύσαντα· ἐνταῦθα δὲ σπυρίδες ἑπτὰ καὶ ὀλίγα τὰ λείψανα, διότι τετρακισχίλιοι ἦσαν. τουτέστι, ταῖς τέσσαρσιν ἀρεταῖς γεγυμνασμένοι. καὶ διὰ τοῦτο ὡς δυνατώτεροι, ἔφαγον πολλά, καὶ ὀλίγα κατέλειψαν· ἐκεῖνα γὰρ μόνα οὐκ ἠδυνήθησαν φαγεῖν, ὅσα ἦν πνευματικώτερα καὶ βαθύτερα. τοῦτο γὰρ αἱ ἑπτὰ σπυρίδες· μάνθανε δὲ καὶ τοῦτο κατὰ τὴν ἱστορίαν, ὅτι δεῖ ἡμᾶς ἄχρι τῆς χρείας ἵστασθαι, καὶ μηδὲν πλέον ζητεῖν· ἰδοὺ γὰρ οἱ ὄχλοι, φαγόντες καὶ χορτασθέντες, οὐκ ἔλαβον μεθ' ἑαυτῶν τὰ λείψανα τῶν ἄρτων. ἀλλ' οἱ μαθηταὶ ἦραν ταῦτα, ὥσπερ

τα, ὥσπερ καὶ ἐπὶ τῶν κοφίνων. οὕτως οὖν δεῖ καὶ ἡμᾶς ἀρκεῖσθαι τῇ συμμετρίᾳ
τῆς χρείας.

» Καὶ εὐθέως ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη Δαλ
» μανουθά. καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ
» σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν. καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ, λέ
» γει. τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ. ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ
» σημεῖον. Μετὰ τὸ θαῦμα τὸ ἐπὶ τοῖς ἄρτοις, εὐθὺς ἀναχωρεῖ εἰς ἄλλον τόπον, φο-
βούμενος μήπως ὁ ὄχλος διὰ τὸ τοιοῦτον θαῦμα, νεωτερίσῃ, καὶ ποιήσῃ αὐτὸν βασι- Ἰωάν. ϛ´.
λέα. οἱ δὲ Φαρισαῖοι σημεῖον ζητοῦσιν ἐξ οὐρανοῦ. οἷον ἥλιον στῆσαι, σελήνην. κεραυνοὺς
καταγαγεῖν. ἀέρα ἀλλοιῶσαι. ἐνόμιζον γὰρ ὅτι οὐ δυνήσεται ἐξ οὐρανοῦ ποιῆσαι ση-
μεῖον, οἷα δὴ ἐν τῷ Βεελζεβοὺλ δυνάμενος ποιεῖν τὰ ἐν τῇ γῇ μόνα σημεῖα. αὐτὸς
δὲ οὐ πείθεται τούτοις. ἄλλος γὰρ ὁ καιρὸς τῶν ἐξ οὐρανοῦ σημείων, ὁ τῆς δευτέρας
λέγω παρουσίας. ὅτε αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ ἡ σελήνη οὐ δώ- Ματ. κδ´.
σει τὸ φέγγος αὐτῆς. ὁ δὲ τῆς πρώτης παρουσίας, οὐδὲν τοιοῦτον ἔχει. ἀλλὰ πάντα
πρᾳότητος γέμοντα. ὥστε οὐ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον τοιοῦτον. τουτέστιν
οὐρανόθεν.

» Καὶ ἀφεὶς αὐτούς, ἐμβὰς πάλιν εἰς τὸ πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν. καὶ ἐπελά-
» θοντο οἱ μαθηταὶ αὐτοῦ λαβεῖν ἄρτους. καὶ εἰ μὴ ἕνα ἄρτον, οὐκ εἶχον μεθ' ἑαυτῶν
» ἐν τῷ πλοίῳ. καὶ διεστέλλετο αὐτοῖς, λέγων. ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φα
» ρισαίων, καὶ τῆς ζύμης Ἡρώδου. καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες ὅτι, ἄρ-
» τους οὐκ ἔχομεν. καὶ γνοὺς ὁ Ἰησοῦς, λέγει αὐτοῖς. τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχε
» τε. οὔπω νοεῖτε οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν; ὀφθαλ-
» μοὺς ἔχοντες, οὐ βλέπετε. καὶ ὦτα ἔχοντες, οὐκ ἀκούετε. καὶ οὐ μνημονεύετε ὅτε τοὺς
» πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους, πόσους κοφίνους πλήρεις κλασμάτων
» ἤρατε; λέγουσιν αὐτῷ. δώδεκα. ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυ
» ρίδων πληρώματα κλασμάτων ἤρατε; οἱ δὲ εἶπον. ἑπτά. καὶ ἔλεγεν αὐτοῖς.
» πῶς οὔπω συνίετε. Ἀφίησι τοὺς Φαρισαίους ὁ κύριος, ὡς ἀδιορθώτους. ἔνθα μὲν
γὰρ ἐστὶν ἐλπὶς διορθώσεως, ἐκεῖ δεῖ ἐγχρονίζειν. ἔνθα δὲ ἀδιόρθωτον τὸ κακόν, ἐκεῖθεν
ἀποπηδᾶν δεῖ. οἰκονομικῶς δὲ οἱ μαθηταὶ ἐπιλανθάνονται λαβεῖν ἄρτους, ἵνα ὀνει
διθέντες βελτίους γένωνται, καὶ εἰς αἴσθησιν ἔλθωσι τῆς τοῦ Χριστοῦ δυνάμεως. εἰπόν
τος γὰρ τοῦ κυρίου προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἤτοι τῆς διδασκαλίας,
ἐκεῖνοι τὴν τῶν ἄρτων ζύμην ἐνόμισαν ἀπαγορεύειν αὐτοῖς τὸν κύριον. ὅθεν εἰκότως
ἐπιπλήσσονται ὡς μὴ συνιέντες τὴν δύναμιν τοῦ Χριστοῦ, ὅτι δύναται ἄρτους ἐκ μὴ
ὄντων ποιῆσαι. ζύμην δὲ ὀνομάζει τὴν διδασκαλίαν τῶν Φαρισαίων καὶ τῶν Ἡρω-
διανῶν, ὡς ὀξώδη οὖσαν καὶ παλαιᾶς κακίας γέμουσαν. πᾶς γὰρ ὁ παλαιωθεὶς ἐν
τῇ κακίᾳ, καὶ μηδὲν πνευματικὸν δυνάμενος λέγειν ὥστε γλυκαίνειν τὸν λάρυγγα τοῦ
ἀκούοντος, ὁ τοιοῦτος ζύμην ἔχει, παλαιᾶς κακίας διδασκαλίαν, δάκνουσαν καὶ εἰς
μεταμέλειαν ὕστερον ἄγουσαν τὸν πεισθέντα. τίνες δὲ ἦσαν οἱ Ἡρωδιανοί. διδάσκαλοί
τινες νεοφανεῖς, οἵτινες ἔλεγον ὅτι ὁ Ἡρώδης ἐστὶν ὁ Χριστός, καὶ ὅτι τούτῳ δεῖ πιστεύειν.

» Καὶ ἔρχεται εἰς Βηθσαϊδά. καὶ φέρουσιν αὐτῷ τυφλόν, καὶ παρακαλοῦσιν αὐ-
» τὸν ἵνα αὐτοῦ ἅψηται. καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, ἐξήγαγεν αὐ-
» τὸν ἔξω τῆς κώμης. καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτοῦ, ἐπη
» ρώτα αὐτὸν εἴ τι βλέπει. καὶ ἀναβλέψας, ἔλεγε. βλέπω τοὺς ἀνθρώπους, ὅτι ὡς δένδ
» ρα ὁρῶ περιπατοῦντας. εἶτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐ-



» τοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι. καὶ ἀποκατεστάθη, καὶ ἐνέβλεψε τηλαυγῶς ἅ-
» παντας. καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, λέγων. μὴ δὲ εἰς τὴν κώμην εἰσέλ-
Ματ. ια΄. » θῃς, μὴ δὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ. Φαίνεται ἡ Βηθσαϊδὰ πολλὴν ἀπιστίαν νοσήσα-
σα. διὸ καὶ ταλανίζει αὐτὴν ὁ Χριστὸς, ὡς ὁ Ματθαῖος φησίν. οὐαί σοι Χοραζίν. οὐαί σοι Βηθσαϊδά, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν μετενόησαν. ἐνταῦθα τοίνυν ἐλθόντι τῷ κυρίῳ, προσάγουσιν αὐτῷ τυφλόν. οὐ γνησία δὲ ἦν ἡ πίστις τῶν προσαγόντων. ὅθεν καὶ ὁ κύριος ἀπάγει τὸν τυφλὸν ἐκ τῆς κώμης, καὶ οὕτως ἰᾶται αὐτόν. πτύει δὲ εἰς τὰ ὄμματα τοῦ τυφλοῦ, καὶ τὰς χεῖρας ἐπιτίθησιν, ἵνα μάθωμεν ἡμεῖς ὅτι λόγος θεῖος καὶ πρᾶξις ἑπομένη τῷ λόγῳ, τὰ θαύματα τελεῖν δύναται. ἡ μὲν γὰρ χεὶρ, τῆς πράξεως ἐστὶ σύμβολον. τὸ δὲ πτύσμα, τοῦ λόγου. καθὸ ἐκ τοῦ στόματος ἐστίν. οὐ δὲ ὁ τυφλὸς μέντοι τελείαν εἶχε τὴν πίστιν. διὰ τοῦτο οὐ δὲ εὐθὺς ἀναβλέψαι αὐτὸν ποιεῖ, ἀλλὰ κατὰ μέρος. ὡς μὴ ὁλόκληρον ἔχοντα τὴν πίστιν. κατὰ γὰρ τὴν πίστιν, καὶ αἱ θεραπεῖαι γίνονται. παραγγέλλει δὲ αὐτῷ μὴ εἰσελθεῖν εἰς τὴν κώμην, διότι ὡς ἔφην ἀπίστων ὄντων τῶν ἐν τῇ Βηθσαϊδᾷ, ἐβλάβη ἂν ὁ ἄνθρωπος τὴν ψυχήν. ἀλλὰ μὴ δὲ εἰπεῖν τινι ὃ ἐγένετο ἐπ' αὐτῷ, ἵνα μὴ ἀπιστήσαντες, χεῖρον κρίμα ἐπισπάσωνται. καὶ ἡμεῖς οὖν πολλάκις ἐσμὲν τυφλοὶ τὴν ψυχὴν, ἐν τῇ κώμῃ ὄντες. τουτέστι τῷ κόσμῳ τούτῳ. εἶτα ἔξω τῆς κώμης ἤτοι τοῦ κόσμου καὶ τῶν αὐτοῦ πραγμάτων ἀπαχθέντες ὑπὸ Χριστοῦ, θεραπευόμεθα. μεθ' ὃ δὲ θεραπευθῶμεν, λέγει ἡμῖν μηκέτι ὑποστρέψαι εἰς τὴν κώμην, ἀλλ' εἰς τὸν οἶκον. οἶκος δὲ ἑκάστου ἡμῶν, ὁ οὐρανὸς καὶ αἱ ἐκεῖσε μοναί.

» Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φι-
» λίππου. καὶ ἐν τῇ ὁδῷ, ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς. τίνα με λέ-
» γουσιν οἱ ἄνθρωποι εἶναι. οἱ δὲ, ἀπεκρίθησαν. Ἰωάννην τὸν βαπτιστήν. καὶ ἄλλοι, Ἠλίαν.
» ἄλλοι δὲ, ἕνα τῶν προφητῶν. καὶ αὐτὸς λέγει αὐτοῖς. ὑμεῖς δὲ τίνα με λέγετε εἶναι.
» ἀποκριθεὶς δὲ Πέτρος, λέγει αὐτῷ. σὺ εἶ ὁ Χριστός. καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μηδενὶ
» λέγωσι περὶ αὐτοῦ. Ἀπαγαγὼν αὐτοὺς πόῤῥω τῶν Ἰουδαίων, τότε ἐρωτᾷ περὶ ἑαυτοῦ. ἵνα μηδένα φοβούμενοι, τὴν ἀλήθειαν ὁμολογήσωσιν. ἀποκρίνονται οὖν ὅτι, οἱ μὲν, Ἰωάννην σε ὑπολαμβάνουσιν. οἱ δὲ, Ἠλίαν. ἐνόμιζον γὰρ οἱ πολλοὶ ἀναστῆναι τὸν Ἰωάννην. ὥσπερ δὴ καὶ ὁ Ἡρώδης ᾤετο. προσλαβεῖν δὲ ἀπὸ τῆς ἀναστάσεως καὶ τὴν τῶν σημείων ἐργασίαν. ζῶν γὰρ ὁ Ἰωάννης, οὐδὲν σημεῖον ἐποίησε. μεθ' ὃ οὖν ἠρώτησεν αὐτοὺς, τὰς τῶν ἄλλων ὑπολήψεις, ἐρωτᾷ αὐτοὺς καὶ τὴν αὐτῶν γνώμην. μονονουχὶ τοῦτο λέγων, ὅτι ἐκεῖνοι μὲν οὕτω δοξάζουσι περὶ ἐμοῦ πλανώμενοι. ὑμεῖς δὲ ἄλλο τί εἴπατε. τί οὖν ὁ Πέτρος. ὁμολογεῖ αὐτὸν εἶναι τὸν ὑπὸ τῶν προφητῶν καταγγελλόμενον Χριστόν. τί δὲ πρὸς τὴν ὁμολογίαν τοῦ Πέτρου εἶπεν ὁ κύριος, καὶ πῶς ἐμακάρισεν αὐτὸν, ὁ μὲν Μάρκος παρέλειψεν. ἵνα μὴ δόξῃ χαριζόμενος τῷ Πέτρῳ, διδασκάλῳ αὐτοῦ ὄντι, ταῦτα λέγειν. ὁ δὲ Ματθαῖος ἀπαραλείπτως εἴρηκε πάντα. ἐπετίμησε δὲ αὐτοῖς. ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ. ἠβούλετο γὰρ συσκιάζεσθαι τὴν περὶ αὐτοῦ δόξαν, ἵνα μὴ πολλοὶ σκανδαλίζωνται ἐπ' αὐτῷ. καὶ διὰ τοῦτο ἀπιστοῦντες, μείζονος τιμωρίας ὑπεύθυνοι γένωνται.

» Καὶ ἤρξατο διδάσκειν αὐτοὺς. ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀπο-
» δοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκταν-
» θῆναι καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι. καὶ παῤῥησίᾳ τὸν λόγον ἐλάλει. καὶ προσλα-
» βόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ. ὁ δὲ, ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μα-
» θητὰς αὐτοῦ, ἐπετίμησε τῷ Πέτρῳ, λέγων. ὕπαγε ὀπίσω μου σατανᾶ. ὅτι οὐ φρο-

» νεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. Ὅτε κατέσχεν αὐτοὺς ὁμολογήσαντας ὅτι αὐτός ἐστιν ὁ ἀληθινὸς Χριστός, τότε αὐτοῖς ἐκκαλύπτει καὶ τὸ τοῦ σταυροῦ μυστήριον. εἰ καὶ μὴ γυμνῶς πάντη. οὐδὲ γὰρ οὐδὲ οὕτω συνίεσαν τί λέγει. οὐδὲ ἐνόουν τί ἐστι τὸ ἀναστῆναι. ἀλλ' ἐνόμιζον κρεῖττον εἶναι τὸ μὴ δι' ὅλως παθεῖν. διὸ καὶ ὁ Πέτρος ἄρχεται μέμφεσθαι αὐτῷ ὡς εἰς θάνατον ῥίπτοντι ἑαυτόν, δέον μηδὲν παθεῖν. ὁ δὲ κύριος δεικνύων ὅτι ἐπὶ σωτηρίᾳ τὸ αὐτοῦ πάθος γενήσεται, καὶ ὅτι ὁ σατανᾶς μόνος οὐ θέλει αὐτὸν παθεῖν ἵνα μὴ σώσῃ τοὺς ἀνθρώπους, σατανᾶν ὀνομάζει τὸν Πέτρον, ὡς τὰ τοῦ σατανᾶ φρονοῦντα. καὶ μὴ θέλοντα αὐτὸν παθεῖν, ἀλλ' ἀντικείμενον αὐτῷ. σατανᾶς γὰρ, ἀντικείμενος ἑρμηνεύεται. ὕπαγε δὲ ὀπίσω μου φησί, τουτέστιν ἀκολούθει τῷ θελήματί μου. καὶ μὴ ἀντιτάττου μηδὲ ἐναντίος ἔρχου ἐμοί, ἀλλ' ὀπίσω μου ἀκολούθει. τὰ τῶν ἀνθρώπων δὲ ἔφησε φρονεῖν τὸν Πέτρον, καθὸ ταπεινά τινα φρονῶν καὶ σαρκικά, ἤθελεν ἐν ἀνέσει εἶναι τὸν κύριον. καὶ μὴ σταυρωθῆναι καὶ πειρασμῷ ἐμπεσεῖν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας.

» Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς. ὅστις θέ-
» λει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν. καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολου-
» θείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ' ἂν ἀπο-
» λέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. τί γὰρ
» ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ.
» ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ. Ἐπειδήπερ ὁ Πέτρος ἐπετίμησεν αὐτῷ ὡς θέλοντι σταυρωθῆναι, προσκαλεῖται τὸν ὄχλον, καὶ ἐν ἐπηκόῳ πάντων, πρὸς τὸν Πέτρον τὸ πλέον ἀποτεινόμενος, φησί. σύ μοι μέμφῃ ὦ Πέτρε ὅτι τὸν σταυρὸν αἱροῦμαι. ἐγὼ δέ σοι λέγω, ὅτι οὐδὲ σὺ οὐδὲ ἄλλος τις σωθήσεται, ἐὰν μὴ ἀποθάνῃ ὑπὲρ τοῦ καλοῦ καὶ τῆς ἀληθείας. ὅρα δὲ ὅτι οὐκ εἶπεν ὡς κἂν μὴ θέλῃ τις, ἀποθνησκέτω. ἀλλ' ὅστις θέλει. οὐδένα γὰρ φησί, βιάζομαι. ἐπὶ γὰρ ἀγαθὰ καλῶ. οὐκ ἐπὶ κακά, ἵνα καὶ ἀναγκάσω. ὥστε εἴ τις οὐ θέλει, οὐδὲ ἄξιός ἐστι τούτων. τί δέ ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν, οὕτως ἂν μάθοιμεν, ἐὰν γνῶμεν τί ἐστι τὸ ἀρνήσασθαι ἕτερον. ὁ ἀρνούμενος ἕτερον, ἀδελφὸν τυχὸν ἢ οἰκέτην ἢ πατέρα, κἂν μαστιζόμενον ἴδῃ, κἂν φονευόμενον, οὐκ ἐπιστρέφεται. οὐ συμπάσχει, ἅτε ἅπαξ ἀλλοτριωθείς. οὕτως οὖν καὶ ἡμᾶς βούλεται τοῦ ἡμετέρου σώματος ἀφειδεῖν, ἵνα κἂν μαστίζωσι, κἂν ὁτιοῦν ποιῶσι, μὴ φειδώμεθα. ἀράτω δὲ τὸν σταυρόν. τουτέστι τὸν ἐπονείδιστον θάνατον. ἐπονείδιστος γὰρ ἐδόκει τότε ὁ σταυρός. ἐπεὶ δὲ πολλοὶ σταυροῦνται διὰ τὸ λῃσταὶ εἶναι, προστίθησιν ὅτι μετὰ τοῦ σταυρωθῆναι, καὶ τὴν ἄλλην ἀρετὴν δεῖ ἔχειν. τοῦτο γάρ ἐστι τό, καὶ ἀκολουθείτω μοι. ἐπεὶ δὲ ἐδόκει βαρὺ εἶναι τοῦτο καὶ ἀπηνὲς ὃ προσέταττεν, τὸ εἰς θάνατον ἐκδιδόναι ἑαυτούς, φησὶν ὅτι τοὐναντίον μᾶλλον φιλάνθρωπόν ἐστι τοῦτο. ὃς γὰρ ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ, ἀλλ' ἕνεκεν ἐμοῦ, μὴ ὡς λῃστὴς φονευόμενος ἢ ἀπάγχων ἑαυτόν (τοῦτο γὰρ οὐκ ἔστιν ἕνεκεν ἐμοῦ) ὁ τοιοῦτος οὖν εὑρήσει τὴν ἑαυτοῦ ψυχήν. ὥσπερ αὖθις ὁ δοκῶν κερδᾶναι, ἀπολέσει αὐτὴν ὁ ἐν καιρῷ μαρτυρίου μὴ ἀντιστάς. μὴ γάρ μοι λέγε ὅτι, ἀλλ' ἐκέρδησε τὴν ζωήν. ἂν γὰρ μετὰ τούτου θήσεις ὅτι καὶ τὸν κόσμον ὅλον ἐκέρδησεν, οὐδὲν τὸ ὄφελος. μὴ γὰρ χρημάτων ἐστὶν ἀνταλλάξασθαι τὴν σωτηρίαν; ὡς εἴτε τοῦτο ἦν, ὁ κερδαίνας τὸν κόσμον τὴν δὲ ψυχὴν ἀπολέσας, ἔδωκεν ἂν τότε ἐν τῇ φλογὶ τηγανιζόμενος. καὶ ἠθωώθη. ἀλλ' οὐκ ἔστι τότε τοιοῦτόν τι ἐκεῖ ἀντάλλαγμα. καὶ ἐντεῦθεν οὖν ἐπιστομίζομεν τοὺς ἀπὸ Ὠριγένους. λέγοντας ὅτι ἀποκατάστασις ἔσται τῶν ψυχῶν, μετὰ τὸ κολασθῆναι κατὰ ἀναλογίαν τῶν ἁμαρτιῶν. ἀκουσάτωσαν γὰρ ὅτι οὐκ ἔστιν ἐκεῖ δοῦναι ἀντάλλαγμα τῆς ψυχῆς.

οὐκοῦν οὐδὲ κολασθῆναι ἐστὶ τοσοῦτον, ὅσον ἀντισηκωθῆναι τοῖς ἁμαρτήμασιν.

» Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι
» καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δό
» ξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

» Καὶ ἔλεγεν αὐτοῖς. ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων οἵτινες οὐ
» μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Οὐκ ἀρκεῖται τῇ κατὰ διάνοιαν πίστει, ἀλλὰ καὶ τὴν διὰ στόματος ὁμολογίαν ἀπαιτεῖ. ἐπεὶ γὰρ διπλοῦς ὁ ἄνθρωπος, διπλοῦς γενέσθω καὶ ὁ ἁγιασμός. ἁγιαζομένης μὲν τῆς ψυχῆς διὰ τῆς πίστεως, ἁγιαζομένου δὲ καὶ τοῦ σώματος διὰ τῆς ὁμολογίας. ὅστις οὖν ἐπαισχυνθῇ τὸν ἐσταυρωμένον ὁμολογῆσαι θεὸν ἑαυτοῦ, τοῦτον καὶ αὐτὸς ἐπαισχυνθήσεται, ἀνάξιον ἑαυτοῦ δοῦλον κρίνων, ὅταν ἥξει, οὐκ ἔτι ταπεινὸς οὐδὲ οἷος ἐνταῦθα ἐφαίνετο εὐτελὴς ὥστε ἐπ᾽ αὐτῷ, αἰσχύνεσθαί τινας, ἀλλ᾽ ἔνδοξος καὶ μετὰ τῆς δορυφορίας τῶν ἀγγέλων. ἐπεὶ δὲ περὶ τῆς δόξης αὐτοῦ εἶπε, θέλων δεῖξαι αὐτοῖς ὅτι οὐ μάτην κομπάζει, φησὶν ὅτι, εἰσί τινες τῶν ὧδε ἑστηκότων, τουτέστι Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἵτινες οὐ μὴ ἀποθάνωσιν ἄχρις ἂν δείξω αὐτοῖς ἐν τῇ μεταμορφώσει μετὰ ποίας δόξης μέλλω παραγενέσθαι ἐν τῇ δευτέρᾳ παρουσίᾳ. οὐδὲν γὰρ ἕτερον ἡ μεταμόρφωσις ἦν, ἀλλ᾽ ἢ τῆς δευτέρας παρουσίας προμήνυμα. οὕτω γὰρ καὶ αὐτὸς ἐκλάμψει τότε, καὶ οἱ δίκαιοι.

Κεφάλαιον ἔνατον.

» Καὶ μεθ᾽ ἡμέρας ἕξ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν
» Ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν μόνους. καὶ μετεμορφώθη
» ἔμπροσθεν αὐτῶν. καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένοντο στίλβοντα, λευκὰ λίαν ὡς χιών, οἷα
Λουκ. θ΄. » γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι. Λουκᾶς δὲ μετὰ ὀκτὼ ἡμέρας φησίν. οὐκ ἐναντιούμενος τούτῳ ἀλλὰ καὶ σφόδρα συνᾴδων. ὁ μὲν γὰρ, καὶ αὐτὴν τὴν ἡμέραν καθ᾽ ἣν ἐφθέγξατο, κἀκείνην καθ᾽ ἣν ἀνήγαγεν εἶπεν. ὁ δὲ Μάρκος τὰς μεταξὺ τούτων μόνας. λαβὼν τοίνυν τοὺς κορυφαίους, ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλόν. Πέτρον μὲν, ὡς ὁμολογήσαντα καὶ ὡς ἀγαπῶντα. Ἰωάννην δὲ, ὡς ἀγαπώμενον. καὶ Ἰάκωβον, ὡς καὶ αὐτὸν μεγαλοφωνότατον καὶ θεολογικώτατον. οὕτω γὰρ ἦν βαρὺς τοῖς Ἰουδαίοις, ὥστε καὶ Ἡρώδης ἀρέσαι βουλόμενος τοῖς Ἰουδαίοις, ἀπέκτεινεν αὐτόν. εἰς ὄρος δὲ ὑψηλὸν ἀναφέρει, ἵνα μᾶλλον ἐνδοξότερον εἴη τὸ θαῦμα. καὶ κατ᾽ ἰδίαν, μυστήριον γὰρ ἔμελλεν ὑποδεῖξαι. τὴν μεταμόρφωσιν δὲ νόει, οὐχὶ τοῦ χαρακτῆρος ἐξαλλαγήν. ἀλλ᾽ ὅτι μένοντος τοῦ χαρακτῆρος οἷος καὶ πρώην ἦν, φωτὸς προσθήκη ἀῤῥήτου ἐπεγένετο.

» Καὶ ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωϋσεῖ. καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. καὶ ἀποκρι
» θεὶς ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ. ῥαββί. καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. καὶ ποιήσωμεν σκη-
» νὰς τρεῖς. σοὶ μίαν. καὶ Μωσῇ μίαν. καὶ Ἠλίᾳ μίαν. οὐ γὰρ ᾔδει τί λαλήσῃ. ἦσαν γὰρ ἔκ
» φοβοι. καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς. καὶ ἦλθε φωνὴ ἐκ τῆς νεφέλης,
» οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. αὐτοῦ ἀκούετε. καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκ
» ἔτι οὐδένα εἶδον. ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ᾽ ἑαυτῶν. Ἠλίας καὶ Μωσῆς φαίνονται συλλαλοῦντες, διὰ πολλὰς αἰτίας. δύο δὲ ἀρκοῦσιν. ἐπειδὴ γὰρ ἔφησαν οἱ μαθηταὶ ὅτι οἱ ὄχλοι, οἱ μὲν Ἠλίαν αὐτὸν λέγουσιν. οἱ δὲ, ἕνα τῶν προφητῶν, δείκνυσιν αὐτοῖς τοὺς κορυφαίους τῶν προφητῶν. ἵνα κἀντεῦθεν μάθωσι τὸ μέσον τῶν δούλων καὶ τοῦ δεσπότου. μία μὲν αὕτη αἰτία. ἑτέρα δὲ, ἐπειδὴ ἀντίθεον οἱ πολλοὶ αὐτὸν ἐνόμιζον, ὡς λύοντα τὸ σάββατον καὶ τὸν νόμον παραβαίνοντα, δείκνυσιν ἐν τῷ ὄρει τοὺς προφή-

τας· ὧν ὁ μὲν, νομοθέτης ἦν. ὁ δὲ, ζηλωτής· οὐκ ἂν οὖν ὡμίλουν οἱ τοιοῦτοι προφῆται τῷ τὸν νόμον λύειν δοκοῦντι, εἰ μὴ ἤρεσκεν αὐτοῖς ἃ λέγει· ὁ δὲ Πέτρος, φοβούμενος καταβῆναι ἀπὸ τοῦ ὄρους (ἐδεδοίκει γὰρ τὸ σταυρωθῆναι τὸν κύριον) φησί. καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. καὶ μὴ ἐκεῖ κατελθεῖν εἰς τὸ μέσον τῶν Ἰουδαίων· εἰ γὰρ καὶ ἐνταῦθα ἔλθοιεν οἱ κατὰ σοῦ λυττῶντες, ἔχομεν Μωσῆν τὸν τοὺς Αἰγυπτίους τροπωσάμενον· ἔχομεν Ἠλίαν τὸν πῦρ κατενεγκόντα ἐκ τοῦ οὐρανοῦ. καὶ τοὺς πεντηκοντάρχους διαφθείραντα· τί δὲ συνελάλουν αὐτῷ οἱ προφῆται; τὰ περὶ τοῦ σταυροῦ καὶ τοῦ θανάτου αὐτοῦ· ἔλεγε δὲ ἃ ἔλεγεν ὁ Πέτρος, μὴ εἰδὼς τί λαλεῖ· ἔκφοβοι γὰρ ἐγένοντο ἀπὸ τοῦ ἀῤῥήτου φωτὸς καὶ τῆς δόξης· οὐ γὰρ ἦν ὄντως ἐν τῷ ἰδίῳ νοΐ, μὴ θέλων καταβῆναι τὸν Ἰησοῦν εἰς τὸ σταυρωθῆναι πρὸς σωτηρίαν ἡμῶν, ἀλλὰ μένειν ἀεὶ ἐν τῷ ὄρει· ἀνακτέον δὲ καὶ εἰς θεωρίαν τὸν λόγον· μετὰ τὴν συντέλειαν τοῦ κόσμου τούτου, τοῦ ἐν ἓξ ἡμέραις δημιουργηθέντος, ἀναβιβάσει καὶ ἡμᾶς ὁ Ἰησοῦς, εἴγε μαθηταὶ αὐτοῦ ἐσμεν, εἰς τὸ ὄρος τὸ ὑψηλόν. τὸν οὐρανὸν λέγω. καὶ ἐμφανίσει ἡμῖν ἑαυτὸν λαμπρότερον· νῦν μὲν γὰρ ἐν ἀδοξίᾳ ἐφάνη, ὡς ἐσταυρωμένος καὶ τέκτονος υἱός· τότε δὲ ὀψόμεθα τὴν ὡς μονογενοῦς αὐτοῦ δόξαν· ὀψόμεθα δὲ καὶ τὸν νόμον καὶ τοὺς προφήτας αὐτῷ συλλαλοῦντας. τουτέστι, τὰ περὶ αὐτοῦ εἰρημένα παρά τε Μωϋσέως καὶ τῶν προφητῶν, τότε νοήσομεν καὶ εὑρήσομεν σύμφωνα τοῖς πράγμασι· καὶ τότε ἀκούσομεν ὄντως τῆς πατρικῆς φωνῆς. ἀποκαλύπτοντος ἡμῖν τοῦ πατρὸς τὸν υἱόν. καὶ διδάσκοντος ὅτι, οὗτος ἐστὶν ὁ υἱός μου· πῶς δὲ διδάξει ἡμᾶς; τῆς νεφέλης ἐπισκιαζούσης. τουτέστι τοῦ πνεύματος τοῦ ἁγίου· ἐκεῖνο γάρ ἐστιν ἡ πηγὴ τῆς σοφίας·

» Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσων-
» ται ἃ εἶδον, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ· καὶ τὸν λόγον ἐκράτη-
» σαν πρὸς ἑαυτοὺς, συζητοῦντες τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι· Τίνος ἕνεκεν ὁ κύριος παραγγέλλει τοῖς μαθηταῖς, μηδενὶ εἰπεῖν περὶ τῆς μεταμορφώσεως· ἵνα μὴ σκανδαλισθῶσιν οἱ ἄνθρωποι, τοιαῦτα μὲν ἀκούοντες περὶ τοῦ Χριστοῦ ἔνδοξα, εἶθ᾿ ὕστερον ὁρῶντες αὐτὸν σταυρούμενον· μετὰ μέντοι ἐκ νεκρῶν ἀνάστασιν, εὔκαιρον ἦν τὸ περὶ τοῦ Χριστοῦ τοιαῦτα λέγειν ἔνδοξα πρὸ τοῦ σταυροῦ γενόμενα· ἐκράτησαν οὖν οἱ ἀπόστολοι τὸν λόγον πρὸς ἑαυτοὺς, συζητοῦντες τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι· οὐδέπω γὰρ ᾔδεισαν φησὶν ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι·

» Καὶ ἐπηρώτων αὐτὸν, λέγοντες. ὅτι λέγουσιν οἱ γραμματεῖς, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν
» πρῶτον; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς. Ἠλίας μὲν ἐλθὼν πρῶτον, ἀποκαθιστᾷ πάντα·
» καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἵνα πολλὰ πάθῃ καὶ ἐξουδενωθῇ· ἀλ-
» λὰ λέγω ὑμῖν, ὅτι καὶ Ἠλίας ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς
» γέγραπται ἐπ᾿ αὐτόν· Περὶ τοῦ Ἠλιοῦ φήμη τις ἐκράτει παρὰ τοῖς Ἰουδαίοις, ὅτι Ἠλίας ἐλεύσεται πρὸ τοῦ Χριστοῦ· πλὴν οἱ Φαρισαῖοι, οὐχ ὡς δεῖ ἡρμήνευον τὰ περὶ τοῦ Ἠλιοῦ. ἀλλ᾿ ἐθελοκάκως ἀπέκρυπτον τὸ ἀληθές· δύο γάρ εἰσι τοῦ Χριστοῦ παρουσίαι. αὕτη τε ἡ γεγενημένη, καὶ ἡ μέλλουσα· τῆς μὲν οὖν προτέρας, Ἰωάννης ἐγένετο πρόδρομος· τῆς δὲ δευτέρας, μέλλει γενέσθαι Ἠλίας· Ἠλίαν οὖν καλεῖ ὁ Χριστὸς τὸν Ἰωάννην, ὡς ἐλεγκτικόν τε ὄντα καὶ ζηλωτὴν καὶ ἐρημίτην· ἐνίσταται τοίνυν ὁ κύριος πρὸς τὴν τῶν Φαρισαίων δόξαν, τῶν ὑπολαμβανόντων ὅτι τῆς προτέρας παρουσίας τοῦ Χριστοῦ πρόδρομος ἐστὶν ὁ Ἠλίας· πῶς δὲ ἐνίσταται; Ἠλίας μὲν ἐλθὼν, ἀποκαθιστᾷ πάντα. καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἵνα πολλὰ πάθῃ· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὁ Ἠλίας ὁ Θεσβίτης ὅταν μέλλῃ ἐλθεῖν, εἰρήνην μέλλει ποιήσειν τοῖς ἀπειθοῦσιν Ἰουδαίοις. καὶ εἰς πίστιν τούτους ἀγαγεῖν· ὥστε τῆς δευτέρας παρουσίας πρόδρομος

ἔσται. εἰ γὰρ τῆς πρώτης παρουσίας πρόδρομος ἦν ὁ Θεσβίτης, ὁ μέλλων ἀποκαταστή-
σειν πάντα, πῶς λοιπὸν γέγραπται ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου τάδε καὶ τάδε μέλλει πα-
θεῖν. ἐκ τῶν δύο οὖν τὸ ἕτερον λείπεται. ἢ μὴ εἶναι τὸν Ἠλίαν τῆς πρώτης παρουσίας
πρόδρομον, εἴπερ ἀληθεύουσιν αἱ γραφαὶ ὅτι δεῖ παθεῖν τὸν Χριστόν, ἢ μὴ ἀληθεύειν
τὰς γραφὰς τὰς λεγούσας ὅτι πείσεται ὁ Χριστός. εἴπερ πιστεύσοιμεν κατὰ τὸν λόγον
τῶν Φαρισαίων, ὅτι τῆς προτέρας παρουσίας ἔσται ὁ Θεσβίτης πρόδρομος. ὁ γὰρ
Ἠλίας ἀποκαταστήσειν μέλλει πάντα. καὶ οὐκ ἔσται τότε ἀπειθὴς τις Ἑβραῖος. ἀλλὰ
πάντες πιστεύσουσι τῷ κηρύγματι ὅσοι ἂν ἀκούσωσι τοῦ Ἠλιοῦ. τὴν οὖν ὑπόληψιν τῶν
Φαρισαίων ἀνατρέπων ὁ κύριος, φησὶν ὅτι Ἠλίας ἤδη ἦλθε, τουτέστιν ὁ Ἰωάννης, καὶ
ἐποίησαν ὅσα ἠθέλησαν ἐπ' αὐτῷ. ἠπείθησαν γὰρ αὐτῷ. καὶ τέλος ἀπεκεφαλίσθη,
παιγνίου ἔπαθλον γενόμενος.

» Καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς, εἶδεν ὄχλον πολὺν περὶ αὐτοὺς καὶ γραμματεῖς
» συζητοῦντας αὐτοῖς. καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν ἐξεθαμβήθη. καὶ προστρέ-
» χοντες ἠσπάζοντο αὐτόν. καὶ ἐπηρώτησε τοὺς γραμματεῖς. τί συζητεῖτε πρὸς αὐτούς.
» καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου, εἶπε. διδάσκαλε. ἤνεγκα τὸν υἱόν μου πρὸς σέ, ἔχοντα
» πνεῦμα ἄλαλον. καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτόν. καὶ ἀφρίζει καὶ τρίζει
» τοὺς ὀδόντας αὐτοῦ καὶ ξηραίνεται. καὶ εἶπον τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλλω-
» σι, καὶ οὐκ ἴσχυσαν. Ἐλθὼν πρὸς τοὺς μαθητὰς, τοὺς ἐννέα δηλαδὴ τοὺς μὴ συναναβάν-
τας αὐτῷ, εἶδεν αὐτοὺς ἐρωτωμένους παρὰ τῶν Φαρισαίων. δραξάμενοι γὰρ οἱ Φαρισαῖοι
τῆς ἀπουσίας τοῦ Ἰησοῦ, ἐπειρῶντο περιτρέπειν τοὺς μαθητάς. ὁ μέντοι ὄχλος ἐξαίφνης
ἰδὼν αὐτὸν, ἠσπάζετο. ἐπόθουν γὰρ αὐτὸν ἰδεῖν. καὶ ὥσπερ ἀπὸ μακρᾶς ἀποδημίας
ἰδόντες, ἠσπάζοντο. τινὲς δὲ φασὶν ὅτι καὶ ἡ ὄψις αὐτοῦ ὡραιοτέρα γενομένη ἀπὸ τοῦ
φωτὸς τῆς μεταμορφώσεως, ἐφείλκετο τοὺς ὄχλους πρὸς τὸ ἀσπάζεσθαι. ἀποκρι-
θεὶς δὲ εἷς ἐκ τοῦ ὄχλου, εἶπεν. ἀσθενὴς ἦν οὗτος ὁ ἄνθρωπος περὶ τὴν πίστιν, ὥσπερ καὶ
ὁ κύριος μαρτυρεῖ λέγων. ὦ γενεὰ ἄπιστος. καὶ πάλιν. τῷ πιστεύοντι, πάντα δυνατά.
κἀκεῖνος αὐτός. βοήθει μου τῇ ἀπιστίᾳ. κατηγορεῖ δὲ τῶν μαθητῶν, ὡς ἄπιστος πάν-
τως. ἔδει γὰρ αὐτὸν, μὴ ἔμπροσθεν πάντων ἐλθόντα κατηγορῆσαι, ἀλλὰ κατ' ἰδίαν.
» Ὁ δὲ ἀποκριθεὶς αὐτῷ, λέγει. ὦ γενεὰ ἄπιστος. ἕως πότε πρὸς ὑμᾶς ἔσομαι. ἕως
» πότε ἀνέξομαι ὑμῶν. φέρετε αὐτὸν πρός με. καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν. καὶ ἰδὼν
» αὐτὸν, εὐθέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν. καὶ πεσὼν ἐπὶ τῆς γῆς, ἐκυλίετο ἀφρί-
» ζων. καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ. πόσος χρόνος ἐστὶν, ὡς τοῦτο γέγονεν αὐτῷ.
» ὁ δὲ εἶπε. παιδιόθεν. καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπο-
» λέσῃ αὐτόν. ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ' ἡμᾶς. ὁ δὲ Ἰησοῦς
» εἶπεν αὐτῷ. τὸ εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι. καὶ εὐθέως κρά-
» ξας ὁ πατὴρ τοῦ παιδίου μετὰ δακρύων ἔλεγε. πιστεύω κύριε. βοήθει μου τῇ ἀπιστίᾳ.
» ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὁ ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ,
» λέγων αὐτῷ. τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἐξ αὐ-
» τοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. καὶ κράξαν καὶ πολλὰ σπαράξαν αὐτὸν, ἐξῆλθε.
» καὶ ἐγένετο ὡσεὶ νεκρός. ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν. ὁ δὲ Ἰησοῦς κρατήσας
» αὐτὸν τῆς χειρὸς, ἤγειρεν αὐτὸν, καὶ ἀνέστη. Ὁ μὲν προσελθὼν ἐκεῖνος, τοὺς μαθη-
τὰς ᾐτιᾶτο ὡς μὴ ἰσχύσαντας θεραπεῦσαι. ὁ δὲ Χριστὸς εἰς ἐκεῖνον αὐτὸν περιτρέπει
τὸ ἔγκλημα. μονονουχὶ τοῦτο λέγων, ὅτι ἄπιστος ὢν σὺ, αἴτιος ἐγένου τοῦ μὴ θερα-
πευθῆναί σου τὸν υἱόν. οὐ πρὸς ἐκεῖνον δὲ μόνον τοῦτο λέγει. ἀλλὰ κοινὸν ποιεῖται τὸν
λόγον, ὥσπερ πάντας κοινῶς τοὺς Ἰουδαίους ὀνειδίζων εἰς ἀπιστίαν. εἰκὸς γὰρ ἦν πολ-

λοὺς τῶν

λοις τῶν παρεστώτων σκανδαλισθῆναι. δείκνυσι δὲ προσηκὸν αὐτῷ ὄντα τὸν θάνατον, ἐκ τοῦ λέγειν. ἕως πότε ἔσομαι μεθ' ὑμῶν. τουτέστι, περιεκάκησα μεθ' ὑμῶν τῶν ἀπίστων διάγων. οὐ μὴν ἵσταται ἄχρι τοῦ μέμψασθαι αὐτούς. ἀλλὰ καὶ τὴν ἴασιν ἐπιτίθησιν. οὐκ ἐπιδεικτικῶς θεραπεῦσαι τὸν παῖδα ἐπιβαλλόμενος, ἀλλὰ μᾶλλον μετὰ μετριοφροσύνης πολλῆς. ὅρα γὰρ πῶς οὐ τῇ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ ἐκείνου πίστει ἀνατίθησι τὴν θεραπείαν. λέγων ὅτι πάντα δυνατὰ τῷ πιστεύοντι. ἀλλὰ καὶ ἕτερον. ἰδὼν γὰρ ἐπισυναγόμενον τὸν ὄχλον, ἐπετίμησε τῷ πνεύματι. οὐκ ἤθελε γὰρ ἔμπροσθεν ὄχλου θεραπεύειν, ὡς φαντάζων καὶ ἐπιδεικτικός. ἐπιτιμήσας δὲ καὶ εἰπών, ἔξελθε καὶ μηκέτι εἰσέλθῃς, τοῦτο αἰνίττεται. ὅτι διὰ τὴν ἀπιστίαν τοῦ ἀνθρώπου, εἰσῆλθεν ἂν καὶ πάλιν τὸ δαιμόνιον, εἰ μὴ τῷ προστάγματι αὐτοῦ ἐκωλύετο. συγχωρεῖ δὲ σπαράξαι τὸν παῖδα, ἵνα γνῶσι πάντες τὴν τοῦ δαίμονος ἐπήρειαν. καὶ ὅτι ἐθανάτωσεν ἂν τὸν ἄνθρωπον, εἰ μὴ ὑπὸ τῆς θείας ἀνεχαιτίζετο χειρός. ῥίπτεται δέ τις ὑπὸ δαίμονος εἰς πῦρ τὸ τοῦ θυμοῦ καὶ τὸ τῆς ἐπιθυμίας. καὶ εἰς ὕδωρ, τὸ τῶν βιωτικῶν πραγμάτων κλυδώνιον. ὁ δαίμων δὲ οὗτος, ἄλαλος ἐστὶ καὶ κωφός. κωφὸς μέν, ὡς μὴ ἀκούειν θέλων τῶν τοῦ θεοῦ λόγων. ἄλαλος δέ, ὡς μὴ δὲ ἑτέροις δυνάμενος διδάσκειν τὸ δέον. ἀλλ' ἐὰν ὁ Ἰησοῦς, τουτέστιν ὁ εὐαγγελικὸς λόγος, κρατήσῃ τῆς χειρός, τῆς πρακτικῆς λέγω δυνάμεως, τότε ἐλευθερωθησόμεθα τοῦ δαίμονος. ὅρα δὲ ὅτι ὁ μὲν θεός, βοηθεῖ ἡμῖν. εἶτα ἡμεῖς αὐτοὶ τὸ ἀγαθὸν ἀπαιτούμεθα ἐργάζεσθαι. φησὶ γάρ, ἤγειρεν αὐτὸν ὁ Ἰησοῦς. τοῦτο ἡ τοῦ θεοῦ βοήθεια. καὶ ἀνέστη. τοῦτο ἡ ἐκείνου αὐτοῦ πρὸς τὸ ἀγαθὸν σπουδή.

» Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ' ἰδίαν. τί ὅτι
» ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; καὶ εἶπεν αὐτοῖς. τοῦτο τὸ γένος ἐν οὐδενὶ δύνα-
» ται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. Ἐφοβήθησαν οἱ μαθηταὶ μήπως ἀπέβαλον τὴν χάριν ἣν δέδωκεν αὐτοῖς ὁ κύριος. καὶ διὰ τοῦτο οὐκ ἠδυνήθησαν ἐκβαλεῖν τὸν δαίμονα. ὅρα δὲ καὶ τὴν εὐλάβειαν αὐτῶν, πῶς κατ' ἰδίαν αὐτῷ προσέρχονται. τοῦτο δὲ τὸ γένος. ποῖον; ἢ τὸ τῶν σεληνιαζομένων, ἢ ἁπλῶς πᾶν τὸ τῶν δαιμόνων γένος, οὐκ ἐξέρχεται ἄλλῳ τινὶ τρόπῳ, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. δεῖ γὰρ καὶ τὸν πάσχοντα νηστεύειν, καὶ τὸν μέλλοντα θεραπεῦσαι. ἀμφοτέρων γὰρ χρεία. μάλιστα δὲ τὴν τοῦ πάσχοντος νηστείαν ἀπαιτεῖ ὁ λόγος. δεῖ δὲ μὴ νηστεύειν μόνον, ἀλλὰ καὶ προσεύχεσθαι. μὴ δὲ μόνον προσεύχεσθαι, ἀλλὰ καὶ νηστεύειν. οὕτω γὰρ ἡ ἀληθινὴ προσευχὴ τελεῖται, ἐὰν καὶ νηστείαν ἔχῃ συνεζευγμένην. ὅτε οὐ βαρεῖται ὁ προσευχόμενος τοῖς ἐκ τῶν βρωμάτων ἀτμοῖς, ἀλλὰ κοῦφος ἐστὶ καὶ ἀβαρής.

» Καὶ ἐκεῖθεν ἐξελθόντες, παρεπορεύοντο διὰ τῆς Γαλιλαίας. καὶ οὐκ ἤθελεν ἵνα
» τις γνῷ. ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ ἔλεγεν αὐτοῖς ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου
» παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν. καὶ ἀποκτανθείς, τῇ τρί-
» τῃ ἡμέρᾳ ἀναστήσεται. οἱ δέ, ἠγνόουν τὸ ῥῆμα καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι.

Πανταχοῦ ταῖς θαυματουργίαις παρεμβάλλει τὸν περὶ τοῦ πάθους λόγον, ἵνα μὴ νομισθῇ ὅτι δι' ἀδυναμίαν ἔπαθεν. εἰπὼν οὖν τὸ σκυθρωπόν, ὅτι ἀποκτενοῦσιν αὐτόν, ἐπάγει καὶ τὸ χαρμόσυνον, ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. ἵνα μάθωμεν ὅτι ἀεὶ τοῖς σκυθρωποῖς ἐπακολουθεῖ τὰ εὐφρόσυνα. καὶ μὴ μάτην ἀνιώμεθα ἐπὶ τοῖς λυπηροῖς, ἀλλ' ἐλπίζωμεν καὶ τὰ χρηστότερα.

» Καὶ ἦλθεν εἰς καπερναούμ. καὶ ἐν τῇ οἰκίᾳ γενόμενος, ἐπηρώτα αὐτούς. τί ἐν τῇ
» ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε. οἱ δέ, ἐσιώπων. πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ
» ὁδῷ, τίς μείζων. καὶ καθίσας, ἐφώνησε τοὺς δώδεκα. καὶ λέγει αὐτοῖς. εἴ τις θέλει

πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος· καὶ λαβὼν παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν· καὶ ἐναγκαλισάμενος αὐτὸ, εἶπεν αὐτοῖς. ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με. Οἱ μαθηταὶ ἔτι ἀνθρωπινώτερα φρονοῦντες, διεφιλονείκουν πρὸς ἀλλήλους περὶ τοῦ ποῖος αὐτῶν μείζων ἐστὶ, καὶ προτιμότερος παρὰ τῷ χριστῷ. ὁ δὲ κύριος, τὴν μὲν ἐπιθυμίαν τὴν τῆς προτιμήσεως, οὐ κωλύει· θέλει γὰρ ἡμᾶς ἐπιθυμεῖν τοῦ ὑψηλοτέρου βαθμοῦ· οὐ μέντοι ἁρπάζειν ἡμᾶς βούλεται τὰ πρωτεῖα. ἀλλὰ διὰ τῆς ταπεινώσεως μᾶλλον κατακτᾶσθαι τὸ ὑψηλόν. παιδίον γὰρ ἔστησεν εἰς τὸ μέσον. καὶ κατ᾽ ἐκεῖνο γενέσθαι καὶ ἡμᾶς βούλεται. τὸ γὰρ παιδίον, οὔτε δόξης ἐφίεται οὔτε φθονεῖ οὔτε μνησικακεῖ. καὶ οὐ μόνον φησὶν ἐὰν αὐτοὶ τοιοῦτοι γενήσεσθε, μισθὸν λήψεσθε μέγαν, ἀλλὰ κἂν ἑτέρους τοιούτους τιμήσετε δι᾽ ἐμὲ, βασιλείαν οὐρανῶν ἀντιλάβοιτε. ἐμὲ γὰρ δέχεσθε· ἐμὲ δὲ δεχόμενοι, δέχεσθε τὸν ἀποστείλαντά με· ὁρᾷς οὖν πόσα δύναται ἡ ταπείνωσις, καὶ τὸ ἄπλαστον τοῦ τρόπου καὶ ἄδολον; τὸν υἱὸν γὰρ καὶ τὸν πατέρα ἐνοικίζει ἐν ἡμῖν. πρόδηλον δὲ ὅτι καὶ τὸ πνεῦμα τὸ ἅγιον·

Ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης, λέγων. διδάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν. καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν. ὁ δὲ Ἰησοῦς εἶπε. μὴ κωλύετε αὐτόν. οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου, καὶ δυνήσεται ταχὺ κακολογῆσαί με. ὃς γὰρ οὐκ ἔστι καθ᾽ ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν· Οὐ ζηλοτυπίᾳ τινὶ καὶ φθόνῳ ὑπαγόμενος ὁ τῆς βροντῆς υἱὸς, κωλύει ἐκεῖνον τὸν τὰ δαιμόνια ἐκβάλλοντα. ἀλλὰ θέλων πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦ χριστοῦ, καὶ ἀκολουθεῖν αὐτῷ. καὶ ἓν εἶναι σῶμα πάντας τοὺς μαθητάς· ἐν γὰρ τῇ ἀρχῇ τοῦ κηρύγματος, τινὲς φιλοδοξίας ἔρωτι κρατούμενοι, ἤθελον καὶ αὐτοὶ σημεῖα δῆθεν ἐργάζεσθαι· ὁρῶντες δὲ τὸ ὄνομα τοῦ Ἰησοῦ πολλὰ δυνάμενον, ἐπέλεγον τοῦτο. καὶ δὴ σημεῖα ἐποίουν, ἄλλως ἀνάξιοι ὄντες τῆς θείας χάριτος· ἐβούλετο γὰρ ὁ κύριος, πλατύνεσθαι τὸ κήρυγμα καὶ διὰ τῶν ἀναξίων· τί οὖν ὁ σωτήρ· οὐ συγχωρεῖ τῷ Ἰωάννῃ κωλύειν τὸν τὰ σημεῖα ποιοῦντα, ἀλλ᾽ ἄφετε γάρ φησιν. οὐδεὶς γὰρ δυνήσεται ταχὺ κακολογῆσαί με, ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου· πῶς γὰρ ἂν κακολογήσειέ με ὁ τὸ ὄνομά μου ἀφορμὴν δόξης ἔχων. καὶ διὰ τοῦ ἐπικαλεῖσθαι τοῦτο θαυματουργῶν· δοκεῖ δὲ ἐναντία λέγειν ὁ κύριος ἑαυτῷ· ἀλλαχοῦ γὰρ εἰπών. ὁ μὴ ὢν μετ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ ἐστι, νῦν λέγει ὃς οὐκ ἔστι καθ᾽ ἡμῶν, ὑπὲρ ἡμῶν ἐστι· δοκοῦσιν οὖν ταῦτα ἐναντία. οὐκ εἰσὶ δέ. τὸ μὲν γὰρ ὁ μὴ ὢν μετ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ ἐστι, περὶ δαιμόνων εἴρηται. τῶν ἀπὸ θεοῦ ἀφέλκειν σπουδαζόντων καὶ σκορπιζόντων τὰ τοῦ θεοῦ· τὸ δὲ νῦν ῥηθὲν, περὶ ἀνθρώπων τῶν μᾶλλον προσαγόντων τινὰς τῷ θεῷ διὰ τοῦ θαύματα ἐπιτελεῖν·

Ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν τῷ ὀνόματί μου, ὅτι χριστοῦ ἐστὲ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ· καὶ ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς ἐμὲ, καλόν ἐστιν αὐτῷ μᾶλλον, εἰ περίκειται λίθος μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ βέβληται εἰς τὴν θάλασσαν·

Οὐ μόνον φησὶ τὸν δυνάμεις ποιοῦντα ἐν τῷ ὀνόματί μου οὐ κωλύω, ἀλλὰ κἄν τις ἐλάχιστόν τι δώσει ὑμῖν διὰ τὸ ἐμὸν ὄνομα, καὶ ἀποδέξηται ὑμᾶς δι᾽ ἐμὲ, οὐ δι᾽ ἀνθρωπίνην χάριν ἢ κοσμικὴν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ· εἶπε δὲ τὸ ποτήριον τοῦ ὕδατος, διὰ τοὺς προφασιζομένους τὴν πενίαν· κἂν γὰρ φησὶ ποτήριον ὕδατος δώσεις, τὸ εὐτελέστατον, οὐ δὲ τοῦτο ἀπολέσεις. ὥσπερ τῇ ἐὰν ἕνα τῶν μικρῶν τιμήσῃς εὐαρεστεῖς τῷ θεῷ,

τῷ θεῷ, οὕτως ἐὰν ἕνα τῶν μικρῶν σκανδαλίσῃς, τουτέστιν ἀτιμάσῃς. ὑποσκελίσῃς, συμφέρει σοι εἰ μύλος ὀνικὸς ἐκρεμάσθη σου ἐν τῷ τραχήλῳ. χείρονα γὰρ ὡς ἔοικε τιμωρίαν ὑποστησόμεθα. αἰσθητὴν δὲ τιμωρίαν εἶπεν, ἐκφοβῶν ἡμᾶς διὰ τούτου τοῦ αἰσθητοῦ ὑποδείγματος.

» Καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν. καλόν σοι ἐστὶ κυλλὸν εἰς τὴν
» ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχοντα, ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβε
» στον. ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ. καὶ τὸ πῦρ οὐ σβέννυται. καὶ ἐὰν ὁ πούς σου
» σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν. καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν, ἢ τοὺς
» δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον. ὅπου ὁ σκώληξ
» αὐτῶν οὐ τελευτᾷ. καὶ τὸ πῦρ οὐ σβέννυται. καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ
» σε, ἔκβαλε αὐτόν. καλόν σοι ἐστὶ μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, ἢ
» δύο ὀφθαλμοὺς ἔχοντα, βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός. ὅπου ὁ σκώληξ αὐτῶν
» οὐ τελευτᾷ. καὶ τὸ πῦρ οὐ σβέννυται. πᾶς γὰρ πυρὶ ἁλισθήσεται. καὶ πᾶσα θυσία
» ἁλὶ ἁλισθήσεται. καλὸν τὸ ἅλας. ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρ-
» τύσετε. ἔχετε ἐν ἑαυτοῖς ἅλας. καὶ εἰρηνεύετε ἐν ἀλλήλοις. Ἀπειλήσας τοῖς σκαν

δαλίζουσιν, ὅτι συνέφερεν αὐτοῖς εἰ ἐρρίφησαν ἐν τῇ θαλάσσῃ, νῦν παραινεῖ τοῖς σκανδαλιζομένοις φυλάττεσθαι ἀπὸ τῶν ἑτοίμως ἐχόντων σκανδαλίζειν καὶ ὑποσκελίζειν αὐτούς. κἂν γὰρ πούς κἂν χεὶρ κἂν ὀφθαλμὸς ᾖ ὁ σκανδαλίζων σε, τουτέστι κἂν τῶν οἰκειοτάτων τὶς κἂν τῶν καθ᾽ αἷμα πλησιαζόντων καὶ χρειωδῶν, ἔκκοψον αὐτόν. τουτέστιν, ἀπάρνησαι τὴν πρὸς αὐτὸν φιλίαν καὶ οἰκειότητα. σκώληξ δὲ καὶ πῦρ κολάζοντα τοὺς ἁμαρτωλούς, ἡ συνείδησίς ἐστιν ἑκάστου. καὶ ἡ μνήμη τῶν πραχθέντων ἐν τῷ βίῳ τούτῳ αἰσχρῶν. ἥτις ὥσπερ σκώληξ καταδαπανᾷ. καὶ ὡς πῦρ φλέγει. πᾶς γάρ φησι πυρὶ ἁλισθήσεται. τουτέστι δοκιμασθήσεται. ὅπερ καὶ ὁ Παῦλος λέγει, ὅτι ἐν πυρὶ δοκιμασθήσεται πάντα. καὶ πᾶσα δέ φησι θυσία ἁλὶ ἁλισθήσεται. τοῦτο δὲ ἀπὸ τοῦ λευιτικοῦ εἶπεν. ἐκεῖ γάρ φησιν ὁ θεός. πᾶν δῶρον θυσίας ἡμῶν, ἁλὶ ἁλισθήσεται. καλὸν οὖν ἐστὶν ἡμᾶς ἁλίζειν τὰς θυσίας ἡμῶν τῷ ἅλατι τοῦ θεοῦ. τουτέστι, μὴ ἐκλελυμένας θυσίας καὶ ῥαθύμους προσφέρειν, ἀλλὰ στρυφνὰς καὶ νοσίμους. ἅλας δὲ λέγει καὶ τοὺς ἀποστόλους ὁ κύριος. καὶ πάντας ἁπλῶς τοὺς δύναμιν ἔχοντας συνεκτικὴν καὶ συνδετικήν. ὥσπερ γὰρ τὸ ἅλας συνέχει τὰ κρέα, καὶ οὐκ ἐᾷ αὐτὰ σκώληκας γεννᾶν, οὕτω καὶ ὁ διδασκαλικὸς λόγος ἐὰν στρυφνὸς εἴη, τοὺς σαρκικοὺς ἀνθρώπους συσφίγγων, οὐκ ἐᾷ ἐν αὐτοῖς γεννηθῆναι τὸν ἀκοίμητον σκώληκα. ἐὰν δὲ ὁ διδάσκαλος ἄναλος εἴη, καὶ μὴ ἔχῃ τὸ στρυφνὸν καὶ συνδετικὸν, ἐν τίνι ἁλισθήσεται. τουτέστιν ἀρτυθήσεται. ἔχετε οὖν ἐν ἑαυτοῖς ἅλας. ἤγουν τὴν νόσιμον χάριν τοῦ πνεύματος καὶ συνεκτικὴν, ὡς ἂν εἰρηνεύητε πρὸς ἀλλήλους. ὁ γὰρ τῷ συνδέσμῳ τῆς ἀγάπης συσφιγγόμενος πρὸς τὸν πλησίον, οὗτος ἅλας ἔχει, καὶ λοιπὸν εἰρηνεύει πρὸς τὸν ἀδελφὸν αὐτοῦ.

Λευϊ. βʹ.

Κεφάλαιον Δέκατον.

» Κἀκεῖθεν ἀναστὰς, ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας διὰ τοῦ πέραν τοῦ Ἰορδάνου.
» καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν. καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν αὐ-
» τούς. καὶ προσελθόντες οἱ Φαρισαῖοι, ἐπηρώτησαν αὐτόν, εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπο
» λῦσαι, πειράζοντες αὐτόν. ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς. τί ὑμῖν ἐνετείλατο Μωσῆς.
» οἱ δὲ, εἶπον αὐτῷ. Μωσῆς ἐπέτρεψε βιβλίον ἀποστασίου γράψαι, καὶ ἀπολῦσαι. καὶ
» ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς. πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν
» ἐντολὴν ταύτην. ἀπὸ δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς ὁ θεός. ἕνεκεν

» τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα. καὶ προσκολληθή-
» σεται πρὸς τὴν γυναῖκα αὐτοῦ. καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὥστε οὐκέτι εἰσὶ
» δύο, ἀλλὰ μία σάρξ. ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

Συνεχῶς τὴν Ἰουδαίαν ἠφίει ὁ κύριος διὰ τὴν βασκανίαν ἐκείνων. νῦν οὖν ἐπιχωριάζει, ἐπειδὴ τὸ πάθος ἐγγὺς ἔμελλεν εἶναι. οὐ μὴν εἰς τὰ Ἱεροσόλυμα ἄνεισι τέως, ἀλλ᾽ εἰς τὰ τῆς Ἰουδαίας ὅρια. ἵνα τὸν ἄκακον ὄχλον ὠφελήσῃ. τὰ γὰρ Ἱεροσόλυμα, πάσης κακίας ἐργαστήριον ἦσαν διὰ τὴν τῶν φαρισαίων πονηρίαν. ἴδε γοῦν τὴν κακίαν αὐτῶν, πῶς πειράζουσι τὸν κύριον, μὴ ἐῶντες αὐτὸν ἵνα πιστεύσωσιν αὐτῷ οἱ ὄχλοι, ἀλλ᾽ ἀεὶ προσερχόμενοι καὶ δοκοῦντες εἰς ἀπορίαν ἐμβάλλειν καὶ ἐπιστομίζειν διὰ τῶν ζητημάτων. ἠρώτησαν γὰρ αὐτὸν ἐρώτημα ἀμφοτέρωθεν ἔχον κρημνοὺς, εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα. ἵνα ἐὰν μὲν εἴπῃ ὅτι ἔξεστιν ἀπολύειν, ἀπαντήσωσιν αὐτῷ. πῶς οὖν εἶπας ὅτι ἐκτὸς λόγου πορνείας, οὐκ ἔξεστιν ἀπολύειν. ἐὰν δὲ εἴπῃ ὅτι οὐκ ἔξεστιν, ἐγκαλέσωσιν αὐτῷ ὡς ἐναντιουμένῳ τοῖς τοῦ Μωσέως δόγμασιν. ὁ οὖν Χριστὸς, ἡ αὐτοσοφία, ἀποκρίνεται αὐτοῖς ἀπόκρισιν διαφεύγουσαν τὰς αὐτῶν παγίδας. ἐρωτᾷ γὰρ αὐτοὺς, τί αὐτοῖς ἐνετείλατο Μωσῆς. τῶν δὲ εἰπόντων ὅτι ἀπολύειν ἐνετείλατο, ἑρμηνεύει αὐτοῖς τὸν νόμον. οὐ γὰρ οὕτως ἀπηνὴς ἦν ὁ Μωσῆς φησὶν, ὥστε τοιοῦτον εἰσενεγκεῖν νόμον. ἀλλὰ πρὸς τὴν ὑμετέραν σκληροκαρδίαν τοῦτο ἔγραψεν. ὁ γὰρ θεὸς γινώσκων τὴν τῶν Ἑβραίων ἀπανθρωπίαν, καὶ ὅτι ῥᾳδίως ὁ βουλόμενος φονεύοι ἂν τὴν ἑαυτοῦ γυναῖκα μισήσας ἅπαξ αὐτὴν, συνεχώρησεν ἀπολύειν τὴν γυναῖκα τὸν μὴ ἀρεσκόμενον αὐτῇ. ἀπ᾽ ἀρχῆς δὲ οὐχ οὕτως ἦν. ἀλλ᾽ ἡ τοῦ θεοῦ βουλὴ συγκολλᾷ ἀλλήλοις τοὺς συζύγους καὶ εὖ ποιεῖ, ὥστε καὶ γονέων καταμελεῖν. ὅρα δὲ τί λέγει, ὅτι ὁ θεὸς οὐ θέλει πολυγαμίαν. ὥστε ταύτην μὲν καταλιμπάνειν, ἑτέραν δὲ ἄγεσθαι γυναῖκα. καὶ πάλιν ταύτην καταλιμπάνειν, καὶ ἑτέρᾳ κολλᾶσθαι. εἰ γὰρ τοῦτο ἦν, ἐποίησεν ἂν ἕνα μὲν ἄνδρα, πολλὰς δὲ γυναῖκας. νῦν δὲ, οὐ τοῦτο γέγονεν. ἀλλ᾽ ἄρσεν καὶ θῆλυ ἐποίησεν, ἕνα μιᾷ κελεύσας συνάπτεσθαι. μήποτε δὲ καὶ οὕτω δυνάμεθα νοῆσαι τὸ παρὸν χωρίον. ὁ λόγος ὁ διδασκαλικὸς, σπέρματα ἀγαθὰ ἐμβάλλων εἰς τὴν ψυχὴν τοῦ πιστοῦ ἀνθρώπου, ἀνδρὸς λόγον ἐπέχει πρὸς τὴν ὑποδεχομένην αὐτὸν ψυχήν. πολλάκις οὖν ὁ λόγος θέλων ὠφελῆσαι τὴν ὑποδεχομένην ψυχὴν, καταλιμπάνει τὸν πατέρα αὐτοῦ, τουτέστι νοῦν ὑψηλόν. καὶ τὴν μητέρα αὐτοῦ, τουτέστι λέξιν κεκαλλωπισμένην, καὶ προσκολλᾶται τῇ γυναικὶ αὐτοῦ. ἤτοι τὰ πρὸς ὠφέλειαν τῆς ψυχῆς ἐκείνης διδάσκει, συγκαταβαίνων αὐτῇ καὶ νοῦν πολλάκις εὐτελῆ καὶ λέξεις ἰδιωτικὰς προτιμῶν. καὶ λοιπὸν γίνονται οἱ δύο εἰς σάρκα μίαν. τουτέστι, πιστεύει ἡ ψυχὴ σάρκα γενέσθαι τὸν λόγον τοῦ θεοῦ. καὶ οὐδεὶς ἀνθρώπινος λογισμὸς δύναται χωρίσαι τὴν ψυχὴν ἀπὸ τῆς τοιαύτης πίστεως.

» Καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ περὶ τοῦ αὐτοῦ ἐπηρώτησαν αὐτόν. καὶ
» λέγει αὐτοῖς. ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ᾽ αὐ-
» τήν. καὶ ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἄνδρα αὐτῆς καὶ γαμηθῇ ἄλλῳ, μοιχᾶται.

Ἔτι καὶ οἱ μαθηταὶ ἐσκανδαλίζοντο. διὰ τοῦτο οὖν καὶ προσέρχονται πάλιν αὐτῷ καὶ ἐρωτῶσιν, ὡς μήπω ἱκανῶς ἐκθεραπευθέντος αὐτῶν τοῦ λογισμοῦ. ὁ δὲ, ἀποκρίνεται αὐτοῖς, λέγων. ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην, μοιχός ἐστιν αὐτῆς τῆς δευτέρας. ὁμοίως οὖν καὶ ἡ γυνὴ, μοιχαλίς ἐστιν, ἡ ἀφεῖσα τὸν ἴδιον ἄνδρα καὶ ἑτέρῳ συζυγεῖσα.

» Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται αὐτῶν. οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς
» προσφέρουσιν. ἰδὼν δὲ ὁ Ἰησοῦς, ἠγανάκτησε καὶ εἶπεν αὐτοῖς. ἄφετε τὰ παιδία ἔρχε-

θαι

σθαι πρός με. καὶ μὴ κωλύετε αὐτά. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. καὶ ἐναγκαλισάμενος αὐτὰ, καὶ τιθεὶς τὰς χεῖρας ἐπ' αὐτὰ, εὐλόγησεν αὐτά. Πολλὴ ἡ πίστις τῶν ὄχλων, εἴγε καὶ μόνῃ τῇ τῶν χειρῶν ἐπιθέσει, εὐλογεῖν ἐνόμιζον τὸν χριστὸν τοὺς αὐτῷ προσαγομένους. οἱ δὲ μαθηταὶ νομίζοντες ἀνάξιον τοῦτο εἶναι τοῦ χριστοῦ, τὸ παιδία προσάγεσθαι αὐτῷ, διεκώλυον τοὺς προσάγοντας. τί οὖν ὁ χριστός. διδάσκων αὐτοὺς μετεωροφρονεῖν καὶ τῦφον καταπατεῖν κοσμικὸν, καὶ λαμβάνει καὶ ἐναγκαλίζεται. δείκνυσι γὰρ ὅτι τοὺς ἀκάκους προσλαμβάνεται. διὸ καὶ λέγει. τῶν τοιούτων γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ. ὅρα οὐκ εἶπε, τούτων γάρ ἐστιν ἡ βασιλεία, ἀλλὰ τῶν τοιούτων. τουτέστι τῶν ἐχόντων ἐξ ἀσκήσεως τὴν ἀκακίαν, ἣν τὰ παιδία ἔχουσιν ἀπὸ φύσεως. τὸ γὰρ παιδίον, οὔτε φθονεῖ οὔτε μνησικακεῖ οὔτε μαστιζόμενον παρὰ τῆς μητρὸς ἀφίσταται. ἀλλὰ κἂν ῥάκια αὕτη φορῇ, τῆς βασιλίδος ταύτην προτιμᾷ. οὕτω καὶ ὁ κατ' ἀρετὴν ζῶν, τῆς μητρὸς αὐτοῦ τῆς ἐκκλησίας λέγω, οὐδὲν προτιμᾷ οὐδὲ τὴν βασιλεύουσαν τῶν πολλῶν ἡδονήν. διὸ καὶ ἐναγκαλίζεται τοὺς τοιούτους ὁ κύριος, λέγων. δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι. καὶ εὐλογεῖ, λέγων. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου. βασιλείαν δὲ τοῦ θεοῦ, τὸ κήρυγμα καὶ τὴν ἐπαγγελίαν τῶν ἀγαθῶν ἐνταῦθά φησιν. ὅστις οὖν δέξεται τὸ κήρυγμα τοῦ θεοῦ ὡς παιδίον, τουτέστι μηδὲν διακρινόμενος ἢ ἀπιστῶν, ἐκεῖνος εἰσέρχεται εἰς τὴν βασιλείαν τοῦ θεοῦ. καὶ εἰς τὰ ἀγαθὰ ἃ ἐδέξατο ἤδη τῇ πίστει.

Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδὸν, προσδραμὼν εἷς καὶ γονυπετήσας αὐτῷ, ἐπηρώτα αὐτόν. διδάσκαλε ἀγαθὲ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. τί με λέγεις ἀγαθόν. οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ θεός. τὰς ἐντολὰς οἶδας. μὴ μοιχεύσῃς. μὴ φονεύσῃς. μὴ κλέψῃς. μὴ ψευδομαρτυρήσῃς. μὴ ἀποστερήσῃς. τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτῷ. διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου. ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτὸν καὶ εἶπεν αὐτῷ. ἕν σοι ὑστερεῖ. ὕπαγε ὅσα ἔχεις πώλησον, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι ἄρας τὸν σταυρόν. ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀπῆλθε λυπούμενος. ἦν γὰρ ἔχων κτήματα πολλά. Τινὲς διαβάλλουσι τὸν νεανίσκον τοῦτον, ὡς ὕπουλόν τινα καὶ πονηρὸν καὶ πειραστικόν. οὐκ ἔστι δὲ τοῦτο. ἀλλὰ φιλοχρήματος μὲν ὁ ἄνθρωπος, οὐ πειραστὴς δέ. ἄκουε γὰρ τοῦ εὐαγγελιστοῦ, ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, ἠγάπησεν αὐτόν. διατί οὖν οὕτω πρὸς αὐτὸν ἀπεκρίνατο ὁ χριστὸς, λέγων. οὐδεὶς ἀγαθός. ἐπειδὴ ὡς ἀνθρώπῳ προσῆλθε. καὶ ὡς ἑνὶ τῶν πολλῶν διδασκάλων. τοῦτο γὰρ λέγει ὁ χριστός. ἐὰν μὲν ὡς διδάσκαλον νομίζῃς με εἶναι ἀγαθὸν, οὐδεὶς ἄνθρωπος ἀγαθὸς, ὡς πρὸς σύγκρισιν τοῦ θεοῦ. ἐὰν δὲ ὡς θεὸν νομίζῃς με εἶναι ἀγαθὸν, τί λοιπὸν διδάσκαλόν με ὀνομάζῃς. ὥστε τοῦτο διὰ τῶν ῥημάτων τούτων ὁ χριστὸς βούλεται. τὸ, ὑψηλοτέραν ποιῆσαι τὴν τοῦ ἀνθρώπου διάνοιαν, πρὸς τὸ ἐπιγνῶναι αὐτὸν ὡς θεόν. ἀλλὰ καὶ ἄλλο τι κατορθοῖ. τὸ διδάξαι αὐτὸν ὅταν τινὶ μέλλῃ ὁμιλῆσαι, μὴ κολακευτικῶς ὁμιλεῖν. ἀλλὰ τὴν ῥίζαν καὶ τὴν πηγὴν τῆς ἀγαθότητος, εἰδέναι τὸν θεόν. καὶ αὐτῷ τὰς τιμὰς ἀναφέρειν. θαυμάζω δὲ τὸν νεανίσκον τοῦτον, ὅτι τῶν ἄλλων ἁπάντων περὶ νοσημάτων θεραπείας προσιόντων, αὐτὸς ζωῆς αἰωνίου κληρονομίαν ζητεῖ. εἰ καὶ πάθει δεινοτάτῳ τῇ φιλαργυρίᾳ κατείχετο. δι' ἣν ἀκούσας, ὕπαγε πώλησον καὶ δὸς πτωχοῖς, ἀπῆλθε λυπούμενος. ὅρα δὲ, οὐκ εἶπεν ὅτι, ὕπαγε ὅσα ἔχεις πώλει κατὰ μέρος καὶ δίδου, ἀλλὰ πώλησον ἀπὸ μιᾶς, καὶ δός. ἀλλὰ πτωχοῖς, ἀλλὰ μὴ κόλαξι καὶ ἀσώτοις. ἀλλὰ καὶ δεῦρο ἀκολούθει μοι. τουτέστιν, καὶ τὴν ἄλλην ἅπασαν ἀρε-

τὴν μέτελθε· πολλοὶ γὰρ ἀκτήμονες μέν εἰσιν, οὐ ταπεινόφρονες δέ· ἢ καὶ ταπεινό-
φρονες μὲν, ἀλλὰ μέθυσοι ἢ ἄλλο τι κακὸν ἔχοντες· διὰ τοῦτο οὖν ὁ κύριος λέγει. πώλη
σον καὶ δὸς πτωχοῖς καὶ ἀκολούθει μοι, ἄρας τὸν σταυρόν· τουτέστι πρὸς θάνατον τὸν
ὑπὲρ ἐμοῦ ἑτοιμάσας σεαυτόν· ὁ δὲ, στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀπῆλθεν. ἦν γὰρ ἔχων
κτήματα πολλά· οὐ μάτην δὲ πρόσκειται τοῦτο τὸ πολλά· καὶ γὰρ οὐχ ὁμοίως οἵτε
πολλὰ ἔχοντες οἵτε ὀλίγα κατέχονται. ἀλλὰ δεινότερα καὶ δυσδιαλυτότερα τὰ
δεσμὰ τῶν πολλῶν κτημάτων· ἀλλὰ κἂν νεανίσκος εἴη τις νεώτερος καὶ κοῦφος
τὴν διάνοιαν, καὶ μὴ καθεστηκὼς τὰς φρένας, πωλησάτω τὰ ὑπάρχοντα αὐτῷ· οἷον
θυμὸν καὶ ἐπιθυμίαν, καὶ ὅσα ἐκ τούτων κακὰ φύονται· καὶ δότω ταῦτα καὶ ἀπορρί
ψάτω τοῖς δαίμοσιν. οἵτινές εἰσι πτωχοὶ, παντὸς ἐστερημένοι ἀγαθοῦ καὶ τοῦ πλούτου
τῆς ἀγαθότητος τοῦ θεοῦ ἐκπεπτωκότες. καὶ τότε ἀκολουθείτω τῷ χριστῷ· ὁ γὰρ ἀπορ
ρίψας τὸν τῶν ἁμαρτιῶν πλοῦτον τοῖς δαίμοσιν, ἐκεῖνος δύναται ἀκολουθεῖν τῷ χρι
ψαλ. λγ'. στῷ. ἔκκλινον γὰρ ἀπὸ κακοῦ. τοῦτο τὸ ἀπορρίψαι τὸν κακὸν πλοῦτον ταῖς πτωχαῖς δυνά
μεσι τῶν δαιμόνων· καὶ ποίησον ἀγαθόν. τοῦτο τὸ ἀκολουθεῖν τῷ χριστῷ, καὶ ἆραι
τὸν σταυρόν·

» Καὶ περιβλεψάμενος ὁ Ἰησοῦς, λέγει τοῖς μαθηταῖς αὐτοῦ. πῶς δυσκόλως οἱ τὰ
» χρήματα ἔχοντες, εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελεύσονται· οἱ δὲ μαθηταὶ ἐθαμ-
» βοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ· ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς, λέγει αὐτοῖς. τέκνα, πῶς
» δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ χρήμασιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν.
» εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βα-
» σιλείαν τοῦ θεοῦ εἰσελθεῖν· οἱ δὲ, περισσῶς ἐξεπλήττοντο, λέγοντες πρὸς ἑαυτούς. καὶ
» τίς δύναται σωθῆναι· ἐμβλέψας δὲ αὐτοῖς ὁ Ἰησοῦς, λέγει. παρὰ ἀνθρώποις ἀδύνα
» τον. ἀλλ' οὐ παρὰ τῷ θεῷ· πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ θεῷ· Οὐχὶ τὰ χρή-
ματα κακὰ, ἀλλ' οἱ ἔχοντες αὐτὰ διαβάλλεσθαι ἄξιοι· δεῖ γὰρ μὴ ἔχειν αὐτὰ, του-
τέστι κατέχειν, ἀλλὰ χρῆσθαι αὐτοῖς εἰς δέον· χρήματα γὰρ εἴρηται παρὰ τὸ εἰς χρῆ-
σιν εἶναι ἀνθρώποις, οὐχὶ παρὰ τὸ κατέχεσθαι· οἱ τοίνυν ἔχοντες καὶ ἀποκλείοντες ταῦ
τα, δυσκόλως εἰσελεύσονται εἰς βασιλείαν τοῦ θεοῦ· τὸ δὲ δύσκολον ἐνταῦθα ἀντὶ τοῦ
ἀδύνατον νόει· ἀδύνατον γάρ ἐστι πλούσιον ἄνθρωπον σωθῆναι· τοῦτο δὲ δῆλον ἀπὸ
τοῦ ὑποδείγματος οὗ τίθησιν ὁ κύριος, λέγων ὅτι εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπή
ματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς βασιλείαν τοῦ θεοῦ· ἀδύνατον γάρ ἐστι κάμη
λον διὰ τρυπήματος βελόνης διελθεῖν· κάμηλον δὲ νόει, ἢ αὐτὸ τὸ ζῶον, ἢ σχοῖνον τινὰ
παχεῖαν ᾗ τὰ μέγιστα τῶν πλοίων χρῶνται· ἀδύνατον οὖν ἄνθρωπον ἐν ὅσῳ ἐστὶ πλού
Λουκ. ις'. σιος, σωθῆναι· παρὰ μέντοι τῷ θεῷ δυνατόν ἐστι τοῦτο· εἶπε γὰρ ὁ χριστός. ποιήσατε
ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας· ὁρᾷς ὅταν ἀκούσωμεν τοῦ θεοῦ, πῶς γίνεται
τοῦτο δυνατόν; παρὰ δὲ τοῖς ἀνθρώποις ἀδύνατον· τουτέστιν, ὅταν ἀνθρώπινα φρονῶ
μεν, ἀδύνατόν ἐστι τοῦτο· τίνος δὲ ἕνεκεν οἱ μαθηταὶ ἐξεθαμβοῦντο ἐπὶ τοῖς λόγοις
τούτοις; οὐ γὰρ δήπου αὐτοὶ πλούσιοι ἦσαν· ἐμοὶ δοκεῖ ὑπὲρ πάντων ἀνθρώπων
ἀγωνιῶντες· φιλάνθρωποι γὰρ ἤδη ἤρξαντο γίνεσθαι· τινὲς δὲ ἐνταῦθα ἀπορροῦσι πῶς
εἶπε, πάντα δυνατά ἐστι παρὰ τῷ θεῷ· λέγομεν οὖν ὅτι ὅταν εἴπῃ πάντα, τὰ ὄντα λέ
γει· ἡ δὲ ἁμαρτία, μὴ ὄν ἐστιν· ἀνούσιον γὰρ πρᾶγμα καὶ ἀνυπόστατον, ἡ ἁμαρτία· ἄλ-
λως τε ἡ ἁμαρτία, οὐκ ἔστι δυνάμεως ἀλλ' ἀσθενείας, ὡς καὶ ὁ ἀπόστολος λέγει·
χριστὸς, ὄντων ἡμῶν ἀσθενῶν, ἀπέθανε· καὶ πάλιν ὁ Δαβίδ· ἐπληθύνθησαν αἱ ἀσθέ
Πρὸς Ρω. ε'. νειαι αὐτῶν· ὥστε ἡ ἁμαρτία, ἀσθένεια οὖσα, οὐκ ἔστι δυνατὴ παρὰ τῷ θεῷ· ἆρα οὖν φα
ψαλ. ιε'. σὶ δύναται ὁ θεὸς, καὶ τὸ γεγονὸς ὡς μὴ γεγονὸς ποιῆσαι; λέγομεν οὖν ὅτι ὁ θεὸς

ἀλήθεια

ἀλήθειά ἐστι. τὸ δὲ ποιῆσαι τὸ γεγονὸς ὡς μὴ γεγονὸς, ψεῦδος. πῶς οὖν ἡ ἀλήθεια ποιή
σει τὸ ψεῦδος; πρότερον γὰρ ἂν ἀπολέσειε τὴν οἰκείαν φύσιν. ὥστε τοῦτο φασὶν οἱ λέ
γοντες. ἆρα δύναται ὁ θεὸς, μὴ εἶναι θεός; ὁρᾷς γὰρ τὸ γελοῖον τοῦ ἐρωτήματος.
» Καὶ ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ. ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσα
» μέν σοι. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν. ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν.
» ἢ ἀδελφοὺς ἢ ἀδελφάς. ἢ πατέρα ἢ μητέρα. ἢ γυναῖκα. ἢ τέκνα. ἢ ἀγροὺς, ἕνεκεν
» ἐμοῦ καὶ τοῦ εὐαγγελίου, ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα. νῦν ἐν τῷ καιρῷ τούτῳ,
» οἰκίας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ μητέρας καὶ τέκνα καὶ ἀγροὺς, μετὰ διωγμῶν.
» καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ, ζωὴν αἰώνιον. πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι. καὶ οἱ
» ἔσχατοι πρῶτοι. Ὁ Πέτρος εἰ καὶ ὀλίγα ἀφῆκεν, ἀλλ' οὖν πάντα ὀνομάζει ταῦτα.
καὶ τὰ ὀλίγα γὰρ, δεσμὸν προσπαθείας ἔχουσιν. ὥστε μακαριστὸς καὶ ὁ τὰ ὀλίγα
ἀφείς. τοῦ δὲ Πέτρου μόνου ἐρωτήσαντος, καθολικὸν ποιεῖται τὸν λόγον ὁ κύριος, λέ-
γων. πᾶς ὃς ἀφῆκεν ἢ γυναῖκα ἢ πατέρα. ταῦτα δὲ λέγει, οὐχ ἵνα τοὺς πατέρας
ἐῶμεν ἀβοηθήτους. καὶ τῶν γυναικῶν χωριζώμεθα, ἀλλὰ παιδεύων ἡμᾶς προτιμᾶν
τὴν εἰς θεὸν εὐσέβειαν πάντων τῶν σαρκικῶν. ἐπεὶ γὰρ πόλεμος ἀνήπτετο ἀπὸ τοῦ
κηρύγματος, καὶ ἔμελλον πατέρας ἀρνεῖσθαι παῖδες διὰ τὴν εὐσέβειαν, φησίν. ὅστις
ἀφήσει τὰς σαρκικὰς συγγενείας, καὶ ἁπλῶς πάντα τὰ σωματικὰ ἕνεκεν τοῦ εὐαγγε
λίου, ἑκατονταπλασίονα πάντα λήψεται ἐν τῷ νῦν αἰῶνι. καὶ ἐν τῷ ἐρχομένῳ, ζωὴν Ματ. ιθ'.
αἰώνιον. ἆρα οὖν καὶ γυναῖκας ἑκατονταπλασίονας λήψεται; ναί. κἂν ὁ κατάρα-
τος Ἰουλιανὸς ἐκωμῴδει τοῦτο. εἰπέ μοι γάρ. τί συμβάλλεται ἡ γυνὴ πρὸς τὴν οἰ-
κίαν τοῦ ἀνδρός. πάντως ἐπιμελεῖται τῆς τροφῆς τοῦ ἀνδρός. τῶν ἐνδυμάτων. καὶ
πᾶσαν ἀφροντισίαν ἀπὸ τούτων ἄγει ὁ ἀνήρ. ἴδε τοίνυν τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων,
πόσαι γυναῖκες ἐφρόντιζον τῶν ἐνδυμάτων καὶ τῶν βρωμάτων αὐτῶν. καὶ διηκό
νουν αὐτοῖς μηδενὸς φροντίζουσιν εἰ μὴ μόνου τοῦ λόγου. καὶ τῆς διδασκαλίας. ὁμοί
ως καὶ πατέρας καὶ μητέρας πολλὰς εἶχον οἱ ἀπόστολοι, τοὺς ἀγαπῶντας πάντας καὶ
φιλοστόργως πρὸς αὐτοὺς ἔχοντας. ἀλλὰ καὶ οἰκίαν μίαν ἀφεὶς ὁ Πέτρος, ὕστερον τὰς πάν
των τῶν μαθητῶν αὐτοῦ οἰκίας εἶχε. καὶ νῦν δὲ τοὺς ἁπανταχοῦ γῆς ναοὺς τοὺς ἐπ' ὀ-
νόματι αὐτοῦ, οἰκίας ἔχει λαμπράς. καὶ τὸ μεῖζον, ὅτι μετὰ διωγμῶν ταῦτα πάντα
κληρονομοῦσιν οἱ ἅγιοι τουτέστι διωκόμενοι καὶ οὐκ εὐπαθοῦντες, ἀλλὰ θλιβόμενοι.
ὅθεν καὶ οἱ ἔσχατοι ἐν τῷ νῦν αἰῶνι δοκοῦντες διὰ τὸ θλίβεσθαι καὶ διώκεσθαι, ἔσονται
πρῶτοι διὰ τὴν εἰς θεὸν ἐλπίδα. ἀλλὰ καὶ οἱ Φαρισαῖοι, πρῶτοι ὄντες, ἐγένοντο ἔσχα
τοι. οἱ δὲ ἀφέντες τὰ πάντα, καὶ ἀκολουθήσαντες τῷ Χριστῷ, ἐγένοντο πρῶτοι.
» Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα. καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς.
» καὶ ἐθαμβοῦντο. καὶ ἀκολουθοῦντες ἐφοβοῦντο. καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα,
» ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν. ὅτι, ἰδοὺ ἀναβαίνομεν εἰς Ἱερο
» σόλυμα. καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ
» κατακρινοῦσιν αὐτὸν θανάτῳ καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι, καὶ ἐμπαίξουσιν αὐτῷ
» καὶ μαστιγώσουσιν αὐτόν. καὶ ἐμπτύσουσιν αὐτῷ καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ
» ἡμέρᾳ ἀναστήσεται. Τίνος ἕνεκεν προλέγει τὰ μέλλοντα αὐτῷ συμβαίνειν; διὰ τὸ
προομαλίσαι τῶν μαθητῶν τὴν διάνοιαν. ὥστε προακούσαντες, εὐφορώτερον ἐνέγ
κωσι καὶ μὴ τῷ ἀθρόῳ καταπλαγῶσι. καὶ ὥστε εἰδεῖεν ὅτι ἑκὼν πάσχει. ὁ γὰρ προει
δὼς καὶ δυνάμενος ἐκφυγεῖν, μὴ φεύγων δὲ, πρόδηλον ὡς ἑκουσίως ἐκδίδωσιν ἑαυτὸν
τοῖς πάθεσιν. ἰδίᾳ δὲ παραλαβὼν τοὺς μαθητὰς, μόνοις αὐτοῖς διαλέγεται. μυστή-
ριον γὰρ ὂν τὸ πάθος, τοῖς οἰκειοτέροις ἔδει ἀποκαλυφθῆναι. διὰ τοῦτο γοῦν καὶ προ

λαμβάνει πάντας ἐν τῇ ὁδῷ, βουλόμενος ἀποχωρίσαι τοῦ ἄλλου πλήθους τοὺς μαθητὰς αὐτοῦ. ἅμα καὶ διὰ τοῦ προάγειν πάντας καὶ προφθάνειν ἐν τῇ ὁδῷ, δείκνυσιν ὅτι προστρέχει τῷ πάθει. καὶ οὐκ ἀποφεύγει τὴν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας νέκρωσιν. πλὴν εἰ καὶ τὰ σκυθρωπὰ πάντα καταλέγει, ἀλλ' οὖν πάντων ἐκείνων παραμυθία μία. τό, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

» Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης οἱ υἱοὶ Ζεβεδαίου, λέγοντες. δι-
» δάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν ποιήσῃς ἡμῖν. ὁ δέ, εἶπεν αὐτοῖς. τί θέλετε
» ποιῆσαί με ὑμῖν. οἱ δέ, εἶπον αὐτῷ. δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύ-
» μων σου καθίσωμεν ἐν τῇ δόξῃ σου. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. οὐκ οἴδατε τί αἰτεῖσθε.
» δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆ-
Ματ. ιβ'. » ναι; οἱ δέ, εἶπον αὐτῷ. δυνάμεθα. Ἄλλος εὐαγγελιστής φησιν ὅτι ἡ μήτηρ αὐτῶν προσῆλθε τῷ Χριστῷ. εἰκὸς δὲ ἐστὶν ἀμφότερα γενέσθαι. καὶ τοὺς ἀποστόλους αἰσχυνομένους, προβαλέσθαι τὴν μητέρα αὐτῶν. εἶτα καὶ αὐτοὺς προσελθεῖν ἰδίᾳ. διὸ καὶ ὁ εὐαγγελιστὴς ἐπισημαίνεται τοῦτο, λέγων. προσπορεύονται. ἀντὶ τοῦ ἰδίᾳ προσέρχονται, τῶν ἄλλων ἀποχωρισθέντες. τί δὲ ἦν ὃ ᾔτουν τοῦτο, μάθωμεν. ἐνόμιζον ὅτι τοῦτο ὃ ἀνέρχεται εἰς Ἱεροσόλυμα, διὰ τὸ βασιλεύσειν ἀνέρχεται αἰσθητὴν βασιλείαν. καὶ μετὰ τὸ βασιλεῦσαι, τότε πείσεται ἃ ἔμελλε παθεῖν. ταῦτα οὖν ἐννοοῦντες, αἰτοῦνται καὶ τὴν ἐκ δεξιῶν καὶ τὴν ἐξ εὐωνύμων καθέδραν. διὸ καὶ ὁ κύριος ἐπιτιμᾷ αὐτοῖς ὡς ἀνόητόν τι ζητοῦσιν. οὐκ οἴδατε γάρ φησι τί αἰτεῖσθε. ὑμεῖς γὰρ νομίζετε αἰσθητὴν εἶναι τὴν ἐμὴν βασιλείαν. καὶ αἰσθητὴν τὴν καθέδραν αἰτεῖσθε. οὐκ ἔστι δὲ τοῦτο. ἀλλὰ ταῦτα πάντα ὑπὲρ νοῦν εἰσι. καὶ τὸ καθίσαι ἐκ δεξιῶν μου, μέγα ἐστὶ καὶ τὰς ἀγγελικὰς ὑπερβαῖνον τάξεις. καὶ ὑμεῖς μὲν ἐπὶ δόξαν κεχήνατε. ἐγὼ δὲ εἰς θάνατον ὑμᾶς καλῶ. ποτήριον γὰρ καὶ βάπτισμα, τὸν σταυρὸν ὀνομάζει. ποτήριον μέν, ὡς εἰς ὕπνον εὐθὺς ἄγον καὶ ὡς ἡδέως ὑπ' αὐτοῦ προσδεχθέν. βάπτισμα δέ, ὡς καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενον. οἱ δέ, μὴ νοήσαντες τί λέγοι, ὑπέσχοντο. νομίζοντες λέγειν περὶ ποτηρίου αἰσθητοῦ. καὶ βαπτίσματος οἵῳ ἐβαπτίζοντο οἱ Ἰουδαῖοι, πρὸ τοῦ φαγεῖν πλυνόμενοι.

» Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω, πίεσθε. καὶ τὸ βάπτισμα
» ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε. τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου,
» οὐκ ἔστιν ἐμὸν δοῦναι. ἀλλ' οἷς ἡτοίμασται. Τὸ μὲν μαρτύριον φησίν. ὑπεισελεύσεσθε, καὶ ἀποθανεῖσθε τὸν ὑπὲρ τῆς ἀληθείας θάνατον. τὸ δὲ καθίσαι, οὐκ ἔστιν ἐμὸν δοῦναι. ἐνταῦθα δὲ δύο τινὰ ζητοῦνται. ἓν μὲν τόδε. ἆρα ἡτοίμασταί τινι τὸ καθίσαι; ἕτερον δέ, ἆρα ὁ πάντων δεσπότης οὐ δύναται ταύτην τὴν καθέδραν δοῦναι; λέγομεν οὖν ὅτι οὐδεὶς ἐκ δεξιῶν καθίσει ἢ ἐξ ἀριστερῶν. ἀλλὰ κἂν πολλαχοῦ τῆς γραφῆς καθέδραν ἀκούῃς, μὴ καθέδραν νόει, ἀλλὰ τιμὴν ὑπερβάλλουσαν. τὸ δὲ οὐκ ἔστιν ἐμὸν δοῦναι, τοιοῦτον ἔχει τὸν νοῦν. οὐκ ἔστιν ἐμοῦ τοῦ δικαίου κριτοῦ, τὸ δοῦναι ὑμῖν κατὰ χάριν τὴν τιμὴν ταύτην, οὐ γὰρ ἂν δίκαιος εἴην. ἀλλὰ τοῖς ἀγωνισαμένοις, ἐκείνοις ἡτοίμασται ἡ τιμὴ αὕτη. ὥσπερ ἂν εἰ βασιλεὺς δίκαιος προεκάθητο ἀγῶνος τινός, εἶτα προσέλθοιεν αὐτῷ τινὲς φίλοι αὐτοῦ, καὶ εἴποιεν. δὸς ἡμῖν τοὺς στεφάνους, εἶπεν ἄν. οὐκ ἔστιν ἐμὸν τὸ δοῦναι. ἀλλ' εἴ τις ἀγωνίσεται καὶ νικήσει, ἐκείνῳ ἡτοίμασται ὁ στέφανος. ὥστε καὶ ὑμεῖς οἱ τοῦ Ζεβεδαίου παῖδες, μαρτυρήσετε μὲν ὑπὲρ ἐμοῦ. ἐὰν δέ τις εὑρεθείη μετὰ τοῦ μαρτυρίου καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν ἔχων ὑπὲρ ὑμᾶς, ἐκεῖνος προάξει ὑμᾶς.

» Καὶ ἀκούσαντες οἱ δέκα, ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. ὁ δὲ
» Ἰησοῦς προσκαλεσάμενος αὐτούς, λέγει αὐτοῖς. οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν

» ἐθνῶν, κατακυριεύουσιν αὐτῶν· καὶ οἱ μεγάλοι αὐτῶν, κατεξουσιάζουσιν αὐτῶν.
» οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν. ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διά-
» κονος· καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος. καὶ γὰρ ὁ υἱὸς
» τοῦ ἀνθρώπου, οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι. καὶ δοῦναι τὴν ψυχὴν αὐ-
» τοῦ, λύτρον ἀντὶ πολλῶν. Ἔτι ἀνθρωπίνως διακείμενοι οἱ μαθηταὶ, καὶ φθόνῳ ἐ-
βάλλοντο. διὸ καὶ ἀγανακτοῦσι κατὰ τῶν δύο. ἀλλὰ πότε; ὅτε εἶδον αὐτοὺς μὴ προσδεχθέντας ὑπὸ τοῦ κυρίου, ἀλλ' ὡσανεὶ ἀπωσθέντας, τότε ἀγανακτοῦσιν. ἄχρι μὲν γὰρ ἐτιμῶντο ὑπὸ τοῦ κυρίου, ἠνείχοντο μὴ ἀγανακτοῦντες, καίτοι ὁρῶντες αὐτοὺς προτιμωμένους. ἐπειδὴ δὲ ἐνταῦθα αὐτοὶ ἐκεῖνοι τὴν τιμὴν ᾐτήσαντο, οὐ φέρουσι λοιπὸν οἱ λοιποί. ἀλλὰ νῦν μὲν, οὕτως εἶχον ἀτελῶς. ὕστερον δὲ ὄψει αὐτοὺς καὶ τῶν πρωτείων ἀλλήλοις παραχωροῦντας. ἀλλ' ὁ Χριστὸς θεραπεύει αὐτοὺς πρῶτον μὲν, καταπραΰνων αὐτοὺς τῷ ἐγγὺς αὐτοῦ προσαγαγέσθαι, τοῦτο γὰρ σημαίνει τὸ προσκαλεσάμενος, ἔπειτα τῷ δεῖξαι ὅτι τὸ ἁρπάζειν τὴν τιμὴν, καὶ τῶν πρωτείων ἐρᾷν ἐθνικόν ἐστιν. οἱ γὰρ τῶν ἐθνῶν ἄρχοντες, ἐκεῖνοι ἐξουσιαστικῶς καὶ τυραννικῶς προσφέρονται. οἱ δὲ ἐμοὶ μαθηταὶ οὐχ οὕτως. ἀλλ' ὁ θέλων εἶναι μέγας, διακονείτω πᾶσιν. ἐπεὶ καὶ τοῦτο μεγάλης ψυχῆς τὸ πάντων ἀνέχεσθαι καὶ πᾶσι δουλεύειν. καὶ τὸ παράδειγμα ἐγγύθεν. καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου, οὐκ ἦλθε διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. ὁ μεῖζόν ἐστι τοῦ διακονῆσαι. ὅταν γάρ τις οὐ μόνον διακονήσῃ, ἀλλὰ καὶ ἀποθάνῃ ὑπὲρ τοῦ διακονουμένου, τί τούτου μεῖζον ἢ θαυμασιώτερον. ἀλλ' ὅμως ἡ διακόνησις αὕτη καὶ ἡ συγκατάβασις, ὕψωσις καὶ δόξα γέγονε καὶ αὐτοῦ καὶ πάντων. πρὶν μὲν γὰρ γενέσθαι ἄνθρωπος, παρ' ἀγγέλοις ἐγνωρίζετο μόνοις. ἐπειδὴ δὲ ἄνθρωπος ἐγένετο καὶ ἐσταυρώθη, οὐ μόνην ἐκείνην τὴν δόξαν ἔχει, ἀλλὰ καὶ ἑτέραν προσέλαβε. καὶ πάσης τῆς οἰκουμένης βασιλεύει.

» Καὶ ἔρχονται εἰς Ἱεριχώ· καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἱεριχὼ, καὶ τῶν μαθη-
» τῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ, υἱὸς Τιμαίου Βαρτίμαιος ὁ τυφλὸς, ἐκάθητο παρὰ τὴν
» ὁδὸν προσαιτῶν. καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν, ἤρξατο κράζειν καὶ λέ-
» γειν. ὁ υἱὸς Δαβὶδ Ἰησοῦ, ἐλέησόν με. καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ. ὁ δὲ,
» πολλῷ μᾶλλον ἔκραζεν. υἱὲ Δαβὶδ ἐλέησόν με. καὶ στὰς ὁ Ἰησοῦς, εἶπεν αὐτὸν φω-
» νηθῆναι. καὶ φωνοῦσι τὸν τυφλὸν, λέγοντες αὐτῷ. θάρσει. ἔγειρε, φωνεῖ σε. ὁ δὲ, ἀπο-
» βαλὼν τὸ ἱμάτιον αὐτοῦ, ἀναστὰς ἦλθε πρὸς τὸν Ἰησοῦν. καὶ ἀποκριθεὶς λέγει αὐτῷ
» ὁ Ἰησοῦς. τί θέλεις ποιήσω σοι. ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ. ῥαββουνὶ, ἵνα ἀναβλέ-
» ψω. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. ὕπαγε, ἡ πίστις σου σέσωκέ σε. καὶ εὐθέως ἀνέβλεψε καὶ
» ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ. Ὁ δὲ Ματθαῖος δύο τυφλοὺς λέγει. ἐνδέχεται δὲ Ματθ. κ΄.
δύο μὲν εἶναι τοὺς ἰαθέντας, τὸν δὲ ἐπιφανέστερον αὐτῶν, τοῦτον εἶναι τὸν νῦν παρὰ τῷ Μάρκῳ μνημονευόμενον. ὅρα δὲ πῶς τιμῶσι τὸν Ἰησοῦν καὶ οἱ ὄχλοι, ὥστε ἐπιτιμᾶν τῷ τυφλῷ βοῶντι, ὡσανεί τινος βασιλέως προοδεύοντος. ἐρωτᾷ δὲ αὐτὸν ὁ κύριος, ἵνα μήτις εἴπῃ ὅτι ἄλλα βουλομένῳ, ἄλλα δίδωσιν ὁ κύριος. εὐγνώμων δὲ ψυχὴ τοῦ τυφλοῦ. ὅτε γε μετὰ τὸ θεραπευθῆναι, οὐκ ἀφῆκε τὸν κύριον. ἀλλ' ἠκολούθει αὐτῷ. δύναται δὲ καὶ ἀναγωγικῶς νοηθῆναι τοῦτο. Ἱεριχὼ, ὁ τόπος οὗτος ὁ κάτω. τυφλὸς δὲ καθήμενος ἐνταῦθα, ἡ φύσις ἡ ἀνθρωπίνη. ἥτις υἱὸς ἦν τοῦ ὑπὲρ πᾶσαν τιμὴν θεοῦ. αὕτη τοίνυν ἔκραζε τῷ Ἰησοῦ διὰ τῆς Ἱεριχὼ, τουτέστι τοῦ βίου τούτου, ὁδεύοντι. ἠλέησε δὲ αὐτὴν καὶ διὰ τῆς πίστεως ἔσωσεν, ἐκδυσαμένην τὸ παλαιὸν ἱμάτιον τῆς ἁμαρτίας. σωθεῖσα δὲ ἠκολούθησεν αὐτῷ, ἐργαζομένη τὰς ἐντολὰς ἐν τῇ ὁδῷ. τουτέστιν ἐν τῷ βίῳ τούτῳ. ἐνταῦθα γάρ ἐστιν ἀκολουθῆσαι τῷ Χριστῷ. μετὰ δὲ ταῦτα, ἀποκλείονται πάντες

τοῦ ἐργάζεσθαι τὰς ἐντολάς.

Κεφάλαιον Ἑνδέκατον.

» Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλὴμ, εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν
» ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς. ὑπάγετε εἰς τὴν κώ-
» μην τὴν κατέναντι ὑμῶν. καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν, εὑρήσετε πῶλον δε-
» δεμένον, ἐφ᾽ ὃν οὐδεὶς ἀνθρώπων κεκάθικε. λύσαντες αὐτὸν ἀγάγετε. καὶ ἐάν τις ὑμῖν
» εἴπη. τί ποιεῖτε τοῦτο, εἴπατε ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει, καὶ εὐθέως αὐτὸν ἀπο-
» στελεῖ ὧδε. ἀπῆλθον δὲ καὶ εὗρον πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω, ἐπὶ τῆς ἀμ
» φόδου, καὶ λύουσιν αὐτόν. καί τινες τῶν ἐκεῖ ἑστηκότων, ἔλεγον αὐτοῖς. τί ποιεῖτε λύον
» τες τὸν πῶλον. οἱ δὲ, εἶπον αὐτοῖς καθὼς ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς.

Πολλάκις μὲν καὶ ἄλλοτε ἦλθεν εἰς Ἱεροσόλυμα, ἀλλ᾽ οὐδέποτε μετὰ τοσαύτης περιφανείας μεθ᾽ ὅσης νῦν. πρώην μὲν γὰρ ἐκρύπτετο διὰ τὸν φθόνον αὐτῶν. νῦν δὲ, ἐπειδὴ τοῦ πάθους ἐφέστηκεν ὁ καιρὸς ὃν αὐτὸς ἑαυτῷ ὥρισε, λαμπρότερον ἔρχεται. ἵνα ἐὰν μὲν θέλωσι, συνήσωσι τὴν δόξαν αὐτοῦ. καὶ ἀπὸ τῶν ἐπ᾽ αὐτῷ προφητειῶν τελειουμένων, ἐπιγνῶσιν ὅτι ἀληθὴς θεός ἐστιν. εἰ δὲ μὴ θελήσωσι συνιέναι, εἰς κατάκριμα μεῖζον αὐτοῖς εἴη, ὅτι οὐδὲ μετὰ τοσαῦτα λαμπρὰ θαύματα ἐπίστευσαν. ὅρα γὰρ πόσα ἐνταῦθα σημεῖα. εἶπεν αὐτοῖς ὅτι, εὑρήσετε πῶλον. εἶπεν ὅτι κωλυθήσονται. εἶτα εἰπόντες ὅτι ὁ κύριος χρήζει αὐτοῦ, ἐασθήσονται. οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρόν ἐστι, τὸ συγχωρηθῆναι τοὺς ἀποστόλους ἀπαγαγεῖν τὸν πῶλον. ὅπερ οὐκ ἂν ἐγένετο εἰ μὴ θεία τις ἀνάγκη ἐπέκειτο τοῖς κυρίοις τοῦ πώλου ἀναγκάζουσα αὐτοὺς, καίτοι πένητας ὄντας καὶ γεωργοὺς τυχὸν, ἀφεῖναι τὸ ζῶον. πλὴν, μάνθανε ὅτι οὐ μάτην τοῦτο ἐποίησεν ὁ κύριος. οὐδὲ γὰρ ἔχρηζε τοῦ πώλου, ὁ πολλάκις τὴν Γαλιλαίαν καὶ τὴν Ἰουδαίαν ἅπασαν ἐκπεζεύων. ἀλλὰ δεικνύων ὅτι ἐπὶ τὸν ἐθνικὸν λαὸν ἐπιβήσεται. ὃς ἀπειθὴς μὲν ἦν καὶ ἀπαίδευτος, ἐδέδετο δὲ ταῖς οἰκείαις ἁμαρτίαις ἐν τῇ ἀμφόδῳ. τουτέστι τῷ βίῳ τούτῳ. πρὸς τὴν θύραν. ἤγουν ἔξω τῆς ἐκκλησίας. ἐλύθη δὲ παρὰ τῶν μαθητῶν διὰ τοῦ βαπτίσματος καὶ τῆς πίστεως. καὶ ἐπωχήθη αὐτῷ ὁ κύριος, ἐπιθέντων τῶν ἀποστόλων τὰ ἱμάτια αὐτῶν. τουτέστι πᾶσαν εὐσχημοσύνην τὴν ἐξ ἀρετῆς. πρώην μὲν γὰρ γυμνοὶ ὄντες οἱ ἐξ ἐθνῶν, ἀσχήμονες ἦσαν πράττοντες ἀθέσμα. ἐπεὶ δὲ ὑπὸ τῶν ἀποστόλων ἠσθησαν, τότε δὴ τότε εὐσχημόνως ἔμαθον περιπατεῖν. καὶ διὰ τοῦτο καὶ ἐπ᾽ αὐτῶν φέρεται ὁ χριστὸς βασταζόμενος. τίνες δὲ ἦσαν οἱ πρώην δεσπόται τοῦ πώλου, οἱ κωλύοντες τοὺς ἀποστόλους, ἢ πάντως οἱ δαίμονες. ἀλλὰ καὶ τούτων ἐπικρατέστεροι γίνονται οἱ ἀπόστολοι.

» Καὶ ἤγαγον τὸν πῶλον πρὸς τὸν Ἰησοῦν. καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν,
» καὶ ἐκάθισεν ἐπ᾽ αὐτῶν. πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν. ἄλλοι δὲ
» στιβάδας ἔκοπτον ἐκ τῶν δένδρων, καὶ ἐστρώννυον εἰς τὴν ὁδόν. καὶ οἱ προάγοντες καὶ οἱ
» ἀκολουθοῦντες, ἔκραζον λέγοντες. ὡσαννά. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυ-
» ρίου. εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι κυρίου, τοῦ πατρὸς ἡμῶν Δαβίδ.
» ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Τὸ πλῆθος μέχρις ἂν ἀδιάφθορον μένῃ, ἐπιγινώσκει τὸ δέον. διὸ καὶ τιμῶσι τὸν Ἰησοῦν ἕκαστος ὡς εἶχε δυνάμεως. οἱ δὲ ὑμνοῦντες, τί ἔλεγον ἴδωμεν. ἐκ τοῦ Δαβὶδ μὲν τὸν ὕμνον τοῦτον ἔλαβον. τὸ δὲ ὡσαννὰ, κατὰ μέν τινας σημαίνει, σῶσον δή. κατὰ δέ τινας σημαίνει, ὕμνος. πλὴν, κρεῖττον τὸ πρῶτον. ἐν γὰρ τῷ ἑκατοστῷ ἑπτακαιδεκάτῳ ψαλμῷ κεῖται. ὦ κύριε σῶσον δή. ὅπερ ἐν τῷ ἑβραϊκῷ, ὡσαννὰ γέγραπται. βασιλείαν δὲ Δαβὶδ, τὴν βασιλείαν τοῦ χριστοῦ ἔλεγον, ἅμα μὲν διότι καὶ ἀπὸ τοῦ σπέρματος τοῦ Δαβὶδ κατήγετο ὁ κύριος. ἅμα δὲ, ὅτι Δαβὶδ ἑρμηνεύεται

ψαλ. ιζ'.

δυνατὸς χειρὶ, ἤτοι ἱκανὸς χειρί. τίς δὲ ἄλλος ἱκανὸς χειρὶ, εἰ μὴ ὁ κύριος. οὗ αἱ χεῖρες τοσαῦτα θαύματα ἐνήργησαν. ἀλλὰ γὰρ στρώσωμεν καὶ ἡμεῖς τὰ ἱμάτια ἡμῶν ἤτοι τὴν σάρκα (ἱμάτιον γὰρ ἡ σὰρξ τῆς ψυχῆς) καὶ ὑποτάξωμεν ταύτην τῷ κυρίῳ. καὶ στρώσωμεν τὴν ὁδὸν τοῦ ἡμετέρου βίου, κόπτοντες ἐκ τῶν δένδρων κλάδους. τουτέστι, τοὺς τῶν ἁγίων βίους μιμούμενοι. δένδρα γὰρ οἱ ἅγιοι. ἀφ' ὧν κόπτει κλάδους, ὁ μιμούμενος τὴν ἐκείνων ἀρετήν. ἀλλὰ καὶ αἱ προάγουσαι καὶ αἱ ἀκολουθοῦσαι πράξεις ἡμῶν, εἰς δόξαν θεοῦ ἔστωσαν. τινὲς γὰρ ἐν μὲν τῷ προάγοντι βίῳ, καλὴν ἀρχὴν ἐνεδείξαντο. ὁ δὲ ἀκολουθῶν βίος, ὁ ὕστερον λέγω, οὐκ ἦν τοιοῦτος. οὐδὲ εἰς δόξαν θεοῦ.

» Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς. καὶ εἰς τὸ ἱερόν. καὶ περιβλεψάμενος πάν
» τα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα. καὶ τῇ ἐπαύ-
» ριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας, ἐπείνασε. καὶ ἰδὼν συκῆν ἀπὸ μακρόθεν, ἔχου-
» σαν φύλλα, ἦλθεν εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ. καὶ ἐλθὼν ἐπ' αὐτὴν, οὐδὲν εὗρεν εἰ μὴ
» φύλλα. οὐ γὰρ ἦν καιρὸς σύκων. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ. μηκέτι ἐκ σοῦ
» εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι. καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ.

Εἰσῆλθε μὲν εἰς τὸ ἱερὸν ὁ Ἰησοῦς. ἀλλὰ πάλιν ἐξῆλθε, δεικνύων ὅτι ἐγκαταλιμπάνει αὐτὸ ἤδη ἔρημον καὶ εἰς διαρπαγήν. ἐξέρχεται δὲ εἰς Βηθανίαν. ὃ ἑρμηνεύεται οἶκος ὑπακοῆς. τοὺς γὰρ ἀνυποτάκτους καὶ σκληροκαρδίους ἀφεὶς Ἰουδαίους, ἐπὶ τοὺς ὑπακούοντας αὐτῷ ἔρχεται μετὰ τῶν μαθητῶν. ἴδωμεν δὲ καὶ τὰ περὶ τὴν συκῆν, φαίνονται γὰρ ἄτοπα πολλὰ προκύπτοντα. πρῶτον μὲν, εἰ ἐπείνασε πρωΐας. ἔπειτα, εἰ καιροῦ μὴ ὄντος σύκων, ἀπῄτει καρπούς. ἔτι δὲ, τίς ὁ λόγος ἀναίσθητον φυτὸν ζημιωθῆναι. λέγομεν οὖν ὅτι οἰκονομία ἐστὶ τὸ πᾶν τοῦτο. ἐπεὶ γὰρ συχνάκις μὲν ἐποίει θαύματα, ἐπ' εὐεργεσίᾳ δὲ ἀνθρώπων, οὐκ εἶδον δὲ οἱ μαθηταὶ τὴν δύναμιν αὐτοῦ ἐπὶ κακώσει τινὸς, τούτου ἕνεκεν ἐνταῦθα θέλων ἐπιδεῖξαι τοῖς μαθηταῖς ὅτι καὶ κακῶσαι δύναται. καὶ εἰ βούλεται, τοὺς μέλλοντας αὐτὸν σταυρῶσαι ἐν μιᾷ καιροῦ ῥοπῇ ἀφανίσει, εἰς τὸ ἀναίσθητον δένδρον ἐπιδείκνυται τὴν δύναμιν. ὃ καὶ θαῦμα μέγα ἐστὶ, πῶς τὸ οὕτως ὑγρὸν δένδρον ἀθρόως ἐξηράνθη. ὑγρότερον γὰρ σχεδὸν πάντων ἡ συκῆ. πρωΐας δὲ πεινᾷ οἰκονομικῶς παραχωρῶν τῇ σαρκί. καὶ καρπὸν ζητεῖ ἐκ τῆς μὴ ἐχούσης καιροῦ καρποῦ, ἵνα ὅπερ εἶπον ἄνωθεν, ἐπιδείξηται τοῖς μαθηταῖς ὅτι καὶ κολάζειν δύναται. ἔχει δὲ ἡ συκῆ αὕτη καὶ τύπον τῆς Ἰουδαίων συναγωγῆς. οἳ φύλλα μόνον εἶχον. τουτέστι, νόμον, σκιὰν αὐτοῖς παρέχοντα. καρπὸν δὲ οὐδένα εἶχον. ἐπείνασε δὲ ὁ Ἰησοῦς τὴν σωτηρίαν αὐτῶν. ἐμὸν γὰρ φησὶ βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου. θέλημα δὲ θεοῦ, τὸ ἐπιστρέφειν τοὺς ἁμαρτάνοντας. ἐπεὶ τοίνυν οὐκ εἶχε καρπὸν ἡ συναγωγὴ, κατηράθη καὶ ἐξηράνθη, μήτε προφήτην μήτε διδάσκαλον ἔχουσα.

» Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα. καὶ εἰσελθὼν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν
» τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ. καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ
» τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς, κατέστρεψε. καὶ οὐκ ἤφιεν ἵνα τις διε-
» νέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ. καὶ ἐδίδασκε, λέγων αὐτοῖς. οὐ γέγραπται ὅτι ὁ οἶκός μου, Ἡσα. νϛʹ.
» οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν; ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον
» λῃστῶν. καὶ ἤκουσαν οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέ-
» σωσιν. ἐφοβοῦντο γὰρ αὐτὸν, ὅτι πᾶς ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Τὸ ἐκβάλλεσθαι παρὰ τοῦ Ἰησοῦ τοὺς πωλοῦντας, καὶ ὁ Ἰωάννης διηγεῖται. ἀλλ' ἐκεῖνος μὲν, ἐν τῇ ἀρχῇ τοῦ εὐαγγελίου. οὗτος δὲ πρὸς τῷ τέλει. εἰκὸς οὖν δεύτερον γενέσθαι τοῦτο. ὃ καὶ μείζων κατηγορία τῶν Ἰουδαίων. εἴγε πολλάκις τὸ αὐτὸ ποιήσαντος, τοῦ κυρίου, οὐκ ἐπεστράφησαν. σπήλαιον δὲ λῃστῶν ὀνομάζει τὸν ναὸν, διὰ τὸ φιλοκερ- ἰωάν. β΄.

δές. τὸ λῃστρικὸν γὰρ γένος, περὶ τὸ κερδαίνειν ἐπτόηται. ἐπεὶ οὖν καὶ αὐτοὶ τὰ διὰ θυσίαν προσφερόμενα ζῶα ἐπώλουν χάριν κέρδους, λῃστὰς αὐτοὺς ὠνόμασε. κολλυβισταὶ δὲ ἦσαν, οἱ τὰ νομίσματα ἀλλάσσοντες. κόλλυβος γὰρ, εἶδος λεπτοῦ νομίσματος χαλκοῦ. ἐφίστησι δὲ αὐτοῖς κατήγορον καὶ τὸν προφήτην Ἡσαΐαν, λέγοντα. ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται. ἀλλὰ μὴ γένοιτο καὶ ἡμᾶς ἔξω τοῦ ἱεροῦ ἐκβληθῆναι. πολλοὶ γὰρ καὶ ἐν τῷ ἱερῷ τῷ ἡμετέρῳ εἰσερχόμεθα, πωλοῦντες τὰ χρηστὰ καὶ ἀγοράζοντες τὰ χείρω. εἰσὶ δὲ καὶ οἱ τραπέζας κολλύβων πλήρεις ἔχοντες. οἱ οἰκονομοῦντες μὲν καὶ διοικοῦντες τὰ ἐκκλησιαστικὰ, διὰ δὲ φιλοχρηματίαν, πάντα ποιοῦντες. ἀλλὰ καὶ αἱ καθέδραι τῶν πωλούντων τὰς περιστερὰς, καταστρέφονται. ἤγουν τοὺς ἀρχιερεῖς τοὺς πωλοῦντας τὰ πνευματικὰ χαρίσματα (τοῦ γὰρ πνεύματος σύμβολον ἡ περιστερὰ) ἐξωθεῖ ὁ κύριος ἐκ τῆς ἀρχιερωσύνης. ὁ γὰρ διὰ χρυσίου δωρεὰς χειροτονῶν, καθῃρημένος. ἀλλὰ καὶ ὅστις τὴν ἐκ τοῦ βαπτίσματος χάριν καὶ καθαρότητα προδώσει τῷ διαβόλῳ, οὗτος ἐπώλησε τὴν περιστερὰν αὐτοῦ. διὰ τοῦτο καὶ ἐκβάλλεται ἐκ τοῦ ἱεροῦ.

» Καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύετο ἔξω τῆς πόλεως. καὶ πρωῒ παραπορευόμενοι, εἶδον
» τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν. καὶ ἀναμνησθεὶς ὁ Πέτρος, λέγει αὐτῷ. ῥαββί. ἴδε
» ἡ συκῆ ἣν κατηράσω ἐξήρανται. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, λέγει αὐτοῖς. ἔχετε πίστιν
» θεοῦ ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ ἄρθητι καὶ βλήθητι εἰς τὴν θά-
» λασσαν. καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει γίνεται, ἔσται
Ματθ. κα'. » αὐτῷ ὃ ἐὰν εἴπῃ. Εἰ καὶ ὁ Ματθαῖος λέγει ὅτι παραχρῆμα ἐξηράνθη ἡ συκῆ, καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμαζον, μὴ θορυβηθῇς. ἀκούων νῦν τοῦ Μάρκου λέγοντος ὅτι τῇ ἐπαύριον εἶδον ἐξηραμμένην τὴν συκῆν. οὕτω γὰρ ὀφείλεις νοεῖν τὸ παρὰ τῷ Ματθαίῳ. καὶ παραχρῆμα ἐξηράνθη ἡ συκῆ. στῆθι οὖν ἄχρι τούτου. εἶτα εἰπέ. καὶ ἰδόντες οἱ μαθηταὶ, ἐθαύμαζον. πότε ἰδόντες; οὐ παραχρῆμα, ἀλλὰ τῇ ἐπαύριον. οὕτως οὖν νοοῦντι, οὐδὲν ἄπορον ἀπαντήσεται. ὅρα δὲ πῶς κἀντεῦθεν θεὸς δείκνυται ὁ Χριστός.
Ἰεζεκ. ιζ'. Φησὶ γὰρ διὰ τῶν προφητῶν ὁ κύριος. ἐγὼ ξηραίνω ξύλον χλωρόν. καὶ ἀναθάλλω ξύλον ξηρόν. θαύμασον δὲ τὴν θείαν φιλανθρωπίαν, πῶς καὶ ἡμῖν τοῖς διὰ πίστεως ὁμοιουμένοις αὐτῷ, δύναμιν τοῦ θαυματουργεῖν δίδωσιν, ἣν αὐτὸς φυσικῶς ἔχει, ὥστε καὶ ὄρη μεθιστάνειν δύνασθαι. ὄρος δὲ καὶ ἡ ὑπερήφανος γνώμη. ὑψηλή τις οὖσα καὶ σκληρά. ὅστις οὖν ὁρᾷ τὸ τῆς ὑπερηφανίας πάθος ἐνοχλοῦν αὐτῷ, καὶ σπουδάζον αὐτὸν ἐκβαλεῖν τῆς τοῦ θεοῦ ἐπισκοπῆς καὶ προνοίας (ὑπερήφανος γάρ ἐστιν ἐκεῖνος ὁ λέγων ὅτι πάντα αὐτὸς κατορθοῖ, καὶ οὐ διὰ θεοῦ) ὁ τοιοῦτος οὖν ὀφείλει ἐπιτιμᾶν τῷ ὄρει τούτῳ τῇ ὑπερηφανίᾳ λέγω. καὶ λέγειν αὐτῇ. ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν. τουτέστιν εἰς κοσμικοὺς ἀνθρώπους, τοὺς ἐν τῇ θαλάσσῃ τοῦ βίου τούτου ὄντας καὶ ἀπίστους. οὗτος δὲ οὐ μὴ διακριθῇ τουτέστι διαχωρισθῇ ἀπὸ τοῦ θεοῦ. ὁ γὰρ ὑπερήφανος χωρίζεται ἀπὸ θεοῦ, λέγων ὅτι οὐδὲν ἔχω ἀπὸ θεοῦ. οὐ δὲ χρήζω τῆς συμμαχίας αὐτοῦ.

» Διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβά-
» νετε, καὶ ἔσται ὑμῖν. καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος. ἵνα
» καὶ ὁ πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν. εἰ δὲ ὑμεῖς
» οὐκ ἀφίετε, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἀφήσει τὰ παραπτώματα ὑμῶν.
Ψαλ. μα'. Ὁ ἐνδιαθέτως πιστεύων, πάντως εἰς θεὸν ἀνέτεινε τὴν καρδίαν αὐτοῦ. καὶ ἵν' εἴπω τὸ τοῦ Δαβὶδ, ἐξέχεε τὴν ψυχὴν αὐτοῦ ἐνώπιον τοῦ θεοῦ. ὁ δὲ ἀνατείνας τὴν καρδίαν αὐτοῦ πρὸς θεὸν, ἥνωται ἐκείνῳ καὶ πληροφορεῖται ἡ καρδία αὐτοῦ διαθερμαινομένη, ὅτι ἐπιτύχοι τῆς αἰτήσεως. ὅστις οὖν ἔπαθε τοῦτο, ἐκεῖνος διαγνώσεται. οἶμαι δὲ τοῦτο πάντας πάσχειν, τούς γε μετρίως προσέχοντας. διὰ τοῦτο οὖν λέγει ὁ κύριος, ὅτι,

πάντα

πάντα λήψεσθε ὅσα μετὰ πίστεως αἰτεῖσθε. ὁ γὰρ πιστεύων, ὅλον ἑαυτὸν δίδωσι τῷ θεῷ,
μετὰ δακρύων αὐτῷ ὁμιλῶν καὶ ὡσανεὶ δεσπότου πόδας κρατῶν ἐν τῇ προσευχῇ.
θέλεις δὲ καὶ ἄλλως λαβεῖν ὃ αἰτεῖς; ἄφες εἴ τι σοι ἥμαρτεν ὁ ἀδελφός. ὁρᾷς τὸ εὔ
κολον τῆς δωρεᾶς τοῦ θεοῦ;

» Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα. καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται
» πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι, καὶ λέγουσιν αὐτῷ. ἐν
» ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς. καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν ἵνα ταῦτα ποιῇς. ὁ
» δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς. ἐπερωτήσω ὑμᾶς καὶ ἐγὼ ἕνα λόγον. καὶ ἀποκρίθη-
» τέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. τὸ βάπτισμα Ἰωάννου, ἐξ οὐρανοῦ ἦν,
» ἢ ἐξ ἀνθρώπων. ἀποκρίθητέ μοι. καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες. ἐὰν εἴπωμεν ἐξ
» οὐρανοῦ, ἐρεῖ. διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ. ἀλλ' ἐὰν εἴπωμεν ἐξ ἀνθρώπων, ἐφοβοῦν-
» το τὸν λαόν. ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην ὅτι ὄντως προφήτης ἦν. καὶ ἀποκριθέντες
» λέγουσι τῷ Ἰησοῦ. οὐκ οἴδαμεν. καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς, λέγει αὐτοῖς. οὐδὲ ἐγὼ λέγω
» ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Ἐκμανέντες διότι ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ τοὺς
καπηλεύοντας, προσέρχονται ἐξαποροῦντες αὐτὸν δῆθεν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ.
μονονουχὶ γὰρ τοιαῦτα αὐτῷ ἔλεγον. τίς ὢν σὺ τοιαῦτα ποιεῖς. διδάσκαλος κατέστης;
ἀρχιερεὺς ἐχειροτονήθης; ταῦτα δὲ ἔλεγον, εἰς ἀπορίαν αὐτὸν συνωθῆσαι σπουδάζοντες
ἵνα κρατήσωσιν αὐτόν. ἐὰν μὲν γὰρ εἴπῃ ὅτι, ἐν τῇ ἐμῇ ἐξουσίᾳ ταῦτα ποιῶ, λιθάσουσιν
αὐτὸν ὡς ἀντίθεον. ἐὰν δὲ εἴπῃ ὅτι ἐν τῇ τοῦ θεοῦ ἐξουσίᾳ, ἀποστήσουσιν ἀπ' αὐτοῦ τὸν ὄχλον,
τὸν νομίζοντα αὐτὸν εἶναι θεόν. ὁ οὖν κύριος ἐρωτᾷ αὐτοὺς περὶ τοῦ Ἰωάννου, οὐ μάτην οὐ
δὲ σοφιστικῶς ἀντεπιχειρῶν. ἀλλ' ἐπειδὴ ὁ Ἰωάννης περὶ αὐτοῦ ἐμαρτύρησε, διὰ τοῦτο πε
ρὶ αὐτοῦ ἐρωτᾷ τοὺς κακούργους. ἵνα ἐὰν δέξωνται τὸν Ἰωάννην ἐκ θεοῦ ὄντα, ἀναγκασθῶσι καὶ
τὴν περὶ τοῦ Χριστοῦ μαρτυρίαν ἣν ὁ Ἰωάννης ἐμαρτύρησε δέξασθαι. ἐπεὶ δὲ ἠρνήσαντο ἐκεῖ
νοι ἐθελοκακήσαντες, οὐδὲ ἐγὼ φησὶ λέγω ὑμῖν. οὐκ εἶπεν ὅτι, οὐδὲ ἐγὼ οἶδα τί εἴπω
ὑμῖν, ἀλλ' οὐδὲ ἐγὼ λέγω. τουτέστιν ἐπειδὴ κακουργεῖτε, οὐκ ἀξιώσω ὑμᾶς ἀπολογίας.

Κεφάλαιον Δωδέκατον.

» Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λαλεῖν. ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος. καὶ
» περιέθηκε φραγμόν. καὶ ὤρυξεν ὑπολήνιον. καὶ ᾠκοδόμησε πύργον. καὶ ἐξέδοτο αὐ-
» τὸν γεωργοῖς, καὶ ἀπεδήμησε. καὶ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα
» παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος. οἱ δὲ, λαβόντες αὐτὸν, ἔδει-
» ραν καὶ ἀπέστειλαν κενόν. καὶ πάλιν ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦλον, κἀκεῖνον
» λιθοβολήσαντες ἐκεφαλαίωσαν, καὶ ἀπέστειλαν ἠτιμωμένον. καὶ πάλιν ἄλλον ἀπέ-
» στειλε, κἀκεῖνον ἀπέκτειναν. καὶ πολλοὺς ἄλλους, τοὺς μὲν δαίροντες, τοὺς δὲ ἀποκτεί-
» νοντες. ἔτι οὖν ἕνα υἱὸν ἔχων ἀγαπητὸν αὐτοῦ, ἀπέστειλε καὶ αὐτὸν πρὸς αὐτοὺς ἔσχατον,
» λέγων ὅτι, ἐντραπήσονται τὸν υἱόν μου. ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶπον πρὸς ἑαυτοὺς ὅτι,
» οὗτός ἐστιν ὁ κληρονόμος. δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ ἡμῶν ἔσται ἡ κληρονομία. καὶ
» λαβόντες αὐτὸν, ἀπέκτειναν καὶ ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος. τί οὖν ποιήσει ὁ κύ-
» ριος τοῦ ἀμπελῶνος. ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς, καὶ δώσει τὸν ἀμπελῶ-
» να ἄλλοις. Ἀμπελὼν, ὁ λαός. ὃν ἐφύτευσεν ὁ κύριος. κατάρτισαι γάρ φησι τὴν
ἄμπελον ταύτην ἣν ἐφύτευσεν ἡ δεξιά σου. καὶ ὁ Μωϋσῆς. εἰσαγαγὼν καταφύτευσον Ψαλ. οθ'.
αὐτοὺς εἰς ὄρος ἅγιόν σου. φραγμὸς δὲ ὁ νόμος, κωλύων αὐτοὺς ἐπιμίγνυσθαι τοῖς ἄλ Ἐξό. ιε'.
λοις ἔθνεσι. πύργος δὲ ὁ ναὸς, περίβλεπτος ὤν. ὑπολήνιον δὲ τὸ θυσιαστήριον, ἔνθα ἐξε-
χεῖτο τὸ αἷμα. ἐξέδοτο δὲ τὸν λαὸν γεωργοῖς, τοῖς κατὰ καιρὸν διδασκάλοις καὶ ἄρ-
χουσι τῶν Ἰουδαίων. ἀπέστειλε δὲ δοῦλον ἕνα, τάχα τοὺς περὶ τὸν Ἠλίαν προφήτας.

οἷον τὸν Μιχαίαν. ὃν ἔδηρε Σεδεκίας ὁ ψευδοπροφήτης. δεύτερον δὲ δοῦλον, ὃν λιθοβολήσαντες ἐκεφαλαίωσαν τουτέστι συνετέλεσαν καὶ ἐκορύφωσαν τὴν ὕβριν, τοὺς περὶ Ὠσηὲ καὶ Ἡσαΐαν προφήτας. τρίτον δὲ δοῦλον, τοὺς ἐν τῇ αἰχμαλωσίᾳ, τοὺς περὶ Δανιὴλ καὶ Ἰεζεκιήλ. τελευταῖον δὲ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ (ὃς ἄνθρωπος ὠνομάσθη διὰ τὸ φιλάνθρωπον) λέγων ὅτι, ἐντραπήσονται τὸν υἱόν μου. οὐχ ὡς ἀγνοῶν δὲ τὸ μέλλον τοῦτο εἶπεν, ἀλλὰ τὸ ὀφεῖλον πραχθῆναι καὶ τὸ εἰκὸς λέγων. οἱ δὲ κακοὶ γεωργοὶ, μαθόντες ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ἐξέβαλον αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, τουτέστιν ἔξω τῆς Ἱερουσαλὴμ, καὶ ἀπέκτειναν. ἔξω γὰρ τῆς πόλεως ἐσταυρώθη. ὁ οὖν κύριος τοῦ ἀμπελῶνος, ὁ πατὴρ τοῦ φονευθέντος υἱοῦ, μᾶλλον δὲ αὐτὸς ὁ φονευθεὶς υἱὸς, ἀπολέσει τοὺς γεωργοὺς παραδοὺς αὐτοὺς τοῖς Ῥωμαίοις. καὶ τὸν λαὸν ἐκδόσεται ἄλλοις γεωργοῖς τουτέστι τοῖς ἀποστόλοις. θέλεις γὰρ ἰδεῖν πῶς ἐγεώργησαν οἱ ἀπόστολοι τὸν ἀμπελῶνα; ἀνάγνωθι τὴν τῶν πράξεων βίβλον, καὶ εὑρήσεις τρισχιλίους καὶ πεντακισχιλίους ἀθρόον πιστεύοντας καὶ καρποφορουμένους τῷ θεῷ.

ψαλ. ριζ. » Οὐδὲ τὴν γραφὴν ταύτην ἀνέγνωτε; λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες,
» οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ
» ἐν ὀφθαλμοῖς ἡμῶν. καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον. ἔγνω-
» σαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπε. καὶ ἀφέντες αὐτὸν, ἀπῆλθον.

Διὰ πάντων τούτων δείκνυσι τοὺς μὲν Ἰουδαίους ἀποβληθέντας, τὰ δὲ ἔθνη προσδεχθέντα. λίθος μὲν γὰρ αὐτὸς ὁ κύριος. οἰκοδομοῦντες δὲ, οἱ διδάσκαλοι τοῦ λαοῦ. ὃν οὖν ἀπεδοκίμασαν οἱ διδάσκαλοι, οὗτος εἰς κεφαλὴν γωνίας ἐγένετο, κεφαλὴ τῆς ἐκκλησίας γενόμενος. γωνία γὰρ ἡ ἐκκλησία, ὡς συνάπτουσα καὶ ἑνοποιοῦσα πάντας Ἰουδαίους καὶ Ἕλληνας. ὥσπερ καὶ ἡ γωνία δύο τοίχους ἀλλήλοις συνάπτει, μεσιτεύουσα ἀμφοῖν. αὕτη δὲ ἡ γωνία, ἤτοι ἡ ἐκκλησία, παρὰ κυρίου ἐγένετο. καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν τῶν πιστῶν. τοῖς γὰρ ἀπίστοις, καὶ τὰ θαύματα διαβάλλονται. θαυμαστὴ τοίνυν ἡ ἐκκλησία, ὡς ἐκ θαυμάτων συστᾶσα, τοῦ κυρίου συνεργοῦντος τοῖς ἀποστόλοις καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.

» Καὶ ἀποστέλλουσι πρὸς αὐτὸν τινὰς τῶν Φαρισαίων καὶ Ἡρωδιανῶν, ἵνα αὐτὸν ἀγρεύ-
» σωσι λόγῳ. οἱ δὲ, ἐλθόντες, λέγουσιν αὐτῷ. διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ. καὶ
» οὐ μέλει σοι περὶ οὐδενός. οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀληθείας
» τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις. ἔξεστι κῆνσον καίσαρι δοῦναι, ἢ οὔ; δῶμεν, ἢ μὴ δῶμεν;
» ὁ δὲ, εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν, εἶπεν αὐτοῖς. τί με πειράζετε. φέρετέ μοι δηνάριον
» ἵνα ἴδω. οἱ δὲ, ἤνεγκαν. καὶ λέγει αὐτοῖς. τίνος ἡ εἰκὼν αὕτη, καὶ ἡ ἐπιγραφή. οἱ
» δὲ εἶπον αὐτῷ. καίσαρος. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. ἀπόδοτε τὰ καί-
» σαρος, καίσαρι. καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ. καὶ ἐθαύμασαν ἐπ' αὐτῷ.

Εἴπομεν καὶ ἄλλοτε περὶ τῶν Ἡρωδιανῶν, ὅτι αἵρεσίς τις ἦν νεοφανὴς τῶν λεγόντων Χριστὸν εἶναι τὸν Ἡρώδην, διὰ τὸ ἐν τοῖς χρόνοις αὐτοῦ ἐκλιπεῖν τὰς διαδοχὰς τῶν Ἰουδαϊκῶν βασιλέων. ἄλλοι δέ φασιν Ἡρωδιανοὺς ἐνταῦθα λέγεσθαι τοὺς στρατιώτας τοῦ Ἡρώδου. οὓς προσελάβοντο οἱ Φαρισαῖοι, ὡς ἂν μάρτυρες ὦσι τῶν λεχθησομένων ὑπὸ τοῦ Χριστοῦ. καὶ λοιπὸν συλλάβωσιν αὐτὸν, καὶ ἀπαγάγωσιν. ὅρα δὲ τὴν κακοήθειαν αὐτῶν, πῶς μετὰ κολακείας πειρῶνται ἐξαπατῆσαι τὸν κύριον. οἴδαμεν ὅτι οὐ βλέπεις εἰς πρόσωπον ἀνθρώπου. ὥστε οὐδὲ τὸν καίσαρα εὐλαβηθήσῃ. τὸ ὅλον δὲ τοῦτο τέχνασμα ἦν, ἀμφοτέρωθεν ἔχον κρημνούς. ἵνα ἐὰν μὲν εἴπῃ ὅτι ἔξεστι τελεῖν τῷ καίσαρι, διαβάλλωσιν αὐτὸν πρὸς τὸν ὄχλον, ὡς καταδουλοῦντα αὐτούς. εἰ δὲ μὴ τελεῖν εἴπῃ, κατηγορήσωσιν αὐτοῦ, ὡς ἀνασταστοῦντος τὸν λαὸν κατὰ τοῦ καίσαρος.

ἀλλ' ἡ τῆς

ἀλλ᾽ ἡ τῆς σοφίας πηγὴ, ἐκφεύγει τοὺς δόλους αὐτῶν. ἐπιδείξατε γάρ μοι φησὶ τὸ νόμισμα· ἰδὼν δὲ ὅτι εἰκόνα ἔχει τοῦ καίσαρος, φησίν. ἀπόδοτε τὸ ἔχον τὴν εἰκόνα, τῷ εἰκονιζομένῳ. τουτέστι τῷ καίσαρι. καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ· τουτέστιν, οὐδὲν ἐμποδίζει ὑμῖν πρὸς θεοσέβειαν τὸ τελεῖν τῷ καίσαρι. δύνασθε γὰρ καὶ τῷ καίσαρι ὑποτελεῖν, καὶ τῷ θεῷ τὰ οἰκεῖα νέμειν· καῖσαρ δέ ἐστιν ἑκάστῳ ἡμῶν, καὶ ἡ τοῦ σώματος ἀπαραίτητος ἀνάγκη· κελεύει οὖν ὁ κύριος ἀποδιδόναι καὶ τῷ σώματι τὰ οἰκεῖα βρώματα καὶ ἀναγκαῖα σκεπάσματα, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. ἀγρυπνίαν ἐνδεχομένην. προσευχήν. καὶ τἄλλα· ἀλλὰ καὶ τῷ διαβόλῳ καίσαρι ὄντι, ἀπόρριψον τὰ παρ᾽ αὐτοῦ σοι δοθέντα, θυμόν. ἐπιθυμίαν κακήν· καὶ τὰ τοῦ θεοῦ προσένεγκε τῷ θεῷ·

» Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτὸν, οἵτινες λέγουσιν ἀνάστασιν μὴ εἶναι, καὶ ἐπη
» ρώτησαν αὐτὸν, λέγοντες. διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος ἀδελ- Δευ· κγ΄·
» φὸς ἀποθάνῃ, καὶ καταλίπῃ γυναῖκα καὶ τέκνα μὴ ἀφῆ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐ-
» τοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ· ἑπτὰ ἀδελφοὶ
» ἦσαν. καὶ ὁ πρῶτος ἔλαβε γυναῖκα. καὶ ἀποθνήσκων, οὐκ ἀφῆκε σπέρμα. καὶ ὁ δεύ
» τερος ἔλαβεν αὐτὴν καὶ ἀπέθανε, καὶ οὐδὲ αὐτὸς ἀφῆκε σπέρμα. καὶ ὁ τρί-
» τος ὡσαύτως. καὶ ἔλαβον αὐτὴν οἱ ἑπτὰ, καὶ οὐκ ἀφῆκαν σπέρμα. ἐσχάτη δὲ πάν
» των, ἀπέθανε καὶ ἡ γυνή· ἐν τῇ οὖν ἀναστάσει ὅταν ἀναστῶσι, τίνος αὐτῶν ἔσται γυνή.
» οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα· καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς. διὰ τοῦτο
» πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ· ὅταν γὰρ ἐκ νεκρῶν
» ἀναστῶσιν, οὔτε γαμοῦσιν οὔτε γαμίσκονται. ἀλλ᾽ εἰσὶν ὡς ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς·
» περὶ δὲ τῶν νεκρῶν ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωσέως, ἐπὶ τῆς βά Ἐξό· γ΄·
» του ὡς εἶπεν αὐτῷ ὁ θεὸς λέγων. ἐγὼ ὁ θεὸς Ἀβραὰμ. καὶ ὁ θεὸς Ἰσαὰκ. καὶ ὁ
» θεὸς Ἰακώβ· οὐκ ἔστιν ὁ θεὸς νεκρῶν, ἀλλὰ θεὸς ζώντων· ὑμεῖς οὖν πολὺ πλανᾶσθε·

Αἵρεσις Ἰουδαίων, οἱ Σαδδουκαῖοι. λέγοντες μὴ εἶναι ἀνάστασιν. μήτε ἄγγελον. μήτε πνεῦμα· πλαγίως δὲ ὡς δόλιοι προσελθόντες, πλάττουσι τὴν διήγησιν ταύτην. διὰ ταύτης δῆθεν ἀνατρέποντες τὴν ἀνάστασιν. ὑπόθεσιν ὑφάναντες μηδέποτε γενομένην μηδὲ ἴσως γενησομένην· ἑπτὰ δὲ συντιθέασι τοὺς γαμήσαντας τὴν γυναῖκα, ἵνα μᾶλλον διασύρωσι τὴν ἀνάστασιν· ὁ οὖν κύριος, ἐπειδὴ προεβάλλοντο ἐκεῖνοι Μωσέως νόμον, δείκνυσιν αὐτοὺς ἀγνοοῦντας τὰς γραφάς· οὐ νοεῖτε γάρ φησι ποίαν ἀνάστασιν ἡ γραφὴ λέγει. ὑμεῖς γὰρ δοκεῖτε ὅτι πάλιν τοιαύτη κατάστασις σωματικωτέρα μέλλει εἶναι, οὐκ ἔστι δέ· οὕτω μὲν οὖν ἀγνοεῖτε τῆς γραφῆς τὴν ἔννοιαν. ἀλλὰ καὶ τὴν δύναμιν τοῦ θεοῦ ἀγνοεῖτε· ὑμεῖς μὲν γὰρ ἴσως ἀποβλέπετε πρὸς τὸ χαλεπὸν τοῦ πράγματος, καὶ διὰ τοῦτο ἐξαπορεῖσθε πῶς δυνήσονται τὰ διαλυθέντα σώματα συνελθεῖν ταῖς ψυχαῖς. τῇ δὲ δυνάμει τοῦ θεοῦ, ὡς οὐδέν ἐστι τοῦτο· ἔσται οὖν ἀνάστασις. καὶ οὐ σωματικὴ, ἀλλὰ θειοτέρα τις κατάστασις βίου καὶ ἀγγελική· ἐπειδὴ γὰρ οὐ μέλλομεν φθείρεσθαι, ἀλλ᾽ οἱ αὐτοὶ μένειν, διὰ τοῦτο καὶ ὁ γάμος ἀναιρεθήσεται· νῦν γὰρ ὁ γάμος, διὰ τὴν φθορὰν γίνεται. ἵνα τῇ διαδοχῇ τοῦ γένους συνιστάμενοι, μὴ ἀφανισθῶμεν. τότε δὲ, ὥσπερ οἱ ἄγγελοι ἄνευ διαδοχῆς γαμικῆς, οἱ αὐτοί εἰσι καὶ οὐδέποτε λήγουσιν, οὕτω καὶ οἱ ἀνιστάμενοι, ἄνευ γάμου ἀνελλιπεῖς διαμένουσι· καὶ ἄλλως δὲ ἐλέγχονται μὴ εἰδότες τὰς γραφάς· εἰ γὰρ ἐνόουν ταύτας, ἐνόησαν ἂν καὶ πῶς εἴρηται τὸ, ἐγώ εἰμι ὁ θεὸς Ἀβραάμ. ὡς δηλαδὴ ζώντων. οὐ γὰρ εἶπεν, ὅτι ἐγὼ ἤμην, ἀλλ᾽ εἰμί. ὡς ἐνεστώτων κἀκείνων, καὶ μὴ ἀπολομένων· ἀλλ᾽ ἴσως εἴποι τις ὡς τοῦτο περὶ τῆς ψυχῆς τοῦ Ἀβραὰμ εἴρηκε μόνης ὁ κύριος, οὐχὶ καὶ περὶ τοῦ σώματος. ὥστε τὰ σώματα οὐκ ἀνίστανται· λέγω οὖν πρῶτον μὲν, ὅτι Ἀβραάμ, τὸ συναμφότερον λέγεται, ψυχὴ καὶ

σῶμα. ὥστε καὶ τοῦ σώματός ἐστι θεὸς, ζῶντος καὶ αὐτοῦ παρὰ τῷ θεῷ, καὶ μὴ πάντη εἰς τὸ μὴ ὂν χωρήσαντος· ἔπειτα ὅτι οἱ Σαδδουκαῖοι περὶ τῆς τῶν σωμάτων ἀναστάσεως ἀμφέβαλλον. ὥστε καὶ ὁ κύριος περὶ τῶν σωμάτων εἶπεν ὅτι ζῶσι παρὰ τῷ θεῷ, οὐχὶ περὶ τῶν ψυχῶν. τοῦτο γὰρ ἤδη ὡμολόγητο καὶ παρὰ τοῖς σαρκικοῖς Σαδδουκαίοις· ἔπειτα καὶ τοῦτο σκόπει. ἡ ἀνάστασις, τοῦ πεπτωκότος ἐστὶν ἀνάστασις· ἔπεσε δὲ οὐχ ἡ ψυχὴ (ἀθάνατος γάρ) ἀλλὰ τὸ σῶμα. τοῦτο ἄρα καὶ ἀναστήσεται, προσπλακὲν πάλιν τῇ ὁμοζύγῳ ψυχῇ·

» Καὶ προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐτῶν συζητούντων, εἰδὼς ὅτι κα-
» λῶς αὐτοῖς ἀπεκρίθη, ἐπηρώτησεν αὐτόν. ποία ἐστὶ πρώτη πασῶν ἐντολή· ὁ δὲ Ἰησοῦς
Δευτ. ς'. » ἀπεκρίθη αὐτῷ ὅτι, πρώτη πασῶν τῶν ἐντολῶν ἄκουε Ἰσραήλ. κύριος ὁ θεὸς ἡμῶν,
» κύριος εἷς ἐστι. καὶ ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου. καὶ ἐξ ὅ-
» λης τῆς ψυχῆς σου. καὶ ἐξ ὅλης τῆς διανοίας σου. καὶ ἐξ ὅλης τῆς ἰσχύος σου· αὕ-
Λευ. ιθ'. » τη πρώτη ἐντολή· καὶ δευτέρα ὁμοία, αὕτη. ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν·
» μείζων τούτων, ἄλλη ἐντολὴ οὐκ ἔστι· καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς. καλῶς διδάσκα-
» λε ἐπ' ἀληθείας εἶπες, ὅτι εἷς ἐστι θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ· καὶ τὸ ἀγα-
» πᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ ἐξ ὅλης τῆς ψυχῆς καὶ
» ἐξ ὅλης τῆς ἰσχύος· καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν, πλεῖόν ἐστι πάντων τῶν
» ὁλοκαυτωμάτων, καὶ τῶν θυσιῶν· καὶ ὁ Ἰησοῦς ἰδὼν, ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν
» αὐτῷ. οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ· καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν
Ματ. κβ'. » ἐπερωτῆσαι· Ὁ μὲν Ματθαῖος φησίν. ὅτι πειράζων προσῆλθεν. ὁ δὲ Μάρκος ἐνταῦ-
θα λέγει, ὅτι νουνεχῶς ἀπεκρίθη. ἆρα οὖν ἐναντιοφωνοῦσιν; οὐχί. ἀλλ' εἰκὸς πρῶτον μὲν αὐτὸν ὡς πειράζοντα, ἐρωτῆσαι. εἶτα ὠφεληθέντα ἀπὸ τῆς ἀποκρίσεως τοῦ Χριστοῦ, καὶ νουνεχῶς ἀποκριθέντα, ἐπαινεθῆναι· ὅρα δὲ καὶ τὸν ἔπαινον, πῶς οὐχὶ τέλειον αὐτὸν εἶναι μαρτυρεῖ. οὐ γὰρ εἶπεν ὅτι ἐντὸς εἶ τῆς βασιλείας τοῦ θεοῦ, ἀλλ' οὐ μακρὰν εἶ· τίνος δὲ ἕνεκεν ὅλως ταύτην τὴν ἐρώτησιν προεβάλλετο τῷ Χριστῷ ὁ νομικὸς οὗτος; νομίζων ἐπιλήψεσθαι τοῦ Χριστοῦ ὡς ἐπιδιορθουμένου τὸν νόμον. καὶ διὰ τοῦτο κατηγορήσειν αὐτοῦ ὡς ἀντιθέτου τῷ νόμῳ· ἀλλ' ὁ κύριος δεικνύων αὐτῷ ὅτι ἀπὸ τοῦ μὴ ἔχειν ἀγάπην, ἀλλὰ τῷ φθόνῳ τήκεσθαι, ἔρχεται ἐπὶ τὰ τοιαῦτα ἐρωτήματα, φησὶν ὅτι πρώτη καὶ μεγάλη ἐντολὴ, τὸ ἀγαπᾶν τὸν θεόν· δευτέρα δὲ ὁμοία, τὸ ἀγαπᾶν τὸν πλησίον· πῶς δὲ ὁμοία; διότι ὑπ' ἀλλήλων συγκροτοῦνται. ὁ γὰρ ἀγαπῶν τὸν θεὸν, ἀγαπᾷ καὶ τὸ ποίημα αὐτοῦ. οἰκειότατον δὲ τῶν ποιημάτων, ὁ ἄνθρωπος· ὥστε ὁ ἀγαπῶν τὸν θεὸν, ἀγαπήσει καὶ πάντας ἀνθρώπους. ὅ, τε τὸν πλησίον ἀγαπῶν, πολλῷ μᾶλλον τὸν θεόν· εἰ γὰρ ἀνθρώποις ἀγαπᾷ, τοὺς πολλάκις ἀφορμὴν σκανδάλων καὶ
Ἰωάν. ιδ'. μίσους παρέχοντας, πολλῷ μᾶλλον τὸν θεὸν, τὸν ἀεὶ εὐεργετοῦντα· ἄκουε δὲ καὶ τοῦ κυρίου. ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει· ὁρᾷς ὅτι ἀπὸ τοῦ ἀγαπᾶν τὸν θεὸν, τηροῦμεν τὰς ἐντολὰς αὐτοῦ, αἱ δὲ ἐντολαὶ αὐτοῦ πᾶσαι, περὶ τῆς εἰς ἀλλήλους στοργῆς διαλαμβάνουσι· καὶ πάλιν. ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους· ὁρᾷς πάλιν, πῶς ἐκ τοῦ ἀγαπᾶν ἀλλήλους, συνίσταται τὸ ἔχειν φιλίαν πρὸς τὸν Χριστὸν, καὶ εἶναι αὐτοῦ μαθητὰς καὶ φίλους; σκόπει δὲ πῶς πάσας τὰς τῆς ψυχῆς δυνάμεις ἀπηριθμήσατο. ἔστι γὰρ ψυχῆς δύναμις, ἡ ζωώδης. ἣν αἰνίττεται ἐν τῷ εἰπεῖν ἐξ ὅλης τῆς ψυχῆς. τὸν θυμὸν γὰρ καὶ τὴν ἐπιθυμίαν, ὅλα διδόναι τῇ ἀγάπῃ τοῦ θεοῦ βούλεται· ἔστι καὶ ἑτέρα δύναμις ψυχῆς, ἡ καλουμένη φυτικὴ, ἥτις λέγεται θρεπτικὴ καὶ αὐξητική. καὶ ταύτην οὖν δοτέον ὅλην τῷ θεῷ· ἔστι δὲ καὶ ἡ λογικὴ δύναμις, ἣν ὠνόμασεν ὁ νόμος διάνοιαν· πάσας τοίνυν τὰς τῆς ψυχῆς δυνάμεις

ἀναθετέον

ἀναθετέον τῇ ἀγάπῃ·

» Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε, διδάσκων ἐν τῷ ἱερῷ, πῶς λέγουσιν οἱ γραμματεῖς
» ὅτι ὁ Χριστὸς, υἱός ἐστι Δαβίδ. αὐτὸς γὰρ Δαβὶδ εἶπεν ἐν πνεύματι ἁγίῳ, εἶπεν ὁ κύ- ψαλ· ρθ΄·
» ριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν
» ποδῶν σου · αὐτὸς οὖν Δαβὶδ λέγει αὐτὸν κύριον, καὶ πόθεν υἱὸς αὐτοῦ ἐστι. καὶ ὁ πο-
» λὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως, καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ. βλέπετε ἀπὸ
» τῶν γραμματέων, τῶν θελόντων ἐν στολαῖς περιπατεῖν. καὶ ἀσπασμοὺς ἐν ταῖς
» ἀγοραῖς. καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς. καὶ πρωτοκλισίας ἐν τοῖς δεί-
» πνοις. οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν. καὶ προφάσει μακρὰ προσευχόμενοι. οὗ-
» τοι λήψονται περισσότερον κρίμα · Ἐπειδὴ πρὸς τὸ πάθος ἔμελλεν ἔρχεσθαι ὁ
κύριος, διορθοῦται τὴν πεπλανημένην τῶν γραμματέων δόξαν, ὑπολαμβανόντων
τὸν Χριστὸν εἶναι υἱοῦ τοῦ Δαβὶδ, ἀλλ᾽ οὐχὶ κύριον · ἀποδείκνυσι τοίνυν ἑαυτὸν θεὸν, ἐξ αὐ-
τῶν τῶν τοῦ Δαβὶδ ῥημάτων. καὶ οὐχ ἁπλῶς. ἀλλ᾽ ἐκφοβῶν διὰ τοῦ λέγειν, ἕως ἂν
θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου · αὐτοὶ δὲ πάντως ἦσαν οἱ ἐχθροὶ αὐ-
τοῦ. οὓς ἔθηκεν ὁ θεὸς καὶ πατὴρ, ὑποπόδιον τῶν ποδῶν τοῦ Χριστοῦ · ὅρα δὲ καὶ πῶς
ἐρωτᾷ. οὐ γὰρ εἶπε τί ὑμῖν δοκεῖ περὶ ἐμοῦ, ἀλλὰ περὶ τοῦ Χριστοῦ, ὥστε μὴ πλῆξαι
αὐτούς. ἀλλ᾽ οὐδὲ ἔχετέ μοι εἰπεῖν ὅτι χωρὶς τοῦ πνεύματος τοῦτο εἶπεν ὁ Δαβὶδ, ἀλ-
λ᾽ ἐν πνεύματι ἐκάλεσεν αὐτὸν κύριον τουτέστι τῇ τοῦ πνεύματος κινούμενος χάριτι.
πῶς οὖν ὁ Χριστὸς, υἱὸς ἐστὶ τοῦ Δαβίδ. ἀλλ᾽ οὐχὶ καὶ κύριος αὐτοῦ καὶ θεός · ὁ οὖν ὄχλος
ἤκουεν αὐτοῦ ἡδέως. καὶ ἔλεγεν αὐτοῖς, τοῖς τοῦ ὄχλου φημί. φυλάττεσθε ἀπὸ τῶν
γραμματέων, τῶν στολὰς φορούντων σεμνοτέρας, καὶ ἐκ τούτων θελόντων προσέχε-
σθαι. καὶ τοὺς ἀσπασμοὺς δὲ καὶ τὰς εὐφημίας ἀποδεχομένων ἐν ταῖς ἀγοραῖς.
καὶ ὅσα ἄλλα πρὸς δόξαν ἐπιτηδευόντων · οἳ καὶ τὰς οἰκίας τῶν χηρῶν κατεσθίουσιν ·
ὑπεισήρχοντο γὰρ τὰς ἀπροστατεύτοις γυναῖκας, ὡς δῆθεν προστάται αὐτῶν ἐσόμενοι.
καὶ προφάσει τοῦ μακρὰ προσεύχεσθαι, καὶ προσχήματι εὐλαβείας καὶ ὑποκρί-
σει ἀπατῶντες τοὺς ἀφελεστέρους, κατήσθιον τὰς οἰκίας τῶν πλουσίων · οὗτοι τοίνυν,
περισσότερον κατακριθήσονται τῶν ἄλλων Ἰουδαίων τῶν ἁμαρτανόντων. δυνατοὶ γὰρ,
δυνατῶς ἐτασθήσονται · ἅμα δὲ διὰ τούτων, καὶ τοὺς ἀποστόλους διδάσκει μὴ κατὰ
τοὺς γραμματεῖς πολιτεύεσθαι, ἀλλ᾽ αὐτὸν μιμεῖσθαι · διδασκάλους γὰρ αὐτοὺς χει-
ροτονῶν, εἰκότως καὶ περὶ τοῦ βίου αὐτοῖς ὑποτίθεται ·

» Καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου, ἐθεώρει πῶς ὁ ὄχλος βάλλει
» χαλκὸν εἰς τὸ γαζοφυλάκιον. καὶ πολλοὶ πλούσιοι, ἔβαλλον πολλά. καὶ ἐλθοῦσα μία
» χήρα πτωχὴ, ἔβαλε λεπτὰ δύο. ὅ ἐστι κοδράντης · καὶ προσκαλεσάμενος τοὺς μαθητὰς
» αὐτοῦ, λέγει αὐτοῖς. ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ, πλεῖον πάντων βέ-
» βληκε τῶν βαλόντων εἰς τὸ γαζοφυλάκιον. πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβα-
» λον. αὕτη δὲ, ἐκ τῆς ὑστερήσεως αὐτῆς, πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς ·
Θαυμαστόν τι ἔθος παρὰ τοῖς Ἰουδαίοις ἐκράτει, ὥστε τοὺς ἔχοντας καὶ βουλομένους,
βάλλειν εἰς τὸν ἐν τῷ ἱερῷ θησαυρὸν (οὗτος γὰρ ἐκαλεῖτο γαζοφυλάκιον) ὡς ἂν οἵ τε
ἱερεῖς καὶ οἱ πένητες, καὶ αἱ χῆραι, ἐκ τούτων διατρέφοιντο · πολλῶν οὖν τὸ τοιοῦτο
ποιούντων, καὶ χήρα προσελθοῦσα, τὴν ἑαυτῆς προαίρεσιν ἐπεδείξατο εὐπορωτέ-
ραν τῆς δυνάμεως · δόξα σοι Χριστέ. ὃς καὶ τὰ μικρὰ δέχῃ ὑπὲρ τὰ μεγάλα πολ-
λάκις · γένοιτο καὶ τὴν ἐμὴν ψυχὴν, χήραν γενέσθαι, ἀποβαλοῦσαν τὸν σατανᾶν ᾧ
προσεκολλήθη, καὶ βαλεῖν εἰς τὸν ἱερὸν θησαυρὸν, δύο λεπτά. τὴν σάρκα καὶ τὸν νοῦν.
λεπτυνάσαν αὐτὰ, διὰ τῆς ἐγκρατείας μὲν, τὴν σάρκα. διὰ δὲ τῆς ταπεινώσεως, τὸν

νοῦ. ἵνα καὶ ἐγὼ ἀκούσω ὅτι ὅλον μου τὸν βίον ἱερὸν ἐποιησάμην, οὐδὲν ὑπολείψας νόημα ἢ κίνημα τῷ κόσμῳ.

Κεφάλαιον Τρισκαιδέκατον.

» Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ. διδά-
» σκαλε. ἴδε ποταποὶ λίθοι, καὶ ποταπαὶ οἰκοδομαί. καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς εἶπεν
» αὐτῷ. βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθῳ ὃς οὐ
» μὴ καταλυθῇ. καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, κατέναντι τοῦ ἱεροῦ, ἐπη-
» ρώτων αὐτὸν κατ᾽ ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας. εἰπὲ ἡμῖν
» πότε ταῦτα ἔσται. καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα πάντα συντελεῖσθαι.

Ἐπειδὴ πολλὰ περὶ τῆς ἐρημώσεως τῆς Ἱερουσαλὴμ ἔλεγεν ὁ κύριος, ὅτι ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος, οἱ μαθηταὶ αὐτοῦ θαυμάζοντες ὥσπερ, εἰ τοσαῦτα μεγέθη καὶ κάλλη οἰκοδομημάτων ἀφανισθήσεται, δεικνύουσιν αὐτῷ τὴν τοῦ ναοῦ τοσαύτην εὐπρέπειαν. ὁ δὲ, οὐδὲν ἧττον ἀφανισθήσεσθαι ταῦτα προαναφωνεῖ. καὶ τοσοῦτον, ὥστε μὴ δὲ λίθον ἐπὶ λίθῳ μεῖναι. ἢ μὴν φασί τινες ὡς πολλὰ ἀπέμειναν λείψανα τῆς Ἱερουσαλὴμ τῆς παλαιᾶς πόλεως. ὥστε πειρῶνται δεῖξαι ψευδῆ τὸν Χριστόν. ἀλλ᾽ οὐκ ἔστι τοῦτο. εἰ γὰρ καὶ ὑπελείφθησάν τινα λείψανα (ὅπερ οὐκ ἔστιν ἀληθὲς) ἀλλ᾽ οὖν ἄχρι τῆς καθόλου συντελείας οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθῳ. πλὴν ἱστόρηται ὅτι ὁ Αἴλιος Ἀδριανὸς κατέσκαψε τὴν πόλιν καὶ τὸ ἱερὸν, ἐκ βάθρων αὐτῶν. ὥστε καὶ τοῦτο ἐπ᾽ αὐτοῦ πληρωθῆναι, τὸ, μὴ δὲ λίθον ὑπολειφθῆναι ἐπὶ λίθῳ. καθημένου δὲ αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ ἐρωτῶντες πότε ταῦτα ἔσται. τουτέστι, πότε συντελεσθήσεται τὰ τῆς Ἱερουσαλήμ. ὁ δὲ, πρὸ τοῦ ἀποκρίνασθαι αὐτοῖς περὶ ὧν ἠρώτησαν, ἀσφαλίζεται τὴν διάνοιαν αὐτῶν, ἵνα μὴ πλανηθῶσιν. ἐπεὶ γὰρ ἀρξαμένων τῶν κατὰ τὴν Ἰουδαίαν νοσεῖν, ἐπανέστησάν τινες διδασκάλους ἑαυτοὺς λέγοντες, φησὶν ὁ κύριος. βλέπετε μὴ πλανηθῆτε.

» Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς αὐτοῖς, ἤρξατο λέγειν. βλέπετε μή τις ὑμᾶς πλανήσῃ.
» πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες ὅτι, ἐγώ εἰμι. καὶ πολλοὺς πλα
» νήσουσιν. ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε. δεῖ γὰρ γενέ-
» σθαι. ἀλλ᾽ οὔπω τὸ τέλος. ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος. καὶ βασιλεία ἐπὶ βασι-
» λείαν. καὶ ἔσονται σεισμοὶ κατὰ τόπους. καὶ ἔσονται λιμοὶ, καὶ ταραχαί. ἀρχαὶ ὠδί-
» νων ταῦτα. βλέπετε δὲ ὑμεῖς ἑαυτούς. παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ εἰς
» συναγωγὰς δαρήσεσθε. καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς
» μαρτύριον αὐτοῖς. καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ εὐαγγέλιον.

Πολλοὶ ἐλεύσονται. οἷος ἦν Ἰούδας. οἷος Θευδᾶς. οἳ ἔλεγον ἑαυτοὺς ὑπὸ τοῦ θεοῦ πεμφθῆναι. πολέμους δὲ ἀκούσεσθε φησίν. οὓς καὶ ὁ Ἰώσηπος ἱστορεῖ γεγενῆσθαι πρὸ τῆς ἁλώσεως. καὶ γὰρ ἀντῆρε μὲν τὸ ἔθνος, καὶ οὐκ ἐδίδου τοὺς φόρους Ῥωμαίοις. οἱ δὲ, ὀργισθέντες, ἐπῆλθον καὶ συνεχεῖς ἐφόδους ἐποίουν. ἀλλ᾽ οὔπω τὸ τέλος τῆς Ἱερουσαλήμ. ἐφιλανθρωπεύοντο γὰρ οἱ Ῥωμαῖοι. οὐ μόνον δὲ πόλεμοι ἐγένοντο, ἀλλὰ καὶ θεήλατοι πληγαί. λιμοὶ καὶ σεισμοί. δεικνύντος προφανῶς αὐτοῖς τοῦ θεοῦ, ὅτι αὐτὸς αὐτοῖς πολεμεῖ. πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. τουτέστι τῶν συμβησομένων αὐτοῖς κακῶν. βλέπετε δὲ ὑμεῖς ἑαυτούς. παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια. εὐκαίρως παρενέβαλε τὴν περὶ αὐτῶν διήγησιν, ὅτι, παραδώσουσιν ὑμᾶς εἰς συνέδρια, ὡς ἂν ἔχωσί τινα παραμυθίαν ἀπὸ τῶν κοινῶν ἐπὶ ταῖς ἰδίαις συμφοραῖς. ἀλλὰ καὶ ἐν τῷ εἰπεῖν, ἕνεκεν ἐμοῦ ἀχθήσεσθε ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς, παραμυθίαν αὐτοῖς οὐ μικρὰν ἐνέθηκεν, ὅτι ὑπὲρ αὐτοῦ μέλλουσι πάσχειν. τὸ δὲ, εἰς μαρτύριον αὐτοῖς, τουτέστιν εἰς

τέστιν εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους καὶ ἐντεῦθεν ἤδη κατακρίτους, ὅτι καὶ στρε-
βλοῦντες ὑμᾶς οὐκ ἠδυνήθησαν περιγενέσθαι τῆς ἀληθείας. εἶτα ἵνα μὴ νομίσωσιν
ὅτι οἱ κίνδυνοι, καὶ αἱ θλίψεις κωλύουσι τὸ κήρυγμα, φησὶν ὅτι καὶ εἰς πάντα τὰ ἔθνη
δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον, καὶ τότε ἁλώσεται ἡ Ἱερουσαλήμ. ὅτι γὰρ πρὸ τῆς
ἁλώσεως ἐκηρύχθη τὸ εὐαγγέλιον, ἄκουε τοῦ Παύλου. εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ ψαλ. ιή.
φθόγγος αὐτῶν. καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. καὶ τοῦτο δὲ
εἰς κατάκρισιν πλείονα τῶν Ἰουδαίων γέγονε, τὸ πρὸ τῆς ἁλώσεως κηρυχθῆναι παν-
ταχοῦ. ἔδει γὰρ αὐτοὺς ἰδόντας πῶς ἐν βραχεῖ καιρῷ εἰς πάντα τὸν κόσμον διέδρα-
με τὸ κήρυγμα, ἐπιγνῶναι τὴν τοῦ θεοῦ δύναμιν. καὶ μεταγνῶναι, καὶ ἀφεθῆναι
τῶν συμφορῶν. ἀλλ' οὐ συνῆκαν. διὰ τοῦτο καὶ μεῖζον αὐτοῖς τὸ κρίμα.

» Ὅταν δὲ ἄγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε τί λαλήσητε. μηδὲ με-
» λετᾶτε. ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε. οὐ γάρ ἐστε ὑμεῖς οἱ λα-
» λοῦντες, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ
» πατὴρ τέκνον. καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. καὶ
» ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος
» σωθήσεται. Πρὶν ἢ γὰρ τὸν πόλεμον τέλεον ἐξαφθῆναι, τί οὐκ ἔπαθον παρ' αὐτῶν
οἱ ἀπόστολοι, δικαστηρίοις παριστάμενοι, καὶ ἐπὶ βασιλεῖς ἀπαγόμενοι, Ἡρώδην καὶ Ἀγρίπ-
παν καὶ Νέρωνα. μὴ οὖν προμεριμνᾶτε τί ἀπολογήσησθε, ἀλλ' ἐν αὐτῇ τῇ ὥρᾳ δώσει ὑ-
μῖν τὸ πνεῦμα τὸ ἅγιον ἃ λαλήσετε. προαναφωνεῖ δὲ αὐτοῖς, καὶ τὸ πάντων χείριστον,
ὅτι καὶ ὑπὸ τῶν οἰκειοτάτων πολεμηθήσεσθε. λέγει δὲ τοῦτο, ἵνα προακούσαντες ἕτοιμα-
σθῶσι. καὶ λοιπὸν κούφως φέρωσι τὸ δεινόν. εἶτα ἡ παραμυθία, τὸ, ἕνεκεν ἐμοῦ ἔσεσθε
μισούμενοι. τὸ γὰρ ἕνεκεν αὐτοῦ μισεῖσθαι, ἱκανὸν ἦν πάσας ἐπικουφίσαι τὰς συμφο-
ράς. ἀλλὰ καὶ τὸ σωθήσεσθαι τὸν ὑπομείναντα εἰς τέλος, καὶ τοῦτο μεγίστη παράκλησις.

» Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου,
» ἑστὼς ὅπου οὐ δεῖ, ὁ ἀναγινώσκων νοείτω, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄ-
» ρη. ὁ δὲ ἐπὶ τοῦ δώματος, μὴ καταβάτω εἰς τὴν οἰκίαν. μηδὲ εἰσελθέτω ἆραί τι
» ἐκ τῆς οἰκίας αὐτοῦ. καὶ ὁ εἰς τὸν ἀγρὸν ὤν, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω, ἆραι τὸ
» ἱμάτιον αὐτοῦ. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις
» ταῖς ἡμέραις. Βδέλυγμα τῆς ἐρημώσεως, ὁ ἀνδριὰς τοῦ τὴν πόλιν ἑλόντος.
βδέλυγμα γὰρ, πᾶν εἴδωλον λέγεται. ἐρημώσεως δὲ, διότι ἁλούσης τῆς Ἱερουσαλήμ,
καὶ ἐρήμωσιν παθούσης, ἔστησαν αὐτὸ ἔσω τῶν ἀδύτων τοῦ ναοῦ. ἀλλὰ καὶ ὁ Πιλᾶ-
τος, τὰς τοῦ καίσαρος εἰκόνας νύκτωρ εἰς τὸ ἱερὸν ἀγαγὼν, πολλοῦ θορύβου τῷ πλή-
θει ἐγένετο αἴτιος. ἐκτοτε ἤρξατο καὶ ὁ πόλεμος καὶ ἡ ἐρήμωσις τῆς Ἱερουσα-
λήμ. τότε τοίνυν οἱ ἐν τῇ Ἰουδαίᾳ ὄντες, φευγέτωσαν εἰς τὰ ὄρη. καλῶς δὲ εἶπεν οἱ
ἐν τῇ Ἰουδαίᾳ. οἱ γὰρ ἀπόστολοι, οὐκ ἦσαν ἐν τῇ Ἰουδαίᾳ. ἀλλ' ὡς ἔφημεν, πρὸ τοῦ πο-
λέμου ἐδιώχθησαν ἀπὸ τῆς Ἱερουσαλήμ. μᾶλλον δὲ ἐξῆλθον αὐτοὶ, θείῳ κινούμενοι
πνεύματι. οἱ γοῦν εὑρεθέντες ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν. καὶ ὁ ἐπὶ τοῦ δώματος,
μηδενὸς τῶν ἐν τῇ οἰκίᾳ ἐπιστραφήτω. ἀγαπητὸν γὰρ εἰ καὶ γυμνῷ τῷ σώματι διασω-
θείη τις. ἀλλὰ καὶ ταῖς ἐχούσαις τέκνα καὶ ταῖς ἐγκύοις, οὐαί. διατί; διότι αἱ μὲν ἔ-
χουσαι τέκνα, τῇ πρὸς αὐτὰ στοργῇ κατεχόμεναι, οὐ δυνήσονται φεύγειν. αἱ δὲ ἐν γα-
στρὶ ἔχουσαι, διὰ τὸ τῆς κυοφορίας ἄχθος, οὐδὲ αὗται ῥᾳδίαν τὴν φυγὴν ἕξουσιν. οἴ-
μαι δὲ καὶ τὴν τεκνοφαγίαν ἐνταῦθα σημαίνειν. ἐν γὰρ τῷ λιμῷ πολιορκούμενοι, καὶ
τῶν τέκνων ἥψαντο.

» Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος. ἔσονται γὰρ αἱ ἡμέραι

» ἐκεῖναι θλῖψις οἵα οὐ γέγονε τοιαύτη ἀπ' ἀρχῆς κτίσεως ἣν ἔκτισεν ὁ θεὸς ἕως τοῦ νῦν,
» καὶ οὐ μὴ γένηται. καὶ εἰ μὴ κύριος ἐκολόβωσε τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα
» σάρξ. ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο, ἐκολόβωσε τὰς ἡμέρας.

Εἰ χειμῶνος γὰρ γένοιτο ἡ φυγή, ἀπὸ τῆς τοῦ καιροῦ δυσκολίας ἐμποδισθήσονται οἱ φεύγειν θέλοντες. καὶ ὅλως θλῖψις ἔσται, τῶν πώποτε γενομένων ἢ γενησομένων, χαλεπωτέρα. καὶ εἰ μὴ ἐκολόβωσεν ὁ θεός, τουτέστι. συντόμως κατέλυσε τὸν πόλεμον τῶν Ῥωμαίων, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. τουτέστιν, Ἰουδαῖος οὐκ ἂν ὑπελείφθη. ἀλλὰ διὰ τοὺς ἐκλεκτούς, τουτέστι τοὺς ἐξ Ἑβραίων πιστεύσαντας, ἢ καὶ ὕστερον μέλλοντας πιστεύειν, κατελύθη συντόμως ὁ πόλεμος. ὁ γὰρ θεὸς προγινώσκων ὅτι ἐξ Ἑβραίων πολλοὶ πιστεύσουσι μετὰ τὴν ἅλωσιν, τούτου χάριν οὐ συνεχώρησε παντελῶς ἀφανισθῆναι τὸ γένος. δύναται δὲ ταῦτα καὶ ἀναχθῆναι ἠθικώτερον. βδέλυγμα τῆς ἐρημώσεως, ἐστὶ πᾶν νόημα σατανικόν. ἑστὼς ἐν τόπῳ ἁγίῳ, τῷ ἡμετέρῳ νοΐ. τότε τοίνυν ὁ ἐν τῇ Ἰουδαίᾳ ὢν φευγέτω, εἰς τὰ ὀρεινά. τουτέστιν ὁ ἐξομολογησάμενος, ἀνατρεχέτω εἰς τὰ ὄρη τῶν ἀρετῶν. Ἰουδαία γάρ, ἐξομολόγησις λέγεται. καὶ ὁ ἐν ὑψηλῷ ἱστάμενος, μὴ καταβάτω. ὅταν γὰρ ἐμπαθές τι νόημα σταθῇ ἐν ἡμῖν, δεῖ διὰ τῆς ἐξομολογήσεως ἀνατρέχειν εἰς τὰ ὑψηλά, καὶ μὴ καταβαίνειν ἀπὸ τοῦ ὕψους τῆς ἀρετῆς. καὶ ὁ ἐργαζόμενος τὸ καλόν, μὴ ἐπιστρεψάτω ὥστε ἆραι τὴν παλαιὰν συνείδησιν, ἥτις ἐστὶν ἱμάτιον ὃ ἀπεδύσατο. οὐαὶ δὲ τῷ ἐν χειμῶνι φεύγοντι. δεῖ γὰρ ἡμᾶς φεύγειν ἀπὸ τῆς ἁμαρτίας μετὰ θερμότητος, καὶ μὴ ψυχρῶς καὶ ἀκινήτως. τοιοῦτον γὰρ τὸ ἐν τῷ χειμῶνι φεύγειν αἰνίττεται.

» Τότε ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ χριστός. ἰδοὺ ἐκεῖ, μὴ πιστεύσητε. ἐγερθήσονται
» γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα καὶ τέρατα πρὸς τὸ ἀπο-
» πλανᾶν εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς. ὑμεῖς δὲ βλέπετε. ἰδοὺ προείρηκα ὑμῖν πάν-
» τα. ἀλλ' ἐν ἐκείναις ταῖς ἡμέραις, μετὰ τὴν θλῖψιν ἐκείνην, ὁ ἥλιος σκοτισθήσεται. καὶ
» ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται ἐκπίπτοντες.
» καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται. καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀν-
» θρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

Πεπλήρωκε μὲν ἤδη τὰ περὶ τῆς Ἱερουσαλήμ. ἄρχεται δὲ λοιπὸν περὶ τῆς τοῦ ἀντιχρίστου παρουσίας λέγειν. τὸ δὲ τότε, μὴ νοήσῃς ὅτι, ὅταν τὰ ἀνωτέρω ῥηθέντα περὶ τῆς Ἱερουσαλὴμ γένωνται, τότε ἐάν τις ὑμῖν εἴπῃ ἰδοὺ ὧδε ὁ χριστός, μὴ πιστεύσητε. Ματθ. γ'. ἀλλὰ γίνωσκε ὅτι ἰδίωμα ἐστὶ τῆς γραφῆς τοῦτο. ὥσπερ καὶ ὁ Ματθαῖος, μετὰ τὴν γέννησιν τοῦ χριστοῦ, λέγει. ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται ὁ Ἰωάννης. ποίαις ἡμέραις. ἆρα ταῖς ἐφεξῆς μετὰ τὴν τοῦ χριστοῦ γέννησιν; οὐχί. ἀλλ' ἀορίστως. οὕτως οὖν καὶ ἐνταῦθα λέγει, τότε. οὐχ ὅταν ἡ Ἱερουσαλὴμ ἐρημωθῇ, ἀλλὰ κατὰ τοὺς καιροὺς τῆς τοῦ ἀντιχρίστου παρουσίας, μὴ πλανηθῆτε. πολλοὶ γὰρ ὑποποιήσονται τὸ τοῦ χριστοῦ ὄνομα, ὥστε καὶ τοὺς ἐκλεκτοὺς πλανᾶν. μετὰ δὲ τὴν τοῦ ἀντιχρίστου παρουσίαν, ἡ κτίσις πᾶσα ἀλλοιωθήσεται, σκοτιζομένων τῶν ἀστέρων διὰ τὴν ὑπερβολὴν τοῦ φωτὸς τοῦ χριστοῦ. σαλευθήσονται δὲ αἱ ἀγγελικαὶ δυνάμεις, τουτέστιν ἐκπλαγήσονται, ὁρῶσαι τοσαύτην μεταβολὴν γινομένην. καὶ τοὺς συνδούλους αὐτῶν κρινομένους. καὶ τότε ὄψονται τὸν κύριον, ὡς υἱὸν ἀνθρώπου. τουτέστιν ἐνσώματον. τὸ γὰρ θεωρούμενον, πάντως σῶμα. ἀλλ' εἰ καὶ ἐνσώματος ὡς ἄνθρωπος ἔρχεται, ἀλλά γε μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

» Καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν
» τεσσάρων ἀνέμων, ἀπ' ἄκρου γῆς, ἕως ἄκρου οὐρανοῦ. ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν

παραβολήν· ὅταν αὐτῆς ἤδη ὁ κλάδος ἁπαλὸς γένηται, καὶ ἐκφυῇ τὰ φύλλα, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν· οὕτω καὶ ὑμεῖς, ὅταν ταῦτα ἴδητε γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις· ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, μέχρις οὗ πάντα ταῦτα γένηται. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν· Ὁρᾷς ὅτι καὶ ὁ υἱὸς τοὺς ἀγγέλους στέλλει, ὥσπερ καὶ ὁ πατήρ; ποῦ τοίνυν οἱ λέγοντες ὅτι οὐκ ἔστιν ἴσος τῷ θεῷ καὶ πατρί· ἐλεύσονται τοίνυν οἱ ἄγγελοι ἐπισυνάγοντες τοὺς ἐκλεκτούς, ὡς ἂν ἁρπαγέντες ἐν νεφέλαις, ὑπαντήσωσι τῷ κυρίῳ· ἀπὸ δὲ τῆς συκῆς, μάνθανε ὃ λέγω· ὥσπερ γὰρ τῆς συκῆς φύλλα ἤδη ἐκφυούσης εὐθὺς τὸ θέρος, οὕτω καὶ μετὰ τὴν θλῖψιν τοῦ ἀντιχρίστου εὐθὺς οὐδενὸς μεσολαβοῦντος, ἡ τοῦ Χριστοῦ παρουσία. ἥτις θέρος τῷ ὄντι ἐστὶ τοῖς δικαίοις ἀπὸ χειμῶνος. τοῖς μέντοι ἁμαρτωλοῖς, χειμὼν ἀπὸ θέρους· ἀμὴν λέγω ὑμῖν ὅτι ἡ γενεὰ αὕτη, τουτέστι τῶν πιστῶν τῶν Χριστιανῶν λέγω, οὐ μὴ παρέλθῃ, ἕως ταῦτα πάντα τά τε περὶ τῆς Ἱερουσαλὴμ καὶ τῆς τοῦ ἀντιχρίστου ἐλεύσεως γένηται· οὐ γὰρ δήπου γενεὰν λέγει, τὴν τῶν ἀποστόλων. ἐπεὶ οὐδὲ ἄχρι τῆς συντελείας τοῦ κόσμου ζῶσιν οἱ ἀπόστολοι, οἵγε οὐδὲ ἄχρι τῆς συντελείας τῆς Ἱερουσαλὴμ οἱ πλείονες ἔφθασαν ζῆν· γενεὰν οὖν τὴν τῶν Χριστιανῶν λέγει, παραμυθούμενος τοὺς ἀποστόλους· ἵνα γὰρ μὴ ὑπολάβωσιν ὅτι τοσούτων κακῶν γινομένων, ἴσως ἐκλείψει ἡ πίστις, φησὶν ὅτι, θαρρεῖτε. οὐ παρελεύσεται ἡ γενεὰ τῶν πιστῶν, οὐδὲ ἐκλείψει· πρότερον γὰρ ἂν τὰ ἀκίνητα ταῦτα στοιχεῖα, ὁ οὐρανός φημι καὶ ἡ γῆ παρελεύσεται, ἢ οἱ ἐμοὶ λόγοι κατά τι διαπεσοῦνται· πάντα γὰρ ὅσα εἶπον τελεσθήσονται·

Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας, οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ. οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ· βλέπετε. ἀγρυπνεῖτε καὶ προσεύχεσθε. οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν· ὡς ἄνθρωπος ἀπόδημος, ἀφεὶς τὴν οἰκίαν αὐτοῦ. καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν. καὶ ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ· γρηγορεῖτε οὖν. οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται. ὀψέ, ἢ μεσονυκτίου, ἢ ἀλεκτοροφωνίας, ἢ πρωΐ. μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας· ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω. γρηγορεῖτε· Θέλων ὁ κύριος κωλῦσαι τοὺς μαθητὰς ἀπὸ τοῦ ἐρωτᾶν περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας, φησὶν ὅτι οὐδὲ οἱ ἄγγελοι οὐδὲ ὁ υἱὸς οἶδεν. εἰ γὰρ εἶπεν ὅτι οἶδα μέν, οὐ θέλω δὲ ὑμῖν ἀποκαλύψαι, ἐλύπησεν ἂν αὐτούς· νῦν δέ, σοφώτερον μεταχειρίζεται. καὶ ἀπείργει αὐτοὺς ὅλως τοῦ ζητεῖν μαθεῖν καὶ ἐνοχλεῖν αὐτῷ, ἐν τῷ εἰπεῖν ὅτι, οὔτε οἱ ἄγγελοι οὔτε ἐγὼ οἶδα· ἀπὸ δὲ παραδείγματός τινος, νοήσεις τὸ λεγόμενον· πολλάκις παιδία μικρὰ βλέπουσι τοὺς πατέρας αὐτῶν κρατοῦντάς τι ἐν ταῖς χερσί. καὶ ζητοῦσι τοῦτο. οἱ δὲ πατέρες, οὐ βούλονται δοῦναι. τὰ δέ, κλαυθμυρίζονται ὡς μὴ λαμβάνοντα. τελευταῖον μέντοι, οἱ πατέρες κρύπτουσιν ἐκεῖνο ὃ κρατοῦσι· καὶ ἐπιδεικνύντες τὰς χεῖρας κενὰς τοῖς παιδίοις, ἱστῶσιν αὐτὰ τοῦ κλαυθμοῦ· οὕτω καὶ ὁ κύριος, ὡς παιδίοις τοῖς ἀποστόλοις προσφερόμενος, ἀπέκρυψε τὴν ἡμέραν· εἰ γὰρ εἶπεν ὅτι, οἶδα. οὐ λέγω δέ, ἠνιάθησαν ἄν, ὡς μὴ παρ᾽ αὐτοῦ μανθάνοντες· ὅτι δὲ γινώσκει ὁ κύριος τὴν ἡμέραν καὶ τὴν ὥραν, πρόδηλον. αὐτὸς γὰρ τοὺς αἰῶνας ἐποίησεν. ὃ οὖν ἐποίησε, πῶς οὐ γινώσκει· ἀλλὰ δὴ καὶ συμφερόντως ἀπέκρυψεν ὁ θεὸς τὴν συντέλειαν τοῦ βίου, εἴτε τὴν καθολικὴν εἴτε τὴν ἑνὸς ἑκάστου. ἵνα ὡς ἀδήλου ὄντος τοῦ τέλους, ἀεὶ ἀγωνιζώμεθα, προσδοκῶντες αὐτὸ καὶ φοβούμενοι μὴ ἀνετοίμοις ἐπιστῇ· σκοπήσωμεν δὲ καὶ τὰς λέξεις. ὀψὲ μὲν ἐφίσταται τὸ τέλος, ὅταν τις γηράσας ἀποθάνῃ. μεσονυκτίου δέ, ὅταν τις μέσης ἡλικίας εἴη. ἀλεκτοροφωνίας δέ, ὅταν ὁ λόγος ἐν ἡμῖν συμπληρωθῇ. ἀλέκτωρ γὰρ ὁ λόγος, ὁ ἐγείρων ὑ-

μᾶς ἀπὸ τοῦ ὕπνου τῆς ἀναισθησίας· ὅταν οὖν ἄρξηται κατὰ λόγον ζῆν ὁ παῖς καὶ φρονεῖν, τότε ὁ ἀλέκτωρ ἐν αὐτῷ φωνεῖ· πρωΐα δὲ, ἡ παντελῶς παιδικὴ ἡλικία· δεῖ οὖν πάντας προνοεῖσθαι τοῦ τέλους· κἂν γὰρ παιδίον εἴη, προνοητέον καὶ τούτου μήπως ἀβάπτιστον ἀπέλθοι· πᾶσι δὲ ταῦτα παραγγέλλει ὁ κύριος, καὶ τοῖς κοσμικωτέροις καὶ τοῖς ἀναχωρηταῖς· ὀφείλομεν οὖν γρηγορεῖν καὶ προσεύχεσθαι, ἄμφω ταῦτα· πολλοὶ γὰρ γρηγοροῦσι μὲν, ἀλλ' εἰς πονηρὰ τὰς νύκτας ἀναλίσκοντες· ὅρα δὲ πῶς οὐκ εἶπεν ὅτι, οὐκ οἶδα πότε ὁ καιρός ἐστιν, ἀλλ' οὐκ οἴδατε· διὰ γὰρ τὸ ἡμῶν συμφέρον, ἀπέκρυψεν. εἰ γὰρ καὶ νῦν ἀδήλου τοῦ τέλους ὄντος, κατ' ἀλλήλων μαινόμεθα, τί οὐκ ἂν ἐποιοῦμεν εἰ ἐγινώσκομεν τὸ τέλος. εἰς ἐσχάτην γὰρ κακίαν τὸν πρὸ τῆς τελευτῆς καιρὸν ἀνηλίσκομεν ἄν. εἶτα μιᾷ ἡμέρᾳ μετάνοιαν ἐνδεικνύμενοι, ἐβλαπτόμεθα ἂν τὰ χείριστα.

Κεφάλαιον τεσσαρεσκαιδέκατον.

» Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα, μετὰ δύο ἡμέρας. καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ
» γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες, ἀποκτείνωσιν· ἔλεγον δὲ μὴ ἐν τῇ ἑορ-
» τῇ, μήποτε θόρυβος ἔσται τοῦ λαοῦ· καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ
» λεπροῦ. κατακειμένου αὐτοῦ, ἦλθε γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς,
» πολυτελοῦς· καὶ συντρίψασα τὸ ἀλάβαστρον, κατέχεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς·
» ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτοὺς καὶ λέγοντες εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύ-
» ρου γέγονεν· ἠδύνατο γὰρ τοῦτο πραθῆναι ἐπάνω τριακοσίων δηναρίων, καὶ δοθῆναι
» τοῖς πτωχοῖς· καὶ ἐνεβριμῶντο αὐτῇ. Τῇ τετράδι, τὸ συμβούλιον συνέστη. καὶ διὰ τοῦ-
το νηστεύομεν καὶ ἡμεῖς τὰς τετράδας· ἐκεῖνοι μὲν οὖν ἐβούλοντο τὸν τῆς ἑορτῆς καιρὸν
ὑπερτίθεσθαι, οὐ συνεχωρήθησαν δέ. ἀλλ' αὐτὸς ἑαυτῷ τὸν καιρὸν τοῦ πάθους τηρῶν, καὶ
τὸ πάσχα εὐδόκησε σταυρωθῆναι. αὐτὸς γὰρ ἦν τὸ πάσχα τὸ ἀληθινόν· ὅθεν θαυμάσαι
πάρεστι τὴν αὐτοῦ δύναμιν· ὅτε μὲν γὰρ ἐκεῖνοι ἐβούλοντο κατασχεῖν αὐτὸν, οὐκ ἠδύ-
ναντο. ὅτε δὲ ἐκεῖνοι οὐκ ἐβούλοντο διὰ τὴν ἑορτὴν, τότε αὐτὸς ἑκὼν ἑαυτὸν ἐξέδωκεν·
Ματ. κϛ'. ὄντος δὲ αὐτοῦ ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, ἦλθε γυνή· καὶ οἱ τέσσαρες,
Λου. ζ'. μνημονεύουσι τοῦ μύρου· καὶ δοκεῖ μὲν παρά τισι, μία εἶναι. οὐκ ἔστι δέ· δύο δὲ εἰσί. μία
Ἰωάν. ιά. ιβ'. μὲν, ἡ παρὰ τῷ Ἰωάννῃ, ἡ καὶ τοῦ Λαζάρου ἀδελφὴ οὖσα. ἑτέρα δὲ, ἡ παρὰ τοῖς λοι-
ποῖς τρισί. πλὴν πρόσεχε, καὶ εὑρήσεις ταύτας τρεῖς οὔσας· παρὰ μὲν τῷ Ἰωάννῃ,
μίαν. παρὰ δὲ τῷ Λουκᾷ, ἄλλην. παρὰ δὲ τοῖς δυσὶν, ἑτέραν μίαν· ἡ γὰρ παρὰ τῷ
Λουκᾷ, καὶ πόρνη ἦν, καὶ περὶ τὰ μέσα τοῦ κηρύγματος. ἡ δὲ παρὰ τῷ Ματθαίῳ,
πρὸς τῷ καιρῷ τοῦ πάθους. καὶ οὐ δὲ πόρνη ὁμολογουμένως· ἀποδέχεται δὲ αὐτῆς ὁ
κύριος τὴν προαίρεσιν, ὡς τοσαῦτα ἀναλωσάσης περὶ τὴν νάρδον· πιστικὴν δὲ νάρ-
δον νόει, ἤτοι εἶδος νάρδου, οὕτω λεγόμενον πιστική, ἢ τὴν ἄδολον νάρδον καὶ μετὰ πί-
στεως κατασκευασθεῖσαν· ἦσαν δέ τινες ἀγανακτοῦντες· ὁ δὲ Ἰωάννης, τὸν Ἰούδαν φη-
σὶν ἀγανακτῆσαι· εἰκὸς οὖν καὶ τοὺς ἄλλους μὲν ἀποστόλους μέμψασθαι τὴν γυναῖκα,
ὡς ἀκούσαντας τοῦ Χριστοῦ ἀεὶ περὶ ἐλεημοσύνης διδάσκοντος· τὸν μέντοι Ἰούδαν, οὐ
τῷ αὐτῷ σκοπῷ κατὰ τῆς γυναικὸς ἀγανακτῆσαι, ἀλλὰ διὰ τὸ φιλάργυρον καὶ
Ἰωάν. ιβ'. αἰσχροκερδὲς αὐτοῦ· διὰ τοῦτο οὖν καὶ Ἰωάννης τούτου μόνου μνημονεύει. ὡς δευτέρῳ σκο-
πῷ μεμψαμένου τὴν γυναῖκα· καὶ ἐνεβριμῶντο αὐτῇ. τουτέστιν ἠγανάκτουν. ὕβριζον.
ἐπέπληκτον αὐτῇ.

» Ὁ δὲ Ἰησοῦς εἶπεν. ἄφετε αὐτήν. τί αὐτῇ κόπους παρέχετε. καλὸν ἔργον εἰργάσα-
» το ἐν ἐμοί· πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν. καὶ ὅταν θέλητε δύνασθε αὐ-
» τοὺς εὖ ποιῆσαι. ἐμὲ δὲ οὐ πάντοτε ἔχετε· ὃ ἔσχεν αὕτη ἐποίησε, προέλαβε μυρίσαι

» μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν. ἀμὴν δὲ λέγω ὑμῖν, ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέ
» λιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς.
Μέμφεται ὁ κύριος τοῖς ἀποστόλοις, ὡς ἀκαίρως ἐμποδίζουσι τῇ προθυμίᾳ τῆς γυναικός. τί γάρ φησιν, αὐτῇ κόπους παρέχετε, μεθ᾽ ὃ προσήνεγκε τὸ δῶρον ἀποστρέφοντες αὐτὴν διὰ τοῦ ὀνειδισμοῦ. ἅμα δὲ καὶ πλήττει τὸν προδότην, ἐν τῷ λέγειν ὅτι, εἰς τὸν ἐνταφιασμόν μου τοῦτο ἐποίησε, καὶ ὡς ἀσυνείδητον ἐλέγχει. μονονουχὶ τοῦτο λέγων αὐτῷ, ὅτι, σὺ μὲν εἰς θάνατόν με προδίδως, οὐκ ἐλέγχεις σεαυτόν. αὕτη δὲ εἰς τὸν ἐνταφιασμόν μου τὸ μῦρον φέρουσα, ὡσανεὶ ὑπὸ θεοῦ κινηθεῖσα, ἀξία ἐστὶν ἐλέγχεσθαι ὑπὸ σοῦ; προφητεύει δὲ ἐνταῦθα ὁ κύριος δύο προφητείας, ὅτι τε τὸ εὐαγγέλιον κηρυχθήσεται ἐν ὅλῳ τῷ κόσμῳ. καὶ ὅτι τὸ ἔργον τῆς γυναικὸς συγκηρυχθήσεται. αἰσχυνέσθωσαν οὖν ἐντεῦθεν, οἱ τοὺς πτωχοὺς προτιμῶντες τοῦ Χριστοῦ. ἤκουσα γὰρ ἐγὼ χρυσολόγων λεγόντων ὅτι, ἐὰν τὸ ἱερὸν σκεῦος καταλύσας δῶ πτωχοῖς καὶ ἐγὼ ζήσω, οὐκ ἔστι κρίμα. ἀκουέτωσαν οὖν πῶς ὁ Χριστὸς προτιμᾷ τὴν ἑαυτοῦ θεραπείαν, τῶν πτωχῶν. Χριστοῦ δὲ σῶμα κυρίως, τὸ ἐν τῷ δίσκῳ τῷ χρυσῷ. καὶ αἷμα τὸ ἐν τῷ ποτηρίῳ. ὁ γοῦν ἀφαιρούμενος τὸν δίσκον τὸν πολύτιμον, καὶ ἀναγκάζων τὸ σῶμα τοῦ Χριστοῦ ἐν εὐτελεστέρῳ τίθεσθαι, προφασιζόμενος δὲ τοὺς πτωχούς, γινωσκέτω ποίας μερίδος ἐστίν.

» Καὶ Ἰούδας ὁ Ἰσκαριώτης εἷς τῶν δώδεκα, ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς ἵνα παρα
» δῷ αὐτὸν αὐτοῖς. οἱ δέ, ἀκούσαντες ἐχάρησαν. καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦ
» ναι. καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν παραδῷ. Ὅτε ἡ γυνὴ τὴν οἰκείαν φιλοτιμίαν ἐπεδείξατο, τότε μαίνεται ὁ μαθητής, ὁ εἷς τῶν δώδεκα. οὐ γὰρ ἁπλῶς κεῖται τό, εἷς τῶν δώδεκα. ἀλλ᾽ ἵνα δείξῃ ὅτι εἷς τῶν προκρίτων ἐκλεκτὸς καὶ αὐτὸς ὤν. τί δέ ἐστι τό, ἵνα αὐτὸν παραδῷ; τουτέστιν, ἵνα καταμηνύσῃ αὐτοῖς πότε μόνος ἐστίν. ἐκεῖνοι γὰρ ἐφοβοῦντο ἐπιπεσεῖν αὐτῷ διδάσκοντι, διὰ τὸν ὄχλον. ἐκεῖνος οὖν ὑπέσχετο μεμονωμένον αὐτὸν παραδοῦναι αὐτοῖς.

» Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ
» αὐτοῦ. ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν ἵνα φάγῃς τὸ πάσχα. καὶ ἀποστέλλει δύο
» τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς. ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν
» ἄνθρωπος κεράμιον ὕδατος βαστάζων. ἀκολουθήσατε αὐτῷ, καὶ ὅπου ἐὰν εἰσέλθῃ,
» εἴπατε τῷ οἰκοδεσπότῃ. ὁ διδάσκαλος λέγει. ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα
» μετὰ τῶν μαθητῶν μου φάγω; καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεον μέγα, ἐστρωμένον ἕτοι
» μον. ἐκεῖ ἑτοιμάσατε ἡμῖν. Πρώτην ἡμέραν τῶν ἀζύμων, τὴν πέμπτην λέγει, ἥτις πρὸ τῶν ἀζύμων ἦν. τὰ γὰρ ἄζυμα, τῇ παρασκευῇ ἠσθίοντο. προσέρχονται οὖν οἱ μαθηταί, ἐρωτῶντες ποῦ φάγωσι τὸ πάσχα. ἐκ τούτου δὲ δῆλον, ὡς οὐκ εἶχε καταγώγιον ὁ Χριστὸς ἴδιον. ἀλλ᾽ οὐδὲ οἱ μαθηταὶ οἰκίας εἶχον. ἢ γὰρ ἂν προσελάβοντο αὐτὸν ἐκεῖ. ἀποστέλλει δὲ δύο τῶν μαθητῶν αὐτοῦ, Πέτρον καὶ Ἰωάννην ὡς ὁ Λουκᾶς λέγει, πρὸς ἄνθρωπον ἀγνώριστον. δεικνύων αὐτοῖς ὅτι ἠδύνατο μὴ παθεῖν. ὁ γὰρ τὴν διάνοιαν τούτου τοῦ ἀγνωρίστου πείσας ὑποδέξασθαι αὐτόν, τί οὐκ ἂν εἰργάσατο ἐν τοῖς ἄλλοις. δίδωσι δὲ αὐτοῖς καὶ σημεῖον τοῦ εὑρεῖν τὴν οἰκίαν, τὸ ἀκολουθῆσαι ἀνθρώπῳ βαστάζοντι κεράμιον ὕδατος. ταῦτα δὲ καὶ ἀναχθῆναι δύναται. κεράμιον μὲν ὕδατος βαστάζει ὁ βεβαπτισμένος. ἀπέρχεται δὲ εἰς οἰκίαν, τὴν πρέπουσαν τοῖς λογικοῖς καταστάσιν. ὁ γὰρ τὸ βάπτισμα βαστάζων, εἰς ἀνάπαυσιν ἔρχεται, κατὰ λόγον ζῶν. καὶ ὥσπερ ἐν οἰκίᾳ, τῇ καταστάσει ταύτῃ ἐπαναπαυόμενος. οἰκοδεσπότης δὲ ὁ νοῦς. ὃς ἀνώγεον μέγα δεικνύει, τὸ ὕψος τῶν αὐτοῦ νοημάτων. ἀλλὰ τοῦτο τὸ ἀνώγεον, καὶ ἐστρωμένον ἐστί. τουτέστιν, εἰ καὶ ὑψηλόν ἐστιν, ἀλλ᾽ οὐδὲν τραχὺ καὶ ὑπερήφανον ἔχει. ἀλλ᾽ ἐ- Λουκ. κβ΄.

στρωται καὶ ὡ μάλισται τῇ ταπεινοφροσύνῃ· ἐκεῖ τοίνυν, ἐν τῷ τοιούτῳ λέγω νῷ, ἑτοι-
μάζεται τὸ πάσχα τῷ Χριστῷ ὑπὸ δύο μαθητῶν, Πέτρου καὶ Ἰωάννου. πράξεως λέ-
γω καὶ θεωρίας· ὁ μὲν γὰρ Πέτρος ὡς θερμὸς, πρακτικός. ὁ δὲ Ἰωάννης θεωρητι-
κὸς, ὡς θεολόγος.

» Καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ. καὶ ἦλθον εἰς τὴν πόλιν. καὶ εὗρον καθὼς εἶπεν αὐ
» τοῖς. καὶ ἡτοίμασαν τὸ πάσχα. καὶ ὀψίας γενομένης, ἔρχεται μετὰ τῶν δώδεκα. καὶ
» ἀνακειμένων αὐτῶν, καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰησοῦς. ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν
» παραδώσει με, ὁ ἐσθίων μετ᾽ ἐμοῦ· οἱ δὲ, ἤρξαντο λυπεῖσθαι. καὶ λέγειν αὐτῷ εἷς κα-
» θ᾽ εἷς. μήτι ἐγώ; καὶ ἄλλος. μήτι ἐγώ; ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτοῖς. εἷς ἐκ τῶν δώδεκα, ὁ
» ἐμβαπτόμενος μετ᾽ ἐμοῦ εἰς τὸ τρυβλίον. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέ-
» γραπται περὶ αὐτοῦ. οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδί-
» δοται. καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Πῶς ἀνέκειντο, τοῦ νό-
μου κελεύοντος ἑσταμένοις τρώγειν τὸ πάσχα· εἰκὸς οὖν πρότερον τελέσαι τὸ νομικὸν, εἶ-
τα ἀναπεσεῖν τὸ οἰκεῖον πάσχα· μέλλοντα παραδοῦναι· ἤρξαντο δὲ λυπεῖσθαι οἱ μα
θηταὶ διὰ τὸν λόγον τοῦ κυρίου ὃν εἶπεν, ὅτι, εἷς ἐξ ὑμῶν παραδώσει με. καίτοι γὰρ ἐκ-
τὸς ὄντες τοῦ πάθους τούτου, ὅμως ἠγωνίων. πιστεύοντες τῷ τὰς καρδίας εἰδότι θεῷ,
πλέον ἢ ἑαυτοῖς· ὅρα δὲ καὶ τὴν λέξιν τοῦ ὑπάγει. ὡσανεὶ γὰρ ἀποδημία ἦν ὁ θάνα-
τος τοῦ Χριστοῦ, οὐχὶ θάνατος· τὸ δὲ καλὸν ἦν εἰ οὐκ ἐγεννήθη, ὡς πρὸς τὴν κόλασιν ἣν
ὑποστήσεται ὁ προδότης, εἴρηται· κρεῖττον γὰρ μηδόλως γεννηθῆναι, ἢ ἐπὶ κολάσει
γεννηθῆναι· ὅσον οὖν ἐκ τοῦ ἀποτελέσματος, κρεῖττον φαίνεται εἰ μηδόλως ὑπῆρξεν ὁ
Ἰούδας· ὁ μὲν γὰρ θεὸς ἐποίησεν αὐτὸν, ἐπ᾽ ἔργοις ἀγαθοῖς. ἐπεὶ δὲ αὐτὸς εἰς κακίαν τη
λικαύτην ἐξέπεσεν, ὡς ἔοικε κρεῖττον ἦν εἰ μὴ ἐγεννήθη ὅλως.

» Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, εὐλογήσας, ἔκλασε καὶ ἔδωκεν αὐ-
» τοῖς. καὶ εἶπε. λάβετε, φάγετε. τοῦτό ἐστι τὸ σῶμά μου· καὶ λαβὼν τὸ ποτήριον, εὐ-
» χαριστήσας, ἔδωκεν αὐτοῖς. καὶ ἔπιον ἐξ αὐτοῦ πάντες. καὶ εἶπεν αὐτοῖς. τοῦτό ἐστι τὸ αἷ
» μά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον· ἀμὴν λέγω ὑμῖν ὅτι
» οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐ
» τὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. Τινὲς λέγουσι τὸν Ἰούδαν μὴ μεταλαβεῖν
τῶν μυστηρίων. ἀλλ᾽ ἐξελθεῖν πρὶν ἢ ὁ κύριος παραδῷ τὰ μυστήρια· ἄλλοι δέ φασιν ὅτι
καὶ αὐτῷ μετέδωκε τῶν ἁγιασμάτων, τῷ ἀγνώμονι· εὐλογήσας δὲ, ἀντὶ τοῦ εὐχαριστή
σας, ἔκλασε τὸν ἄρτον. ὅπερ καὶ ἡμεῖς ποιοῦμεν, εὐχὰς ἐπιλέγοντες, τοῦτό ἐστι τὸ σῶμα
μου. τοῦτο ὃ νῦν λαμβάνετε· οὐ γὰρ ἀντίτυπος τοῦ κυριακοῦ σώματος, ἐστὶν ὁ ἄρτος.
ἰωάν. ς'. ἀλλ᾽ εἰς αὐτὸ ἐκεῖνο μεταβάλλεται τὸ σῶμα τοῦ Χριστοῦ· καὶ ὁ κύριος γὰρ λέγει. ὁ ἄρ
τος ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν· οὐκ εἶπεν ἀντίτυπός ἐστι τῆς σαρκός μου, ἀλλ᾽ ἡ
ἰωάν. ς'. σάρξ μου ἐστί· καὶ πάλιν. ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. καὶ πῶς
φησιν, οὐ γὰρ σὰρξ καθορᾶται· διὰ τὴν ἡμετέραν ὦ ἄνθρωπε ἀσθένειαν. ἐπειδὴ γὰρ ὁ
μὲν ἄρτος καὶ ὁ οἶνος, συνήθη ἡμῖν. αἷμα δὲ προκείμενον καὶ σάρκα ὁρῶντες, οὐκ ἂν
ἠνέγκαμεν ἀλλ᾽ ἀπεναρκήσαμεν, διὰ τοῦτο συγκαταβαίνων ἡμῖν ὁ φιλάνθρωπος, τὸ
μὲν εἶδος ἄρτου καὶ οἴνου φυλάττει. εἰς δύναμιν δὲ σαρκὸς καὶ αἵματος μεταστοι-
χειοῖ· αἷμα δὲ καινῆς διαθήκης εἶπε, πρὸς ἀντιδιαστολὴν τῆς παλαιᾶς. καὶ γὰρ ἡ
παλαιὰ διαθήκη, κἀκείνη αἷμα εἶχε. δι᾽ οὗ ἐρραντίσθη ὅ, τε λαὸς καὶ τὸ βιβλίον τοῦ νό-
μου. οὐ μὴ πίω δὲ, ἐκ τοῦ οἴνου λέγει, ἄχρι τῆς ἀναστάσεως· βασιλείαν γὰρ τὴν ἀνά-
στασιν ὀνομάζει, ὡς βασιλεύσας τότε κατὰ τοῦ θανάτου· μετὰ γοῦν τὴν ἀνάστασιν, ἔ-
φαγε καὶ ἔπιε μετὰ τῶν μαθητῶν. πιστούμενος ὅτι αὐτὸς ἐκεῖνός ἐστιν ὁ παθών. και-
νὸν δὲ

νὸν δὲ πίνει αὐτό. τουτέστι καινόν τινα τρόπον καὶ ξένον. οὐκ ἔτι γὰρ σῶμα παθητὸν εἶχε, δεόμενον τροφῆς, ἀλλ᾽ ἄφθαρτον καὶ ἀθάνατον. νόει δὲ καὶ οὕτως. ἄμπελος, ὁ κύριος αὐτός. γέννημα δὲ ἀμπέλου, τὰ μυστήρια, καὶ ἡ γνῶσις ἡ ἀπόκρυφος, ἣν αὐτὸς γεννᾷ, ὁ διδάσκων ἄνθρωπον γνῶσιν. ἐν τοίνυν τῇ βασιλείᾳ τοῦ θεοῦ, τουτέστιν ἐν τῷ ὀγδόῳ αἰῶνι, πίεται μετὰ τῶν μαθητῶν αὐτοῦ, τὰ μυστήρια καὶ τὴν σοφίαν. καινά τινα διδάσκων ἡμᾶς, καὶ ἀποκαλύπτων ἃ νῦν κέκρυπται.

» Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς. ὅτι,
» πάντες σκανδαλισθήσεσθε ἐν ἐμοὶ, ἐν τῇ νυκτὶ ταύτῃ. ὅτι γέγραπται. πατάξω τὸν
» ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα. ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με, προά- Ζαχ. ιγ΄.
» ξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ὁ δὲ Πέτρος ἔφη αὐτῷ. καὶ εἰ πάντες σκανδαλισθήσον-
» ται, ἀλλ᾽ οὐκ ἐγώ. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς. ἀμὴν λέγω σοι ὅτι σὺ σήμερον ἐν τῇ νυκτὶ
» ταύτῃ, πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. ὁ δὲ, ἐκ περισσοῦ ἔλεγε.
» μᾶλλον ἐάν με δέῃ συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσωμαι. ὡσαύτως δὲ καὶ πάν-
» τες ἔλεγον. Εὐχαρίστησαν καὶ πρὸ τοῦ πιεῖν. εὐχαρίστησαν καὶ μετὰ τὸ πιεῖν, ἵνα καὶ ἡμεῖς μάθωμεν ὅτι δεῖ εὐχαριστεῖν καὶ ὑμνεῖν, καὶ πρὸ τῆς τροφῆς καὶ μετὰ τὴν τροφήν. ἅμα δὲ καὶ τοῦτο δεικνύων. ὅτι ἀσπαστός ἐστιν αὐτῷ ὁ ὑπὲρ ἡμῶν θάνατος. ὅς γε ἐπὶ τῷ παραδοθῆναι ἐξιὼν, ὑμνεῖ τὸν θεόν. πάντως δὲ καὶ ἡμᾶς διδάσκει, ὅταν θλιβεροῖς περιπέσωμεν εἰς σωτηρίαν πολλῶν, μὴ ἀθυμεῖν. ἀλλ᾽ εὐχαριστεῖν τῷ θεῷ, τῷ διὰ τῆς ἡμετέρας θλίψεως κατεργαζομένῳ σωτηρίαν πολλῶν. ἐξέρχεται δὲ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ἵνα καταμόνας ὄντι ἐπελθόντες καὶ κατασχόντες, μὴ τοσοῦτον θόρυβον ποιήσωσιν. εἰ γὰρ ἐν τῇ πόλει ὄντι ἐπῆλθον, τυχὸν ἂν ἐταράχθη τὸ πλῆθος ἐπ᾽ αὐτῷ. καὶ τότε εὐλογοφανοῦς ἀφορμῆς δραξάμενοι οἱ ἐχθροὶ, ἔδοξαν ἂν αὐτὸν ἀνελεῖν δικαίως, ὡς στασιαστήν. προφητεύει δὲ αὐτοῖς ὅτι καὶ σκανδαλισθήσονται. εἶτα ἵνα μὴ δόξῃ προφανὴς εἶναι κατηγορία πάντων τὸ τοιοῦτον, παράγει καὶ μαρτυρίαν ἐκ τοῦ προφήτου Ζαχαρίου, ὅτι διασκορπισθήσονται. τελευταῖον δὲ, καὶ παραμυθίαν ἐπάγει αὐτοῖς, ὅτι, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. τουτέστι προλάβω. ἀλλ᾽ ὁ Πέτρος ἐνίσταται. διὸ καὶ ἀκούει ὅτι, πρὶν ἢ ἀλέκτορα δὶς φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. τοῦτο δὲ τοιοῦτόν ἐστιν. ἠρνήσατο ἅπαξ ὁ Πέτρος. εἶτα ἀλέκτωρ ἐφώνησεν. ἀρνησαμένου δὲ καὶ τὰς ἄλλας δύο ἀρνήσεις, τότε ἐφώνησεν ὁ ἀλέκτωρ. τοῦτο οὖν ἐνταῦθα λέγει. πρὶν ἀλέκτορα φωνῆσαι δὶς, ἀπαρνήσῃ με τρίς. ὁμοίως δὲ καὶ πάντες, θερμότητα ψυχρὰν ἐνδεικνύμενοι, ὑπισχνοῦντο. τὴν αὐτοαλήθειαν ψεύδεσθαι ποιοῦντες. διὸ καὶ παραχωρεῖ ὁ κύριος. καὶ ἡ ἀνθρωπίνη φύσις τὰ ἑαυτῆς ἐπιδείκνυται. πάντως γὰρ ὁ κύριος ἠδύνατο τηρῆσαι αὐτούς. καὶ μάλιστα τὸν Πέτρον. ἀλλ᾽ ὅμως ἀφῆκεν. ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτῆς. τὸ δὲ πατάξω τὸν ποιμένα, ὁ πατὴρ λέγει. ἐπεὶ γὰρ παρεχώρησε παταχθῆναι, πατάξαι αὐτὸς λέγεται τὸν κατὰ παραχώρησιν αὐτοῦ παταχθέντα. πρόβατα δὲ τοὺς ἀποστόλους, ὡς ἀκάκους ὠνόμασεν.

» Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανεί. καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ.
» καθίσατε ὧδε ἕως προσεύξωμαι. καὶ παραλαμβάνει τὸν Πέτρον καὶ Ἰάκωβον καὶ
» Ἰωάννην μεθ᾽ ἑαυτοῦ, καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν. καὶ λέγει αὐτοῖς. περί-
» λυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. μείνατε ὧδε, καὶ γρηγορεῖτε. καὶ προελθὼν μι-
» κρὸν, ἔπεσεν ἐπὶ τῆς γῆς. καὶ προσηύχετο ἵνα εἰ δυνατόν ἐστι, παρέλθῃ ἀπ᾽ αὐτοῦ ἡ ὥ-
» ρα. καὶ ἔλεγεν. ἀββᾶ ὁ πατὴρ, πάντα δυνατά σοι, παρένεγκε τὸ ποτήριον ἀπ᾽ ἐμοῦ
» τοῦτο. ἀλλ᾽ οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ. καὶ ἔρχεται, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας.
» καὶ λέγει τῷ Πέτρῳ. Σίμων καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι; γρηγορεῖτε

» καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ
» ἀσθενής· καὶ πάλιν ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών· καὶ ὑποστρέψας,
» εὗρεν αὐτοὺς πάλιν καθεύδοντας. ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν βεβαρημένοι. καὶ οὐκ
» ᾔδεισαν τί αὐτῷ ἀποκριθῶσι· καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς. καθεύδετε τὸ
» λοιπὸν καὶ ἀναπαύεσθε. ἀπέχει. ἦλθεν ἡ ὥρα. ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου
» εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν· ἐγείρεσθε, ἄγωμεν. ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν·

Καταμόνας εἴωθεν ἀεὶ προσεύχεσθαι, τύπον καὶ ἡμῖν διδοὺς ἵνα τὴν ἡσυχίαν ἐπιζητῶμεν ἐν ταῖς προσευχαῖς· παραλαμβάνει δὲ τοὺς τρεῖς μόνους, τοὺς καὶ τῆς δόξης αὐτοῦ ἐν τῷ Θαβὼρ θεατὰς γενομένους. ἵνα οἱ ἰδόντες τὰ ἔνδοξα, ἴδωσι καὶ τὰ σκυθρωπά. καὶ μάθωσιν ὅτι καὶ αὐτὸς ἀληθῶς ἄνθρωπος ἦν, καὶ λυπεῖται καὶ ἀδημονεῖ ἐπίσης ἡμῖν· ἐπεὶ γὰρ ὅλον τὸν ἄνθρωπον ἀνελάβετο μετὰ τῶν φυσικῶν ἰδιωμάτων, πάντως καὶ λυπηθήσεται καὶ ἀδημονήσει φυσικῶς. οἱ γὰρ ἄνθρωποι, φύσει πρὸς τὸν θάνατον ἀηδῶς διακείμεθα· τῷ μὲν οὖν εἰπεῖν, παρελθέτω τὸ ποτήριον, ἔδειξε τὸ ἀνθρώπινον. τῷ δὲ εἰπεῖν, οὐχ ὃ ἐγὼ θέλω, ἀλλ᾽ ὃ σύ, διδάσκει ἡμᾶς ἵνα καὶ τῆς φύσεως βιαζομένης ὑπερφρονῶμεν, τὸ ἀρεστὸν τῷ θεῷ αἰτούμενοι· ὡς δὲ μετὰ τὴν εὐχὴν ἐλθών, εὗρε τοὺς τρεῖς καθεύδοντας, ἐπιτιμᾷ τῷ Πέτρῳ μόνῳ. μονονουχὶ τοιαῦτα λέγων πρὸς αὐτόν. οὐ σὺ εἶ ὁ ὑπισχνούμενος σὺν ἐμοὶ ἀποθανεῖν; μίαν ὥραν οὐκ ἴσχυσας γρηγορῆσαι, καὶ θανάτου καταφρονήσεις; ἀλλὰ γὰρ γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς τὸν πειρασμὸν τοῦ ἀρνήσασθαί με. τὸ μὲν γὰρ πνεῦμα ὑμῶν, πρόθυμόν ἐστιν εἰς τὸ μὴ ἀρνήσασθαί με. καὶ διὰ τοῦτο καὶ ὑμεῖς ὑπισχνεῖσθέ μοι τοῦτο. ἀλλ᾽ ἡ σὰρξ ἀσθενής· ὥστε ἐὰν μὴ διὰ τῆς προσευχῆς δώῃ δύναμιν ὁ κύριος τῇ σαρκί, κινδυνεύσετε· καὶ πάλιν ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών. ἵνα καὶ διὰ τοῦ δευτέρου προσεύξασθαι, πιστώσηται ὅτι οὐσιωδῶς καὶ ἀληθῶς ἄνθρωπος ἦν. καὶ ἵνα διδάξῃ καὶ ἡμᾶς, πολλάκις προσεύχεσθαι. καὶ μὴ ἅπαξ εἰπόντας τι, ἀπαλλάττεσθαι· εὑρὼν δὲ αὐτοὺς πάλιν καθεύδοντας, οὐ σφοδρῶς ἐπιτιμᾷ. ἦσαν γὰρ βεβαρημένοι ὕπνῳ. ὅθεν μάνθανε τὴν ἀνθρωπίνην κουφότητα καὶ ἀσθένειαν, ὅπως μηδὲ πρὸς ὕπνον ἀντισχεῖν δυνάμενοι, ἐπαγγελλόμεθα πολλάκις τὰ ἀδύνατα ἡμῖν. πάλιν οὖν ἐκ τρίτου προσεύχεται, διὰ τὰς αὐτὰς αἰτίας ἃς εἴπομεν ἄνω. καὶ ἔρχεται πάλιν. καὶ λέγει αὐτοῖς, οὐκ ἐπιπλήσσων. καίτοι ἔδει ἐπιπλῆξαι, ὡς μηδὲ μετὰ τὴν ἐπιτίμησιν βελτιωθέντας, ἀλλὰ παραδοθέντας τῷ ὕπνῳ· τί οὖν λέγει. καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε. εἰρωνευόμενος δὲ τοῦτο λέγει πρὸς αὐτούς· ἐπεὶ γὰρ ᾔδει ὅτι ἔρχεται ὁ προδότης, φησὶ πρὸς αὐτούς. ὅτι, νῦν καιρός ἐστι τοῦ κοιμᾶσθαι. καθεύδετε. ἰδοὺ ὁ ἐχθρὸς ἔρχεται· τοῦτο δὲ εἶπε, ἐπιγελῶν τῷ ὕπνῳ αὐτῶν· ὅτι δὲ εἰρωνευόμενος τοῦτο εἶπεν, ἄκουε πῶς παρακατιών, λέγει. ἐγείρεσθε, ἄγωμεν· οὐχ ἵνα δὲ φύγωσι τοῦτο λέγει. ἀλλ᾽ ἵνα μᾶλλον συναντήσωσι τοῖς ἐχθροῖς· τινὲς δὲ τό, περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, οὕτως ἐνόησαν. ὅτι, λυποῦμαι οὐ διότι μέλλω ἀποθανεῖν, ἀλλὰ διότι οἱ Ἰσραηλῖται οἱ οἰκεῖοί μου, αὐτοὶ σταυρῶσαί με μέλλουσι, καὶ διὰ τοῦτο ἀποῤῥιφῆναι τῆς βασιλείας τοῦ θεοῦ·

» Καὶ εὐθέως, ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰούδας εἷς τῶν δώδεκα. καὶ με-
» τ᾽ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμ
» ματέων καὶ τῶν πρεσβυτέρων. δεδώκει δὲ ὁ παραδιδοὺς αὐτόν, σύσσημον αὐτοῖς, λέ
» γων. ὃν ἂν φιλήσω, αὐτός ἐστι. κρατήσατε αὐτόν. καὶ ἀπαγάγετε ἀσφαλῶς· καὶ ἐλ
» θών, εὐθέως προσελθὼν αὐτῷ, λέγει αὐτῷ. ῥαββὶ ῥαββί. καὶ κατεφίλησεν αὐτόν. οἱ
» δέ, ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖρας, καὶ ἐκράτησαν αὐτόν· εἷς δέ τις τῶν παρεστηκότων,
» σπασάμενος τὴν μάχαιραν, ἔπαισε τὸν δοῦλον τοῦ ἀρχιερέως. καὶ ἀφεῖλεν αὐτοῦ τὸ
ὠτίον.

» ὠτίον. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ
» ξύλων συλλαβεῖν με; καθ' ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρα-
» τήσατέ με. ἀλλ' ἵνα πληρωθῶσιν αἱ γραφαί. Τὸ εἷς τῶν δώδεκα, οὐ μάτην πρόσκειται. ἀλλ' εἰς κατηγορίαν τοῦ προδότου. ὅτι τοῦ πρώτου χοροῦ ὤν, κατὰ τοῦ δεσπότου ἐλύττησεν. ἴδε δὲ καὶ τὴν ἀναισθησίαν αὐτοῦ, πῶς ἐνόμισε λαθεῖν τὸν κύριον ἐκ τοῦ φιλήματος, ὡς δῆθεν φίλος νομισθησόμενος. καὶ εἰ φίλος ἐτύγχανες, τίνος ἕνεκα μετὰ τῶν ἐχθρῶν ἦλθες. ὄντως ἀνόητον ἡ πονηρία. εἷς δέ τις τῶν παρεστηκότων. ὁ Πέτρος οὗτος ἦν. ἀποσιωπᾷ δὲ τὸ ὄνομα αὐτοῦ ὁ Μάρκος, ἵνα μὴ δόξῃ ἐπαινεῖν τὸν διδάσκαλον αὐτοῦ Πέτρον, ὡς ζηλώσαντα ὑπὲρ τοῦ Χριστοῦ. καλῶς δὲ τὸ ὠτίον τοῦ δούλου τοῦ ἀρχιερέως ἀφεῖλεν. αἰνίττεται γὰρ ὅτι παρήκοοι ἦσαν καὶ ἀπειθεῖς, τῶν γραφῶν καταμελοῦντες. εἰ γὰρ εἶχον ὦτα, τῶν γραφῶν κατακούοντα, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. οὐκ ἄλλου δὲ δοῦλον ἔπαισεν ὁ Πέτρος, ἀλλὰ τοῦ ἀρχιερέως. οἱ γὰρ ἀρχιερεῖς, πρῶτοι τῶν γραφῶν παρήκουον, δοῦλοι φθόνου καὶ φιλαυτίας γενόμενοι. εἶπε δὲ τοῖς ὄχλοις. ὡς ἐπὶ λῃστὴν ἐξήλθετε. καθ' ἡμέραν ἐδίδασκον ἐν τῷ ἱερῷ. τοῦτο δὲ τὴν θεότητα αὐτοῦ δείκνυσιν. ὅτε γὰρ ἐν τῷ ἱερῷ ἐδίδασκεν, οὐκ ἠδυνήθησαν αὐτὸν συσχεῖν, καίτοι ἐν χερσὶν αὐτῶν ὄντα, ὅτι μήπω ὁ καιρὸς ἦν τοῦ πάθους. ὅτε δὲ ἠθέλησε, τότε ἑαυτὸν παρέδωκεν. ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν, ὅτι ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, οὐκ ἐρίζων οὐδὲ κραυγάζων, ἀλλ' ἑπόμενος ἑκών. Ἡσα. νγ´.

» Καὶ ἀφέντες αὐτὸν πάντες, ἔφυγον. καὶ εἷς τις νεανίσκος ἠκολούθει αὐτῷ, περιβε-
» βλημένος σινδόνα ἐπὶ γυμνοῦ. καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι. ὁ δέ, καταλιπὼν τὴν
» σινδόνα, γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν. καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα. καὶ
» συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς. καὶ
» ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως. καὶ
» ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς.

Ἔφυγον οἱ μαθηταί. οὐκ ἦν γὰρ ψεύσασθαι τὴν αὐτοαλήθειαν. οὐδὲ τοὺς προφήτας. εἷς δέ τις νεανίσκος, ἠκολούθησεν αὐτῷ. οὗτος δὲ ὁ νεανίσκος εἰκὸς ὅτι ἐκ τῆς οἰκίας ἐκείνης ἦν, ἐν ᾗ ἔφαγον τὸ πάσχα. τινὲς δέ φασι τοῦτον, Ἰάκωβον εἶναι τὸν ἀδελφόθεον, τὸν ἐπικληθέντα δίκαιον. οὗτος γὰρ ἐνὶ περιβολαίῳ ἐκέχρητο πᾶσαν τὴν αὐτοῦ ζωήν. ὃς καὶ τὸν θρόνον τῶν Ἱεροσολύμων παρὰ τῶν ἀποστόλων ἔλαβε μετὰ τὴν τοῦ κυρίου ἀνάληψιν. καὶ οὗτος τοίνυν καταλιπὼν τὴν σινδόνα, ἔφυγεν. οὐδὲν δὲ καινὸν εἰ τῶν κορυφαίων φυγόντων, καὶ οὗτος κατέλιπε τὸν κύριον. ἀλλ' ὅγε Πέτρος ἀκολουθεῖ, θερμοτάτην ἀγάπην πρὸς τὸν διδάσκαλον ἐνδεικνύμενος. τοῦ δὲ νόμου κελεύοντος ἕνα Ἀριθ. λέ. εἶναι ἀρχιερέα διὰ βίου, πολλοὶ τότε ἦσαν, ἐξωνούμενοι καθ' ἕκαστον ἐνιαυτὸν παρὰ Ῥωμαίων τὰς ἀρχάς. ἀρχιερεῖς οὖν λέγει, τοὺς ἤδη πεπληρωκότας τὸν ὡρισμένον καιρὸν αὐτοῖς, καὶ ἀποβαλλομένους τὴν ἀρχιερωσύνην.

» Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον, ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν εἰς τὸ
» θανατῶσαι αὐτόν. καὶ οὐχ εὕρισκον. πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, καὶ
» ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. καί τινες ἀναστάντες, ἐψευδομαρτύρουν κατ' αὐτοῦ, λέ-
» γοντες ὅτι, ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος ὅτι, ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χει-
» ροποίητον. καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω. καὶ οὐδὲ οὕτως
» ἴση ἦν ἡ μαρτυρία αὐτῶν. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς μέσον, ἐπηρώτησε τὸν Ἰησοῦν,
» λέγων. οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου καταμαρτυροῦσιν. ὁ δέ, ἐσιώπα. καὶ οὐδὲν
» ἀπεκρίνατο. Σχῆμα δῆθεν κριτηρίου οἱ αὐτοκατάκριτοι πλάττονται, ἵνα δόξωσι μετὰ κρίσεως αὐτὸν ἀνελεῖν. ποῦ γὰρ ὀρθὸν κριτήριον, ὅπου μάρτυρες τοιοῦτοι πα-

ῥάγονται. οὐδὲν ὑγιὲς λέγοντες, ἀλλὰ πάντα τεταραγμένα καὶ ἄπιστα· καὶ αὐτοὶ δὲ
οἱ δόξαντές τι λέγειν, ψευδῆ εἶπον. ὁ γὰρ κύριος, οὐκ εἶπε καταλύσω ἐγὼ τὸν ναόν, ἀλ
λὰ λύσατε. καὶ οὐ δὲ χειροποίητον εἶπεν, ἀλλ᾽ ἁπλῶς ναόν· ὁ δὲ ἀρχιερεὺς ἀναστὰς,
ἐρωτᾷ τὸν ἰησοῦν. βουλόμενος εἰς ἀπολογίαν αὐτὸν ἑλκύσαι. ἵνα ἐκ τῆς ἀπολογίας
δράξηται αὐτοῦ· ὁ δὲ, σιωπᾷ. γινώσκων ὅτι οὐ προσέξουσι τοῖς αὐτοῦ λόγοις. ὃ καὶ ὁ Λου
Λου· κβ΄· κᾶς λέγει. ὅτι ἐρωτώμενος ὁ κύριος, εἶπεν. ἐὰν εἴπω ὑμῖν, οὐ μὴ πιστεύσητε. ἐὰν δὲ ἐρω
τήσω, οὐ μὴ ἀποκριθῆτε·
» Πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτόν. καὶ λέγει αὐτῷ. σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ εὐλο-
» γητοῦ; ὁ δὲ ἰησοῦς εἶπεν. ἐγώ εἰμι. καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου, ἐκ δεξιῶν καθήμε-
» νον τῆς δυνάμεως. καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ· ὁ δὲ ἀρχιερεὺς, διαῤ-
» ῥήξας τοὺς χιτῶνας αὐτοῦ, λέγει. τί ἔτι χρείαν ἔχομεν μαρτύρων. ἠκούσατε τῆς βλασφη
» μίας. τί ὑμῖν φαίνεται. οἱ δὲ, πάντες κατέκριναν αὐτὸν εἶναι ἔνοχον θανάτου· καὶ ἤρ-
» ξαντό τινες ἐμπτύειν αὐτῷ. καὶ περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ. καὶ κολαφίζειν αὐ
» τόν. καὶ λέγειν αὐτῷ. προφήτευσον· καὶ οἱ ὑπηρέται, ῥαπίσμασιν αὐτὸν ἔβαλλον·
Ἐρωτᾷ πάλιν ὁ ἀρχιερεὺς, οὐχ ἵνα μαθὼν πιστεύσῃ, ἀλλ᾽ ἵνα δράξηταί τινος ἀφορ-
μῆς· προστίθησι δὲ τῷ, σὺ εἶ ὁ χριστὸς, τὸ, ὁ υἱὸς τοῦ εὐλογητοῦ. πολλοὶ γὰρ ἦσαν χριστοὶ,
οἱ βασιλεῖς λέγω καὶ οἱ ἀρχιερεῖς. ἀλλ᾽ οὐδεὶς τούτων υἱὸς ἦν τοῦ θεοῦ, τοῦ ἀεὶ εὐλογη-
μένου καὶ ὑμνουμένου· ὁ δὲ ἰησοῦς εἶπεν ὅτι, ἐγώ εἰμι. ᾔδει μὲν γὰρ ὅτι οὐ πιστεύσουσιν.
ὅμως δ᾽ οὖν ἀποκρίνεται ἐκβιασθεὶς. ἵνα μὴ ἔχωσιν ὕστερον λέγειν ὅτι, ἐὰν σαφῶς εἰπόν
τος αὐτοῦ ἠκούσαμεν, ἐπιστεύσαμεν ἄν. διὰ τοῦτο καὶ μεῖζον αὐτοῖς τὸ κατάκριμα, ὅτι
καὶ νῦν ἀκούσαντες, οὐκ ἐπίστευσαν· καὶ ὄψεσθέ με φησὶν ὡς υἱὸν ἀνθρώπου, καθήμενον
ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ πατρὸς (δύναμιν γὰρ ἐνταῦθα, τὸν πατέρα φησὶν) οὐ
γὰρ χωρὶς σώματος ἐλεύσεται, ἀλλ᾽ οἷος θεαθῆναι ὑπὸ τῶν σταυρωσάντων, καὶ ἐπι
γνωσθῆναι· ὁ γοῦν ἀρχιερεὺς, ἔθος ἰουδαϊκὸν πληροῖ. ὅταν γὰρ δεινόν τι καὶ δυσχερὲς
ἀπήντα αὐτοῖς, διέῤῥησσον τοὺς χιτῶνας. κἀνταῦθα τοίνυν, ὡς βλασφημήσαντος τοῦ
κυρίου, καὶ μεγάλου κακοῦ γεγονότος, διαῤῥήσσει τοὺς χιτῶνας ὁ ἀρχιερεύς· εἴποι γοῦν
ψαλ· λδ΄· ἄν τις ἐπὶ τούτοις εὐκαίρως, τὸ τοῦ Δαβίδ. διεσχίσθησαν, καὶ οὐ κατενύγησαν· σύμβο-
λον δὲ καὶ τοῦτο ἦν (κἂν ἐκεῖνος οὐ συνίει) τοῦ τὴν ἀρχιερωσύνην τῶν Ἰουδαίων διαῤ
ῥαγῆναι καὶ ἀφανισθῆναι· ἐπεὶ τοίνυν κοινὴ ψῆφος τῶν ἀρχιερέων κατέκρινεν αὐτὸν,
τότε οἱ ὑπηρέται περικαλύπτοντες αὐτὸν ἔπαιον καὶ ἔλεγον. προφήτευσον τίς ἐστιν ὁ-
παίσας σε· ποῖα τοίνυν πάθοιμεν ἂν ἡμεῖς, ἵνα ἀντιδοίημεν τὰ ἴσα τῷ δεσπότῃ. φρί-
κης ταῦτα μεστά·
» Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω, ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιε-
» ρέως. καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ, λέγει. καὶ σὺ μετὰ τοῦ
» Ναζαρηνοῦ Ἰησοῦ ἦσθα· ὁ δὲ, ἠρνήσατο, λέγων. οὐκ οἶδα οὐ δὲ ἐπίσταμαι τί σὺ λέγεις·
» καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον. καὶ ἀλέκτωρ ἐφώνησε· καὶ ἡ παιδίσκη ἰδοῦσα αὐ-
» τὸν πάλιν, ἤρξατο λέγειν τοῖς παρεστηκόσιν, ὅτι, οὗτος ἐξ αὐτῶν ἐστιν· ὁ δὲ, πάλιν ἠρνεῖ-
» το· καὶ μετὰ μικρὸν πάλιν, οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ. ἀληθῶς ἐξ αὐτῶν εἶ. καὶ
» γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά σου ὁμοιάζει· ὁ δὲ, ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν
» ὅτι, οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε. καὶ
» ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος οὗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς. ὅτι πρὶν ἀλέκτορα φωνῆσαι
» δὶς, ἀπαρνήσῃ με τρίς. καὶ ἐπιβαλὼν, ἔκλαιεν· Ἠσθένησεν ὁ Πέτρος, εἰ καὶ θερμότε
ρος ἦν, καὶ ἀρνεῖται τὸν κύριον ὑπὸ τῆς δειλίας διαταραχθείς. καὶ ταῦτα παιδί-
σκης ἐκπλησσούσης αὐτόν· τοῦτο δὲ κατ᾽ οἰκονομίαν συνεχώρησεν αὐτὸν ὁ θεὸς παθεῖν,

ἵνα μὴ ἐπαίρηται. καὶ ἅμα ἵνα καὶ τοῖς πταίουσι συμπαθὴς εἴη, ἀφ᾽ ἑαυτοῦ παιδευθεὶς τὸ τῆς ἀνθρωπίνης ἀσθενείας βίαιον. ἀδιάφορον δὲ εἴτε ἡ αὐτὴ παιδίσκη ἦν, εἴτε ἄλλη, ἡ ἐλέγξασα τὸν Πέτρον. Ματθαῖος μὲν γὰρ ἄλλην ταύτην λέγει. Μάρκος δὲ [Ματ· κϛ΄·] τὴν αὐτήν. οὐδὲν δὲ ἡμῖν τοῦτο ἐμπόδιον πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου· μὴ γὰρ ἐν μεγάλῳ τινὶ καὶ συνεκτικῷ τῆς σωτηρίας ἡμῶν διαφωνοῦσι; μὴ ὁ μὲν, εἶπεν ὅτι ἐσταυρώθη ὁ κύριος, ὁ δὲ, οὔ; ἄπαγε. ὁ τοίνυν Πέτρος ὑπὸ τῆς δειλίας διαταραχθεὶς, καὶ ἐπιλαθόμενος τοῦ λόγου οὗ εἶπεν ὁ κύριος, ὅτι, τὸν ἀρνησάμενόν με ἀρνήσομαι κἀγὼ ἐνώπιον τοῦ πατρός μου, ἠρνήσατο. ἀλλ᾽ ἡ μετάνοια πάλιν αὐτὸν ᾠκείωσε τῷ Χριστῷ, καὶ τὰ δάκρυα. ἐπιβαλὼν γάρ φησιν, ἔκλαιε. τουτέστιν ἐπικαλυψάμενος τὴν κεφαλήν. ἢ ἀντὶ τοῦ ἀρξάμενος μετὰ σφοδρότητος. ὅπερ δὲ εἶπεν ἀσαφῶς ὁ Ματθαῖος, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, ἡρμήνευσεν ὁ Μάρκος, ὅτι πρὶν φωνῆσαι δίς. εἰώθασι γὰρ οἱ ἀλέκτορες, κατὰ μίαν ἀγωγὴν πολλάκις φωνεῖν. εἶτα οἷον ὑπνώττειν. καὶ πάλιν μετά τινα καιρὸν, ἑτέραν ἀρχὴν ποιεῖσθαι τοῦ φωνεῖν. ὃ οὖν εἶπεν ὁ Ματθαῖος, τοῦτό ἐστιν, ὅτι, πρὶν ἀλέκτορα φωνῆσαι, τουτέστι πληρῶσαι τὰς κραυγὰς τῆς πρώτης ἀγωγῆς, ἀπαρνήσῃ με τρίς. αἰσχυνέσθωσαν δὲ οἱ Ναυατιανοὶ οἱ τοὺς μετὰ τὸ βάπτισμα καὶ τὴν μετάληψιν τῶν μυστηρίων ἁμαρτήσαντας, μὴ δεχόμενοι. ἰδοὺ γὰρ ὁ Πέτρος, καὶ μεταλαβὼν τοῦ ἀχράντου σώματος καὶ αἵματος, καὶ ἀρνησάμενος, διὰ τῆς μετανοίας προσεδέχθη. τὰ γὰρ ἐλαττώματα τῶν ἁγίων διὰ τοῦτο ἀνεγράφησαν, ἵνα καὶ ἡμεῖς, εἴ ποτε ἐξ ἀπροσεξίας πταίσοιμεν, ἔχωμεν ἀφορμὴν εἰς τὰ παραδείγματα. καὶ διὰ μετανοίας σπεύδωμεν διορθωθῆναι.

Κεφάλαιον πεντεκαιδέκατον.

Καὶ εὐθέως ἐπὶ τὸ πρωῒ, συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν, ἀπήνεγκαν καὶ παρέδωκαν τῷ Πιλάτῳ. καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλᾶτος. σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ, ἀποκριθεὶς εἶπεν αὐτῷ. σὺ λέγεις. καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά. ὁ δὲ Πιλᾶτος, πάλιν ἐπηρώτησεν αὐτὸν, λέγων. οὐκ ἀποκρίνῃ οὐδέν; ἴδε πόσα σου καταμαρτυροῦσιν. ὁ δὲ Ἰησοῦς, οὐκέτι οὐδὲν ἀπεκρίθη. ὥστε θαυμάζειν τὸν Πιλᾶτον. κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ᾐτοῦντο. ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν συστασιαστῶν δεδεμένος. οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. καὶ ἀναβοήσας ὁ ὄχλος, ἤρξατο αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς. ὁ δὲ Πιλᾶτος ἀπεκρίθη αὐτοῖς, λέγων. θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; ἐγίνωσκε γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς. οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. ὁ δὲ Πιλᾶτος ἀποκριθεὶς, πάλιν εἶπεν αὐτοῖς. τί οὖν θέλετε ποιήσω, ὃν λέγετε βασιλέα τῶν Ἰουδαίων. οἱ δὲ, πάλιν ἔκραξαν. σταύρωσον αὐτόν. ὁ δὲ Πιλᾶτος ἔλεγεν αὐτοῖς. τί γὰρ κακὸν ἐποίησεν. οἱ δὲ, περισσοτέρως ἔκραξαν. σταύρωσον αὐτόν. ὁ δὲ Πιλᾶτος, βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν. καὶ παρέδωκε τὸν Ἰησοῦν φραγελλώσας, ἵνα σταυρωθῇ. Παρέδωκαν οἱ Ἰουδαῖοι τοῖς Ῥωμαίοις τὸν κύριον. παρεδόθησαν καὶ αὐτοὶ ὑπὸ κυρίου ταῖς Ῥωμαίων χερσί. καὶ πληροῦνται αἱ γραφαὶ αἱ λέγουσαι. οὐαὶ τῷ ἀνόμῳ. πονηρὰ γὰρ ἔσται αὐτῷ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ. [Ἡσα· γ΄·] καὶ πάλιν. κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν, δὸς αὐτοῖς. [Ψαλ· κζ΄·] καὶ πάλιν. ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι τὸ ἀνταπόδομά σου. [Ἀβδι· α΄·] ἐρωτήσαντος δὲ τοῦ Πιλάτου, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ κύριος ἀμφίβολον ἀπόκρισιν δίδωσι. τὸ γὰρ σὺ λέγεις, δύναται νοηθῆναι ὅτι, ἀληθῶς εἶπας. σὺ εἶπας ὅπερ εἰμί. δύναται δὲ νοηθῆναι καὶ

οὕτως, ὅτι, ἐγὼ οὐ λέγω τοῦτο. σὺ δὲ λέγεις· πάλιν δὲ ἐρωτηθεὶς, ὡς οὐδὲν ἀπεκρίθη, εἰς θαῦμα περιέστησε τὸν Πιλᾶτον· ἐθαύμαζε γὰρ ὅτι νομομαθὴς καὶ λόγιος ὢν, καὶ δυνάμενος δι' ἀπολογίας ἀποτρίψασθαι τὰς συκοφαντίας, οὐδὲν ἔλεγεν. ἀλλ' ὑπέμενε μᾶλλον γενναίως τὰς κατηγορίας· ὅρα δὲ τήν τε τῶν Ἰουδαίων μιαιφονίαν καὶ τὴν τοῦ Πιλάτου μετριότητα. εἰ καὶ αὐτὸς κατακρίσεως ἄξιός ἐστι, διὰ τὸ μὴ προθύμως ὑπὲρ τοῦ καλοῦ ἐνστῆναι· οἱ μὲν γὰρ ἐκραύγαζον ἵνα σταυρωθῇ. ὁ δὲ, μαλακῶς μὲν ὅμως πειρᾶται ἐξαρπάσαι τῆς κατακρίσεως τὸν Ἰησοῦν, διὰ τοῦτο γὰρ πάλιν ἐρωτᾷ· τί οὖν ποιήσω Ἰησοῦ. ἀφορμὰς αὐτοῖς πάντοθεν ἐνδιδοὺς τοῦ ἀθῶον ἀπολῦσαι τὸν κύριον. καὶ διὰ τοῦτο μέλλων καὶ ἀναβαλλόμενος· τέλος μέντοι ὑποκατακλιθεὶς τῷ θελήματι ἐκείνων, ἐφραγέλλωσέ τε τὸν κύριον, τουτέστιν ἐμάστιξε πλεκτοῖς λώροις. ἵνα δόξωσιν ὅτι ἀπὸ δικαστηρίου αὐτὸν κατακεκριμένον παρέλαβον, καὶ παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. ἠβούλετο γὰρ τὸ ἱκανὸν τῷ ὄχλῳ ποιῆσαι. τουτέστι τὸ ἀρεστὸν, τὸ ἐνδεχόμενον. οὐχὶ τὸ ἀρεστὸν τῷ δικαίῳ καὶ τῷ θεῷ·

» Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον. καὶ συγκα-
» λοῦσιν ὅλην τὴν σπεῖραν. καὶ ἐνδύουσιν αὐτὸν πορφύραν. καὶ περιτιθέασιν αὐτῷ,
» πλέξαντες ἀκάνθινον στέφανον· καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτὸν χαῖρε βασιλεῦ τῶν
» Ἰουδαίων. καὶ ἔτυπτον τὴν κεφαλὴν αὐτοῦ καλάμῳ. καὶ ἐνέπτυον αὐτῷ. καὶ τιθέν-
» τες τὰ γόνατα, προσεκύνουν αὐτῷ· καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορ-
» φύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια· καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσω-
» σιν αὐτόν· καὶ ἀγγαρεύουσι, παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ,
» τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ·

Τὸ στρατιωτικὸν φῦλον ἀεὶ ἀταξίαις χαῖρον καὶ ὕβρεσι, τὰ οἰκεῖα ἐπιδείκνυται· εἰ γὰρ οἱ μυρίων διδασκαλιῶν ἀκούσαντες Ἰουδαῖοι, τοιαῦτα αὐτὸν διέθεντο, οἱ πολλὰ καὶ πολλάκις εὐεργετηθέντες, τί ἂν ἔχοιμεν εἰπεῖν περὶ τῶν ἐθνικῶν· συγκαλοῦσιν οὖν ὅλην τὴν σπεῖραν, ἀντὶ τοῦ ὅλον τὸ τάγμα, καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, ὡς βασιλέα, παίζοντες· καὶ τὸν στέφανον ἀντὶ διαδήματος, καὶ τὸν κάλαμον δὲ ἀντὶ σκήπτρου περιλαμβάνουσιν ἐνταῦθα οἱ τοῦ διαβόλου ἐργάται· ἀγγαρεύουσι δέ τινα ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. καίτοιγε ἄλλος εὐαγγελιστὴς, φησὶν ὅτι, βαστάζων ὁ Ἰησοῦς τὸν σταυρὸν αὐτοῦ ἐξῆλθεν· ἀμφότερα οὖν γέγονε· μέχρι μὲν γάρ τινος, ἐβάσταζεν αὐτὸς τὸ ξύλον. ἐπεὶ δὲ εὗρον τὸν βαστάσοντα, ἠγγάρευσαν ἐκεῖνον. καὶ λοιπὸν ἐβαστάζετο ὑπ' αὐτοῦ ὁ σταυρός· τίνος δὲ ἕνεκεν εἶπε καὶ τίνων παίδων ἦν πατὴρ, πρὸς πίστωσιν πλείονα· εἰκὸς γὰρ ζῆν τὸν ἄνθρωπον ἔτι, καὶ δύνασθαι τὰ ἐν τῷ σταυρῷ πάντα ἀφηγήσασθαι· ἀλλὰ γὰρ φορέσωμεν καὶ ἡμεῖς πορφύραν, τὴν βασιλικὴν στολήν. οἷον τί λέγω. ὡς βασιλεῖς ὀφείλομεν περιπατεῖν, πατοῦντες ἐπάνω ὄφεων καὶ σκορπίων. καὶ κατακρατοῦντες τῆς ἁμαρτίας· χριστιανοὶ γὰρ λεγόμεθα. τουτέστι κεχρισμένοι καὶ αὐτοὶ, ὥσπερ τότε οἱ βασιλεῖς ἐλέγοντο χριστοί· ἔστω οὖν ὁ βίος ἡμῶν, μὴ δουλικὸς καὶ ἀγεννὴς, ἀλλὰ βασιλικὸς καὶ ἐλεύθερος· φορέσωμεν δὲ καὶ ἀκάνθινον στέφανον. τουτέστι, σπουδάσωμεν στεφανωθῆναι τῷ τραχεῖ βίῳ καὶ ἐγκρατεῖ καὶ ἀνηδόνῳ μὴ τῷ τρυφηλῷ καὶ λείῳ καὶ ἐνηδόνῳ· γενώμεθα δὲ καὶ Σίμων, ὅ ἐστιν, ὑπακοή. καὶ ἄρωμεν τὸν σταυρὸν τοῦ Ἰησοῦ, νεκρώσαντες τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς·

» Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶν τόπον, ὅ ἐστι μεθερμηνευόμενον, κρανίου τόπος·
» καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον. ὁ δὲ, οὐκ ἔλαβε· καὶ σταυρώσαντες αὐ-
» τὸν, διαμερίζονται τὰ ἱμάτια αὐτοῦ. βάλλοντες κλῆρον ἐπ' αὐτὰ, τίς τί ἄρῃ· ἦν δὲ
» ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐτόν. καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμ-

μένη, ὁ

» μένη, ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς, ἕνα ἐκ δεξιῶν καὶ
» ἕνα ἐξ εὐωνύμων αὐτοῦ· καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα. καὶ μετὰ ἀνόμων ἐλογίσθη· Ἡσα· νγ΄·
Παράδοσίς ἐστιν εἰς ἡμᾶς φθάνουσα ἐξ ἁγίων πατέρων, ὅτι ὁ Ἀδὰμ ἐκεῖ ἐτάφη· ὁ
τοίνυν τὸ πτῶμα καὶ τὸν θάνατον τοῦ Ἀδὰμ ἰώμενος κύριος, ἐκεῖ σταυροῦται. ἵνα ἔν-
θα ἡ ἀρχὴ τοῦ θανάτου, ἐκεῖ καὶ ἡ τοῦ θανάτου κατάλυσις· ἐδίδουν δὲ αὐτῷ πιεῖν
οἶνον ἐσμυρνισμένον· ἡ δὲ σμύρνα, πικρότατόν ἐστι· παίζοντες οὖν, τοιαῦτα ἐδίδοσαν
τῷ κυρίῳ· ἄλλος δὲ εὐαγγελιστής, ὄξος μετὰ χολῆς. καὶ ἕτερος ἄλλο τι λέγει προ-
σενεχθῆναι τῷ κυρίῳ. καὶ οὐδὲν ἐναντίον ἐν τούτοις. ἀταξίας γὰρ οὔσης, ἄλλα ἄλλοι
προσέφερον· καὶ ὁ μέν, ὄξος καὶ χολήν. ὁ δέ, οἶνον ἐσμυρνισμένον. μήποτε δὲ καὶ ὁ
οἶνος ὀξίνης ἦν καὶ ἡ σμύρνα πικρά, καὶ λοιπὸν συντρέχουσιν ὅ, τε λέγων ἐσμυρ-
νισμένον οἶνον, καὶ ὁ λέγων ὄξος μετὰ χολῆς· ὅ, τε γὰρ οἶνος, ὄξος. καὶ ἡ σμύρνα, χο-
λή· ὁ μέν, διὰ τὸ ὀξίνης εἶναι. ἡ δέ, διὰ τὸ πικρά· ἀλλ᾽ οὐδὲ ὁ λέγων ὅτι, ἐδίδουν αὐτῷ
πιεῖν. ὁ δέ, οὐκ ἔλαβεν, ἐναντιοῦται τῷ λέγοντι, καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν· πάν-
τως γὰρ ἐν τῷ εἰπεῖν ὅτι οὐκ ἔλαβεν, ἐδήλωσεν ὅτι οὐκ ἔπιεν· ἔβαλον δὲ καὶ κλήρους
ἐπὶ τὰ ἱμάτια αὐτοῦ. καὶ τοῦτο πρὸς ἐμπαιγμὸν ποιοῦντες. ὡς δῆθεν βασιλέως
ἱμάτια μερίζοντες, καίτοι εὐτελῆ ὄντα ταῦτα· ἔγραψαν δὲ καὶ τίτλον, ἤτοι τὴν
αἰτίαν δι᾽ ἣν ἐσταυρώθη ὁ βασιλεὺς τῶν Ἰουδαίων. ἵνα καὶ διὰ τούτου μωμήσωνται τὴν
αὐτοῦ δόξαν, ὡς αὐτάρχου ὄντος καὶ βασιλέα ἑαυτὸν ἀναγορεύσαντος· καὶ ἵνα ἔχωσι
πάντες οἱ παραπορευόμενοι μὴ ἐλεεῖν αὐτόν. ἀλλὰ μᾶλλον ἐπεμβαίνειν ὡς τυραν-
νικῷ· πῶς δὲ ὁ μὲν Μάρκος φησὶν ὥρα τρίτη σταυρωθῆναι. ὁ δὲ Ματθαῖος, ἕκτῃ ὥρᾳ Ματ· κζ΄·
γενέσθαι τὸ σκότος· ἔστιν οὖν εἰπεῖν ὅτι ὥρα μὲν τρίτῃ ἐσταυρώθη. τὸ δὲ σκότος ἤρξατο
γενέσθαι ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐνάτης· καὶ μετὰ λῃστῶν δὲ σταυροῦται, ἵνα πονη-
ρὰν δόξαν λάβωσιν ἐπ᾽ αὐτῷ οἱ ἄνθρωποι, ὅτι καὶ αὐτὸς κακοῦργος ἦν· τοῦτο δὲ οἰκονο-
μικῶς γέγονε. πληροῦται γὰρ προφητεία, τό, μετὰ ἀνόμων ἐλογίσθη· καὶ ἄλλως δέ,
σύμβολον οἱ δύο λῃσταὶ τῶν δύο λαῶν. τοῦ τε ἰουδαϊκοῦ καὶ τοῦ ἐθνικοῦ. ἀμφότεροι
γὰρ ἄνομοι. ὁ μὲν ἐθνικός, ὡς τὸν φυσικὸν νόμον παραβάς. ὁ δὲ ἰουδαϊκός, ὡς καὶ τοῦ-
τον, καὶ τὸν γραπτὸν ὃν ἔδωκεν αὐτῷ ὁ θεός· ἀλλ᾽ ὁ μὲν ἐθνικός, εὐγνώμων λῃστής, ὁ δὲ
ἰουδαϊκός, ἄχρι τέλους βλάσφημος· μέσον δὲ τῶν δύο λαῶν σταυροῦται ὁ κύριος. αὐ-
τὸς γάρ ἐστιν ὁ λίθος ὁ συνάπτων ἡμᾶς·

» Καὶ οἱ παραπορευόμενοι, ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ
» λέγοντες. οὐά, ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν.
» καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ· ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες, πρὸς ἀλλήλους
» μετὰ τῶν γραμματέων ἔλεγον. ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· ὁ χριστὸς ὁ
» βασιλεὺς τοῦ Ἰσραήλ, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ. ἵνα ἴδωμεν καὶ πιστεύσωμεν· καὶ
» οἱ συνεσταυρωμένοι αὐτῷ, ὠνείδιζον αὐτόν· Καὶ οἱ παραπορευόμενοι φησί, τουτέστιν οἱ
διερχόμενοι τὴν ὁδόν, καὶ αὐτοὶ ἐβλασφήμουν τὸν κύριον. ὡσανεὶ ἐπιτωθάζοντες αὐ-
τὸν ὡς πλάνον· ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἔλεγον. ὁ ἄλλους σώσας, ἑαυτὸν οὐ σώζει; τοῦτο
δὲ ἔλεγον ἀποσκώπτοντες εἰς τὰ θαύματα αὐτοῦ, καὶ ἐπικερτομοῦντες ὡς κατὰ φαν-
τασίαν τάχα γενόμενα. θαυματουργῶν γὰρ ἔσωζε πολλούς· ὁ δὲ διάβολος παρεκίνει
αὐτοὺς λέγειν τό, καταβάτω ἀπὸ τοῦ σταυροῦ· ἐπεὶ γὰρ ἔγνω ὁ ἀρχέκακος ὅτι ἡ σωτη-
ρία διὰ τοῦ σταυροῦ γίνεται, πάλιν ἐπείραζε τὸν κύριον· ἵνα ἐὰν καταβῇ ἀπὸ τοῦ σταυροῦ,
πληροφορηθῇ ὅτι οὐκ ἔστιν υἱὸς θεοῦ. καὶ οὕτω καταλυθῇ ἡ σωτηρία ἡ διὰ τοῦ σταυροῦ·
ἀλλ᾽ ἐκεῖνος καὶ υἱὸς θεοῦ ἦν ἀληθῶς, καὶ διὰ τοῦτο μᾶλλον οὐ κατέβη· εἰ γὰρ ἔμελλε
καταβῆναι, οὐδ᾽ ἂν τὴν ἀρχὴν ἀνέβη· ἀλλὰ γὰρ εἰδὼς ὅτι οὕτως ἔσται ἡ σωτηρία τοῖς

ἀνθρώποις, ἠνέσχετο καὶ σταυρωθῆναι καὶ τἄλλα πάντα παθεῖν, καὶ τελειῶσαι αὐτοῦ
τὸ ἔργον. καὶ οἱ συνεσταυρωμένοι, ὠνείδιζον οἱ δύο ἐξ ἀρχῆς. εἶτα ὁ εἷς ἐπέγνω αὐτὸν
Λου. κγ΄. ἀναίτιον, ὡς ὁ Λουκᾶς λέγει, καὶ μᾶλλον καὶ τῷ ἑτέρῳ ἐπετίμα ὡς βλασφημοῦντι.
» Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν, ἕως ὥρας ἐνάτης. καὶ
» τῇ ὥρᾳ τῇ ἐνάτῃ, ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων. ἐλωῒ ἐλωῒ λαμμᾶ σαβα-
Ψαλ. κα΄. » χθανεί. ὅ ἐστι μεθερμηνευόμενον, ὁ θεός μου ὁ θεός μου εἰς τί με ἐγκατέλιπες. καί τι-
» νὲς τῶν παρεστηκότων, ἀκούσαντες, ἔλεγον. ἰδοὺ Ἠλίαν φωνεῖ. δραμὼν δὲ εἷς, καὶ γε-
» μίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτὸν, λέγων. ἄφετε ἴδωμεν εἰ
» ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην, ἐξέπνευσεν.
Σκότος ἐγένετο, οὐκ ἐφ᾽ ἕνα τόπον, ἀλλ᾽ ἐφ᾽ ὅλην τὴν γῆν. καὶ εἰ μὲν ἦν καιρὸς ἐκλεί-
ψεως, εἶχεν ἄν τις λέγειν ὅτι φυσικὸν τὸ πάθος. νῦν δὲ, τεσσαρεσκαιδεκαταία ἦν ἡ σε-
Ψαλ. κα΄. λήνη. ὅτε ἀμήχανον γενέσθαι ἔκλειψιν φυσικήν. ἀναβοᾷ δὲ ὁ κύριος ἑβραϊστὶ τὸ προφη-
τικὸν, δεικνύων ὅτι καὶ ἄχρι τελευταίας ἀναπνοῆς, τὰ ἑβραϊκὰ τιμᾷ. τὸ δὲ εἰς τί με
ἐγκατέλιπες, ὡς ἐκ προσώπου τῆς ἀνθρωπίνης φύσεως λέγει. ὡσανεὶ τοῦτο λέγων.
εἰς τί με τὸν ἄνθρωπον ἐγκατέλιπες ὦ θεὲ, ἵνα δεηθῶ θεοῦ σταυρουμένου ὑπὲρ ἐμοῦ. ἡ-
μεῖς μὲν γὰρ οἱ ἄνθρωποι, ἦμεν οἱ ἐγκαταλελειμμένοι. ἐκεῖνος δὲ οὐκ ἐγκατελείφθη πο-
Ἰωάν. ις΄. τὲ παρὰ τοῦ πατρός. ἄκουε γὰρ αὐτοῦ, τί φησιν. οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ᾽ ἐμοῦ
ἐστίν. ἢ καὶ ὑπὲρ τῶν Ἑβραίων τοῦτό φησιν, ὡς Ἑβραῖος καὶ αὐτὸς τὸ κατὰ σάρκα ὤν,
εἰς τί ἐμὲ, τουτέστι τὸν ἑβραϊκὸν λαὸν, ἐγκατέλιπες, ἵνα σταυρώσωσι τὸν υἱὸν τὸν σόν. ὥσ-
περ γὰρ εἰώθαμεν λέγειν, ὅτε, ὁ θεὸς ἐφόρεσεν ἐμὲ, ἀντὶ τοῦ τὴν ἀνθρωπίνην φύσιν, οὕ-
τω καὶ ἐνταῦθα τὸ ἐγκατέλιπές με νόει ἀντὶ τοῦ τὴν ἐμὴν φύσιν τὴν ἀνθρωπίνην. ἢ
τὸν ἐμὸν λαὸν τὸν ἰουδαϊκόν. δραμὼν δὲ εἷς, ὄξος ἐπότιζεν αὐτόν. ἵνα συντομώτερον
αὐτὸν ἡ δριμύτης τοῦ ὄξους θανατώσῃ. κράξας δὲ ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, ἐξέπνευσεν.
οἱονεὶ προσκαλούμενος τὸν θάνατον, ὡς δεσπότης καὶ κατ᾽ ἐξουσίαν ἀποθνήσκων. τίς δὲ
Λου. κγ΄. ἦν ἡ φωνὴ, ἐδήλωσεν ὁ Λουκᾶς. πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. καὶ
γὰρ καὶ τοῦτο κατώρθωσεν ἡμῖν ὁ κύριος. τὸ, εἰς χεῖρας τοῦ θεοῦ ἀναβαίνειν τὰ τῶν ἁ-
γίων πνεύματα. πρώην γὰρ ἐν ᾅδου πάντων αἱ ψυχαὶ ἐκρατοῦντο. ἕως οὗ ἦλθεν ὁ
κηρύξας αἰχμαλώτοις ἄφεσιν.
» Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω. ἰδὼν δὲ ὁ κεν-
» τυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτω κράξας ἐξέπνευσεν, εἶπεν. ἀληθῶς
» ὁ ἄνθρωπος οὗτος, υἱὸς ἦν θεοῦ. ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι. ἐν
» αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ, καὶ Ἰωσῆ μήτηρ. καὶ
» Σαλώμη. αἳ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολούθουν αὐτῷ, καὶ διηκόνουν αὐτῷ. καὶ
» ἄλλαι πολλαὶ, αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα. Ἐσχίσθη τὸ καταπέτασμα,
δηλοῦντος τοῦ θεοῦ ὅτι ἡ χάρις τοῦ πνεύματος ἀπέστη ἀπὸ τοῦ ναοῦ. καὶ ὅτι τὰ ἅγια
τῶν ἁγίων, πᾶσι θεατὰ καὶ βάσιμα καταστήσονται. ὃ καὶ γέγονε, τῶν Ῥωμαίων εἰσελ-
θόντων. καὶ ὅτι πενθεῖ καὶ ὁ ναός. ὥσπερ γὰρ εἰώθασιν Ἰουδαῖοι ἐν ταῖς συμφοραῖς ποιεῖν,
καὶ διαῤῥηγνύναι τοὺς χιτῶνας, τοῦτο καὶ ὁ ναὸς, ὡσανεὶ ἔμψυχος, ἐνεδείξατο ἐπὶ τῷ
κτίστῃ πάσχοντι, τὸ ἑαυτοῦ ἱμάτιον διαῤῥήξας. καὶ ἄλλο δέ τι ἐκ τούτου δηλοῦται.
ἡ σὰρξ αὕτη, καταπέτασμα ἐστὶ τοῦ ἡμετέρου ναοῦ. τουτέστι τοῦ νοός. ἡ γοῦν τῆς σαρ-
κὸς δύναμις, ἣν εἶχε κατὰ τοῦ πνεύματος, διεῤῥάγη τοῖς πάθεσι τοῦ Χριστοῦ. ἀπὸ ἄνω-
θεν ἕως κάτω, τουτέστιν ἀπὸ Ἀδὰμ ἕως καὶ τῶν τελευταίων ἀνθρώπων. καὶ γὰρ ὁ
Ἀδὰμ, ἡγίασται τοῖς πάθεσι τοῦ Χριστοῦ. καὶ οὐκ ἔτι ἡ σὰρξ ἐκείνου ἐπικατάρατός ἐστιν,
οὐδὲ φθορᾶς ἔνοχος. ἀλλ᾽ ἀφθαρσίας ἠξιώθημεν ἅπαντες. ἰδὼν δὲ ὁ κεντυρίων, τουτέστιν

ὁ ἑκατόνταρχος, (κέντουμ γὰρ λέγουσιν οἱ Ῥωμαῖοι τὸ ἑκατόν) ὅτι οὕτω δεσποτικῶς ἐξέπνευσεν, ἐθαύμασε καὶ ὡμολόγησεν. ὅρα δὲ καὶ τὴν τάξιν ἀντιστραφεῖσαν. οἱ Ἰουδαῖοι θανατοῦσιν, ὁ ἐθνικὸς ὁμολογεῖ. οἱ μαθηταὶ φεύγουσιν, αἱ γυναῖκες παραμένουσιν. ἦσαν γάρ φησι, καὶ γυναῖκες, ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή. καὶ Μαρία ἡ Ἰακώβου, καὶ Ἰωσῆ μήτηρ. αὕτη δέ, ἡ θεοτόκος ἦν. ἥτις καθὸ ἐμνηστεύθη τῷ Ἰωσήφ, μήτηρ αὐτῶν ἦν. τοῦ δὲ Ἰωσὴφ παῖδες ἦσαν, Ἰάκωβος καὶ Ἰωσῆς. λέγεται τοίνυν μήτηρ αὐτῶν. ἀντὶ τοῦ μητρυιά. ὥσπερ καὶ τοῦ Ἰωσὴφ ἐλέγετο γυνή. ἀντὶ τοῦ μνηστή. ἡ Σαλώμη δέ, ἦν ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου. καὶ ἄλλαι δὲ πολλαί. τῶν γὰρ ἐπισημοτέρων ὀνόμασιν ἐμνημόνευσεν.

» Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευή, ὅ ἐστι προσάββατον, ἦλθεν Ἰωσὴφ ὁ
» ἀπὸ Ἀριμαθαίας εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν
» τοῦ θεοῦ. τολμήσας εἰσῆλθε πρὸς Πιλᾶτον. καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. ὁ δὲ Πιλᾶ-
» τος ἐθαύμασεν εἰ ἤδη τέθνηκε. καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα, ἐπηρώτησεν αὐ-
» τὸν εἰ πάλαι ἀπέθανε. καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰω-
» σήφ. καὶ ἀγοράσας σινδόνα καὶ καθελὼν αὐτόν, ἐνείλησε τῇ σινδόνι. καὶ κατέθηκεν αὐ-
» τὸν ἐν μνημείῳ ὃ ἦν λελατομημένον ἐκ πέτρας. καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύ-
» ραν τοῦ μνημείου. ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰωσῆ, ἐθεώρουν ποῦ τίθεται.

Ὁ μακάριος Ἰωσήφ, ἔτι τῷ νόμῳ δουλεύων, καὶ τὸν Χριστὸν θεὸν ἐπέγνω. διὸ καὶ τολμᾷ τόλμαν ἐπαινετήν. οὐχ ὑπελογίσατο γάρ, ὅτι πλούσιός εἰμι. καὶ ἐκπεσοῦμαι τοῦ πλούτου, ἐὰν αἰτήσωμαι τὸ σῶμα τοῦ ἐπὶ τυραννίδι κατακριθέντος. καὶ διαβληθήσομαι τοῖς Ἰουδαίοις. οὐδὲν τούτων εἶπε καθ᾽ ἑαυτόν. ἀλλὰ πάντα δεύτερα ἡγησάμενος, ᾐτήσατο ἵνα θάψῃ τὸ τοῦ κατακεκριμένου σῶμα. ὁ δὲ Πιλᾶτος ἐθαύμασεν, εἰ ἤδη τέθνηκεν. ἐνόμιζε γὰρ αὐτὸν ἐπὶ πολὺ ἀνθέξειν, ὥσπερ καὶ τοὺς λῃστάς. ἐπηρώτησε δὲ καὶ τὸν κεντυρίωνα εἰ πάλαι ἀπέθανε, τουτέστιν εἰ πρὸ ὥρας ἀπέθανεν. ὁ τοίνυν Ἰωσὴφ λαβὼν τὸ σῶμα, ἠγόρασε μὲν σινδόνα. καθελὼν δὲ αὐτόν, ἐνείλησε τῇ σινδόνι, τὸ τίμιον τιμίως ἐνταφιάζων. μαθητὴς γὰρ ἦν καὶ αὐτὸς τοῦ Χριστοῦ. καὶ ὅπως δεῖ τιμᾶν τὸν δεσπότην εἰδώς. καὶ εὐσχήμων. τουτέστι σεμνός. εὐλαβής. ἄμεμπτος. βουλευτὴς δέ, ἀξίωμά τι ἦν. μᾶλλον δὲ λειτούργημα καὶ βάρος πολιτικόν. ὃ οἱ ἔχοντες, ἠναγκάζοντο τὰ τῆς ἀγορᾶς ἐπισκοπεῖν. καὶ πολλοῖς πολλάκις κίνδυνος ἐπῆλθεν ἐκ τούτου, διὰ τὴν τῆς ἀγορᾶς κακοπραγίαν. ἀκουέτωσαν οἱ πλούσιοι. καὶ δημοσίοις ἐνοχλούμενοι πράγμασιν, ὅπως τῷ Ἰωσὴφ οὐδὲν ἐνεπόδισε πρὸς ἀρετὴν τὸ βουλευτικὸν ἀξίωμα. Ἰωσὴφ δὲ ἑρμηνεύεται, πρόσθεσις. Ἀριμαθαῖος δέ, αἴρων ἐκεῖνο. γένοιτο οὖν καὶ ἡμᾶς κατὰ τὸν Ἰωσὴφ γενέσθαι. ἀεὶ προστιθέντας τῷ δρόμῳ τῆς ἀρετῆς, καὶ αἴροντας ἐκεῖνο. τουτέστι τὸ ὄντως ἀγαθόν. λαβεῖν δὲ καὶ τὸ σῶμα τοῦ Ἰησοῦ διὰ τῆς κοινωνίας. καὶ καταθέσθαι αὐτὸ ἐν μνημείῳ λελατομημένῳ ἐκ πέτρας. τουτέστιν ἐν μνημονικῇ ψυχῇ. καὶ μὴ ἐπιλανθανομένῃ τοῦ θεοῦ. ἔστω δὲ ἐκείνη ἡ ψυχή, ἐκ πέτρας λελατομημένη. τουτέστιν ἀπὸ Χριστοῦ (ὅς ἐστιν ἡ πέτρα) ἔχουσα τὴν σύστασιν. ἐνειλῆσαι δὲ αὐτὸ ἐν σινδόνι. τουτέστιν, ἐν σώματι καθαρῷ δέξασθαι αὐτό. σινδὼν γὰρ τῆς ψυχῆς καὶ οἷον ἱμάτιον, τὸ σῶμα. δεῖ οὖν μὴ μόνον ἐν ψυχῇ καθαρᾷ δέχεσθαι τὸ θεῖον σῶμα τοῦ κυρίου, ἀλλὰ καὶ ἐν σώματι τοιούτῳ. ἐνειλεῖν δὲ αὐτό. τουτέστι, συστρέφειν καὶ συστέλλειν, ἀλλὰ μὴ ἐξαπλοῦν. τὸ γὰρ μυστήριον συνεσταλμένον ἐστὶ καὶ ἀπόκρυφον, καὶ οὐκ ἐξηπλωμένον.

Κεφάλαιον ἑκκαιδέκατον.

» Καὶ διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνή. καὶ Μαρία ἡ τοῦ Ἰακώβου

» καὶ Σαλώμη, ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. καὶ λίαν πρωῒ
» τῆς μιᾶς σαββάτων, ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου. καὶ ἔλεγον
» πρὸς ἑαυτάς. τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου. καὶ ἀναβλέ-
» ψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος. ἦν γὰρ μέγας σφόδρα. καὶ εἰσελθοῦσαι
» εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευ-
» κήν. καὶ ἐξεθαμβήθησαν. ὁ δὲ, λέγει αὐταῖς. μὴ ἐκθαμβεῖσθε. Ἰησοῦν ζητεῖτε τὸν Να-
» ζαρηνὸν τὸν ἐσταυρωμένον. ἠγέρθη. οὐκ ἔστιν ὧδε. ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. ἀλ-
» λ' ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν
» Γαλιλαίαν. ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. καὶ ἐξελθοῦσαι, ἔφυγον ἀπὸ τοῦ μνη
» μείου. εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις. καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ.

Οὐδὲν μέγα οὐ δὲ ἄξιον τῆς τοῦ Ἰησοῦ θεότητος φρονοῦσαι αἱ γυναῖκες περὶ αὐτοῦ,
παρακάθηνται τῷ τάφῳ. καὶ μύρα ἀγοράζουσιν, ἵνα κατὰ τὸ ἔθος τῶν Ἰουδαίων ἀλεί
ψωσι τὸ σῶμα, ὡς ἂν μένῃ εὐώδες, καὶ μή τι δυσώδες ἐκ τῆς διαλύσεως πάθῃ. ἅμα
δὲ καὶ τὰ μύρα ξηραντικήν τινα δύναμιν ἔχοντα, τὴν ὑγρότητα τοῦ σώματος ἀναπί
νοντα, ἄσηπτον αὐτὸ τηροῦσι. τοιαῦτα ἐφρόνουν αἱ γυναῖκες. καὶ λίαν πρωῒ (ὅπερ ὁ
Ματ. κη΄. μὲν Ματθαῖος, ὀψὲ σαββάτων. ὁ δὲ Λουκᾶς, ὄρθρου βαθέος φασὶ) μιᾶς τῶν σαββά
Λου. κδ΄. των, τουτέστι τῆς πρώτης τῶν τῆς ἑβδομάδος ἡμερῶν (σάββατα γὰρ τὰς τῆς ἑβ-
δομάδος ἡμέρας ὠνόμαζον. μίαν δὲ, τὴν πρώτην) ἀναστᾶσαι ἔρχονται πρὸς τὸ μνη-
μεῖον. καὶ διαλογίζονται τίς ἀποκυλίσει τὸν λίθον. ἐν ὅσῳ δὲ ταῦτα ἐλογίζοντο αὗ-
Ματ. κη΄. ται, ἄγγελος ἀπεκύλισε τὸν λίθον μὴ αἰσθομένων τῶν γυναικῶν. ὃ καὶ ὁ Ματθαῖος
λέγει, ὅτι μετὰ τὸ ἐλθεῖν τὰς γυναῖκας, ὁ ἄγγελος ἀπεκύλισε τὸν λίθον. τοῦτο δὲ παρε
σιώπησεν ὁ Μάρκος, ὡς τοῦ Ματθαίου εἰπόντος παρὰ τίνος ἀπεκυλίσθη ὁ λίθος. εἰ δὲ
ὁ μὲν Ματθαῖος φησὶ τὸν ἄγγελον καθῆσθαι ἐπὶ τῷ λίθῳ, ὁ δὲ Μάρκος, μετὰ τὸ εἰσελ-
θεῖν εἰς τὸ μνημεῖον ἰδεῖν αὐτὸν τὰς γυναῖκας ἔσω καθήμενον, οὐ δεῖ ταράττεσθαι. ἐνδέ
χεται γὰρ ὃν εἶδον ἔξω καθήμενον (ὥς φησιν ὁ Ματθαῖος) ἐπὶ τῷ λίθῳ, τοῦτον ἰδεῖν
πάλιν ἔσω ἐν τῷ μνημείῳ, προλαβόντα τὰς γυναῖκας, καὶ εἰσελθόντα. τινὲς δὲ λέ-
γουσιν ὡς ἄλλαι μὲν ἦσαν αἱ παρὰ τῷ Ματθαίῳ γυναῖκες. ἄλλαι δὲ αἱ παρὰ τῷ
Μάρκῳ. ἡ μέντοι Μαγδαληνὴ πάσαις παρηκολούθει, θερμή τις οὖσα καὶ διάπυρος τὴν
σπουδήν. εἶπεν οὖν ταῖς γυναιξὶν ὁ φανεὶς ἐκεῖνος. μὴ ἐκθαμβεῖσθε. πρότερον γὰρ ἀπαλ
λάττει ταύτας τοῦ δέους, εἶτα καὶ περὶ τῆς ἀναστάσεως εὐαγγελίζεται. ἐσταυρωμένον
δὲ αὐτὸν ὀνομάζει, οὐ γὰρ ἐπαισχύνεται τὸν σταυρόν. οὗτος γάρ ἐστιν ἡ σωτηρία τῶν ἀν-
θρώπων. καὶ τὸ τῶν ἀγαθῶν κεφάλαιον. ἠγέρθη. πόθεν δῆλον; οὐ γάρ ἐστιν ὧδε. καὶ
θέλετε πιστωθῆναι; ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. ἐπὶ τούτῳ γὰρ καὶ τὸν λίθον ἐπῆ-
ρεν, ἵνα δείξῃ τὸν τόπον. ἀλλ' ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ.
τὸν Πέτρον χωρίζει ἀπὸ τῶν μαθητῶν, ὡς κορυφαῖον κατ' ἐξοχὴν αὐτὸν ὀνομάζων ἐκ-
τὸς ἐκείνων. ἢ ἐπειδὴ ἠρνήσατο ὁ Πέτρος, ἐὰν ἦλθον καὶ εἶπον αἱ γυναῖκες ὅτι, προστε-
τάγμεθα εἰπεῖν τοῖς μαθηταῖς, εἶπεν ἂν ὁ Πέτρος. ἐγὼ ἠρνησάμην. λοιπὸν μαθητὴς
αὐτοῦ οὐκ εἰμί. ἀπέβαλεν οὖν ἐμέ. ἐβδελύξατό με. τούτου οὖν ἕνεκεν προστίθησι τὸ, καὶ
τῷ Πέτρῳ. ἵνα μὴ σκανδαλισθῇ ὁ Πέτρος, ὡς αὐτὸς μὴ λόγου ἀξιωθεὶς, οἷα ἀρνησάμε-
νος. καὶ διὰ τοῦτο μὴ δὲ συντάττεσθαι τοῖς μαθηταῖς ἄξιος ὤν. εἰς δὲ τὴν Γαλιλαίαν
πέμπει αὐτοὺς, τῶν θορύβων καὶ τοῦ πολλοῦ φόβου ὑπεξάγων τῶν Ἰουδαίων. ἐκρά-
τησε μέντοι τὰς γυναῖκας φόβος καὶ ἔκστασις, τουτέστιν ἔκπληξις, ἐπί τε τῇ θέᾳ τοῦ
ἀγγέλου καὶ ἐπὶ τῷ φρικώδει τῆς ἀναστάσεως. καὶ διὰ τοῦτο οὐδενὶ οὐδὲν εἶπον. ἐφο
βοῦντο γάρ. ἢ τοὺς Ἰουδαίους ἐφοβοῦντο, ἢ τῷ φόβῳ συνεχόμεναι τῷ ἀπὸ τῆς ὀπτα-

σίας, καὶ τὸν νοῦν ἀπώλεσαν. καὶ διὰ τοῦτο οὐδενὶ οὐδὲν εἶπον, ἐπιλαθόμεναι καὶ ὧν ἤκουσαν.

» Ἀναστὰς δὲ ὁ Ἰησοῦς, πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ τῇ μαγδαλη
» νῇ. ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. ἐκείνη πορευθεῖσα, ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γε
» νομένοις, πενθοῦσι καὶ κλαίουσι. κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπί
» στησαν. μετὰ δὲ ταῦτα, δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν, ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πο-
» ρευομένοις εἰς ἀγρόν. κἀκεῖνοι ἀπελθόντες, ἀπήγγειλαν τοῖς λοιποῖς. οὐδὲ ἐκείνοις ἐπί
» στευσαν. ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη. καὶ ὠνείδισε τὴν ἀπιστίαν
» αὐτῶν καὶ σκληροκαρδίαν. ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον, οὐκ ἐπίστευσαν.

Ἀναστὰς δὲ ὁ Ἰησοῦς. ἐνταῦθα στίξον. εἶτα εἰπέ. πρωῒ πρώτῃ σαββάτου ἐφάνη Μαρίᾳ τῇ μαγδαληνῇ. οὐ γὰρ ἀνέστη πρωΐ. (τίς γὰρ οἶδε πότε ἀνέστη) ἀλλ' ἐφάνη πρωΐ, κυριακῇ ἡμέρᾳ (αὕτη γὰρ ἡ πρώτη τοῦ σαββάτου τουτέστι τῆς ἑβδομάδος) ἣν ἄνω ἐκάλεσε μίαν σαββάτων. Μαρίᾳ τῇ μαγδαληνῇ ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. ἤτοι πολλά; (οἶδε γὰρ ἡ γραφὴ τὸν ἑπτὰ ἀριθμὸν, ἀντὶ πλήθους παραλαμβάνειν. ὡς τὸ στεῖρα ἔτεκεν ἑπτά.) ἢ ἑπτὰ δαιμόνια, τὰ ἐναντία τῶν ἑπτὰ τῆς ἀρετῆς πνευμάτων. α′ Βα. ϛ′.
οἷον. πνεῦμα ἀφοβίας. πνεῦμα ἀσυνεσίας. πνεῦμα ἀγνωσίας. πνεῦμα ψεύδους. καὶ ὅσα ἄλλα ἀντίπαλα τῶν χαρισμάτων τοῦ πνεύματος. μετὰ δὲ ταῦτα, δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν, ἐφάνη ἐν ἑτέρᾳ μορφῇ. περὶ τούτων καὶ ὁ Λουκᾶς λέγει. κἀκεῖνοι Λουκ. κδ′.
ἀνήγγειλαν τοῖς λοιποῖς. οὐδὲ ἐκείνοις ἐπίστευσαν. καὶ πῶς ὁ Λουκᾶς λέγει ὅτι ὑποστρέψαντες, εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, λέγοντας ὅτι ἠγέρθη ὁ κύριος, τοῦ Μάρκου ἐνταῦθα λέγοντος ὅτι οὐδὲ τοῖς ἐκ τοῦ ἀγροῦ ἐλθοῦσιν ἐπίστευσαν. λέγομεν οὖν ὅτι τὸ ἀνήγγειλαν τοῖς λοιποῖς, οὐ περὶ τῶν ἕνδεκα ἀποστόλων λέγει. ἀλλὰ περί τινων ἑτέρων. τούτους γὰρ λοιποὺς ὠνόμασεν. ἐπεὶ οἵγε ἕνδεκα, εἶδον αὐτὸν ἐν αὐτῇ τῇ ἡμέρᾳ, ὅτε καὶ οἱ ἐξ ἀγροῦ ὑποστρέψαντες, εὗρον αὐτοὺς λέγοντας ὅτι ἠγέρθη ὁ κύριος.

» Καὶ εἶπεν αὐτοῖς. πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον
» πάσῃ τῇ κτίσει. ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται. ὁ δὲ ἀπιστήσας, κατακριθήσε-
» ται. σημεῖα δὲ τοῖς πιστεύσασι, ταῦτα παρακολουθήσει. ἐν τῷ ὀνόματί μου δαιμόνια
» ἐκβαλοῦσι. γλώσσαις λαλήσουσι καιναῖς. ὄφεις ἀροῦσι. κἂν θανάσιμόν τι πίωσιν, οὐ
» μὴ αὐτοὺς βλάψῃ. ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. ὁ μὲν οὖν κύ-
» ριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν. καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ.
» ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ. τοῦ κυρίου συνεργοῦντος καὶ τὸν λόγον βε-
» βαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. ἀμήν.

Ὅρα τὴν τοῦ κυρίου ἐντολήν. κηρύξατε πάσῃ τῇ κτίσει. οὐκ εἶπεν ὅτι, τοῖς πειθομένοις κηρύξατε. ἀλλὰ πάσῃ τῇ κτίσει, εἴτε πείθονται εἴτε μή. ὁ πιστεύσας. καὶ οὐκ ἀρκεῖ τοῦτο. ἀλλὰ καὶ βαπτισθείς. ὁ γὰρ πιστεύσας μὲν οὐ βαπτισθεὶς δὲ. ἀλλ' ἔτι κατηχούμενος ὢν, οὔπω ἤδη καὶ σέσωσται. σημεῖα δὲ λέγει τοῖς πιστεύσασι παρακολουθήσειν, τὸ δαιμόνια ἐκβάλλειν. τὸ γλώσσαις λαλεῖν καιναῖς. τὸ ὄφεις αἴρειν. τουτέστιν, ἀφανίζειν ὄφεις, εἴτε τοὺς αἰσθητοὺς, εἴτε τοὺς νοητούς. ὡς τὸ, πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων, τῶν νοητῶν δηλαδή. δύναται δὲ Λουκ. ι′.
καὶ οὕτω νοηθῆναι. ὄφεις ἀροῦσιν. ὥσπερ ὁ Παῦλος τὴν ἔχιδναν ἐν τῇ χειρὶ αὐτοῦ ἦρε, Πράξ. ιη′.
μηδὲν ὑπ' αὐτῆς βλαβείς. κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ. γέγονε δὲ τοιαῦτα πάντως πολλά. ὡς ἐν ταῖς ἱστορίαις εὑρίσκομεν. πολλοὶ γὰρ καὶ φάρμακα πιόντες, διὰ τῆς τοῦ σταυροῦ σφραγίδος ἀβλαβεῖς διετηρήθησαν. ταῦτα δὲ λαλήσας, ἀνελήφθη. καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ. ἐκεῖνοι δὲ ἐκήρυξαν πανταχοῦ, τοῦ κυρίου φησὶν συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων ση-

μείων. ὁρᾷς; πανταχοῦ τὰ ἡμέτερα πρῶτον, εἶτα ἡ τοῦ θεοῦ συνεργία. ἡμῶν γὰρ
ἐνεργούντων καὶ ἀρχὴν δόντων, ὁ κύριος συνεργεῖ. ὡς ἐάν γε μὴ ἡμεῖς δῶμεν
ἀφορμὴν, οὐ συνεργεῖ. σκόπει δὲ καὶ τοῦτο, ὅτι μετὰ τὸν λόγον τὰ ἔργα,
καὶ ὁ λόγος διὰ τῶν ἔργων βεβαιοῦται. ὥσπερ καὶ ἐπὶ τῶν ἀπο
στόλων τότε, τὸν λόγον ἐβεβαίουν τὰ ἔργα τὰ ἐπακολου-
θοῦντα καὶ τὰ σημεῖα. γένοιτο δὲ λόγε χριστὲ, καὶ
τοῖς ἡμετέροις λόγοις οἷς λέγομεν περὶ ἀρε-
τῆς, διὰ τῶν ἔργων βεβαιοῦσθαι καὶ
τῶν πράξεων. ὡς ἂν τέλειοι πα-
ραστaίημεν σοι, συνεργοῦντι
ἡμῖν ἐν πᾶσιν ἔργοις
τε καὶ λόγοις.
ὅτι σοὶ
πρέπει ἡ διὰ
λόγων καὶ ἔργων
δόξα. Ἀμήν.

Τέλος τῆς εἰς τὸ κατὰ Μάρκον εὐαγγέλιον

ἑρμηνείας Θεοφυλάκτου.

ΒΙΟΣ ΤΟΥ ΛΟΥΚΑ ΚΑΤΑ ΣΩΦΡΟΝΙΟΝ.

Λουκᾶς ἰατρὸς Ἀντιοχεύς, καθὼς τὰ συγγράμματα αὐτοῦ δηλοῖ, τοῦ ἑλληνικοῦ οὐκ ἄπειρος, σπουδαστὴς Παύλου Ἀποστόλου, καὶ πάσης αὐτοῦ τῆς ἀλλοδαπῆς ἀκόλουθος, συνέταξεν εὐαγγέλιον, περὶ οὗ αὐτὸς παῦλος, ἀπεστείλαμεν φησὶ σὺν αὐτῷ τὸν ἀδελφὸν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ κατὰ πάσας τὰς ἐκκλησίας. καὶ πρὸς τοὺς κολασσαεῖς, ἀσπάζεται ὑμᾶς λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός. καὶ πρὸς Τιμόθεον, λουκᾶς ἐστι μετ' ἐμοῦ μόνος. καὶ ἕτερον δὲ ἐξέδωκε τεῦχος ἐξαίρετον, ἐπιγραφὴν πράξεις ἀποστόλων, οὗ ἡ ἱστορία ἕως διετείας διάγοντος ἐν τῇ ῥώμῃ Παύλου ἐκτείνεται, τουτέστιν, ἕως τετάρτου Νέρωνος ἐνιαυτοῦ. ἀφ' ὧν πεπείσμεθα, ἐν τῇ αὐτῇ πόλει τὴν βίβλον συντετάχθαι. ἡ γὰρ περίοδος Παύλου καὶ θέκλας, καὶ πᾶς ὁ μῦθος ὡσανεὶ λέοντος βαπτισθέντος, εἰς τὰς ἀποκρύφους γραφὰς ψηφισθήσεται. οὐδὲ γὰρ ἐνεχώρει τὸν ἀχώριστον τοῦ ἀποστόλου μεταξὺ τῶν λοιπῶν αὐτοῦ πράξεων τοῦτο ἠγνοηκέναι. ἀλλὰ καὶ τερτουλλιανὸς ἐκεῖνον τὸν χρόνον, ἀναφέρει πρεσβύτερόν τινα ἐν τῇ ἀσίᾳ, σπουδαστὴν Παύλου ἀποστόλου, ἐλεγχθέντα ἐπὶ Ἰωάννου, οἷα παρ' αὐτοῦ συνταγείσης βίβλου, ὡμολογηκέναι φίλτρῳ κατεχόμενον παύλου, τοῦτο πεποιηκέναι. διὸ καὶ ἐκβεβλῆσθαι τοῦτον τινὲς ὑπολαμβάνουσιν. ὁσάκις γὰρ παῦλος ἐν ταῖς οἰκείαις ἐπιστολαῖς λέγει, κατὰ τὸ εὐαγγέλιόν μου, δῆλον ὡς περὶ τοῦ τεύχους τοῦ κατὰ λουκᾶν σημαίνει. καὶ λουκᾶν οὐ μόνον παρὰ τοῦ ἀποστόλου Παύλου μεμαθηκέναι τὸ εὐαγγέλιον, οἷα μετὰ τοῦ κυρίου τηνικαῦτα ἐν τῷ σώματι μὴ γενομένου, ἀλλὰ καὶ παρὰ τῶν λοιπῶν ἀποστόλων, ὅπερ καὶ αὐτὸς ἐν τῇ ἀρχῇ τοῦ ἰδίου συντάγματος περιφανῶς λέγει. καθὼς παρέδωσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται. τοιγαροῦν τὸ εὐαγγέλιον καθὼς ἀκήκοεν ἔγραψε. τὰς δὲ πράξεις τῶν ἀποστόλων, καθὰ ἱστόρησεν αὐτὸς, καὶ συνέταξεν. ἠνέχθη τὰ λείψανα αὐτοῦ, καὶ ἀπετέθη ἐν κωνσταντινουπόλει, εἰς ἣν πόλιν τῷ εἰκοστῷ Κωνσταντίνου ἐνιαυτῷ, τὸ τούτου σῶμα, μετὰ τῶν λειψάνων ἀνδρέου τοῦ ἀποστόλου μετηνέχθη.

ΒΙΌΣ ΛΟΥΚᾶ ΤΟΥ͂ ΕΥ᾿ΑΓΓΕΛΙΣΤΟΥ͂ ἘΚ ΤΗ͂Σ ΤΟΥ͂ Δωροθέου μάρτυρος Τυρίων Ἐπισκόπου Συνόψεως.

Λουκᾶς ὁ εὐαγγελιστὴς αὐτοχεὶς μὲν τὸ γένος ἦν, ἰατρὸς δὲ τὴν τέχνην. συνεγράψατο δὲ τὸ μὲν εὐαγγέλιον, κατ᾽ ἐπιτροπὴν, Πέτρου τοῦ ἀποστόλου. τὰς δὲ πράξεις τῶν ἀποστόλων κατ᾽ ἐπιτροπὴν παύλου τοῦ ἀποστόλου. συναπεδήμησε γὰρ τοῖς ἀποστόλοις καὶ μάλιστα τῷ παύλῳ, οὗ καὶ μνημονεύσας ὁ παῦλος, ἔγραψεν ἐν ἐπιστολῇ. ἀσπάζεται ὑμᾶς λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς ἐν κυρίῳ. ἀπέθανε δὲ ἐν ἐφέσῳ καὶ ἐτάφη ἐκεῖ. μετετέθη δὲ ὕστερον ἐν κωνσταντίνου πόλει μετὰ καὶ Ἀνδρέου καὶ Τιμοθέου τῶν ἀποστόλων, κατὰ τοὺς καιροὺς κωνσταντίνου βασιλέως, υἱοῦ κωνσταντίνου τοῦ μεγάλου.

ΚΕΦΆΛΑΙΑ ΤΟΥ͂ ΚΑΤᾺ Λουκᾶν εὐαγγελίου.

ΘΕΟΦΥΛΑΚΤΟΥ ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ, ἙΡΜΗΝΕΙΑ ΕἸΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥ̓ΑΓΓΕΛΙΟΝ·

Λουκᾶς ὁ θεῖος, Ἀντιοχεὺς μὲν ἦν. ἰατρὸς δὲ, καὶ τὴν ἔξω σοφίαν πολύς· οὐ μὴν ἀλλὰ καὶ τὴν ἑβραϊκὴν παιδείαν ἐξησκήσατο, τοῖς Ἱεροσολύμοις ἐπιφοιτήσας ὅτε δὴ καὶ ὁ κύριος ἡμῶν ἐδίδασκεν·
λ ὥστε φασί τινες, ἕνα καὶ αὐτὸν γενέσθαι τῶν ἑβδομήκοντα ἀποστόλων· καὶ ἐκ νεκρῶν δὲ ἀναστάντι τῷ χριστῷ συναντῆσαι μετὰ Κλεόπα· ἀναληφθέντος δὲ τοῦ κυρίου, καὶ τοῦ Παύλου πιστεύσαντος, γενέσθαι συνέκδημον καὶ ἀκόλουθον αὐτοῦ. φημὶ δὴ τοῦ Παύλου· καὶ δὴ συγγράψασθαι τὸ εὐαγγέλιον μετὰ πάσης ἀκριβείας, ὡς καὶ αὐτὸ τὸ προοίμιον αὐτοῦ ἐμφαίνει, μετὰ πεντεκαίδεκα δὲ ἔτη τῆς τοῦ χριστοῦ ἀναλήψεως συνεγράψατο· γράφει δὲ πρὸς Θεόφιλον, συγκλητικὸν ὄντα καὶ ἄρχοντα ἴσως· ὁ γὰρ κράτιστος, ἐπὶ τῶν ἀρχόντων καὶ ἡγεμόνων ἐλέγετο. ὡς καὶ ὁ Παῦλος φησὶ πρὸς τὸν ἡγεμόνα Φῆστον, κράτιστε Φῆστε· καὶ πᾶς δὲ ἄνθρωπος θεοφιλὴς, καὶ κράτος κατὰ τῶν παθῶν ἀναδεξάμενος, θεόφιλός ἐστι κράτιστος. ὃς καὶ ἄξιος τῷ ὄντι ἐστὶν ἀκούειν τοῦ εὐαγγελίου· Πρά· κς'·

» Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορη-
» μένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέ-
» ται γενόμενοι τοῦ λόγου, ἔδοξε κἀμοὶ, παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθε-
» ξῆς σοι γράψαι κράτιστε Θεόφιλε. ἵνα ἐπιγνῶς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφά-
λειαν·

Τίνες ἦσαν οἱ πολλοὶ οὗτοι οἱ ἐπιχειρήσαντες; οἱ ψευδαπόστολοι· πολλοὶ γὰρ συνέγραψαν εὐαγγέλια δῆθεν. οἷόν ἐστι τὸ κατ' Αἰγυπτίους. καὶ τὸ ἐπιγραφόμενον τῶν δώδεκα· οἱ τοιοῦτοι οὖν ἐπεχείρησαν μόνον, οὐ μέντοι καὶ ἐτελείωσαν· ἐπεὶ γὰρ χωρὶς θείας χάριτος ἤρξαντο, διὰ τοῦτο οὐ δὲ ἐτελείωσαν· καλῶς οὖν εἶπεν ὁ Λουκᾶς, ὅτι οἱ πολλοὶ ἐπεχείρησαν· οἱ μέντοι ὀλίγοι, οἷον ὁ Ματθαῖος. ὁ Μάρκος, οὐκ ἐπεχείρησαν μόνον, ἀλλὰ καὶ ἐτελείωσαν· τὸ γὰρ τελειοποιὸν πνεῦμα εἶχον· πεπληροφορημένων δὲ εἶπε πραγμάτων, οὐ γὰρ ἁπλῶς κατὰ ψιλὴν παράδοσιν εἰσὶ τὰ τοῦ χριστοῦ. ἀλλ' ἐν ἀληθείᾳ καὶ πίστει βεβαίᾳ καὶ μετὰ πάσης πληροφορίας· πῶς δέ εἰσι πεπληροφορημένα ταῦτα, εἰπὲ ὦ Λουκᾶ· καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου· ἐκ τούτου δῆλον ὅτι οὐκ ἦν ὁ Λουκᾶς ἀπ' ἀρχῆς μαθητὴς, ἀλλ' ὑστερόχρονος· ἄλλοι γὰρ ἦσαν οἱ ἀπ' ἀρχῆς μαθητευθέντες· οἱ περὶ Πέτρον καὶ τοὺς τοῦ Ζεβεδαίου· οἳ καὶ παρέδοσαν αὐτῷ ὅσα οὐκ εἶδεν αὐτὸς, οὔτε αὐτήκοος ἐγένετο· τί δέ ἐστι τὸ ἵνα ἐπιγνῶς τὴν ἀσφάλειαν περὶ ὧν κατηχήθης· διττὰ εἰς τοῦτο ἔχω νοήματα· ἓν μὲν, ὅτι πρότερον μὲν ἀγράφως σε κατήχησα ὦ Θεόφιλε. νῦν δὲ ἐγγράφως σοι παραδιδοὺς τὸ εὐαγγέλιον, ἀσφαλίζομαι τὸν σὸν λογισμὸν, ἵνα μὴ ἐπιλάθηται τῶν ἀγράφως παραδεδομένων· ἕτερον δὲ τοιοῦτον. οἱ ἄνθρωποι ἔθος ἔχομεν πολλάκις ὅταν τις ἀγράφως λέγῃ ἡμῖν, ὑποπτεύειν τοῦτον ὡς τυχὸν ψευδόμενον· ὅταν δὲ καὶ γράψῃ ἃ λέγει, τότε πιστεύομεν ὡς ἐὰν μὴ ἐθάρρει ὅτι ἀληθῆ λέγει, οὐκ ἂν ἔγραφε· τοῦτο οὖν καὶ ὁ εὐαγγελιστὴς φησιν, ὅτι διὰ τοῦτο σοι ἔγραψα τὸ εὐαγγέλιον, ἵνα ἃ ἀγράφως κατηχήθης, ἐν ἀσφαλείᾳ πλείονι κατέχῃς. πιστεύσας μοι μᾶλλον νῦν, ὡς τοσοῦτον θαρροῦντι ἐπὶ τοῖς ἀγράφοις, ὥστε καὶ ἐγγράφως ταῦτα

ἐκθεῖναι· ὅρα δὲ καὶ τὸ ἐπιγνῷς· οὐ γὰρ εἶπε γνῷς ἀλλ' ἐπιγνῷς. τουτέστιν ἐκ δευ-
τέρου πλείονα γνῶσιν λάβῃς· καὶ θάῤῥος καὶ ἀσφάλειαν ὡς οὐ ψεύδομαι·

Κεφάλαιον πρῶτον.

» Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι
» Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ, ἐκ τῶν θυγατέρων Ἀαρών· καὶ τὸ
» ὄνομα αὐτῆς, Ἐλισάβετ. Μέμνηται τῆς βασιλείας Ἡρώδου, ἅμα μὲν, κατὰ τὸν
τύπον τῶν προφητῶν διηγούμενος· ἐκεῖνοι γὰρ οὕτως ἄρχονται. ἐν ταῖς ἡμέραις Ἰωά-
Ὡσηέ α'. χαζ καὶ Ἐζεκίου καὶ τοῦ δεῖνος, ἐγένετο τάδε· ἅμα δὲ ἐπεὶ περὶ τοῦ Χριστοῦ μέλλει εἰ-
πεῖν, διὰ τοῦτο μέμνηται τοῦ Ἡρώδου. ἵνα δείξῃ ὅτι ἀληθῶς ἦλθεν ὁ Χριστὸς ἐπὶ Ἡρώ-
Γεν. μθ'. δου· οὗτος γὰρ ὁ Ἡρώδης, ἐκλιπόντων τῶν παρὰ τῶν Ἰουδαίων ἀρχόντων ὡς ἡ τοῦ Ἰα-
κὼβ προφητεία. ὅθεν δείκνυται ὁ Χριστὸς ἐλθών. καὶ ἕτερον δέ τι κατορθοῖ· ἀληθὲς
δείκνυσι τὸ εὐαγγέλιον διὰ τοῦ λέγειν τὸν χρόνον· ἐξουσίαν γὰρ δίδωσι τοῖς βουλομέ-
νοις ἐξετάζειν. καὶ ἀπὸ τοῦ χρόνου μανθάνειν τὴν τοῦ εὐαγγελίου ἀλήθειαν· ἄρχεται δὲ
ἀπὸ τοῦ Ζαχαρίου καὶ τῆς τοῦ Ἰωάννου γεννήσεως, εἰκότως· ἐπεὶ γὰρ περὶ τῆς τοῦ Χρι-
στοῦ γεννήσεως μέλλει εἰπεῖν, πρόδρομος δὲ τοῦ Χριστοῦ ὁ Ἰωάννης, εἰκότως πρὸ τῆς τοῦ
Χριστοῦ γεννήσεως, τὴν τοῦ Ἰωάννου διηγεῖται. οὐδὲ αὐτὴν, ἄνευ θαύματος οὖσαν· ἐπεὶ
γὰρ παρθένος ἔμελλε τεκεῖν, προῳκονόμησεν ἡ χάρις ἵνα γραῦς τέκῃ οὐ κατὰ νόμους
φύσεως, εἰ καὶ μετὰ ἀνδρός· τί δέ ἐστι τὸ ἐξ ἐφημερίας Ἀβιά· τινὲς μὲν, οὕτω νοοῦσιν. ὅ-
τι δύο ἦσαν ἱερεῖς, ἐκ διαδοχῆς τὴν λειτουργίαν τελοῦντες· ὁ οὕτω λεγόμενος Ἀβιά,
καὶ ὁ Ζαχαρίας· ἐπεὶ οὖν ἱεράτευσεν ἐν τῇ λειτουργίᾳ ὁ Ἀβιά, μετὰ τὴν ἐκείνου ἐφημε-
ρίαν, ἐλειτούργει ὁ Ζαχαρίας· δοκεῖ δὲ οὐχ οὕτως ἔχειν· ὁ γὰρ Σολομῶν, τὸν ναὸν τε-
λέσας, κατέστησε καὶ ἐφημερίας. ὅ ἐστιν ἑβδομάδας· καὶ ἐν μὲν τῇδε τυχὸν τῇ ἑβδο-
μάδι, κατέστησε τοὺς υἱοὺς Κορέ. ἐν δὲ τῇδε, τὸν Ἀσάφ. ἐν δὲ τῇδε, τὸν Ἀβιά. ἐν δὲ ἑτέρᾳ,
ἕτερον· ὅπερ οὖν λέγει ὅτι ἦν Ζαχαρίας ἐξ ἐφημερίας Ἀβιά, οὕτω δεῖ νοεῖν, ὅτι ἀπὸ
τῆς τοῦ Ἀβιά ἑβδομάδος ἦν· οὐχ ὅτι μετὰ τὴν τοῦ Ἀβιά ἑβδομάδα παρελάμβανον
αὐτὸς τὴν λειτουργίαν· εἶπε γὰρ ἂν ὅτι μετὰ τὴν ἐφημερίαν Ἀβιά· νῦν δὲ ἐξ ἐφημε-
ρίας Ἀβιά εἰπὼν, παρίστησιν ὅτι ἐκ τῆς τάξεως τοῦ Ἀβιά καὶ τῆς ἑβδομάδος ἦν· δεῖ-
ξαι δὲ θέλων ὅτι ἑκατέρωθεν νομίμως ἦν ἱερατικοῦ γένους ὁ Ἰωάννης, φησί. καὶ ἡ γυνὴ
αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών· οὐ γὰρ ἐξῆν ἀπ' ἄλλης φυλῆς, ἀγαγέσθαι γυναῖ-
κα. ἀλλ' ἀπὸ τῆς αὐτῆς· Ἐλισάβετ δὲ ἑρμηνεύεται θεοῦ ἀνάπαυσις· Ζαχαρίας δὲ
μνήμη κυρίου.

» Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ θεοῦ. Πολλάκις τινὲς εἰσὶ δίκαιοι. ἀλ-
λ' οὐκ ἐνώπιον τοῦ θεοῦ, ἀλλὰ κατὰ τὸ φαινόμενον. καὶ ἐνώπιον τῶν ἀνθρώπων· ἐκεῖ-
νοι δέ γε ἐνώπιον τοῦ θεοῦ ἦσαν τοιοῦτοι.

» Πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ κυρίου, ἄμεμπτοι.
Ἐντολαὶ μὲν, οἷον τὸ οὐ μοιχεύσεις. οὐ κλέψεις· δικαιώματα δὲ, οἷον τὸ, ὁ κακολογῶν
πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω· δίκαιον γὰρ τοῦτο· γίνωσκε δὲ ὅτι δύναται καὶ
ἡ ἐντολὴ, δικαίωμα ὀνομάζεσθαι, ὡς δίκαιον ποιοῦσα τὸν ἄνθρωπον. μᾶλλον δὲ καὶ
τοῦ θεοῦ οὖσα δικαίωμα· ἐν γὰρ τῇ ἡμέρᾳ ἐκείνῃ ὥσπερ τι δικαίωμα ἔγγραφον ἔ-
χων ὁ θεὸς τὰς ἐντολὰς, κατακρινεῖ ἡμᾶς· εἰ μὴ ἦλθον γάρ φησι, καὶ ἐλάλησα αὐ-
Ἰωάν. ιε'. τοῖς, ἁμαρτίαν οὐκ εἶχον· καὶ πάλιν. ὁ λόγος ὃν ἐλάλησα αὐτοῖς, ἐκεῖνος αὐτοὺς κρινεῖ·
Ἰωάν. ιβ'. τίνος δὲ ἕνεκεν πρόσκειται τῷ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς, τὸ ἄμεμπτοι.
ἄκουε· πολλάκις τινὲς πορεύονται ἐν τῷ νόμῳ τοῦ θεοῦ. ἀλλὰ πάντα ποιοῦσι πρὸς
τὸ θεαθῆναι τοῖς ἀνθρώποις· οὔκουν ἄμεμπτοι οἱ τοιοῦτοι· ὁ δὲ Ζαχαρίας, καὶ ἔπραττε

ταῖς

τὰς ἐντολάς. καὶ ἀμέμπτως ἔπραττε, μὴ διὰ τὸ ἀρέσαι τοῖς ἀνθρώποις ταῦτας τελῶν.

Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα. καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. Αἱ τῶν δικαίων γυναῖκες, καὶ αἱ δίκαιαι, πολλάκις ἄτεκνοι. ἵνα σὺ μάθῃς ὅτι ὁ νόμος οὐκ ἀπαιτεῖ πολυτεκνίαν σωματικὴν, ἀλλὰ πνευματικήν. προβεβηκότες δὲ ἦσαν ἀμφότεροι, καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὸ πνεῦμα. καὶ γὰρ καὶ κατὰ ψυχὴν προέβησαν. τουτέστι προέκοψαν, ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενοι. καὶ ἡμέραν ἔχοντες ἀλλ' οὐ νύκτα τὸν βίον, ὡς ἐν φωτὶ περιπατοῦντες εὐσχημόνως. ψαλ. πγ'

Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν ναὸν τοῦ κυρίου. καὶ πᾶν τὸ πλῆθος ἦν τοῦ λαοῦ προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος.

Ἔναντι θεοῦ οἱ καθαροὶ μόνοι ἱερατεύουσιν. ἀπὸ δὲ τῶν μὴ καθαρῶν, ἀποστρέφει ὁ θεὸς τὸ πρόσωπον αὐτοῦ. τότε δὲ ἔλαχε τοῦ θυμιάσαι. ἢ πάντως κατὰ τὸν καιρὸν τοῦ ἱλασμοῦ. ὅτε μόνος εἰσήρχετο εἰς τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεύς. ἵνα μάθωμεν ὅτι ὥσπερ ὁ ἀρχιερεὺς οὗτος, εἰσελθὼν εἰς τὰ ἅγια τῶν ἁγίων ἔλαβε καρπὸν, οὕτω καὶ ὁ κύριος Ἰησοῦς ὁ μόνος καὶ μέγας τῷ ὄντι ἀρχιερεὺς, εἰσελθὼν εἰς τὰ ἅγια τῶν ἁγίων, τουτέστιν εἰς τὸν οὐρανὸν μετὰ σαρκὸς, ἔλαβε καρπὸν τῆς ἐνσάρκου αὐτοῦ ἐπιδημίας, τὴν ἡμετέραν υἱοθεσίαν καὶ σωτηρίαν.

Ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. Οὐ πᾶσι φαίνεται ὁ ἄγγελος. ἀλλὰ τοῖς καθαροῖς τῇ καρδίᾳ. οἷος ἦν ὁ Ζαχαρίας. θυσιαστήριον δὲ τοῦ θυμιάματος εἶπεν, ἐπεὶ ἦν καὶ ἕτερον θυσιαστήριον, τὸ τῶν ὁλοκαυτωμάτων.

Καὶ ἐταράχθη Ζαχαρίας ἰδών. καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος. μὴ φοβοῦ Ζαχαρία. διότι εἰσηκούσθη ἡ δέησίς σου. καὶ ἡ γυνή σου Ἐλισάβετ, γεννήσει υἱόν σοι. καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις. καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. Ταράττεται μὲν ὁ Ζαχαρίας. ἀσυνήθης γὰρ ὄψις καὶ τοῦ ἁγίου ταράττει. ἀλλ' ὁ ἄγγελος καταστέλλει τὴν ταραχήν. πανταχοῦ γὰρ τοῦτο ἔχε γνώρισμα τῶν τε ἀπὸ τοῦ θεοῦ ὀπτασιῶν, καὶ τῶν δαιμονικῶν. εἰ μὲν γὰρ ἀπὸ ταραχῆς ἄρξεται ὁ λογισμὸς, καὶ τελευταῖον κατασταίη, συντόμως λυομένου τοῦ φόβου, ὄντως θεία ἡ ὀπτασία. εἰ δὲ ἐπιτείνεται μᾶλλον ὁ φόβος καὶ ἡ ταραχὴ, ἡ ὀπτασία δαιμονιώδης. τίνος δὲ ἕνεκεν φησὶν ὁ ἄγγελος, ὅτι, εἰσηκούσθη ἡ δέησίς σου. καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει σοι. μὴ γὰρ ὁ Ζαχαρίας περὶ παιδὸς ηὔχετο, ἀλλὰ περὶ τῶν ἁμαρτιῶν τοῦ λαοῦ; φασὶν οὖν τινὲς ὅτι, ἐπειδὴ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ ηὔχετο, ἔμελλε δὲ τίκτειν υἱὸν βοῶντα. ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, εἰκότως λέγει πρὸς αὐτὸν ὁ ἄγγελος, ὅτι εἰσηκούσθη ἡ δέησίς σου ὑπὲρ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ λαοῦ. υἱὸν γὰρ γεννήσεις δι' οὗ ἄφεσις ἔσται τῶν ἁμαρτιῶν. τινὲς δὲ οὕτω νοοῦσιν, ὅτι, εἰσηκούσθη ἡ δέησίς σου ὦ Ζαχαρία. καὶ συνεχώρησεν ὁ θεὸς τὰς ἁμαρτίας τῷ λαῷ. εἶτα ὥσπερ εἰπόντος αὐτοῦ. πόθεν δῆλον τοῦτο, φησὶν ὁ ἄγγελος. ὅτι τοῦτό σοι δίδωμι σημεῖον, ὅτι γεννήσει σοι υἱὸν ἡ Ἐλισάβετ. ὥστε ἀπὸ τοῦ γεννῆσαι τὴν Ἐλισάβετ, πιστευθήσεταί σοι καὶ τὸ ἀφεθῆναι τὰς ἁμαρτίας τῷ λαῷ.

Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ κυρίου. καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ. καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον τὸν θεὸν αὐτῶν. καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν

Μαλαχ. δ΄. » πνεύματι καὶ δυνάμει Ἠλιοῦ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπει-
» θεῖς ἐν φρονήσει δικαίων. ἑτοιμάσαι κυρίῳ λαὸν κατεσκευασμένον.
Μέγαν ἔσεσθαι τὸν Ἰωάννην ἐπαγγέλλεται ὁ ἄγγελος ἀλλ᾽ ἐνώπιον τοῦ κυρίου· πολ-
λοὶ γὰρ μεγάλοι λέγονται ἐνώπιον τῶν ἀνθρώπων, καὶ οὐ τοῦ θεοῦ· οἷοι οἱ ὑποκριταί·
μέγας δὲ ὁ Ἰωάννης κατὰ ψυχήν· ὥσπερ καὶ μικρὸς κατὰ ψυχὴν πᾶς ὁ σκανδα-
λιζόμενος· οὐδεὶς γὰρ μέγας, σκανδαλίζεται. ἀλλ᾽ οἱ μικροὶ καὶ ὀλιγόψυχοι· φησὶ
Ματ. ιη΄. γοῦν ὁ κύριος. ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν· ὥσπερ δὲ οἱ τεκόντες τὸν Ἰωάννην,
Μαρ. θ΄. δίκαιοι ἦσαν ἐνώπιον τοῦ θεοῦ, οὕτω καὶ ὁ παῖς αὐτῶν μέγας ἐνώπιον τοῦ κυρίου· σί-
κερα δὲ λέγεται, πᾶν τὸ μέθην ἐμποιεῖν δυνάμενον, οὐκ ὂν δὲ ἐξ ἀμπέλου· ἐν τῇ κοι
λίᾳ δὲ τῆς μητρὸς ὢν ἔτι, ἐπλήσθη πνεύματος ἁγίου. ὅτε ἦλθεν ἡ μήτηρ τοῦ κυρίου
πρὸς τὴν Ἐλισάβετ, καὶ ἐσκίρτησε τὸ βρέφος ἀγαλλιώμενον διὰ τὴν τοῦ κυρίου πα-
ρουσίαν. ἐπέστρεψε δὲ καρδίας πατέρων ἐπὶ τέκνα. τουτέστι τῶν Ἑβραίων ἐπὶ τοὺς ἀπο
στόλους· πατέρες μὲν γὰρ ἦσαν οἱ Ἰουδαῖοι· τέκνα δὲ τούτων, οἱ ἀπόστολοι· ἐπέστρεψεν
οὖν τὰς καρδίας τῶν Ἰουδαίων ἐπὶ τοὺς ἀποστόλους, διδάσκων περὶ τοῦ Χριστοῦ καὶ μαρτυ
ρῶν· ὁ δὲ περὶ τοῦ Χριστοῦ μαρτυρῶν, πάντως ἀξιοπίστους ποιεῖ καὶ τοὺς μαθητὰς αὐ-
τοῦ· οὐ πάντας δὲ ἐπέστρεψεν ὁ Ἰωάννης, ἀλλὰ πολλούς· ὁ μέντοι κύριος, πάντας ἐφώ
τισεν· ἐν πνεύματι δὲ Ἠλιοῦ προῆλθε, καθὸ ὥσπερ εἰς Ἠλίαν ἡ χάρις ἐνήργησεν, οὕτω
καὶ εἰς Ἰωάννην· ὅ, τε γὰρ Ἠλίας, τῆς δευτέρας παρουσίας πρόδρομος. καὶ ὁ Ἰωάν-
νης, τῆς πρώτης· καὶ ἐν δυνάμει δὲ Ἠλιοῦ, καθὸ τὸ αὐτὸ δύνανται αἱ παρουσίαι ἀμ
φοτέρων, τοῦ τε Ἠλιοῦ καὶ τοῦ Ἰωάννου· πρὸς γὰρ τὸν Χριστὸν συνάγουσι· καὶ ἄλλως δὲ
ἐν δυνάμει καὶ πνεύματι Ἠλιοῦ ἦλθεν ὁ Ἰωάννης, διότι ἐρημίτης ἦν καὶ αὐτὸς, καὶ
ἀπερίττος καὶ ἐλεγκτικὸς ὡς ἐκεῖνος· ἐπέστρεψε δὲ καὶ τοὺς ἀπειθεῖς Ἰουδαίους, ἐν τῇ
φρονήσει τῶν δικαίων. τουτέστι τῇ τῶν ἀποστόλων διδασκαλίᾳ· φρόνησις γὰρ τῶν ἀπο-
στόλων, ἡ ἐν αὐτοῖς τοῦ πνεύματος χάρις. ὑφ᾽ ἧς ἐκυβερνῶντο· ἡτοίμασε δὲ τῷ κυρίῳ,
τουτέστι τῷ Χριστῷ, λαὸν κατεσκευασμένον. τουτέστιν ἐμπαράσκευον πρὸς τὸ ὑποδέ-
ξασθαι τὸ κήρυγμα· οἷον τί λέγω. ἐπειδὰν ἔλθοι τὶς προφήτης κηρύττων, οὐ πάντες
ἐπίστευον, ἀλλ᾽ οἱ κατεσκευασμένοι. τουτέστιν οἱ προετοιμάσαντες ἑαυτοὺς εἰς τοῦτο· ὥσ-
περ γὰρ ἐὰν ἔλθοι τὶς εἰς οἰκίαν νυκτὸς, οὐ πάντες αὐτὸν ὑποδέχονται. ἀλλ᾽ οἱ ἐγρηγο-
ρότες καὶ προσδοκῶντες αὐτὸν καὶ ἑτοιμασθέντες εἰς τὸ ὑποδέξασθαι, οὕτω καὶ ὁ
Ἰωάννης, ἡτοίμασε τῷ κυρίῳ λαόν. ἀλλ᾽ οὐ τὸν ἀπειθῆ· τὸν δὲ κατεσκευασμένον, ὅ ἐστι
προητοιμασμένον, εἰς ὑποδοχὴν τοῦ Χριστοῦ·
» Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον. κατὰ τί γνώσομαι τοῦτο. ἐγὼ γάρ εἰμι πρε-
» σβύτης καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς· καὶ ἀποκριθεὶς ὁ ἄγγε-
» λος εἶπεν αὐτῷ. ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ θεοῦ. καὶ ἀπεστάλην λα-
» λῆσαι πρὸς σέ. καὶ εὐαγγελίσασθαί σοι ταῦτα· καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμε
» νος λαλῆσαι, ἄχρις ἧς ἡμέρας γένηται ταῦτα. ἀνθ᾽ ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου,
» οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν· Εἰ καὶ δίκαιος ἦν ὁ Ζαχαρίας καὶ
ἅγιος, ὅμως πρὸς τὸ τεράστιον τῆς παιδοποιίας ἀποβλέπων, οὐκ εὐκόλως ἐπίστευε·
διὸ καὶ ὁ ἄγγελος τὸ οἰκεῖον ἀξίωμα λέγει. ὅτι ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς τῷ
θεῷ· οὐ πλάνος δαίμων, ἀλλ᾽ ἄγγελος θεοῦ· ἐπεὶ οὖν ἀπιστεῖς, ἔσο κωφεύων καὶ μὴ δυνά-
μενος λαλῆσαι· εἰκότως δὲ τὰ δύο ταῦτα ἔπαθε, τὸ μήτε ἀκούειν μήτε λαλεῖν· ὡς
μὲν γὰρ παρακούσας, καταδικάζεται κώφευσιν. ὡς δὲ ἀντειπὼν, σιωπήν· πλὴν πρὸ
τύπου καὶ τὰ κατὰ τοὺς Ἰουδαίους· ὥσπερ γὰρ οὗτος γέρων καὶ ἄκαρπος, καὶ ἀπιστή
σας, ἔτεκεν υἱὸν μείζονα τῶν προφητῶν, οὕτω καὶ ἡ τῶν Ἰουδαίων συναγωγὴ καὶ ἱερω-
σύνη

συνὴ παλαιωθεῖσα, καὶ ἄκαρπος καὶ ἄπιστος καὶ παρήκοος γενομένη, ὅμως τὸν λόγον τοῦ θεοῦ, τὸν δεσπότην τῶν προφητῶν, ἔτεκεν ἐν σαρκί· οὗ τεχθέντος, οἱ πρώην παρήκοοι εἰς πίστιν καὶ συμφωνίαν μετῆλθον.

» Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν. καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ
» ναῷ· ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν
» τῷ ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός· καὶ ἐγένετο, ὡς ἐπλήσθησαν αἱ
» ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Ὁρᾷς πῶς οἱ μὲν Ἰου
δαῖοι προσεδόκων καὶ περιέμενον ἕως οὗ ἐξέλθοι ὁ ἀρχιερεύς; ἡμεῖς δὲ οἱ Χριστιανοί, ἅμα τῷ εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν εἰ μὴ ἐξέλθοιμεν, δεινόν τι πάσχειν νομίζομεν. διένευε δὲ τῷ λαῷ ὁ Ζαχαρίας, ἴσως ἐρωτῶντι τὴν αἰτίαν τῆς σιωπῆς· μὴ δυνάμενος γὰρ λαλῆσαι, διὰ νεύματος ἐδήλου ταύτην. ὅρα δὲ ὅτι καὶ ἕως οὗ ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, οὐκ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. ἀλλὰ προσήδρευε τῷ ναῷ· ἀπῴκιστο μὲν γὰρ ἡ ὀρεινὴ ἀληθῶς καὶ ἀπεῖχε τῆς Ἱερουσαλήμ. πλὴν ἀλλ᾽ εἰ καὶ ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις εἶχε τὸν οἶκον ὁ ἱερεύς, οὐκ ἐξῆν αὐτῷ ἔξω τῆς αὐλῆς τοῦ ναοῦ ἀπελθεῖν κατὰ τὸν καιρὸν τῆς ἐφημερίας αὐτοῦ· ἡμεῖς δὲ φεῦ πῶς καταφρονοῦμεν τῶν θείων ὑπηρεσιῶν. τὸ δὲ μὴ δύνασθαι μὲν λαλεῖν τὸν Ζαχαρίαν, διανεύειν δὲ τῷ λαῷ, τὴν τῶν Ἰουδαίων ἄλογον πολιτείαν δηλοῖ· ἀποκτείναντες γὰρ τὸν λόγον, οὐ δύνανται λόγον ἀποδοῦναι περὶ ὧν πράττουσιν ἢ λέγουσιν, ἀλλὰ κἂν προφητικόν τι αὐτοὺς ἐρωτᾷς, ἐπιστομίζονται. καὶ οὐ δύνανταί σοι λόγον καὶ ἀπόκρισιν ἀποδοῦναι.

» Μετὰ δὲ ταύτας τὰς ἡμέρας, συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ· καὶ περιέκρυ-
» βεν ἑαυτὴν μῆνας πέντε, λέγουσα. ὅτι, οὕτω μοι πεποίηκεν ὁ κύριος ἐν ἡμέραις αἷς
» ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Σώφρων οὖσα ἡ Ἐλισάβετ, ᾐδεῖτο·
καὶ διὰ τοῦτο περιέκρυπτεν ἑαυτὴν, διὰ τὸ ἐν γήρᾳ συλλαβεῖν. ἐπὶ μῆνας δὲ πέντε περιέκρυπτεν ἑαυτὴν, ἕως οὗ καὶ ἡ Μαρία συλλάβοι· ἀφ᾽ οὗ δὲ καὶ ἐκείνη συνέλαβε, καὶ ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, οὐκ ἔτι ἔκρυπτεν ἑαυτήν. ἀλλὰ καὶ ἐπαρρησιάζετο λοιπὸν, ὡς τοιούτου παιδὸς μήτηρ, καὶ πρὶν ἢ γεννηθῆναι προφητικῆς ἀξίας τετιμημένου.

» Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ θεοῦ εἰς πόλιν τῆς
» Γαλιλαίας, ᾗ ὄνομα Ναζαρὲτ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰω-
» σὴφ, ἐξ οἴκου Δαβίδ. καὶ τὸ ὄνομα τῆς παρθένου, Μαριάμ· καὶ εἰσελθὼν ὁ ἄγγελος
» πρὸς αὐτὴν, εἶπε. χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν·
» ἡ δὲ ἰδοῦσα, διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ. καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπα-
» σμὸς οὗτος· καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ. μὴ φοβοῦ Μαριάμ. εὗρες γὰρ χάριν παρὰ
» τῷ θεῷ. Μῆνα ἕκτον λέγει τὸν ἀπὸ τῆς συλλήψεως Ἰωάννου· λέγει δὲ μεμνηστεῦθαι
τὴν παρθένον ἀνδρὶ ἐξ οἴκου Δαβίδ, ἵνα δείξῃ ὅτι καὶ αὐτὴ ἐκ τοῦ γένους τοῦ Δαβὶδ κατήγετο· ἐκ γὰρ τοῦ αὐτοῦ γένους καὶ τῆς αὐτῆς σειρᾶς εἶναι ἀμφότερα τὰ μέρη, νόμος ἦν· ἐπειδὴ δὲ τῇ Εὔᾳ ὁ κύριος εἶπεν, ἐν λύπαις τέξῃ τέκνα, λύει τὴν λύπην ταύτην ἡ χαρὰ, ἣν ὁ ἄγγελος προσφέρει τῇ παρθένῳ λέγων, χαῖρε κεχαριτωμένη· ἐπεὶ δὲ κεκατήρατο ἡ Εὔα, εὐλογημένη αὕτη ἀκούει· διελογίζετο δὲ περὶ τοῦ ἀσπασμοῦ ποταπὸς εἴη οὗτος. μὴ ἄρα ἄτοπός τις καὶ πορνικὸς, ὡς ἐξ ἀνδρὸς πρὸς κόρην, ἢ θεῖος· ἐπειδὴ καὶ θεοῦ μνήμη σύνεστι τῷ ἀσπασμῷ, τὸ, ὁ κύριος μετὰ σοῦ· πρῶτον δὲ κατασέλλει τὴν καρδίαν αὐτῆς ἀπὸ τοῦ φόβου· ὡς ἂν ἐν ἀταραξίᾳ γενομένη, δέξηται τὴν θείαν ἀπόκρισιν· οὐ γὰρ ἐνεδέχετο ταραττομένην αὐτὴν, ἀκριβῶς ἀκούειν τὰ συμβησόμενα. ὅπερ δὲ ἄνω εἶπε, κεχαριτωμένη, ὥσπερ ἑρμηνεύων φησίν. εὗρες γὰρ χάριν ἐνώπιον



τοῦ θεοῦ· τοῦτο γάρ ἐστι τὸ κεχαριτῶσθαι, τὸ εὑρεῖν χάριν παρὰ τῷ θεῷ τουτέστιν ἀρέσαι θεῷ· ἀλλὰ τοῦτο μὲν κοινόν· πολλαὶ γὰρ καὶ ἄλλαι, εὗρον χάριν παρὰ τῷ θεῷ. τὸ δὲ ἐπιφερόμενον, οὐκ ἔτι·

» Καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρί. καὶ τέξῃ υἱόν. καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· οὗ
» τος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον
» Δαβὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας· καὶ τῆς
» βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος· Ἰδοὺ συλλήψῃ· τοῦτο τὸ ἐξαίσιον. οὐ οὐδεμία ἄλλη κατηξιώθη· ἐν γαστρὶ δὲ εἶπεν, ἵνα δείξῃ τὸν κύριον ἐξ αὐτῆς τῆς νηδύος τῆς παρθένου σαρκωθέντα οὐσιωδῶς· δικαίως δὲ ἐκλήθη Ἰησοῦς, ὁ ἐπὶ σωτηρίᾳ τοῦ ἡμετέρου γένους ἐλθών· τὸ γὰρ ὄνομα τοῦτο, εἰς τὴν ἑλλάδα γλῶσσαν μεταβαλλόμενον, θεοῦ λέγεται σωτηρία· ἰησοῦς ὤν, σωτὴρ ἑρμηνεύεται. ὅτι καὶ ἰαὼ, ἡ σωτηρία λέγεται· ἔσται δέ φησι μέγας. καὶ υἱὸς ὑψίστου κληθήσεται· μέγας μὲν ἦν καὶ ὁ Ἰωάννης. ἀλλ᾽ οὐκ ἔτι καὶ υἱὸς ὑψίστου· ὁ δέγε σωτὴρ, μέγας μὲν, καθὸ ἐδίδασκεν. υἱὸς δὲ ὑψίστου, διά τε τοῦτο
Ματ· ζ· αὐτὸ (ἐδίδασκε γὰρ ὡς ἐξουσίαν ἔχων) καὶ διὰ τὴν τῶν θαυμάτων παραδοξοποιίαν·
Μαρ· α· καλεῖται δὲ υἱὸς ὑψίστου ὁ φαινόμενος ἄνθρωπος· ἐπεὶ γὰρ μία ἦν ὑπόστασις, τῷ ὄντι υἱὸς ὑψίστου ἦν ὁ ἄνθρωπος ὁ υἱὸς τῆς παρθένου· ἦν μὲν γὰρ καὶ πρὸ τῶν αἰώνων υἱὸς ὑψίστου ὁ λόγος, ἀλλ᾽ οὐκ ἐκαλεῖτο οὐδὲ ἐγνωρίζετο· ἐπεὶ δὲ ἐσαρκώθη καὶ ἐφανερώθη ἐν σαρκὶ, τότε δὴ καὶ ἐκλήθη υἱὸς ὑψίστου, ὁ φαινόμενος καὶ τὰ θαύματα ποιῶν· θρόνον δὲ Δαβὶδ ἀκούων, μὴ αἰσθητὴν βασιλείαν νόμιζε, ἀλλὰ θείαν· ἣν ἐβασίλευσεν ἐπὶ πάντα τὰ ἔθνη διὰ τοῦ θείου κηρύγματος· οἶκος γὰρ Ἰακὼβ, καὶ οἱ ἐξ Ἑβραίων πιστεύσαντες· ναὶ μὴν καὶ οἱ ἀπὸ τῶν ἄλλων ἐθνῶν· οὗτοι γὰρ κυρίως, Ἰακὼβ καὶ Ἰσραήλ·
ταλ· ἰδιογρ· πῶς δὲ λέγεται καθίσαι ἐπὶ τὸν θρόνον Δαβὶδ, ἄκουε· ὁ Δαβὶδ, μικρὸς ἐν τοῖς ἀδελφοῖς αὐτοῦ· καὶ ὁ κύριος ἐξουθενημένος, καὶ διαβεβλημένος ὡς φάγος καὶ οἰνοπότης
Ματ· ια· καὶ τέκτονος υἱός· καὶ παρὰ τοῖς ἀδελφοῖς αὐτοῦ, τοῖς υἱοῖς Ἰωσὴφ, ἀτιμαζόμενος· οὐ
Ματ· ιγ· δὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ φησὶν ἐπίστευον εἰς αὐτόν· ἐκεῖνος, ὑπὸ Σαοὺλ ἐδιώκετο· καὶ
Μαρ· ς. ὁ κύριος, θαύματα ποιῶν διεβάλλετο, καὶ ἐλιθάζετο· ἐκεῖνος, διὰ πραότητος ἐνίκησε, καὶ ἐβασίλευσε· καὶ ὁ κύριος, διὰ πραότητα σταυρὸν καταδεξάμενος, ἐβασίλευ-
Ἰωάν· ζ·
σεν· ὁρᾷς πῶς λέγεται καθίσαι ἐπὶ τὸν θρόνον Δαβίδ; ὡς γὰρ ὁ Δαβὶδ τὴν αἰσθητὴν βασιλείαν ἔλαβεν, οὕτω καὶ ὁ κύριος τὴν νοητήν. ἧς οὐκ ἔσται τέλος· οὐκ ἔσται γὰρ τέλος τῆς βασιλείας τοῦ χριστοῦ. τουτέστι τῆς θεογνωσίας καὶ τοῦ χριστιανισμοῦ· καὶ διωκόμενοι γὰρ, λάμπομεν χάριτι χριστοῦ·

» Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον. πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω· καὶ
» ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐτῇ. πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ. καὶ δύναμις
» ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς θεοῦ·

Οὐχ ὡς ἀπιστήσασα ἡ παρθένος, εἶπε τὸ, πῶς ἔσται μοι τοῦτο, ἀλλ᾽ ὡς σοφὴ καὶ συνετὴ, ἐπιζητοῦσα μαθεῖν τὸν τρόπον τοῦ πράγματος· οὐδὲ γὰρ γέγονε τι τοιοῦτον πρότερον· οὐδὲ μετὰ ταῦτα γενήσεται· διὸ καὶ συγγινώσκει αὐτῇ ὁ ἄγγελος. καὶ οὐ κατακρίνει ὡς τὸν Ζαχαρίαν· ἀλλὰ μᾶλλον ἑρμηνεύει τὸν τρόπον· ὁ μὲν γὰρ Ζαχαρίας, εἰκότως καταδικάζεται. εἶχε γὰρ πολλὰ παραδείγματα. ὅτι πολλαὶ καὶ πολλαὶ στεῖραι ἔτεκον· ἡ δὲ παρθένος, οὐδὲν εἶχε παράδειγμα· πνεῦμα οὖν φησιν ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, γόνιμον παρασκευάζον τὴν μήτραν σου, καὶ δημιουργοῦν τὴν σάρκα τῷ ὁμοουσίῳ λόγῳ· δύναμις δὲ ὑψίστου, ὁ υἱὸς τοῦ θεοῦ· χριστὸς γὰρ θεοῦ δύναμις, ἐπισκιάσει σοι. τουτέστιν ἐπισκεπάσει σε. πάντοθεν σε περικυκλώσει· ὡς γὰρ ὄρνις ἐπισκιάζει τὰ νοσσία ἑαυτῆς ὅλα ταῖς πτέρυξιν αὐτῆς περιλαμβάνουσα, οὕτω καὶ ἡ τοῦ θεοῦ δύ-

ναμις, ὅλην περιείληφε τὴν παρθένον· καὶ τοῦτο δεῖ τὸ ἐπισκιάσαι· ἄλλος δέ τις τυ-
χὸν ἐρεῖ, ὅτι ὥσπερ ὁ ζωγράφος πρῶτον σκιάζει, εἶτα τέλειον χρωματουργεῖ, οὕτω καὶ
ὁ κύριος, αὐτὸς ἑαυτῷ τὴν σάρκα δημιουργῶν, καὶ τὴν εἰκόνα τοῦ ἀνθρώπου διαπλάτ-
των, πρῶτον ἐσκίασε ταύτην ἐν τῇ μήτρᾳ τῆς παρθένου. ἐκ τῶν αἱμάτων τῆς ἀει-
παρθένου σάρκα συμπήξας, εἶτα κατ' ὀλίγον μορφώσας αὐτήν. ἀλλὰ τοῦτο ἀμφίβο-
λον· οἱ μὲν γὰρ λέγουσιν ὅτι ἅμα τῷ τὸν κύριον ἐπισκιάσαι τῇ μήτρᾳ τῆς παρθένου,
εὐθὺς τέλειον ἦν τὸ βρέφος. οἱ δὲ, οὐ παραδέχονται τοῦτο· ἄκουε γὰρ τί φησί. διὸ καὶ τὸ
γεννώμενον ἅγιον. τουτέστι, τὸ κατὰ μέρος ἐν τῇ μήτρᾳ σου αὐξανόμενον. καὶ οὐκ εὐθὺς
τέλειον ὑπάρξαν· ἐμφράττεται δὲ καὶ ἐντεῦθεν τὸ στόμα τοῦ Νεστορίου· ἐκεῖνος γὰρ εἶ-
πεν ὅτι οὐχ ὁ υἱὸς τοῦ θεοῦ ἐν τῇ μήτρᾳ τῆς παρθένου οἰκήσας ἐσαρκώθη, ἀλλ' ἄνθρω-
πος ψιλὸς ἐκ τῆς Μαρίας γεννηθεὶς, ὕστερον ἔσχε τὸν θεὸν παρεπόμενον αὐτῷ· ἀκουέ-
τω οὖν ὅτι τὸ γεννώμενον ἐν τῇ μήτρᾳ, ἐκεῖνο ἦν υἱὸς θεοῦ· ἀλλ' οὐκ ἄλλο μὲν ἐκυοφο-
ρεῖτο ἐν τῇ μήτρᾳ, ἄλλος δὲ ὁ υἱὸς τοῦ θεοῦ· ἀλλὰ εἷς καὶ ὁ αὐτὸς ἦν, ὁ τῆς παρθένου
τε καὶ τοῦ θεοῦ υἱός· ὅρα δὲ πῶς τὴν ἁγίαν τριάδα ἐξέφηνε. πνεῦμα ἅγιον. δύνα-
μιν, τὸν υἱόν. ὕψιστον, τὸν πατέρα ὀνομάσας·

» Καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ
» οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ. ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ θεῷ πᾶν
» ῥῆμα· εἶπε δὲ Μαριάμ. ἰδοὺ ἡ δούλη κυρίου. γένοιτό μοι κατὰ τὸ ῥῆμά σου· καὶ ἀπῆλ-
» θεν ἀπ' αὐτῆς ὁ ἄγγελος· Ἀπορήσειεν ἄν τις πῶς ἦν συγγενὴς τῆς παρθένου ἡ
Ἐλισάβετ, εἴγε ἡ μὲν παρθένος ἐκ τῆς Ἰούδα φυλῆς ἦν. ἡ δὲ Ἐλισάβετ, ἐκ τῶν θυ-
γατέρων Ἀαρών· ὁ γὰρ νόμος ἐκέλευεν ἀπὸ τῆς αὐτῆς φυλῆς τοὺς γάμους γίνεσθαι·
ὥστε καὶ αἱ συγγένειαι, ἐν τοῖς ἀπὸ τῆς αὐτῆς φυλῆς οὖσιν εὑρίσκονται· ἔστι μὲν οὖν
εἰπεῖν καὶ ὅτι ἀπὸ τῆς αἰχμαλωσίας συνεχέθησαν τὰ γένη· τὸ δὲ κρεῖττον, τοῦτο· Ἀα-
ρὼν γυναῖκα ἠγάγετο Ἐλισάβετ, θυγατέρα οὖσαν τοῦ Ἀμιναδάβ. ὃς ἦν ἐκ τῆς Ἰούδα
φυλῆς· ὁρᾷς ὅτι ἄνωθεν καὶ ἀπὸ Ἀαρὼν, συγγενὴς ἦν ἡ θεοτόκος τῆς Ἐλισάβετ; ἐπεὶ
γὰρ ἡ τοῦ Ἀαρὼν γυνὴ, ἐκ τῆς Ἰούδα κατήγετο φυλῆς, ἀφ' ἧς ἦν καὶ ἡ θεοτόκος, ἡ δὲ
Ἐλισάβετ ἐκ τῶν θυγατέρων Ἀαρὼν, εἰκότως συγγενὴς τῆς θεοτόκου ἡ Ἐλισάβετ· ἡ
γὰρ προμήτωρ αὐτῆς, τουτέστιν ἡ τοῦ Ἀαρὼν γυνὴ, ἐκ τῆς Ἰούδα φυλῆς ἦν· σκόπει
δὲ καὶ τὸ τῆς συγγενείας παρακολούθημα· Ἐλισάβετ, ἡ τοῦ Ἀαρὼν γυνή· Ἐλισάβετ,
καὶ ἡ τοῦ Ζαχαρίου, ὡς ἐξ ἐκείνης καταγομένη· ἀλλ' ἴδωμεν τί φησιν ἡ παρθένος· ἰδοὺ
ἡ δούλη κυρίου. γένοιτό μοι κατὰ τὸ ῥῆμά σου· πίναξ εἰμὶ ζωγραφικός· ὃ βούλεται ὁ
γραφεὺς, γραφέτω· ὃ θέλει, ποιείτω ὁ κύριος· ὥστε καὶ ὃ εἶπε πρότερον, πῶς ἔσται
μοι τοῦτο, οὐκ ἀπιστίας ἦν. ἀλλ' ἐπιθυμίας τοῦ μαθεῖν τὸν τρόπον· εἰ γὰρ ἠπίστει, οὐκ ἂν
εἶπεν ἰδοὺ ἡ δούλη κυρίου. γένοιτό μοι κατὰ τὸ ῥῆμά σου· μάνθανε δὲ ὅτι Γαβριὴλ
μὲν ἑρμηνεύεται, ἄνθρωπος θεός· Μαριὰμ δὲ, κυρία· Ναζαρὲτ δὲ, ἁγιασμός· εἰκότως
οὖν ὅταν ἔμελλε γενέσθαι ὁ θεὸς ἄνθρωπος, ἀποστέλλεται ὁ Γαβριήλ. ὃς ἑρμηνεύεται ἄν-
θρωπος θεός· ἀλλὰ καὶ ἐν ἁγίῳ τόπῳ γίνεται ὁ ἀσπασμός. τουτέστιν ἐν Ναζαρέτ·
ὅπου γὰρ θεὸς, οὐδὲν ἄναγνον·

» Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπου-
» δῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλι-
» σάβετ· καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε
» τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνε-
» φώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· εὐλογημένη σὺ ἐν γυναιξί. καὶ εὐλογημένος ὁ καρ-
» πὸς τῆς κοιλίας σου· Ἡ παρθένος ἀκούσασα παρὰ τοῦ ἀγγέλου ὅτι συνέλαβεν ἡ

Ἐλισάβετ, ἔδραμε πρὸς ἐκείνην. ἅμα μὲν χαίρουσα ἐπὶ τῷ ἀγαθῷ τῆς συγγενοῦς.
ἅμα δὲ καὶ ὡς συνετωτάτη, πληροφορηθῆναι θέλουσα τελέως, εἰ ἀληθῆ εἶπεν ὁ φα
νεὶς αὐτῇ. ἵνα ἐκ τούτου, καὶ περὶ τοῦ οἰκείου μὴ ἀμφιβάλλῃ. ἀσφαλὴς γὰρ οὖσα,
ἐφοβεῖτο μήπως πλανηθῇ. καὶ οὐχ ὡς ἀπιστοῦσα, ἀλλ' ὡς ἀκριβέστερον μαθεῖν βου
λομένη τὸ πρᾶγμα. ἐν τῇ ὀρεινῇ οὖν ᾤκει ὁ Ζαχαρίας. καὶ διὰ τοῦτο ἔδραμεν ἐκεῖ. ὁ
δὲ Ἰωάννης, ἐξαίρετόν τι χάρισμα παρὰ τοὺς λοιποὺς ἀνθρώπους λαβὼν, σκιρτᾷ ἐν
τῇ κοιλίᾳ τῆς μητρός. ὅθεν καὶ μείζων τῶν προφητῶν. οἱ μὲν γὰρ, μετὰ τὸ γεννη-
θῆναι προεφήτευσαν. ὁ δὲ, ἔτι ἐν τῇ κοιλίᾳ τῆς μητρὸς ὢν, ἠξιώθη τοῦ τοιούτου
χαρίσματος. ὅρα γὰρ ἠσπάσατο ἡ παρθένος τὴν Ἐλισάβετ. τουτέστι, προσηγόρευσεν.
ἡ φωνὴ οὖν τῆς παρθένου, τοῦ ἐν αὐτῇ σαρκουμένου θεοῦ φωνὴ ἦν. καὶ διὰ τοῦτο, καὶ τὸν
πρόδρομον ἐν τῇ μήτρᾳ ἐχαρίτωσε. καὶ ἐποίησε προφητεῦσαι. ὅσα γὰρ εἶπεν ἡ Ἐλι
σάβετ προφητικῶς πρὸς τὴν Μαρίαν, οὐ τῆς Ἐλισάβετ ἦσαν ῥήματα, ἀλλὰ τοῦ
βρέφους. τὸ στόμα δὲ μόνον τῆς Ἐλισάβετ ὑπούργει. ὥσπερ καὶ τὸ στόμα τῆς Μα-
ρίας, ὑπούργησε τῷ ἐν τῇ μήτρᾳ αὐτῆς ὄντι υἱῷ τοῦ θεοῦ. σκιρτήσαντος γὰρ τοῦ βρέ-
φους ἐν τῇ γαστρὶ, τότε ἐπλήσθη πνεύματος ἡ Ἐλισάβετ. εἰ μὴ γὰρ τὸ βρέφος ἐ-
σκίρτησεν, οὐκ ἂν προεφήτευσεν αὕτη. ὥσπερ οὖν φασὶ τοὺς προφήτας πρότερον ἐξι-
σταμένους καὶ ἐνθουσιῶντας, εἶτα προφητεύειν, οὕτω τάχα καὶ ὁ Ἰωάννης, πρότερον
ἐσκίρτησεν, οἷον ἐνθουσιῶν, εἶτα διὰ τοῦ στόματος τῆς μητρὸς προεφήτευσε. τί δὲ προε
φήτευσεν; εὐλογημένη σὺ ἐν γυναιξίν. εἶτα ἐπειδὴ πολλαὶ γυναῖκες ἅγιαι, βεβή-
Γεν. κε´. λοις ἔτεκον ὡς ἡ Ῥεβέκκα τὸν Ἠσαῦ, φησὶν ὅτι, ἀλλὰ καὶ ὁ καρπὸς τῆς κοιλίας σου
εὐλογημένος. καὶ ἄλλως δὲ νοηθήσεται. εὐλογημένη σὺ ἐν γυναιξίν. εἶτα ὥσπερ
ἐρωτήσαντός τινος, διατί, λέγει τὴν αἰτίαν. εὐλογημένος γὰρ ὁ καρπὸς τῆς κοι-
λίας σου. τουτέστι, θεὸς γὰρ ὁ καρπὸς τῆς κοιλίας σου. εὐλογημένος γὰρ μόνος ὁ θεός.
Ψαλ. ριζ´. ὡς καὶ ὁ Δαβὶδ λέγει. εὐλογημένος ὁ ἐρχόμενος. εἴωθε γὰρ ἡ γραφὴ, τὸν καὶ σύν-
Ψαλ. νθ´. ρζ´. δεσμον ἀντὶ τοῦ γὰρ παραλαμβάνειν. ὡς τὸ, δὸς ἡμῖν βοήθειαν, καὶ ματαία σωτη
Ἠσα. ξδ´. ρία ἀνθρώπου. ἀντὶ τοῦ, ματαία γὰρ σωτηρία ἀνθρώπου. καὶ πάλιν, σὺ ὠργίσθης
καὶ ἡμεῖς ἡμάρτομεν. ἀντὶ τοῦ, ἡμεῖς γὰρ ἡμάρτομεν. καρπὸν δὲ τῆς κοιλίας εἶπε
τῆς θεοτόκου, τὸν κύριον. διότι ἄνευ ἀνδρὸς ἡ κύησις. οἱ μὲν γὰρ ἄλλοι παῖδες, τῶν
πατέρων εἰσὶ καρποί. ὁ δὲ Χριστὸς, μόνης τῆς κοιλίας τῆς θεοτόκου, καρπός. μόνη
γὰρ αὐτὸν ἐκυοφόρησεν.

» Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρός με. ἰδοὺ γὰρ ὡς ἐγένε
» το ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν
» τῇ κοιλίᾳ μου. καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐ
» τῇ παρὰ κυρίου. Ὥσπερ ὕστερον ἐλθόντα τὸν Χριστὸν εἰς τὸ βαπτισθῆναι, ὁ Ἰωάννης
ἐκώλυε δι' εὐλάβειαν, λέγων. οὐκ εἰμὶ ἄξιος, οὕτω καὶ νῦν διὰ τῆς μητρὸς αὐτοῦ
φθέγγεται. πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρός με. πρὶν ἢ τέκῃ
τὸν κύριον, μητέρα τὴν κυοφοροῦσαν ὀνομάζων. ἐπὶ μὲν γὰρ τῶν ἄλλων, πρὶν ἢ τέ
κωσιν, οὐ χρὴ μητέρας ὀνομάζειν διὰ τὸν φόβον τῆς ἀμβλώσεως. τουτέστι τῆς ἀποβο
λῆς. ἐπὶ δὲ τῆς παρθένου, οὐδὲν τοιοῦτον ὑπωπτεύετο. διὰ τοῦτο καὶ πρὸ τοῦ τεκεῖν,
μήτηρ καὶ μακαρία ὑπάρχεις σὺ ὦ Μαρία, ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λε-
λαλημένοις σοι παρὰ κυρίου.

» Καὶ εἶπε Μαριάμ. μεγαλύνει ἡ ψυχή μου τὸν κύριον. καὶ ἠγαλλίασε τὸ πνεῦμα
» μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐ
» τοῦ. ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. ὅτι ἐποίησέ μοι μεγαλεῖα

» ὁ δυνατός· καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς
» φοβουμένοις αὐτόν. Ἡ παρθένος τελεώτερον πληροφορηθεῖσα, δοξολογεῖ τὸν θεόν.
ἐκείνῳ συγγράφουσα τὸ θαῦμα, οὐχ ἑαυτῇ· ἐκεῖνος γάρ φησιν ἐπέβλεψεν ἐπ' ἐμὲ
τὴν ταπεινήν, οὐκ ἐγὼ πρὸς ἐκεῖνον ἀνέβλεψα· ἐκεῖνός με ἠλέησεν, οὐκ ἐγὼ αὐτὸν
ἐζήτησα· καὶ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· οὐ μόνη Ἐλισάβετ. ἀλλὰ
καὶ αἱ τῶν πιστευσάντων γενεαί· διατί δὲ μακαριοῦσιν. ἆρα διὰ τὴν ἐμὴν ἀρετήν;
οὐχί· ἀλλ' ὅτι ἐποίησε μετ' ἐμοῦ μεγαλεῖα ὁ θεός· δυνατὸν δὲ ὠνόμασεν αὐτόν, ἵνα
μηδεὶς ἀπιστήσῃ τοῖς λεγομένοις, λογισάμενος ὅτι οὐκ ἀδύνατός ἐστι ταῦτα ποιῆσαι
ὁ κύριος· ἅγιον δὲ εἶπε τὸ ὄνομα αὐτοῦ, δηλοῦσα ὅτι οὐδὲν μολύνεται, ἐν γυναικὸς
μήτρᾳ συλλαμβανόμενος ὁ καθαρώτατος. ἀλλ' ἅγιος μένει· οὐκ εἰς ἐμὲ δὲ μόνην τὸ
ἔλεος αὐτοῦ, ἀλλὰ καὶ εἰς πάντας τοὺς φοβουμένους αὐτόν· οἱ γὰρ μὴ φοβούμενοι αὐ
τόν, ἀλλὰ πάντῃ ἀνάξιοι, οὐκ ἐλεοῦνται· εἰς γενεὰν δὲ καὶ γενεὰν εἰποῦσα εἶναι τὸ
ἔλεος τοῦ θεοῦ, τοῦτο ἐδήλωσεν. ὅτι καὶ ἐν τῇ νῦν γενεᾷ ἐλεοῦνται. τουτέστι τῷ νῦν αἰῶ
νι. καὶ ἐν τῇ μελλούσῃ γενεᾷ. τῷ ἀπεράντῳ λέγω αἰῶνι· κἀνταῦθα γὰρ ἑκατοντα-
πλασίονα λαμβάνουσι, κἀκεῖσε πολλῷ πλείονα. πρόσχες δὲ ὅτι πρότερον μεγαλύνει
ἡ ψυχὴ τὸν κύριον, εἶτα τὸ πνεῦμα ἀγαλλιᾶται· οἷον τί λέγω. μεγαλύνει τὸν θεόν, ὁ
ἀξίως τοῦ θεοῦ πορευόμενος· χριστιανὸς ἐκλήθης, μὴ σμικρύνῃς τὸ ἀξίωμα τοῦ χριστοῦ
καὶ τὸ ὄνομα, διὰ τοῦ πράττειν τὰ μὴ δέοντα. ἀλλὰ μεγάλυνον αὐτό, μεγάλας καὶ
οὐρανίους πράξεις τελῶν· καὶ τότε καὶ τὸ πνεῦμά σου ἀγαλλιάσεται· τουτέστι, τὸ
πνευματικὸν χάρισμα ὃ ἔλαβες διὰ τῶν μεγάλων πράξεων, σκιρτήσει καὶ προκό-
ψει. ἀλλ' οὐ συσταλήσεται καὶ οἷον εἰπεῖν νεκρωθήσεται· γίνωσκε δὲ ὅτι ἡ γραφή, ἁ-
πλῶς μὲν τὸ αὐτὸ δοκεῖ λέγειν πνεῦμα καὶ ψυχήν. κυρίως δὲ διαστέλλει· ψυχικὸν
μὲν γὰρ ἄνθρωπον λέγει τὸν κατὰ φύσιν ζῶντα, καὶ ἀνθρωπίνοις λογισμοῖς διοικούμε
νον. οἷον ὅταν πεινᾷ, ἐσθίοντα τὸν ἐχθρὸν μισοῦντα. καὶ ἁπλῶς, μηδὲν ὑπὲρ φύσιν
φανταζόμενον· πνευματικὸν δέ, τὸν ὑπεραναβάντα τοὺς τῆς φύσεως νόμους. καὶ μη-
δὲν ἀνθρώπινον φρονοῦντα· καὶ αὕτη ἐστὶν ἡ διαφορὰ ψυχῆς καὶ πνεύματος ἐν τῇ
γραφῇ· τάχα δὲ ἰατροί, ἄλλως ταῦτα διακρίνουσιν. ἀλλ' ἡμῖν τῆς γραφῆς μέλει·
ἰατροὶ δὲ φθειρέσθωσαν.

» Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας
» αὐτῶν· καθεῖλε δυνάστας ἀπὸ θρόνων. καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγα
» θῶν. καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς· ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆ
» ναι ἐλέους (καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν τῷ Ἀβραὰμ καὶ τῷ σπέρμα-
» τι αὐτοῦ) εἰς τὸν αἰῶνα· ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ, ὡσεὶ μῆνας τρεῖς. καὶ ὑπέστρεψεν
» εἰς τὸν οἶκον αὐτῆς. Βραχίων τοῦ πατρός, ὁ υἱός· ἐποίησεν οὖν κράτος καὶ δύναμιν
κατὰ τῆς φύσεως ὁ θεὸς καὶ πατήρ, ἐν τῷ υἱῷ αὐτοῦ· σαρκωθέντος γὰρ τοῦ υἱοῦ, ἐνική
θη ἡ φύσις· παρθένου τεκούσης. θεοῦ ἀνθρωπισθέντος. ἀνθρώπου θεωθέντος· καὶ διεσκόρ
πισεν ὁ κύριος τοὺς ὑπερηφάνους δαίμονας, ἐκβαλὼν αὐτοὺς ἀπὸ τῶν ἀνθρωπίνων ψυ
χῶν· καὶ οὓς μέν, εἰς τὴν ἄβυσσον πέμψας. οὓς δέ, εἰς τοὺς χοίρους· δύναται δὲ καὶ
περὶ τῶν Ἰουδαίων νοηθῆναι. οὓς διεσκόρπισεν εἰς πᾶσαν χώραν· καὶ νῦν διεσπαρμέ-
νοι εἰσί· καθεῖλε δὲ καὶ δυνάστας ἀπὸ θρόνων, τοὺς δαίμονας λέγω. οἳ κατεδυνάστευον
τῶν ἀνθρώπων. καὶ θρόνους εἶχον τὰς ἀνθρωπίνας ψυχάς, ἐν αὐταῖς ἀναπαυόμενοι·
ἀλλὰ καὶ οἱ φαρισαῖοι, δυνάσται. ὡς τὰ τῶν πτωχῶν καθαρπάζοντες. θρόνους δὲ ἔχον-
τες, ὡς διδάσκαλοι. ἀφ' ὧν καθῃρέθησαν· καὶ ὕψωσε ταπεινούς, τοὺς ἀνθρώπους. οὓς ἐ-
ταπείνωσεν ἡ ἁμαρτία. ἢ τὰ ἔθνη· ὕψωσε γὰρ ταῦτα, υἱοθεσίαν χαρισάμενος αὐτοῖς.

ὥσπερ οὖν καὶ πεινῶντας τοὺς αὐτοὺς, τοὺς ἐξ ἐθνῶν λέγω (οὐ γὰρ εἶχον γραφὰς ἢ νόμον ἢ ἐντολὰς) ἐνέπλησεν ἀγαθῶν τῶν γραφικῶν· τοὺς δὲ πλουτοῦντας Ἰουδαίους, ἔν τε νόμῳ καὶ ἐντολαῖς, ἐξαπέστειλεν ἔξω τῆς Ἱερουσαλὴμ, καὶ τῆς ἄνω καὶ τῆς κάτω, κενοὺς παντὸς ἀγαθοῦ· οὐδὲν γὰρ ἔχουσι νῦν οἱ Ἰουδαῖοι, κἂν δοκῶσιν ἔχειν· ἀντελάβετο δὲ Ἰσραὴλ παιδὸς αὐτοῦ, ἢ περὶ τῶν αἰσθητῶν Ἰσραηλιτῶν λέγει. πολλαὶ γὰρ καὶ ἐκ τούτων ἐπίστευσαν μυριάδες. καὶ ἐπληρώθη ἡ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελία. εἰπόν-
Γεν· κγ΄· τος πρὸς αὐτὸν τοῦ θεοῦ, ὅτι, ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ἢ καὶ περὶ τοῦ νοητοῦ Ἰσραὴλ λέγει· πᾶς γὰρ ὁ ὁρῶν θεὸν, Ἰσραὴλ λέγεται· οὕτω γὰρ ἑρμηνευόμενον τὸ ὄνομα δηλοῖ, ὁρῶν θεόν· ἀντελάβετο οὖν τούτων τῶν ὁρώντων θεὸν, εἰς τὴν οὐράνιον κληρονομίαν ἀναγαγών· ἔμεινε δὲ Μαριὰμ σὺν τῇ Ἐλισάβετ ὡσεὶ μῆνας τρεῖς. εἶτα ὑπέστρεψεν· ἐπειδὴ γὰρ ἔμελλε τεκεῖν ἡ Ἐλισάβετ, ὑποχωρεῖ ἡ παρθένος διὰ τὸ πλῆθος τῶν μελλόντων συνδραμεῖν εἰς τὸν τόκον· ἀπρεπὲς γὰρ τῇ παρθένῳ, ἐν τοῖς τοιούτοις ἀναστρέφεσθαι· ὅτι δὲ μελλούσης τεκεῖν τῆς Ἐλισάβετ ὑπέστρεψεν ἡ παρθένος, δῆλον ἐντεῦθεν· τῷ μηνὶ τῷ ἕκτῳ τῆς συλλήψεως τοῦ προδρόμου, ἦλθεν ὁ ἄγγελος πρὸς Μαριάμ· ἔμεινε δὲ ἡ Μαριὰμ μετὰ τῆς Ἐλισάβετ, ὡσεὶ μῆνας τρεῖς· ἰδοὺ σχεδὸν ἐννέα·

» Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· καὶ ἐγέννησεν υἱόν· καὶ ἤκου-
» σαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐ-
» τῆς, καὶ συνέχαιρον αὐτῇ· καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παι-
» δίον· καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν· καὶ ἀποκριθεῖ-
» σα ἡ μήτηρ αὐτοῦ, εἶπεν. οὐχὶ, ἀλλὰ κληθήσεται Ἰωάννης· καὶ εἶπον πρὸς αὐτὴν, ὅτι,
» οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται ἐπὶ τῷ ὀνόματι τούτῳ· ἐνένευον δὲ τῷ πα-
» τρὶ αὐτοῦ τὸ, τί ἂν θέλοι καλεῖσθαι αὐτόν· καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων.
» Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ· καὶ ἐθαύμασαν πάντες· ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ πα-
» ραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ. καὶ ἐλάλει εὐλογῶν τὸν θεόν·

Ἔμεινε μὲν ἡ παρθένος ὡσεὶ μῆνας τρεῖς μετὰ τῆς Ἐλισάβετ, ἴσως ἐπὶ τῷ παραδόξῳ ἐκπληττομένη· καὶ δεομένη παραμυθίας τινὸς, ἣν ἔμελλεν ἔχειν ἀπὸ τοῦ συνεῖναι τῇ Ἐλισάβετ· ἐπεὶ δὲ ἐπλησίαζεν ὁ τόκος, ὑπεχώρησεν· ὡς δὲ ἐπλήσθη τῇ Ἐλισάβετ ὁ χρόνος τοῦ τεκεῖν. παρατηρητέον ὅτι ἐπὶ τῶν ἁμαρτωλῶν οὐ λέγεται τὸ, ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν. ἀλλὰ μόνον ὅπου δίκαιός ἐστιν ὁ τικτόμενος, ἐκεῖ λέγεται· ὡς ἔοικε γὰρ ἀτέλεστοι καὶ ἀπλήρωτοι τῶν ἁμαρτωλῶν οἱ τόκοι· κρεῖττον δὲ αὐτοῖς εἰ οὐκ ἐγεννήθησαν· διὰ τί δὲ μετὰ τὴν περιτομὴν ἐτίθετο τὸ ὄνομα; διότι πρότερον δεῖ τὴν ἐκ θεοῦ σφραγῖδα δέξασθαι, καὶ τότε τὸ ἀνθρώπινον ὄνομα· ἄλλως τε, ἡ περιτομὴ τοῦτο σημαίνει. ἀποβολὴν τῶν σαρκικῶν· οὐδεὶς οὖν εἰ μὴ πρότερον ἀπορρίψῃ καὶ περικόψῃ τὰ σαρκικὰ, ἄξιός ἐστιν ὀνομασθῆναι στρατιώτης θεοῦ. καὶ ἐν τῇ βίβλῳ τῶν οὐρανῶν ἀπογραφῆναι αὐτοῦ τὸ ὄνομα· ἡ δὲ Ἐλισάβετ, ὡς προφῆτις ἐλάλησε περὶ τοῦ ὀνόματος, ὅτι Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ· τάχα δὲ καὶ ὁ Ἰωάννης αὐτὸς ἑαυτῷ περιέθηκε τὸ ὄνομα· τῇ γὰρ μητρὶ, αὐτὸς μετέδωκε τοῦ προφητικοῦ χαρίσματος· διὰ νεύματος δὲ μὴ δυνάμενος ὁ Ζαχαρίας δηλῶσαι τὸ ὄνομα, αἰτεῖ πινακίδιον· καὶ ἐπειδὴ ὡμοφώνησε τῇ γυναικὶ περὶ τὸ ὄνομα τοῦ παιδὸς, ἐκπλήττονται πάντες· οὐ γὰρ ἦν ἐν τῇ συγγενείᾳ αὐτῶν, ἵνα τις ἔχῃ εἰπεῖν ὅτι πρὸ καιροῦ τοῦτο ἐμελέτων ἀμφότεροι· Ἰωάννης δὲ ἑρμηνεύεται θεοῦ χάρις· διὸ καὶ ὁ πατὴρ αὐτοῦ εὐθέως χαριτωθεὶς, προφητεύει περί τε τοῦ Χριστοῦ πρότερον, καὶ περὶ τοῦ παιδὸς ὕστερον·

» Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ

τῆς

» τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα· καὶ ἔθεντο πάντες οἱ ἀκούσαν-
» τες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες. τί ἄρα τὸ παιδίον τοῦτο ἔσται· καὶ χεὶρ κυρίου ἦν με
» τ' αὐτοῦ. καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου. καὶ προεφήτευσε,
» λέγων. εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν
» τῷ λαῷ αὐτοῦ· καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ·
» καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ· σωτηρίαν
» ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς· ποιῆσαι ἔλεος μετὰ τῶν
» πατέρων ἡμῶν. καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. ὅρκου οὗ ὤμοσε πρὸς Ἀβραὰμ
» τὸν πατέρα ἡμῶν. τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λα
» τρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς
» ἡμῶν· Ἐγένετο ἐπὶ πάντας φόβος, διὰ τὸ παράδοξον τῆς τοῦ Ζαχαρίου ἐκλαλή-
σεως· ὥσπερ γὰρ ἐπὶ τῇ σιωπῇ ἐξέστη ὁ λαός, οὕτω καὶ ἐπὶ τῷ λαλῆσαι αὐτόν· ὡς δὲ
διὰ τῶν δύο τούτων θαυμάτων, συλλογίσωνται πάντες περὶ τοῦ τεχθέντος, ὡς ὑπὲρ
τοὺς πολλούς ἐστι· ταῦτα δὲ πάντα ἐγίνοντο οἰκονομικῶς. ἵνα ὁ περὶ τοῦ Χριστοῦ μέλλων
μαρτυρήσειν, ἀξιόπιστος εἴη. καὶ πάντες πληροφορηθῶσιν ἐξ αὐτῆς τῆς τοῦ Ἰωάννου
γεννήσεως, ὅτι ὑπὲρ τοὺς πολλούς ἐστιν· εὐλογεῖ δὲ ὁ Ζαχαρίας τὸν θεόν, ὡς ἐπισκεψά-
μενον τοὺς Ἰσραηλίτας· τῷ ὄντι γὰρ εἰς τὰ πρόβατα ἦλθε τὰ ἀπολωλότα οἴκου Ἰσρα-
ήλ· ἀλλ' οὐκ ἠθέλησαν οἱ πλείονες αὐτῶν δέξασθαι τὴν χάριν· διὸ καὶ τοὺς ἀληθῶς
Ἰσραηλίτας ἐπεσκέψατο. οἵτινες εἰσὶν οἱ πιστεύσαντες· ἤγειρε δὲ κέρας σωτηρίας. τοῦ-
τέστι δύναμιν καὶ βασιλείαν σωτήριον· τὸ γὰρ κέρας ἢ δύναμιν σημαίνει (τὰ γὰρ
κερασφόρα ζῶα ἐν τοῖς κέρασι τὴν δύναμιν ἔχουσιν) ἢ βασιλείαν· τῷ γὰρ κέρατι ἐχρίον
το οἱ βασιλεῖς· ὁ οὖν Χριστός, καὶ δύναμίς ἐστι καὶ βασιλεία τοῦ πατρός· ἐξηγέρθη οὖν ἡ- Βασι. α'.
μῖν κέρας σωτηρίας, ὁ Χριστός· ἐδόκει γὰρ ὑπνώττειν, παραβλεπόμενος τὰς πολλὰς Κεφ. κζ'.
ἁμαρτίας. καὶ μακροθυμῶν ἐπὶ τῇ εἰδωλομανίᾳ· ἀλλ' ἐν τοῖς ἐσχάτοις σαρκωθεὶς
καιροῖς, ἐξηγέρθη καὶ συνέτριψε πάντας τοὺς μισοῦντας ἡμᾶς δαίμονας. μηκέτι ἀ-
νεχόμενος ὑπνοῦν καὶ μακροθυμεῖν· ἐν τῷ οἴκῳ δὲ Δαβὶδ ἐξηγέρθη. τουτέστιν ἐν Βη-
θλεέμ. ἐκεῖ γὰρ ἐγεννήθη· ἡ δὲ Βηθλεέμ, πάντως πόλις τοῦ Δαβίδ· καθὼς ἐλάλησαν
οἱ προφῆται· πάντες γὰρ περὶ τῆς σαρκώσεως εἶπον· ὁ δὲ Μιχαίας, καὶ τοῦ οἴκου τοῦ
Δαβίδ, τῆς Βηθλεὲμ λέγω, μέμνηται, λέγων. καὶ σὺ Βηθλεέμ, οὐδαμῶς ἐλαχίστη εἶ. Μιχ. ε'.
ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος· ἐποίησε δὲ ἔλεος, οὐ μετὰ τῶν ζώντων μόνον, ἀλλὰ Ματ. β'.
καὶ μετὰ τῶν πατέρων ἡμῶν· τοῦ γὰρ Χριστοῦ ἡ χάρις, καὶ εἰς ἐκείνους ἀνέδραμε, τοὺς
ἤδη τεθνηκότας· οἷον τί λέγω. δέδωκεν ἡμῖν τοῖς ζῶσιν ἐλπίδα ἀναστάσεως, καὶ ἀνα-
στησόμεθα· ἀλλ' οὐ μόνοι ἡμεῖς ταύτης τῆς χάριτος ἀξιωθησόμεθα. ἀλλὰ καὶ οἱ προτε
τελευτηκότες· πᾶσα γὰρ ἡ φύσις ἔτυχε τοῦ ἀγαθοῦ· καὶ ἄλλως δὲ ἐποίησεν ἔλεος με
τὰ τῶν πατέρων, καθὸ τὰς ἐλπίδας ἐπλήρωσεν· ὅσα γὰρ προσεδόκων, ἐπὶ τῷ Χριστῷ
εἶδον τελειωθέντα· ἀλλὰ δὴ καὶ τὰ τέκνα αὐτῶν, οἱ πατέρες βλέποντες ἀπολαύον-
τα τῶν τοσούτων ἀγαθῶν, χαίρουσι. καὶ κοινωνοὶ τῆς εὐφροσύνης γινόμενοι, εἰς ἑαυτοὺς
τὸ ἔλεος ἀναδέχονται· ποίας δὲ διαθήκης ἐμνήσθη. καὶ ποίου ὅρκου πρὸς τὸν Ἀβρα-
ὰμ γενομένου; ἢ πάντως, τοῦ, εὐλογῶν εὐλογήσω σε. καὶ πληθύνων πληθυνῶ σε· ἐπλη Γεν. κβ'.
θύνθη γὰρ ὄντως νῦν ὁ Ἀβραάμ, πάντων ἐθνῶν υἱοθετηθέντων αὐτῷ διὰ τῆς πίστεως·
ὡς γὰρ ἐκεῖνος ἐπίστευσεν, οὕτω καὶ ταῦτα διὰ τῆς πίστεως ᾠκειώθησαν· ἐρρύσατο δὲ
ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἀφόβως· πολλάκις γάρ τινες ῥύονται μέν, ἀλλὰ μετὰ φόβου καὶ
ἀγώνων πολλῶν καὶ πολέμου· ὁ δὲ Χριστός, μηδὲν ἡμῶν κοπιασάντων, ὑπὲρ ἡμῶν
ἐσταυρώθη· καὶ ἐρρύσατο λοιπὸν ἡμᾶς ἀφόβως. τουτέστιν ἀκινδύνως· διατί δὲ ἐρρύσα

το ἡμᾶς, ἆρα διὰ τὸ τρυφᾶν; οὐχί· ἀλλὰ τοῦ λατρεύειν αὐτῷ, οὐχ ἅπαξ, οὐδὲ δύο ἡμέρας, ἀλλὰ πάσας τὰς ἡμέρας· λατρεύειν δὲ, οὐ διὰ σωματικῆς μόνον προσκυνήσεως καὶ ὑπουργίας, ἀλλ' ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· ἔστι δὲ ὁσιότης μὲν, τὸ πρὸς θεὸν δίκαιον. δικαιοσύνη δὲ, τὸ πρὸς ἀνθρώπους· οἷον, ἐάν τις ἀπέχηται μὲν τῶν ἱερῶν, καὶ οὐκ ἐπιχειρῇ τοῖς θείοις ἀθέως, ἀλλὰ πᾶσαν τιμὴν ἀποσώζῃ πρὸς τὰ τίμια, ὁ τοιοῦτος, ὅσιος· ὁμοίως καὶ ὁ τοὺς γονεῖς σεβόμενος, ὅσιος· καὶ οὗτοι γὰρ θεοὶ κατοικίδιοι· εἰ δέ τις οὐ πλεονέκτης εἴη, οὐχ ἅρπαξ. οὐ κλέπτης. οὐ μοιχὸς. οὐ πόρνος. ὁ τοιοῦτος, δίκαιος· οὕτως οὖν δεῖ λατρεύειν θεῷ, ἐν ὁσιότητι, τῇ πρὸς τὰ θεῖα λέγω εὐλαβείᾳ. καὶ δικαιοσύνῃ, τῇ πρὸς τὰ ἀνθρώπινα ἐπαινετῇ πολιτείᾳ· λατρεύειν δὲ ἐνώπιον αὐτοῦ, μὴ ἐνώπιον τῶν ἀνθρώπων, ὡς οἱ ἀνθρωπάρεσκοι καὶ ὑποκριταί·

» Καὶ σὺ παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου κυ-
» ρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁ-
» μαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν. ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατο-
» λὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις. τοῦ κατευθῦναι
» τοὺς πόδας ἡμῶν, εἰς ὁδὸν εἰρήνης. τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι.
» καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ·

Ξένον φαίνεται τὸ λέγειν τὸν Ζαχαρίαν πρὸς τὸ παιδίον, ἃ λέγει· πάντως γὰρ ἀναισθήτῳ ὄντι τῷ παιδίῳ, οὐκ ἔδει ὁμιλεῖν· ἔστιν οὖν εἰπεῖν ὅτι, ὥσπερ ξένην ἔσχε τὴν γέννησιν τὸ παιδίον, σκιρτῆσαν καὶ προφητεῦσαν ἐν τῇ μήτρᾳ ἐπὶ τῇ παρουσίᾳ τῆς Μαριὰμ, οὕτως οὐδὲν ἄπιστον καὶ τῶν λεγομένων παρὰ τοῦ πατρὸς αἰσθάνεσθαι μετὰ τὴν γέννησιν· προπορεύσῃ δέ φησιν, ἔμπροσθεν τοῦ κυρίου, καταλιπὼν ἐμὲ ὅσον οὔπω· ἐγίνωσκε γὰρ Ζαχαρίας ὅτι στερηθήσεται μετ' ὀλίγον αὐτοῦ, εἰς τὰς ἐρήμους μέλλοντος φυγεῖν· διατί δὲ προπορεύσῃ. διὰ τὸ ἑτοιμάσαι τὰς ὁδοὺς τοῦ κυρίου· ὁδοὶ δὲ, αἱ ψυχαὶ ἐφ' ὧν ὁδεύει ὁ κύριος· τὰς οὖν ψυχὰς ἡτοίμασεν ὁ πρόδρομος, ἵνα ἐν αὐταῖς περιπατήσῃ ὁ Χριστός· πῶς δὲ ταύτας ἡτοίμασε; δοὺς γνῶσιν σωτηρίας τῷ λαῷ· σωτηρία μὲν οὖν ὁ κύριος Ἰησοῦς· ἐδόθη δὲ ἡ γνῶσις τῆς σωτηρίας, τουτέστι τοῦ Χριστοῦ, τῷ λαῷ παρὰ τοῦ Ἰωάννου· ὁ γὰρ Ἰωάννης ἐμαρτύρει περὶ τοῦ Ἰησοῦ· ἡ δὲ γνῶσις, ἐν ἀφέσει ἁμαρτιῶν ἐγένετο· οὐκ ἂν γὰρ ἄλλως ἐπεγνώσθη θεὸς εἶναι ὁ κύριος, εἰ μὴ ἀφῆκε τὰς ἁμαρτίας τῷ λαῷ· θεοῦ γὰρ τὸ ἀφιέναι ἁμαρτίας· ἀφῆκε δὲ ἡμῖν ταύτας, διὰ σπλάγχνα ἐλέους· οὐ γὰρ διὰ τὰ ἔργα ἡμῶν· οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθόν· ἀλλ' ἐκεῖνος ἐπεσκέψατο ἡμᾶς ἐξ ὕψους, ἀνατολὴ λεγόμενος· ἥλιος γὰρ δικαιοσύνης ἐστί. καὶ ἐπέφανεν ἡμῖν, τοῖς ἐν σκότει, τουτέστι τῇ ἀγνωσίᾳ. καὶ τῇ σκιᾷ τοῦ θανάτου, τουτέστι τῇ ἁμαρτίᾳ, καθημένοις· δύο γὰρ κακὰ ἐκράτει τῆς τῶν ἀνθρώπων φύσεως· ἀγνωσία θεοῦ, ἣν εἶχον οἱ ἕλληνες. καὶ ἁμαρτία, ἣν εἶχον οἱ Ἑβραῖοι, εἰ καὶ θεὸν ἐπεγίνωσκον· ἐπέφανεν οὖν τῇ ἀνθρωπίνῃ φύσει, ἵνα καὶ τοὺς ἐν τῷ σκότει, τουτέστι τῇ ἀγνωσίᾳ καὶ ἀθεΐᾳ, καὶ τοὺς ἐν τῇ σκιᾷ τοῦ θανάτου, τῇ ἁμαρτίᾳ, καθημένους φωτίσῃ· ἡ δὲ ἁμαρτία, σκιὰ τοῦ θανάτου ἐστὶ, κατὰ τοῦτον ὡς οἶμαι τὸν λόγον· ὥσπερ ἡ σκιὰ τῷ σώματι ἕπεται, οὕτω καὶ ἔνθα θάνατος, ἐκεῖ καὶ ἁμαρτία· οἷον, ἀπέθανεν ὁ Ἀδὰμ, ἐκεῖ λοιπὸν καὶ ἁμαρτία· καὶ οὐδὲ τὸν τοῦ Χριστοῦ θάνατον εὑρήσεις χωρὶς ἁμαρτίας· ἀπέθανε γὰρ ὁ Χριστὸς, ἀλλὰ διὰ τὰς ἐμὰς ἁμαρτίας· ὥστε εἰκότως λέγεται σκιὰ εἶναι τοῦ θανάτου, ἡ ἁμαρτία, ὡς ἀεὶ παρεπομένη αὐτῷ· καὶ ἄλλα δέ ἐστιν εἰπεῖν εἰς τοῦτο· καὶ οἶμαι, εἴπομεν ἐξηγούμενοι τὸν Ματθαῖον· ἆρα δὲ ἀρκεῖ τὸ ἐπιφᾶναι μόνον τοῖς ἐσκοτισμένοις; οὐχί· ἀλλὰ δεῖ καὶ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. τουτέστι τῆς δικαιοσύνης· ὥσπερ γὰρ ἡ ἁμαρτία, ἔχθρα εἰς θεὸν, οὕτως ἡ δικαιοσύνη,

καιοσύνη, εἰρήνη. ὁδὸς τῆς εἰρήνης, ἡ τῆς δικαιοσύνης πολιτεία. πρὸς ἣν κατεύθυνε τοὺς πόδας τῶν ἡμετέρων ψυχῶν, ὁ ἐξ ὕψους ἀνατείλας χριστός· ηὔξανε δὲ τὸ παιδίον κατὰ τὴν σωματικὴν ἡλικίαν. καὶ ἐκραταιοῦτο πνεύματι· τῷ γὰρ σώματι συναυξανόμενον ἦν καὶ τὸ πνευματικὸν χάρισμα· καὶ ὅσῳ μᾶλλον ηὔξετο ὁ παῖς, τοσούτῳ καὶ αἱ τοῦ πνεύματος ἐνέργειαι διεδείκνυντο. τοῦ ὀργάνου δυναμένου χωρεῖν ταύτας· διατί δὲ ἦν ἐν ταῖς ἐρήμοις. ἵνα ἔξω τῆς τῶν πολλῶν κακίας διάγῃ. καὶ ἵνα μηδένα αἰδούμενος, ἐλέγχῃ μετὰ παρρησίας· εἰ γὰρ ἦν ἐν τῷ κόσμῳ, τυχὸν ἂν ἐμαλάχθη φιλίαις καὶ συνηθείαις ἀνθρώπων· ἅμα δὲ καὶ ἵνα ἀξιόπιστος εἴη μέλλων περὶ χριστοῦ κηρύττειν. οἷα δὴ ἐρημίτης καὶ ὑπὲρ τοὺς πολλοὺς ὤν· ἐκρύπτετο δὲ ἐν ταῖς ἐρήμοις ἄχρις οὗ εὐδόκησεν ὁ θεὸς ἀναδεῖξαι αὐτὸν τῷ Ἰσραηλίτῃ λαῷ·

Κεφάλαιον Δεύτερον·

» Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ καίσαρος Αὐγούστου
» ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην· αὕτη ἡ ἀπογραφὴ, πρώτη ἐγένετο ἡγεμονεύον
» τος τῆς Συρίας Κυρηνίου· καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι ἕκαστος εἰς τὴν ἰδίαν
» πόλιν· ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲτ, εἰς τὴν Ἰου-
» δαίαν. εἰς πόλιν Δαβὶδ ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς
» Δαβὶδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ· ἐ-
» γένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ ἔτεκε τὸν
» υἱὸν αὐτῆς τὸν πρωτότοκον· καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φά
» τνῃ. διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι·

Διὰ τοῦτο γίνεται ἀπογραφὴ, ἵνα πάντων ἐλθόντων εἰς τὰς οἰκείας πατρίδας, ἀνέλθῃ καὶ ἡ παρθένος εἰς τὴν Βηθλεὲμ, ὡς οἰκείαν πατρίδα· καὶ οὕτω τεχθῇ ὁ κύριος ἐν Βηθλεὲμ. καὶ πληρωθῇ ἡ προφητεία· ἔδει δὲ, θεοῦ ἑνὸς μέλλοντος παῦσαι τὴν πολυθεΐαν, καὶ ἕνα βασιλέα κρατῆσαι, τὸν καίσαρα· ἀπογράφεται δὲ καὶ ὁ χριστὸς μετὰ πάντων· ἔδει γὰρ καὶ τὸν κύριον, τῇ οἰκουμένῃ συναπογραφῆναι, ἵνα ἁγιάσῃ τοὺς ἀπογραφομένους. καὶ καταργήσῃ τὴν δουλείαν· ὥσπερ γὰρ περιτμηθεὶς, κατήργησε τὴν περιτομὴν, οὕτως ἀπογραφεὶς ὡς δοῦλος, κατήργησε τὴν δουλείαν τῆς φύσεως ἡμῶν· οὐκέτι γὰρ δοῦλοι εἰσὶν ἀνθρώπων, οἱ τῷ κυρίῳ δουλεύοντες. ὡς ὁ ἀπόστολος λέγει. μὴ γίνεσθε δοῦλοι ἀνθρώπων· ἀλλ᾽ εἰ καὶ τῷ σώματι δοῦλοι, ἐλεύθεροι τῷ πνεύματι μὴ τῇ ἀσεβείᾳ τῶν δεσποτῶν συναπαγόμενοι· πρωτότοκον δὲ υἱὸν ὠνόμασε τῆς παρθένου τὸν κύριον, καί τοι μὴ δευτέρου τινὸς τεχθέντος, εἰκότως· πρωτότοκος γὰρ λέγεται, ὁ πρῶτος τεχθεὶς κἂν μὴ δεύτερος ἐπιτεχθῇ· ἐν φάτνῃ δὲ κατακλίνεται, τάχα μὲν καὶ εὐτέλειαν ἡμᾶς ἐξ ἀρχῆς παιδεύων. τάχα δὲ καὶ συμβολικῶς δεικνύων ὅτι ἐπεδήμησε τῷ κόσμῳ τούτῳ, τόπῳ ὄντι ἡμῶν τῶν τοῖς ἀλόγοις κτήνεσιν ὁμοιωθέντων· ὥσπερ γὰρ ἡ φάτνη, τῶν ἀλόγων οἰκεῖος τόπος, οὕτω καὶ ὁ κόσμος οὗτος ἡμῶν· ἐστὶν οὖν ἡ φάτνη, ὁ κόσμος· ἡμεῖς, τὰ ἄλογα· ἵνα δὲ ἡμᾶς λυτρώσηται τῆς ἀλογίας, διὰ τοῦτο ἐνταῦθα παρεγένετο·

» Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλα
» κὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν· καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη αὐτοῖς· καὶ
» δόξα κυρίου περιέλαμψεν αὐτούς· καὶ ἐφοβήθησαν φόβον μέγαν· καὶ εἶπεν αὐτοῖς
» ὁ ἄγγελος. μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παν
» τὶ τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι χριστὸς κύριος, ἐν πόλει Δαβίδ· καὶ
» τοῦτο ὑμῖν τὸ σημεῖον. εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν τῇ φάτνῃ· καὶ
» ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου, αἰνούντων τὸν θεὸν καὶ
» λεγόντων. δόξα ἐν ὑψίστοις θεῷ· καὶ ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις εὐδοκία·

Πρὸς Κο· α΄· κεφ· ζ΄·

ποιμένες ἦσαν ἀγραυλοῦντες. τουτέστιν ἀγροτικὸν αὐλοῦντες· ἢ ἐν τῷ ἀγρῷ αὐλιζό-
μενοι καὶ διάγοντες· ἐπιφαίνεται δὲ τούτοις ὁ ἄγγελος, διὰ τὸ ἄπλαστον τοῦ ἤθους καὶ
ἄκακον. ἐπεὶ καὶ τὴν τῶν δικαίων πολιτείαν φαίνονται μιμούμενοι· καὶ γὰρ οἱ παλαιοί,
ποιμένες. Ἰακώβ. οἱ πατριάρχαι. Μωσῆς. Δαβίδ. οὐ γὰρ ἐν Ἱερουσαλὴμ ἐπεφάνη Φα-
ρισαίοις ἢ γραμματεῦσι· πάσης γὰρ πονηρίας δοχεῖα ἐκεῖνοι· οὗτοι δὲ ἄδολοι ὄντες,
θείων θεαμάτων ἠξιώθησαν. δεικνῦντος τοῦ θεοῦ, ὅτι τοὺς ἀγροικοτέρους τῶν ἄλλων,
εὐθὺς ἐξ ἀρχῆς ἐξελέξατο καὶ κήρυκας ἐποίησεν· ἀπελθόντες γὰρ ἐκήρυξαν περὶ πάν
των τούτων· εὐηγγελίσατο δὲ ὁ ἄγγελος χαρὰν μεγάλην ἥτις ἔσται φησὶ παντὶ τῷ
λαῷ. τῷ κυρίως λαῷ τοῦ θεοῦ· οὐ πάντες γὰρ οἱ Ἰουδαῖοι, λαὸς τοῦ θεοῦ. ἀλλὰ καὶ παν-
τὶ τῷ τῶν ἀνθρώπων λαῷ, χαρὰ ἐγένετο ἡ σάρκωσις τοῦ θεοῦ· τί δὲ δηλοῖ ὁ ὕμνος
τῶν ἀγγέλων. ἢ πάντως εὐχαριστίαν τῶν ἄνω ταγμάτων καὶ χαράν, διότι εὐηργε-
τήθημεν οἱ ἐπὶ τῆς γῆς· δόξα γὰρ τῷ θεῷ φασίν. ἐπὶ γῆς γὰρ εἰρήνη νῦν γέγονε· πρώην
μὲν γὰρ ἡ ἀνθρωπίνη φύσις ἔχθραν εἶχε πρὸς θεόν· νυνὶ δὲ τοσοῦτον κατηλλάγη, ὥστε
καὶ προσεπλάκη τῷ θεῷ. καὶ ἡνώθη αὐτῷ σαρκωθέντι· ὁρᾷς οὖν εἰρήνην τοῦ θεοῦ πρὸς τὸν
Λου· κ δ΄· ἄνθρωπον; καὶ ἄλλως δὲ νοηθήσεται· εἰρήνη ἐστὶν αὐτὸς ὁ υἱὸς τοῦ θεοῦ· ἐγὼ γὰρ φησίν, ἡ
Ἰωάν· κ΄· εἰρήνη· αὕτη οὖν ἡ εἰρήνη, ὁ υἱὸς τοῦ θεοῦ, ἐπὶ γῆς γέγονε· καὶ ἐν τοῖς ἀνθρώποις εὐδο-
κία. τουτέστιν ἐπανάπαυσις τοῦ θεοῦ· ἐπανεπαύθη γὰρ ὁ θεὸς νῦν καὶ εὐηρεστήθη ἐν
τοῖς ἀνθρώποις. ὡς πρώην γε, οὐκ ηὐδόκει οὐδὲ ἠρέσκετο ἐν τοῖς ἀνθρώποις·

» Καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν οἱ ἄγγελοι εἰς τὸν οὐρανόν, καὶ οἱ ἄνθρωποι οἱ
» ποιμένες εἶπον πρὸς ἀλλήλους. διέλθωμεν δὴ ἕως Βηθλεέμ. καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο
» τὸ γεγονός, ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν· καὶ ἦλθον σπεύσαντες· καὶ ἀνεῦρον τήν τε
» Μαριὰμ καὶ τὸν Ἰωσήφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ· ἰδόντες δέ, διεγνώρι-
» σαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου· καὶ πάντες
» οἱ ἀκούσαντες, ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς·

Οἱ ποιμένες οὗτοι, σύμβολόν εἰσι τῶν πνευματικῶν ποιμένων, τῶν ἀρχιερέων· δεῖ
οὖν τοὺς ἀρχιερεῖς φυλάσσειν τὴν ποίμνην αὐτῶν καὶ ἀγραυλεῖν. τουτέστιν ᾄδειν πνευ
ματικά τινα, καὶ διδάσκειν τὸν λαόν. καὶ οὕτως ἀξιωθήσονται θείων θεαμάτων καὶ
ἀκουσμάτων· Βηθλεὲμ δὲ ἑρμηνεύεται, οἶκος τοῦ ἄρτου· τίς δὲ ἄλλος ἐστὶν ὁ οἶκος τοῦ
ἄρτου, ἢ ἡ ἐκκλησία. ἐν ᾗ ὁ ἄρτος ἀπόκειται· ἔργον οὖν ἐστὶ τοῖς λογικοῖς ποιμέσιν ἐπι
ζητεῖν οὐράνιον ἄρτον· καὶ μεθ᾽ ὃ ἴδωσι τὸν ἄρτον, ὀφείλουσι καὶ τοῖς ἄλλοις κηρύττειν·
ὥσπερ καὶ οἱ ποιμένες, ἰδόντες τὸ βρέφος, διελάλησαν καὶ τοῖς ἄλλοις·

» Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ
» αὐτῆς· καὶ ὑπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν θεὸν ἐπὶ πᾶσιν
» οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς· Ποῖα ῥήματα συνετήρει ἡ παρ-
θένος· τινὲς μὲν λέγουσιν ὅτι ὅσα εἰρήκει αὐτῇ ὁ ἄγγελος καὶ ὅσα οἱ ποιμένες εἶπον·
ἐπετήρει γὰρ ταῦτα καὶ συνέβαλλεν ἐν τῇ καρδίᾳ αὐτῆς τουτέστι συνέκρινε, καὶ εὕρι
σκεν ἐκ πάντων μίαν σύμφωνον γνώμην, ὅτι θεός ἐστιν ὁ υἱὸς αὐτῆς· ἐμοὶ δὲ δοκεῖ ῥή
ματα ἐνταῦθα τὰ πράγματα λέγεσθαι· ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον· ἡ δὲ Μα-
ριὰμ συνετήρει πάντα τὰ ῥήματα, ἤτοι τὰ πράγματα ταῦτα, ἃ νῦν ἐγὼ λέγω καὶ
ποιῶ εἶναι ῥήματα· τὸ γὰρ πρᾶγμα ὅταν λεχθῇ, γίνεται ῥῆμα· ὑπέστρεψαν δὲ οἱ ποι-
μένες εὐχαριστοῦντες τῷ θεῷ ἐπὶ πᾶσιν· οὐ γὰρ ἦσαν φθονεροί, κατὰ τοὺς Ἰουδαίους·

» Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν αὐτόν, καὶ ἐκλήθη τὸ ὄνομα
» αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ· καὶ
» ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωσέως, ἀνήγαγον

» αὐτὸν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ κυρίῳ. καθὼς γέγραπται ἐν νόμῳ κυρίου, ὅτι Λευ. ιβ'.
» πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κληθήσεται. καὶ τοῦ δοῦναι θυσίαν κατὰ Ἐξό. ιγ'.
» τὸ εἰρημένον ἐν νόμῳ κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. Ἀρι. η'.

Τοῦ νόμου δοὺς ἐντολὰς, οἱ παραβαίνοντες ταύτας ὑπὸ κατάραν ἦσαν. ὁ τοίνυν κύριος περιτέμνεται, ἵνα κἀν τούτῳ πληρώσας τὸν νόμον καὶ μηδὲν ἐλλείψας ὧν ἐκεῖνος ἐντέταλκεν, ἐξέληται ἡμᾶς τῆς κατάρας. ἐντρέπονται δὲ ἐντεῦθεν οἱ λέγοντες ὅτι κατὰ φαντασίαν ἐσαρκώθη. πῶς γὰρ περιετμήθη, εἰ κατὰ φαντασίαν ἐσαρκώθη. ἀνόνητον δὲ καὶ τὸ ἐξετάζειν ποῦ ἐστι τὸ ἀποτμηθὲν ἐκεῖνο μόριον. ἃ γὰρ ἡ γραφὴ ἀπεσιώπησεν, οὐ δεῖ ἐξετάζειν. καὶ ταῦτα, ἐπὶ μηδεμιᾷ ὠφελείᾳ. ἔστι δὲ εἰπεῖν ὅτι τότε μὲν ὅτε ἀπετμήθη, τῆς γῆς ψαῦσαν, ἡγίασε ταύτην. ὥσπερ καὶ τὸ αἷμα καὶ τὸ ὕδωρ, ἃ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἐρρύησαν. οἷς δὲ οἶδε λόγοις, ἐφύλαξε τοῦτο τὸ μόριον ἀβλαβές. καὶ κατὰ τὴν ἀνάστασιν ἀναλαβόμενος τοῦτο, ἠγέρθη. ἵνα καὶ κατὰ τοῦτο ἀνελλιπῶς ἔχων εὑρεθῇ. ἐπεὶ καὶ ἡμεῖς, τέλειον τὸ ἡμέτερον σῶμα ἐν τῇ ἀναστάσει ἀποληψόμεθα. σημείωσαι δὲ ὅτι οὐχ ἅμα τῷ εἰπεῖν τὸν ἄγγελον, ἰδοὺ συλλήψῃ υἱὸν, συνελήφθη ὁ κύριος. ἀλλὰ μετὰ ταῦτα ὅτε ἠθέλησεν. ὅρα γὰρ τί λέγει ἐνταῦθα. τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. καὶ ἀπ' αὐτῆς δὲ τῆς λέξεως, δείκνυται τοῦτο. οὐ γὰρ εἶπεν ἰδοὺ συλλαμβάνεις. ἀλλ' ἰδοὺ συλλήψῃ. ὥστε ἐκ τούτων ἔστι συλλογίσασθαι, ὅτι τῇ ὥρᾳ μὲν ἐκείνῃ συνελήφθη ὁ κύριος, οὐ μὴν αὐτῇ τῇ στιγμῇ καθ' ἣν ὁ ἄγγελος ἔλεγεν. ἀλλὰ τυχὸν, ὅτε συνετέλεσε τοὺς λόγους. ταῦτα δὲ οὐ δογματικῶς λέγομεν. ἐπλήσθησαν δὲ αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωσέως. καλῶς εἶπε κατὰ τὸν νόμον Μωσέως. κατὰ γὰρ τὴν ἀλήθειαν, οὐκ εἶχεν ἀνάγκην ἡ παρθένος περιμένειν τὰς ἡμέρας τοῦ καθαρισμοῦ. αἵτινες ἦσαν τεσσαράκοντα, ἐπὶ ἄρσενι τεχθέντι. εἴρηται γὰρ ἐν τῷ νόμῳ. γυνὴ ἥτις ἐὰν σπερματισθῇ, καὶ τέκῃ ἄρσεν. ἡ δὲ παρθένος, οὐκ ἐσπερματίσθη, ἀλλ' ἐκ πνεύματος ἁγίου ἔτεκεν. ὥστε οὐκ εἶχεν ἀνάγκην. ἀλλὰ πληρῶσαι τὸν νόμον θέλουσα, ἀνῆλθεν εἰς τὸ ἱερόν. διατί δὲ ἐπὶ μὲν ἄρσενι ἑπτὰ ἡμέραι, ἐπὶ δὲ θηλείᾳ διπλαῖ. γυνὴ γάρ φησιν, ἐὰν σπερματισθῇ, καὶ τέκῃ ἄρσεν, ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσται. ἐὰν δὲ θῆλυ, δὶς ἑπτά. ἐπειδὴ ἡ μὲν τεκοῦσα τὸ ἄρσεν, δεύτερον Ἀδὰμ εἰς τὸν κόσμον εἰσήγαγεν. ἡ δὲ τὸ θῆλυ, δευτέραν Εὔαν ἔτεκεν. τὸ σαθρὸν σκεῦος. τὸ ἀσθενὲς ἀγγεῖον. τὸ συντετριμμένον κεράμιον. τὴν βακτηρίαν τῆς ἀπάτης. τὴν χειραγωγὸν τῆς παρακοῆς. τοῦ δὲ νόμου λέγοντος. πᾶν τὸ διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ. εἰς Χριστὸν μόνον κυρίως ἐξέβη τοῦτο. αὐτὸς γὰρ διήνοιξε τὴν μήτραν τῆς παρθένου. ἐπεὶ ταῖς γε ἄλλαις μητράσιν, ὁ ἀνὴρ διανοίγει τὴν μήτραν. ζεῦγος δὲ τρυγόνων προσφέρειν ἐκέλευσεν ὁ νόμος, δεικνύντας ὅτι ἀπὸ σώφρονος συζυγίας ἡ παιδοποιΐα. φασὶ γὰρ τὴν τρυγόνα, σῶφρον εἶναι ζῶον. ὥστε καὶ ἀποβαλοῦσαν τὸν σύζυγον, μὴ δευτερογαμεῖν. εἰ δὲ μὴ εἶχον τρυγόνας, προσέφερον δύο νεοσσοὺς περιστερῶν. ἵνα ἐπὶ πολυτοκίᾳ γένηται ἡ ζωὴ τοῦ παιδὸς ἐκείνου. ἡ γὰρ περιστερὰ πολύτοκον ζῶον.

» Καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ, ᾧ ὄνομα Συμεών. καὶ ὁ ἄνθρωπος οὗτος, δί-
» καιος καὶ εὐλαβής. προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ. καὶ πνεῦμα ἅγιον ἦν
» ἐπ' αὐτόν. καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θά-
» νατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν κυρίου. καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν. καὶ ἐν τῷ
» εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν. τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νό-
» μου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ. καὶ εὐλόγησε τὸν θεόν. καὶ
» εἶπε. νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. ὅτι εἶδον οἱ

» ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν·
» φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ· Οὐκ ἦν ἱερεὺς ὁ Συμεὼν,
ἀλλ᾽ ἄνθρωπος θεοφιλὴς, καὶ προσδεχόμενος ὅτι ἐλεύσεται ὁ Χριστὸς, παραμυθησόμε-
νος τοὺς Ἑβραίους, καὶ ἀπολύσων τῆς δουλείας τῆς ὑπὸ τὴν ἁμαρτίαν· τάχα δὲ καὶ
τῆς ὑπὸ τοὺς Ῥωμαίους καὶ τὸν Ἡρώδην· ὁ γὰρ τῷ Χριστῷ πιστεύσας, ἐλεύθερος τῷ ὄν-
τι ἐστίν. ὑπὸ βασιλέων καὶ πάντων τῶν ἀνθρώπων τιμώμενος· ἴδε τοὺς ἀποστόλους. οὐκ
ἦσαν δοῦλοι τῶν Ῥωμαίων; ἀλλὰ νῦν τιμῶσι καὶ προσκυνοῦσιν αὐτοὺς οἱ Ῥωμαίων βα-
σιλεῖς· ἰδοὺ οὖν τούτοις παράκλησις γέγονεν ὁ Χριστὸς, Ἰσραηλίταις οὖσιν· οὗτος οὖν ὁ Συ-
μεὼν, πνεύματι ἁγίῳ κινούμενος, ἀνῆλθεν εἰς τὸ ἱερὸν ὅτε ἀνήγαγε τὸν κύριον ἡ μήτηρ·
καὶ δεξάμενος αὐτὸν, θεὸν ὁμολογεῖ· τὸ γὰρ εἰπεῖν νῦν ἀπολύεις με δέσποτα, ὁμολο-
γοῦντός ἐστιν, ὅτι κύριος αὐτός ἐστι ζωῆς καὶ θανάτου· ὅρα δὲ πῶς οἱ ἅγιοι, δεσμὸν λο-
γίζονται τὸ σῶμα· διὸ καὶ λέγει. νῦν ἀπολύεις, ὡς ἀπὸ δεσμοῦ· κατὰ τὸ ῥῆμα σου
δὲ εἶπε, διὰ τὸν χρησμὸν ὃν ἔλαβεν, ὅτι οὐ μὴ ἀποθάνῃ ἕως οὗ ἴδῃ τὸν Χριστόν· τὸ δὲ ἐν
εἰρήνῃ, ἀντὶ τοῦ ἐν ἀναπαύσει· ἕως μὲν γὰρ ζῇ ὁ ἄνθρωπος, παράττεται· καθὰ καὶ
ψαλ. λη΄. Δαβὶδ λέγει. ἀποθανὼν δὲ, εἰρηνεύει· καὶ ἄλλως δὲ, τὸ ἐν εἰρήνῃ νοήσεις. τουτέστιν ἐν
τῇ τῆς ἐλπίδος ἀπολήψει· πρὶν μὲν γὰρ ἴδω φησὶ τὸν κύριον, οὐκ εἰρήνευον τοῖς
λογισμοῖς. προσδοκῶν αὐτὸν καὶ ἀεὶ φροντίζων πότε ἐλεύσεται· νῦν δὲ, ἰδὼν αὐ-
τὸν καὶ εἰρηνεύσας καὶ ἀποφροντίσας (ἵν᾽ οὕτως εἴπω) ἀπολύομαι· σωτήριον δὲ εἶ-
πε, τὴν σάρκωσιν τοῦ μονογενοῦς. ἣν ἡτοίμασεν ὁ θεὸς πρὸ πάντων τῶν αἰώνων· κα-
τὰ πρόσωπον δὲ πάντων τῶν λαῶν ταύτην τὴν σωτηρίαν ἡτοίμασεν· ἵνα γὰρ σώσῃ
τὸν κόσμον, καὶ ἵνα πᾶσιν ἐμφανισθῇ ἡ αὐτοῦ σάρκωσις, τούτου ἕνεκεν ἐσαρκώθη· τὸ
δὲ σωτήριον τοῦτο, φῶς ἐστιν εἰς ἀποκάλυψιν ἐθνῶν· τουτέστιν, εἰς φωτισμὸν τῶν ἐσκο-
τισμένων ἐθνῶν. καὶ δόξαν τῶν Ἰσραηλιτῶν· δόξα γὰρ ὁ Χριστὸς τοῦ ἀληθῶς λαοῦ
τοῦ Ἰσραήλ. καθὸ ἐξ αὐτῶν ἀνατέταλκε· καὶ ἐγκαλλωπίζονται τούτῳ οἱ ὄντως εὐ-
γνώμονες· ταῦτα ὁ Συμεὼν· δοκεῖ δέ μοι καὶ τὰ τοῦ Δαβὶδ, ἐπὶ τούτῳ ἁρμόζειν τῷ
ψαλ. ϟ΄. Συμεὼν· μακρότητος ἡμερῶν ἐμπλήσω αὐτὸν καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου·
» Καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ, θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ·
» καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ. ἰδοὺ οὗτος
» κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ· καὶ εἰς σημεῖον ἀντιλεγόμε-
» νον· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία. ὅπως ἂν ἀποκαλυφθῶσιν
» ἐκ πολλῶν καρδιῶν διαλογισμοί· Εὐλόγησε μὲν ἀμφοτέρους ὁ Συμεών· τὸν δὲ νο-
μιζόμενον πατέρα ἀφεὶς, πρὸς τὴν ἀληθῶς μητέρα ἐφθέγγετο· ἰδοὺ φησὶν οὗτος κεῖ-
ται εἰς πτῶσιν· καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ· πτῶσιν μὲν, τῶν μὴ πιστευόντων.
ἀνάστασιν δὲ, τῶν πιστευόντων· ἢ καὶ ἄλλως, εἰς πτῶσιν κεῖται ὁ κύριος, τῶν ἐν ταῖς
ψυχαῖς ἡμῶν κακῶν. εἰς ἀνάστασιν δὲ τῶν ἀγαθῶν· πίπτει πορνεία, ἀνίσταται σωφρο-
σύνη· καὶ ἄλλως δὲ δύναται νοηθῆναι· κεῖται γὰρ ὁ Χριστὸς εἰς πτῶσιν. ἀντὶ τοῦ μέλλει
παθεῖν αὐτὸς, καὶ πεσεῖν εἰς θάνατον· καὶ ἀναστῆναι μέλλουσι πολλοὶ, πεσόντος αὐτοῦ·
ἔσται οὖν ἐν τῷ εἰς πτῶσιν· εἶτα ἄρξαι. καὶ ἀνάστασιν πολλῶν· σημεῖον δὲ, ὁ σταυρός. ὃς
μέχρι τοῦ νῦν ἀντιλέγεται. τουτέστιν οὐ παραδέχεται παρὰ τῶν ἀπίστων· λέγεται δὲ
σημεῖον καὶ ἡ σάρκωσις τοῦ κυρίου· καὶ ξένον σημεῖον· θεὸς γὰρ, ἄνθρωπος γέγονε· καὶ
παρθένος, μήτηρ· τὸ δὲ σημεῖον τοῦτο, ἡ σάρκωσις λέγω τοῦ Χριστοῦ, ἀντιλέγεται· οἱ μὲν
γὰρ, ἐξ οὐρανοῦ τὸ σῶμα φασίν· οἱ δὲ, κατὰ φαντασίαν· οἱ δὲ, ἄλλο τι φλυαροῦσι· καὶ
σοῦ δὲ αὐτῆς, τῆς παρθένου, τὴν ψυχὴν διελεύσεται ῥομφαία· τάχα μὲν καὶ ἡ θλῖ-
ψις ἡ ἐπὶ τῷ πάθει γενομένη· τάχα δὲ, ῥομφαίαν λέγει καὶ τὸν σκανδαλισμὸν ὃν ἐ-
σκανδαλίσθη

σκανδαλίσθη ὁρῶσα τὸν κύριον σταυρούμενον· ἴσως γὰρ ὑπενόει, πῶς ὁ τεχθεὶς ἀσπόρως. ὁ θαύματα ποιήσας. ὁ νεκροὺς ἀναστήσας, ἐσταυρώθη καὶ ἐνεκρώθη καὶ ἐνεπτύσθη. τὸ δὲ ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί, τοῦτο σημαίνει. ὅτι ἀποκαλυφθήσονται καὶ φανερωθήσονται πολλῶν λογισμοὶ σκανδαλιζομένων καὶ ἐλεγχθέντες, εὑρήσουσι ταχεῖαν τὴν ἴασιν· οἷον καὶ σὺ ὦ παρθένε, ἀποκαλυφθήσῃ καὶ φανερωθήσῃ, τί φρονεῖς περὶ τοῦ Χριστοῦ. εἶτα βεβαιωθήσῃ ἐπὶ τῇ εἰς αὐτὸν πίστει· ὁμοίως καὶ Πέτρος ἀπεκαλύφθη ἀρνησάμενος. ἀλλ᾽ ἐδείχθη ἡ ἰσχὺς τοῦ θεοῦ, προσλαβομένου αὐτὸν διὰ τῆς μετανοίας· καὶ ἄλλως δὲ ἀπεκαλύφθησαν ἐκ πολλῶν καρδιῶν διαλογισμοί, φανέντος τοῦ προδότου. φανέντων τῶν ἀγαπώντων αὐτόν· οἷος ἦν Ἰωσὴφ ὁ ἐλθὼν πρὸς Πιλᾶτον· οἷαι αἱ γυναῖκες αἱ τῷ σταυρῷ παραμένουσαι.

» Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν
» ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτά, ἀπὸ τῆς παρθενίας αὐτῆς. καὶ αὕτη
» χήρα ὡς ἐτῶν ὀγδοηκοντατεσσάρων. ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσε-
» σι λατρεύουσα νύκτα καὶ ἡμέραν, καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο
» τῷ κυρίῳ. καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ.
» καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν,
» εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ. τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι,
» πληρούμενον σοφίας. καὶ χάρις θεοῦ ἦν ἐπ᾽ αὐτῷ. Ἐπιμένει ὁ εὐαγγελιστὴς τῇ περὶ τῆς Ἄννης ἀφηγήσει. καὶ τὸν πατέρα καὶ τὴν φυλὴν καταλέγων. ἵνα μάθωμεν ὅτι ἀληθῆ λέγει· μάρτυρας ὡσανεὶ πολλοὺς προσκαλούμενος, τοὺς εἰδότας καὶ τὸν πατέρα καὶ τὴν φυλήν· αὕτη οὖν ἀνθωμολογεῖτο τῷ κυρίῳ. τουτέστιν ηὐχαρίστει. καὶ ἐδίδασκε πάντας περὶ τοῦ κυρίου, ὅτι αὐτὸς εἴη ὁ σωτὴρ καὶ ἡ παράκλησις ἡμῶν τῶν προσδοκώντων τὴν ἀπολύτρωσιν. μετὰ δὲ τὸ τελέσαι πάντα, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ. ἦν μὲν γὰρ καὶ ἡ Βηθλεέμ, πόλις αὐτῶν. ἀλλ᾽ ὡς πατρίς. ἡ δὲ Ναζαρέτ, ὡς κατοικητήριον. ηὔξανε δὲ ὁ Ἰησοῦς κατὰ τὸ σῶμα, καίτοι δυνάμενος ἐκ μήτρας αὐτῆς, εἰς μέτρον ἡλικίας ἀνδρικῆς ἀναβῆναι. ἀλλ᾽ ἔδοξεν ἂν φαντασία. διὰ τοῦτο κατὰ μικρὸν αὐξάνει. αὐξάνοντος δὲ, διεφαίνετο ἡ τοῦ θεοῦ λόγου σοφία. οὐ γὰρ κατὰ προκοπὴν ἐγίνετο σοφός, ἄπαγε. ἀλλὰ κατὰ μικρὸν ἐκφαίνων τὴν ἔμφυτον σοφίαν, ἀκολούθως τῇ σωματικῇ ἡλικίᾳ, λέγεται προκόπτειν καὶ κραταιοῦσθαι τῷ πνεύματι. εἰ γὰρ ἐν ὅσῳ ἦν βραχὺς τὴν ἡλικίαν, διέφηνε πᾶσαν σοφίαν, ἔδοξεν ἂν τέρας. νῦν δὲ ἀναλόγως τῇ ἡλικίᾳ ἐνδεικνὺς ἑαυτὸν ὡς ἐνεχώρει, τὴν οἰκονομίαν ἐπλήρου. οὐ προσλαμβάνων σοφίαν. τί γὰρ τοῦ ἀπ᾽ ἀρχῆς τελείου γένοιτ᾽ ἂν τελειότερον, ἀλλὰ τὴν οὖσαν κατὰ βραχὺ παραγυμνῶν.

» Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ᾽ ἔτος εἰς Ἱερουσαλήμ, τῇ ἑορτῇ τοῦ πάσχα. καὶ
» ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορ-
» τῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ἀπέμεινεν Ἰησοῦς ὁ παῖς
» ἐν Ἱερουσαλήμ. καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ. νομίσαντες δὲ αὐτὸν ἐν τῇ
» συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδόν· καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνω-
» στοῖς· καὶ μὴ εὑρόντες αὐτόν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες αὐτόν· καὶ ἐγέ-
» νετο μεθ᾽ ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ, καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων.
» καὶ ἀκούοντα αὐτῶν. καὶ ἐπερωτῶντα αὐτούς. ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες
» αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. καὶ ἰδόντες αὐτόν, ἐξεπλάγησαν.
» καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε, τέκνον, τί ἐποίησας ἡμῖν οὕτως. ἰδοὺ ὁ πατήρ

» σου κἀγὼ, ὀδυνώμενοι ἐζητοῦμέν σε. καὶ εἶπε πρὸς αὐτούς. τί ὅτι ἐζητεῖτέ με. οὐκ ἤδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με; καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. Συναναβαίνει τοῖς γονεῦσιν εἰς Ἱερουσαλὴμ, ἵνα διὰ πάντων δείξῃ ὅτι οὐκ ἔστιν ἀντίθεος, οὐδ' ἀντιτάσσεται τοῖς νενομοθετημένοις. τελειωσάντων δὲ τὰς ἡμέρας, τὰς ἑπτὰ δηλαδὴ τοῦ πάσχα, ἀπέμεινεν ἐν Ἱερουσαλήμ. συνεζήτει δὲ μετὰ τῶν γραμματέων, ἀπὸ τοῦ νόμου ἐρωτῶν αὐτούς. καὶ ἐξίσταντο πάντες. ὁρᾷς πῶς προέκοπτεν ἐπὶ σοφίᾳ; διὰ τοῦ γινώσκεσθαι πολλοῖς καὶ θαυμάζεσθαι. ἡ γὰρ ἔκφανσις τῆς σοφίας αὐτοῦ, αὕτη ἐστὶν ἡ προκοπὴ αὐτοῦ. πατέρα δὲ τὸν Ἰωσὴφ ὀνομάζει ἡ θεοτόκος, εἰδυῖα μὲν ὡς οὐκ ἔστι πατήρ. πλὴν διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ νομισθῇ ἐκ πορνείας εἶναι, πατέρα αὐτοῦ λέγει τὸν Ἰωσήφ. ἄλλως τε καὶ πατρὸς κηδεμονίαν ἐνδειξάμενον καὶ ὑπουργίαν ἐν τῇ ἀνατροφῇ, εἰκότως ὠνόμασεν αὐτὸν πατέρα. ὡσανεὶ τιμῶντος αὐτὸν τοῦ ἁγίου πνεύματος τῇ τοῦ πατρὸς προσηγορίᾳ. διὰ τί δὲ ἐζήτουν αὐτόν. ἆρα ὑπόληψιν ἔχοντες ὅτι ἀπώλετο ἢ πεπλάνηται ὡς παῖς; ἄπαγε. οὔτε γὰρ τῆς πανσόφου Μαρίας τοῦτο ἦν, μυρίας δεξαμένης περὶ αὐτοῦ ἀποκαλύψεις, οὔτε τοῦ Ἰωσὴφ, τοῦ καὶ αὐτοῦ ἀποκαλυφθέντος ὅτι ἐκ πνεύματος ἁγίου ἐστίν. ἀλλ' ἐζήτουν αὐτὸν, μήπως ἀπέστη ἀπ' αὐτῶν. μήπως καταλέλοιπεν αὐτούς. ἐπεὶ δὲ εὗρον αὐτὸν, ὅρα πῶς αὐτοῖς ἀποκρίνεται. τῆς γὰρ παρθένου, τὸν Ἰωσὴφ πατέρα εἰπούσης αὐτοῦ, ἐκεῖνός φησιν. οὐκ αὐτός ἐστιν ὁ ἀληθής μου πατὴρ, ἢ γὰρ ἂν ἐν τῷ οἴκῳ αὐτοῦ ἤμην. ἀλλ' ὁ θεὸς ἐστί μου πατήρ. καὶ διὰ τοῦτο, ἐν τῷ οἴκῳ αὐτοῦ εἰμί. τουτέστιν ἐν τῷ ναῷ αὐτοῦ. ἀλλ' αὐτοὶ οὐ συνῆκαν ὃ ἐλάλησεν αὐτοῖς. μυστήριον γὰρ ἦν.

» Καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ. καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις.

Ὑπετάσσετο τοῖς γονεῦσι, τύπον διδοὺς καὶ ἡμῖν, ὡς δεῖ τοῖς πατράσιν ὑποτασσώμεθα. συνετήρει δὲ ταῦτα πάντα ἡ παρθένος. θεῖα γὰρ ἦν τά τε πραττόμενα καὶ τὰ λεγόμενα παρὰ τοῦ παιδός. καὶ οὐχ ὡς δωδεκαετοῦς, ἀλλὰ τελείου. ὅρα δὲ πῶς ἐνταῦθα ὁ εὐαγγελιστὴς ἑρμηνεύων τί ἐστι τὸ προκόπτειν σοφίᾳ, ἐπάγει καὶ ἡλικίᾳ. τὴν γὰρ προκοπὴν τῆς ἡλικίας, τῆς σοφίας εἶναι λέγει προκοπήν. ἐχαριτοῦτο δὲ καὶ παρὰ θεῷ καὶ παρὰ ἀνθρώποις. τουτέστι, καὶ τῷ θεῷ εὐάρεστα ἔπραττε, καὶ τοῖς ἀνθρώποις ἐπαινετά. πρῶτον δὲ τὸ παρὰ θεῷ. εἶτα τὸ παρὰ ἀνθρώποις. πρῶτον γὰρ δεῖ τῷ θεῷ ἀρέσκειν, εἶτα τοῖς ἀνθρώποις.

Κεφάλαιον Τρίτον.


» Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ ἀρχιερέων Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.

Μέμνηται τοῦ τε χρόνου καὶ τῶν ἀρχόντων δικαίως. ὡς ἂν δείξῃ ὅτι ἐκλελοίπει ἡ διαδοχὴ τῶν ἰουδαϊκῶν ἀρχόντων, ἐπὶ Χριστοῦ. ἡγεμονεύοντος μὲν Πιλάτου ἀνθρώπου ἀλλοεθνοῦς. τετραρχούντων δὲ τῶν Ἡρώδου τοῦ Ἀσκαλωνίτου υἱῶν. καὶ εἰκότως πιστευ-
Γεν. μθ'. θείη ἐπιστῆναι ὁ Χριστὸς, κατὰ τὴν τοῦ Ἰακὼβ προφητείαν. ἐγένετο δέ φησι, ῥῆμα θεοῦ
ἐπὶ Ἰωάννην. ἵνα σὺ μάθῃς ὅτι οὐκ αὐτόκλητος ἦλθε μαρτυρῆσαι περὶ Χριστοῦ, ἀλλὰ
θείῳ κινούμενος πνεύματι. τὸ γὰρ ῥῆμα, ἢ τὸ πνεῦμα τὸ ἅγιον νοήσεις, ἢ τὴν πρόστα-

ξιν τοῦ θεοῦ. ἐν τῇ ἐρήμῳ δὲ ἐγένετο τὸ ῥῆμα τοῦ θεοῦ πρὸς Ἰωάννην. ἐπεὶ γὰρ ἔμελλε τὰ τέκνα τῆς ἐρήμου, τῆς τῶν ἐθνῶν λέγω ἐκκλησίας, πλείονα γενέσθαι τῶν τῆς ἐχούσης τὸν ἄνδρα, τουτέστι τῆς ἰουδαϊκῆς συναγωγῆς, εἰκότως ἐν τῇ ἐρήμῳ ὄντι γίνεται τῷ Ἰωάννῃ τὸ ῥῆμα καὶ ἡ πρόσταξις τοῦ θεοῦ. ἐκήρυσσε δὲ βάπτισμα μετανοίας τοῖς λαοῖς. τουτέστιν ἐξαγορεύσεως. τοῦτο δὲ τὸ βάπτισμα συνήργει αὐτοῖς εἰς τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, τὴν διὰ τοῦ βαπτίσματος τοῦ χριστοῦ διδομένην. οὐ γὰρ δὴ τὸ Ἰωάννου βάπτισμα ἄφεσιν εἶχεν ἁμαρτιῶν, ἀλλ' εἰς ἄφεσιν συνεβάλλετο. τουτέστι, παρεσκεύαζε τοὺς ἀνθρώπους ἵνα δέξωνται τὸ τοῦ χριστοῦ βάπτισμα, τὸ ἔχον ἄφεσιν ἁμαρτιῶν.

» Ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου, λέγοντος. Φωνὴ βοῶντος ἐν Ἡσαΐ. μ'.
» τῇ ἐρήμῳ. ἑτοιμάσατε τὴν ὁδὸν κυρίου. εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. πᾶσα φά-
» ραγξ πληρωθήσεται. καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται. καὶ ἔσται τὰ σκολιὰ
» εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ
» θεοῦ. Ὁδὸς μὲν, ἡ κατὰ χριστὸν πολιτεία. ἣν κελεύει ἑτοιμασθῆναι. ἔμελλε γὰρ ὅσον οὔπω κηρύττειν ὁ κύριος. τρίβοι δὲ, αἱ τοῦ νόμου ἐντολαὶ, ὡς ἤδη τετριμμέναι. ἃς εὐθείας ποιεῖν διατάττεται. διέστρεφον γὰρ τὰς ἐντολὰς οἱ φαρισαῖοι. δύνασαι δὲ νοηθῆναι καὶ ὁδὸς, ἡ ψυχή. τρίβοι δὲ, τὰ νοήματα καὶ αἱ πράξεις. δεῖ οὖν ἡμᾶς καὶ τὴν ψυχὴν ἑτοιμάζειν, καὶ τὰς πράξεις καὶ τὰ νοήματα ἡμῶν εὐθέα ποιεῖν. εἶτα ὥσπερ ἐρωτῶντός τινος. καὶ πῶς κατορθώσωμεν τοῦτο. δύσεργος γὰρ ἡ ἀρετή. καὶ πολλὰς φάραγγας ἔχουσα καὶ δυσκολίας, καὶ ἀπὸ τῶν πονηρῶν δυνάμεων, καὶ ἀπὸ τῶν ἐνοίκων ἡμῖν παθῶν, φησὶν ὅτι οὐδὲν ἐργῶδές ἐσται, ἀλλὰ πάντα ῥᾴω. αἵ τε γὰρ φάραγγες πληρωθήσονται. τουτέστιν, αἱ φυσικαὶ ἡμῶν δυνάμεις, αἱ πρὸς τὸ καλὸν ἀσθενήσασαι καὶ ταπεινωθεῖσαι, ἀναπληρωθήσονται. καὶ πᾶν ὄρος καὶ βουνὸς, αἱ ἀντικείμεναι λέγω δυνάμεις, αἱ διὰ τὴν ὑπερηφανίαν ἀρθεῖσαι, ταπεινωθήσονται. ἠσθένησαν γὰρ ὡς ἀληθῶς αἵ τε ἀντικείμεναι δυνάμεις, καὶ αἱ δοκοῦσαι ἡμῖν φυσικῶς ἐγκεῖσθαι ἐπιθυμίαι. καὶ πάντα λεῖα γεγόνασι. καὶ εἰς εὐθεῖαν τὰ σκολιὰ μετήχθησαν. ὁ γὰρ χριστὸς, τάς τε ἀντικειμένας δυνάμεις κατήργησεν, αἵτινες ἐνταῦθα λέγονται ὄρη καὶ βουνοὶ, καὶ τὰς φυσικὰς ἡμῶν πρὸς τὸ καλὸν κινήσεις ἀνεζώωσεν. ἃς εἶπεν ὁ εὐαγγελιστὴς φάραγγας πληρουμένας. διὰ τοῦτο γὰρ ἐσαρκώθη, ἵνα τὴν φύσιν ἡμῶν εἰς τὸ οἰκεῖον ἀποκαταστήσῃ. καὶ πᾶσα φησὶ σὰρξ, ὄψεται τὸ σωτήριον τοῦ θεοῦ. οὐκ ἔτι Ἰουδαῖοι μόνοι καὶ προσήλυτοι, ἀλλὰ καὶ πᾶσα σάρξ. εἰς πᾶσαν γὰρ τὴν γῆν ἔφθα- Ἡσαΐ. μ'.
σε τὸ εὐαγγέλιον. πολλὰ καὶ ἄλλα ἦν εἰπεῖν. ἀλλὰ διὰ τὸ σαφέστερον ταῦτα λελέχθω.

» Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ. γεννήματα ἐχιδνῶν,
» τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς. ποιήσατε οὖν καρποὺς ἀξίους τῆς
» μετανοίας. καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς. πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ
» ὑμῖν, ὅτι δύναται ὁ θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἤδη δὲ
» καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν
» καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. Γεννήματα ἐχιδνῶν καλεῖ τοὺς Ἰουδαίους, ὡς τοὺς πατέρας αὐτῶν καὶ τὰς μητέρας θλίβοντας. καὶ γὰρ τοῦτο τὸ ζῶον λέγουσι τὴν μήτραν διεσθίον, οὕτω τίκτεσθαι. ἀλλὰ καὶ τοὺς προφήτας ἀπέκτεινον, καὶ τοὺς διδασκάλους. μέλλουσαν δὲ ὀργὴν, τὴν αἰώνιον φησὶ κόλασιν. καρποὶ δὲ ἄξιοι τῆς μετανοίας, οὐ μόνον ἡ ἀποφυγὴ τοῦ κακοῦ, ἀλλὰ καὶ ἡ ἐπεξεργασία τοῦ ἀγαθοῦ. τοῦτο γὰρ ὄντως καρπὸς καὶ γέννημα τῆς μετανοίας, τὸ ἐργάσασθαι τὸ ἀγαθόν. μὴ ἄρξησθε δὲ λέγειν ἐν ἑαυτοῖς, ὅτι, εὐγενεῖς ἐσμέν. καὶ θαρροῦντες τοῖς πατράσιν, ἀμελῆτε τῆς ἀρετῆς. καὶ γὰρ καὶ ἐκ τῶν λίθων τούτων δυνήσεται ὁ θεὸς τῷ πατριάρχῃ παι-



δας δοῦναι· ὥσπερ γὰρ δὴ καὶ πρώην ἐποίησεν· ἡ γὰρ μήτρα τῆς Σάῤῥας, λίθων οὖσα σκληροτέρα, ὅμως εἰς παιδοποιΐαν ἐχαριτώθη· ἀξίνη δὲ, ἡ θεία κρίσις, ἡ ἐκκόπτουσα τοὺς ἀναξίους ἐκ τῆς ζωῆς· εἰ μὴ οὖν μετανοήσετε φησὶν, ἐκκοπήσεσθε ἀπὸ τῆς ζωῆς· ἐπίκειται γὰρ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν ὑμῶν τῶν δένδρων· νοεῖται μὲν οὖν ῥίζα, ἡ ζωὴ, ὡς εἴπομεν· νοηθείη δ᾽ ἂν καὶ ῥίζα, ἡ τοῦ Ἀβραὰμ συγγένεια· ἀφ᾽ ἧς συγγενείας τοῦ Ἀβραὰμ, ἐκκόπτονται οἱ μὴ ὄντες ἄξιοι κλάδοι εἶναι αὐτοῦ, κατὰ τὸν ἀπόστολον· διπλῆ δὲ ἡ τιμωρία· οὐ μόνον γὰρ ἐκκόπτεται τῆς πρὸς τοὺς δικαίους συγγενείας ὁ ἁμαρτωλὸς καὶ ἄκαρπος, ἀλλὰ καὶ εἰς πῦρ βάλλεται·

» Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες. τί οὖν ποιήσωμεν· ἀποκριθεὶς δὲ, λέγει αὐτοῖς.
» ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω·
» ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι. καὶ εἶπον πρὸς αὐτόν. διδάσκαλε, τί ποιήσωμεν·
» ὁ δὲ, εἶπε πρὸς αὐτούς. μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε· ἐπηρώ-
» των δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες. καὶ ἡμεῖς τί ποιήσωμεν· καὶ εἶπε πρὸς αὐ-
» τούς. μηδένα διασείσητε μηδὲ συκοφαντήσητε. καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν· προσ
» δοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ
» Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστὸς, ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι λέγων. ἐγὼ μὲν
» ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱ-
» μάντα τῶν ὑποδημάτων αὐτοῦ, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυ-
» ρί· οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ. καὶ συνάξει τὸν σῖ
» τον εἰς τὴν ἀποθήκην αὐτοῦ. τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. πολλὰ μὲν οὖν καὶ
» ἕτερα παρακαλῶν, εὐηγγελίζετο τὸν λαόν· Τρία τάγματα προσελθόντα αὐτῷ,

ὁ Ἰωάννης νουθετεῖ τοὺς ὄχλους. τοὺς τελώνας. καὶ τοὺς στρατιώτας· τοῖς μὲν οὖν ὄχλοις παραινεῖ προσέχειν τῇ ἐλεημοσύνῃ. τὸν ἔχοντα δύο χιτῶνας κελεύων μεταδοῦναι τῷ μὴ ἔχοντι· τοῖς δὲ τελώναις, τὸ μηδὲν πλέον εἰσπράσσειν. τουτέστιν ἀπαιτεῖν· τοῖς δὲ στρατιώταις, τὸ μὴ ἁρπάζειν. ἀλλ᾽ ἀρκεῖσθαι τοῖς ὀψωνίοις. τουτέστι ταῖς διδομέναις παρὰ τοῦ βασιλέως, κατὰ συνήθειαν φιλοτιμίαις· ὅρα δὲ πῶς τοῖς μὲν ὄχλοις ὡς ἀκάκοις οὖσι, παραινεῖ πρᾶξαί τι ἀγαθόν. τουτέστι τὸ μεταδοῦναι· τοῖς δὲ τελώναις καὶ τοῖς στρατιώταις, ἀπέχεσθαι τοῦ κακοῦ· οὔπω γὰρ ἐχώρουν οὗτοι οὐδὲ ἠδύναντο ποιῆσαί τι ἀγαθόν. ἀλλ᾽ ἀρκετὸν αὐτοῖς τὸ μὴ κακὰ ποιεῖν· τινὲς δὲ καὶ κατὰ ἀναγωγὴν νοοῦσι τὸ, τὸν ἔχοντα δύο χιτῶνας μεταδοῦναι τῷ μὴ ἔχοντι· φασὶ γὰρ δύο χιτῶνας εἶναι, τό, τε πνεῦμα τῆς γραφῆς, καὶ τὸ γράμμα· τὸν ἔχοντα οὖν τὰ δύο, προτρέπεται ὁ Ἰωάννης μεταδοῦναι τῷ παντελῶς γυμνῷ· οἷον, ἔστι τις τὴν γραφὴν νοῶν διπλῶς, κατά τε τὸ γράμμα καὶ κατὰ τὸ πνεῦμα; μεταδότω οὖν τῷ μὴ ἔχοντι. διδαξάτω τὸν ἀγνοοῦντα, καὶ δότω αὐτῷ κἂν τὸ γράμμα. τοσαύτη δὲ ἦν ἡ τοῦ Ἰωάννου ἀρετὴ, ὥστε πάντας ὑπολογίζεσθαι περὶ αὐτοῦ, μήποτε ἄρα αὐτός ἐστιν ὁ Χριστός· τὴν τοιαύτην οὖν ὑπόνοιαν ἀποκρουόμενος, φησί. τοσοῦτον ἐμοῦ καὶ Χριστοῦ τὸ διάφορον, ὥστε ἐγὼ μὲν, ἐν ὕδατι βαπτίζω· ἐκεῖνος δὲ ἐν πνεύματι καὶ πυρί· καὶ ἄλλο ὅτι οὐδὲ τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ, ἱκανὸς εἰμὶ λῦσαι· τί δὲ ταῦτα δηλοῦσι; τὸ μὲν βαπτίσει ὑμᾶς ἐν πνεύματι καὶ πυρὶ, πρόδηλον πάντως· καὶ γὰρ τοῖς ἀποστόλοις ἔπεμψε τὸ πνεῦμα καὶ πύριναι γλῶσσαι ὤφθησαν μεριζόμεναι αὐτοῖς· τὸ δὲ μὴ εἶναι ἱκανὸν λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ, κατὰ μὲν τὴν προφανῆ ἔννοιαν, ὅτι οὐδὲ ἔσχατος δοῦλος αὐτοῦ εἰμὶ ἄξιος τάττεσθαι. κατὰ δὲ τὸ κρυφιώτερον, δύο ὑποδήματα εἰσὶ τοῦ κυρίου, ἥ τε ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπιδημία, καὶ ἡ ἐκ γῆς ἐπὶ τὸν ᾅδην· τούτων οὖν τῶν δύο ἐπιδημιῶν τοὺς τρόπους, οὐ δύναταί τις λῦσαι· οὐδὲ εἰ κατὰ Ἰωάν-

νην ἐστί· τίς γὰρ δύναται εἰπεῖν, ἢ πῶς ἐσαρκώθη. ἢ πῶς κατῆλθεν εἰς ᾅδην. τὸ δὲ οὖ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, τοῦτο σημαίνει. ὅτι, εἰ καὶ βαπτίσει ὑμᾶς, μὴ νομίζετε ὅτι ἤδη ἀθῶοι ἐστέ. ἀλλ' εἰ μὴ τὸν μετὰ ταῦτα βίον ἄμωμον ἐνδείξεσθε, κατακαύσει ὑμᾶς πυρὶ ἀσβέστῳ· ἄχυρον γάρ ἐστιν, ὁ ἄκαρπον ἔχων νοῦν. καὶ μόνον συρφετὸν πολλοῦ βιωτικῶν πραγμάτων ἐπιφερόμενος· πολλὰ δὲ καὶ ἕτερα παρακαλῶν, εὐηγγελίζετο τὸν λαόν· παράκλησις γὰρ ὄντως ἐστὶν ἡ ἀγαθὴ διδασκαλία· καὶ εὐαγγέλιον δὲ εἰκότως ἂν λεχθείη.

» Ὁ δὲ Ἡρώδης ὁ τετράρχης ἐλεγχόμενος ὑπ' αὐτοῦ περὶ Ἡρωδιάδος τῆς γυναικὸς
» τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν ἐποίησε πονηρῶν ὁ Ἡρώδης, προσέθηκε καὶ
» τοῦτο ἐπὶ πᾶσι, καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ· ἐγένετο δὲ ἐν τῷ βαπτισθῆ
» ναι ἅπαντα τὸν λαόν, καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου, ἀνεωχθῆναι τὸν οὐ
» ρανὸν καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰν, ἐπ' αὐ-
» τόν. καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν. σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός. ἐν σοὶ ηὐ-
» δόκησα. Εἰκότως παρενέβαλεν ὁ εὐαγγελιστὴς ἐνταῦθα τὰ περὶ Ἡρώδου. μονονουχὶ τοιάδε λέγων. ὁ μὲν ὄχλος, τοιαῦτα περὶ Ἰωάννου διελογίζετο. ὁ δὲ Ἡρώδης ἐλεγχόμενος ὑπ' αὐτοῦ, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, τὸ κατακλεῖσαι αὐτὸν ἐν τῇ φυλακῇ. ὡσανεὶ οὖν σχετλιάζων, ταῦτα διηγεῖται καὶ δεινοπαθῶν. εἴγε τοῦ ὄχλου τοιαύτην ὑπόληψιν ἐπὶ τῷ Ἰωάννῃ ἔχοντος, ὁ Ἡρώδης τοιαῦτα ἐπεδείξατο. ἀνοίγεται δὲ ὁ οὐρανός, ἵνα δειχθῇ ἡμῖν ὅτι τὸ βάπτισμα ἀνοίγει πᾶσι τὸν οὐρανόν. ὃν ὁ Ἀδὰμ ἔκλεισε. κάτεισί τε τὸ πνεῦμα ἐπὶ τὸν Ἰησοῦν, ἵνα καὶ ἐκ τούτου μάθωμεν ὅτι καὶ ἡμῖν βαπτιζομένοις ἔπεισι τὸ πνεῦμα. οὐ γὰρ δὴ ὁ κύριος ἐδέετο τοῦ πνεύματος. ἀλλὰ πάντα δι' ἡμᾶς ποιεῖ. καὶ ἀπαρχὴ αὐτὸς γίνεται πάντων ὧν ἐμέλλομεν ἡμεῖς λαμβάνειν ὕστερον, ὡς ἂν πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς γένηται. ὡς περιστερὰ δὲ, ἵνα μάθωμεν ὅτι πράους ἡμᾶς εἶναι δεῖ καὶ καθαρούς. καὶ ὅτι ὥσπερ ἐπὶ τοῦ Νῶε, περιστερὰ ἐμήνυσε τὴν κατάπαυσιν τῆς τοῦ θεοῦ ὀργῆς, οὕτω καὶ ἐνταῦθα, τὸ πνεῦμα τὸ ἅγιον κατήλλαξεν ἡμᾶς τῷ θεῷ, κατακλυσμὸν τῆς ἁμαρτίας ποιησάμενον. καὶ υἱὸς δὲ ἀκούει, παρὰ τοῦ πατρὸς ἐνεχθείσης τῆς φωνῆς, δεικνὺς ὅτι καὶ ἡμῖν βαπτιζομένοις, τὴν υἱοθεσίαν ἐχαρίσατο. ἐν σοὶ δὲ εὐδόκησα ἀντὶ τοῦ ἐπανεπαύθην. Γεν. η΄.

» Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος ὢν ὡς ἐνομίζετο, υἱὸς Ἰω-
» σήφ. τοῦ Ἡλεί. τοῦ Ματθάτ. τοῦ Λευί. τοῦ Μελχί. τοῦ Ἰαννᾶ. τοῦ Ἰωσήφ. τοῦ Ματτα
» θίου. τοῦ Ἀμώς. τοῦ Ναούμ. τοῦ Ἐσλί. τοῦ Ναγγαί. τοῦ Μαάθ. τοῦ Ματταθίου.
» τοῦ Σεμεΐ. τοῦ Ἰωσήχ. τοῦ Ἰούδα. τοῦ Ἰωαννᾶ. τοῦ Ῥησᾶ. τοῦ Ζοροβάβελ. τοῦ Σα
» λαθιήλ. τοῦ Νηρεί. τοῦ Μελχεί. τοῦ Ἀδδεί. τοῦ Κωσάμ. τοῦ Ἐλμαδάμ. τοῦ Ἤρ.
» τοῦ Ἰησοῦ. τοῦ Ἐλιέζερ. τοῦ Ἰωρήμ. τοῦ Ματθάτ. τοῦ Λευεί. τοῦ Συμεών. τοῦ Ἰού-
» δα. τοῦ Ἰωσήφ. τοῦ Ἰωνάμ. τοῦ Ἐλιακείμ. τοῦ Μελεᾶ. τοῦ Μεννά. τοῦ Ματταθᾶ.
» τοῦ Ναθάν. τοῦ Δαβίδ. τοῦ Ἰεσσαί. τοῦ Ἰωβήδ. τοῦ Βοόζ. τοῦ Σαλμών. τοῦ Ναασσών.
» τοῦ Ἀμιναδάβ. τοῦ Ἀράμ. τοῦ Ἐσρώμ. τοῦ Φαρές. τοῦ Ἰούδα. τοῦ Ἰακώβ. τοῦ Ἰ-
» σαάκ. τοῦ Ἀβραάμ. τοῦ Θάρα. τοῦ Ναχώρ. τοῦ Σαρούχ. τοῦ Ῥαγαῦ. τοῦ Φα-
» λέκ. τοῦ Ἕβερ. τοῦ Σαλά. τοῦ Καϊνάμ. τοῦ Ἀρφαξάδ. τοῦ Σήμ. τοῦ Νῶε. τοῦ
» Λάμεχ. τοῦ Μαθουσάλα. τοῦ Ἐνώχ. τοῦ Ἰαρέδ. τοῦ Μαλελεήλ. τοῦ Καϊνάν. τοῦ
» Ἐνώς. τοῦ Σήθ. τοῦ Ἀδάμ. τοῦ Θεοῦ. Τριάκοντα μὲν ὢν ἐτῶν, ἐβαπτίσθη ὁ κύριος. διότι αὕτη ἡ ἡλικία ἐστὶ τελειοτάτη. καὶ κατὰ ταύτην ὁ ἄνθρωπος, ἢ δόκιμος ἢ ἀδόκιμος. γενεαλογεῖ δὲ αὐτὸν ὁ Λουκᾶς, ἀντιστρόφως τῷ Ματθαίῳ, ἵνα δείξῃ ὅτι ὁ νῦν γεννηθεὶς ἐν σαρκὶ, ἀπὸ τοῦ θεοῦ ἐστίν. ὅρα γὰρ τὴν γενεαλογίαν, πῶς καταντᾷ εἰς

τὸν θεόν· καὶ ἅμα, ἵνα μάθωμεν, ὅτι ἵνα πάντας τοὺς ἐν μέσῳ πατέρας εἰς θεὸν ἀνα
γάγῃ καὶ υἱοὺς ποιήσῃ, τούτου ἕνεκεν ἐσαρκώθη· ἔχω δὲ καὶ ἑτέρως εἰπεῖν· ἠπιστεῖτο ἡ
γέννησις τοῦ κυρίου, ὡς ἄνευ σπορᾶς οὖσα· θέλων οὖν δεῖξαι ὁ εὐαγγελιστὴς, ὅτι καὶ ἄλ
λοτε ἄνευ σπορᾶς ἐγένετο ἄνθρωπος, ἀπὸ τῶν κάτω ἀνέρχεται ἐπὶ τὸν Ἀδὰμ καὶ
τὸν θεόν· μονονουχὶ λέγων ἡμῖν. εἰ ἀπιστεῖς πῶς ὁ δεύτερος Ἀδὰμ ἐγένετο δίχα σπο
ρᾶς, ἄνελθέ μοι τῷ νῷ ἐπὶ τὸν πρότερον Ἀδάμ. καὶ εὑρήσεις αὐτὸν ἄνευ σπορᾶς γε-
Ματ. α'. νόμενον ὑπὸ τοῦ θεοῦ· καὶ λοιπὸν, μὴ ἀπίστει· ζητοῦσι δέ τινες, πῶς ὁ μὲν Ματθαῖος
τὸν Ἰωσὴφ τοῦ Ἰακὼβ λέγει εἶναι παῖδα. ὁ δὲ Λουκᾶς, τοῦ Ἠλεί· ἀδύνατον γάρ φασι τὸν
αὐτὸν, δύο πατέρων εἶναι παῖδα· λέγομεν οὖν πρὸς τοῦτο. ὅτι ὁ Ἰακὼβ καὶ ὁ Ἠλεί, ὁμο-
μήτριοι ἀδελφοί. ἄλλου δὲ καὶ ἄλλου πατρός· ἀποθανόντος οὖν τοῦ Ἠλεὶ ἄπαιδος, ἠγά
γετο τὴν γυναῖκα αὐτοῦ ὁ Ἰακὼβ, παιδοποιήσων ἐξ αὐτῆς· καὶ οὕτω λέγεται ὁ Ἰω
σὴφ, Ἰακὼβ εἶναι παῖς τῇ φύσει. καὶ τοῦ Ἠλεί, τῷ νόμῳ· ὁ μὲν γὰρ Ἰακὼβ, φύσει αὐ-
τὸν ἐγέννησε καὶ ἀληθῶς· καὶ φυσικὸς λοιπὸν υἱός ἐστιν αὐτοῦ· τοῦ δὲ Ἠλεί, κατὰ τὸν νό
μον μόνον ἦν παῖς· ὁ γὰρ νόμος ἐκέλευεν, ἐάν τις τελευτήσῃ ἄπαις, τούτου τὴν γυναῖ
κα συζεύγνυσθαι τῷ ἀδελφῷ αὐτοῦ· καὶ τὸ ἐκ τούτου τεχθησόμενον, νομίζεσθαι εἶναι
τοῦ τεθνηκότος. εἰ καὶ φύσει τοῦ ζῶντος ἦν· ὥστε καλῶς λέγουσιν οἱ εὐαγγελισταὶ, καὶ οὐκ
ἐναντιοῦνται· ὁ μὲν γὰρ Ματθαῖος, τὸν φυσικὸν πατέρα τοῦ Ἰωσὴφ ἀνεγράψατο. ὁ
δὲ Λουκᾶς, τὸν κατὰ τὸν νόμον πατέρα αὐτοῦ λογιζόμενον. τουτέστι τὸν Ἠλεί· ἵνα δεί-
ξωσιν ἀμφότεροι, ὅτι διὰ τοῦτο ἐγεννήθη ὁ κύριος ἵνα καὶ φύσιν καὶ νόμον ἁγιάσῃ·

Κεφάλαιον Τέταρτον·

» Ἰησοῦς δὲ πνεύματος ἁγίου πλήρης, ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου· καὶ ἤγετο ἐν τῷ
» πνεύματι εἰς τὴν ἔρημον, ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου· καὶ
» οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν, ὕστερον ἐπεί
» νασε· καὶ εἶπεν αὐτῷ ὁ διάβολος. εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται
Δευ. η'. » ἄρτος· καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτὸν, λέγων. γέγραπται ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ
» ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι θεοῦ· καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς
» ὄρος ὑψηλὸν, ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου· καὶ
» εἶπεν αὐτῷ ὁ διάβολος. σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐ-
» τῶν (ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν) σὺ οὖν ἐὰν προσκυνήσῃς
» ἐνώπιόν μου, ἔσται σου πᾶσα· καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς. ὕπαγε ὀπίσω μου
Δευ. ς'. » σατανᾶ· γέγραπται γάρ. προσκυνήσεις κύριον τὸν θεόν σου. καὶ αὐτῷ μόνῳ λατρεύ-
» σεις. καὶ ἤγαγεν αὐτὸν εἰς Ἱερουσαλήμ. καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ.
» καὶ εἶπεν αὐτῷ. εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω· γέγραπται γάρ. ὅτι
ψαλ. ϟ'. » τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σέ· καὶ ἐπὶ χειρῶν ἀροῦσι
» σὲ, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου· καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς
Δευ. ς'. » ὅτι, εἴρηται οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου· Ἐβαπτίσθη μὲν ὁ κύριος, ἵνα ἁγιά
σῃ τὰ ὕδατα, δι' ἡμᾶς τοὺς μέλλοντας τῆς χάριτος ἀπολαύσειν· μετὰ δὲ τὸ βαπτισθῆ-
ναι, ἀναφέρεται ὑπὸ τοῦ πνεύματος εἰς ὄρος ἔρημον· τὸ γὰρ πνεῦμα τὸ ἅγιον, ἀνῆγεν
αὐτὸν εἰς τὸν κατὰ τοῦ διαβόλου ἀγῶνα. εἰς ἔρημον δὲ ἄπεισιν, ἵνα δώσῃ λαβὴν τῷ
διαβόλῳ τοῦ ἐπιθέσθαι αὐτῷ· καὶ γὰρ μάλιστα μεμονωμένοις ἐπιτίθεται ἡμῖν· τεσ-
Ἐξό. λδ'. σαράκοντα δὲ ἡμέρας νηστεύει, καὶ οὐχ ὑπερβαίνει τὸ μέτρον τῆς τοῦ Μωϋσέως καὶ
Δευ. θ'. Ἠλιοῦ νηστείας, ἵνα μὴ δώσῃ τῷ σατανᾷ ἐντεῦθεν ἤδη ὑπόνοιαν ὅτι μείζων ἐστὶ τούτων.
γ'. Βα. ιθ'. ἀλλὰ προσβάλῃ αὐτῷ, νομίζων ὅτι καὶ αὐτὸς ἄνθρωπός ἐστιν· ἅμα δὲ καὶ ἵνα μὴ
κατὰ φαντασίαν δόξῃ σαρκωθῆναι· μετὰ τὸ βάπτισμα δὲ πειράζεται, δεικνύων ἡμῖν
ὅτι μετὰ

ὅτι μετὰ τὸ βάπτισμα ἐκδέξονται ἡμᾶς πειρασμοί· νηστεύει δὲ, διότι μέγα ὅπλον ἐν
τοῖς πειρασμοῖς ἡ νηστεία· καὶ ὅτι μετὰ τὸ βάπτισμα καὶ ἡμᾶς οὐ τρυφῇ δεῖ διδόναι,
ἀλλὰ νηστείᾳ· προσβάλλει οὖν αὐτῷ ὁ ἐχθρὸς, πρῶτον ἀπὸ τῆς γαστριμαργίας. δι᾿ ἧς καὶ
τῷ Ἀδάμ· εἶτα ἀπὸ τῆς φιλοχρηματίας, ὑποδείξας αὐτῷ πάσας τὰς βασιλείας·
πῶς δὲ ὑπέδειξε; τινὲς μὲν λέγουσιν ὅτι κατὰ διάνοιαν αὐτῷ ὑπεστήσατο ταύτας· πλὴν
ἀλλ᾿ οὐ κατὰ διάνοιαν οἶμαι, ἀλλ᾿ αἰσθητῶς ταύτας αὐτῷ ὑπέδειξεν. ἐν φαντασίᾳ ποιή
σας φανῆναι· τοῦ κυρίου μὴ φανταζομένου· τρίτον αὐτῷ προσβάλλει. ἀπὸ τῆς φιλο
δοξίας· εἰ υἱὸς γάρ φησιν, εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω· κολακεύων δὲ αὐτὸν, τὰ
τοιαῦτα ἐλήρει. εἴπως ἀπὸ τῆς κολακείας ἀπατηθεὶς, καὶ θέλων δεῖξαι ἑαυτὸν υἱὸν
θεοῦ, βάλῃ ἑαυτὸν κάτω. καὶ οὕτω διαγνωσθῇ αὐτῷ, τίς ἐστιν· ὁ δὲ κύριος, ὅρα πῶς ἀπο
κρούεται αὐτὸν ἀπὸ τῆς γραφῆς· οὐκ ἐκπειράσεις γάρ φησι, κύριον τὸν θεόν σου· οὐ Δευ· ς΄·
γὰρ δεῖ εἰς προφανεῖς κινδύνους ἐμβάλλειν τινὰ ἑαυτὸν, δοκιμάζοντα εἰ βοηθή-
σει αὐτῷ ὁ θεός· σημείωσαι δὲ καὶ τοῦτο, ὅτι μέγα ὄφελος τὸ εἰδέναι τὰς γραφάς·
καὶ γὰρ καὶ ὁ κύριος τὸν σατανᾶν ἀπὸ τῶν γραφῶν ἀπεκρούσατο· τό, τε γὰρ οὐκ ἐ- Δευ· η΄·
π᾿ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, μωσαϊκόν ἐστι, περὶ τοῦ μάννα ῥηθέν· τὸ γὰρ μάννα
ἄρτος μὴ ὂν, ὅμως ἔθρεψε τὸν λαόν· καὶ τὸ, κύριον δὲ τὸν θεόν σου προσκυνήσεις. καὶ τὸ, Δευ· ς΄·
οὐκ ἐκπειράσεις, καὶ ταῦτα Μωσαϊκά.

» Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος, ἀπέστη ἀπ᾿ αὐτοῦ ἄχρι καιροῦ· καὶ
» ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν· καὶ φήμη
» ἐξῆλθε καθ᾿ ὅλης τῆς περιχώρου περὶ αὐτοῦ· καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγω-
» γαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων· Πάντα πειρασμόν φησιν ὁ Λουκᾶς συντελέ
σαι τὸν κύριον, καίτοι τρεῖς πειρασμοὺς πειρασθέντα, διότι κεφάλαια τῶν πειρα-
σμῶν πάντων οἱ τρεῖς οὗτοι εἰσίν, ὁ τῆς φιλοχρηματίας. ὁ τῆς γαστριμαργίας. ὁ τῆς
φιλοδοξίας· τὸν μὲν οὖν τῆς γαστριμαργίας, ἀπεκρούσατο διὰ τοῦ εἰπεῖν ὅτι, οὐκ ἐπ᾿ ἄρ
τῳ μόνῳ ζήσεται ἄνθρωπος· πρῶτον γὰρ τὸν πειρασμὸν τοῦτον προσήγαγεν αὐτῷ, ὡς
καὶ τῷ Ἀδάμ· τὸν γὰρ Ἀδὰμ οὔτε ἀπὸ πλεονεξίας ἠδύνατο ὑποσκελίσαι, οὐ γὰρ εἶχε
τὸν πλεονεκτούμενον, μόνος ὤν, οὔτε ἀπὸ ὀργῆς· οὐ γὰρ εἶχεν ᾧ ὀργισθῇ· οὔτε ἀπὸ φθό-
νου· ἀπὸ τῆς κοιλίας οὖν ὑπεσκέλισεν αὐτόν· τὸν δὲ τῆς φιλοχρηματίας, ἀπεκρούσα
το διὰ τοῦ μὴ πεσεῖν, μηδὲ προσκυνῆσαι αὐτῷ· ὑποδείξαντι γὰρ τὰς βασιλείας πά-
σας αἰσθητῶς κατὰ φαντασίαν, οὐχ ὑπέκυψε· καίτοι γε τινὲς, οὐ περὶ αἰσθητῶν βα
σιλειῶν τοῦτο ἐνόησαν, ἀλλὰ περὶ νοουμένων· οἷον, ὑπέδειξεν αὐτῷ τὴν βασιλείαν τῆς
ἀκολασίας· τὴν βασιλείαν τοῦ φθόνου· καὶ ἁπλῶς πασῶν τῶν ἁμαρτιῶν τὰς βασι
λείας· καὶ ὡσανεὶ τοιαῦτα ἔλεγεν αὐτῷ. εἰ θέλεις βασιλεῦσαι τούτων τῶν παθῶν,
καὶ ἐπὶ τοῦτο ἐλήλυθας, ἵνα τοὺς ὑπ᾿ ἐμοῦ κρατουμένους ἀφαρπάσῃς, πεσὼν προσκύ
νησόν μοι. καὶ παράλαβε πάντας τοὺς ὑπ᾿ ἐμοῦ βασιλευομένους· ὁ δὲ κύριος, βασιλεῦ
σαι μὲν θέλει. καὶ εἰς τοῦτο ἐλήλυθε· βασιλεῦσαι δὲ οὐ μετὰ ἁμαρτίας. οὐδ᾿ ἄνευ ἀ-
γῶνος. ἀλλὰ παλαίσας καὶ νικήσας· ταῦτα τινὲς ἐνόησαν· ὅτῳ δὲ φίλον, παραδεχέσθω
ταῦτα· ἀλλὰ καὶ τὸν τῆς φιλοδοξίας, ἀπεκρούσατο διὰ τοῦ τὸ γραφικὸν εἰπεῖν ῥητόν·
ἐξελοῦ οὖν καὶ ἡμᾶς κύριε τούτων τῶν τριῶν κεφαλῶν τοῦ δράκοντος· ὑπέστρεψε δὲ ὁ
Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος· δοκεῖ μοι ὅτι ἐνθουσιῶν ὁ Ἰησοῦς ὑπέστρεψεν·
τοῦτο γάρ ἐστι τὸ, ἐν τῇ δυνάμει τοῦ πνεύματος· τάχα δὲ πρόσχες τῇ γραφῇ, ὅτι μεθ᾿ ὃ
ἐνίκησε τὸν πειράζοντα, καὶ ἔδειξε τὴν δύναμιν αὐτοῦ, τότε γέγραπται τὸ, ἐν τῇ δυ-
νάμει τοῦ πνεύματος· τὸ δὲ ἀπέστη ἀπ᾿ αὐτοῦ ἄχρι καιροῦ, τοιοῦτον ἔχει νοῦν· ὁ διάβο-
λος διὰ δύο παθῶν προσβάλλει τῷ κυρίῳ, ἡδονῆς καὶ λύπης· καὶ γὰρ προσέβαλε τῷ

κυρίῳ διὰ ἡδονῆς, ὥσπερ ἐπὶ τοῦ ὄρους. ἀπέστη δ' ἀπ' αὐτοῦ, ἄχρι καιροῦ, τουτέστιν ἄχρι τοῦ καιροῦ τοῦ σταυροῦ. τότε γὰρ προσβαλεῖν αὐτῷ διὰ λύπης ἔμελλεν.

» Καὶ ἦλθεν εἰς τὴν Ναζαρέτ, οὗ ἦν τεθραμμένος. καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐ-
» τῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, εἰς τὴν συναγωγήν. καὶ ἀνέστη ἀναγνῶναι, καὶ ἐπε-
Ἡσαΐ. ξα΄. » δόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου. καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον
» οὗ ἦν γεγραμμένον. πνεῦμα κυρίου ἐπ' ἐμέ. οὗ εἵνεκεν ἔχρισέ με. εὐαγγελίσασθαι
» πτωχοῖς ἀπέσταλκέ με. ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν. κηρύξαι αἰχμα-
» λώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει. κη-
» ρύξαι ἐνιαυτὸν κυρίου δεκτόν. καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε.
» καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ ἦσαν ἀτενίζοντες αὐτῷ. ἤρξατο δὲ λέ-
» γειν πρὸς αὐτούς. ὅτι, σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.

Ἐβούλετο μὲν ὁ κύριος ἐμφανῆ ἑαυτὸν καταστῆσαι τοῖς Ἰσραηλίταις. καὶ ὅτι παρὰ τοῦ θεοῦ καὶ πατρὸς ἐχρίσθη εἰς τὸ σῶσαι τοὺς ὑπ' οὐρανόν. θαυμασίως δὲ καὶ τοῦτο οἰκονομεῖ. πρὸ τῶν ἄλλων τοῖς ἐν Ναζαρὲτ ἑαυτὸν ἐμφανίζων, οἷς συνανετράφη. ἵνα καὶ ἡμᾶς διδάξῃ, πρότερον τοὺς οἰκείους εὐεργετεῖν, καὶ τούτοις ἐκδιδάσκειν. εἶτα καὶ εἰς τοὺς λοιποὺς τὴν φιλανθρωπίαν ἐκχέειν. ἐπιδοθὲν δὲ αὐτῷ βιβλίον, ἀνέπτυξε. καὶ εὗρεν, οὐχ ὃ παρέτυχεν, ἀλλ' ὃ ἠβούλετο αὐτός. μὴ γὰρ νόμιζε ὅτι κατὰ συντυχίαν ἀνοίξαντος αὐτοῦ τὸ βιβλίον, εὑρέθη ὁ τόπος ἐκεῖνος, οὗ ἐγέγραπτο τὰ περὶ αὐτοῦ. ἀλλ' αὐτοῦ θελήσαντος τοῦτο ἐγένετο. τί δὲ ἐγέγραπτο; ὅτι, πνεῦμα κυρίου ἔχρισέ με. τουτέστιν ἀφιέρωσέ με. κατέστησέ με εἰς τὸ εὐαγγελίσασθαι τοῖς πτωχοῖς. τουτέστι τοῖς ἔθνεσιν. ἃ οὔτε νόμον οὔτε προφήτας ἔχοντα, τῷ ὄντι ἐν πολλῇ πτωχείᾳ ἦσαν. οἱ δὲ συντετριμμένοι τὴν καρδίαν, ἦσαν τάχα οἱ ἐξ Ἰσραήλ. ὧν ἡ καρδία, πρότερον μεγάλη τε ἦν καὶ ὑψηλή, καὶ οἶκος θεοῦ. ὕστερον δὲ εἰδωλολατρησάντων, καὶ διαφόρως ἁμαρτόντων, συνετρίβη ἡ καρδία αὐτῶν, καὶ κατελύθη, ἀντὶ τοῦ οἶκος εἶναι θεοῦ, γενομένη σπήλαιον λῃστῶν. ἦλθεν οὖν ὁ κύριος ἵνα καὶ τούτους ἰάσηται. καὶ τοῖς αἰχμαλώτοις δὲ ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν δοῦ. τοῖς τε ἐξ ἐθνῶν καὶ τοῖς ἐξ Ἰσραήλ. ἀμφότερα γὰρ ταῦτα τὰ μέρη, καὶ αἰχμάλωτα ἦσαν ὑπὸ τὸν σατανᾶν, καὶ τυφλά. δύνανται δὲ ταῦτα νοηθῆναι καὶ περὶ τῶν νεκρῶν. καὶ οὗτοι γὰρ αἰχμάλωτοι ὄντες καὶ τεθραυσμένοι, ἀπελύθησαν τῆς τοῦ ᾅδου ἐξουσίας, διὰ τῆς ἀναστάσεως. ἐκήρυξε δὲ καὶ ἐνιαυτὸν δεκτόν. τίς δὲ ἦν ὁ ἐνιαυτὸς ὁ δεκτός. τάχα μὲν καὶ ὁ μέλλων
Ἰωάν. ιϛ΄. αἰών. περὶ οὗ ἐκήρυξεν ὁ κύριος, λέγων. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἐρωτήσετέ με οὐδέν.
Ἰωάν. ε΄ καὶ πάλιν. ἔρχεται ὥρα ὅτε οἱ νεκροὶ ἀναστήσονται. δεκτὸς δὲ ἐστὶν ἐκεῖνος ὁ ἐνιαυ-
τός, τουτέστιν ἐπιθυμητός, τοῖς δικαίοις καὶ ἐπέραστος. ὃν προσδέχονται πάντες οἱ ἐνταῦθα ἐργαζόμενοι. ἔστι δὲ καὶ ὁ τῆς τοῦ κυρίου ἐν σαρκὶ ἐπιδημίας καιρός, ἐνιαυτὸς δεκτός. περὶ οὗ ὁ Παῦλος λέγει. νῦν καιρὸς εὐπρόσδεκτος. νῦν ἡμέρα σωτηρίας. ἀναγνοὺς δὲ ταῦτα, εἶπε, σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν, φανερῶς ἑαυτὸν παριστῶν τοῖς ἀκούουσιν ὅτι αὐτός ἐστι περὶ οὗ ταῦτα γέγραπται.

» Καὶ πάντες ἐμαρτύρουν αὐτῷ. καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς
» ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ. καὶ ἔλεγον. οὐχ οὗτός ἐστιν ὁ υἱὸς τοῦ Ἰωσήφ;
» καὶ εἶπε πρὸς αὐτούς. πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην. ἰατρέ, θεράπευ-
» σον σεαυτόν. ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναούμ, ποίησον καὶ ὧδε ἐν τῇ πα-
» τρίδι σου. εἶπε δέ. ἀμὴν λέγω ὑμῖν ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι
Βασι. γ΄. » αὐτοῦ. ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλιοῦ ἐν τῷ
Βασι. ιζ΄. » Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας

ἐπὶ πᾶσαν

» ἐπὶ πᾶσαν τὴν γῆν, καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰ μὴ εἰς Σαρεφθὰ
» τῆς Σιδῶνος πρὸς γυναῖκα χήραν· καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ προ-
» φήτου ἐν τῷ Ἰσραήλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Νεεμὰν ὁ Σύρος · καὶ ἐπλή-
» σθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούσαντες ταῦτα · καὶ ἀναστάντες, ἐξέβα-
» λον αὐτὸν ἔξω τῆς πόλεως· καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους. ἐφ' οὗ ἡ πό-
» λις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν · αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐ-
» τῶν, ἐπορεύετο · Ἀκούοντες τὰ ὑπὸ Χριστοῦ λεγόμενα οἱ ὄχλοι, ἐθαύμαζον ἐπὶ τοῖς
λόγοις τῆς χάριτος · θαυμάζοντες δὲ, διεκωμῴδουν αὐτὸν, λέγοντες. οὐχ οὗτός ἐστιν
ὁ τοῦ τέκτονος υἱός; καίτοι τί τὸ κωλύον ἦν αὐτὸν θαυμαστὸν καὶ προσκυνητόν · οὐχ
ὁρᾷς ὅσα ποιεῖ; οὐκ ἀκούεις ὅσα λέγει; εἶτα κωμῳδεῖς τὸν πατέρα αὐτοῦ; ὄντως ἀ-
ληθὲς ἐπ' αὐτοῖς εἰπεῖν. ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέ- Ἱερε. ε'.
πουσιν. ὦτα, καὶ οὐκ ἀκούουσιν· ὁ κύριος οὖν τί φησιν αὐτοῖς· πάντως ἐρεῖτέ μοι ὅτι,
ἐν τῇ πατρίδι σου ποίησον θαυμάσια ὅσα καὶ ἐν Καπερναοὺμ · τοῦτο γάρ ἐστι τὸ, ἰα-
τρὲ, θεράπευσον σεαυτόν· κοινὸς γὰρ ἦν λόγος παρὰ τοῖς Ἰουδαίοις οὗτος, τοῖς ἀρρω-
στοῦσιν ἰατροῖς ἐπιλεγόμενος · ἀλλ' ἐγὼ λέγω ὑμῖν, ὅτι ἐποίησα ἂν πολλὰ σημεῖα
καὶ παρ' ὑμῖν τοῖς ἐμοῖς πατριώταις. ἀλλ' οἶδα τὸ κοινὸν καὶ ἅπασι συμβαῖνον πά-
θος; ὅτι καταφρονοῦνται καὶ τὰ ἐξαίρετα τῶν πραγμάτων, ὅταν μὴ σπάνια ᾖ, ἀλ-
λὰ κοινὰ καὶ συνήθη, καὶ πάντες ἐπ' ἀδείας ἔχωσιν ἀπολαύειν αὐτῶν · ἀεὶ γὰρ εἰώ-
θασιν οἱ ἄνθρωποι, τῶν μὲν ξένων καὶ σπανίων καὶ φροντίζειν καὶ θαυμάζειν. τῶν
δὲ κοινῶν καὶ συνήθων καταφρονεῖν · διὰ τοῦτο οὐδεὶς προφήτης τίμιός ἐστιν ἐν τῇ πα-
τρίδι αὐτοῦ · ἀλλ' ἐὰν ἀλλαχόθεν ποθὲν ἔλθῃ, θαυμάζουσιν αὐτόν· οὕτω καὶ τὸν Ἠλίαν,
αἱ μὲν τῆς Ἰουδαίας χῆραι οὐκ ἐδέξαντο. ἡ δὲ Σαραφθία ἐδέξατο· καὶ ὁ Ἐλισσαῖος,
τὸν ξένον λεπρὸν ἐκαθάρισε, πίστιν εἰς αὐτὸν ἐνδειξάμενον · οἱ γὰρ συνήθεις καὶ συμ-
πατριῶται αὐτοῦ, οὐκ ἐπίστευον αὐτῷ, καὶ διὰ τοῦτο οὐκ ἐκαθαρίσθησαν · ὁμοίως οὖν
κἀγὼ, ὑμῖν μὲν τοῖς πατριώταις οὐ δοκῶ θαυμαστὸς, ἀλλὰ καταφρονοῦμαι · διὸ
οὐδὲ σημεῖα ποιῶ · τοῖς δ' ἐν Καπερναοὺμ δοκῶν θαυμαστὸς, καὶ σημεῖα ποιῶ καὶ
δεκτὸς αὐτοῖς εἰμι · ἀκούοντες δὲ ταῦτα ἐν τῇ συναγωγῇ, ἐπληροῦντο θυμοῦ, δέον
θαυμάζειν, καὶ ἐπειρῶντο κατακρημνίσαι αὐτόν · ἀλλ' αὐτὸς διελθὼν διὰ μέσου αὐ-
τῶν, ἐπορεύθη · οὐ τὸ παθεῖν φεύγων, ἀλλὰ τὸν καιρὸν ἀναμένων · εἰς γὰρ τὸ ὑπὲρ ἡ-
μῶν παθεῖν, ἐληλύθει· ἀλλὰ νῦν ἀρχὴν ἔχοντος τοῦ κηρύγματος, οὐκ ἔδει ἑαυτὸν ἐπι-
δοῦναι τῷ θανάτῳ. ἀλλ' ἱκανῶς διδάξαντα, οὕτω τελειωθῆναι · ὥστε ἐκ τούτου δῆ-
λον, ὅτι οὐ δι' ὅταν ἐσταυρώθη, ἄκων ἐσταυρώθη. ἀλλ' ἑκὼν ἑαυτὸν ἐξέδωκε τῷ θανάτῳ·
ἴσθι δὲ ὅτι πατρὶς τῶν προφητῶν, ἡ Ἰουδαίων συναγωγή. ἐν ᾗ ἀτιμάζονται οἱ προ-
φῆται · οὐ δὲ γὰρ δεκτοί εἰσιν · ἡμεῖς δὲ οἱ ἀλλότριοι, ἐδεξάμεθα τούτους · ἡ γὰρ
χήρα, ἡ ἐξ ἐθνῶν ἐκκλησία λέγω, ἐδέξατο τὸν Ἠλίαν. τουτέστι τὸν προφητικὸν λόγον,
λιμοῦ γενομένου νοητοῦ ἐν τῇ Ἰουδαίᾳ · λιμοῦ, τοῦ ἀκοῦσαι λόγον θεοῦ· περὶ ταύτης
δὲ τῆς χήρας ὁ προφήτης φησὶν ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς Ἡσα. νδ'.
ἐχούσης τὸν ἄνδρα· καὶ πάλιν ὅτι, στεῖρα ἔτεκεν ἑπτά. καὶ ἡ πολλὴ ἐν τέκνοις, ἠσθένησεν· α'. βασι. β'.
» Καὶ κατῆλθεν εἰς Καπερναοὺμ, πόλιν τῆς Γαλιλαίας · καὶ ἦν διδάσκων αὐτοὺς
» ἐν τοῖς σάββασι · καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος
» αὐτοῦ · καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος, ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου · καὶ
» ἀνέκραξε φωνῇ μεγάλῃ, λέγων. ἔα, τί ἡμῖν καὶ σοὶ Ἰησοῦ Ναζαρηνὲ, ἦλθες ἀπολέσαι
» ἡμᾶς· οἶδά σε τίς εἶ. ὁ ἅγιος τοῦ θεοῦ· καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων. φιμώθη-
» τι καὶ ἔξελθε ἐξ αὐτοῦ· καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον, ἐξῆλθεν ἀπ' αὐ-

» τοῦ, μηδὲν βλάψαν αὐτόν. καὶ ἐγένετο θάμβος ἐπὶ πάντας. καὶ συνελάλουν πρὸς
» ἀλλήλοις, λέγοντες. τίς ὁ λόγος οὗτος. ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀ-
» καθάρτοις πνεύμασι, καὶ ἐξέρχονται. καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τό-
» πον τῆς περιχώρου. Ἐπειδὴ τοὺς ἀπίστους οὔτε λόγος οὔτε διδασκαλία ἐφέλκεται πρὸς πίστιν, διὰ τοῦτο ὁ κύριος τὰς θαυματουργίας προσάγει, οἷόν τι δραστικώτατον φάρμακον. θαυματουργεῖ οὖν ἐν Καπερναούμ. ἀπιστότατοι γὰρ οὗτοι καὶ πολλῶν δεόμενοι πρὸς πίστιν. ἐπεὶ τοίνυν ἐδίδαξεν ἱκανῶς, καὶ τοῦτο ὡς ἐξουσίαν ἔχων. (οὐ γὰρ ἔλεγε, τάδε λέγει κύριος. ἀλλ' ἐγὼ λέγω ὑμῖν. ὅτι μὴ δὲ ὡς εἷς τῶν προφητῶν ἦν, ἀλλ' ἀληθὴς υἱὸς τοῦ θεοῦ) μετὰ ταῦτα ἐπάγει καὶ τὸ θαῦμα. καὶ θεραπεύει τὸν δαιμονιζόμενον. ὁ δὲ δαίμων, πρότερον ὁμολογεῖ τὴν ἔχθραν. ἵνα ἡ μαρτυρία ἀξιόπιστος εἴη. εἶτα ἐπάγει τὴν μαρτυρίαν. οἶδα σὲ τίς εἶ ὁ ἅγιος τοῦ θεοῦ. πρότερον οὖν ἐγκαλεῖ αὐτῷ. τί ἦλθες ὧδε ἀπολέσαι ἡμᾶς. εἶτα κολακεύει. δοκῶν τὸν κύριον ὑπὸ τῆς κολακείας μαλακισθέντα, ἐάσειν αὐτόν. οὕτως ἀνόητον ἡ πονηρία. ἀλλ' ὁ κύριος, διδάσκων ἡμᾶς ἵνα μὴ χρήζωμεν τῆς ἀπὸ τῶν δαιμόνων μαρτυρίας καὶ συστάσεως, φησί. φιμώθητι. καὶ ἔξελθε ἐξ αὐτοῦ. συγχωρεῖ δὲ τῷ δαίμονι ῥίψαι τὸν ἄνθρωπον, ἵνα μάθωσιν οἱ παρεστῶτες, ὅτι ὄντως δαιμόνιον εἶχε κἀκείνου ἦν τὰ ῥήματα, εἰ καὶ ἡ γλῶσσα τοῦ ἀνθρώπου ὑπούργει. καὶ δὴ συνελάλουν πρὸς ἀλλήλους ἅπαντες, θαυμάζοντες ἐπὶ τοῖς γενομένοις. καὶ λέγοντες. τίς ὁ λόγος οὗτος. τουτέστι, τίς ἡ πρόσταξις αὕτη ἣν προστάσσει. ὅτι, ἔξελθε ἐξ αὐτοῦ. καὶ, φιμώθητι. γίνωσκε δὲ ὅτι καὶ νῦν, πολλοὶ ἔχουσι δαιμόνια. ὅσοι τὰ τῶν δαιμόνων ἐπιθυμήματα τελοῦσιν. οἷον, ἔστι τίς θυμώδης, οὗτος δαιμόνιον ἔχει θυμοῦ. ἀλλ' ἐὰν ἔλθῃ ὁ Ἰησοῦς ἐν τῇ συναγωγῇ, τουτέστιν ὅταν εἴη ὁ νοῦς συνηγμένος καὶ μὴ διαχεόμενος, τότε ἐρεῖ τῷ δαιμονίῳ τοῦ θυμοῦ, ἀκαθέκτῳ ὄντι, φιμώθητι. καὶ εὐθὺς ῥίψαν τὸν ἄνθρωπον εἰς τὸ μέσον, ἐξελεύσεται ἀπ' αὐτοῦ. τί δὲ ἐστὶ τὸ ῥίψαι εἰς τὸ μέσον, μάνθανε. τὸν ἄνθρωπον, οὔτε πάντη θυμώδη καὶ πικρὸν δεῖ εἶναι. θηριῶδες γάρ. οὔτε πάντη ἀόργητον. ἀναίσθητον γάρ. ἀλλὰ τὴν μέσην ὁδὸν βαδίζειν. καὶ τὸν θυμὸν ἔχειν κατὰ τῆς κακίας. ὅταν οὖν τινα ῥίψῃ εἰς τὸ μέσον τὸ πονηρὸν πνεῦμα, ἐξέρχεται ἀπ' αὐτοῦ.

» Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος. ἡ πενθερὰ δὲ Σί-
» μωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ. καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς. καὶ ἐπι-
» στὰς ἐπάνω αὐτῆς, ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν. καὶ παραχρῆμα ἀνα-
» στᾶσα διηκόνει αὐτοῖς. δύνοντος δὲ τοῦ ἡλίου, πάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποι-
» κίλαις, ἤγαγον αὐτοὺς πρὸς αὐτόν. ὁ δὲ, ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς, ἐθερά-
» πευσεν αὐτούς. ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν, κράζοντα καὶ λέγοντα, ὅτι,
» σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. καὶ ἐπιτιμῶν, οὐκ εἴα αὐτὰ λαλεῖν ὅτι ᾔδεισαν τὸν Χρι-
» στὸν αὐτὸν εἶναι. γενομένης δὲ ἡμέρας, ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον. καὶ οἱ ὄχλοι
» ἐπεζήτουν αὐτόν. καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐ-
» τῶν. ὁ δὲ εἶπε πρὸς αὐτοὺς, ὅτι, καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν
» βασιλείαν τοῦ θεοῦ. ὅτι εἰς τοῦτο ἀπέσταλμαι. Ὁ δεσπότης πάντων, παρὰ τοῖς μαθηταῖς ξενιζόμενος ἐτρέφετο. ὥσπερ οὖν καὶ παρὰ Πέτρῳ νῦν ξενιζόμενος, ἰᾶται τὴν ἐκείνου πενθεράν. ἵνα καὶ σὲ παιδεύσῃ μὴ δὲ τὰς τῶν εὐτελῶν ἀποπέμπεσθαι φιλοφροσύνας. οὐχ ἁπλῶς δὲ θεραπεύει αὐτὴν ἀπὸ τῆς νόσου, ἀλλὰ καὶ εὐρωστίαν αὐτῇ καὶ δύναμιν ἐντίθησιν, εἰς τὸ διακονεῖν. εἰ καὶ ἡμεῖς οὖν ὑποδεξόμεθα αὐτὸν, κατασβέσει καὶ τὸν ἡμέτερον πυρετὸν, τόν τε τοῦ θυμοῦ καὶ τὸν τῆς ἐπιθυμίας. καὶ ἐγερεῖ ἡμᾶς ὥστε διακονεῖν αὐτῷ, τουτέστι, τὰ ἀρεστὰ αὐτῷ πράττειν. ὅρα δέ μοι καὶ τοῦ ὄχλου τὴν

πίστιν,

πίστιν, πῶς καὶ δύνοντος τοῦ ἡλίου προσέφερον τοὺς ἀῤῥώστους, μὴ δι᾽ ὑπὸ τοῦ καιροῦ ἐμποδιζόμενοι· οὐκ ἀφίησι δὲ τὰ δαιμόνια λαλεῖν, ἅμα μὲν μὴ δεόμενος τῆς παρὰ τῶν ἀκαθάρτων εὐφημίας. οὐχ ὡραῖος γὰρ αἶνος ἐν στόματι ἁμαρτωλῶν. ἅμα δὲ μὴ θέλων ἀνάψαι τὸν φθόνον τῶν Ἑβραίων, ἐκ τοῦ παρὰ πᾶσιν εὐφημεῖσθαι· οἱ δὲ ὄχλοι, καὶ εἰς ἔρημον τόπον ἀπελθόντα ζητοῦσι καὶ κατέχουσιν αὐτόν. ἀλλ᾽ ἐκεῖνος, οὐκ ἐνὶ τόπῳ περιορίζεται. ἀλλὰ καὶ ταῖς ἑτέραις φησὶ πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ θεοῦ. ὅθεν δεῖ καὶ ἡμᾶς μὴ ὀκνεῖν. μὴ δὲ ἐνὶ τόπῳ περικλειομένοις ἀρκεῖσθαι, ἀλλὰ πανταχοῦ περιϊέναι, εἴπως ὠφελήσομέν τινα. Ἐκκλ. ιε΄.

Κεφάλαιον Πέμπτον.

Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς τῆς Γαλιλαίας. ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ, τοῦ ἀκούειν τὸν λόγον τοῦ θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ. καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς, ἀποβάντες ἀπ᾽ αὐτῶν, ἀπέπλυνον τὰ δίκτυα· ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον. καὶ καθίσας, ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους· ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· ἐπανάγαγε εἰς τὸ βάθος. καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν· καὶ ἀποκριθεὶς ὁ Σίμων, εἶπεν αὐτῷ. ἐπιστάτα, δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλάβομεν. ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον· καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων πολύ· διεῤῥήγνυτο δὲ τὸ δίκτυον αὐτῶν· καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον. καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. ἰδὼν δὲ Σίμων Πέτρος, προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων. ἔξελθε ἀπ᾽ ἐμοῦ ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι κύριε. θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ συνέλαβον. ὁμοίως δὲ, καὶ Ἰάκωβον. καὶ Ἰωάννην υἱοὺς Ζεβεδαίου. οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι· καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς. μὴ φοβοῦ. ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ. Φεύγει μὲν ὁ κύριος τὴν δόξαν. ἡ δὲ τοσῷ μᾶλλον καταδιώκει αὐτόν· τοῦ γοῦν ὄχλου ἐπικειμένου, εἰς τὸ πλοῖον εἰσέρχεται. ὡς ἂν ἀπὸ τοῦ πλοίου διδάσκῃ τοὺς ἐν τῷ αἰγιαλῷ ἱσταμένους. πάντων κατὰ πρόσωπον αὐτοῦ ὄντων, καὶ μηδενὸς ἐαθέντος κατὰ νώτου· ἐπεὶ δὲ τὸν ὄχλον ἐδίδαξεν ἐκ τοῦ πλοίου, οὐκ ἄμισθον ἀφίησι τὸν τοῦ πλοίου δεσπότην. ἀλλὰ διπλῶς αὐτὸν εὐεργετεῖ· ὅτι τε ἰχθύων πλῆθος αὐτῷ ἐχαρίσατο. καὶ ὅτι μαθητὴν αὐτοῦ ἐποιήσατο. θαύμασον δὲ τοῦ κυρίου τὴν οἰκονομίαν, πῶς ἕκαστον διὰ τῶν οἰκείων καὶ συντρόφων ἐφέλκεται· ὡς γὰρ τοὺς μάγους διὰ τοῦ ἀστέρος, οὕτω καὶ τοὺς ἁλιεῖς, διὰ τῶν ἰχθύων. ὅρα δὲ τοῦ χριστοῦ τὴν ἐπιείκειαν, πῶς παρακαλεῖ τὸν Πέτρον ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν· τὸ γὰρ ἠρώτησεν, ἀντὶ τοῦ παρεκάλεσε νόει. ἀλλὰ καὶ ὁ Πέτρος, πῶς ἦν εὐπειθὴς, ὥστε ἄνθρωπον ὃν οὐκ ᾔδει ὑποδέξασθαί τε εἰς τὸ πλοῖον αὐτοῦ, καὶ πάντα αὐτοῦ ὑπακούειν. ὡς γὰρ εἶπεν αὐτῷ, ἐπαναγαγεῖν εἰς τὸ βάθος, οὐκ ἀπεδυσπέτησεν, οὐδ᾽ εἶπε. δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσας καὶ μηδὲν κερδάνας, νῦν σοὶ πεισθήσομαι, καὶ δευτέροις πόνοις ἐμαυτὸν ἐπιδώσω; οὐδὲν τούτων εἶπεν. ἀλλὰ μᾶλλον, ἐπὶ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον· οὕτως ἦν τὴν πίστιν θερμὸς καὶ πρὸ τῆς πίστεως· ὅθεν καὶ τοσούτους ἰχθύας συλλαμβάνει, ὥστε μὴ δυνάμενος τούτους ἑλκύσαι, καὶ τοῖς μετόχοις νεύει. τουτέστι τοῖς κοινωνοῖς τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ. διὰ νεύματος δὲ αὐτοὺς προσκαλεῖται, ἐπειδὴ διὰ τὴν ἐπὶ τῇ ἄγρᾳ ἔκπληξιν, οὐδὲ λαλῆσαι ἠδύνατο· ἀπὸ πολλῆς δὲ εὐλαβείας ὁ Πέτρος, παραιτεῖται τὸν Ἰησοῦν τοῦ μὴ εἶναι ἐν τῷ πλοίῳ. ἁμαρτωλὸν ἑαυτὸν λέγων, καὶ

οὐκ ἄξιον τοῦ ἐκείνῳ συνεῖναι· νόησον δὲ ταῦτα καὶ κατὰ ἀναγωγὴν εἰ θέλεις· τὸ πλοῖον, ἐστὶν ἡ τῶν Ἰουδαίων συναγωγή. ὁ Πέτρος, τύπον ἐπέχει τῶν ἐν τῷ νόμῳ διδασκάλων· ἐκοπίασαν οὖν δι' ὅλης τῆς νυκτὸς, οἱ πρὸ τοῦ χριστοῦ διδάσκαλοι (νὺξ γὰρ ὁ πρὸ τῆς χριστοῦ ἐπιδημίας καιρός) καὶ οὐδὲν ἔλαβον. ἐλθόντος δὲ τοῦ χριστοῦ, καὶ ἡμέρας γενομένης, εἰς τὸν τόπον τῶν νομοδιδασκάλων τεθέντες οἱ ἀπόστολοι, ἐπὶ τῷ ῥήματι αὐτοῦ, τουτέστιν ἐπὶ τῇ προστάξει, χαλῶσι τὸ δίκτυον τοῦ εὐαγγελίου. καὶ πλῆθος ἀνθρώπων ζωγροῦσι. μόνοι δὲ οἱ ἀπόστολοι, οὐ δύνανται ἑλκύσαι τὸ δίκτυον τῶν ἰχθύων· καὶ νεύουσι καὶ τοῖς μετόχοις αὐτῶν καὶ κοινωνοῖς, καὶ συναίρονται αὐτοῖς· οὗτοι δέ εἰσιν, οἱ καθ' ἑκάστους καιροὺς ποιμένες καὶ διδάσκαλοι τῶν ἐκκλησιῶν. οἱ τὰ ἀποστολικὰ ἑρμηνεύοντες καὶ διδάσκοντες, συναίρονται τοῖς ἀποστόλοις πρὸς τὸ ζωγρῆσαι ἀνθρώπους· σκόπει δὲ καὶ τὴν λέξιν τοῦ χαλῶσι τὸ δίκτυον· τὸ μὲν γὰρ εὐαγγέλιον, ἐστὶ τὸ δίκτυον. λέξιν δὲ ἔχον ταπεινὴν καὶ πεζὴν, καὶ συγκαταβατικὴν πρὸς τὴν ἰδιωτείαν τῶν ἀκουόντων, διὰ τοῦτο λέγεται χαλασθῆναι· εἰ δέ τις καὶ τὸ βάθος τῶν νοημάτων δηλοῦσθαι φαίη διὰ τοῦ χαλᾶσθαι τὸ δίκτυον, οὐδὲ τοῦτο ἀπεικός· πεπλήρω-

Ἱερε. ιϛ'. ται γοῦν καὶ τὸ τοῦ προφήτου, εἰπόντος. ἰδοὺ ἐγὼ ἀποστελῶ ἁλιεῖς πολλοὺς, λέγει κύριος· καὶ μετὰ ταῦτα ἀποστελῶ πολλοὺς θηρευτὰς, καὶ θηρεύσουσιν αὐτούς· τοὺς μὲν ἁλιεῖς, τοὺς ἁγίους ἀποστόλους λέγων· θηρευτὰς δὲ, τοὺς κατὰ καιροὺς τῶν ἐκκλησιῶν ἡγουμένους καὶ διδασκάλους·

» Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων. καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας.
» καὶ ἰδὼν τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ λέγων. κύριε, ἐὰν θέλῃς δύ-
» νασαί με καθαρίσαι· καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ εἰπών. θέλω· καθαρίσθητι·
» καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ· καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν.
» ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου κα-
» θὼς προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς· διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐ-
» τοῦ. καὶ συνήρχοντο ὄχλοι πολλοὶ, ἀκούειν καὶ θεραπεύεσθαι ὑπ' αὐτοῦ ἀπὸ τῶν ἀσθε-
» νειῶν αὐτῶν· αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις, καὶ προσευχόμενος·

Ἀξιοθαύμαστος ὁ λεπρὸς, ὅτι θεοπρεπῆ ἔννοιαν περὶ τοῦ κυρίου ἔχων, φησίν. ἐὰν θέλῃς δύνασαί με καθαρίσαι· τοῦτο γὰρ δεικνύντων αὐτὸν ἐννοοῦντα περὶ τοῦ χριστοῦ, ὡς περὶ θεοῦ· οὐ γὰρ ὡς ἰατρῷ προσήρχετο (ἡ γὰρ λέπρα, ἰατρῶν χερσὶν ἀνεπιχείρητος) ἀλλ' ὡς θεῷ· τούτου γὰρ μόνου τὸ τὰ τοιαῦτα ἰᾶσθαι· ὁ δὲ κύριος, ἅπτεται αὐτοῦ, οὐκ

Λευ. ιγ'. ἀλόγως. ἀλλ' ἐπειδὴ κατὰ τὸν νόμον, ὁ ἁπτόμενος λεπροῦ ἐδόκει ἀκάθαρτος εἶναι, θέλων δεῖξαι ὅτι τὰς τοιαύτας μικρολογίας τοῦ νόμου, οὐκ ἀνάγκην ἔχει φυλάττειν, ἀλλ' αὐτὸς ἐστὶν ὁ τοῦ νόμου κύριος, καὶ ὅτι οὐδὲν ὁ καθαρὸς μολύνεται ἐκ τοῦ δοκοῦντος ἀκαθάρτου, ἀλλ' ἡ τῶν ψυχῶν λέπρα, ἐκείνη ἐστὶν ἡ μολύνουσα, τούτου ἕνεκεν ἅπτεται· ἅμα δὲ, καὶ ἵνα δείξῃ ὅτι ἡ ἁγία αὐτοῦ σὰρξ, θείαν ἔχει δύναμιν. καὶ καθαρτικὴ οὖσα καὶ ζωογονοῦσα, ὡς τοῦ θεοῦ λόγου οὖσα σάρξ· παραγγέλλει δὲ τῷ λεπρῷ ἵνα μηδενὶ εἴπῃ, διδάσκων ἡμᾶς μὴ ζητεῖν εὐφημίας παρὰ τῶν εὐεργετουμένων. ἀπελθὼν δέ φησι, δεῖξον σεαυτὸν τῷ ἱερεῖ. καὶ προσένεγκε τὸ δῶρον εἰς μαρτύριον αὐτοῖς. νόμος γὰρ ἦν, τὸν ἱερέα δοκιμάζειν τοὺς λεπρωθέντας καὶ κρίνειν εἰ ἐκαθαρίσθησαν. καὶ ἐὰν μὲν δι' ἑπτὰ ἡμερῶν ἐκαθαρίσθη, ἔμενεν ἔσω τῆς πόλεως ὁ λεπρός. εἰ δὲ μὴ, ἐξεβάλλετο· τοῦτο τοίνυν φησὶν ὁ κύριος. ὕπαγε δεῖξον σεαυτὸν τῷ ἱερεῖ. καὶ προσένεγκε τὸ δῶ-

Λευ. ιγ'. ρον· τί δὲ ἦν τὸ δῶρον; δύο ὀρνίθια. τί δέ ἐστι τὸ εἰς μαρτύριον αὐτοῖς; τουτέστιν εἰς ἔλεγχον αὐτῶν καὶ κατηγορίαν. ἵν' ὅταν κατηγορῶσί μου ὡς παραβαίνοντος τὸν νόμον, ἐκ τούτου ἐλέγχωνται. ὅτι οὐ παραβαίνω, ἐκ τοῦ προστάξαι σοι προσενεγκεῖν τὸ δῶρον

ὁ προσέταξε

ὃ προσέταξε Μωσῆς. πῶς δὲ τὰ δύο ὀρνίθια ἐκεῖνα προσήγοντο τῷ θεῷ, οὐκ ἄκαιρον
εἰπεῖν. ἐσφάζετο τὸ ἓν ὀρνίθιον. καὶ ὑπεδέχοντο τὸ αἷμα αὐτοῦ, ἐν ἀγγείῳ ὀστρακίνῳ
καινῷ. εἶτα τοῦ ἑτέρου ὀρνιθίου ἀμφότερα τὰ πτερὰ ἐβάπτοντο ἐν τῷ αἵματι, καὶ
οὕτως ἀπελύετο τὸ ὀρνίθιον ζῶν. εἰκόνιζον οὖν ταῦτα, τὰ κατὰ τὸν χριστόν. τὰ δύο γὰρ
ὀρνίθια, αἱ δύο φύσεις τοῦ χριστοῦ. ἥ τε θεία καὶ ἡ ἀνθρωπίνη. ὧν τὸ μὲν ἕν, ἐσφάγη.
τουτέστιν ἡ ἀνθρωπίνη. τὸ δὲ ἕτερον ἀπελύθη ζῶν. ἡ γὰρ θεία φύσις ἀπαθὴς διέ-
μεινε. χρισθεῖσα τῷ αἵματι τῆς παθούσης φύσεως, καὶ εἰς ἑαυτὴν τὸ πάθος ἀναδε-
ξαμένη. τὸ δὲ αἷμα τοῦ κυρίου, ἐδέξατο ἀγγεῖον ὀστράκινον καινόν. ὁ λαὸς φημὶ ὁ
καινὸς ὁ ἐξ ἐθνῶν, ὁ τῆς καινῆς διαθήκης δεκτικός. ὅρα δὲ ὅτι μεθ᾽ ὅ τις καθαρισθῇ
τῆς λέπρας, τότε ἄξιός ἐστι προσφέρειν τὸ δῶρον αὐτοῦ. τουτέστι, θύειν χριστὸν καὶ ἱερουρ
γεῖν. λεπρὸς γὰρ ὢν καὶ ἀκάθαρτος τὴν ψυχήν, οὐκ ἂν ἀξιωθείη τοιαῦτα δῶρα προσ
φέρειν. ἤτοι προσκομίζειν τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου, τὸ τῇ θείᾳ φύσει ἑνωθέν.
πρόσχες δὲ καὶ τοῦτο. πῶς ἀμύθητον ἔχει τὴν ὑπεροχὴν ὁ κύριος πρὸς τὸν Μωσῆν. Μω
σῆς μὲν γὰρ λεπρωθεῖσαν τὴν ἀδελφὴν αὐτοῦ, καίτοι πολλὰ δεηθείς, οὐκ ἠδυνήθη θε Ἀριθ. ιβ΄.
ραπεῦσαι. ὁ δὲ κύριος, λόγῳ μόνῳ τὸν λεπρὸν ἐκαθάρισεν. ἐννόει δὲ καὶ τὴν ταπεί
νωσιν τοῦ κυρίου, πῶς τοῦ ὄχλου ἐπιθυμοῦντος ἅπτεσθαι αὐτοῦ, αὐτὸς ἐν ταῖς ἐρήμοις
μᾶλλον διέτριβεν ἀσμένως καὶ προσηύχετο. οὕτως ἄρα τύποις ἡμῖν ἐν πᾶσιν ἐδί
δου τοῦ τε κατ᾽ ἰδίαν προσεύχεσθαι, καὶ τοῦ τὴν δόξαν ἐκκλίνειν.

» Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν διδάσκων. καὶ ἦσαν καθήμενοι φαρι
» σαῖοι καὶ νομοδιδάσκαλοι. οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ
» Ἰουδαίας, καὶ Ἱερουσαλήμ. καὶ ἡ δύναμις κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς. καὶ ἰδοὺ ἄν
» δρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος. καὶ ἐζήτουν αὐτὸν εἰσε-
» νεγκεῖν καὶ θεῖναι ἐνώπιον αὐτοῦ. καὶ μὴ εὑρόντες διὰ ποίας εἰσενέγκωσιν αὐτὸν διὰ
» τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ
» εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν αὐτῷ. ἄνθρωπε.
» ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ
» φαρισαῖοι, λέγοντες. τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας. τίς δύναται ἀφιέναι ἁμαρ
» τίας, εἰ μὴ μόνος ὁ θεός. ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶ
» πε πρὸς αὐτούς. τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν. τί ἐστιν εὐκοπώτερον, εἰπεῖν
» ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν ἔγειραι καὶ περιπάτει. ἵνα δὲ εἰδῆτε ὅτι ἐξου
» σίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, εἶπε τῷ παραλελυ-
» μένῳ. σοὶ λέγω, ἔγειραι. καὶ ἄρας τὸ κλινίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου. καὶ πα-
» ραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ᾽ ὃ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ
» δοξάζων τὸν θεόν. καὶ ἔκστασις ἔλαβε πάντας. καὶ ἐδόξαζον τὸν θεόν. καὶ ἐπλήσθη-
» σαν φόβου, λέγοντες ὅτι, εἴδομεν παράδοξα σήμερον. Ἔδει σιωπησάντων τῶν ἐχθρῶν,
καινότερόν τι τερατουργῆσαι τὸν κύριον. θεραπεύει οὖν ἄνθρωπον νοσοῦντα νόσον δυ-
σίατον. ἵνα διὰ τοῦ τὸ τοιοῦτον ἰάσασθαι νόσημα, καὶ τὴν δυσθεράπευτον τῶν φαρι-
σαίων μανίαν ἐξιάσηται. πρῶτον οὖν τὰ τῆς ψυχῆς θεραπεύει. εἰπών, ἀφέωνταί σοι
αἱ ἁμαρτίαι σου. ἵνα μάθωμεν ὅτι τὰ πολλὰ τῶν ἀῤῥωστημάτων, ἀπὸ τῶν ἁμαρ-
τιῶν τίκτονται. εἶτα καὶ τὰ τοῦ σώματος θεραπεύει, ἰδὼν τὴν πίστιν τῶν προσενεγκάν
των. πολλάκις γὰρ διὰ τὴν ἑτέρων πίστιν, ἑτέροις σώζει. οἱ δὲ φαρισαῖοι φασί. τί οὗ-
τος λαλεῖ βλασφημίας. τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεός. ταῦτα
δὲ λέγουσι, θάνατον αὐτοῦ καταγινώσκοντες. τὸν γὰρ εἰπόντα βλασφημίαν κατὰ τοῦ θεοῦ,
θάνατον ὑπομένειν προσέταττεν ὁ νόμος. ὁ γοῦν κύριος δεικνὺς αὐτοῖς ὅτι ὄντως θεός Λευ. κδ΄.

ἐστι, καὶ οὐ κομπάζει μάτην, ἀφ' ἑτέρου σημείου πείθει αὐτούς· ἃ γὰρ ἐκεῖνοι διελογί-
ζοντο, ταῦτα αὐτὸς συνίησιν· ὅθεν πάντως δῆλον, ὅτι θεός ἐστι. θεοῦ γὰρ τὸ εἰδέναι καρ
δίας· φησὶν οὖν. τί δοκεῖ ὑμῖν εὐκοπώτερον. τὸ ἀφιέναι ἁμαρτίας, ἢ τὸ ὑγιάσαι σῶ-
μα· πάντως κατὰ τὴν ὑμετέραν ψῆφον τὸ ἀφιέναι ἁμαρτίας, δοκεῖ εὐκοπώτερον,
ὡς ἀφανὲς καὶ ἀνέλεγκτον, καίτοι δυσκολώτερον ὄν· τὸ δέγε θεραπεῦσαι σῶμα, δοκεῖ
δυσκολώτερον, ὡς φαινόμενον, καίτοι εὐκοπώτερον ὂν τῇ φύσει· ὅμως ἐγὼ, καὶ τοῦτο
κἀκεῖνο ποιήσω· καὶ διὰ τοῦ θεραπεῦσαι τὸ σῶμα, ὃ δοκεῖ ὑμῖν δυσκολώτερον, πιστώ
σομαι καὶ τὴν θεραπείαν τῆς ψυχῆς· ἥτις εἰ καὶ δύσκολός ἐστι, δοκεῖ ὑμῖν εὔκολος,
διὰ τὸ ἀφανές· ὅρα δὲ ὅτι ἐπὶ τῆς γῆς ἀφίενται αἱ ἁμαρτίαι· ἕως οὗ γὰρ ἐσμὲν ἐπὶ
τῆς γῆς, δυνάμεθα ἐξαλεῖψαι τὰς ἁμαρτίας ἡμῶν· μεθ' ὃ μέντοι τῆς γῆς ἀπαναστῶ
μεν, οὐκ ἔτι ἡμεῖς αὐτοὶ δυνάμεθα δι' ἐξομολογήσεως ἐξαλεῖψαι τὰς ἁμαρτίας ἡ-
μῶν· ἀποκέκλεισται γὰρ ἡ θύρα. εἴπομεν δὲ περὶ ταύτης τῆς περικοπῆς ἐν τοῖς ἑτέροις
εὐαγγελισταῖς πλατύτερον.

» Καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθεάσατο τελώνην ὀνόματι Λευΐν, καθήμενον ἐπὶ τὸ
» τελώνιον· καὶ εἶπεν αὐτῷ. ἀκολούθει μοι· καὶ καταλιπὼν ἅπαντα, ἀναστὰς ἠκολούθη
» σεν αὐτῷ· καὶ ἐποίησε δοχὴν μεγάλην ὁ Λευῒς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἦν ὄχλος
» τελωνῶν πολὺς, καὶ ἄλλων οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι· καὶ ἐγόγγυζον οἱ γραμ-
» ματεῖς αὐτῶν καὶ οἱ φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες. διὰ τί μετὰ τελω
» νῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε· καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτούς.
» οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· οὐκ ἐλήλυθα καλέσαι δι
Ματ. θ'. » καίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Ὁ μὲν Ματθαῖος, ἀπαρακαλύπτως τὸ
ἑαυτοῦ ὄνομα ἀνακηρύττει, λέγων. εἶδε Ματθαῖον τὸν τελώνην ὁ Ἰησοῦς καθήμενον ἐπὶ
Μαρ. θ'. τὸ τελώνιον· ὁ δὲ Λουκᾶς καὶ ὁ Μάρκος, τιμῶντες τὸν εὐαγγελιστὴν, τὸ ἕτερον αὐτοῦ ὄνο
μα, τὸ Λευΐν, εἰς μέσον προτεθείκασι· θαύμασον δὲ τοῦ θεοῦ τὴν φιλανθρωπίαν, πῶς
τὰ σκεύη τοῦ πονηροῦ διαρπάζει· τελώνης γὰρ, σκεῦος τοῦ πονηροῦ· καὶ πονηρὸν θη-
ρίον· ἴσασιν οἱ πεπειραμένοι τῶν πικρῶν ἀπαιτητῶν· οὗτοι γὰρ οἱ τελῶναι, οἱ τὰ δη-
μόσια τέλη ὠνούμενοι. ἐφ' ᾧ ἀποκερδῆσαι κατὰ τῶν οἰκείων ψυχῶν· οὐ μόνον δὲ ἄρα
τὸν Ματθαῖον ἐκέρδησεν, ἀλλὰ καὶ τοὺς ἑτέρους τελώνας οἷς συνειστιᾶτο, κερδῆσαι ἐσπού
δαζεν ὁ κύριος· διὰ γὰρ τοῦτο καταξιοῖ συνεστιαθῆναι, ἵνα κἀκείνους ἐφελκύσηται· οἱ
φαρισαῖοι δὲ αἰτιώμενοι αὐτὸν, ὅρα τί ἀκούουσιν· οὐκ ἐλήλυθα φησὶ καλέσαι δικαίους.
τουτέστιν ὑμᾶς τοὺς δικαιοῦντας ἑαυτούς. ἀλλὰ ἁμαρτωλοὺς ἦλθον καλέσαι. οὐχ
ἵνα τῇ ἁμαρτίᾳ ἐμμένωσιν, ἀλλ' ἵνα μετανοήσωσι· καὶ ἄλλως. οὐκ ἦλθον καλέσαι δι
καίους. οὐ δὲ γὰρ εὑρίσκω, πάντων ἁμαρτόντων· ἐπεὶ εἰ ἦν δυνατὸν εὑρεῖν δικαίους,
οὐκ ἂν ἦλθον· ἔστι δὲ τελώνης καὶ πᾶς ὁ τῷ κοσμοκράτορι δουλεύων, καὶ τέλη τῇ σαρ
κὶ προσφέρων· ὁ γαστρίμαργος, τελεῖ τῇ γαστρὶ βρώματα· ὁ πόρνος, τὴν ῥυπαρὰν μί
ξιν. καὶ ἄλλος, ἄλλο· ὅταν οὖν ἴδῃ αὐτὸν ὁ κύριος, τουτέστιν ὁ εὐαγγελικὸς λόγος, καθή-
μενον ἐπὶ τὸ τελώνιον. τουτέστι μὴ προκόπτοντα μηδὲ προοδεύοντα καὶ κινούμενον εἰς
πλείονα κακίαν, ἀλλ' οἱονεὶ ἀργοῦντα, τότε ἀναστήσεται ἀπὸ τοῦ κακοῦ. καὶ ἀκολουθή-
σει τῷ Ἰησοῦ. καὶ ὑποδέξεται ἐν τῷ οἴκῳ τῆς ψυχῆς αὐτοῦ τὸν κύριον· οἱ δὲ φαρισαῖοι,
οἱ ἀλαζόνες καὶ ἀποκεκομμένοι δαίμονες (τοῦτο γὰρ ὁ φαρισαῖος, ἀποκεκομμένος τῶν
ἄλλων) γογγύζουσιν ὅτι τοῖς ἁμαρτωλοῖς συνεσθίει·

» Οἱ δὲ, εἶπον πρὸς αὐτόν. διὰ τί οἱ μαθηταὶ Ἰωάννου νηστεύουσι πυκνὰ καὶ δεήσεις ποι
» οῦνται. ὁμοίως καὶ οἱ τῶν φαρισαίων, οἱ δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν· ὁ δὲ, εἶπε πρὸς αὐ
» τούς. μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ μετ' αὐτῶν ἐστιν ὁ νυμφίος ποιῆσαι νη-

» στεύειν; ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, τότε νηστεύσου-
» σιν ἐν ἐκείναις ταῖς ἡμέραις. ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτούς. ὅτι, οὐδεὶς ἐπί-
» βλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν. εἰ δὲ μή γε καὶ τὸ καινὸν
» σχίσει, καὶ τῷ παλαιῷ οὐ συμφωνήσει τὸ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ. καὶ οὐδεὶς βάλ-
» λει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς. εἰ δὲ μή γε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκούς. καὶ αὐτὸς
» ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον,
» καὶ ἀμφότερα συντηροῦνται. καὶ οὐδεὶς πιὼν παλαιόν, εὐθέως θέλει νέον. λέγει
» γάρ. ὁ παλαιὸς χρηστότερός ἐστιν. Εἴπομεν περὶ τούτων ἐν τῷ κατὰ Ματθαῖον. καὶ
νῦν δὲ συντετμημένως ἐροῦμεν, ὅτι τοὺς ἀποστόλους, υἱοὺς νυμφῶνος ὀνομάζει. ἡ γὰρ τοῦ
κυρίου παρουσία, γάμῳ ἀπεικάζεται. διότι τὴν ἐκκλησίαν μνηστευσάμενος ἠγάγετο.
οὐ δεῖ τοίνυν τοὺς ἀποστόλους νηστεύειν νῦν. οἱ μὲν γὰρ τοῦ Ἰωάννου μαθηταὶ ὀφείλουσι νη-
στεύειν, ἅτε πόνῳ καὶ καμάτῳ τὴν ἀρετὴν κατορθώσαντος τοῦ διδασκάλου αὐτῶν.
ἦλθε γάρ φησιν, Ἰωάννης, μή τε ἐσθίων μή τε πίνων. οἱ δὲ ἐμοὶ μαθηταί, ὡς τῷ θεῷ
λόγῳ ἐμοὶ συνόντες, οὐ χρήζουσι τέως τῆς ἀπὸ τῆς νηστείας ὠφελείας. αὐτόθεν χαρι-
τωθέντες καὶ φυλαττόμενοι ὑπ᾽ ἐμοῦ. ὅταν δὲ ἐγὼ μὲν ἀναληφθῶ, αὐτοὶ δὲ ἐπὶ τὸ
κήρυγμα σταλῶσι, τότε καὶ νηστεύσουσι καὶ προσεύξονται. οἷα εἰς ἀγῶνας μεγάλους
ἀποδυθέντες. καὶ ἄλλως δὲ νῦν ἀσθενεῖς ὄντες, καὶ μήπω καινισθέντες ὑπὸ τοῦ πνεύ-
ματος, ἀσκοῖς ἐοίκασι παλαιοῖς καὶ ἱματίῳ παλαιῷ. οὐ δεῖ οὖν αὐτοῖς βαρυτέραν τι-
νὰ διαγωγὴν ἐπιφορτισθῆναι. ὥσπερ οὐδὲ ἱματίῳ παλαιῷ ἐπιτίθεται νέον ἐπίβλη-
μα. δύνασαι μὲν οὖν ὡς ἔφην, τοὺς ἀποστόλους ἐκλαβέσθαι ἐοικότας ἀσκοῖς παλαιοῖς,
οἷα ἔτι ἀσθενεῖς ὄντας. δύνασαι δὲ καὶ τοὺς φαρισαίους νοῆσαι τούτοις ἀπεικασθέντας.
μονονουχὶ λέγοντος αὐτοῖς τοῦ κυρίου, ὅτι, ἡ μὲν ἐμὴ διδασκαλία, οἶνος ἐστὶ νέος. ὑμεῖς
δὲ ἀσκοὶ ὄντες παλαιοί, οὐ δύνασθε δέξασθαι ταύτην. ἀλλὰ πιόντες τὸν παλαιὸν οἶ-
νον, τουτέστι τὴν παλαιὰν παράδοσιν, οὐ θέλετε τὴν νέαν τὴν ἐμήν. ἀλλὰ λέγετε ὅτι
ὁ παλαιὸς οἶνος, τουτέστιν ἡ παλαιὰ διαθήκη, χρηστοτέρα ἐστίν.

Κεφάλαιον ἕκτον.

» Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων.
» καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας. καὶ ἤσθιον ψώχοντες ταῖς χερσί. τινὲς δὲ
» τῶν φαρισαίων εἶπον αὐτοῖς. τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι. καὶ ἀπο-
» κριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς. οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησε Δαβίδ, ὁπότε ἐπεί- α΄. Βα. ιβ΄.
» νασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες, ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ. καὶ τοὺς ἄρτους
» τῆς προθέσεως λαβὼν ἔφαγε. καὶ ἔδωκε τοῖς μετ᾽ αὐτοῦ, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ
» μόνους τοὺς ἱερεῖς; καὶ ἔλεγεν αὐτοῖς ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαβ-
» βάτου. Οἱ Ἰουδαῖοι πᾶσαν ἑορτὴν σάββατον ὠνόμαζον. ἀνάπαυσις γὰρ τὸ σάβ-
βατον. πολλάκις οὖν ἀπήντα ἡ ἑορτὴ ἐν παρασκευῇ. καὶ ἐκάλουν τὴν παρασκευήν,
σάββατον διὰ τὴν ἑορτήν. εἶτα τὸ κυρίως σάββατον, ὠνόμαζον δευτερόπρωτον, ὡς δεύ-
τερον ὂν προηγησαμένης ἄλλης ἑορτῆς καὶ σαββάτου. ἔτυχεν οὖν καὶ τότε γενέσθαι
τὸ τοιοῦτον. καὶ ὠνομάζετο δευτερόπρωτον τὸ σάββατον ἐκεῖνο. αἰτιωμένοις δὲ τοῖς
φαρισαίοις τοὺς μαθητὰς ὅτι ἐν τῷ σαββάτῳ ἤσθιον τίλλοντες, τουτέστιν, ἀνασπῶντες
τοὺς στάχυας. καὶ ψώχοντες, ὅ ἐστι τρίβοντες ταῖς χερσί, παράγει ὁ κύριος τὸν Δαβίδ,
πεινάσαντα καὶ φαγόντα τοὺς ἄρτους τῆς προθέσεως. φεύγων γὰρ τὸν Σαοὺλ, πα-
ρεγένετο εἰς Ἀβιάθαρ τὸν ἀρχιερέα. καὶ ἠπάτησεν αὐτὸν λέγων ὡς ἄρα ὁ βασιλεὺς
ἀποστέλλει αὐτὸν ἐπί τι ἀναγκαιότατον ἔργον. καὶ δὴ πεινῶν ἔλαβε μὲν παρὰ τοῦ ἱερέως
καὶ τοὺς ἄρτους τῆς προθέσεως. οὓς καθ᾽ ἑκάστην προετίθεσαν δώδεκα ἐπὶ τῆς ἱερᾶς

προθέσεως, ἐξ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων· ἔλαβε δὲ καὶ τὴν ῥομφαίαν τοῦ Γολιάθ· ταύτην τὴν ἱστορίαν εἰπὼν αὐτοῖς ὁ κύριος, ἐντρέπει αὐτοὺς ἀπὸ τῆς πράξεως τοῦ Δαβίδ· εἰ γὰρ τὸν Δαβὶδ φησὶ τιμᾶτε, πῶς τοὺς ἐμοὺς κατακρίνετε μαθητάς· ἄλλως τε, ὁ υἱὸς τοῦ ἀνθρώπου, τουτέστιν ἐγὼ, κύριός εἰμι τοῦ σαββάτου. ὡς δημιουργὸς καὶ ποιητὴς καὶ δεσπότης καὶ νομοθέτης, ἐξουσίαν ἔχων καταλύειν τὸ σάββατον· υἱὸς γὰρ ἀνθρώπου, οὐκ ἄλλος ἂν κληθείη εἰ μὴ ὁ Χριστὸς· ὃς υἱὸς θεοῦ ὢν, παραδόξως κατηξίωσε καὶ υἱὸς ἀνθρώπου δι᾽ ἀνθρώπους γενέσθαι καὶ κληθῆναι· τὸ γὰρ ἐμὲ καὶ σὲ καλεῖσθαι υἱὸν ἀνθρώπου, οὐδὲν καινόν· ἐκεῖνον δὲ ἄξιον καλεῖσθαι υἱὸν ἀνθρώπου, τὸν παραδόξως ἀνθρωπισθέντα·

» Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδά-
» σκειν· καὶ ἦν ἐκεῖ ἄνθρωπος· καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ, ἦν ξηρά· παρετήρουν δὲ αὐτὸν οἱ
» γραμματεῖς καὶ οἱ φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγορίαν
» κατ᾽ αὐτοῦ· αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν· καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν
» ἔχοντι τὴν χεῖρα. ἔγειραι. καὶ στῆθι εἰς τὸ μέσον· ὁ δὲ, ἀναστὰς ἔστη· εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς
» αὐτούς· ἐπερωτήσω ὑμᾶς. τί, ἔξεστι τοῖς σάββασιν. ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυ-
» χὴν σῶσαι, ἢ ἀπολέσαι; καὶ περιβλεψάμενος πάντας αὐτοὺς, εἶπεν αὐτῷ. ἔκτεινον τὴν
» χεῖρά σου· ὁ δὲ, ἐποίησε, καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη· αὐτοὶ δὲ ἐπλή-
» σθησαν ἀνοίας καὶ διελάλουν πρὸς ἀλλήλους, τί ἂν ποιήσειαν τῷ Ἰησοῦ·

Ὅσα μὲν εἴπομεν ἐν τῷ κατὰ Ματθαῖον, δῆλα· νῦν δὲ τόδε λέγομεν, ὅτι ξηρὰν ἔχει τὴν χεῖρα, ὃς οὐ πράττει τι τῶν τῆς ἀρετῆς ἔργων· ἡ μὲν γὰρ χεὶρ ἐνεργείας ὄργανον· ὃς δὲ ἐξήρανται ταύτην, ἀργεῖ πάντως· ὅστις οὖν θέλει ὑγιασθῆναι τὴν χεῖρα, ἐν τῷ σαββάτῳ ταύτην ὑγιασθήσεται· οἷον τί λέγω· οὐκ ἔστιν ἐνεργῆσαί τι τῶν τῆς ἀρετῆς ἔργων, ἐὰν μὴ παυσθῇ τις ἀπὸ τῆς κακίας· ἔκκλινον γὰρ πρῶτον ἀπὸ τοῦ κακοῦ, καὶ τότε
ταλ· λγ΄· ποίησον τὸ ἀγαθόν· ὅταν οὖν σαββατίσῃς, τουτέστιν ἀργήσῃς ἀπὸ τῶν τῆς κακίας ἔργων, τότε ἐκτενεῖς σου τὴν χεῖρα ἐπὶ τὰ τῆς ἀρετῆς. καὶ ἀποκατασταθήσεταί σοι αὕτη· εἰκότως δὲ εἶπε τὸ, ἀποκατεστάθη· ἦν γάρ ὅτε ἡ ἀνθρωπίνη φύσις εἶχε τὴν ἐργασίαν τοῦ καλοῦ. καὶ τὴν χεῖρα, τουτέστι τὴν ἐνεργητικὴν δύναμιν, ὑγιᾶ· εἶτα ἀπολέσασα, χάριτι Χριστοῦ ἀπέλαβε ταύτην· καὶ ἀποκατέστη εἰς τὸ πρώην ἀγαθόν·

» Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἦν δια-
» νυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ· καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθη-
» τὰς αὐτοῦ· καὶ ἐκλεξάμενος ἀπ᾽ αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε· Σίμω-
» να. ὃν καὶ ὠνόμασε Πέτρον· καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ· Ἰάκωβον, καὶ Ἰωάν-
» νην· Φίλιππον, καὶ Βαρθολομαῖον· Ματθαῖον, καὶ Θωμᾶν· Ἰάκωβον τὸν τοῦ Ἀλφαίου·
» καὶ Σίμωνα τὸν καλούμενον ζηλωτήν· Ἰούδαν Ἰακώβου· καὶ Ἰούδαν Ἰσκαριώτην· ὃς
» καὶ ἐγένετο προδότης· καὶ καταβὰς μετ᾽ αὐτῶν, ἔστη ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος
» μαθητῶν αὐτοῦ. καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσα-
» λήμ· καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος· οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ
» τῶν νόσων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύον-
» το· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ· ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο. καὶ
» ἰᾶτο πάντας· Πάντα ποιεῖ ὁ κύριος διδάσκων ἡμᾶς. ἵνα καὶ ἡμεῖς οὕτω ποιῶμεν·

ἰδοὺ γοῦν μέλλων εὔξασθαι, ἄνεισί τε εἰς ὄρος· καὶ γὰρ δεῖ σχολάζοντας προσεύχεσθαι, καὶ μὴ ἐν μέσῳ πολλῶν. ἀλλὰ καὶ διανυκτερεύοντας. μὴ εὐθὺς ἱσταμένοις εἰς προσευχὴν, εἶτα ἀφισταμένοις· μετὰ δὲ τὴν εὐχὴν ἐκλέγεται τοὺς μαθητὰς, ὡς ἂν διδάξῃ καὶ ἡμᾶς, ὅταν μέλλωμέν τινα εἰς διακονίαν θεῖναι πνευματικὴν, μετὰ εὐχῆς

ὥσπερ αἱρεῖσθαι, ὁδηγουμένοις ὑπὸ θεοῦ, καὶ παρ' ἐκείνου αἰτοῦντας ἀποκαλυφθῆναι ἡμῖν τὸν δόκιμον· ἐλόμενος δὲ τοὺς δώδεκα, κάτεισιν ἐκ τοῦ ὄρους. ὡς ἂν τοὺς ἀπὸ τῶν πόλεων ἐλθόντας ἰάσηται, καὶ διπλῶς εὐεργετήσῃ κατά τε ψυχὴν καὶ κατὰ σῶμα· ἄκουε γὰρ ὅτι, ἦλθον ἀκοῦσαι αὐτοῦ· τοῦτο ἐστὶν ἡ τῶν ψυχῶν θεραπεία· καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· τοῦτο, ἡ τῶν σωμάτων· δύναμις γὰρ παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας· οἱ μὲν γὰρ προφῆται καὶ οἱ ἄλλοι ἅγιοι, οὐκ εἶχον δύναμιν ἐξερχομένην ἀπ' αὐτῶν· οὐ γὰρ ἦσαν αὐτοὶ πηγαὶ δυνάμεων· ὁ δὲ ὁ κύριος, δύναμιν εἶχεν ἐξερχομένην παρ' αὐτοῦ· αὐτὸς γὰρ ἦν ἡ πηγὴ τῆς δυνάμεως· ὡς οἵ γε προφῆται καὶ οἱ ἅγιοι ἐδέχοντο μᾶλλον ἄνωθεν δύναμιν·

Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε. μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε· μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. μακάριοι ἐστὲ ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι καὶ ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν· πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις. ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν· οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι νῦν. ὅτι πεινάσετε· οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν. ὅτι πενθήσετε καὶ κλαύσετε· οὐαὶ ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν·

Μετὰ τὸ χειροτονῆσαι τοὺς μαθητάς, ῥυθμίζει αὐτοὺς διά τε τῶν μακαρισμῶν καὶ τῆς διδασκαλίας, εἰς πνευματικωτέραν κατάστασιν· πρὸς γὰρ αὐτοὺς ἀποτεινόμενος ποιεῖται τὸν λόγον· καὶ πρῶτον μακαρίζει τοὺς πτωχούς· εἴτε τοὺς ταπεινόφρονας βούλοιο νοεῖν, εἴτε τοὺς ἀφιλάργυρον ἔχοντας τὸν τρόπον· ἁπλῶς δὲ πάντες οἱ μακαρισμοὶ εὐτέλειαν ἡμᾶς διδάσκουσι, καὶ ταπείνωσιν καὶ ἐξουδένωσιν καὶ ὀνειδισμόν· ὥσπερ οὖν καὶ τὸ οὐαί, ἐκείνοις ἀποκληροῦται, τοῖς τε πλουσίοις ἐν τῷ νῦν αἰῶνι. οἷς καὶ ἀπέχειν τὴν παράκλησιν φησίν. ἀντὶ τοῦ ὧδε ἐν τῷ παρόντι αἰῶνι ἀπολαμβάνειν τὴν εὐφροσύνην· καὶ τοῖς γελῶσι, καὶ τρυφῶσι, καὶ ἐπαινουμένοις· φρίξωμεν ἀδελφοί· πῶς δ' οὐαὶ ἔχωσιν οἱ παρὰ τῶν ἀνθρώπων ἐπαινούμενοι· δεῖ μὲν γὰρ καὶ παρὰ τῶν ἀνθρώπων ἐπαινεῖσθαι, ἀλλὰ πρότερον ἀπὸ θεοῦ·

Ἀλλὰ ὑμῖν λέγω τοῖς ἀκούουσιν. ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς. καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς· παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου. καὶ ἀπὸ τοῦ αἴροντος τὰ σά, μὴ ἀπαίτει· καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως· καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί. καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι· καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί. καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι· καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί. καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα· πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε, μηδὲν ἀπελπίζοντες. καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς. καὶ ἔσεσθε υἱοὶ τοῦ ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς· γίνεσθε οὖν οἰκτίρμονες. καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν·

Ἐπειδὴ γὰρ οἱ ἀπόστολοι ἔμελλον σταλῆναι ἐπὶ τὸ κήρυγμα. καὶ προσεδοκῶντο ἐντεῦθεν πολλοὶ αὐτοῖς διῶκται καὶ ἐπίβουλοι· ἵν' οὖν ἐπὶ τῷ διωγμῷ ἀχθόμενοι οἱ ἀπόστο-

λοι, εἶτα θέλοντες ἀμύνασθαι τοὺς λυπήσαντας, ἐσίγησαν καὶ οὐκ ἐδίδαξαν, ἔσβεστο
ἂν ὁ τοῦ εὐαγγελίου ἥλιος· διὰ τοῦτο τοίνυν ὁ κύριος προλαμβάνων, παραινεῖ τοῖς ἀπο-
στόλοις μὴ πρὸς ἄμυναν τῶν ἐχθρῶν χωρεῖν. ἀλλὰ πάντα γενναίως φέρειν τὰ συμ-
βαίνοντα, κἂν ὑβρίζωσί τινες. κἂν ἀνοσίως ἐπιβουλεύωσιν· οὕτω καὶ αὐτὸς ἐν τῷ
Λου. κγ'. σαυρῷ ἐποίει, λέγων. πάτερ, ἄφες αὐτοῖς. οὐ γὰρ οἴδασι τί ποιοῦσιν· εἶτα ἵνα μὴ ἔ-
χωσιν εἰπεῖν οἱ ἀπόστολοι ἀδύνατον εἶναι τὸ τοιοῦτον ἐπίταγμα, τὸ ἀγαπᾶν τοὺς ἐ-
χθροὺς, φησίν. ὃ ἐὰν θέλῃς σὺ ἐπὶ σεαυτοῦ, τοῦτο ἔνδειξαι καὶ τοῖς ἑτέροις. καὶ γενοῦ
τοιοῦτος ἄλλοις, οἵους ἂν θέλῃς περὶ σεαυτὸν γενέσθαι ἑτέρους· εἰ μὲν σκληροὺς καὶ
ἀσυμπαθεῖς καὶ ὀργίλους θέλεις εἶναι τοὺς ἐχθροὺς σοι, ἔσο καὶ σὺ τοιοῦτος· εἰ δὲ τοὐναν-
τίον ἀγαθοὺς καὶ συμπαθεῖς καὶ ἀμνησικάκους, μὴ ἀδύνατον εἶναι νόμιζε τὸ τοιοῦτος
καὶ αὐτὸς εἶναι· ὁρᾷς νόμον ἔμφυτον ἐν ταῖς καρδίαις ἡμῶν ἐγγεγραμμένον; οὕτω καὶ
Ἱερ. λα'. ὁ κύριος εἶπεν. ἐν ταῖς ἡμέραις ἐκείναις διδοὺς νόμους μου, εἰς τὴν διάνοιαν αὐτῶν καὶ
ἐπὶ τῶν καρδιῶν αὐτῶν ἐπιγράψω αὐτούς· εἶτα καὶ ἄλλην ἀνάγκην ἐπιτίθησιν ἡ-
μῖν. ὅτι, ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας, ὅμοιοί ἐστε ἁμαρτωλοῖς καὶ ἐθνικοῖς· ἐὰν δὲ ἀ-
γαπᾶτε τοὺς πρὸς ὑμᾶς πονηρευομένους, ὅμοιοί ἐστε τῷ θεῷ· ὃς ἐστιν ἀγαθὸς ἐπὶ τοὺς ἀ-
χαρίστους καὶ πονηρούς. ποῖον οὖν θέλετε. ὅμοιοι εἶναι τῶν ἁμαρτωλῶν, ἢ ὅμοιοι εἶναι τοῦ
θεοῦ· ὁρᾷς διδασκαλίαν θείαν; ἔπεισέ σε πρῶτον ἀπὸ τοῦ φυσικοῦ νόμου· ὃ γὰρ θέλεις σὺ
γενέσθαι σοὶ, τοῦτο καὶ αὐτὸς ἄλλοις ποίει· εἶτα πείθει σε καὶ ἀπὸ τοῦ τέλους καὶ τοῦ
μισθοῦ· μισθὸν γὰρ ὑπισχνεῖται ἡμῖν τὸ ὁμοίους γενέσθαι θεῷ·

» Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε· ἀπολύετε,
» καὶ ἀπολυθήσεσθε· δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλὸν πεπιεσμένον καὶ σεσαλευ-
» μένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ με-
» τρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν· εἶπε δὲ καὶ παραβολὴν αὐτοῖς· μήτι δύναται τυ-
» φλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται· οὐκ ἔστι μαθητὴς
» ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ· κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ·

Παγχάλεπον νόσημα ἀποτέμνει τῶν ἡμετέρων ψυχῶν ὁ κύριος. τὴν ῥίζαν λέγω τῆς
ὑπερηφανίας· ὁ γὰρ μὴ ἑαυτὸν ἐπισκεπτόμενος, ἀλλὰ τὰ τοῦ πλησίον μόνον ἐφορῶν,
καὶ ταῦτα μωμεύειν θέλων, πρόδηλον ὅτι ὑπερηφανίᾳ ἁλισκόμενος λέληθεν ἑαυτόν·
οἴεται γὰρ πάντως περὶ ἑαυτοῦ ὅτι οὐχ ἁμαρτάνει· καὶ διὰ τοῦτο τοὺς ἄλλους ἁμαρτά-
νοντας αἰτιᾶται· εἰ οὖν θέλῃς ἀκατάκριτος εἶναι, μὴ κατάκρινε ἑτέρους· εἰπέ μοι γὰρ δια
τί κατακρίνεις ἕτερον· ὡς παραβαίνοντα πάντως τοὺς θείους νόμους· σὺ δὲ αὐτὸς οὐ
παραβαίνεις θεῖον νόμον; ἀφίημι ἐν ταῖς ἄλλαις ἁμαρτίαις· ἀλλ' ἐν αὐτῷ τούτῳ τῷ
κρίνειν ἑτέρους· πάντως γὰρ νόμος θεῖος διακελεύεταί σοι μὴ κρίνειν τὸν ἀδελφόν·
ὥστε καὶ σὺ παραβαίνεις νόμον· παραβάτης δὲ ὢν, οὐκ ὀφείλεις ἕτερον κρίνειν ὡς πα-
ραβάτην· ἀνώτερον γὰρ εἶναι δεῖ τῆς ἁμαρτανούσης φύσεως τὸν κριτήν· ἀπόλυε οὖν,
καὶ ἀπολυθήσῃ· δίδου, καὶ δοθήσεταί σοι· μέτρον γὰρ καλὸν, πεπιεσμένον καὶ σεσα-
λευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· οὐ γὰρ φειδομένως ἀν-
τιμετρεῖ ὁ κύριος, ἀλλὰ πλουσίως· ὥσπερ οὖν ἐὰν μέλλῃς μετρήσειν τινὶ τὸν ἄλευρον,
πιέζεις τοῦτο καὶ σαλεύεις καὶ ὑπερεκχεῖσθαι ποιεῖς, εἴγε θέλῃς τοῦτο μετρῆσαι χω-
ρὶς φειδωλίας. οὕτω καὶ ὁ κύριος μέτρον μέγα καὶ ὑπερεκχυνόμενον δώσει σοι· ζητή-
σειε δ' ἄν τις ὀξύτερος· πῶς εἰπὼν ὅτι ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν, πά-
λιν λέγει ὅτι, μέτρον ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν, εἰ γὰρ ὑπερεκ-
χύνεται, πῶς τὸ αὐτό ἐστι· λέγομεν οὖν ὅτι οὐκ εἶπε τοσούτῳ μέτρῳ ἀντιμετρηθήσεται
ὑμῖν. ἀλλὰ τῷ αὐτῷ· εἰ μὲν γὰρ εἶπε τοσούτῳ μέτρῳ, τότε ἂν εἶχε δυσχέρειαν καὶ

ἐναντιότητα

ἐναντιότητα ὁ λόγος· νῦν δὲ, τῷ αὐτῷ εἰπὼν, λύει τὴν ἐναντιότητα· ἔστι γὰρ διδόναι τῷ αὐτῷ μέτρῳ, οὐ μὴν τοσούτῳ· τοῦτο γοῦν λέγει ὁ κύριος. ὅτι, εὐηργέτησας, εὐεργετηθήσῃ. τοῦτο, τὸ αὐτὸ μέτρον· τὸ δὲ ὑπερεκχυνόμενον, ὅτι εὐηργέτησας ἅπαξ, μυριοπλασίως εὐεργετηθήσῃ· τὸ αὐτὸ καὶ ἐπὶ τῆς κατακρίσεως· ὁ γὰρ κατακρίνων, εἶτα κατακρινόμενος, τῷ αὐτῷ μέτρῳ ἀντιλαμβάνει· καθὸ δὲ πλεῖον κατακρίνεται ὅτι τὸν ὅμοιον κατέκρινε, κατὰ τοῦτο ὑπερεκχυνόμενόν ἐστι τὸ μέτρον· ταῦτα δὲ εἰπὼν ὁ κύριος, καὶ κωλύσας ἡμᾶς ἀπὸ τοῦ κατακρίνειν, λέγει καὶ παραβολὴν ἡμῖν. τουτέστιν ὑπόδειγμα· εἰπέ μοι γάρ φησιν, ὁ ἕτερον κρίνων, καὶ αὐτὸς τὰ αὐτὰ ἁμαρτάνων, οὐκ ἔοικας τυφλῷ τυφλὸν ὁδηγοῦντι; εἰ γὰρ τὸν ἕτερον κρίνεις, αὐτὸς δὲ τοῖς αὐτοῖς περιπίπτεις, ἀμφότεροι τυφλοί· καὶ δοκεῖς μὲν ὁδηγεῖν ἐκεῖνον ἐπὶ τὸ καλὸν διὰ τοῦ κατακρίνειν, οὐχ ὁδηγεῖς δέ· πῶς γὰρ ἔσται ἐκεῖνος ἐπὶ τὸ καλὸν ὁδηγούμενος ὑπὸ σοῦ, ὅταν καὶ σὺ πταίῃς· οὐκ ἔστι γὰρ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον· εἰ οὖν σὺ ὁ διδάσκαλος δοκῶν καὶ ὁδηγὸς, πταίεις, πάντως που καὶ ὁ μαθητευόμενος καὶ ὁδηγούμενος· ὁ γὰρ κατηρτισμένος μαθητὴς, τουτέστι τετελειωμένος, ἔσται ὡς διδάσκαλος αὐτοῦ· ταῦτα εἶπε περὶ τοῦ μὴ δεῖν κατακρίνειν τοὺς ὑποδεεστέροις ἡμῶν, καὶ δοκοῦντας ἁμαρτάνειν· ἐπάγει δὲ καὶ ἕτερα τῆς αὐτῆς ὑποθέσεως.

» Τί δὲ βλέπεις τὸ κάρφος, τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν
» ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς· ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου. ἀδελφὲ,
» ἄφες ἐκβάλω τὸ κάρφος, τὸ ἐν τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δο-
» κὸν οὐ βλέπων· ὑποκριτὰ, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τό-
» τε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου· οὐ γάρ ἐστι
» δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρόν· οὐδὲ δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλόν·
» ἕκαστον γὰρ δένδρον, ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦ-
» κα. οὐδὲ ἐκ βάτου τρυγῶσι σταφυλήν· ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ
» τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θη-
» σαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν· ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρ-
» δίας λαλεῖ τὸ στόμα αὐτοῦ· Τί βλέπεις φησὶ τὸ κάρφος, τουτέστι τὸ μικρὸν ἁμάρτημα τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν, τὸ μέγα ἁμάρτημα τὸ σὸν οὐ κατανοεῖς· τοῦτο δὲ ἁρμόζει καὶ πρὸς πάντας μὲν, μάλιστα δὲ πρὸς διδασκάλοις καὶ ἄρχοντας· οἱ τὰ μὲν τῶν ὑπὸ χεῖρα, ἁμαρτήματα, καὶ μικρὰ ὄντα, κολάζουσι. τὰ δὲ οἰκεῖα, κἂν μεγάλα ὦσιν, ἐῶσιν ἀκόλαστα· διὸ καὶ ὑποκριτὰς τούτους καλεῖ ὁ κύριος. ὡς ἄλλο μὲν φαινομένους, ἐκ τοῦ τὰ τῶν ἄλλων ἁμαρτήματα κολάζειν (φαίνονται γὰρ δίκαιοι) ἄλλο δὲ ὄντας, ἐκ τοῦ καὶ αὐτοὺς χείρω ἁμαρτάνειν· εἶτα καὶ ἀπὸ ὑποδείγματος πιστοῦται τὸν λόγον αὐτοῦ· ὥσπερ γάρ φησιν, οὐκ ἔστι δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρόν. οὐδὲ δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλὸν, οὕτω καὶ ὁ τοὺς ἄλλους σωφρονίζειν καὶ διορθοῦσθαι ἐπιχειρῶν, καὶ μετάγειν ἐπὶ τὸ βέλτιον, οὐκ ἂν εἴη πονηρός· εἰ δὲ πονηρὸς εἴη, οὐκ ἂν ἑτέροις βελτίοις ἐργάσαιτο· ἡ γὰρ ἑκάστου καρδία, θησαυρός ἐστι· κἂν μὲν ἀγαθὰ ἔχῃ, καὶ ὁ ἄνθρωπος ἀγαθός ἐστι καὶ ἀγαθὰ λαλεῖ· εἰ δὲ πονηρῶν μεστή ἐστιν ἡ καρδία, καὶ ὁ ἄνθρωπος πονηρός ἐστι. καὶ πονηρὰ λαλεῖ· δύνασαι δὲ ταῦτα πάντα καὶ ὡς περὶ τῶν φαρισαίων λεγόμενα νοῆσαι· πρὸς ἐκείνους γὰρ ἀποτεινόμενος, φησὶν, ὅτι. ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου· ὥσπερ καὶ ἀλλαχοῦ λέγει. οἱ τὴν κάμηλον καταπίνοντες, καὶ τὸν κώνωπα διυλίζοντες. (Ματ· κγ'·) πῶς οὖν φησιν ὑμεῖς ὦ φαρισαῖοι, δένδρα ὄντες σαπρὰ, δυνήσεσθε καρποὺς ἀγαθοὺς προσενεγκεῖν· ὑμῶν γὰρ καὶ ὁ λόγος σαπρός. ὡς καὶ ὁ βίος·

ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λέγετε· πῶς οὖν ἑτέροις διορθώσεσθε. καὶ ἑτέρων ἁμαρτήματα κολάσετε, αὐτοὶ τὰ μείζω ἁμαρτάνοντες;

» Τί δέ με καλεῖτε κύριε κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω· πᾶς ὁ ἐρχόμενος πρός με, καὶ
» ἀκούων μου τῶν λόγων, καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος· ὅμοιός ἐστιν
» ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν. ὃς ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν
» πέτραν· πλημμύρας δὲ γενομένης, προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ
» ἴσχυσε σαλεῦσαι αὐτήν. τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν· ὁ δὲ ἀκούσας καὶ μὴ
» ποιήσας, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου. ᾗ
» προσέρρηξεν ὁ ποταμός, καὶ εὐθέως ἔπεσε. καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκεί-
» νης μέγα· Καὶ τοῦτο ἀναγκαῖον πρὸς ἡμᾶς. τοὺς ὁμολογοῦντας μὲν αὐτὸν τοῖς χεί-
λεσι κύριον. τοῖς δὲ ἔργοις ἀρνουμένοις· εἰ γὰρ κύριός εἰμι φησὶ πάντως ὑμᾶς ἔδει τὸ τῶν δούλων ποιεῖν· δούλων δὲ ἔργον, τὸ πράττειν ἃ ὁ κύριος ἐπιτάττει· εἶτα λέγει ἡμῖν τί κερδαίνει ὁ αὐτοῦ ἀκούων· καὶ μὴ μόνον ἀκούων, ἀλλὰ καὶ ποιῶν· ὅμοιος γάρ ἐστιν ἀνθρώπῳ οἰκοδόμῳ ὃς ᾠκοδόμησεν ἐπὶ τὴν πέτραν· πέτρα μὲν οὖν ὁ Χριστός,

α. Πρὸς Κο. ι. ὡς ὁ ἀπόστολος μαρτυρεῖ. σκάπτει δὲ καὶ βαθύνει, ὃς μὴ ἐπιπολαίως δέχεται τοὺς τῆς γραφῆς λόγους. ἀλλ' ἐρευνᾷ τὰ βάθη τούτων μετὰ τοῦ πνεύματος· ὁ τοιοῦτος οὖν καὶ ἐπὶ τὴν πέτραν θεμελιοῖ· εἶτα πλημμύρας γενομένης, διωγμοῦ τυχὸν ἢ πειρασμοῦ, προσρήσει ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, ὁ πειραστὴς εἴτε δαίμων εἴτε ἄνθρωπος, καὶ οὐκ ἰσχύει σαλεῦσαι ταύτην· ποταμῷ δ' ἂν παραβληθείη ὁ πειράζων ἄνθρωπος, καὶ μάλα εἰκότως· ὥσπερ γὰρ τὸν ποταμὸν ἡ ἄνωθεν ἐπιπίπτουσα βροχὴ πλημμυρεῖν ποιεῖ, οὕτω καὶ τὸν πειραστὴν ἄνθρωπον, ὁ ἄνωθεν πεσὼν σατανᾶς αὔξειν ποιεῖ· τῶν δὲ μὴ ποιούντων τοὺς τοῦ κυρίου λόγους ἡ οἰκία πίπτει. καὶ γίνεται τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα· μεγάλα γάρ εἰσι τὰ πτώματα τῶν ἀκουόντων μέν, μὴ ποιούντων δέ. ὁ μὲν γὰρ μήτε ἀκούσας μήτε ποιήσας, ἐλαφρότερα πταίει· ὁ δὲ ἀκούσας μέν, μὴ ποιήσας δέ, χαλεπώτερα ἁμαρτάνει·

Κεφάλαιον ἕβδομον·

» Ἐπεὶ δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν
» εἰς Καπερναούμ· ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων, ἔμελλε τελευτᾶν, ὃς ἦν
» αὐτῷ ἔντιμος· ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν
» Ἰουδαίων, ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ· οἱ δέ, παραγενόμενοι
» πρὸς τὸν Ἰησοῦν, παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες ὅτι ἄξιός ἐστιν ᾧ παρέξει τοῦ-
» το, ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν· καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν· ὁ δὲ Ἰη-
» σοῦς ἐπορεύετο σὺν αὐτοῖς· ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμ-
» ψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλους λέγων αὐτῷ. κύριε, μὴ σκύλλου. οὐ γάρ εἰμι
» ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν· ἀλ-
» λ' εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου· καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν
» τασσόμενος, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, πορεύθητι. καὶ πορεύε-
» ται· καὶ ἄλλῳ, ἔρχου· καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο· καὶ ποιεῖ· ἀκού-
» σας δὲ ταῦτα ὁ Ἰησοῦς, ἐθαύμασεν αὐτόν· καὶ στραφείς, τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ
» εἶπε. λέγω ὑμῖν ὅτι οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον· καὶ ὑποστρέψαντες οἱ
» πεμφθέντες εἰς τὸν οἶκον, εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα·

Ματ. η. Ὁ αὐτός ἐστιν οὗτος τῷ παρὰ τῷ Ματθαίῳ· κἂν γὰρ μὴ λέγῃ ὁ Ματθαῖος ὅτι ἔπεμψε τοὺς Ἰουδαίους ἐρωτῶν καὶ ἱκετεύων αὐτόν, τί τοῦτο· εἰκὸς γὰρ πρότερον μὲν πέμψαι τοὺς Ἰουδαίους. εἶτα αὐτὸν ἐκεῖνον ἐλθεῖν· ὃ γοῦν παρέλειψεν ὁ Ματθαῖος, λέγει ὁ Λουκᾶς·

κῶς· τάχα γάρ τοι καὶ οἱ Ἰουδαῖοι φθόνῳ τηκόμενοι, οὐδὲ εἴασαν δὴ τὸν ἑκατόνταρχον πρὸς τοὺς πόδας τοῦ Ἰησοῦ ἐλθεῖν· δόξαν γὰρ ἔφερε τῷ Ἰησοῦ τοῦτο, εἰ τελευταῖον αὐτὸς ἀναγκαζόμενος προσῆλθεν δὴ τῷ Ἰησοῦ· ἀλλ' ἴσως πάλιν ἀπορήσειεν ἄν τις. πῶς οὖν ὁ μὲν Ματθαῖος φησὶν ὅτι αὐτὸς ἐκεῖνος οἰκειοφώνως παρῃτεῖτο ἐλθεῖν τὸν Ἰησοῦν· ὁ δὲ Λουκᾶς ἐνταῦθα φησὶν ὅτι πέμψας παρεκάλει αὐτὸν μὴ ἐλθεῖν· ἔστιν οὖν εἰπεῖν ὅτι οὐδὲν καινὸν καὶ ἑτέροις πέμψαι. καὶ αὐτὸν ἐλθόντα ταῦτα λέγειν, παραιτούμενον μὴ ἐλθεῖν· ἀξία δὲ ἡ πίστις τοῦ ἀνδρὸς θαυμάζεσθαι, ἀνάξιον ἑαυτὸν καλοῦντος τῆς ἐπιδημίας τοῦ Ἰησοῦ· διὸ καὶ ὁ κύριος φησὶν ὅτι, οὐδὲ ἐν τῷ Ἰσραηλιτικῷ λαῷ τοσαύτην πίστιν εὗρον· ἐθνικὸς γὰρ ἦν ὁ ἑκατόνταρχος, ἀπὸ τῶν Ῥωμαϊκῶν ἴσως ταγμάτων· ἑκατόνταρχος δέ ἐστι καὶ πᾶς νοῦς ὃς ἄρχει πολλῶν ἐν κακίᾳ, πράγματα πολλὰ ἐν τῷ βίῳ ἔχων· ἔχει δὲ δοῦλον νοσοῦντα, τὸ ἄλογον μέρος τῆς ψυχῆς. θυμὸν λέγω καὶ ἐπιθυμίαν· δοῦλα γὰρ ταῦτα ἐτάχθησαν εἶναι· καὶ ἐπικαλεῖται τὸν Ἰησοῦν, πέμψας πρὸς αὐτὸν μεσίτας τοὺς Ἰουδαίους· τουτέστι τοὺς τῆς ἐξομολογήσεως λογισμούς τε καὶ λόγοις. Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται· ἢ γὰρ οὐκ ἐξομολογήσεως ῥήματα καὶ ταπεινώσεως τό, οὐκ εἰμὶ ἄξιος ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, καὶ τὰ ἑξῆς· πιστεύσας οὖν οὕτος ἐπὶ τὸν Ἰησοῦν, ταχέως ἀπολήψεται τὸν δοῦλον αὐτοῦ ὑγιαίνοντα. τὸν θυμὸν λέγω καὶ τὴν ἐπιθυμίαν.

» Καὶ ἐγένετο ἐν τῷ ἑξῆς, ἐπορεύετο εἰς πόλιν καλουμένην Ναΐν. καὶ συνεπορεύον
» το αὐτῷ μαθηταὶ αὐτοῦ ἱκανοί. καὶ ὄχλος πολύς· ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως,
» καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκὼς υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ. καὶ αὕτη ἦν χήρα. καὶ
» ὄχλος τῆς πόλεως ἱκανὸς σὺν αὐτῇ· καὶ ἰδὼν αὐτὴν ὁ κύριος, ἐσπλαγχνίσθη ἐπ' αὐ
» τῇ. καὶ εἶπεν αὐτῇ. μὴ κλαῖε· καὶ προσελθὼν ἥψατο τῆς σοροῦ· οἱ δὲ βαστάζοντες ἔστη
» σαν· καὶ εἶπε. νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. καὶ ἀνεκάθισεν ὁ νεκρός. καὶ ἤρξατο λα-
» λεῖν· καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ. ἔλαβε δὲ φόβος πάντας. καὶ ἐδόξαζον τὸν
» θεόν, λέγοντες ὅτι, προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν· καὶ ὅτι ἐπεσκέψατο ὁ θεὸς
» τὸν λαὸν αὐτοῦ. Ἐπειδὴ πρὸ τὸν τοῦ ἑκατοντάρχου δοῦλον ὑγιᾶ καὶ μὴ παρὼν ἐποίη

σεν, ἕτερον καινότερον θαυματουργεῖ· ἵνα γὰρ μή τις εἴπῃ, καὶ τί καινὸν ἐπὶ τῷ δούλῳ ἐποίησεν. ἴσως γὰρ οὐδὲ ἀπέθανεν δὴ ὁ δοῦλος, διὰ τοῦτο τὸν ἐκκομιζόμενον ἐκεῖνον νεκρὸν ἀνιστᾷ· οὐ λόγῳ δὲ θαυματουργεῖ μόνον, ἀλλὰ καὶ τῆς σοροῦ ἅπτεται. ἵνα μάθωμεν ὅτι τὸ σῶμα αὐτοῦ σῶμα ζωῆς ἐστιν· ἐπειδὴ γὰρ ἰδία γέγονε τοῦ λόγου ἡ σὰρξ τοῦ πάντα ζωογονοῦντος, διὰ τοῦτο ζωοποιός ἐστι καὶ αὐτή. καὶ θανάτου καὶ φθορᾶς ἀναιρετική. ἀνεκάθισεν οὖν ὁ νεκρὸς. καὶ ἤρξατο λαλεῖν, ἵνα μὴ κατὰ φαντασίαν δόξῃ τισὶν ἐγηγέρθαι· καὶ γὰρ ἀληθοῦς ἀναστάσεως σημεῖα, τὸ ἀνακαθίσαι καὶ λαλῆσαι· ἐπεί τοιγε ἄψυχον σῶμα οὔτε ἀνακαθίσαι οὔτε λαλῆσαι δύναται· χήραν δὲ νοήσεις καὶ τὴν ψυχὴν τὴν ἀποβαλοῦσαν τὸν ἄνδρα αὐτῆς, τὸν λόγον τοῦ θεοῦ. τὸν ἀγαθὰ σπέρματα σπείραντα· υἱὸς δὲ ταύτης ὁ νοῦς. ὁ τεθνηκὼς καὶ ἔξω τῆς πόλεως, τῆς ἄνω Ἱερουσαλήμ, κομιζόμενος· χώρα γὰρ τῶν ζώντων ἐστὶν ἐκείνη· ὁ γοῦν κύριος σπλαγχνισθεὶς, ἅπτεται τῆς σοροῦ· σορὸς δὲ τοῦ νοῦ, τὸ σῶμα· τάφος γὰρ ὄντως καὶ σῆμα τὸ σῶμα· καθὰ καί τινες εἶπον αὐτὸ σῆμα εἶναι. τουτέστι τάφον. ἁψάμενος οὖν τοῦ σώματος ὁ κύριος, ἐγείρει τὸν νοῦν. νεανικὸν αὐτὸν καὶ γενναῖον ποιῶν· ἀνακαθίσας δὲ ὁ νεανίσκος, ὁ νοῦς λέγω οὗτος, καὶ ἐγερθεὶς ἀπὸ τοῦ τάφου τῆς ἁμαρτίας, τότε ἄρξεται λαλεῖν. τουτέστι διδάσκειν ἑτέρους· ἐν ὅσῳ γὰρ τῇ ἁμαρτίᾳ κατέχεται, οὐ δύναται διδάσκειν καὶ λαλεῖν· τίς γὰρ αὐτῷ πιστεύσει.

» Καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ. καὶ ἐν πάσῃ τῇ περιχώ-

» ρῳ. καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. καὶ προσκαλεσά-
» μενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης, ἔπεμψε πρὸς τὸν Ἰησοῦν, λέγων. σὺ
» εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν; παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες, εἶπον.
» Ἰωάννης ὁ βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρὸς σὲ, λέγων. σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον
» προσδοκῶμεν; ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ
» πνευμάτων πονηρῶν. καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. καὶ ἀποκριθεὶς εἶπεν
» αὐτοῖς. πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε, ὅτι τυφλοὶ ἀναβλέ
» πουσι, χωλοὶ περιπατοῦσι. λεπροὶ καθαρίζονται. κωφοὶ ἀκούουσι. νεκροὶ ἐγείρονται, πτω-
» χοὶ εὐαγγελίζονται. καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. ἀπελθόντων
» δὲ τῶν ἀγγέλων Ἰωάννου, ἤρξατο λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου. τί ἐξεληλύθατε
» εἰς τὴν ἔρημον θεάσασθαι. κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ τί ἐξεληλύθα
» τε ἰδεῖν. ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ ἐν ἱματισμῷ ἐνδόξῳ
» καὶ τρυφῇ ὑπάρχοντες, ἐν τοῖς βασιλείοις εἰσίν. ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν. προφήτην;
Μαλ. γ΄. » ναὶ λέγω ὑμῖν καὶ περισσότερον προφήτου. οὗτός ἐστι περὶ οὗ γέγραπται. ἰδοὺ ἐγὼ ἀπο
» στέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου. ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν
» σου. λέγω γὰρ ὑμῖν. μείζων ἐν γεννητοῖς γυναικῶν Ἰωάννου οὐδείς ἐστιν. ὁ δὲ μικρότε
» ρος ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, μείζων αὐτοῦ ἐστι. καὶ πᾶς ὁ λαὸς ἀκούσας ἐδικαίωσαν
» τὸν θεὸν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου. οἱ δὲ φαρισαῖοι καὶ οἱ νομικοὶ, τὴν βου-
» λὴν τοῦ θεοῦ ἠθέτησαν εἰς ἑαυτοὺς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ. Ἠκούσθη μὲν ἀνὰ
πᾶσαν τὴν Ἰουδαίαν καὶ τὴν περίχωρον, τὸ ἐν τῇ Ναῒν θαῦμα. ἠκούσθη δὲ καὶ τοῖς
τοῦ Ἰωάννου μαθηταῖς. ἐδάκνοντο οὖν ἐπὶ τοῖς τοῦ κυρίου ἐπαίνοις, οἷα ἔτι ἀτελεῖς. ὁ
τοίνυν Ἰωάννης βουλόμενος αὐτοῖς ὑποδεῖξαι τὸ μέγεθος τοῦ χριστοῦ, καὶ ὅσον ἀφέστη
κεν αὐτοῦ, οἰκονομεῖ τὸ πρᾶγμα. καὶ οὐδὲν μὲν λέγει τοῖς μαθηταῖς περὶ χριστοῦ συ-
στατικόν. ὑποκρινόμενος δὲ τὸν ἀγνοοῦντα, ἀποστέλλει αὐτοὺς. ὡς ἂν ἰδόντες τὰ θαύμα
τα, πιστεύσωσιν ἐκ τῶν ἔργων αὐτῶν. ὅτι πάμπολυ τὸ μέσον τοῦ τε δεσπότου Ἰησοῦ,
καὶ τοῦ δούλου Ἰωάννου. μὴ γὰρ δὴ νόμιζε ὅτι ἀληθῶς ἀγνοῶν ὁ Ἰωάννης τὰ περὶ χρι
στοῦ, ἀπέστειλε τοὺς μαθητὰς αὐτοῦ ἐρωτῶντας. πῶς γὰρ ὁ καὶ πρὸ γενέσεως ἐν κοι-
λίᾳ μητρὸς αὐτοῦ σκιρτήσας, ὡς ἐπιγνοὺς αὐτόν. καὶ ἐν τῷ Ἰορδάνῃ μαρτυρῶν περὶ
αὐτοῦ ὡς υἱοῦ τοῦ θεοῦ. πέμπει τοίνυν τοὺς μαθητὰς, λέγων αὐτοῖς ἐρωτῆσαι τὸν Ἰη-
σοῦν. σὺ εἶ ὁ ἐρχόμενος; ὁρᾷς πῶς τοὺς μαθητὰς ἐμβιβάζει βαθέως εἰς τὸ πιστεῦσαι
ὅτι θεός ἐστιν ὁ Ἰησοῦς; οἱ μὲν γὰρ προφῆται, ἀπεσταλμένοι λέγονται. καὶ αὐτὸς δὲ ὁ
Ἰωάν. α΄. Ἰωάννης, ὡς καὶ ὁ εὐαγγελιστὴς λέγει, ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ. ὁ
δὲ κύριος, ἐρχόμενος. ἐν ἐξουσίᾳ γὰρ ἦλθεν, οὐκ ἄκων. σὺ οὖν φησιν εἶ ὁ προσδοκώμενος
ἔρχεσθαι εἰς τὸν κόσμον; τινὲς δὲ τὸ ἐρχόμενος, εἰς τὸν ᾅδην νοοῦσιν. ὡς εἶναι τὸ λεγόμε-
νον τοιοῦτον. σὺ εἶ ὁ μέλλων ἐλθεῖν καὶ εἰς τὸν ᾅδην; τί οὖν ὁ κύριος. εἰδὼς τὸν τοῦ Ἰωάν-
νου σκοπὸν, ἐφ' ᾧ τούτους ἀπέστειλεν. καὶ ὅτι ἵνα θεάσωνται ἃ ποιεῖ, καὶ ἐκ τούτων
πιστεύσωσι. καὶ διὰ τοῦτο ἀπεστάλησαν, φησὶν ἀπαγγείλατε ἃ βλέπετε. εἶτα καταλέ
γει τὰ τῶν θαυμάτων ἔργα, ἃ καὶ διὰ προφητῶν κατηγγέλη. τὸ γὰρ τυφλοὶ, ἀνα-
Ἠσαΐ. λε΄. βλέπουσι, καὶ χωλοὶ περιπατοῦσι. καὶ πτωχοὶ εὐαγγελίζονται, τοῦ Ἠσαΐου ταῦτά ἐ
στιν. εἶτά φησι. καὶ μακάριος ὃς ἂν μὴ σκανδαλισθῇ ἐν ἐμοί. μονονουχὶ τοῦτο λέγων
αὐτοῖς. καὶ ὑμεῖς μακάριοι ἐὰν μὴ σκανδαλίζησθε ἐν ἐμοί. ἐπεὶ δὲ εἰκὸς ἦν πολλοὺς
σκανδαλισθῆναι ἐπὶ τῷ Ἰωάννῃ, πῶς ὁ τηλικαῦτα μαρτυρήσας περὶ χριστοῦ, νῦν ἀπο-
στείλας ἐρωτᾷ, εἰ αὐτός ἐστιν ὁ ἐρχόμενος. διὰ τοῦτο λέγει ὁ χριστὸς πρὸς τοὺς ὄχλους ὅτι,
μηδὲν τοιοῦτον ὑπολάβητε περὶ Ἰωάννου. μὴ γὰρ κάλαμός ἐστιν. ὡς ποτὲ μὲν ὧδε πο-
τὲ δὲ

τὲ δὲ ἐκεῖ κλίνεσθαι· καὶ νῦν μὲν μαρτυρεῖν περὶ ἐμοῦ. νῦν δὲ ἀγνοεῖν ἐμέ· εἰ γὰρ ἦν τοιοῦτος, τίνος ἕνεκεν ἐξήλθετε εἰς τὴν ἔρημον τότε ὥστε θεάσασθαι αὐτόν· ἀλλὰ μήποτε ὑπὸ τῆς τρυφῆς διεφθάρη τὸν νοῦν; ἀλλ' ἡ στολὴ δείκνυσιν αὐτὸν ὑπεραίω πάσης τρυφῆς· εἰ γὰρ ἐτρύφα, ἐν βασιλείοις ἂν ἦν· ἀλλὰ προφήτην αὐτὸν ἔχετε; ναὶ λέγω ὑμῖν καὶ περισσότερον προφήτου· οἱ μὲν γὰρ ἄλλοι, προεῖπον περὶ Χριστοῦ μόνον· οὗτος δὲ καὶ εἶδε καὶ ἔδειξε, λέγων. ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ· καὶ οἱ μὲν ἄλλοι προφῆται, μετὰ τὸ ἐξελθεῖν ἐκ τῆς κοιλίας τῶν μητέρων αὐτῶν, προεφήτευσαν· οὗτος δὲ καὶ πρὸ τοῦ ἐξελθεῖν ἐκ τῆς μήτρας, ἐπέγνω τὸν κύριον. καὶ ἐσκίρτησεν· εἶτα παράγει καὶ τὸν προφήτην μάρτυρα· φησὶ γάρ. οὗτός ἐστι περὶ οὗ γέγραπται. ἰδοὺ ἀποστέλλω τὸν ἄγ- Μαλ· γ΄·
γελόν μου· ἄγγελος γὰρ ὁ Ἰωάννης, τάχα μὲν καὶ διὰ τὸ σχεδὸν ἄϋλον τοῦ βίου καὶ ἀγγελικόν. τάχα δὲ καὶ διὰ τὸ ἀγγεῖλαι τὴν τοῦ σωτῆρος ἐπιδημίαν· ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου. τῶν ἄλλων πάντων ἐξαίρων τὸν πρόδρομον· εἶτα ὡσανεί τινος εἰπόντος, καὶ σοῦ δὲ αὐτοῦ ὦ Χριστὲ μείζων ἐστίν; ἐπάγει. ὁ δὲ μικρότερος αὐτοῦ ἐγώ, μείζων εἰμὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· νομίζομαι μὲν γὰρ νῦν μικρότερος αὐτοῦ καὶ κατὰ εὐγένειαν καὶ ἡλικίαν καὶ δόξαν. ἀλλ' ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ εἰμί· τουτέστιν ἐν πᾶσι τοῖς θείοις καὶ πνευματικοῖς· πᾶς οὖν ὁ λαὸς ἀκούσας τοῦ Ἰωάννου, ἐδικαίωσαν τὸν θεόν. τουτέστιν ἐτίμησαν τὸν θεόν, ὅτι τὸν προφήτην αὐτοῦ ἐδέξαντο· οἱ δὲ φαρισαῖοι ἠτίμασαν τὸν θεόν, μὴ δεξάμενοι Ἰωάννην· τινὲς δὲ τὸ ἐν γεννητοῖς γυναικῶν οὕτως ἐνόησαν. ὅτι καλῶς εἶπεν ἐν γεννητοῖς γυναικῶν, ὑπεξαίρων ἑαυτὸν ὁ κύριος· αὐτὸς γὰρ παρθένου ἦν γεννητός, οὐχὶ γυναικός. τουτέστι γεγαμημένης ἀνδρί· καὶ τό, ὁ μικρότερος δὲ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἄλλως ἐνόησαν. ὅτι ὁ μικρότερος ἐν τῷ κατὰ Χριστὸν βίῳ, μείζων ἐστὶ τοῦ ἐν τῷ νόμῳ δικαίου· οἷον Ἰωάννης μὲν κατὰ τὴν ἐν τῷ νόμῳ δικαιοσύνην ἄμεμπτος· εἴ τις δὲ εὑρεθῇ βεβαπτισμένος μέν, μήπω δέ τι κακὸν ἢ ἀγαθὸν ἐργασάμενος, οὗτος ἐλάχιστος ὢν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, τουτέστιν ἐν τῷ κατὰ Χριστὸν κηρύγματι, ὅμως μείζων ἐστὶ τοῦ ἀβαπτίστου, ἐν νόμῳ δὲ δικαίου· καὶ ἄλλως. ὅτι εἰ καὶ ἄσαρκος μικροῦ ὁ Ἰωάννης καὶ ἄϋλος, ἀλλ' οὖν ἔτι ἐν σαρκί. καὶ διὰ τοῦτο ὁ ἐλάχιστος ἐν τῇ ἀναστάσει, ἣν βασιλείαν οὐρανῶν εἶναί φησι, μείζων αὐτοῦ ἐστί· τότε γὰρ τελείως ἀφθαρτισθέντες, οὐκ ἔτι κατὰ σάρκα περιπατήσομεν· καὶ ὁ τότε μικρὸς, μείζων ἐστὶ τοῦ νῦν δικαίου μέν, πλὴν ἔτι σάρκα φοροῦντος·

» Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης· καὶ τίνι εἰσὶν ὅμοιοι· ὅμοιοί εἰσι
» παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις. καὶ προσφωνοῦσιν ἀλλήλοις καὶ λέγουσιν. ηὐλήσα-
» μεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκλαύσατε· ἐλήλυθε γὰρ
» Ἰωάννης ὁ βαπτιστὴς μήτε ἄρτον ἐσθίων. μήτε οἶνον πίνων, καὶ λέγετε. δαιμόνιον ἔχει·
» ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγετε. ἰδοὺ ἄνθρωπος φάγος
» καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν· καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέ-
» κνων αὐτῆς πάντων· Ἦν τι παρὰ τοῖς Ἰουδαίοις εἶδος παιδιᾶς τοιοῦτον. εἰς μέρη δύο πλήθη παίδων ἐτέμνετο· καὶ τὸν βίον ὡσανεὶ γελῶντες, οἱ μὲν ἔνθεν ἐθρήνουν, οἱ δὲ ἐκεῖθεν ηὔλουν· καὶ οὔτε τοῖς θρηνοῦσιν, οἱ τοῦ ἑτέρου μέρους συνετίθεντο. οὔτε τοῖς αὐλοῦσιν οὗτοι· ἐπισκώπτει τοίνυν ὁ κύριος καὶ τοὺς φαρισαίους, ὡς τοιοῦτόν τι ποιοῦντας· οὔτε γὰρ τῷ Ἰωάννῃ θρηνητικὸν βίον βιοῦντι καὶ μετάνοιαν εἰσηγουμένῳ, συνεπένθησαν ἢ ἐμιμήσαντο. οὔτε τῷ Ἰησοῦ βίον ἐπιδεικνυμένῳ χαρίεντα, ἐπείσθησαν ἢ συνέθεντο· ἀλλ' ἀμφοτέροις ἀπώσαντο· μήτε τῷ θρηνοῦντι Ἰωάννῃ συνθρηνοῦντες. μήτε τῷ αὐλοῦντι καὶ ἀνειμένῳ Ἰησοῦ συμφωνοῦντες· καὶ λοιπὸν ἐδι-

καιώθη ἡ σοφία τοῦ θεοῦ. τουτέστιν ἐτιμήθη οὐχ ὑπὸ τῶν φαρισαίων, ἀλλὰ τῶν τέκνων αὐτῆς. τουτέστι τῶν παραδεξαμένων τὸν λόγον τοῦ τε Ἰωάννου καὶ τοῦ Ἰησοῦ.

» Ἠρώτα δέ τις αὐτὸν τῶν φαρισαίων, ἵνα φάγῃ μετ' αὐτοῦ. καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν
» τοῦ φαρισαίου ἀνεκλίθη. καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλὸς, ἐπιγνοῦσα ὅτι
» ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς πό-
» δας αὐτοῦ ὀπίσω. κλαίουσα ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι. καὶ ταῖς θρι-
» ξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε. καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ. καὶ ἤλειφε τῷ μύ-
» ρῳ. ἰδὼν δὲ ὁ φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ, λέγων. οὗτος εἰ ἦν προφή-
» της, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. καὶ ἀποκρι-
» θεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτὸν. Σίμων, ἔχω σοι τί εἰπεῖν. ὁ δὲ φησί. διδάσκαλε εἰπέ.
» δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι. ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια. ὁ δὲ ἕτερος
» πεντήκοντα. μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. τίς οὖν αὐ-
» τῶν (εἰπὲ) πλεῖον αὐτὸν ἀγαπήσει. ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν. ὑπολαμβάνω
» ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ ὀρθῶς ἔκρινας. Φαίνεται οὗτος ὁ φα-
ρισαῖος ὁ κεκληκὼς τὸν Ἰησοῦν, μὴ εὐθὴς εἶναι τὴν γνώμην, ἀλλὰ δόλιος, καὶ ὑποκρί-
σεως πλήρης. φησὶν οὖν. οὗτος εἰ ἦν προφήτης. ὥστε οὐκ ἐπίστευεν, ἐπειδὴ τοιαῦτα ἐλάλει. ὁ δὲ κύριος, ὅμως καίτοι εἰδὼς αὐτὸν μὴ εὐθῆ ὄντα, εἰσέρχεται πρὸς αὐτὸν καὶ συνεσθίει. διδάσκων πάντως ἡμᾶς διὰ τούτου, ὡς ἂν τοῖς ὑπούλως πρὸς ἡμᾶς ἔχουσιν, ἡμεῖς ἁπλῶς, καὶ ἀδόλως προσφερώμεθα. ζητοῦσι δὲ πολλοὶ πόσαι ἦσαν αἱ γυναῖκες αἱ ἀλείψασαι τὸν κύριον μύρῳ. καὶ οἱ μὲν, φασὶν ὅτι δύο ἦσαν. ἡ παρὰ τῷ Ἰωάννῃ μία. ἡ καὶ ἀδελφὴ τοῦ Λαζάρου. καὶ ἑτέρα, ἡ παρὰ τῷ Ματθαίῳ καὶ Μάρκῳ καὶ νῦν παρὰ τῷ Λουκᾷ. ἐγὼ δὲ πείθομαι τοῖς λέγουσι τρεῖς εἶναι ταύτας. μίαν μὲν τὴν παρὰ τῷ Ἰωάννῃ πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα. ἣν καὶ ἀδελφὴν εἶναι Λαζάρου. ἑτέραν δὲ τὴν παρὰ τῷ Ματθαίῳ καὶ Μάρκῳ, πρὸ δύο ἡμερῶν τοῦ πάσχα. καὶ τρίτην ταύτην τὴν νῦν παρὰ τῷ Λουκᾷ, περὶ τὰ μέσα τοῦ εὐαγγελίου, μυρίσασαν τὸν κύριον. καὶ οὐδὲν καινὸν πρότερον ταύτην ποιῆσαι τοῦτο, μήπω ἐνστάντος τοῦ καιροῦ τοῦ πάθους. εἶτα ἐκείνας εἴτε μιμησαμένας ταύτην, εἴτε καὶ ἄλλως, πλησίον τοῦ πάθους τὸ αὐτὸ ποιῆσαι. εἰ δὲ καὶ ὁ παρὰ τῷ Ματθαίῳ τὸν κύριον καλέσας, Σίμων ὠνόμαστο, καὶ ὁ νῦν παρὰ τῷ Λουκᾷ, τί καινὸν συμπεσεῖν τὰ ὀνόματα. ἐπεὶ ἐκεῖνός γε καὶ λεπρὸς ἦν. ἀλλ' οὐχὶ καὶ οὗτος. κἀκεῖνος μὲν, τεθεραπευμένος ἀπὸ τῆς λέπρας, χαριστήριον τὴν κλῆσιν ἀποδίδωσι τῷ Χριστῷ. οὗτος δὲ, οὔτε λεπρὸς, οὔτε ἐπὶ χαριστηρίοις καλῶν. κἀκεῖνος μὲν οὐδὲν εἶπεν. οὗτος δὲ ἐγόγγυσε. καὶ κατακρίνει ἐν ταὐτῷ τόν τε Ἰησοῦν, καὶ τὴν γυναῖκα. τὴν μὲν, ὡς ἁμαρτωλόν. τὸν δὲ, ὡς φιλάνθρωπον. ὢ τῆς ἀπονοίας. ὄντως φαρισαῖος ὁ ἄνθρωπος. ἀλλ' ὁ κύριος ἐρωτῶν αὐτὸν ἐν παραβολαῖς. καὶ δύο χρεωφειλέτας παράγων εἰς τὸ μέσον, λεληθότως καὶ αὐτὸν χρεωφειλέτην εἶναι λέγει. ἐλάττω μὲν χρεωστεῖν δοκοῦντα. χρεωστοῦντα δ' ὅμως. οὔτε γοῦν ὁ τὰ ἐλάττω χρεωστῶν σὺ, δύνασαι δοῦναι τὴν ὀφειλὴν (οὐ γὰρ ἔχεις ἐξομολόγησιν τῇ ὑπερηφανίᾳ κρατούμενος) οὔτε ἡ γυνή. ἀμφοτέροις οὖν ἀφεθήσεται, καὶ τίς πλεῖον ἀγαπήσει. πάντως ᾧ τὰ πολλὰ ἀφείθη. καὶ ταῦτα εἰπὼν ἐπιστομίζει τὸν ἀλαζόνα.

» Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη. βλέπεις ταύτην τὴν γυναῖκα;
» εἰσῆλθόν σου εἰς τὴν οἰκίαν. ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας. αὕτη δὲ τοῖς δά-
» κρυσιν ἔβρεξέ μου τοὺς πόδας. καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. φίλη-
» μά μοι οὐκ ἔδωκας. αὕτη δὲ ἀφ' ἧς εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πό-
δας.

» δας· ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας. αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πό-
» δας· οὗ χάριν, λέγω σοι. ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαὶ, ὅτι ἠγάπησε πο-
» λύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ· εἶπε δὲ αὐτῇ ἀφέωνταί σου αἱ ἁμαρτίαι·
» καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς. τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίη-
» σιν· εἶπε δὲ πρὸς τὴν γυναῖκα: ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην·

Δείκνυσι τὸν Σίμωνα ὁ κύριος, καὶ ἀλαζόνα καὶ ἀνόητον· ἀλαζόνα μὲν, εἴγε ἐπὶ τοῖς
ἁμαρτήμασι τὴν ἄνθρωπον κατέκρινεν, ἄνθρωπος ὢν καὶ αὐτός· ἀνόητον δὲ, εἴγε οὐ
συνεῖδεν ὅτι τοσαῦτα ποιήσασαν τὴν γυναῖκα πίστεως σύμβολα καὶ ἀγάπης, ἔδει
παραδέξασθαι. ἀλλ᾽ οὐκ ἀποπέμψασθαι· διὸ καὶ ἐλέγχει αὐτὸν ὁ κύριος, ὡς μά-
την κατακρίνοντα τὴν τοσαῦτα ποιήσασαν, ὅσα αὐτὸς οὐκ ἐποίησε· μᾶλλον δὲ, οὐ-
δὲ τὰ πολλῷ καταδεέστερα· οἷον. σὺ μὲν οὐδὲ ὕδωρ ἐπὶ τοὺς πόδας τοῦτο δὴ τὸ κοι-
νὸν ἔδωκας. αὕτη δὲ δάκρυσιν ἔβρεξε τούτους· οὐδὲ τὸ πρόσωπον σὺ ἐφίλησας. αὕ-
τη δὲ τοὺς πόδας μου κατεφίλησε· σὺ οὐδὲ ἔλαιον, αὕτη μύρον ἐξέχεεν· ὅθεν ἐπειδὴ εἶ-
πας ὅτι οὐ προφήτης εἰμὶ, ἐκ τοῦ μὴ διαγνῶναι ὅτι ἁμαρτωλὸς ἦν αὕτη, ἰδοὺ ἐλέγχω
τὰ ἐν τῇ καρδίᾳ σου· ἵνα γνῷς ὅτι ὥσπερ τὰ σὰ γινώσκω ἃ κρύπτεις, πολλῷ μᾶλλον
τὰ ταύτης. ἃ καὶ ἄλλοι πολλοὶ ἴσασιν· ἀφέωνται τοίνυν αἱ ἁμαρτίαι αὐτῆς, ὅτι ἠγά-
πησε πολύ. ἀντὶ τοῦ πίστιν ἐνεδείξατο πολλήν· οἱ δὲ συνανακείμενοι πάλιν καὶ αὐτοὶ
γογγυσταί. μὴ λογισάμενοι ὅτι ἃ πρὸς τὸν Σίμωνα εἶπε, καὶ πρὸς αὐτοὺς εἰκὸς ἦν λεχθῆ-
ναι· ὁ δὲ κύριος καταστέλλων τὸν γογγυσμὸν αὐτῶν, καὶ βουλόμενος αὐτοῖς δεῖξαι ὅ-
τι ἕκαστον ἡ πίστις αὐτοῦ σώζει, οὐκ εἶπεν. ὦ γύναι ἐγώ σε σώζω. ἵνα μὴ πλέον φθονήσω-
σιν. ἀλλ᾽ ἡ πίστις σου· τοῦτο δὲ εἶπεν ὡς ἔφην, ἅμα μὲν τὸν φθόνον ἐκείνων καταστέλλων.
ἅμα δὲ ἐνάγων κἀκείνους εἰς τὸ πιστεῦσαι. ἐπιγνόντας ὅτι ἡ πίστις σώζει· τὸ δὲ πορεύου
εἰς εἰρήνην. τουτέστιν εἰς δικαιοσύνην· εἰρήνη γὰρ ἡ δικαιοσύνη, ὥσπερ ἡ ἁμαρτία, ἔχθρα
πρὸς θεόν· ὅρα δὲ ὅτι μεθ᾽ ὃ ἀφῆκεν αὐτῇ τὰς ἁμαρτίας, οὐκ ἔστησεν αὐτὴν ἄχρι τῆς
ἀφέσεως τῶν ἁμαρτιῶν. ἀλλὰ προσέθηκε καὶ τὴν ἐργασίαν τοῦ ἀγαθοῦ· τὸ γὰρ πο-
ρεύου εἰς εἰρήνην, ἀντὶ τοῦ πρᾶττε ἅ σε ποιήσουσιν εἰρηνεύειν πρὸς θεὸν, νοεῖν ὀφείλεις·

Κεφάλαιον Ὄγδοον·

» Καὶ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην κηρύσσων καὶ
» εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ θεοῦ· καὶ οἱ δώδεκα σὺν αὐτῷ. καὶ γυναῖκές τι-
» νες, αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν, Μαρία ἡ κα-
» λουμένη Μαγδαληνή. ἀφ᾽ ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει. καὶ Ἰωάννα γυνὴ Χουζᾶ ἐπι-
» τρόπου Ἡρώδου. καὶ Σωσάννα. καὶ ἕτεραι πολλαὶ, αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν
» ὑπαρχόντων αὐταῖς·

Οὐρανόθεν κατελθὼν ἵνα τύπος ἡμῖν ἐν πᾶσι καὶ ὑπογραμ-
μὸς γένηται, διδάσκει ἡμᾶς μὴ κατοκνεῖν εἰς τὸ διδάσκειν. ἀλλὰ πάντα τόπον περιϊέ-
ναι καὶ κηρύσσειν· ὅσα γὰρ ἐποίει, εἰς νουθεσίαν ἡμετέραν ἐποίει· διώδευε τοίνυν πᾶ-
σαν πόλιν καὶ κώμην· καὶ τοὺς δώδεκα δὲ μαθητὰς συνεπήγετο. οὐ διδάσκοντας· οὐ-
δὲ κηρύσσοντας, ἀλλὰ μαθητευομένους παρ᾽ αὐτοῦ καὶ διδασκομένους ἀφ᾽ ὧν τε ἐποίει.
ἀφ᾽ ὧν τε ἔλεγεν· ἐκήρυσσε δὲ ὁ κύριος οὐ τὰ ἀγαθὰ τῆς γῆς, ἀλλὰ τὴν βασιλείαν
τῶν οὐρανῶν· τίνα γὰρ ἄλλον ἔπρεπε τὰ ἄνω κηρύττειν, εἰ μὴ τὸν ἄνωθεν ἐρχόμενον· διὸ
οὐδεὶς τῶν προφητῶν βασιλείαν ἐκήρυξεν οὐρανῶν· ἃ γὰρ οὐκ εἶδον, πῶς ἂν ἐκήρυξαν·
διὰ τοῦτο καὶ ὁ πρόδρομος ἔλεγεν. ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς λαλεῖ· ὁ δὲ ἄνωθεν Ἰωάν· γ΄·
ἐρχόμενος, ὃ ἑώρακε μαρτυρεῖ· ἠκολούθουν δὲ αὐτῷ καὶ γυναῖκες, ἵνα μάθωμεν ὡς οὐ-
δὲ τὸ θῆλυ κωλύεται ὑπὸ τῆς ἀσθενείας ἀκολουθεῖν τῷ χριστῷ· ὅρα δὲ πῶς καὶ πλού-
σιαι οὖσαι ὅμως πάντα παρεῖδον. καὶ τὴν διὰ χριστὸν καὶ μετὰ χριστοῦ πτωχείαν εἵλον-

το· ὅτι γὰρ πλούσιαι ἦσαν, ἄκουε· ὅτι διηκόνουν τῷ κυρίῳ ἀπὸ τῶν ὑπαρχόντων αὐ-
ταῖς καὶ οὐκ ἀπὸ ξένων χρημάτων καὶ ἀδικιῶν ὡς πολλοί· τὸ δὲ ἀφ' ἧς ἐξεληλύθει
δαιμόνια ἑπτὰ, τινὲς μὲν τὸ πολλὰ νοοῦσι· παρὰ τῇ γραφῇ γὰρ τὸ ἑπτὰ ἀντὶ τοῦ πολ
λὰ ἐκλαμβάνεται· τάχα δέ τις εἴποι ἂν ὅτι, ὥσπερ εἰσὶν ἑπτὰ πνεύματα τῆς ἀρε-
τῆς, οὕτως εἰσὶν ἐκ τοῦ ἐναντίου ἑπτὰ πνεύματα τῆς κακίας· οἷον. ἔστι πνεῦμα φόβου
θεοῦ. ἔστιν ἐκ τοῦ ἐναντίου, πνεῦμα ἀφοβίας θεοῦ· ἔστι πνεῦμα συνέσεως. ἔστιν ἀντι-
στρόφως πνεῦμα ἀσυνεσίας· καὶ καθεξῆς· εἰ μὴ γοῦν ἐκβληθείη τὰ ἑπτὰ ταῦτα πνεύ
ματα τῆς κακίας ἀπὸ τῆς ψυχῆς, οὐ δύναταί τις ἀκολουθεῖν τῷ χριστῷ· δεῖ γὰρ ἐκ
βαλεῖν πρῶτον τὸν σατανᾶν, καὶ οὕτως ἐνοικίσαι τὸν χριστόν·

» Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν, εἶ-
» πε διὰ παραβολῆς. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ ἐν τῷ σπείρειν
» αὐτὸν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν. καὶ κατεπατήθη. καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κα-
» τέφαγεν αὐτό· καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν. καὶ φυὲν ἐξηράνθη διὰ τὸ μὴ ἔ-
» χειν ἰκμάδα· καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν. καὶ συμφυεῖσαι αἱ ἄκανθαι
» ἀπέπνιξαν αὐτό· καὶ ἕτερον ἔπεσεν εἰς τὴν γῆν τὴν ἀγαθήν. καὶ φυὲν ἐποίησε καρ-
» πὸν ἑκατονταπλασίονα· ταῦτα λέγων, ἐφώνει ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω· ἐπηρώ
» των δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες. τίς εἴη ἡ παραβολὴ αὕτη· ὁ δὲ εἶπεν. ὑμῖν
» δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ. τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς.
Ἡσα. ϛ'. » ἵνα βλέποντες, μὴ βλέπωσι. καὶ ἀκούοντες μὴ συνιῶσιν· Ὅπερ εἶπεν ὁ Δαβὶδ πά
λαι ἐν προσώπῳ χριστοῦ, τοῦτο νῦν ἐξέβη· ἀνοίξω γάρ φησιν ἐν παραβολαῖς τὸ στόμα
ψαλ. οζ'. μου· φθέγγεται τοίνυν ὁ κύριος παραβολικῶς διὰ πολλά· καὶ ἵνα γὰρ προσεκτικωτέ
ρους ποιήσῃ τοὺς ἀκούοντας. καὶ διεγείρῃ αὐτοῖς τὸν νοῦν εἰς ζήτησιν τῶν λεγομένων· εἰώ
θαμεν γὰρ οἱ ἄνθρωποι τὰ μὲν σκοτεινῶς λεγόμενα περιεργάζεσθαι. τὰ δὲ σαφῆ περι
φρονεῖν· καὶ ἵνα οἱ ἀνάξιοι τῶν μυστηριωδῶς λεγομένων μὴ ἐπακούωσι· καὶ διὰ πολλὰ
ἄλλα ἐν παραβολαῖς φθέγγεται· ἐξῆλθεν οὖν ὁ σπείρων τουτέστιν ὁ υἱὸς τοῦ θεοῦ· ἐ-
ξῆλθεν ἐκ τῶν κόλπων τῶν πατρικῶν. καὶ ἀπὸ τῆς κρυφιότητος αὐτοῦ καὶ ἐμφα-
νὴς ἐγένετο· τίς δὲ ἐξῆλθεν. ὁ ἀεὶ σπείρων· οὐ παύεται γὰρ ὁ υἱὸς τοῦ θεοῦ ἀεὶ σπείρων
ἐν ταῖς ἡμετέραις ψυχαῖς· οὐ γὰρ μόνον ὅταν διδάσκῃ, ἀλλὰ καὶ διὰ τῆς κτίσεως
ταύτης. καὶ τῶν καθ' ἑκάστην εἰς ἡμᾶς γινομένων, σπείρει ἐν ταῖς ἡμετέραις ψυχαῖς
τὰ ἀγαθὰ σπέρματα· ἐξῆλθε δὲ, οὐχ ἵνα τοὺς γεωργοὺς ἀποκτείνῃ. ἢ τὴν χώραν κα-
τακαύσῃ, ἀλλ' ἵνα σπείρῃ· πολλάκις γὰρ ἐξέρχεται ὁ γεωργὸς καὶ δι' ἄλλα, οὐ μόνον διὰ
τὸ σπεῖραι· τὸν σπόρον δὲ αὐτοῦ ἐξῆλθε σπεῖραι· ἴδιος γὰρ αὐτοῦ ἦν ὁ λόγος τῆς διδα-
σκαλίας, καὶ οὐκ ἀλλότριος· οἱ μὲν γὰρ προφῆται, ὅσα ἔλεγον, οὐκ ἴδια ἔλεγον, ἀλ-
λὰ τοῦ πνεύματος· διὸ ἔλεγον τάδε λέγει κύριος· ὁ δὲ χριστὸς, ἴδιον εἶχε τὸν σπόρον·
διὸ οὐκ ἔλεγεν ὅταν ἐδίδασκεν, ὅτι τάδε λέγει κύριος. ἀλλ' ἐγὼ λέγω ὑμῖν· ἐν τῷ
σπείρειν δὲ αὐτὸν, τουτέστιν ἐν τῷ διδάσκειν, ἄλλο μὲν ἔπεσε παρὰ τὴν ὁδόν· οὐκ εἶπεν
ὅτι ἔρριψεν ὁ σπείρων, ἀλλ' ἔπεσεν ἐκεῖνο· ὁ μὲν γὰρ σπείρων, σπείρει καὶ διδάσκει· ὁ
δὲ λόγος εἰς τοὺς ἀκούοντας, πίπτει· οὗτοι δὲ εὑρίσκονται ἢ ὁδός. ἢ πέτρα. ἢ ἄκανθα. ἢ
ἀγαθὴ γῆ· ἐρωτῶσι δὲ τοῖς μαθηταῖς τὴν παραβολὴν, φησὶν ὁ κύριος· ὑμῖν δέδο-
ται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ. τουτέστιν, ὑμῖν τοῖς ζητοῦσι μαθεῖν·
πᾶς γὰρ ὁ αἰτῶν, λαμβάνει· τοῖς δὲ λοιποῖς τοῖς μὴ ἀξίοις οὖσι τῶν μυστηρίων, σκοτει
νῶς λέγονται. καὶ δοκοῦσι μὲν βλέπειν, οὐ βλέπουσι δέ. καὶ ἀκούουσι μὲν, οὐ συνιοῦσι
δέ· καὶ τοῦτο εἰς εὐεργεσίαν αὐτῶν· ἵνα γὰρ μὴ πλέον κατακριθῶσιν, ὡς μετὰ τὸ γνῶ-
ναι τὰ μυστήρια καταφρονήσαντες αὐτῶν, τούτου ἕνεκεν ἀπέκρυψεν ὁ χριστὸς ἀπ' αὐ-

τῶν ταῦτα· ὁ γὰρ γνοὺς, εἶτα καταφρονήσας, βαρυτέρας ἄξιος τιμωρίας·
» Ἔστι δὲ αὕτη ἡ παραβολή. ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ θεοῦ· οἱ δὲ παρὰ τὴν ὁδὸν, εἰσὶν
» οἱ ἀκούοντες. εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν.
» ἵνα μὴ πιστεύσαντες σωθῶσιν· οἱ δὲ ἐπὶ τῆς πέτρας, οἳ ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέ-
» χονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν. οἳ πρὸς καιρὸν πιστεύουσι. καὶ ἐν και-
» ρῷ πειρασμοῦ ἀφίστανται· τὸ δὲ εἰς τὰς ἀκάνθας πεσὸν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ
» ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τε-
» λεσφοροῦσι· τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκού-
» σαντες τὸν λόγον, κατέχουσι καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ· Τρεῖς τάξεις εἰσὶ τῶν
μὴ σωζομένων, ἐνταῦθα· οἱ μὲν γὰρ παρὰ τὴν ὁδὸν, οἱ μὴ δι᾽ ὅλως παραδεξάμενοι τὸν
λόγον· ὥσπερ γὰρ ἡ ὁδὸς, καταπεπατημένη καὶ συμπεπιλημένη, οὐ δέχεται τὸν σπό-
ρον, ὡς σκληρὰ οὖσα, οὕτω καὶ οἱ σκληροκάρδιοι οὐ δι᾽ ὅλως παραδέχονται τὸν λόγον.
κἂν ἀκούωσι μὴ προσέχοντες· οἱ δὲ παρὰ τὴν πέτραν, οἱ δεξάμενοι μὲν, εἶτα ὑπὸ ἀ-
σθενείας ἀνθρωπίνης τοῖς πειρασμοῖς ὑπομαλακισθέντες· τρίτοι δὲ, οἱ ἀκούσαντες,
καὶ ὑπὸ μεριμνῶν τοῦ βίου συμπνιγόμενοι· τρεῖς μὲν οὖν μερίδες εἰσὶ τῶν ἀπολλυμένων.
μία δὲ, ἡ τῶν σωζομένων· οὕτως ὀλίγοι μέν εἰσιν οἱ σωζόμενοι. πλείους δὲ οἱ ἀπολλύμε-
νοι· ὅρα δὲ ἐπὶ τῶν συμπνιγομένων, πῶς οὐκ εἶπεν ὅτι ὑπὸ τοῦ πλούτου συμπνίγονται.
ἀλλ᾽ ὑπὸ τῶν μεριμνῶν τοῦ πλούτου· οὐ γὰρ ὁ πλοῦτος βλάπτει. ἀλλ᾽ αἱ μέριμναι τού-
του· ἐπεὶ πολλοὶ ὑπὸ τοῦ πλούτου ὠφελήθησαν, ῥίψαντες αὐτὸν εἰς τὰς τῶν πενήτων
γαστέρας· σκόπει δέ μοι καὶ τὴν ἀκρίβειαν τοῦ εὐαγγελιστοῦ. πῶς ἔφη περὶ τῶν σωζο-
μένων, οἵτινες ἀκούσαντες τὸν λόγον, κατέχουσι· τοῦτο γὰρ εἶπε διὰ τοὺς παρὰ τὴν ὁδόν· οὗ-
τοι γὰρ οὐ κατέχουσιν. ἀλλ᾽ αἴρει τὸν λόγον ὁ διάβολος ἀπ᾽ αὐτῶν· τὸ δὲ καρποφοροῦ-
σιν, εἶπε διὰ τοὺς συμπνιγομένους καὶ μὴ τελεσφοροῦντας· ἐκεῖνοι γὰρ οὐ καρποφοροῦ-
σιν, οἱ μὴ τελεσφοροῦντες λέγω· τὸ δὲ ἐν ὑπομονῇ, εἶπε διὰ τοὺς ἐπὶ τῆς πέτρας. οἱ δέ-
χονται μὲν τὸν λόγον, οὐχ ὑπομένοντες δὲ πειρασμοῦ ἔφοδον, ἀδόκιμοι φαίνονται· ὁ-
ρᾷς πῶς εἶπε περὶ τῶν σωζομένων, τὸ κατέχουσι. καὶ τὸ καρποφοροῦσι. καὶ τὸ ἐν ὑπο-
μονῇ. καὶ διὰ τούτων τῶν τριῶν ἀποδιέστειλεν αὐτοὺς ἀπὸ τῶν μὴ κατεχόντων, οἵτινές
εἰσιν οἱ παρὰ τὴν ὁδόν· ἀπὸ τῶν μὴ τελεσφορούντων, οἵτινές εἰσιν οἱ ἐν ταῖς ἀκάνθαις·
ἀπὸ τῶν μὴ ὑπομενόντων πειρασμοῦ ἔφοδον, οἵτινές εἰσιν οἱ ἐπὶ τῆς πέτρας·
» Οὐδεὶς δὲ λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει. ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ᾽ ἐ-
» πὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς· οὐ γάρ ἐστι κρυπτὸν, ὃ
» οὐ φανερὸν γενήσεται· οὐδὲ ἀπόκρυφον ὃ οὐ γνωσθήσεται, καὶ εἰς φανερὸν ἔλθῃ· βλέ-
» πετε οὖν πῶς ἀκούετε· ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ
» ἔχειν, ἀρθήσεται ἀπ᾽ αὐτοῦ· Ἄλλης διδασκαλίας ἀρχὴ ἐνταῦθα· πρὸς γὰρ τοὺς μα-
θητὰς ἀποτεινόμενος ταῦτα λέγει. εἰς ἀκρίβειαν βίου ἐνάγων αὐτοὺς καὶ παιδεύων ἐνα-
γωνίους εἶναι, ὡς παρὰ πάντων βλέπεσθαι μέλλοντας· ὁ γὰρ διδάσκων καὶ κηρύττων,
παρὰ πάντων βλέπεται. παρὰ πάντων περισκοπεῖται, εἰ καλός ἐστιν ἢ τοὐναντίον.
καὶ οὐδὲν τῶν αὐτοῦ κρύπτεται· ὑμεῖς οὖν ὦ μαθηταὶ, ἐὰν ἔχητε προσοχὴν καὶ σπου-
δὴν, δοθήσεται ὑμῖν πλείων χάρις παρὰ θεοῦ· ὃς δ᾽ ἂν μὴ ἔχῃ σπουδὴν καὶ προσοχὴν, καὶ
ὃ δοκεῖ ἔχειν χάρισμα ἀπὸ θεοῦ, διὰ τῆς ἀμελείας αὐτοῦ κατασβέννυσι καὶ ἀπόλλυσιν·
» Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ. καὶ οὐκ ἠδύναντο συν-
» τυχεῖν αὐτῷ διὰ τὸν ὄχλον· καὶ ἀπηγγέλη αὐτῷ, λεγόντων. ἡ μήτηρ σου καὶ οἱ ἀδελ-
» φοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες· ὁ δὲ ἀποκριθεὶς, εἶπε πρὸς αὐτούς. μήτηρ μου
» καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες καὶ ποιοῦντες·

Ἐντεῦθεν δείκνυται, ὅτι οὐκ ἦν μετὰ τῶν κατὰ σάρκα συγγενῶν ὁ Χριστός· καταλιπὼν γὰρ τούτους, σχολάζει τῇ πνευματικῇ διδασκαλίᾳ· ἀλλ' ἐκεῖνοι παραγίνονται πρὸς αὐτόν· οὕτως οὖν χρὴ καὶ πάντα τὸν διακονίαν πεπιστευμένον θεοῦ, μηδὲν ποιεῖσθαι προτιμότερον ταύτης· ἀλλὰ καὶ γονεῖς παρωθεῖσθαι, εἴγε μέλλοιεν ἡμᾶς ἐμποδίζειν ἀνωφελῶς καὶ μάτην, εἰς τὸ τοῦ θεοῦ ἔργον· ὥσπερ οὖν καὶ νῦν ὁ κύριος ποιεῖ· ἐπεὶ γὰρ εἶπον αὐτῷ τινες περὶ τῶν συγγενῶν αὐτοῦ, αὐτὸς οὐ περικλείει ἐν ὀλίγοις τὴν ἀδελφότητα. οὐδὲ τοὺς τοῦ Ἰωσὴφ παῖδας καταξιοῖ ἀδελφοὺς μόνους ἔχειν. ἀλλ' ἐπεὶ τὸν κόσμον ἅπαντα ἦλθε σῶσαι, καὶ πάντας ἀδελφοὺς ποιήσασθαι, φησί. μήτηρ μου καὶ ἀδελφοί μου εἰσὶν οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες· εἶτα ἐπειδὴ τὸ ἀκούειν ψιλὸν, οὐδένα σώζει. εἰ μὴ μᾶλλον καὶ κατακρίνει, φησὶ καὶ ποιοῦντες· δεῖ γὰρ μετὰ τοῦ ἀκούειν, καὶ ποιεῖν· λόγον δὲ θεοῦ, τὴν οἰκείαν διδασκαλίαν λέγει· ὅσα γὰρ αὐτὸς ἔλεγε, τοῦ πατρὸς αὐτοῦ ἦσαν· οὐ γὰρ ἦν ἀντίθεος ὥστε ἃ λέγει μὴ εἶναι τοῦ θεοῦ· τινὲς δὲ τὸ χωρίον τοῦτο οὕτω νοοῦσιν. ὅτι τοῦ Χριστοῦ διδάσκοντος καὶ εὐδοκιμοῦντος ἐπὶ τῇ διδασκαλίᾳ, τινὲς φθονήσαντες καὶ ὥσπερ μυκτηρίζοντες αὐτὸν, εἶπον. ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες· ἐπεὶ γὰρ ἡ μήτηρ αὐτοῦ ἐδόκει εὐτελὴς εἶναι. καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἀφανεῖς τινες, ὡς τέκτονος υἱοὶ, τούτου ἕνεκεν διασύροντες αὐτὸν ὡς δυσγενῆ, τὴν μητέρα αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτῷ προέφερον· ὁ δὲ, γνοὺς τὴν διάνοιαν αὐτῶν, εἶπεν ὅτι, οὐδέν με βλάπτει εὐτέλεια συγγενική, ἀλλὰ μᾶλλον κἂν εὐτελὴς εἴη τίς, ἀκούῃ δὲ τὸν λόγον τοῦ θεοῦ, συγγενῆ αὐτὸν ποιοῦμαι ἐμόν·

Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ εἶπε πρὸς αὐτούς. διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης· καὶ ἀνήχθησαν· πλεόντων δὲ αὐτῶν, ἀφύπνωσε· καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην· καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον· προσελθόντες δὲ διήγειραν αὐτὸν, λέγοντες. ἐπιστάτα ἐπιστάτα, ἀπολλύμεθα· ὁ δὲ, ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος, καὶ ἐπαύσατο· καὶ ἐγένετο γαλήνη· εἶπε δὲ αὐτοῖς. ποῦ ἐστιν ἡ πίστις ὑμῶν· φοβηθέντες δὲ, ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους. τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ· Γυμνάζων τοὺς μαθητὰς ὁ κύριος, καὶ δοκιμάζων τὴν πίστιν αὐτῶν, εἰ ἄρα ἐν τοῖς πειρασμοῖς ἀκλόνητοί εἰσι, καθεύδει οἰκονομικῶς· ἀλλ' ἐλέγχεται αὐτῶν ἡ ἀσθένεια· οὐ γὰρ τελείαν πίστιν, ἀλλὰ μεμιγμένην τῇ ἀπιστίᾳ ἐνδείκνυνται· πιστεύουσι μὲν γὰρ ὅτι σῶσαι δύναται. ὡς δὲ ὀλιγόπιστοι, λέγουσι τὸ, σῶσον. ἀπολλύμεθα· εἰ γὰρ τελείαν εἶχον πίστιν, ἐπληροφορήθησαν ἂν ὡς ἀδύνατόν ἐστιν ἀπόλλεσθαι αὐτοὺς, συνόντος αὐτοῖς τοῦ πάντα ἰσχύοντος· ὁ δὲ, ἐγερθεὶς, ἐπετίμησε τῷ ἀνέμῳ· ἀφῆκε γὰρ αὐτοὺς ταραχθῆναι, ἵνα καὶ ἐμφανεστέρα γένηται ἡ αὐτοῦ δύναμις· εἰώθαμεν γὰρ οἱ ἄνθρωποι, τότε μᾶλλον μνημονεύειν τοῦ σώσαντος, ὅταν ἀπὸ μεγάλων κινδύνων ἡμᾶς ἐξέληται· διὰ τοῦτο οὐκ ἐν ἀρχῇ, ἀλλ' ἐν ἀκμῇ τοῦ κινδύνου διαναστὰς αὐτοὺς ἔσωσεν· ὅρα δὲ καὶ ἀναγωγικῶς, ὅτι τύπος ἐστὶ τοῦτο τοῦ ὕστερον περὶ τοὺς μαθητὰς συμβάντος· λίμνη μὲν γὰρ, ἡ Ἰουδαία. περὶ ἣν κατέβη λαῖλαψ πολλὴ τῆς κατὰ Χριστοῦ μανίας, ἣν ἐμάνησαν οἱ Ἰουδαῖοι σταυροῦντες τὸν κύριον· ἐταράχθησαν δὲ καὶ οἱ μαθηταί· πάντες γὰρ ἀφέντες αὐτὸν ἔφυγον· ἀλλ' ἠγέρθη ὁ κύριος ἀπὸ τοῦ ὕπνου. τουτέστιν ἀνέστη, καὶ πάλιν οἱ μαθηταὶ ἐν γαλήνῃ· ἐπιστὰς γὰρ αὐτοῖς, εἶπεν. εἰρήνη ὑμῖν· καὶ ταῦτα μὲν ἀναγωγικῶς· τὸ δὲ, τίς ἄρα οὗτός ἐστιν, οὐχ ὡς ἀγνοοῦντες λέγουσιν. ἀλλὰ θαυμάζοντες· ὡς ἂν εἰ οὕτως ἔλεγον. τίς ἐστιν οὗτος. ἀντὶ τοῦ ποταπὸς καὶ πηλίκος καὶ οἷος. καὶ ἐν ὅσῃ ἐξουσίᾳ καὶ δυνάμει ταῦτα ποιεῖ·

Καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν. ἥτις ἐστὶν ἀντίπερα τῆς Γαλι-

» λαίας· ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως. ὃς
» εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν· καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο. καὶ ἐν οἰκίᾳ οὐκ ἔμε-
» νεν. ἀλλ᾽ ἐν τοῖς μνήμασιν· ἰδὼν δὲ τὸν Ἰησοῦν, καὶ ἀνακράξας, προσέπεσεν αὐτῷ. καὶ
» φωνῇ μεγάλῃ εἶπε. τί ἐμοὶ καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου· δέομαί σου μή με βα
» σανίσῃς· παρήγγελλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου·
» πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν. καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσό
» μενος· καὶ διαῤῥήσσων τὰ δεσμὰ ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους· ἐπηρώ
» τησε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων. τί σοι ἐστὶν ὄνομα· ὁ δὲ, εἶπε. λεγεών· ὅτι δαιμόνια πολ-
» λὰ εἰσῆλθον εἰς αὐτόν· καὶ παρεκάλει αὐτὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον
» ἀπελθεῖν· ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει· καὶ παρεκάλουν αὐ
» τὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν· καὶ ἐπέτρεψεν αὐτοῖς· ἐξελθόντα δὲ
» τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου, εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ
» τοῦ κρημνοῦ εἰς τὴν λίμνην, καὶ ἀπεπνίγη· Ὅρα τὸν δαίμονα δυσὶ κακίας πάθε
σι μεριζόμενον, θράσει καὶ φόβῳ· τὸ μὲν γὰρ λέγειν τί ἐμοὶ καὶ σοὶ, θρασέος καὶ ἀναι
σχύντου δούλου· τὸ δὲ δέομαί σου, φοβουμένου ἐστί· κατῴκει δὲ ἐν τοῖς μνήμασι, πονη
ρὰν ἐνθεῖναι τοῖς ἀνθρώποις ὑπόληψιν βουλόμενος, ὅτι αἱ ψυχαὶ τῶν ἀποθανόντων
δαίμονες γίνονται· αἰτοῦνται δὲ οἱ δαίμονες, μὴ εἰσελθεῖν εἰς τὴν ἄβυσσον. ἀλλὰ συγ
χωρηθῆναι ἔτι ἐν τῇ γῇ διατρίβειν· ὁ δὲ κύριος συγχωρεῖ αὐτοῖς εἶναι ἐν τῇ γῇ, ὡς ἂν
παλαίοντες τοῖς ἀνθρώποις, δοκιμωτέρους αὐτοὺς ποιῶσιν· εἰ γὰρ μὴ ἦσαν ἀντίπαλοι,
οὐκ ἂν ἦσαν στέφανοι· μάθε δὲ καὶ ἀναγωγικώτερον, ὅτι ὅς τις ἔχει δαίμονας ἐν ἑαυ-
τῷ, τουτέστι δαιμονικὰς πράξεις, ἱμάτιον οὐκ ἐνδιδύσκεται. τουτέστι τὴν ἀπὸ τοῦ βαπτί
σματος στολὴν οὐκ ἔχει· καὶ ἐν οἰκίᾳ οὐ μένει. τουτέστιν ἐν ἐκκλησίᾳ· οὐκ ἄξιος γάρ ἐστιν
εἰσέρχεσθαι ἐν ἐκκλησίᾳ· ἀλλ᾽ ἐν τοῖς μνήμασιν. ἤτοι τοῖς τῶν νεκρῶν ἔργων δοχείοις.
οἷον. πορνείοις. τελωνείοις· ταῦτα γὰρ μνημεῖα κακίας εἰσίν·

» Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον, ἔφυγον. καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ
» εἰς τοὺς ἀγρούς· ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός· καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν, καὶ εὗρον κα-
» θήμενον τὸν ἄνθρωπον, ἀφ᾽ οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱματισμένον καὶ σωφρονοῦν-
» τα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐφοβήθησαν· ἀπήγγειλαν δὲ αὐτοῖς καὶ οἱ ἰδόν-
» τες, πῶς ἐσώθη ὁ δαιμονισθείς· καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου
» τῶν Γαδαρηνῶν, ἀπελθεῖν ἀπ᾽ αὐτῶν. ὅτι φόβῳ μεγάλῳ συνείχοντο· αὐτὸς δὲ ἐμβὰς
» εἰς τὸ πλοῖον, ὑπέστρεψεν· ἐδέετο δὲ ὁ ἀνὴρ ἀφ᾽ οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν αὐ
» τῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων. ὑπόστρεφε εἰς τὸν οἶκόν σου. καὶ διηγοῦ, ὅσα
» ἐποίησέ σοι ὁ θεός· καὶ ἀπῆλθε, καθ᾽ ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ
» ὁ Ἰησοῦς· Τὸ μὲν φυγεῖν τοὺς βόσκοντας, σωτηρίας ἀφορμὴ ἐγένετο τοῖς Γαδαρη-
νοῖς. ἀλλ᾽ ἐκεῖνοι οὐ συνῆκαν· δέον γὰρ θαυμάσαι τὴν δύναμιν τοῦ σωτῆρος, καὶ πιστεῦ-
σαι αὐτῷ, οἱ δὲ ἠρώτησαν, φησὶ, τὸν Ἰησοῦν, ἀντὶ τοῦ παρεκάλεσαν, ἀπελθεῖν ἀπ᾽ αὐ-
τῶν· ἐφοβήθησαν γὰρ μήπως καὶ ἄλλοτι ἐπιζήμιον πάθωσιν, ὥσπερ καὶ τοὺς χοίρους
ἀπώλεσαν· ὁ δὲ θεραπευθεὶς ἐκεῖνος, ἀναντίῤῥητον τὴν ἀπόδειξιν τῆς θεραπείας
ἐμφαίνει· οὕτω γὰρ ὑγιάσθη τὰς φρένας, ὥστε ἐπιγνῶναί τε τὸν Ἰησοῦν, καὶ ἀξιοῦν
αὐτὸν ἵνα ᾖ σὺν αὐτῷ· καὶ γὰρ ὡς ἔοικεν, ἐφοβεῖτο μήπως μακρυνθεὶς ἀπὸ τοῦ Ἰησοῦ,
πάλιν εὐεπιχείρητος ἔσται τοῖς δαίμοσιν· ὁ δὲ κύριος, δεικνύων αὐτῷ ὅτι κἂν μὴ σὺν ᾖ
τῷ Ἰησοῦ, δύναται τῇ χάριτι αὐτοῦ σκεπόμενος, ἀνώτερος εἶναι δαιμονικῆς ἐπηρείας,
ὑπόστρεφε φησὶν εἰς τὸν οἶκόν σου. καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ θεός· οὐκ εἶπεν, ὅσα
σοι ἐποίησα ἐγώ. τύπον ἡμῖν ταπεινοφροσύνης διδούς· καὶ ἵνα πάντα πρὸς θεὸν ἀνα

φέρωμεν τὰ κατορθώματα. ὁ δὲ, οὕτως εὐγνώμων ἦν, ὥστε διηγεῖσθαι ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς. ὁ μὲν γὰρ κύριος, προσέταξεν αὐτῷ διηγεῖσθαι, ὅσα ἐποίησεν αὐτῷ ὁ θεός. ὁ δὲ, διηγεῖται, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς. δεῖ οὖν καὶ ἡμᾶς ὅταν τινὶ ποιήσωμεν ἀγαθὸν, μὴ θέλειν ἀνακηρύττεσθαι παρ' ἐκεῖνον δὲ τὸν παθόντα τὸ ἀγαθὸν, κἂν ἡμεῖς μὴ θέλωμεν, ἀνακηρύττειν αὐτό.

» Ἐγένετο δὲ ἐν τῷ ὑποστρέψαι τὸν Ἰησοῦν, ἀπεδέξατο αὐτὸν ὁ ὄχλος. ἦσαν γὰρ πάν
» τες προσδοκῶντες αὐτόν. καὶ ἰδοὺ ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος. καὶ αὐτὸς ἄρχων τῆς
» συναγωγῆς ὑπῆρχε. καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, παρεκάλει αὐτὸν εἰσελθεῖν,
» εἰς τὸν οἶκον αὐτοῦ. ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ, ὡς ἐτῶν δώδεκα. καὶ αὕτη ἀπέ-
» θνησκεν. ἐν δὲ τῷ ὑπάγειν αὐτὸν, οἱ ὄχλοι συνέπνιγον αὐτόν. καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵ
» ματος ἀπὸ ἐτῶν δώδεκα. ἥτις ἰατροῖς προσαναλώσασα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν ὑ-
» π' οὐδενὸς θεραπευθῆναι. προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου
» αὐτοῦ. καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς.

Ὑπέστρεψε μὲν ὁ Ἰησοῦς ἀπὸ τῆς τῶν Γαδαρηνῶν χώρας. προσεδόκων δὲ αὐτὸν οἱ ὄχλοι, ἅμα μὲν διὰ τὴν διδασκαλίαν. ἅμα δὲ διὰ τὰ θαύματα. προσῆλθεν οὖν καί τις ἄρχων τῆς συναγωγῆς. οὐκ εὐτελὴς οὐδ' ἀπόβλητος, ἀλλὰ τῶν πρώτων. προστίθησι δὲ καὶ τὸ ὄνομα τούτου ὁ εὐαγγελιστὴς, ἵνα γνωριμώτερον τὸ θαῦμα γένηται, ὡς ἔστιν ἀληθές. προσπίπτει δὲ οὗτος τῷ Ἰησοῦ, χρείας ἐνστάσης. καίτοι ἔδει αὐτὸν καὶ μὴ ταύτης ἀναγκαζούσης, προσπεσεῖν. καὶ ἐπιγνῶναι αὐτὸν θεὸν ὄντα. ὅμως καὶ θλίψις ἐστὶν ὅτε ἐκβιάζεται τοὺς ἀνθρώπους πρὸς τὴν τοῦ κρείττονος ἐπιλογήν. ταύτῃ τοι καὶ ὁ Δαβὶδ ἔφη ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. ἐν παρόδῳ δὲ, πρόσεισι γυνὴ πίστιν ἐπαγομένη μάλα πολλήν. προσελθοῦσα γὰρ, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ. πιστεύουσα πάντως, ὅτι ἐὰν μόνον ἅψηται, σωθήσεται. καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος. ὥσπερ γὰρ εἰ προσαγάγοι τὶς ὀφθαλμὸν φωτὶ λάμποντι, ἢ πυρὶ φρύγανον, εὐθὺς ἐνεργοῦσιν, οὕτω προσαγαγοῦσα πίστιν τῷ δυναμένῳ θεραπεῦσαι, εὐθὺς τῆς θεραπείας ἔτυχεν. οὐδὲν γὰρ ἐλογίσατο. οὐ τὸ πολυχρόνιον τῆς νόσου. οὐ τὸ τοὺς ἰατροὺς ἀστοχῆσαι. οὐκ ἄλλο οὐδέν. ἀλλὰ μόνον ἐπίστευσε, καὶ σέσωσται. καὶ ὡς ἔοικε πρότερον ἥψατο τοῦ Ἰησοῦ νοητῶς, εἶτα καὶ σωματικῶς.

» Καὶ εἶπεν ὁ Ἰησοῦς. τίς ὁ ἁψάμενός μου. ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος καὶ
» οἱ μετ' αὐτοῦ. ἐπιστάτα. οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, καὶ λέγεις τίς ὁ ἁψά-
» μενός μου; ὁ δὲ Ἰησοῦς εἶπεν. ἥψατό μου τίς. ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀ-
» π' ἐμοῦ. ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε. καὶ προσπεσοῦσα αὐτῷ, δι' ἣν
» αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ. καὶ ὡς ἰάθη παρα-
» χρῆμα. ὁ δὲ εἶπεν αὐτῇ. θάρσει θύγατερ. ἡ πίστις σου σέσωκέ σε. πορεύου εἰς εἰρήνην.

Ὁ κύριος θέλων καὶ τῆς γυναικὸς τὴν πίστιν πᾶσιν ἐπιδείξασθαι, ἵνα μιμηταὶ ταύτης γένωνται, καὶ τῷ Ἰαείρῳ ἐλπίδας ἀγαθὰς δοῦναι περὶ τῆς αὐτοῦ θυγατρὸς, φανεροῖ τὸ λαθραίως γενόμενον. καὶ ζητεῖ μὲν, τίς ὁ ἁψάμενος αὐτοῦ. ὁ δὲ Πέτρος, ὥσπερ τολμηρὸς, μεμφόμενος αὐτὸν ἕνεκεν τῆς ἐρωτήσεως, φησί. τοσοῦτοί σε συμπνίγουσι, καὶ λέγεις τίς ὁ ἁψάμενός μου; οὐκ ἐνενόει δὲ τί ὁ κύριος ἠρώτα. ὁ μὲν γὰρ Ἰησοῦς ἐπυνθάνετο. τίς ὁ ἁψάμενός μου μετὰ πίστεως, καὶ οὐχὶ ἁπλῶς οὕτως. ὥσπερ γὰρ ἔχει τὶς ὦτα τοῦ ἀκούειν. ἄλλος δὲ ὦτα ἔχει καὶ οὐκ ἀκούει, οὕτως ἄλλος μὲν ἅπτεται μετὰ πίστεως, ἄλλος δὲ ἐγγίζει μὲν, ἡ δὲ καρδία αὐτοῦ πόρρω ἀπέχει. ἐρωτᾷ τοίνυν ὁ κύριος, καίτοι εἰδὼς τὴν γυναῖκα. ἀλλ' ὅπερ ἔφην, ἵνα καὶ τὴν πίστιν αὐτῆς ὑποδείξῃ. καὶ τὸν ἀρχισυνάγωγον εὔελπιν ποιήσῃ, ἐρωτᾷ, καὶ θεατρίζει τὴν


γυναῖκα

ψαλ. λα'.

γυναῖκα. ἔγνων δέ φησι δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ, εἰκότως. οἱ μὲν γὰρ προφῆται οὐκ εἶχον δυνάμεις ἀπ' αὐτῶν ἐξερχομένας. χάριτι γὰρ θεοῦ ἐθαυματούργουν. ὁ δὲ Ἰησοῦς πηγὴ ὢν παντὸς ἀγαθοῦ καὶ πάσης δυνάμεως, ἔχει καὶ δυνάμεις ἀπ' αὐτοῦ ἐξερχομένας. διπλῆ δὲ θεραπεύει τὴν γυναῖκα ὁ κύριος. πρῶτον μὲν τὴν νόσον αὐτῆς ἰασάμενος. ἔπειτα δὲ καὶ τὸν τρόμον τῆς ψυχῆς καταστείλας διὰ τοῦ εἰπεῖν, θάρσει θύγατερ.

» Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων αὐτῷ. ὅτι τέ-
» θνηκεν ἡ θυγάτηρ σου. μὴ σκύλλε τὸν διδάσκαλον. ὁ δὲ Ἰησοῦς ἀκούσας, ἀπεκρίθη
» αὐτῷ, λέγων. μὴ φοβοῦ. μόνον πίστευε, καὶ σωθήσεται. ἐλθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ
» ἀφῆκεν εἰσελθεῖν οὐδένα, εἰ μὴ Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην, καὶ τὸν πατέρα τῆς
» παιδὸς καὶ τὴν μητέρα. ἔκλαιον δὲ πάντες, καὶ ἐκόπτοντο αὐτήν. ὁ δὲ εἶπε. μὴ
» κλαίετε. οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν.
» αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε λέγων. ἡ
» παῖς, ἐγείρου. καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς. καὶ ἀνέστη παραχρῆμα. καὶ διέταξεν,
» αὐτῇ δοθῆναι φαγεῖν. καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς. ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδε-
» νὶ εἰπεῖν τὸ γεγονός. Ὁ Ἰησοῦς ἀκούσας, ὥς εἶπέ τις πρὸς τὸν ἀρχισυνάγωγον, μὴ

σκύλλε τὸν διδάσκαλον. τουτέστι μὴ εἰς κόπους ἔμβαλε. μὴ μετακίνει, οὐκ ἀνέμεινε τὸν ἀρχισυνάγωγον λαλῆσαί τι πρὸς αὐτόν. ἀλλὰ προφθάσας, ἵνα μὴ εἴπῃ ὁ ἀρχισυνάγωγος. οὐ χρείαν σου ἔχω. ἤδη γέγονε τὸ κακόν. ἰδοὺ ἀπέθανεν ἣν προσεδοκῶμεν ὅτι θεραπεύσεις, ἵνα γοῦν μηδὲν τοιοῦτον εἴπῃ, (ἄπιστος γὰρ ἦν καὶ Ἰουδαῖος) προφθάσας αὐτὸν ὁ Χριστός, φησί. μὴ φοβοῦ. μόνον πίστευε, πρὸς τὴν αἱμόρροουν, φησίν, ἀποσκόπει. ἐκείνην μιμούμενος, οὐκ ἀστοχήσεις. μόνον δὲ Πέτρον, καὶ Ἰωάννην, καὶ Ἰάκωβον ἀφίησιν εἰσελθεῖν, ὡς προκρίτοις τῶν μαθητῶν. καὶ ὡς δυναμένοις σιωπῆσαι τὸ θαῦμα. οὐ γὰρ ἤθελεν ἵνα πρὸ καιροῦ ἀποκαλυφθείη τοῖς πολλοῖς. διὰ τὸν φθόνον τάχα τῶν Ἰουδαίων, τὰ πλείω τῶν ἔργων αὐτοῦ συνεκάλυπτεν ἵνα μὴ τῷ φθόνῳ διακαιόμενοι, κρίματος ἔνοχοι εἶεν. ὥσπερ οὖν καὶ ἡμᾶς δεῖ ποιεῖν. ὅταν εἴη τις ἡμῖν φθονῶν, οὐκ ὀφείλομεν πρὸς αὐτὸν ἀπογυμνοῦν τὰ κατορθώματα ἡμῶν. ἵνα μὴ πλήττοντες αὐτόν, ποιῶμεν πλέον φθονεῖν. καὶ εἰς ἁμάρτημα ἐμβάλλωμεν. ἀλλ' ὡς οἷόν τε σπουδάζειν ὡς ἂν λανθάνωσιν αὐτόν. λέγοντος δὲ τοῦ κυρίου ὅτι οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει, καὶ τὸν θάνατον ὕπνον καλοῦντος, διότι ἔμελλε τὴν τεθνηκυῖαν ἀναστῆσαι ὥσπερ ἐξ ὕπνου, κατεγέλων αὐτοῦ οἱ ἀκούοντες. ἵνα καὶ μᾶλλον τὸ θαῦμα εἴη θαῦμα. ἵνα γὰρ μὴ ἔχωσι λέγειν ὕστερον ὡς οὐκ ἀπέθανεν, ἀλλ' ὕπνωττε, διὰ τοῦτο ᾠκονόμησε πρότερον καταγελασθῆναι, ἐν τῷ λέγειν ὅτι οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει. ὡς ἂν ἐμφράξωσι τὰ στόματα τῶν θελόντων συκοφαντεῖν. τοσοῦτον γὰρ ἀπέθανεν, ὥστε καὶ κατεγέλων αὐτοῦ λέγοντος ὅτι οὐκ ἀπέθανεν. ἐξέβαλε δὲ ἔξω πάντας, τάχα μὲν παιδεύων ἡμᾶς ἀφιλοδόξους εἶναι. καὶ μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν. τάχα δὲ καὶ διδάσκων ὅτι ὅταν μέλλῃ τις θαυματουργεῖν, οὐκ ἐν μέσῳ πολλῶν δεῖ αὐτὸν εἶναι. ἀλλ' ἰδιάζοντα καὶ ἀπερίσπαστον. ἐπέστρεψεν οὖν τὸ πνεῦμα τῆς παιδός. οὐ γὰρ ἄλλην ψυχὴν εἰσήνεγκεν, ἀλλ' ἐκείνην τὴν ἀπὸ τοῦ σώματος ἀφαρπασθεῖσαν, ταύτην ἐποίησε στραφῆναι ἐπ' αὐτό. διετάξατο δέ, αὐτῇ δοθῆναι φαγεῖν, πρὸς πίστωσιν πλείονα καὶ βεβαίωσιν τοῦ ἀληθῶς αὐτὴν ἀναστῆναι. ἔστι δὲ καὶ οὕτω ταῦτα νοῆσαι. αἱμόρροος ἐστὶ πᾶσα ψυχὴ βλύζουσα καὶ πηγάζουσα τὴν αἱματώδη ἁμαρτίαν καὶ φονικήν. πᾶσα γὰρ ἁμαρτία, φονεύς ἐστι καὶ σφαγεὺς τῆς ψυχῆς. αὕτη οὖν ἡ ψυχή, ἁψαμένη τῶν ἱματίων τοῦ Ἰησοῦ, τουτέστι τῆς σαρκώσεως αὐτοῦ, καὶ πιστεύσασα ὅτι σε-



σάρκωται ὁ υἱὸς τοῦ θεοῦ, ὑγιάζεται· καὶ ἂν ἀρχισυνάγωγος δέ τις εἴη, τουτέστι νοῦς πολλῶν, ἐν τῷ συνάγειν τὰ ἀπὸ πλεονεξίας, κρατῶν. νοσεῖ δὲ αὐτοῦ ἡ θυγάτηρ, ἡ διάνοια λέγω, μόνον προσκαλεσάσθω τὸν Ἰησοῦν καὶ πιστευσάτω, καὶ σωθήσεται·

Κεφάλαιον ἔνατον·

Συγκαλεσάμενος δὲ τοὺς δώδεκα, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια. καὶ νόσους θεραπεύειν· καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ θεοῦ. καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας· καὶ εἶπε πρὸς αὐτούς. μηδὲν αἴρετε εἰς τὴν ὁδόν· μήτε ῥάβδον. μήτε πήραν. μήτε ἄρτον. μήτε ἀργύριον. μήτε ἀνὰ δύο χιτῶνας ἔχειν· καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε. καὶ ἐκεῖθεν ἐξέρχεσθε· καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον ἐπ᾽ αὐτούς· ἐξερχόμενοι δὲ, διήρχοντο κατὰ κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ· Καὶ ἐντεῦθεν δείκνυται ἡ ὑπεροχὴ τῆς θεότητος τοῦ Ἰησοῦ· οὐ γὰρ μόνον αὐτὸς ἐθαυματούργει, ἀλλὰ καὶ τοῖς μαθηταῖς ταυτὸ τοῦτο ἐδίδου· καίτοιγε οὐκ ἀνθρώπου, ἀλλὰ θεοῦ πάντως ἐστὶ τὸ τοιαῦτα χαρίζεσθαι δῶρα τοῖς αὐτοῦ φίλοις· δοὺς δὲ αὐτοῖς ἐξουσίαν κατὰ τῶν πονηρῶν πνευμάτων, οὐκ ἄχρι τούτου αὐτοὺς περιώρισεν, ἀλλὰ καὶ κηρύσσειν τὸ εὐαγγέλιον προσέταξεν· δεῖ γὰρ τὸν διδασκαλίαν ἐγκεχειρισμένον, καὶ κηρύσσειν καὶ θαυματουργεῖν· τό, τε γὰρ κήρυγμα διὰ τῶν θαυμάτων βεβαιοῦται. τάτε θαύματα διὰ τοῦ κηρύγματος· πολλοὶ γὰρ πολλάκις θαύματα ἐποίησαν ἀπὸ δαιμόνων. ἀλλ᾽ οὐκ ἦν τὸ κήρυγμα αὐτῶν ὑγιές· διὸ οὐδὲ τὰ θαύματα αὐτῶν ἐκ θεοῦ· οὕτω δὲ ἀπερίττους αὐτοὺς ἀποστέλλει, ὥστε οὔτε ἄρτον βούλεσθαι αὐτοὺς αἴρειν, οὔτ᾽ ἄλλο τι ὧν οἱ πολλοὶ ἐπαγόμεθα· παραγγέλλει δὲ αὐτοῖς καὶ τοῦτο, μὴ μεταπηδᾶν ἀπὸ τούτου εἰς ἐκεῖνον. ἀλλ᾽ εἰς ἣν ἂν οἰκίαν εἰσέλθωσιν, ἐκεῖ μένειν. ἵνα μὴ δόξωσιν ἄστατοί τινες εἶναι καὶ εὐμετάβολοι· ἀποτινάσσειν δὲ τὸν κονιορτὸν, φησὶν, ἐὰν μὴ δέξωνταί τινες ὑμᾶς, εἰς μαρτύριον ἐπ᾽ αὐτούς. τουτέστιν εἰς ἔλεγχον αὐτῶν καὶ κατάκρισιν. δεικνῦντας αὐτοῖς ὅτι πολλὴν ὁδὸν δι᾽ αὐτοὺς ἀνύσαντες, οὐδὲν ἀπ᾽ αὐτῶν κέρδος ἔχον· τινὲς δὲ τὸ μὴ βαστάζειν τοὺς ἀποστόλους, μήτε πήραν. μήτε ῥάβδον. μήτε ἀνὰ δύο χιτῶνας ἔχειν, οὕτω νοοῦσιν. ὅτι, μὴ θησαυρίζετε· τούτου γὰρ σύμβολον ἡ πήρα, πολλὰ συνάγουσα· μήτε ῥάβδον βαστάζετε. τουτέστι, μὴ θυμώδεις καὶ πληκτικοὶ γένησθε· μήτε ἀνὰ δύο χιτῶνας ἔχετε. ἀντὶ τοῦ, ποικίλοι τινὲς κατὰ τὸ ἦθος καὶ διπλοῖ τὰς γνώμας τυγχάνετε·

Ἤκουσε δὲ Ἡρώδης ὁ τετράρχης τὰ γινόμενα ὑπ᾽ αὐτοῦ πάντα. καὶ διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό τινων ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν· ὑπό τινων δὲ, ὅτι Ἡλίας ἐφάνη· ἄλλων δὲ, ὅτι προφήτης εἷς τῶν ἀρχαίων ἀνέστη· καὶ εἶπεν ὁ Ἡρώδης. Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· τίς δέ ἐστιν οὗτος περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα· καὶ ἐζήτει ἰδεῖν αὐτόν· Οὗτος ὁ Ἡρώδης, ὁ μικρὸς ἦν. ὁ υἱὸς τοῦ μεγάλου Ἡρώδου τοῦ τὰ βρέφη ἀποκτείναντος· ἐκεῖνος μὲν γὰρ βασιλεὺς ἦν. οὗτος δὲ, τετράρχης· διηπόρει δὲ περὶ Ἰησοῦ, τίς ἂν εἴη· Ἰωάννην μὲν γάρ φησιν ἐγὼ ἀπεκεφάλισα. καὶ εἴπερ ὁ Ἰωάννης ἐστὶν ἐγερθεὶς ἐκ νεκρῶν, πάντως ἰδὼν αὐτὸν γνωρίσω· ἐζήτει γὰρ ἰδεῖν αὐτόν· ὅρα δὲ ὅτι οἱ Ἑβραῖοι ἐδόξαζον ἀνάστασιν νεκρῶν ἐν ζωῇ σαρκικῇ καὶ ἐν βρώμασι καὶ πόμασι, κακῶς δοξάζοντες· ἡ γὰρ ἀνάστασις οὐκ ἐν βρώσει καὶ πόσει, ἢ ζωῇ σαρκικῇ. ἀλλ᾽ ὡς ἄγγελοι θεοῦ, οὕτω διάγουσιν·

Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι, διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν· καὶ παραλαβὼν αὐτοὺς, ὑπεχώρησε κατ᾽ ἰδίαν εἰς τόπον ἔρημον πόλεως καλουμένης Βηθσαϊδά· οἱ δὲ

» ὄχλοι γνόντες, ἠκολούθησαν αὐτῷ· καὶ δεξάμενος αὐτοὺς, ἐλάλει αὐτοῖς περὶ τῆς βα-
» σιλείας τοῦ θεοῦ· καὶ τοὺς χρείαν ἔχοντας θεραπείας, ἰᾶτο· ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν·
» προσελθόντες δὲ οἱ δώδεκα, εἶπον αὐτῷ. ἀπόλυσον τὸν ὄχλον, ἵνα ἀπελθόντες εἰς
» τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγροὺς, καταλύσωσι. καὶ εὕρωσιν ἐπισιτισμόν. ὅτι ὧδε ἐν
» ἐρήμῳ τόπῳ ἐσμέν· εἶπε δὲ πρὸς αὐτούς. δότε αὐτοῖς ὑμεῖς φαγεῖν · οἱ δὲ εἶπον. οὐκ εἰ-
» σὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ ἰχθύες δύο, εἰ μήτι πορευθέντες ἡμεῖς, ἀγοράσωμεν
» εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα· ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι · εἶπε δὲ
» πρὸς τοὺς μαθητὰς αὐτοῦ. κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα· καὶ ἐποίησαν
» οὕτω. καὶ ἀνέκλιναν ἅπαντας· λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀνα-
» βλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησεν αὐτούς. καὶ κατέκλασε. καὶ ἐδίδου τοῖς μαθηταῖς
» παραθεῖναι τῷ ὄχλῳ· καὶ ἔφαγον, καὶ ἐχορτάσθησαν πάντες. καὶ ἤρθη τὸ περισσεῦ-
» σαν αὐτοῖς, κλασμάτων κόφινοι δώδεκα· Εἰς ἔρημον τόπον ἄπεισιν ὁ Ἰησοῦς, ἐπειδὴ
τὸ τῶν ἄρτων θαῦμα τελέσαι ἔμελλεν. ἵνα μὴ ἔχοι τὶς λέγειν, ὅτι ἐγγὺς οὔσης πό-
λεως, ἐκεῖθεν ἄρτοι ἠνέχθησαν· δεξάμενος δὲ τοὺς ὄχλους, ἐδίδασκέ τε καὶ ἐθεράπευεν·
ἵνα σὺ μάθῃς ὅτι ἡ καθ' ἡμᾶς φιλοσοφία, λόγῳ καὶ πράξει μερίζεται. καὶ οὔτε δεῖ
λέγειν ἄπρακτα, οὔτε πράττειν ἄλογα · κλινούσης δὲ τῆς ἡμέρας, οἱ μαθηταὶ φι-
λανθρωπότεροι ἤδη ἀρξάμενοι ἔχειν καὶ ποιμαντικώτεροι, κατελεοῦσι τοὺς ὄχλους. καὶ
φασίν. ἀπόλυσον αὐτούς. τουτέστι θεράπευσον τὰς ἀσθενείας αὐτῶν τάχιον. πλήρωσον
τὰς αἰτήσεις αὐτῶν· ὁ δὲ κύριος πρὸς τοὺς μαθητὰς λέγων, δότε αὐτοῖς ὑμεῖς φαγεῖν,
οὐχ ὡς ἀγνοῶν τὴν ἀπορίαν, φησίν. ἀλλὰ βουλόμενος παρακινῆσαι αὐτούς, ἵνα εἴπωσι
πόσους ἄρτους ἔχουσι. καὶ οὕτω δειχθῇ τὸ θαῦμα μέγα, ἐκ τῆς ὁμολογίας ἐκείνων
δειχθείσης τῆς ποσότητος τῶν ἄρτων· τὸ δὲ κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντή-
κοντα, δείκνυσιν ὅτι δεῖ ἡμᾶς ὅταν τινὰ ξενοδοχῶμεν, καὶ κατακλίνειν αὐτόν. καὶ πά-
σης ἐπιμελείας ἀξιοῦν· ἀναβλέπει δὲ εἰς τὸν οὐρανὸν, δεικνύων ἡμῖν ὅταν μέλλωμεν
φαγεῖν, εὐχαριστίας τῷ θεῷ ἀναπέμπειν · δίδωσι δὲ τοῖς μαθηταῖς, ἵν' οὕτως ἐκεῖνοι
τοῖς ὄχλοις, ἵνα μὴ ἐπιλάθωνται τοῦ θαύματος. ἀλλ' ἀναμιμνήσκωνται τούτου. ἐνθυ-
μούμενοι ὅτι τοὺς ἄρτους εἰς τὰς χεῖρας αὐτῶν ἔλαβον · τὸ δὲ περίσσευμα ἦσαν κόφινοι
δώδεκα. ἵνα μάθωμεν πόσον ἡ φιλοξενία δύναται. καὶ πῶς πληθύνονται τὰ ἡμέτε-
ρα, ὅταν παρέχωνται τοῖς δεομένοις · εἴρηται δὲ περὶ τούτων, πλατύτερον ἐν τῷ κα- Ματ. ιδ΄.
τὰ Ματθαῖον·

» Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον καταμόνας, συνῆσαν αὐτῷ οἱ μαθη-
» ταί· καὶ ἐπηρώτησεν αὐτούς, λέγων. τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι· οἱ δὲ ἀποκριθέντες εἶ-
» πον. Ἰωάννην τὸν βαπτιστήν· ἄλλοι δὲ Ἠλίαν· ἄλλοι δ' ὅτι προφήτης τὶς τῶν ἀρχαίων
» ἀνέστη· εἶπε δὲ αὐτοῖς. ὑμεῖς δὲ, τίνα με λέγετε εἶναι · ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε· τὸν
» χριστὸν τοῦ θεοῦ· ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε μηδενὶ εἰπεῖν τοῦτο. εἰπὼν ὅτι
» δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν. καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων,
» καὶ ἀρχιερέων, καὶ γραμματέων. καὶ ἀποκτανθῆναι. καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι·
Ἐρωτῶν τοὺς μαθητὰς ὁ κύριος, οὐκ εὐθέως ἐρωτᾷ τί λέγουσιν αὐτοί. ἀλλὰ πρότερον
τὴν τοῦ λαοῦ γνώμην, εἶθ' οὕτω τὴν αὐτῶν ἐκείνων· τοῦτο δὲ ποιεῖ, ὡς ἂν ἀδόκιμον ἀπο-
δείξας τὴν τῶν πολλῶν περὶ αὐτοῦ φήμην, μεταστήσῃ τοὺς μαθητὰς εἰς τὴν ἀληθῆ ὑ-
πόληψιν. ὃ δὴ καὶ πέπρακται· εἰπόντων γὰρ τῶν μαθητῶν ὅτι, οἱ μὲν Ἰωάννην. οἱ δὲ
Ἠλίαν σε λέγουσιν, αὐτὸς ἐρωτᾷ. ὑμεῖς δὲ, τουτέστιν ὑμεῖς οἱ διαφέροντες πάντων. οἱ ἐ-
ξειλεγμένοι. οἱ ἐξαίρετοι, τίνα με λέγετε· ὁ δὲ Πέτρος προπηδᾷ τῶν λοιπῶν. καὶ στόμα
πάντων γενόμενος, ὁμολογεῖ αὐτὸν εἶναι τὸν πάλαι κηρυττόμενον χριστὸν τοῦ θεοῦ· οὐ γὰρ

εἶπε. χριστὸν τοῦ θεοῦ, ἀλλὰ τὸν χριστὸν τοῦ θεοῦ μετὰ τοῦ ἄρθρου. ἵνα δηλώσῃ ὅτι αὐτός ἐ-
στιν ὁ κυρίως χριστὸς τοῦ θεοῦ· πολλοὶ μὲν γὰρ ἐχρίσθησαν. ἀλλ᾽ ὁ χριστὸς τοῦ θεοῦ εἷς καὶ
μόνος ἐστίν·

» Ἔλεγε δὲ πρὸς πάντας. εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν. καὶ ἀ-
» ράτω τὸν σταυρὸν αὐτοῦ καθ᾽ ἡμέραν, καὶ ἀκολουθείτω μοι· ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν
» αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος
» σώσει αὐτήν· τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπο-
» λέσας ἢ ζημιωθείς· ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀν-
» θρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τῶν ἁγίων
» ἀγγέλων· λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε ἑστηκότων οἳ οὐ μὴ γεύσωνται θα-
» νάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ· Ἐπειδὴ περὶ ἑαυτοῦ εἶπεν, ὅτι δεῖ τὸν
υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, ἐπιφέρει καὶ κοινόν τι καὶ καθολικόν. ὅτι, οὐ μόνος
ἐγὼ θάνατον ὑποστήσομαι. ἀλλὰ γὰρ καὶ πάντες οἱ βουλόμενοι ἀκολουθεῖν ἐμοί, ὀφεί-
λουσιν ἑαυτοὺς ἀπαρνεῖσθαι. μηδεμίαν κοινωνίαν ἔχοντες πρὸς τὴν σάρκα. ἀλλὰ κατα-
φρονοῦντες ἑαυτῶν· σταυρὸν δὲ ἐνταῦθα λέγει τὸν θάνατον τὸν ἐπονείδιστον· ἕτερος γὰρ
θάνατος οὐκ ἦν οὕτως ἄδοξος ὡς ὁ διὰ σταυροῦ· δείκνυσιν οὖν ὅτι εἴ τις θέλει μαθητὴς αὐ-
τοῦ εἶναι, ἀποθνήσκειν ὀφείλει οὐκ ἔνδοξον θάνατον, ἀλλ᾽ ἐπονείδιστον, ὡς κατάκριτος φο-
νευόμενος· ἐπεὶ δὲ πολλοὶ φονεύονται μὲν ἐπονειδίστως, ἀλλ᾽ ὡς λῃσταὶ καὶ κακοποιοί,
διὰ τοῦτο προσέθηκε τό, καὶ ἀκολουθείτω μοι. τουτέστι πᾶσαν ἀρετὴν μετερχέσθω· ὃς
γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· τουτέστιν, ὃς ἂν θέλῃ ζῆσαι κα-
τὰ κόσμον, οὗτος ἀποθανεῖται κατὰ ψυχήν· ἐπαισχύνεται δὲ τὸν χριστόν, ὁ λέγων ὅτι,
πῶς πιστεύσω ἐσταυρωμένῳ θεῷ καὶ ἐμπαιχθέντι· ἀλλὰ καὶ τοὺς αὐτοῦ λόγους ἐπαισχύ-
νεται, ὁ τὴν τοῦ εὐαγγελίου ἰδιωτείαν διασύρων· τοῦτον οὖν ἐπαισχύνεται ὁ κύριος ἐν τῇ
δόξῃ αὐτοῦ τουτέστι τῇ δευτέρᾳ παρουσίᾳ· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὥσπερ ἐάν τις οἰκοδε-
σπότης ἔχῃ δοῦλον πονηρόν, αἰσχύνεται ὀνομάσαι τοῦτον δοῦλον οἰκεῖον, οὕτω καὶ ἐγώ
φησιν αἰσχυνθήσομαι ὀνομάσαι δοῦλον ἐμόν, τὸν ἀρνησάμενόν με· ἐπεὶ δὲ εἶπεν ἄνω, ὅτι
ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ, σώσει αὐτήν, θέλων δεῖξαι, ποίων ἀγαθῶν καταξιοῦν-
ται οἱ τοιοῦτοι, φησίν. εἰσί τινες τῶν ὧδε, οἳ οὐ μὴ ἀποθάνωσιν ἕως ἂν ἴδωσι τὴν βασι-
λείαν τοῦ θεοῦ. τουτέστι τὴν δόξαν ἐν ᾗ μέλλουσιν ἔσεσθαι οἱ δίκαιοι· τοῦτο δὲ εἶπε περὶ
τῆς μεταμορφώσεως· ἡ γὰρ μεταμόρφωσις, τύπος ἦν τῆς μελλούσης ἄνω δόξης· καὶ
ὥσπερ ἐν ταύτῃ ἤστραψεν ὁ Ἰησοῦς παραδόξως, οὕτως ἀναλόγως τότε οἱ δίκαιοι λάμ-
ψουσιν· εἰσὶν οὖν φησί τινες, (Ἰωάννης. Πέτρος καὶ Ἰάκωβος.) οἳ οὐ μὴ φθάσωσιν ἀποθα-
νεῖν, ἕως ἂν ἴδωσιν ἐν ποίᾳ δόξῃ ἔσονται οἱ ἐμὲ ὁμολογοῦντες· ἴδωσι δὲ τοῦτο ἐν τῷ και-
ρῷ τῆς μεταμορφώσεως·

» Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτώ, καὶ παραλαβὼν Πέτρον
» καὶ Ἰωάννην καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἐγένετο ἐν τῷ προ-
» σεύχεσθαι αὐτόν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον. καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς
» ἐξαστράπτων· καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ. οἵτινες ἦσαν Μωσῆς καὶ Ἠλίας·
» οἳ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ. ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ· ὁ δὲ
» Πέτρος καὶ οἱ σὺν αὐτῷ, ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δέ, εἶδον τὴν δόξαν
» αὐτοῦ. καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ· καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι
» αὐτοὺς ἀπ᾽ αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν. ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι.
» καὶ ποιήσωμεν σκηνὰς τρεῖς· μίαν σοί. καὶ μίαν Μωσεῖ. καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέ-
» γει· ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν

» δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην· καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέ-
» γουσα. οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. αὐτοῦ ἀκούετε. καὶ ἐν τῷ γενέσθαι τὴν φω-
» νὴν εὑρέθη ὁ Ἰησοῦς μόνος· καὶ αὐτοὶ ἐσίγησαν· καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς
» ἡμέραις οὐδὲν ὧν ἑωράκασιν. Ὁ μὲν Ματθαῖος, ἓξ ἡμέρας φησὶ διελθεῖν μετὰ τοὺς Ματ. ιζ΄.
λόγους τούτους. καὶ τότε τὸν Ἰησοῦν ἀνελθεῖν εἰς τὸ ὄρος· Λουκᾶς δέ, ὀκτὼ φησὶ διελ-
θεῖν· τὰς μεταξὺ μόνας ἡμέρας λέγει· Λουκᾶς δέ, οὐ τὰς μεταξὺ μόνας, ἀλλὰ καὶ τὴν
ἡμέραν καθ' ἣν ἐλέχθησαν οἱ λόγοι οὗτοι, κἀκείνην καθ' ἣν ἡ μεταμόρφωσις γέγονε. πα-
ρέλαβε δὲ τοὺς τρεῖς μόνους, τὸν μὲν Πέτρον ὡς ἀγαπῶντα. τὸν δὲ Ἰωάννην ὡς ἀγαπώ-
μενον. καὶ τὸν Ἰάκωβον δέ, ὡς καὶ αὐτὸν θερμὸν ὄντα τὸν ὑπὲρ αὐτοῦ ζῆλον. ἢ καὶ ὡς
δυναμένους κρύψαι τὸ πρᾶγμα, καὶ κατασχεῖν, καὶ μηδενὶ ἀπαγγεῖλαι. ἀναβαίνει
δὲ εἰς τὸ ὄρος ὥστε προσεύξασθαι. δεῖ γὰρ ἰδιάζοντας ἡμᾶς καὶ ἀναβαίνοντας καὶ
μηδενὶ τῶν γηΐνων ἐγκύπτοντας, προσεύχεσθαι. ἐγένετο δὲ τὸ εἶδος αὐτοῦ ἕτερον, οὐχ
ὡς μεταστάντος αὐτοῦ εἰς ἄλλην φύσιν, ἔμεινε γὰρ οἷος ἦν, ἀλλὰ τὸ σχῆμα τοῦ προσώ-
που αὐτοῦ ἐφάνη λαμπρότερον ἢ πρότερον. ὥσπερ οὖν καὶ ἐπὶ τῶν ἱματίων αὐτοῦ
γέγονε. τούτων γὰρ τὸ εἶδος μόνον ἐξήστραψεν. οὐχὶ τῆς οὐσίας τῶν ἱματίων μετα-
μειφθείσης, ἀλλὰ τῆς ἐπιφανείας. Μωϋσῆς δὲ καὶ Ἠλίας συνειστήκεισαν αὐτῷ προσευ-
χομένῳ, ἵνα δειχθῇ, ὅτι οὐκ ἔστιν ἐναντίος τοῖς προφήταις καὶ τῷ νόμῳ. εἰ γὰρ ἦν, οὐκ ἂν ὁ
τὸν νόμον δοὺς Μωϋσῆς, καὶ ὁ τῶν προφητῶν θερμότατος Ἠλίας, ἠνέσχοντο δορυφορεῖν αὐ-
τόν, καὶ αὐτῷ συνίστασθαι. ἔλεγον δὲ τὴν ἔξοδον ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ.
τουτέστι, τὸν θάνατον. ὁ δὲ Πέτρος ὕπνῳ ἐβαρεῖτο, τῇ προσευχῇ σχολάζοντος τοῦ Χρι-
στοῦ. ἀσθενὴς γὰρ ἦν, καὶ τὸ ἀνθρώπινον ἐπλήρου, ὕπνῳ δουλεύων. διαγρηγορήσας δέ,
θεωρεῖ τὴν δόξαν. καὶ τοὺς δύο ἄνδρας. ὥσπερ δὲ ἀποδεχόμενος τὴν ἐκεῖσε διατριβήν,
διά τε τὸ φῶς καὶ διὰ τὸ θεωρεῖν τοὺς προφήτας, φησί. καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. ἐνό-
μιζε γὰρ ὅτι τότε ἦν ἡ συντέλεια. καὶ ἡ βασιλεία τοῦ Ἰησοῦ. μὴ εἰδὼς ὃ λέγει. οὔπω γὰρ
ἦν τὸ πέρας. οὐδὲ τῆς βασιλείας ἡ ἡμέρα ἐνειστήκει, οὐδὲ τῆς τῶν ἀγαθῶν ἀπολαύσεως
ὧν μεθέξουσιν οἱ ἅγιοι. ἅμα δὲ καὶ φοβούμενος τὸ σταυρωθῆναι Χριστόν, ταῦτά φησι. ἐ-
πεὶ γὰρ ἤκουσεν αὐτοῦ ὅτι δεῖ αὐτὸν ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι, φη-
σὶ ταῦτα. μονονουχὶ λέγων. μὴ κατέλθωμεν ἐκ τοῦ ὄρους. ἐνταῦθα καταμείνωμεν, ἵνα
τὸν σταυρὸν διαδράσωμεν καὶ τὸ πάθος. ἔχομεν Ἠλίαν βοηθόν, εἰ ἐπέλθωσιν ἡμῖν οἱ Ἰου-
δαῖοι, τὸ πῦρ κατενεγκόντα, καὶ τοὺς πεντηκοντάρχους ἀπολέσαντα. ἔχομεν Μωϋσῆν τὸν
τόσα καὶ τόσα ἔθνη ἀφανίσαντα. ταῦτα δὲ ἔλεγε, μὴ εἰδὼς ὃ λέγει. αὐτὸς μὲν γὰρ
ἐνόμιζεν ὅτι παγχάλεπόν τι καὶ κακόν ἐστιν ὁ σταυρός. καὶ διὰ τοῦτο ἀποδιδράσκων αὐ-
τόν, ταῦτα ἔλεγεν. ὁ δὲ κύριος ἐδίψα σταυρωθῆναι. ἐπεὶ οὐκ ἐνῆν ἄλλως τοὺς ἀνθρώ-
πους σωθῆναι. τοῦ δὲ Πέτρου, ποιήσωμεν σκηνὰς τρεῖς λέγοντος, ὁ κύριος σκηνὴν ἀχει-
ροποίητον ἐξαίφνης ποιεῖ. καὶ ἐν ταύτῃ εἰσέρχεται μετά γε τῶν προφητῶν. ἵνα δει-
χθῇ ὅτι οὐδὲν ἐλαττοῦται τοῦ πατρός. ὥσπερ γὰρ ἐν τῇ παλαιᾷ ἡ νεφέλη ἐλέγετο ἔ- Ἐξο. κδ΄.
χειν τὸν κύριον, καὶ Μωϋσῆς εἰσήρχετο ἐν αὐτῇ, καὶ οὕτω τὸν νόμον ἐδέχετο, οὕτω καὶ νῦν ἡ
νεφέλη τὸν Χριστὸν ἐδέξατο. καὶ νεφέλη οὐ γνοφώδης (παρῆλθε γὰρ ἡ σκιὰ τοῦ νόμου.
καὶ τὸ σκοτεινὸν τῆς ἀσαφείας.) ἀλλὰ νεφέλη φωτεινή. ἦλθε γὰρ ἡ ἀλήθεια καὶ ἔ-
λαμψεν ἡ τοῦ κυρίου χάρις. καὶ οὐδὲν σκοτεινὸν νῦν. ἐγένετο δὲ καὶ φωνὴ ἐκ τῆς νεφέ-
λης. ὥσπερ καὶ τὸ παλαιόν, φωνὴ τοῦ θεοῦ ἠκούετο ἐκ τῆς νεφέλης. εὑρέθη δὲ Ἰη-
σοῦς μόνος, ἵνα μήτις νομίσῃ ὅτι τό, οὗτός ἐστιν ὁ υἱός μου, περὶ Μωϋσέως ἢ Ἠλιοῦ ἐ-
λέχθη. τάχα μέντοι καὶ τοῦτο σημαίνει, ὅτι μέχρι μέν τινος καιροῦ ἐφαίνοντο ὁ νόμος
καὶ οἱ προφῆται, ὥσπερ καὶ ἐνταῦθα Μωσῆς καὶ Ἠλίας. εἶτα μόνος Ἰησοῦς, ἐκείνων

παρελθόντων· τὸ γὰρ εὐαγγέλιον νῦν κρατεῖ, τῶν νομικῶν παρελθόντων· ἐσίγησαν δὲ καὶ οὐδὲν ἀπήγγειλαν οἱ ἀπόστολοι, ὧν ἑωράκασι· πρὸ γὰρ τοῦ σταυροῦ, οὐκ ἔδει λέγεσθαί τι θεοπρεπὲς περὶ Ἰησοῦ· οἱ γὰρ ἀκούσαντες ταῦτα, εἶτα ὁρῶντες αὐτὸν σταυρούμενον, ποίαν δόξαν ἔσχον ἂν περὶ αὐτοῦ· ἆρ' οὐχὶ πλάνον αὐτόν; καὶ φαντασιοσκόπον αὐτὸν ἐνόμισαν; διὰ τοῦτο τοίνυν οὐδὲν ἔργον παράδοξον καὶ θεοπρεπὲς πρὸ τοῦ σταυροῦ κηρύττουσιν οἱ ἀπόστολοι· περὶ δὲ ταύτης τῆς περικοπῆς εἴρηται ἡμῖν ἐν τῷ κατὰ Ματθαῖον πολλὰ καὶ χαρίεντα· Ματ. ιζ.

» Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ, κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς· καὶ ἰδοὺ ἀνὴρ ἀπὸ τοῦ ὄχλου, ἀνεβόησε λέγων· διδάσκαλε, δέομαί σου ἐπίβλεψον ἐπὶ τὸν υἱόν μου. ὅτι μονογενής ἐστί μοι. καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐξαίφνης κράζει. καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ. καὶ μόγις ἀποχωρεῖ ἀπ' αὐτοῦ, συντρῖβον αὐτόν. καὶ ἐδεήθην τῶν μαθητῶν σου ἵνα ἐκβάλλωσιν αὐτὸ, καὶ οὐκ ἠδυνήθησαν· ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν. ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη. ἕως πότε ἔσομαι πρὸς ὑμᾶς ἕως πότε ἀνέξομαι ὑμῶν· προσάγαγε τὸν υἱόν σου ὧδε· ἔτι δὲ προσερχομένου αὐτοῦ, ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον καὶ συνεσπάραξεν· ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα. καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ·

Σφόδρα ἄπιστος ἦν ὁ ἀνὴρ οὗτος· διὰ τοῦτο γάρ τοι οὐδὲ τὸ δαιμόνιον ἐξήρχετο ἀπὸ τοῦ παιδὸς αὐτοῦ. νικώσης τῆς ἀπιστίας τὴν τῶν ἀποστόλων δύναμιν· ἀλλὰ δὴ, κἀντεῦθεν δείκνυται ἡ ἀπιστία αὐτοῦ καὶ αὐθάδεια, ἐκ τοῦ ἐνώπιον πάντων προσελθόντα κατηγορεῖν τῶν μαθητῶν· ὁ γοῦν κύριος, δεικνύων ὅτι παρὰ τὴν ἀπιστίαν αὐτοῦ ἐστὶ τὸ μὴ ἰαθῆναι τὸν παῖδα, ἐνώπιον πάντων ὀνειδίζει αὐτῷ· καὶ οὐ μόνῳ αὐτῷ, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσι κοινῶς· ἐν γὰρ τῷ εἰπεῖν, ὦ γενεὰ ἄπιστος, σύμπαντας περιλαμβάνει τοὺς Ἰουδαίους· τὸ δὲ διεστραμμένη, ἐμφαίνει ὅτι οὐκ ἐξ ἀρχῆς οὐδὲ ἐκ φύσεως ἡ πονηρία· ἀλλὰ φύσει μὲν ἦσαν ὀρθοί (σπέρμα γὰρ ἅγιον ἦν τὸ τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ) διεστράφησαν δὲ ὑπὸ κακίας· τὸ δὲ ἕως πότε ἔσομαι πρὸς ὑμᾶς. ἕως πότε ἀνέξομαι ὑμῶν, τοῦτο δηλοῖ. ὅτι ἀσπαστὸν ἔχει τὸν θάνατον. καὶ βούλεται αὐτῶν τάχιον ἀπαλλαγῆναι· ἕως γὰρ πότε φησὶν ἀνέξομαι τῆς ἀπιστίας ὑμῶν· δεικνύων οὖν ὅτι ἔχει δύναμιν νικῶσαν τὴν ἀπιστίαν τῶν Ἰουδαίων, φησί. προσάγαγε τὸν υἱόν σου ὧδε· καὶ ὑγιάσας αὐτὸν, ἀπέδωκε τῷ πατρὶ αὐτοῦ· πρότερον γὰρ ὁ δαιμονῶν οὐκ ἦν τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ τοῦ κατέχοντος αὐτὸν πονηροῦ πνεύματος· τότε δὲ ὁ κύριος ἀπέδωκεν αὐτὸν τῷ ἀπολέσαντι αὐτὸν εἶτα εὑρόντι πατρί·

» Ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ θεοῦ· πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ Ἰησοῦς, εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ. θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους. ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων· οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο. καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτό· καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου·

Οἱ μὲν ἄλλοι πάντες ἐθαύμαζον ἐπὶ πᾶσιν οἷς ἐποίει ὁ Ἰησοῦς, οὐκ ἐπὶ τῷ ἑνὶ τούτῳ θαύματι· ὁ δὲ, ἀφεὶς τοὺς ἄλλους, πρὸς τοὺς μαθητὰς διαλέγεται· καί φησι. θέσθε ὑμεῖς ταῦτα πάντα, τά τε θαύματα καὶ τοὺς ἐπὶ τοῖς θαύμασι λόγους, εἰς τὰ ὦτα ὑμῶν· διατί, διότι μέλλω παραδοθῆναι καὶ σταυρωθῆναι· ἵν' ὅταν σταυρωθέντα με ἴδητε, μὴ νομίσητε ὅτι ἀπὸ ἀδυναμίας τοῦτο πέπονθα· ὁ γὰρ τοιαῦτα θαυματουργῶν, ἠδύνατο ἂν μὴ δὲ σταυρωθῆναι· οἱ δὲ, ἠγνόουν τὸ ῥῆμα τοῦτο. καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν· διατί δὲ τοῦτο ἐγένετο, ἵνα μὴ πρὸ καιροῦ λυπῶνται καὶ τῷ φόβῳ ἐκταράττωνται· συγκαταβαίνων οὖν ὁ θεὸς τῇ ἀσθενείᾳ αὐτῶν, καὶ οἷον παιδία τινὰ δια

κυβερνῶν αὐτοὺς, οὐ συνεχώρει νοῆσαι αὐτοὺς τὸ περὶ τοῦ σταυροῦ λεγόμενον. ὅρα δὲ καὶ τὴν ἐκείνων εὐλάβειαν. πῶς εὐλαβοῦντο ἐρωτῆσαι. μᾶλλον δὲ ἐφοβοῦντο. ὁ γὰρ φόβος ἐπίτασίς ἐστιν εὐλαβείας. ὥσπερ καὶ ἡ εὐλάβεια συνεσταλμένος φόβος.

Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ, τίς ἂν εἴη μείζων αὐτῶν. ὁ δὲ Ἰησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου, ἔστησεν αὐτὸ παρ᾽ ἑαυτῷ καὶ εἶπεν αὐτοῖς. ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με. ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτος ἔσται μέγας. ἀποκριθεὶς δὲ ὁ Ἰωάννης εἶπεν. ἐπιστάτα. εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ μεθ᾽ ἡμῶν. καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς. μὴ κωλύετε. ὃς γὰρ οὐκ ἔστι καθ᾽ ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν. Πάθος διακένου δόξης ὑπέδραμε τοὺς ἀποστόλους, ἐμοὶ δοκεῖ ἐκ τοῦ τὸν δαιμονιζόμενον μὴ θεραπευθῆναι ἐπεγερθέντος αὐτοῖς τοῦ πάθους. εἰκὸς γὰρ ἦν αὐτοὺς διαφιλονεικῆσαι περὶ τούτου, λέγοντα ἕκαστον ὅτι, οὐ διὰ τὴν ἐμὴν ἀδυναμίαν, ἀλλὰ διὰ τὴν τοῦ δεῖνος οὐκ ἐθεραπεύθη ὁ παῖς. κἀντεῦθεν ἀναφθῆναι τὴν περὶ τοῦ τίς ἂν εἴη μείζων, ἔριν. ἀλλ᾽ ὁ κύριος εἰδὼς τὰς καρδίας ἑκάστου, φθάνει. καὶ πρὶν ἢ αὐξηθείη τὸ πάθος τοῦτο, σπουδάζει πρόρριζον ἐκτεμεῖν. ἀρχόμενα μὲν γὰρ τὰ πάθη νικῶνται ῥᾳδίως. αὐξηθέντα δὲ δυσαπόβλητα γίνεται. πῶς οὖν ἐκτέμνει τὸ κακόν; ἐπιλαβόμενος φησὶ παιδίου, δείκνυσι τοῦτο τοῖς μαθηταῖς. δηλῶν αὐτοῖς διὰ τούτου. ὅτι τοιαύτην γνώμην δεῖ ἡμᾶς ἐν ἑαυτοῖς κατασκευάζειν, οἵαν τοῖς παιδίοις ἡ ἡλικία δέδωκε. ταῦτα γὰρ ἀπειρόκακά τε εἰσὶ καὶ ἁπλούστατα. μήτε φιλοδοξίας λογισμοῖς ἐνοχλούμενα, μήτε φιλοπρωτίας. ὃς οὖν φησι δέξεται τοιοῦτο παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὑμεῖς μὲν νομίζετε ὅτι ἐὰν σοβαροὶ φαίνησθε καὶ φιλόδοξοι, τότε ἀρέσετε τοῖς πολλοῖς. καὶ τότε πλείονες ὑποδέξονται ὑμᾶς. ἐγὼ δὲ λέγω ὑμῖν ὅτι τοσοῦτον τῇ ἁπλότητι χαίρω, καὶ οὕτω χαρακτηρίζει αὕτη τοὺς ἐμοὺς μαθητὰς, ὥστε ὅστις ἂν δέξηται τὸν ἁπλούστατον ἄνδρα καὶ ἄκακον, ὡς ἐμὸν μαθητὴν (τοῦτο γάρ ἐστι τὸ ἐπὶ τῷ ὀνόματί μου) ἐμὲ δέχεται. ὁ γὰρ ἀλαζόνα δεχόμενος, οὔτε ἐμὸν μαθητὴν δέχεται, οὔτε ἐμέ. ἀποκριθεὶς δὲ ὁ Ἰωάννης εἶπε. κύριε, εἴδομέν τινα, ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, καὶ ἐκωλύσαμεν αὐτόν. ποία ἀκολουθία τοῦ λόγου, ὃν εἶπεν ὁ Ἰωάννης, πρὸς ἃ εἶπεν ὁ κύριος; πολλὴ μὲν οὖν. ἐπεὶ γὰρ εἶπεν ὁ κύριος. ὅτι ὁ μικρότερος ἐν ὑμῖν ὑπάρχων, οὗτος ἔσται μέγας, ἐφοβήθη λοιπὸν ὁ Ἰωάννης, μήπως κακόν τι ἐποίησαν κωλύσαντες ἄνθρωπον ἐξουσιαστικῶς καὶ ἀλαζονικῶς. τὸ γὰρ κωλύειν τινὰ ἀπό τινος, οὐκ ἐλάττονα ἐμφαίνει τὸν κωλύοντα, ἀλλὰ κρείττονά τε φρονοῦντα ἐκείνου τοῦ κωλυομένου παρ᾽ αὐτοῦ. ὁ τοίνυν Ἰωάννης ἐφοβήθη τοῦτο μήπως ἀλαζονικὸν ἔργον ἐποίησε, κωλύσας τὸν ἄνθρωπον. τίνος δὲ ἕνεκεν ἐκώλυον τὸν ἄνθρωπον. οὐ φθονοῦντες, ἀλλὰ κρίνοντες αὐτὸν ἀνάξιον τοῦ θαυματουργεῖν. οὐ γὰρ ἦν μετ᾽ αὐτῶν δεξάμενος τὴν χάριν τοῦ θαυματουργεῖν. οὐδ᾽ ἀπέστειλεν αὐτὸν ἐπὶ τοῦτο ὁ κύριος, ὥσπερ καὶ αὐτούς. οὐδὲ ἠκολούθει ὅλως τῷ Ἰησοῦ. τί οὖν ὁ κύριος. ἄφετε φησὶν αὐτὸν τοῦτο ποιεῖν. συντρίβει γὰρ καὶ αὐτὸς τὴν τοῦ σατανᾶ δύναμιν. καὶ ἐπεὶ οὐκ ἐμποδίζει ὑμῖν εἰς τὸ κήρυγμα, οὐδὲ συμπράττει τῷ διαβόλῳ, λοιπὸν ὑπὲρ ἡμῶν ἐστιν. ὃς γὰρ οὐκ ἔστι κατὰ τοῦ θεοῦ, ὑπὲρ τοῦ θεοῦ ἐστιν. ὥσπερ ὅστις οὐ συνάγει μετὰ τοῦ θεοῦ, ἐκεῖνος μετὰ τοῦ διαβόλου ἐστί. θαύμασον δέ μοι τὴν δύναμιν τοῦ ὀνόματος τοῦ Χριστοῦ. πῶς καὶ διὰ τῶν ἀναξίων καὶ μὴ ὄντων μαθητῶν αὐτοῦ, ἐνήργει ἡ χάρις, καὶ ψιλῶς ὀνομαζομένου. οὕτω καὶ διὰ τῶν ἱερέων, κἂν ἀνάξιοι ὦσιν, ἐνεργεῖ ἡ χάρις. καὶ ἁγιάζονται πάντες, κἂν ἄναγνος εἴη ὁ ἱερεύς.

» Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς
» τὸ πρόσωπον αὐτοῦ ἐστήριξε τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ· καὶ ἀπέστειλεν ἀγγέλους
» πρὸ προσώπου αὐτοῦ· καὶ πορευθέντες, εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε ἑτοι-
» μάσαι αὐτῷ. καὶ οὐκ ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱε-
» ρουσαλήμ· ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης, εἶπον. κύριε, θέλεις εἴ-
» πωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ, καὶ ἀναλῶσαι αὐτοὺς ὡς καὶ Ἠλίας ἐποίησε;
δ΄. βα. α΄. » στραφεὶς δὲ ὁ Ἰησοῦς, ἐπετίμησεν αὐτοῖς. καὶ εἶπεν οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑ-
» μεῖς. ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. καὶ
» ἐπορεύθησαν εἰς ἑτέραν κώμην·

Τί ἐστιν ὅπερ φησὶν, ὅτι ἐγένετο ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ· τουτέστιν, ὅτε ἐνειστήκει ὁ καιρὸς καθ᾽ ὃν ἔδει λοιπὸν τὸ σωτήριον ὑπὲρ ἡμῶν ὑπομείναντα πάθος ἀναληφθῆναι εἰς οὐρανοὺς καὶ συνεδρεῦσαι τῷ θεῷ καὶ πατρὶ, τότε τοίνυν ὅτε ἐνειστήκει ὁ καιρὸς τοῦ πάθους αὐτοῦ, καὶ τῆς ἐκ τοῦ κόσμου ἀναλήψεως, ἔκρινε μηκέτι ὧδε κἀκεῖσε περιέρχεσθαι ἀλλ᾽ ἀνελθεῖν εἰς Ἱεροσόλυμα· τὸ γοῦν ἐστήριξε τὸ πρόσωπον αὐτοῦ, τοῦτο δηλοῖ. ὅτι ἀφώρισεν. ἐκύρωσεν. ἔστησε βουλὴν, ὥστε ἀπελθεῖν εἰς Ἱερουσαλήμ· ἐκπέμπει δὲ ἀγγέλους πρὸ προσώπου αὐτοῦ, ἵνα ἑτοιμάσωσι δοχήν τινα αὐτῷ, γινώσκων μὲν ὅτι οὐχ ὑποδεχθήσεται ὑπὸ τῶν Σαμαρειτῶν· ὅμως δ᾽ οὖν ἀποστέλλει αὐτοὺς, ὡς ἂν πᾶσαν πρόφασιν τῶν Σαμαρειτῶν περιέλῃ. καὶ μὴ ἔχωσι λέγειν ὕστερον, ὅτι, ἐδεξάμεθα ἂν αὐτὸν εἰ ἀπέστειλέ τινας πρὸ αὐτοῦ· ἅμα δὲ καὶ τοὺς μαθητὰς αὐτοῦ ὠφελῶν, ἵνα μὴ σκανδαλισθῶσιν, ἐν τῷ σταυρῷ αὐτὸν ὁρῶντες ὑβριζόμενον. ἀλλ᾽ ἀπὸ τούτου τοῦ νῦν, μάθωσιν ὅτι ὥσπερ νῦν, καταφρονηθεὶς παρὰ τῶν Σαμαρειτῶν, ἀνεξικάκως ἤνεγκε, μᾶλλον δὲ καὶ αὐτοῖς ἐπετίμησε τοῖς μαθηταῖς παροξύνουσιν αὐτὸν κατὰ τῶν ὑβριστῶν, οὕτω καὶ τότε σταυρούμενος, οὐχ ὡς ἀδύνατος, ἀλλ᾽ ὡς μακρόθυμος φέρει· ὠφελεῖ δὲ τοὺς μαθητὰς, καὶ καθὸ διδάσκει αὐτοὺς ἐκ τοῦ καθ᾽ αὐτὸν ὑποδείγματος, ἀνεξικάκους εἶναι·
δ΄. βα. α΄. αὐτοὶ μὲν γὰρ πρὸς τὸν Ἠλίαν ἀφορῶντες, ὃς κατέφλεξε δὶς πεντήκοντα ἄνδρας μετὰ τῶν πεντηκοντάρχων, παρώξυνον τὸν κύριον κατὰ τῶν ὑβρισάντων· ἔτι γὰρ ἀτελεῖς ἦσαν· αὐτὸς δὲ, δεικνύων αὐτοῖς ὅτι ὑψηλότερός ἐστιν ὁ αὐτοῦ νόμος ἢ ὁ κατὰ τὸν Ἠλίαν βίος, ἐπιτιμᾷ αὐτοῖς. καὶ ἀφίστησιν ἀπὸ τῆς τοιαύτης γνώμης. διδάξας πρᾴως φέρειν τοὺς ὑβρίζοντας. τί δέ ἐστιν ὅπερ λέγει, οὐκ ἐδέξαντο αὐτὸν ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ· ἆρα τοῦτο λέγει. ὅτι οὐκ ἐδέξαντο αὐτὸν, διότι ἀφώρισεν αὐτὸς ἀπελθεῖν εἰς Ἱερουσαλήμ; καὶ λοιπὸν ἐὰν οὕτω νοήσωμεν, ὅτι διὰ τοῦτο αὐτὸν οὐκ ἐδέξαντο, διότι αὐτὸς ἀφώρισεν ἀπελθεῖν εἰς Ἱερουσαλὴμ, εὑρίσκονται ἐκεῖνοι ἀναίτιοι οἱ μὴ δεξάμενοι· ἔστιν οὖν εἰπεῖν ὅτι τοῦτο λέγει ὁ εὐαγγελιστής. ὅτι οὐκ ἐδέξαντο αὐτόν. οὐ δὲ εἰσῆλθεν εἰς Σαμάρειαν· εἶτα ὥσπερ τινὸς ἐρωτήσαντος. καὶ διατί οὐχ ὑπεδέξαντο αὐτὸν καὶ ἄκοντες, οὐ δὲ εἰσῆλθεν. ἆρα διότι ἀδύνατος ἦν, ἢ οὐκ ἴσχυε κἂν ἐκεῖνοι μὴ ἐβούλοντο, εἰσελθεῖν; λύων τοῦτο, φησίν. οὐχὶ διὰ τὸ ἀδύνατος εἶναι. ἀλλὰ διότι οὐκ ἐβούλετο ἐκεῖ εἰσελθεῖν, ἀλλὰ ἀπελθεῖν εἰς Ἱεροσόλυμα· ἐπεὶ εἰ μὴ τοῦτο ἦν, καὶ μὴ βουλομένων ἐκείνων εἰσῆλθεν ἂν εἰς τὴν κώμην·

» Ἐγένετο δὲ πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ, εἶπέ τις πρὸς αὐτόν. ἀκολουθήσω σοι
» ὅπου ἂν ἀπέρχῃ κύριε· καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς. αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι. καὶ
» τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις. ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κε-
» φαλὴν κλίνῃ· εἶπε δὲ πρὸς ἕτερον. ἀκολούθει μοι· ὁ δὲ εἶπε. κύριε, ἐπίτρεψόν μοι ἀπελ-
» θόντι πρῶτον θάψαι τὸν πατέρα μου· εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς. ἄφες τοὺς νεκροὺς θά-
» ψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀπελθὼν, διάγγελλε τὴν βασιλείαν τοῦ θεοῦ· εἶπε δὲ

» καὶ ἕτερος· ἀκολουθήσω σοι κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν
» οἶκόν μου· εἶπε δὲ ὁ Ἰησοῦς πρὸς αὐτόν. οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ᾽ ἄροτρον
» καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ·

Οὗτος ὁ προσελθὼν τῷ Ἰησοῦ, καὶ αἰτησάμενος ἵνα ἀκολουθῇ αὐτῷ, μετὰ πονηρᾶς γνώμης προσῆλθεν· ἐπεὶ γὰρ εἶδε τὸν κύριον πολὺν ὄχλον ἐπαγόμενον, ἐνόμισεν ὅτι ἀπὸ τούτων χρήματα συλλέγει ὁ κύριος· καὶ ᾤετο καὶ αὐτὸς εἰ ἀκολουθήσει τῷ Ἰησοῦ συναγαγεῖν χρήματα· διὰ τοῦτο οὖν ἀποκρούεται αὐτὸν ὁ κύριος, μονονουχὶ λέγων αὐτῷ τοιαῦτα.. σὺ μὲν νομίζεις χρήματα συνάξειν ἀπὸ τοῦ ἀκολουθεῖν ἐμοί. οἴει γὰρ ὅτι ὁ ἐμὸς βίος τοιοῦτός ἐστιν· ἀλλ᾽ οὐχ οὕτως ἔχει· τοσοῦτον γὰρ πτωχείαν εἰσηγοῦμαι καὶ διδάσκω, ὥστε τἄλλα μὲν ζῶα φωλεοὺς ἔχειν. ἐμὲ δὲ, μηδὲ οἰκίαν· καὶ τοῦτον μὲν οὕτως ἀπεκρούσατο· ἑτέρῳ δὲ μηδὲ ἀξιώσαντι ἐπιτρέπει τὸ ἀκολουθεῖν· τοῦ δὲ αἰτησαμένου ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα αὐτοῦ, οὐ συγχωρεῖ τοῦτο. εἰπών. ἄφες τοὺς νεκροὺς, θάψαι τοὺς ἑαυτῶν νεκρούς· ὅπερ αἰνίττεται, ὅτι ἄπιστος ἦν ὁ πατὴρ αὐτοῦ. καὶ διὰ τοῦτο ἀνάξιος γηροβοσκηθῆναι ὑπὸ τοῦ πιστεύσαντος, αὐτοῦ παιδός· ἄφες γάρ φησι τοὺς νεκροὺς συγγενεῖς. τουτέστι τοὺς ἀπίστους. γηροτροφῆσαι τὸν ἄπιστόν σου πατέρα ἄχρι καὶ ταφῆς· τὸ γὰρ θάψαι ἐνταῦθα, τοῦτο σημαίνει. τὸ ἐπιμελείας ἀξιῶσαι, ἄχρι καὶ τῆς ταφῆς· ἐπεὶ καὶ ἐν τῇ κοινῇ ὁμιλίᾳ, οὕτως εἰώθαμεν λέγειν. ὁ δεῖνα, υἱὸς ἔθαψε τὸν πατέρα αὐτοῦ· οὐ τοῦτο λέγοντες, ὅτι μόνον ἔθαψεν αὐτόν. ἄλλο δὲ οὐδὲν ἀγαθὸν ἐποίησεν, ἀλλ᾽ ὅτι ἐπεμελήσατο αὐτοῦ ἄχρι καὶ τῆς τελευτῆς, καὶ ταφῆς· ἐκεῖνοι μὲν οὖν οἱ νεκροί. τουτέστιν οἱ ἄπιστοι, θαπτέτωσαν τὸν νεκρὸν αὐτῶν. λέγω δὴ τὸν σὸν πατέρα· σὺ δὲ ἐπεὶ ἐπίστευσας, διάγγελε, ὡς ἐμὸς μαθητὴς, τὸ εὐαγγέλιον τοῦ θεοῦ· τοῦτο δὲ εἶπεν ὁ κύριος, οὐ κωλύων ἡμᾶς ἀπὸ τοῦ τρέφειν τοὺς γονεῖς. ἀλλὰ διδάσκων ἡμᾶς, ὅτι τῶν ἀπίστων γονέων προτιμητέον τὴν θεοσέβειαν· καὶ ὅτι οὐδὲν ἐμπόδιον ἔχειν δεῖ πρὸς τὸ ἀγαθόν. ἀλλὰ καὶ αὐτῆς τῆς φύσεως καταφρονεῖν· ὥσπερ οὖν καὶ τῷ ἀκολουθῆσαι ἀξιοῦντι αὐτῷ, πρότερον ἀποτάξασθαι τοῖς ἐν τῷ οἴκῳ αὐτοῦ, οὐ συγχωρεῖ τοῦτο. λέγω δὴ τὸ ἀπελθεῖν εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀποτάξασθαι· τουτέστιν, ἵνα ἰδιωτικώτερον εἴπω. ἀποχαιρετίσαι· ἐμφαίνει γὰρ ὁ τοιοῦτος ἄνθρωπος, ὅτι σχέσιν ἔχει πρὸς τὸν κόσμον. καὶ οὐχὶ κατὰ τοὺς ἀποστόλους διάκειται· οἱ ἀκούσαντες αὐτοῦ, εὐθὺς ἠκολούθησαν αὐτῷ. μηδὲν ἄλλο περιεργασάμενοι. ἀλλ᾽ ἀφέντες καὶ τὴν πρὸς τοὺς οἰκείους ἀποταγήν· πολλάκις γὰρ συμβαίνει ἐν ὅσῳ τὶς ἀποτάσσεται τοῖς συγγενέσιν αὐτοῦ, εὑρίσκεσθαί τινας ἐκ τούτων κωλύοντας αὐτὸν ἀπὸ τοῦ κατὰ θεὸν βίου· διὸ καλόν ἐστιν ἅμα τῷ θελῆσαι τὸ ἀγαθὸν, ἐπιτελεῖν αὐτὸ μηδὲν ἀναδυομένους· οὐδεὶς γὰρ ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸ ἄροτρον, τὸ πνευματικόν. καὶ βλέπων πάλιν ἐπὶ τὸν κόσμον, ἐπιτήδειός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ· νοήσεις δὲ ἀλώπεκας, καὶ τοὺς πανούργους δαίμονας· οἳ καὶ πετεινὰ τοῦ οὐρανοῦ λέγονται. τουτέστι, τοῦ ἀέρος· κατὰ τὸν ἄρχοντα γάρ φησι τῆς ἐξουσίας τοῦ ἀέρος· πρὸς Ἐφ. β΄
φησὶν οὖν ὁ κύριος πρὸς τὸν ἄνθρωπον. ὅτι οἱ δαίμονες ἐν σοὶ φωλεοὺς ἔχουσι, καὶ διὰ τοῦτο ὁ υἱὸς τοῦ ἀνθρώπου ἐγὼ, οὐκ ἔχω ποῦ τὴν κεφαλὴν κλίνω· τουτέστι τῆς εἰς ἐμὲ πίστεως· οὐχ ὁρῶ τόπον ἐν τῇ καρδίᾳ σου, τῇ πληρωθείσῃ δαιμόνων. κεφαλὴ γὰρ τοῦ χριστοῦ, ἡ πίστις ἡ εἰς αὐτόν ἐστιν· ὅταν γάρ τις αὐτὸν πιστεύσῃ θεὸν ὄντα, τότε τὴν κεφαλὴν τοῦ χριστοῦ κρατεῖ· νεκρὸς δέ ἐστιν ὁ ἁμαρτωλός· ὃς καὶ θάπτεται τοὺς ἑαυτοῦ νεκρούς. τουτέστι, τοὺς πονηροὺς λογισμούς. μὴ ἐξαγορεύων τούτους· κωλύει τοίνυν ὁ κύριος τὸν μέλλοντα ἀκολουθεῖν αὐτῷ, ἀπὸ τοῦ θάπτειν τὸν πονηρὸν λογισμὸν, καὶ κρύπτειν αὐτόν· βούλεται γὰρ φανεροῦν αὐτὸν, διὰ τῆς ἐξαγορεύσεως·

Κεφάλαιον Δέκατον·

» Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος καὶ ἑτέρους ἑβδομήκοντα· καὶ ἀπέστειλεν αὐ-
» τοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον, οὗ ἔμελλεν αὐτὸς ἔρ-
» χεσθαι· ἔλεγεν οὖν πρὸς αὐτούς. ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι· δεή-
» θητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ· ὑ-
» πάγετε· ἰδοὺ ἀποστέλλω ὑμᾶς, ὡς ἄρνας ἐν μέσῳ λύκων· Γέγραπται ἐν τῇ ἐξόδῳ
Ἐξο· ιε· ὅτι ἦλθον οἱ υἱοὶ Ἰσραὴλ εἰς Ἐλεὶμ. καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στελέχη φοινίκων· τοῦτο τοίνυν τότε μὲν ἱστορικῶς τε καὶ τυπικῶς ἐγένετο, νῦν δὲ ἀληθῶς ἐξέβη· Ἐλεὶμ γὰρ ἑρμηνεύεται ἀνάβασις. ὅπερ οὐδὲν ἄλλο, ἢ τοῦτο· ὅτι ἀναβαίνοντες ἡμεῖς εἰς τελειοτέραν σύνεσιν καὶ αὔξησιν πνευματικήν. καὶ μὴ κατὰ τοὺς Ἑβραίους ἐναπομένοντες τῷ νόμῳ. ἀλλ' εἰς τὸν χριστιανισμὸν ἀνατρέχοντες, εὑρήσομεν τὰς δώδεκα πηγάς· τοὺς κορυφαίους λέγω δώδεκα ἀποστόλους. οἱ πηγαὶ πάσης διδασκαλίας γλυκυτάτης εἰσίν· εὑρήσομεν δὲ καὶ τὰ ἑβδομήκοντα στελέχη τῶν φοινίκων, τοὺς ἑβδομήκοντα λέγω. οἱ πηγαὶ μὲν οὐ λέγονται. φοίνικες δέ. ὡς ἀπὸ τῶν ἀποστόλων ἐκτρεφόμενοι καὶ διδασκόμενοι· εἰ γὰρ καὶ ὁ Χριστὸς αὐτοὺς ἐξελέξατο, ἀλλ' οὖν ὑποδεέστεροι ἦσαν τῶν δώδεκα. καὶ μαθηταὶ αὐτῶν ὕστερον καὶ ἀκόλουθοι γεγόνασιν· οἱ φοίνικες οὖν οὗτοι, ὑπὸ μὲν τῶν πηγῶν τῶν ἀποστόλων λέγω, ἀνετράφησαν· ἡμῖν δὲ καρπὸν γλυκὺν ἅμα καὶ στύφοντα μετρίως ἐξερήγησαν· τοιαύτη γὰρ τῶν ἁγίων ἡ διδασκαλία, οὔτε πάντη γλυκαίνουσα καὶ κολακεύουσα, οὔτε πάντη στύφουσα καὶ πλήττουσα. ἀλλ' ἀμφοτέρων μετέχουσα, καὶ ὄντως ἠρτυμένη μὲν
Προς τοὺς κολ· δ' ἅλατι. ἀλλὰ καὶ χάριν ἔχουσα, καθὼς ὁ Παῦλος βοᾷ. ὁ λόγος ὑμῶν ἐν χάριτι, ἅλατι ἠρτυμένος· ἀναδείκνυσι δὲ τοὺς ἑβδομήκοντα μαθητὰς ὁ κύριος διὰ τὸ πλῆθος τῶν δεομένων διδασκαλίας· ὥσπερ γὰρ ἀγροὶ εὐφορήσαντες, πολλοὺς ζητοῦσι τοὺς θεριστάς, οὕτως οἱ μέλλοντες πιστεύειν, πολλοὶ ὄντες καὶ ἀναρίθμητοι, πολλῶν ἐδέοντο διδασκάλων· ἀνὰ δύο δὲ πέμπει αὐτοὺς ὡς ἀσφαλεστέρους, ἵνα ὁ ἕτερος τῷ ἑτέρῳ συνερ-
Λουκ· γ· γῇ· πρὸ προσώπου δὲ αὐτοῦ πορευόμενοι, δηλονότι ἐδίδασκον, ὡς Ἰωάννης· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου· σκόπει δὲ πῶς εἰπὼν, ὅτι δεήθητε τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλλῃ ἐργάτας, ὕστερον αὐτὸς οἰκείᾳ ἐξουσίᾳ ἀποστέλλει αὐτούς· ἀληθῶς γὰρ αὐτός ἐστιν ὁ κύριος τοῦ θερισμοῦ, ἤτοι τῶν πιστευόντων, ὡς θεὸς ἀληθής· προλέγει δὲ αὐτοῖς καὶ διωγμοὺς, καὶ ὅτι ὡς ἄρνες ἐν μέσῳ λύκων ἔσονται, ὡς ἂν μὴ ἀπροσδόκητοι αὐτοῖς ἐπελθόντες, ταράξωσι τῷ αἰφνιδίῳ·

» Μὴ βαστάζετε βαλάντιον. μὴ πήραν. μὴ δὲ ὑποδήματα· καὶ μηδένα κατὰ τὴν
» ὁδὸν ἀσπάσησθε· εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε. εἰρήνη τῷ οἴκῳ τούτῳ·
» καὶ ἐὰν μὲν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν. εἰ δὲ μήγε,
» ἐφ' ὑμᾶς ἀνακάμψει· ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐ-
» τῶν. ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι· μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν·
» καὶ εἰς ἣν ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν. καὶ
» θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς. ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία
» τοῦ θεοῦ· Ἐπειδὴ ἔμελλεν αὐτοὺς ἀποστέλλειν κήρυκας τοῦ εὐαγγελίου, φησὶ, μὴ βαστάζετε βαλάντιον, μήτε τὸ καὶ τό· ἀρκεῖ γὰρ ὑμῖν τὴν φροντίδα τοῦ λόγου ἔχειν· εἰ γὰρ βαλάντιον βαστάζετε, πρόδηλον ὅτι ἐπ' ἐκεῖνο ἀσχοληθήσεσθε, καὶ τοῦ λόγου καταφρονήσετε· ἄλλως τε ἐπειδὴ μέλλετε τρέφεσθαι ὑπὸ τῶν διδασκομένων, τίς χρεία βαλαντίου ὑμῖν ἢ πήρας, ἢ ὑποδημάτων. πᾶσαν γὰρ ὑμῖν τὴν χρείαν τούτων οἱ διδασκόμενοι ἀποθεραπεύουσι· τὸ δὲ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε, διὰ τοῦτο αὐτοῖς

ἐπιτίθησι, διὰ τὸ μὴ ἀπασχολεῖσθαι περὶ ἀνθρωπίνοις ἀσπασμοῖς, καὶ φιλοφρονήσεις, καὶ ἐκ τούτου πρὸς τὸ κήρυγμα ἐμποδίζεσθαι. εἰκὸς γὰρ τὸν τυχόντα τοῦ ἀσπασμοῦ, πάλιν καὶ αὐτὸν ἀντασπάσασθαι, καὶ τυχὸν καὶ μακροτέρας ὁμιλίας ἀξιῶσαι, οἷα τὰ τῶν συνοδοιπορούντων. εἶτα ὡς ἤδη φίλον γενόμενον, καὶ φιλοφρονήσασθαί τι περιττότερον, καὶ οὕτω κατὰ μικρὸν εἰς ἀνθρωπίνας σχέσεις τὸν ἀπόστολον ἐκπεσεῖν, καὶ ἀμελῆσαι τοῦ λόγου. κατὰ μὲν οὖν τὴν ὁδὸν ἀσπάζεσθαί τινα κωλύει διὰ τὴν εἰρημένην αἰτίαν. εἰς δὲ οἰκίαν εἰσερχόμενοι, φησὶ. λέγετε. εἰρήνη τῷ οἴκῳ τούτῳ. τουτέστιν, ἀσπάζεσθε τοὺς ἐν τῇ οἰκίᾳ. εἶτα δεικνύων ὅτι οὐ μόνον ἀσπασμός ἐστι τοῦτο, ἀλλὰ καὶ εὐλογία, φησὶν ὅτι, ἐὰν μὲν ᾖ ἄξιος ὁ οἰκοδεσπότης, εὐλογηθήσεται. εἰ δὲ ὑβριστὴς καὶ ἀνεπίδεκτος εἰρήνης, μαχόμενος καὶ ἐναντιούμενος τῷ λόγῳ ὑμῶν, καὶ τῇ διδασκαλίᾳ, ἡ εὐλογία οὐκ ἐπ' αὐτὸν ἥξει, ἀλλ' εἰς ὑμᾶς ἐπαναστρέψει. μὴ μεταβαίνειν δὲ εἰς πολλὰς οἰκίας παραγγέλλει, ἵνα μὴ δοκῶσι γαστρίμαργοι, καὶ σκανδαλίζωσι πολλοὺς, καὶ λυπῶσι τοὺς ἐξ ἀρχῆς ὑποδεξαμένους. ἀλλὰ καὶ ἐσθίετε, φησὶ, τὰ παρ' αὐτῶν. τουτέστιν ἃ προβάλλουσιν ὑμῖν, κἂν μικρὰ ὦσιν, κἂν εὐτελῆ. μηδὲν πλέον ἐπιζητοῦντες. ἀντὶ μισθοῦ δὲ ἔχετε τὴν τροφὴν, καὶ μὴ ζητεῖτε, καὶ τρέφεσθαι, καὶ μισθὸν πάλιν παρὰ μέρος λαμβάνειν. ἀλλ' αὐτὴν τὴν τροφὴν, ἀντὶ μισθοῦ ἔχετε. ὅρα οὖν, πῶς τοὺς μαθητὰς ἐξασφαλίζεται πρὸς ἀκτημοσύνην, καὶ θεραπεύειν δὲ τοὺς ἐν ταῖς πόλεσιν ἀσθενεῖς παραγγέλλει, ἵνα ἐντεῦθεν θαυματουργοῦντες, ἐφελκύωνται τοὺς ἀνθρώπους ἐπὶ τὸ κήρυγμα. ὅρα γὰρ, τί φησι, καὶ λέγετε αὐτοῖς, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. εἰ γὰρ πρῶτον θεραπεύετε, εἶτα διδάσκετε, εὐδρομήσει ὑμῖν ὁ λόγος, καὶ πιστεύσουσιν οἱ ἄνθρωποι, ὅτι ἡ βασιλεία τοῦ θεοῦ ἔφθασεν ἐπ' αὐτούς. οὐκ ἂν γὰρ ἐθεραπεύοντο εἰ μή τις θεία δύναμις ἦν ἡ ταῦτα τελοῦσα. ἀλλὰ γὰρ καὶ ὅταν κατὰ ψυχὴν ἀσθενοῦντες θεραπευθῶσι, τότε ἤγγικεν ἐπ' αὐτοὺς ἡ βασιλεία τοῦ θεοῦ. ἀπὸ γὰρ τοῦ ἀσθενοῦντος μακράν ἐστιν αὕτη, βασιλευομένου ὑπὸ τῆς ἁμαρτίας ἔτι.

» Εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας,
» αὐτοῖς εἴπατε. καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν, ἀπομασσό-
» μεθα ὑμῖν. πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. λέγω δὲ
» ὑμῖν ὅτι Σοδόμοις ἀνεκτότερον ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἢ τῇ πόλει ἐκείνῃ.

Ὅταν, φησὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες διαμαρτύρασθε αὐτοῖς, ὅτι οὐδὲν κοινὸν ἡμῖν πρὸς ὑμᾶς. οὐδὲ ἐχόμενόν τι ἀπὸ τῆς ὑμετέρας πόλεως. ἀλλὰ καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἀπομασσόμεθα, τουτέστιν, ἀποτινάσσομεν, ἀποσπογγίζομεν, ἀπορρίπτομεν ὑμῖν. πλὴν γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. ἐνταῦθα ζητήσει τίς, πῶς φησιν ὁ κύριος καὶ τοῖς ὑποδεχομένοις τοὺς ἀποστόλους ἐγγίσαι τὴν βασιλείαν, καὶ τοῖς μὴ ὑποδεχομένοις; ἔστιν οὖν εἰπεῖν, ὅτι οὐδὲν ἐναντίον φησί. καὶ γὰρ τοῖς μὲν τοὺς ἀποστόλους δεχομένοις, ἐγγίζειν τὴν βασιλείαν ἐπ' εὐεργεσίᾳ. τοῖς δὲ μὴ ὑποδεχομένοις, ἐπὶ κατακρίσει. ὑπόθου γάρ μοι ἐν θεάτρῳ τινὶ κατακρίτους εἶναι πολλοὺς, καὶ ἑτέρους ἀκατακρίτους. συγκλητικούς τε φημὶ, στρατηγούς τε καὶ ἀριστέας τυχόν. εἶτα λέγειν τινὰ κήρυκα πρὸς πάντας ὁμοῦ τούς τε κατακρίτους, καὶ τοὺς ἐντίμους, ὅτι ἤγγικεν ὁ βασιλεὺς ὑμῖν. ἆρ' οὐ τοῖς μὲν, ἐπὶ κολάσει, τοῖς δὲ ἐπὶ τιμῇ καὶ εὐεργεσίᾳ ἐγγίζειν τὸν βασιλέα λέγει; οὕτως οὖν ἐνταῦθα νόει. ἀνεκτότερον δὲ ἔσται Σοδόμοις φησὶ, ἢ τῇ μὴ παραδεξαμένῃ ὑμᾶς πόλει. διατί; διότι εἰς Σόδομα ἀπόστολοι οὐκ ἀπεστάλησαν, οἱ τοίνυν τοὺς ἀποστόλους μὴ δεξάμενοι, χείρους Σοδομιτῶν εἰσιν. παρατήρησον δὲ, ὅτι ἡ πόλις ἡ μὴ παραδεχομένη τοὺς ἀποστόλους, πλατείας ἔχει,

πλατεῖα γάρ ἐστιν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν· ὅστις οὖν πλατείας ὁδοὺς ἔχει ἀπαγούσας εἰς ἀπώλειαν, ἐκεῖνος ἀποστολικὸν λόγον καὶ θεῖον οὐ παραδέχεται.

» Οὐαί σοι Χοραζεὶν, οὐαί σοι Βηθσαϊδὰ, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνά-
» μεις, αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ, καὶ σποδῷ καθήμεναι, μετενόησαν.
» πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει, ἢ ὑμῖν. καὶ σὺ Καπερναούμ,
» ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ. ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει.
» καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με.

Ἡ Τύρος καὶ ἡ Σιδὼν, πόλεις ἦσαν ἑλληνίδες, ἡ δὲ Βηθσαϊδὰ καὶ ἡ Χοραζεὶν, Ἰουδαϊκαί. λέγει τοίνυν, ὅτι ἐν τῇ κρίσει ἀνεκτότερον ἔσται τοῖς Ἕλλησιν, ἢ ὑμῖν τοῖς ἰδοῦσι θαύματα, καὶ μὴ πιστεύσασιν· ἐκεῖνοι γὰρ εἰ εἶδον, ἐπίστευσαν ἄν. ἀλλὰ καὶ σὺ Καπερναοὺμ ὑψώθης μὲν ἕως οὐρανοῦ, δοξαζομένη διὰ τὰ ἐν σοὶ θαύματα πολλὰ γεγονότα, καταβιβασθήσῃ δὲ ἕως ᾅδου, κατακριθησομένη δι' αὐτὸ τοῦτο, ὅτι καὶ μετὰ τοσαῦτα θαύματα ἀπιστεῖς. εἶτα ἵνα μὴ λέγωσιν οἱ πεμπόμενοι ἐπὶ τὸ κήρυγμα, ὅτι ποῦ ἀποστέλλεις ἡμᾶς, εἰ μὴ μέλλουσιν ἡμᾶς πόλεις τινὲς ὑποδέχεσθαι, φησί. μὴ λυπεῖσθε, ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ καὶ τὸν πατέρα μου· ὥστε ἡ ὕβρις οὐκ εἰς ὑμᾶς ἵσταται, ἀλλ' εἰς θεὸν ἀνατρέχει· παραμυθία τοίνυν ἔστω ὑμῖν, τὸ θεὸν ὑβρίζεσθαι· ὥσπερ πάλιν μὴ καυχᾶσθε. ἢ ὑψηλοφρονεῖτε. ὅτι ἀκούουσί τινες ὑμῶν· οὐ γὰρ ὑμέτερον τὸ ἔργον, ἀλλ' ἐμοῦ καὶ τῆς χάριτος.

» Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες. κύριε καὶ τὰ δαιμόνια ὑπο-
» τάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου· εἶπε δὲ αὐτοῖς. ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστρα-
» πὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα· ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων
» καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδική-
» σῃ. πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται. χαίρετε δὲ
» μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.

Προεῖπεν ὅτι ἀπέστειλε τοὺς ἑβδομήκοντα. νῦν οὖν λέγει ὅτι ὑπέστρεψαν χαίροντες, ὅτι οὐ μόνον τὰς ἄλλας νόσους ἐδίωκον. ἀλλ' ὅτι καὶ τὸ μεῖζον κακὸν τοὺς δαίμονας ἐξήλαυνον· ὅρα δὲ πῶς οὐχ ὑψηλοφρονοῦσι· φασὶ γὰρ, ὅτι ἐν τῷ ὀνόματί σου ὑποτάσσονται ἡμῖν οἱ δαίμονες. ἐν τῇ σῇ χάριτι οὐ τῇ ἡμετέρᾳ ἰσχύι· εἶπε δὲ αὐτοῖς ὁ κύριος. μὴ θαυμάζετε εἰ δαίμονες ὑμῖν ὑποτάσσονται. ὁ γὰρ ἄρχων αὐτῶν, πάλαι κατέπεσεν ἀπ' οὐρανοῦ. καὶ οὐδεμίαν ἰσχὺν ἔχει· εἰ γὰρ καὶ τοῖς ἀνθρώποις οὐχ ἑωρᾶτο τοῦτο, ἀλλ' οὖν ἐμοὶ ἐθεωρεῖτο τῷ τῶν ἀοράτων θεωρῷ· ὡς ἀστραπὴ δὲ κατέπεσεν, ἐπεὶ φῶς ἦν. καὶ ἀρχάγγελος· καὶ ἑωσφόρος, εἰ καὶ σκότος γέγονεν· εἰ τοίνυν οὗτος κατέπεσεν ἀπ' οὐρανοῦ, οἱ δοῦλοι αὐτοῦ, τὰ δαιμόνια λέγω, τί οὐ πείσονται· τινὲς δὲ τὸ ἀπ' οὐρανοῦ, οὕτω νοοῦσι. τουτέστιν, ἀπὸ δόξης· ἐπεὶ γὰρ εἶπον αὐτῷ οἱ ἑβδομήκοντα ὅτι τὰ δαιμόνια ὑποτάσσεται, φησίν. ὅτι καὶ ἐγὼ τοῦτο ἐγίνωσκον· ἔβλεπον γὰρ τὸν σατανᾶν ἐξ οὐρανῶν. τουτέστιν ἀπὸ τῆς δόξης ἧς εἶχε, καὶ τῆς τιμῆς πεσόντα· πρὸ γὰρ Χριστοῦ ὡς θεὸς ἐτιμᾶτο, νῦν δὲ ἐξέπεσε τοῦ οὐρανοῦ. τουτέστι, τοῦ τιμᾶσθαι ὡς θεὸς, καὶ νομίζεσθαι ὅτι ἐν τῷ οὐρανῷ ἐστιν· ἰδοὺ οὖν δίδωμι ὑμῖν ἐξουσίαν καταπατεῖν τὰς δυνάμεις αὐτοῦ· ὄφεις γὰρ καὶ σκορπίοι αἱ τῶν δαιμόνων φάλαγγες κάτω συρόμεναι· καὶ ὅσοι μὲν ἐμφανέστερον πλήττουσιν, οὗτοι ὄφεις· ὅσοι δὲ ἀφανέστερον, οὗτοι σκορπίοι· οἷον ὁ μὲν τῆς πορνείας καὶ τοῦ φόνου δαίμων, ὄφις. εἰς προφανῆ γὰρ κακὰ συνωθεῖ· ὁ δὲ διὰ νόσον δῆθεν πε[illegible] ἀνθρώπων λουτροῖς χρᾶσθαι καὶ μυρίσμασι καὶ ταῖς ἄλλαις βλακείαις, ὁ [illegible] δαίμων σκορπίος ἂν κληθείη. μὴ ἐμφανὲς ἔχων τὸ κέντρον, ἀλλὰ λεληθότως τὴν σάρκα περιποιεῖσθαι σπεύδων, ἵνα ῥίψῃ τὸν πειθόμενον εἰς πτῶμα μέγα· χάρις δὲ τῷ κυ-

ρίῳ τῷ

ρίῳ τῷ διδόντι δύναμιν πατεῖν ἐπάνω τούτων· παιδεύων δὲ αὐτοὺς μὴ ὑψηλοφρονεῖν, φησί. πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται· ἄλλοι γάρ εἰσιν οἱ ἐκ τούτου εὐεργετούμενοι. οἱ τῆς ἰάσεως καταξιούμενοι· ἀλλὰ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς, οὐ μέλανι, ἀλλὰ μνήμῃ θεοῦ, καὶ χάριτι· καὶ ὁ μὲν διάβολος, ἄνωθεν καταπίπτει, οἱ δὲ ἄνθρωποι κάτω ὄντες γράφονται ἄνω· ἡ ἀληθινὴ ἐστὶ χαρά, τὸ γράφεσθαι ὑμῶν τὰ ὀνόματα ἄνω καὶ μνημονεύεσθαι ὑπὸ θεοῦ·

» Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν. ἐξομολογοῦμαί σοι
» πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς. ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνε-
» τῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμ-
» προσθέν σου· Ὥσπερ πατὴρ ἀγαθὸς παῖδας ἰδὼν κατορθώσαντάς τι, οὕτω καὶ ὁ σωτὴρ ἀγάλλεται, ὅτι τοιούτων ἀγαθῶν ἠξιώθησαν οἱ ἀπόστολοι· εὐχαριστεῖ οὖν τῷ πατρί, ὅτι ἀπεκρύβησαν τὰ τοιαῦτα μυστήρια ἀπὸ σοφῶν. τῶν φαρισαίων δηλαδὴ καὶ γραμματέων τῶν ἑρμηνευόντων τὸν νόμον. καὶ συνετῶν τῶν μαθητευομένων ὑπὸ τούτων δὴ τῶν γραμματέων· σοφὸς μὲν γάρ ἐστιν, ὁ διδάσκων συνετὸς δέ, ὁ διδασκόμενος καὶ συνιεὶς τὰ λεγόμενα· οἷον ὑποδείγματος χάριν. σοφὸς ὁ Γαμαλιήλ. συνετὸς δέ, ὁ Παῦλος. ὁ μὲν γὰρ διδάσκαλος, ὁ δὲ συνιεὶς τὰ λεγόμενα παρ' ἐκείνου· νηπίους δὲ ὀνομάζει τοὺς οἰκείους μαθητὰς ὁ κύριος, οἷα μὴ νομομαθεῖς ὄντας, ἀλλὰ τοὺς πλείους ἐκ τοῦ ὄχλου καὶ τῶν ἁλιέων συνηρανισμένους· ἀλλὰ μὴν καὶ ὡς ἄκακοι, νήπιοι ἂν κληθεῖεν· ἐκεῖνοι δὲ δοκοῦντες συνετοὶ καὶ σοφοί, οὐ μὴν ὄντες· ἀπεκρύβη οὖν τὰ μυστήρια ἀπὸ τῶν δοκούντων σοφῶν καὶ συνετῶν, οὐ μὴν ὄντων· εἰ γὰρ ἦσαν, ἀπεκαλύφθη ἂν αὐτοῖς· ναὶ ὁ πατήρ, εὐχαριστῶ σοι, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου, τουτέστιν, ὅτι τοιαύτη εὐδοκία καὶ θέλησις ἐγένετο ἔμπροσθέν σου. καὶ οὕτως ἤρεσέ σοι·

» Καὶ στραφεὶς πρὸς τοὺς μαθητάς, εἶπε. πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου·
» καὶ οὐδεὶς γινώσκει, τίς ἐστιν ὁ υἱός, εἰ μὴ ὁ πατήρ. καὶ τίς ἐστιν ὁ πατήρ, εἰ μὴ ὁ υἱός.
» καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. καὶ στραφεὶς πρὸς τοὺς μαθητάς, κατ' ἰ-
» δίαν εἶπε.. μακάριοι οἱ ὀφθαλμοί, οἱ βλέποντες, ἃ ὑμεῖς βλέπετε. λέγω γὰρ ὑμῖν,
» ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν, ἃ ὑμεῖς βλέπετε καὶ οὐκ εἶδον.
» καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν·

Πάντα παραδίδονται τῷ υἱῷ ὑπὸ τοῦ πατρός, καθ' ὃ ἔμελλον ὑποταγῆναι τῷ υἱῷ τὰ πάντα· δύο γὰρ τρόποι εἰσὶ καθ' οὓς βασιλεύει τῶν πάντων ὁ θεός· ὁ μέν, καὶ μὴ βουλομένων. ὁ δέ, βουλομένων· οἷον τί λέγω, δεσπότης ἐστὶν ὁ θεὸς ἐμοῦ, κἂν μὴ θέλω. καθὸ δημιουργός μου ἐστίν. ἔστι δὲ δεσπότης ἐμὸς πάλιν, ὅταν διὰ τῆς τῶν ἐντολῶν ἐργασίας τὸ θέλημα αὐτοῦ πληρῶ ὡς δοῦλος εὐγνώμων· πρώην μὲν γὰρ ἡ τῶν ἀνθρώπων φύσις δούλη ἦν. καὶ ὑποχείριος τῷ θεῷ, κἂν μὴ ἤθελε, κἂν τῷ σατανᾷ ὑπούργει· ἐπεὶ δὲ ὁ Χριστὸς τὸν ὑπὲρ ἡμῶν ἀνεδέξατο πόλεμον, καὶ ἐκσπάσας ἡμᾶς ἀπὸ τῆς τυραννίδος τοῦ διαβόλου, ὑπηρέτας ἡμᾶς καὶ ἐργάτας τῶν ἐντολῶν ἐποίησεν, ἔκτοτε δοῦλοι γεγόναμεν εὐγνώμονες καὶ φύσει καὶ προαιρέσει· ἡ μὲν γὰρ πρὶν δουλεία, φύσει μόνον ἦν. ἡ δευτέρα δέ, καὶ προαιρέσει· τοῦτο οὖν ἐστιν ὃ λέγει νῦν ὁ κύριος. ὅτι πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου. τουτέστι πάντα μοι ὑποταγῆναι μέλλει, καὶ ὑπὸ τὴν ἐμὴν δεσποτείαν μεταπεσεῖν· ὅμοιον δὲ τοῦτο τῷ ἀλλαχοῦ ῥηθέντι. ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· ἐπεὶ γὰρ εἰρηνοποίησε τὰ πάντα τά τε ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, διὰ τοῦτο τοιαῦτα λέγει· καὶ ἄλλως δὲ πάντα παραδίδονται τῷ υἱῷ ὑπὸ τοῦ πατρός, πάντα τὰ τῆς ὑπὲρ ἡμῶν οἰκονομίας ἔργα· ἐπειδὴ γὰρ

ὑπὲρ ἡμῶν οὔτε ὁ πατὴρ, οὔτε τὸ πνεῦμα ἢ ἐσαρκώθη. ἢ ἔπαθεν. ἢ ἀνέστη. ἀλλ' ὁ υἱὸς ταῦτα πάντα ἐνήργησε, καὶ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν ἐγένετο, διὰ τοῦτο εἶπε, πάντα παραδέδοσθαι αὐτῷ. ὥσπερ ἂν εἰ ἔλεγεν, ὁ πατήρ μου ἐμοὶ ἐνεπίστευσε πάντα, τὸ σαρκωθῆναι, τὸ παθεῖν, τὸ ἀναστῆναι, τὸ σῶσαι τὴν ἀπατηθεῖσαν φύσιν. καὶ οὐδεὶς γινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ. καὶ τίς ἐστιν ὁ πατὴρ, εἰ μὴ ὁ υἱός. ἐπειδὴ εἶπεν ὅτι πάντα μοι παρεδόθη, ὡσανεὶ ἀπορίαν τινὰ λύει νῦν. ἵνα γὰρ μὴ ἀπορῇς, καὶ τίνος ἕνεκα σοὶ παρέδωκε πάντα καὶ οὐχ ἑτέρῳ, τυχὸν ἀγγέλῳ, ἢ ἀρχαγγέλῳ, φησίν. ὅτι διὰ τοῦτό μοι παρέδωκε, διότι ὁμοφυὴς αὐτῷ εἰμὶ καὶ ὁμοούσιος. καὶ ὥσπερ ἐκεῖνον οὐδεὶς γινώσκει, οὕτως οὐδὲ ἐμὲ, εἰ μὴ ὁ πατὴρ μόνος. ὥστε εἰκότως μοι παρέδωκε πάντα, ὡς ὁμοφυεῖ αὐτῷ, καὶ πᾶσαν ὑπερκειμένῳ γνῶσιν. ὥσπερ καὶ αὐτὸς πάσης γνώσεως ἐπέκεινα. καὶ γὰρ καὶ ὁ πατὴρ, φησὶ, ὑπὸ τοῦ υἱοῦ μόνου γινώσκεται. καὶ ᾧ ἂν βουληθῇ ἀποκαλύψαι ὁ υἱός. ὅρα δὲ πῶς ὁ μὲν υἱὸς οὐ δι' ἀποκαλύψεως γινώσκει τὸν πατέρα, οἱ δὲ κτιστοὶ δι' ἀποκαλύψεως. χάριτι γὰρ λαμβάνουσι τὴν γνῶσιν. οὐκ ἄρα κτιστὸς ὁ υἱός. στραφεὶς δὲ πρὸς τοὺς μαθητὰς, μακαρίζει αὐτούς. καὶ πάντας ἁπλῶς τοὺς βλέποντας μετὰ πίστεως δηλονότι ἐν σαρκὶ περιπατοῦντα αὐτὸν, καὶ θαυματουργοῦντα. καὶ γὰρ οἱ πάλαι προφῆται καὶ βασιλεῖς, ἐπεθύμησαν μὲν ἰδεῖν ἐν σαρκὶ τὸν κύριον, καὶ ἀκοῦσαι αὐτοῦ. ἀλλ' οὐκ ἔτυχον τούτου. καὶ ἄλλως δὲ, ἐπεὶ εἶπεν ἄνω. ὅτι ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ, ἐκεῖνος γινώσκει τὸν πατέρα, μακαρίζει λοιπὸν τοὺς μαθητὰς ὡς τῆς ἀποκαλύψεως ταύτης τυχόντας. ἀπεκάλυπτε γὰρ αὐτοῖς τὸν πατέρα
Ἰωάν. ιδ΄. δι' αὐτοῦ. ὁ γὰρ αὐτὸν ὁρῶν, ἑώρα τὸν πατέρα. τούτου δὲ τοῦ ἀγαθοῦ οὐδεὶς τῶν πρὸ τῆς ἐνσάρκου οἰκονομίας ἁγίων ἐπέτυχεν. ἐπεὶ γὰρ οὐκ εἶδον τὸν κύριον ἐν σαρκὶ, δι' οὗ ὁ πατὴρ ἐγνωρίζετο, λοιπὸν οὐδὲ τὸν πατέρα εἶδον οὕτως ὡς οἱ ἀπόστολοι.

Καὶ ἰδοὺ νομικός τις ἀνέστη, ἐκπειράζων αὐτὸν, καὶ λέγων. διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω. ὁ δὲ εἶπε πρὸς αὐτὸν, ἐν τῷ νόμῳ τί γέγραπται. πῶς ἀναγινώσκεις. ὁ δὲ ἀποκριθεὶς εἶπεν. ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας
Δευτε. ς΄. σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. εἶπε δὲ αὐτῷ. ὀρθῶς ἀπεκρίθης. τοῦτο ποίει, καὶ ζήσῃ. Ἀλαζών τις ἦν ὁ νομικὸς, μᾶλλον δὲ ὑπερήφανος, ὡς ἐκ τῶν ἑξῆς δείκνυται. οὐ μόνον δὲ, ἀλλὰ καὶ δόλιος. πρόσεισι γοῦν ἐκπειράζων τὸν κύριον. ᾤετο γὰρ ὡς ὑποσκελίσει αὐτὸν, ἐξ ὧν ἂν πρὸς αὐτὸν ἀποκριθείη. ἀλλ' ὁ κύριος ἐπὶ τὸν νόμον αὐτὸν ἀπάγει, ἐφ' ᾧ μέγα ἐβρενθύετο. ὅρα δὲ τὴν τοῦ νόμου ἀκρίβειαν, πῶς κελεύει ἀγαπᾶν τὸν θεόν. ὁ ἄνθρωπος τελειότερόν ἐστι πάντων τῶν κτισμάτων, μετέχων μὲν καὶ αὐτῶν πάντων. ἔχων δέ τι καὶ ἐξαίρετον. οἷον τί λέγω. μετέχει καὶ τοῦ λίθου. ἔχει γὰρ τρίχας, ὄνυχας, ἀναίσθητα ὄντα ὥσπερ ὁ λίθος. μετέχει καὶ τοῦ φυτοῦ, καθὸ αὔξεται, καὶ τρέφεται, καὶ γεννᾷ τὸ ὅμοιον, ὥσπερ καὶ τὰ φυτά. μετέχει καὶ τῶν ἀλόγων. καθὸ ἔχει τὰς αἰσθήσεις, καὶ θυμοῦται, καὶ ἐπιθυμεῖ. μετέχει δὲ καὶ θεοῦ παρὰ πάντα τὰ ἄλλα ζῶα, κατὰ τὴν νοερὰν ψυχήν. θέλων οὖν δεῖξαι ὁ νόμος, ὅτι δεῖ τὸν ἄνθρωπον ὅλον δι' ὅλου, ἑαυτὸν δοῦναι θεῷ, καὶ πάσας τὰς ψυχικὰς δυνάμεις εἰς τὴν ἀγάπην τοῦ θεοῦ ἀναλῶσαι, διὰ μὲν τοῦ εἰπεῖν ἐξ ὅλης τῆς καρδίας, τὴν σωματικωτέραν καὶ τὴν τοῖς φυτοῖς οἰκείαν ἐδήλωσε δύναμιν. διὰ δὲ τοῦ ἐξ ὅλης τῆς ψυχῆς, τὴν μέσην καὶ τοῖς αἰσθητικοῖς ἁρμόζουσαν. διὰ δὲ τοῦ ἐξ ὅλης τῆς διανοίας, τὸ ἰδιαίτατον τοῦ ἀνθρώπου τὴν νοερὰν ψυχὴν κατεμήνυσε. τὸ δὲ ἐξ ὅλης τῆς ἰσχύος, εἰς πάντα ταῦτα δεῖ ἡμᾶς ἕλκειν. δεῖ γὰρ ἡμᾶς καὶ τὴν φυσικὴν δύναμιν τῆς ψυχῆς ὑποτάττειν τῇ ἀγάπῃ τοῦ χριστοῦ. ἀλλὰ πῶς; ἰσχυρῶς. ἀλλὰ μὴ ἐκλελυμένως. καὶ τὴν αἰ-

σθητικὴν,

σθητικὴν, καὶ ταύτην ἰσχυρῶς· καὶ τὴν νοερὰν, καὶ ταύτην ἐξ ὅλης τῆς ἰσχύος· ὥστε ὅ-
λους ἑαυτοὺς, ὀφείλομεν διδόναι θεῷ, καὶ ὑποτάττειν, καὶ τὴν θρεπτικὴν, καὶ τὴν αἰ-
σθητικὴν, καὶ διανοητικὴν ἡμῶν δύναμιν τῇ ἀγάπῃ τοῦ θεοῦ· καὶ τὸν πλησίον σου ὡς
σεαυτόν· ὁ νόμος οὔπω τὰ τέλεια δυνάμενος διδάσκειν διὰ τὸ νηπιῶδες τῶν ἀκουόντων,
τὸν πλησίον ἀγαπᾷν προτρέπεται ὡς ἑαυτόν· ὁ δὲ Χριστὸς καὶ ὑπὲρ ἑαυτὸν ἀγαπᾷν
τὸν πλησίον ἐδίδαξε· μείζονα γὰρ ταύτης ἀγάπην, φησὶ, οὐκ ἔχει τὶς δεῖξαι, ἢ ἵνα τὶς Ἰωαν. ιε΄.
τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ· λέγει οὖν πρὸς τὸν νομικὸν, ὀρθῶς ἀπεκρί-
θης· ἐπεὶ γάρ φησιν ἔτι τῷ νόμῳ ὑπόκεισαι, ὀρθῶς ἀπεκρίνη. καὶ τὸν νόμον γὰρ φρονεῖς·
» Ὁ δὲ θέλων δικαιοῦν ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν. καὶ τίς ἐστί μου πλησίον· ὑπο
» λαβὼν δὲ ὁ Ἰησοῦς, εἶπεν. ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ λῃ
» σταῖς περιέπεσεν. οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέν-
» τες ἡμιθανῆ τυγχάνοντα. κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ,
» καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν· ὁμοίως δὲ καὶ λευίτης γενόμενος κατὰ τὸν τόπον ἐλ-
» θὼν, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθε· Σαμαρείτης δὲ ὁδεύων ἦλθε κατ᾽ αὐτὸν, καὶ ἰδὼν
» ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ
» οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον. καὶ ἐπε-
» μελήθη αὐτοῦ· καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδο
» χεῖ. καὶ εἶπεν αὐτῷ. ἐπιμελήθητι αὐτοῦ καὶ ὅ, τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπα
» νέρχεσθαί με, ἀποδώσω σοι· τίς οὖν τῶν τριῶν πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόν
» τος εἰς τοὺς λῃστάς· ὁ δὲ εἶπεν. ὁ ποιήσας τὸ ἔλεος μετ᾽ αὐτοῦ· εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς. πο
» ρεύου, καὶ σὺ ποίει ὁμοίως· Ἐπαινεθεὶς ὑπὸ τοῦ σωτῆρος ὁ νομικὸς, τὴν ἀλαζονείαν
ἐξέρρηξεν· εἶπε γάρ. καὶ τίς ἐστί μου πλησίον· ᾤετο γὰρ ὅτι δίκαιος ὢν, οὐδένα ἔχει ὅ-
μοιον ἑαυτῷ. καὶ πλησιάζοντα κατὰ τὴν ἀρετήν· πλησίον γὰρ μόνον ἤλπιζεν εἶναι τὸν
δίκαιον τῷ δικαίῳ· θέλων οὖν δικαιοῦν ἑαυτὸν, καὶ ὑπεραίρειν πάντων ἀνθρώπων,
ἀλαζονευόμενός φησι. καὶ τίς ἐστί μου πλησίον· ὁ δὲ σωτὴρ, ἅτε δὴ ποιητὴς ὢν, καὶ εἰ
δὼς πάντας ἓν πλάσμα, οὐ ταῖς πράξεσιν οὐδὲ τοῖς ἀξιώμασιν, ἀλλὰ τῇ φύσει ὁρί
ζεται τὸν πλησίον· μὴ γὰρ νόμιζε, φησὶν, ὅτι ἐπειδὴ δίκαιος εἶ, οὐδείς σοί ἐστιν ὅμοιος.
πάντες γὰρ οἱ τῆς αὐτῆς φύσεως κεκοινωνηκότες πλησίον σου εἰσί· γενοῦ τοίνυν καὶ
αὐτὸς πλησίον αὐτοῖς, οὐ τῷ τόπῳ, ἀλλὰ τῇ διαθέσει καὶ τῇ εἰς αὐτοὺς ἐπιμελείᾳ·
διὸ καὶ τὸν Σαμαρείτην εἰσάγω σοι πρὸς ὑπόδειγμα, ἵνα σοι δείξω, ὅτι ὥσπερ οὗτος
διαφέρων τῷ βίῳ, ὅμως πλησίον γέγονε τοῦ ἀξίου ἐλεηθῆναι, οὕτω καὶ σὺ δεῖξον σεαυ
τὸν πλησίον τῇ συμπαθείᾳ, καὶ αὐτόκλητος ἐπὶ τὴν βοήθειαν βάδιζε· διδασκόμεθα
οὖν καὶ ταῦτα διὰ τῆς παραβολῆς ταύτης, τὸ ἑτοίμους εἶναι πρὸς ἔλεον, καὶ σπεύδειν
πλησίον γίνεσθαι τῶν δεομένων τῆς παρ᾽ ἡμῶν βοηθείας· διδασκόμεθα δὲ καὶ τὴν πε
ρὶ τὸν ἄνθρωπον ἀγαθότητα τοῦ θεοῦ· κατέβαινε γὰρ ἡ ἀνθρωπίνη φύσις ἀπὸ Ἱερου-
σαλὴμ, τουτέστι, τῆς ἀστασιάστου καὶ εἰρηναίας διαγωγῆς. ὅρασις γὰρ εἰρήνης ἑρμη-
νεύεται ἡ Ἱερουσαλήμ· ποῦ δὲ κατέβαινεν; εἰς τὴν Ἱεριχὼ, τὴν κοίλην καὶ χθαμα-
λὴν καὶ τῷ καύματι πνιγηρὰν. τουτέστι τὴν ἐμπαθῆ ζωήν· ὅρα δὲ, οὐκ εἶπεν ὅτι κατέ
βη, ἀλλὰ κατέβαινεν. ἀεὶ γὰρ ἡ ἀνθρωπίνη φύσις ἐπὶ τὰ κάτω ἔνευεν, οὐχ ἅπαξ,
ἀλλὰ δι᾽ ὅλου τῷ ἐμπαθεῖ βίῳ προσέχουσα· περιέπεσε δὲ λῃσταῖς, τοῖς δαίμοσιν· εἰ μὴ
γὰρ καταβῇ τις ἀπὸ τοῦ ὕψους τῆς διανοίας, οὐ περιπίπτει τοῖς δαίμοσιν· οἱ ἐκδύσαντες
τὸν ἄνθρωπον, καὶ στερήσαντες τῶν τῆς ἀρετῆς ἱματίων, τότε τὰς πληγὰς ἐπέθηκαν
τῆς ἁμαρτίας· πρότερον γὰρ ἀπογυμνοῦσιν ἡμᾶς παντὸς ἀγαθοῦ λογισμοῦ, καὶ τῆς
τοῦ θεοῦ σκέπης, εἶθ᾽ οὕτως τὰς πληγὰς τῆς ἁμαρτίας ἐπιβάλλουσιν· ἡμιθανῆ δὲ κα

τελείαν τὴν ἀνθρωπίνην φύσιν, ἢ διότι ἡ ψυχὴ ἀθάνατος, τὸ δὲ σῶμα θνητόν. ὥστε
τὸ ἥμισυ τοῦ ἀνθρώπου τῷ θανάτῳ ὑπαχθῆναι, ἢ διότι οὐ πάντη ἦν ἀπεγνωσμένη ἡ
ἀνθρωπίνη φύσις, ἐν γὰρ χριστῷ τὴν σωτηρίαν ἕξειν ἠλπίζετο· ὥστε οὐκ ἐτεθανάτωτο
παντελῶς, ἀλλ' ὅσον μὲν ἐπὶ τῷ τοῦ Ἀδὰμ παραπτώματι, θάνατος εἰς τὸν κόσμον εἰ-
σῆλθεν, ὅσον δὲ ἐπὶ τῷ τοῦ χριστοῦ δικαιώματι, ὁ θάνατος ἔμελλε καταργεῖσθαι· ἱερέα
δὲ καὶ λευίτην, τὸν νόμον μοι νόει, καὶ τοὺς προφήτας· οὗτοι γὰρ ἠβούλοντο μὲν δικαιῶ-
Πρὸς Ἑβρ. ι. σαι τὴν ἀνθρωπίνην φύσιν, οὐκ ἠδυνήθησαν δέ· ἀδύνατον γάρ φησιν ὁ Παῦλος, αἷμα
ταύρων καὶ τράγων ἀφελεῖν ἁμαρτίας· ἠλέησαν μὲν οὖν τὸν ἄνθρωπον, καὶ θεραπεῦ-
σαι διενοήθησαν· εἶτα τῇ τῶν πληγῶν ἐπικρατείᾳ νικηθέντες, εἰς τοὐπίσω πάλιν ὑπε-
χώρησαν· τοῦτο γὰρ σημαίνει τὸ ἀντιπαρελθεῖν· ἦλθε μὲν γὰρ ὁ νόμος, καὶ ἐπέστη τῷ
κειμένῳ, εἶτα μὴ ἰσχύων θεραπεῦσαι, ἀπεστράφη. ὅπερ ἐστὶ τὸ ἀντιπαρῆλθεν· ὅρα δὲ τὸ
κατὰ συγκυρίαν, τίνα νοῦν ἔχει· τῷ ὄντι γὰρ ὁ νόμος οὐ προηγουμένως ἐδόθη, ἀλλὰ διὰ
τὴν ἀνθρωπίνην ἀσθένειαν, μὴ δυναμένην ἐξ ἀρχῆς δέξασθαι τὸ κατὰ χριστὸν μυστή-
ριον· διὰ τοῦτο, φησὶν, ὅτι ὁ ἱερεὺς, τουτέστιν ὁ νόμος, κατὰ συγκυρίαν, ὅπερ εἰώθαμεν λέ-
γειν κατὰ σύμβαμα, ἀλλ' οὐ προηγουμένως ἦλθεν εἰς τὸ θεραπεῦσαι τὸν ἄνθρωπον.
ἀλλ' ὁ κύριος καὶ θεὸς ἡμῶν, ὁ δι' ἡμᾶς κατάρα γενόμενος, καὶ Σαμαρείτης ἀκού-
σας, ὁδεύων, τουτέστιν αὐτὸ τοῦτο πρόφασιν ὁδοῦ ποιησάμενος, καὶ τὸν σκοπὸν θέμε-
νος, τὸ ἡμᾶς θεραπεῦσαι. ἀλλ' οὐ παροδεύων, καὶ ἐκ παρέργου ἐπισκεψάμενος ἡ-
μᾶς, ἦλθεν εἰς ἡμᾶς. συναναστραφεὶς ἡμῖν, καὶ ὁμιλήσας ἀφαντάστως· κατέδησεν
οὖν εὐθὺς τὰ τραύματα, μὴ ἐάσας τὴν κακίαν ἐπὶ πλέον ἄνετον εἶναι. ἀλλὰ κατα-
δήσας αὐτὴν ἐπέχεεν δὲ ἔλαιον καὶ οἶνον· ἔλαιον μὲν τὸν λόγον τῆς διδασκαλίας
τὸν διὰ τῶν ἀγαθῶν προτρεπόμενον. οἶνον δὲ, τὸν διὰ τῶν φοβερωτέρων ἐνάγοντα
Ματ. ια'. πρὸς ἀρετήν· οἷον ὅταν ἀκούῃς τοῦ κυρίου λέγοντος. δεῦτε πρός με, κἀγὼ ἀναπαύσω
Ματ. κδ'. ὑμᾶς· τοῦτο τὸ ἔλαιον, ἱλαρότητα γὰρ καὶ ἀνάπαυσιν ὑποδείκνυσι· καὶ πάλιν.
δεῦτε κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· ὅταν δὲ λέγῃ ὅτι πορεύε-
σθε εἰς τὸ σκότος, τοῦτο ὁ οἶνος, ἡ στυπτικὴ διδασκαλία· νοήσεις δ' ἂν καὶ ἄλλως· ἔ-
λαιον τὴν κατὰ ἄνθρωπον διαγωγήν. οἶνον τὴν κατὰ θεόν· οἷον τί λέγω· ὁ κύριος
τὰ μὲν, ἀνθρωπίνως ἐνήργει. τὰ δὲ, θεϊκῶς· τὸ μὲν γὰρ ἐσθίειν καὶ πίνειν, καὶ τὸν
ἄνετον βίον μεταδιώκειν, ἀλλ' οὐχὶ σκληραγωγίαν ἐνδείκνυσθαι ὥσπερ ὁ Ἰωάννης,
τοῦτό ἐστι τὸ ἔλαιον· ἡ δὲ ξένη νηστεία καὶ ὁ ἐν θαλάσσῃ περίπατος, καὶ ὅσα ἄλλα τῆς
θείας δυνάμεως, ταῦτά ἐστιν ὁ οἶνος· οἴνῳ γὰρ ἀπεικαστέον τὴν θεότητα, ἣν ἄκρατον
ὑπενεγκεῖν οὐδεὶς ἂν ἠδυνήθη, εἰ μὴ καὶ τὸ ἔλαιον ἦν, τουτέστιν ἡ κατὰ ἄνθρωπον δια-
γωγή· ἐπεὶ οὖν δι' ἀμφοτέρων ἡμᾶς ἔσωσε, θεότητός φημι καὶ ἀνθρωπότητος, διὰ
τοῦτο λέγεται οἶνον καὶ ἔλαιον ἐπιχέαι· καὶ καθ' ἑκάστην δὲ οἱ βαπτιζόμενοι, τῶν τραυ-
μάτων τῆς ψυχῆς ἀπαλλάττονται· ἐλαίῳ μὲν τοῦ μύρου χριόμενοι, εὐθὺς δὲ κοινω-
νοῦντες, καὶ τοῦ θείου αἵματος μεταλαμβάνοντες· ἀνεβίβασε δὲ ὁ κύριος τὴν τραυ-
ματισθεῖσαν ἡμῶν φύσιν ἐπὶ τὸ ἴδιον ὑποζύγιον. τουτέστιν ἐπὶ τὸ σῶμα αὐτοῦ, μέλη
γὰρ αὐτοῦ ἡμᾶς ἐποίησε, καὶ κοινωνοὺς τοῦ σώματος αὐτοῦ· κάτω τε κειμένους ἀνεβί-
βασεν ἐπὶ τὴν ἀξίαν ἐκείνην, ὥστε συσσώμους αὐτῷ εἶναι· πανδοχεῖον δὲ ἡ ἐκκλησία,
Δευ. κγ'. ἡ πάντας ὑποδεχομένη· ὁ μὲν γὰρ νόμος, οὐ πάντας ἐδέχετο. Μωαβίτης γάρ, φησι,
καὶ Ἀμμανίτης οὐκ εἰσελεύσεται εἰς ἐκκλησίαν θεοῦ· νῦν δὲ ἐν παντὶ ἔθνει ὁ φοβού-
μενος τὸν θεὸν, δεκτὸς αὐτῷ ἐστι. θέλων πιστεῦσαι, καὶ μέρος γενέσθαι τῆς ἐκκλησίας·
πάντας γὰρ ὑποδέχεται καὶ ἁμαρτωλοὺς καὶ τελώνας· ὅρα δὲ τὴν ἀκρίβειαν, πῶς
φησιν. ὅτι ἀπαγαγὼν εἰς τὸ πανδοχεῖον, ἐπεμελήθη αὐτοῦ, πρὶν ἢ γὰρ ἀπαγαγεῖν

εἰς τοῦτο,

εἰς τοῦτο, μόνον κατέδησε τὰ τραύματα· τί οὖν ἐστιν ὅ φημι; ὅτι τῆς ἐκκλησίας συ-
στάσης, καὶ γενομένου τοῦ πανδοχείου, τουτέστιν ἐκ πάντων σχεδὸν τῶν ἐθνῶν τῆς πίστεως
αὐξηθείσης, τότε ἐγένετο καὶ πνεύματος ἁγίου δωρεά, καὶ ἡ χάρις τοῦ θεοῦ ἐπλατύ-
νετο· καὶ τοῦτο μαθήσῃ ἀπὸ τῶν πράξεων τῶν ἀποστόλων· ἐπέχει δὲ τύπον πανδο-
χέως πᾶς ἀπόστολος, καὶ διδάσκαλος, καὶ ποιμήν. οἷς δέδωκεν ὁ κύριος δύο δηνά-
ρια, τὰς δύο διαθήκας. τὴν παλαιὰν καὶ τὴν νέαν· ἑνὸς γὰρ εἰκόνα βασιλέως φέ-
ρουσιν ἀμφότεραι, τοῦ αὐτοῦ θεοῦ λόγια οὖσαι· ταῦτα γοῦν τὰ δηνάρια εἰς οὐρανοὺς
ἀνερχόμενος ὁ κύριος κατέλειψε τοῖς ἀποστόλοις, καὶ τοῖς κατὰ καιροὺς ἐπισκόποις,
καὶ διδασκάλοις· εἶπε δέ. ὅτι ὃ ἂν προσδαπανήσῃς οἴκοθεν, ἐγὼ δώσω σοι· τῷ ὄντι
γὰρ προσεδαπάνησαν οἴκοθεν οἱ ἀπόστολοι, πολλὰ κοπιάσαντες. καὶ πανταχοῦ τὴν
διδασκαλίαν σπείροντες· ἀλλὰ καὶ οἱ κατὰ καιροὺς διδάσκαλοι ἐξηγούμενοι τὴν
παλαιὰν καὶ τὴν νέαν, πολλὰ προσεδαπάνησαν οἴκοθεν· ὑπὲρ ὧν τὸν μισθὸν ἀπο-
λήψονται ἐν τῷ ἐπανέρχεσθαι τὸν κύριον. τουτέστιν ἐν τῇ δευτέρᾳ παρουσίᾳ· τότε γὰρ
ἂν εἴποι ἕκαστος αὐτῶν αὐτῷ. κύριε δύο δηνάρια δέδωκάς μοι, ἰδοὺ ἄλλα δύο προσε- Ματ· κε΄·
δαπάνησα· πρὸς ὃν ἐρεῖ καὶ αὐτός, εὖ δοῦλε ἀγαθέ·

» Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτούς, καὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά· γυνὴ δέ
» τις, ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς· καὶ τῇδε ἦν ἀδελφὴ κα-
» λουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τῶν λόγων αὐ-
» τοῦ· ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν. ἐπιστᾶσα δὲ εἶπε. κύριε, οὐ
» μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναν-
» τιλάβηται· ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς. Μάρθα Μάρθα, μεριμνᾷς, καὶ τυρ-
» βάζῃ περὶ πολλά. ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις
» οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς· Μέγα μὲν τὸ τῆς φιλοξενίας ἀγαθόν, ὅπερ ἡ
Μάρθα ἐπεδείκνυτο, καὶ οὐκ ἀπόβλητον. μεῖζον δὲ τὸ προσέχειν τοῖς πνευματικω-
τέροις λόγοις· δι᾽ ἐκείνου μὲν γὰρ τὸ σῶμα τρέφεται, διὰ δὲ τούτου ἡ ψυχὴ ζωοῦται·
οὐ γὰρ διὰ τοῦτο, φησί, πάρεσμεν ὦ Μάρθα, ἵνα τὴν γαστέρα ἐμπλήσωμεν ποικίλων
βρωμάτων. ἀλλ᾽ ἵνα ψυχὰς ὠφελήσωμεν· ὅρα δὲ τὴν τοῦ κυρίου γνώμην· οὐ πρότε-
ρον εἶπέ τι πρὸς τὴν Μάρθαν, πρὶν ἢ παρ᾽ ἐκείνης λαβεῖν τὰς ἀφορμὰς τῆς ἐπιπλή-
ξεως· ἐπεὶ γὰρ ἐκείνη ἀποσπάσασθαι ἐπειρᾶτο τὴν ἀδελφὴν αὐτῆς ἀπὸ τῆς ἀ-
κροάσεως, τότε ὁ κύριος δραξάμενος ἀφορμῆς, ἐπιπλήττει αὐτήν· μέχρι γὰρ τότε ἡ
φιλοξενία τιμητέα, μέχρις ὅτου οὐ περισπᾷ ἡμᾶς, καὶ ἀπάγει τῶν ἀναγκαιοτέρων·
ἐπ᾽ ἂν δὲ ἄρξηται κωλύειν ἡμᾶς ἀπὸ τῶν σπουδαιοτέρων, τηνικαῦτα ταύτης προτιμη-
τέον τὴν τῶν θείων ἀκρόασιν· μᾶλλον δὲ εἰδεῖ τὸ ἀκριβέστερον εἰπεῖν, οὐ τὴν φιλο-
ξενίαν κωλύει ὁ κύριος. ἀλλὰ τὴν ποικιλίαν καὶ τὴν τύρβην. τουτέστι τὸν περισπασ-
μόν, καὶ τὴν ταραχήν· ἐπεὶ τὴν λιτὴν ὑποδοχὴν ἐπαινεῖ· ἵνα τί γάρ, φησι, Μάρθα
μεριμνᾷς, καὶ τυρβάζῃ περὶ πολλά. τουτέστι, περισπᾷ. ταράττῃ· ἑνὸς ἔχομεν χρείαν
τοῦ φαγεῖν ὅ, τι δήποτε, οὐχὶ ποικιλίας· τινὲς δὲ τὸ ἑνός ἐστι χρεία, οὐ περὶ τοῦ φα-
γεῖν ἐνόησαν. ἀλλὰ τοῦ προσέχειν τῇ διδασκαλίᾳ· δι᾽ ὧν δὲ λέγει. διδάσκει τοὺς ἀποστό-
λους ὁ κύριος. ἵνα ὅταν εἰσέλθωσιν εἰς οἰκίαν τινός, μηδὲν ποικίλον ζητῶσιν. ἀλλ᾽ ἀρ-
κῶνται τῇ λιτῇ ὑποδοχῇ, μηδὲν πλέον ζητοῦντες· ἢ τὸ προσέχειν τῇ διδασκαλίᾳ·
νόει δέ μοι. Μάρθαν μὲν τὴν πρακτικὴν ἀρετήν. Μαρίαν δὲ τὴν θεωρίαν· ἡ μὲν οὖν
πρακτικὴ περισπασμοὺς ἔχει καὶ ὀχλήσεις· ἡ δὲ θεωρία, κυρία γενομένη τῶν πα-
θῶν (Μαρία γὰρ κυρία ἑρμηνεύεται) εἰς τὴν τῶν θείων λόγων καὶ τῶν κριμάτων
ἐποψίαν ἐνασχολεῖται μόνην· πρόσχες δὲ καὶ τό, παρακαθίσασα παρὰ τοὺς πόδας αὐ-

τοῦ, ἤκουε τῶν λόγων αὐτοῦ· οἱ μὲν γὰρ πόδες, νοοῖντ' ἂν εἰς τὴν πρακτικὴν ἀρετήν. κινήσεως γὰρ καὶ πορείας εἰσὶν ἐνδεικτικοί· τὸ δὲ καθίσαι, τῆς ἑδραιότητος σύμβολον· ὅστις οὖν καθίσει παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, τουτέστιν ὅστις ἑδραιωθῇ ἐν τῇ πρακτικῇ, καὶ τὴν τοῦ Ἰησοῦ πορείαν καὶ διαγωγὴν μιμησάμενος ἐν ταύτῃ στερεωθῇ, ἐκεῖνος μετὰ ταῦτα φθάνει εἰς τὴν ἀκοὴν τῶν θείων λογίων, ἤγουν τὴν θεωρίαν· ἐπεὶ καὶ ἡ Μαρία πρῶτον καθίσασα, εἶθ' οὕτως ἤκουε τῶν λόγων· σὺ τοίνυν εἰ μὲν δύνασαι, εἰς τὴν τῆς Μαρίας τάξιν ἀνάβηθι, κυρία γενομένη τῶν παθῶν. καὶ εἰς θεωρίαν φθάσασα· εἰ δὲ μὴ ἔστι σοι δυνατὸν. Μάρθα γενοῦ τῷ πρακτικῷ μέρει, προσκειμένη, καὶ διὰ τούτου Χριστὸν ὑποδεχομένη· ὅρα δὲ καὶ τὸ, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς· ὁ μὲν γὰρ πρακτικὸς ἔχει ὃ ἀφαιρεθήσεται ἀπ' αὐτοῦ· τουτέστιν, αὐτὸ ἔστι τὴν ἀσχολίαν, καὶ τὸν περισπασμόν· προκόπτων γὰρ καὶ φθάνων εἰς θεωρίαν, τοῦ περισπασμοῦ καὶ τῆς τύρβης ἐλευθεροῦται· ὥστε ἀφαιρεῖταί τι ἀπ' αὐτοῦ· ὁ δὲ θεωρητικὸς, οὐ στερεῖταί ποτε τῆς ἀγαθῆς ταύτης μερίδος. λέγω δὴ τῆς θεωρίας· εἰς γὰρ ποῖον ἄλλο μεῖζον προκόψει, φθάσας εἰς αὐτὸ τὸ ἀκρότατον; λέγω δὴ τὸ θεὸν βλέπειν. ὅπερ ἐστὶ θεουργεῖσθαι· ὁ γὰρ θεὸν βλέπειν ἀξιωθεὶς, θεὸς γίνεται· τῷ ὁμοίῳ γὰρ τὸ ὅμοιον καταλαμβάνεται·

Κεφάλαιον ἑνδέκατον·

» Καὶ ἐγένετο, ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον. ὡς ἐπαύσατο, εἶπέ τις
» τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν. κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάν-
» νης ἐδίδαξε τοὺς μαθητὰς αὐτοῦ· εἶπε δὲ αὐτοῖς. ὅταν προσεύχησθε, λέγετε. πάτερ
» ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθή-
» τω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δί-
» δου ἡμῖν τὸ καθ' ἡμέραν· καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν
» παντὶ ὀφείλοντι ἡμῖν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ
» τοῦ πονηροῦ· Ζηλοῖ ὁ μαθητὴς Χριστοῦ, τοὺς μαθητὰς Ἰωάννου. διὸ καὶ ζητεῖ διδα-

χθῆναι τρόπον προσευχῆς· ὁ γοῦν σωτὴρ διδάσκει, μὴ παρωσάμενος τὴν ἀξίωσιν τοῦ μαθητοῦ. πάτερ ἡμῶν, φησὶν, ὁ ἐν τοῖς οὐρανοῖς· ὅρα τὴν τῆς εὐχῆς δύναμιν· εὐθὺς ἄνω σε ἀνάγει, καὶ πείθει σε. ἐπειδὴ ὀνομάζεις πατέρα τὸν θεὸν, μὴ πάντη τῆς ὁμοιότητος ἀπολείπεσθαι. ἀλλὰ σπουδάζειν πρὸς τὸν πατέρα ἐξομοιοῦσθαι· οὐκ εἶπε δὲ πάτερ μου. ἀλλὰ πάτερ ἡμῶν, εἰς φιλαδελφίαν σε διεγείρων, καὶ καταναγκάζων πάντας ἀγαπᾶν, ὡς κοινοὺς ἀδελφούς· ἐν τοῖς οὐρανοῖς δὲ εἰπὼν, οὐ περιγράφει ἐκεῖ τὸν θεὸν, ἀλλὰ τὸν ἀκροατὴν ἀνάγει εἰς οὐρανοὺς, καὶ ἀπάγει τῶν γηΐνων· ἁγιασθήτω τὸ ὄνομά σου. ἀντὶ τοῦ δοξασθήτω. τουτέστι ποίησον ἡμῶν τὸν βίον εἰς δόξαν εἶναι σήν· ὥσπερ γὰρ τὸ ὄνομα τοῦ θεοῦ βλασφημεῖται διὰ τοὺς κακοὺς, οὕτω δοξάζεται διὰ τοὺς ἀγαθὸν βίον ἔχοντας· ἐλθέτω ἡ βασιλεία σου· ὁ μὲν ἁμαρτωλὸς ἀπεύχεται τὴν βασιλείαν τοῦ θεοῦ, μὴ βουλόμενος ταύτην ἐλθεῖν, διὰ τὰ ἐκεῖ δικαιωτήρια· ὁ δὲ δίκαιος τοὐναντίον τάχιον αὐτὴν ἐλθεῖν εὔχεται· ὡς ἂν ἀπαλλαγεὶς τῶν ἐνταῦθα πειρατηρίων, ἀναπαύσηται· γενέσθω δὲ καὶ τὸ θέλημά σου, ὥσπερ ἐν οὐρανῷ ὑπὸ τῶν ἀγγέλων, οὕτω καὶ ὑφ' ἡμῶν τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς· οἱ γὰρ ἄγγελοι πάντες κατὰ τὸ τοῦ θεοῦ θέλημα πάντα ἐνεργοῦσι· διδάσκει δὲ τὸν ἐπιούσιον ἄρτον ζητεῖν μόνον. τουτέστι τὸν ἐπὶ τῇ οὐσίᾳ ἡμῶν, καὶ τῇ συστάσει τῆς ζωῆς, συμβαλλόμενον· οὐ τὸν περιττὸν πάντως. ἀλλὰ τὸν ἀναγκαῖον· τὸ δὲ μὴ εἰσελθεῖν εἰς πειρασμὸν, τὸ μὴ ἐπιπηδᾶν τοῖς πειρασμοῖς σημαίνει· οὐ γὰρ δεῖ ἡμᾶς παρακαλεῖν τὸν θεὸν, ἵνα ἡμᾶς εἰς πειρασμὸν ἐμβάλῃ. ἀλλ' ἀπεύχεσθαι μὲν δεῖ. ἐπὰν δὲ ἔλθῃ, γενναίως φέρειν· ἔστι

δὲ εἰπεῖν ὅτι διπλοῦν τὸ εἶδος τῶν πειρασμῶν· οἱ μὲν γὰρ ἑκούσιοι· οἷον μέθη, φόνος, μοιχεία, καὶ τἄλλα πάθη. τούτοις γὰρ τοῖς πειρασμοῖς ἑκόντες ἑαυτοὺς ὑπεμβάλλομεν· ἀκούσιοι δὲ πειρασμοί, οἷς οἱ τύραννοι καὶ βίαιοι ἡμᾶς ὑποβάλλουσιν· ἀπὸ τοίνυν τῶν ἑκουσίων πειρασμῶν, τουτέστι τῶν παθῶν, φεύγειν δεῖ ἡμᾶς, καὶ τούτοις ἀπεύχεσθαι, καὶ λέγει, μὴ εἰσενέγκῃς ἡμᾶς, τουτέστι μὴ συγχωρήσῃς ἡμᾶς ἐμπεσεῖν εἰς πειρασμόν, ἤγουν εἰς πάθος ἑκούσιον. ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, οὗτος γάρ ἐστι καὶ τοὺς ἀκουσίους καὶ τοὺς ἑκουσίους πειρασμοὺς ἐπάγων. διὸ μὴ ἀκουσίως πειραζόμενος ὑπὸ ἀνθρώπου, νόμιζε τὸν ἄνθρωπον εἶναί σοι αἴτιον τοῦ πειρασμοῦ, ἀλλὰ τὸν πονηρόν. ἐκεῖνος γάρ ἐστιν ὁ πείθων τὸν ἄνθρωπον κατὰ σοῦ λυττᾷν καὶ μαίνεσθαι.

» Καὶ εἶπε πρὸς αὐτούς· τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυ-
» κτίου, καὶ εἴπῃ αὐτῷ, φίλε, χρῆσόν μοι τρεῖς ἄρτους, ἐπειδὴ φίλος παρεγένετο ἐξ ὁ-
» δοῦ πρός με, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ. κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ, μή μοι
» κόπους πάρεχε, ἤδη ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ᾽ ἐμοῦ εἰς τὴν κοίτην εἰ-
» σίν, οὐ δύναμαι ἀναστὰς δοῦναί σοι. λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς διὰ τὸ εἶναι
» αὐτοῦ φίλον, διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθείς, δώσει αὐτῷ ὅσων χρῄζει.

Παραβολήν τινα καὶ ὑπόδειγμα λέγει ὁ κύριος, παιδεύων ἡμᾶς ἀόκνως προσεύχεσθαι. τί οὖν σημαίνει ἡ παραβολή; μεσονύκτιον μέν φασιν εἶναι τὰ ἔσχατα τοῦ βίου, ἐν οἷς οἱ ἄνθρωποι γενόμενοι πρὸς συναίσθησιν ἔρχονται τοῦ καλοῦ, καὶ προστρέχουσι τῷ θεῷ. οὗτος γάρ ἐστιν ὁ φίλος, ὁ πάντας φιλῶν, καὶ θέλων σωθῆναι. προσέρχονται τοίνυν πολλοὶ ἐν τῷ μεσονυκτίῳ, τουτέστιν ἐν τῷ ἐσχάτῳ βίῳ τῷ θεῷ, ὡς φίλῳ. καὶ λέγουσι, δὸς τρεῖς ἄρτους, τὴν εἰς τριάδα πίστιν. φίλος γὰρ παρεγένετο, τουτέστιν, ὁ ἄγγελος ὁ τὴν ψυχὴν παραλαμβάνων. φίλος δὲ καὶ πᾶς ἄγγελος, καθὰ δὴ καὶ ὁ κύριός φησι. χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ σωτηρίᾳ ἀνθρώπου. τὰ δὲ παιδία τὰ ἐπὶ τῆς κλίνης ἀ- Λου. ιε΄.
ναπαυόμενα, εἰσὶν οἱ στραφέντες, καὶ γεγονότες ὡς τὰ παιδία, καὶ ἠξιωμένοι τῷ κυρίῳ συναναπαύεσθαι. ἀναίδειαν δὲ λέγει τὴν μεθ᾽ ὑπομονῆς ἐπιτεταμένην προσευχήν. νόει δὲ καὶ ἄλλως, μεσονύκτιον μέν, τὴν ἀκμήν, καὶ τὸ μεσαίτατον τῶν πειρασμῶν· νὺξ μὲν γὰρ πᾶς πειρασμός, μεσονύκτιον δὲ πάντως τὸ μέσον τῶν πειρασμῶν. ὅταν οὖν τις ἐν μέσοις τοῖς πειρασμοῖς γένηται, προσέρχεται τῷ φιλοῦντι ἡμᾶς θεῷ, καὶ λέγει. χρῆσόν μοι τρεῖς ἄρτους, τὴν σωτηρίαν τοῦ σώματος, καὶ τῆς ψυχῆς, καὶ τοῦ πνεύματος. ἀπὸ γὰρ τῶν πειρασμῶν δέος, μὴ κινδυνεύσῃ ταῦτα τὰ τρία. τίς δὲ ὁ φίλος ὁ παραγενόμενος ἐξ ὁδοῦ, ἢ πάντως ὁ κύριος ὁ δοκιμάζων ἡμᾶς ἐν τοῖς πειρασμοῖς, καὶ θέλων φαγεῖν τὴν ἡμετέραν σωτηρίαν; οὐκ ἔχει δέ τι παραθήσει τούτῳ ὁ ἐν τοῖς πειρασμοῖς ἐμπεσών, καὶ ἀσθενῶν ἀφ᾽ ἑαυτοῦ ἀντιστῆναι τούτοις, καὶ θεραπεῦσαι θεόν· τὸ δὲ κλεισθῆναι τὴν θύραν, τοῦτο σημαίνει, ὅτι δεῖ πρὸ τῶν πειρασμῶν ἡμᾶς εἶναι ἡτοιμασμένους, ἐπὰν δὲ ἐμπέσωμεν, κέκλεισται ἡ τῆς ἑτοιμασίας θύρα, καὶ ἀνέτοιμοι εὑρισκόμενοι, εἰ μὴ ὁ θεὸς βοηθήσει, κινδυνεύσωμεν. παιδία δέ, καθὰ προαποδέδεικται, εἶεν ἂν οἱ γενόμενοι υἱοὶ τοῦ θεοῦ δι᾽ ἀρετῆς, καὶ ἀνακλινόμενοι, καὶ ἀναπαυόμενοι ἐν θεῷ.

» Κἀγὼ ὑμῖν λέγω. αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν. ζητεῖτε, καὶ εὑρήσετε. κρούετε, καὶ
» ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι
» ἀνοιγήσεται. τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ;
» ἢ καὶ ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ; ἢ καὶ ἐὰν αἰτήσῃ ᾠόν, μὴ ἐπιδώσει
» αὐτῷ σκορπίον; εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς
» τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦ-

» σιν αὐτόν; Ὅρα τὸ ἀκριβὲς τῆς λέξεως. οὐκ εἶπεν ὅτι αἰτήσασθε, καὶ δοθήσεται, ἀλλ' αἰτεῖτε, ἀντὶ τοῦ διηνεκῶς ζητεῖτε, πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει. ἆρα οὖν ὁ ἀσύμφορα αἰτῶν λαμβάνει; οὐχί. πρῶτον μὲν γὰρ ἡ τῶν ἀσυμφόρων αἴτησις οὐδὲ αἴτησις ἂν κληθείη πρὸς τὸν θεόν. ὁ γὰρ τῷ θεῷ προσευχόμενος, ὀφείλει αἰτεῖσθαι, ἃ ἐκεῖνος δίδωσιν. ὅταν δέ τις τὰ ἀσύμφορα αἰτεῖται, οὐ πρὸς τὸν θεὸν ποιεῖται τὴν αἴτησιν, οὗτος γὰρ ἀσύμφορα οὐ δίδωσιν· ἔπειτα ἄκουε καὶ αὐτοῦ τοῦ κυρίου, πῶς διδάσκει ἡμᾶς αἰτεῖσθαι ἃ δεῖ. ἄρτον γάρ φησιν ὁ υἱὸς καὶ ἰχθὺν, καὶ ᾠὸν αἰτεῖται. ὥσπερ οὖν ταῦτα ἀνθρώπου εἰσὶ βρώσεις, οὕτω καὶ τὰ αἰτήματα ἡμῶν ὀφείλουσιν εἶναι συμφέροντα καὶ συμβαλλόμενα ἡμῖν. νόει δέ μοι. ὅτι ἄρτον μὲν αἰτεῖται, πᾶς ὁ τὴν εἰς τριάδα πίστιν ἀποκαλυφθῆναι αὐτῷ, καὶ τὴν ὀρθότητα τῶν δογμάτων αὐτῶν, ἄρτος γὰρ ταῦτά εἰσιν ὡς στηρίζοντα καρδίαν. ἰχθὺν δὲ αἰτεῖ, ὁ ἐν τῷ πελάγει μὲν τοῦ βίου ὢν, ζητῶν δὲ τὴν παρὰ τοῦ θεοῦ συνεργίαν, ἵνα ἐν μέσῳ τῶν πειρασμῶν ἀκαταβάπτιστος, καὶ ζῶν ὥσπερ ἰχθὺς διαφυλαχθῇ. ᾠὸν δὲ αἰτεῖ, ὁ τὰ γεννήματα τῶν ἐναρέτων ψυχῶν δοθῆναι αὐτῷ ζητῶν, αἵτινες δηλαδὴ ψυχαὶ ὄρνισιν ἂν εἰκότως παραβάλλοιντο πτέρυγας λαβοῦσαι, καὶ πνεύματι κουφισθεῖσαι καὶ ὑπεραναπτᾶσαι τὴν γῆν·

» Καὶ ἦν ἐκβάλλων δαιμόνιον. καὶ αὐτὸ ἦν κωφόν· ἐγένετο δὲ, τοῦ δαιμονίου ἐξελθόν-
» τος, ἐλάλησεν ὁ κωφὸς, καὶ ἐθαύμασαν οἱ ὄχλοι· τινὲς δὲ ἐξ αὐτῶν εἶπον, ἐν Βεελζε-
» βοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. ἕτεροι δὲ πειράζοντες, σημεῖον
» παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ. αὐτὸς δὲ εἰδὼς τὰ διανοήματα αὐτῶν, εἶπεν αὐ-
» τοῖς. πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται, καὶ οἶκος ἐπὶ οἶκον πίπτει·
» εἰ δὲ καὶ ὁ σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ; ὅτι λέγε-
» τε ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια· εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ
» δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται. εἰ δὲ ἐν
» δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ·

Κωφὸς λέγεται μὲν ὡς ἐπὶ τὸ πολὺ ὁ μὴ λαλῶν, λέγοιτο δ' ἂν καὶ ὁ μὴ ἀκούων, κυριώτερον δὲ ὁ μήτε ἀκούων, μήτε λαλῶν· καὶ οἵγε ἐκ γενετῆς μὴ ἀκούοντες, οὐδὲ λαλοῦσιν, ἐξ ἀνάγκης γὰρ τοῦτο συμβαίνει αὐτοῖς. ἐκεῖνα γὰρ λαλοῦμεν, ὅσα διὰ τοῦ ἀκούειν μανθάνομεν δηλαδή. ὅταν δέ τις οὐκ ἀκούῃ, εἰκότως οὐδὲ λαλεῖ, πλὴν εἰ μὴ πολλάκις ὑπὸ πάθους ὕστερον ἐβλάβη τὰς ἀκοάς, τὸν τοιοῦτον γὰρ οὐδὲν κωλύει λαλεῖν· ὁ τοίνυν τῷ κυρίῳ προσαχθεὶς ἀμφότερα ἦν καὶ τὴν γλῶτταν καὶ τὰ ὦτα κωφός. σύμβολον δὲ οὗτος τῆς ἀνθρωπίνης φύσεως, ἥτις ὑπὸ δαιμόνων κατεχομένη, οὔτε ἀκούειν ἠνείχετο λόγων θεοῦ, οὔτε πολλῷ μᾶλλον ἐκλαλεῖν ἠδύνατο. ἀλλ' ὁ κύριος ἐλθὼν, καὶ τὰ δαιμόνια ἐξελάσας, τὰς ἐμπαθεῖς καὶ δαιμονιώδεις πράξεις, ἐποίησεν ἡμᾶς λαλεῖν, καὶ κηρύττειν τὴν ἀλήθειαν. δεῖ γὰρ οὐ μόνον ἀκούειν θεοῦ λόγους, ἀλλὰ καὶ ἑτέροις λαλεῖν. ἀκούσωμεν οὖν οἱ ἔχοντες μὲν ἐν ἑαυτοῖς τὰς δαιμονιώδεις πράξεις, οἰόμενοι δὲ καὶ ἑτέρους διδάσκειν, καὶ ἐφιέμενοι ὑπὸ τῶν ἀνθρώπων καλεῖσθαι ῥαββί· ἐξελθόντος γὰρ τοῦ δαιμονίου, τότε ἡ ἀληθὴς λαλιὰ ἤτοι διδασκαλία γίνεται, ἕως δ' ἂν ἔσω ἡμῶν εἴη ἡ τοῦ δαίμονος πρᾶξις, κἂν δοκῶμεν λαλεῖν, οὐ λαλοῦμεν· οἱ Φαρισαῖοι δὲ διαβάλλουσι τὸ θαῦμα, καὶ ὡς γόητα τὸν κύριον ὑβρίζουσι. τὸν γὰρ ἄρχοντα, φασὶ, τῶν δαιμονίων ἔχων φίλον, τῇ συνεργίᾳ ἐκείνου ἐκβάλλει τὰ δαιμόνια· πρὸς οὓς ὁ κύριος, πῶς, φησὶ, δυνατὸν δαίμονα ἐκβάλλειν ἄλλον δαίμονα; τοῦτο γὰρ κατάλυσις ἂν εἴη τῆς βασιλείας αὐτῶν· εἰ γὰρ βασιλείαν μὲν αὐτοὶ ἡγοῦνται καὶ ἀνάπαυσιν τὸ κατοικεῖν ἐν ἀνθρώποις, ἐκβάλλει δὲ αὐτοὺς ὁ ἄρχων αὐτῶν, πρόδηλον ὅτι ἑαυτὸν καταλύει· καὶ γὰρ πᾶσα βασιλεία μερισθεῖσα καὶ στασιά-

ζουσα καταλύεται, καὶ οἶκος μερισθεὶς πίπτει· οἶκον δὲ εἴτε τὸ οἰκοδόμημα νοήσεις καλῶς· καὶ γὰρ ἡ οἰκοδομὴ ἕως μὲν φυλάττει τὴν συνέχειαν, ἵσταται, ἐπὰν δὲ διαστῶσιν ἀπ' ἀλλήλων οἱ τοῖχοι, πίπτει· εἴτε οἶκον νοήσεις τοὺς ἐν τῇ οἰκίᾳ, καὶ οὗτοι ἕως μὲν εἰρηνεύουσι, συνεστήκασι, ἐπὰν δὲ διαστῶσι κατ' ἀλλήλων, πίπτουσιν· ἔστω δὲ, ὅτι ἐκβάλλω ἐγὼ τὰ δαιμόνια ἐν τῷ βεελζεβοὺλ, οἱ υἱοὶ ὑμῶν, τουτέστιν οἱ ἀπόστολοι, ἐν τίνι ἐκβάλλουσιν. ἢ δῆλον, ὅτι ἐν τῷ ἐμῷ ὀνόματι; πῶς οὖν ἐμὲ λέγετε, ὅτι ἐν τῷ βεελζεβοὺλ ἐκβάλλω ἐγὼ, ὡς χρείαν ἔχων τῆς ἐκείνου δυνάμεως, ὅπουγε οἱ ὑμέτεροι υἱοὶ ἤγουν οἱ ἀπόστολοι ἐν τῷ ἐμῷ ὀνόματι ἐκβάλλουσιν, ἄρα αὐτοὶ κατακρινοῦσιν. ὑμᾶς πρόδηλον γὰρ ὡς ἐὰν ἐκεῖνοι ἐκβάλλωσιν ἐν τῷ ὀνόματι, ἐγὼ τῆς ἑτέρου δυνάμεως οὐ χρήζω· ἐν δακτύλῳ γοῦν θεοῦ, τουτέστιν ἐν πνεύματι ἁγίῳ ἐκβάλλω, καὶ οὐκ ἐν πνεύματι πονηρῷ. δάκτυλον δὲ τὸ πνεῦμα λέγει, ἵνα μάθῃς ὅτι ὥσπερ ὁ δάκτυλος ὁμοούσιός ἐστι τῷ ὅλῳ σώματι, οὕτω καὶ τὸ πνεῦμα ὁμοούσιον τῷ πατρὶ καὶ τῷ υἱῷ· μήποτε δὲ ἐπειδὴ χεὶρ θεοῦ λέγεται ὁ υἱὸς, ἐπανεπαύσαντο δὲ ἐπ' αὐτὸν αἱ τοῦ πνεύματος ἑπτὰ ἐνέργειαι οὐχ ὡς ἐνεργούμενον, ἀλλ' ὡς ὁμοούσιον τῷ πνεύματι, ἓν δὲ τῶν τοῦ πνεύματος χαρισμάτων καὶ ἐνεργειῶν ἐστὶ τὸ ἰᾶσθαι διὰ τοῦτο λέγεται ἐν δακτύλῳ θεοῦ ἐκβάλλειν τὰ δαιμόνια, τουτέστι τῷ πνευματικῷ χαρίσματι· ὥσπερ γὰρ ὁ δάκτυλος μέρος τῆς χειρὸς, οὕτω καὶ τὸ πνεῦμα τῶν ἰάσεων, μέρος ἦν ὧν εἶχεν ὁ Ἰησοῦς πνευμάτων, ἤτοι τῶν τοῦ πνεύματος ἐνεργειῶν. ἐὰν οὖν ἐκβάλλω, φησὶ, τὰ δαιμόνια θείᾳ ἐνεργείᾳ, ἔφθασεν ἄρα ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ· ὅπερ τοιοῦτον ἔχει τὸν νοῦν. ὅτι καταλύεται λοιπὸν ἡ βασιλεία τοῦ διαβόλου, καὶ βασιλεύει ὁ θεὸς ὁ τοὺς δαίμονας ἐκδιώκων, ἄκουε γὰρ τί διὰ τῶν ἑξῆς λέγει.

» Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλὴν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑ-
» πάρχοντα αὐτῷ· ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτὸν, τὴν πανοπλίαν
» αὐτοῦ αἴρει, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν· ὁ μὴ ὢν μετ' ἐμοῦ, κα-
» τ' ἐμοῦ ἐστι. καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλ-
» θῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρί-
» σκων λέγει. ὑποστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον. καὶ ἐλθὸν εὑρίσκει σεσαρωμέ-
» νον καὶ κεκοσμημένον. τότε πορεύεται, καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα
» πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώ-
» που ἐκείνου χείρονα τῶν πρώτων.

Ἦν μὲν φησι, πρὸ τῆς ἐμῆς παρουσίας ἰσχυρὸς ὁ σατανᾶς, καὶ ἐφύλασσε τὴν ἑαυτοῦ αὐλὴν, τουτέστι κατεκράτει τῆς ἀνθρωπίνης φύσεως βεβαίως καὶ ἀσφαλῶς. ἐπὰν δὲ ἦλθον ἐγὼ ὁ ἰσχυρότερος αὐτοῦ, καὶ νενίκηκα τὸν κόσμον, καὶ τὴν πανοπλίαν αὐτοῦ, ἐφ' ᾗ ἐπεποίθει, ὅπερ ἐστὶ πάντα τὰ εἴδη τῆς ἁμαρτίας, αὕτη γὰρ ὅπλα τοῦ διαβόλου, καὶ ταύτῃ θαῤῥῶν ἐνίσχυε κατὰ τῶν ἀνθρώπων. ταύτην οὖν τὴν πανοπλίαν αὐτοῦ διέῤῥηξα ἀναμάρτητος εὑρεθεὶς, καὶ ἔκτοτε ἠσθένησε· καὶ τὰ σκῦλα αὐτοῦ, ἤτοι τοὺς ἀνθρώποις, οὓς εἶχεν ὡς λάφυρα, ἀπέσπασα ἀπ' αὐτοῦ, καὶ διαδίδωμι ἄλλον ἄλλῳ ἀγγέλῳ πιστῷ φύλακι, ἵνα ἀντὶ τοῦ δαίμονος, ᾧ ἐτυραννεῖτο, ἔχῃ αὐτὸν ὁ ἄγγελος. καὶ ἄλλως δέ. τίνα κοινωνίαν ἔχω ἐγὼ πρὸς τὸν βεελζεβούλ; ἐμὸν ἔργον ἐστὶ, τὸ συνάγειν τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα, ἐκείνου ἔργον, τὸ τὰ συνηγμένα σκορπίζειν. πῶς οὖν τοιαῦτα περὶ ἐμοῦ λογίζεσθε, ὅτι κοινωνίαν ἔχω πρὸς τὸν σατανᾶν; ἀλλ' οὕτως ὁ τοιοῦτος λογισμὸς ὑμῖν συνέβη ἀπὸ τοῦ μᾶλλον ὑμᾶς δαιμονᾶν. καὶ γὰρ εἴχετε μὲν καὶ πρώην τὸ ἀκάθαρτον πνεῦμα ἐνοικοῦν ἐν ὑμῖν, ὅτε εἰδωλολατρεῖτε, καὶ τοὺς προφήτας ἐφονεύετε. εἶτα ἔδοξεν ἐξελθεῖν ἐξ ὑμῶν, εἶτα νῦν ὑποστρέψαι εἰς τὸν ἑαυτοῦ οἶκον, τουτέστι τὰς ὑμετέρας ψυχὰς μετὰ πνευμά-

των ἑπτὰ, ἤγουν πολλῶν, τὸ γὰρ ἑπτὰ ἀντὶ τοῦ πολλὰ νοεῖται παρὰ τῇ γραφῇ, ἐποίησεν ὑμῖν τὰ ἔσχατα χείρονα τῶν πρώτων. ὅσῳ τότε μὲν ὅταν εἰδώλοις ἐλατρεύετε, τοὺς προφήτας ἀπεκτίννύετε, καὶ οὔπω οὐδὲν εἰς τὸν τοῦ θεοῦ υἱὸν προσήλως δι' ὑμᾶς ἐν σαρκὶ φανέντα ὑβρίζετε, νῦν δὲ ποία ἐλπὶς σωτηρίας, ὅτε καὶ σαρκωθέντος τοῦ υἱοῦ, καὶ δι' ὑμᾶς θαυματουργοῦντος, εἰς τὰς αὐτῆς ἀγνωμοσύνης καὶ ὕβρεως ἑστήκατε; ἄνυδροι δὲ τόποι, αἱ τῶν μηδὲν ὑδαρὲς ἐχόντων ψυχαὶ, μηδὲ ἔκλυτοι, ἀλλὰ καὶ ξηραὶ, καὶ μεμεριμνημέναι, ἐν αἷς οὐδεμίαν εὑρίσκει τὸ πνεῦμα τῆς ἀκαθαρσίας ἀνάπαυσιν. ἐπεὶ τοίνυν ἐν ταῖς τοιαύταις ψυχαῖς οὐδεμίαν ἐνοικήσεως χώραν ἔχει ὁ πονηρὸς, ἐπὶ τοὺς Ἰουδαίους τρέπεται, καὶ γίνεται αὐτῶν τὰ ἔσχατα χείρονα τῶν πρώτων· οὐκέτι γὰρ παρ' αὐτοῖς προφῆται, ἀπέκτειναν γὰρ τὸν λόγον. οὐκέτι χρίσμα, τὸν γὰρ χριστὸν ἐσταύρωσαν. ταῦτα δὲ ἐν αὐτοῖς ἑωρῶντο πρώην, εἰ καὶ εἰδωλολάτρουν, νῦν δὲ ἐπεὶ εἰς τὸν υἱὸν τοῦ θεοῦ ἥμαρτον, πάντων ἐστέρηνται.

» Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶ-
» πεν αὐτῷ. μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ, οὓς ἐθήλασας. αὐτὸς δὲ εἶ
» πε, μενοῦνγε, μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ θεοῦ, καὶ φυλάσσοντες αὐτόν. τῶν
» δὲ ὄχλων ἐπαθροιζομένων, ἤρξατο λέγειν· ἡ γενεὰ αὕτη πονηρά ἐστι, σημεῖον ἐπιζητεῖ,
Ἰων· β΄· γ΄· » καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. καθὼς γὰρ ἐγένε
» το Ἰωνᾶς σημεῖον τοῖς νινευΐταις, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύ-
γ΄· Βασι· ί· » τῃ. βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης,
β΄· παρ· θ΄· » καὶ κατακρινεῖ αὐτοὺς, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σο-
» λομῶνος, καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε. ἄνδρες νινευΐται ἀναστήσονται ἐν τῇ κρί-
» σει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτὴν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα
» Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε·

Τῶν φαρισαίων καὶ γραμματέων διαβαλλόντων τὰ θαύματα, ἡ γυνὴ τὸ ἄδολον χρῆμα καὶ ἁπλοῦν εὐφημεῖ. ποῦ δὲ εἰσὶ οἱ λέγοντες φαντασίᾳ φανῆναι τὸν κύριον; ἰδοὺ γὰρ καὶ μαστοὺς θηλάσαι μαρτυρεῖται. αὐτὸς δὲ μακαρίζει τοὺς φυλάσσοντας τὸν λόγον τοῦ θεοῦ, οὐκ ἐκβάλλων τοῦ μακαρισμοῦ τὴν μητέρα αὐτοῦ, ἄπαγε, ἀλλὰ δεικνύων, ὅτι οὐδὲν οὐδὲ ἐκείνη ὠφεληθήσεται ἀπὸ τοῦ τεκεῖν αὐτὸν καὶ θηλάσαι, εἰ μὴ καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν ἔχοι. ἅμα δὲ, καὶ πρὸς τὸν καιρὸν ταῦτά φησιν. ἐπεὶ γὰρ οἱ βάσκανοι καὶ ἀνήκοοι τῶν λόγων αὐτοῦ διέβαλλον τοὺς ἀκούοντας, αὐτὸς τὸ ἐναντίον ποιῶν, μᾶλλον μακαρίζει τοὺς ἀκούοντας. τάχα δὲ καὶ διὰ τὸν ἰαθέντα κωφὸν ταῦτά φησιν, ἵνα καὶ αὐτὸς ἀκούσας φυλάξῃ τὸν λόγον, καὶ μὴ γίνηται αὐτῷ ἡ πρὸς τὸ ἀκούειν δύναμις εἰς κατάκρισιν. τῶν δὲ ὄχλων ἐπαθροιζομένων, ἤρξατο ὁ κύριος ἐλέγχειν τοὺς ἀγνώμονας. ἐπειδὴ γὰρ ἦσάν τινες παρ' αὐτοῖς οἱ ζητοῦντες σημεῖον ἐξ οὐρανοῦ γενέσθαι παρὰ τοῦ Ἰησοῦ, ἔλεγον γὰρ, ὅτι ὅσα ποιεῖ σημεῖα, ἀπὸ γῆς εἰσὶ, καὶ ἐν Βεελζεβοὺλ ταῦτα ποιεῖ τῷ κοσμοκράτορι, ὡς ἔχοντι τῆς γῆς ἐξουσίαν, ἐξ οὐρανοῦ δὲ οὐ δύναται ποιῆσαι, οἷα μὴ τοῦ οὐρανίου πατρὸς υἱὸς ὤν. ἐπεὶ οὖν ἦσάν τινες οἱ ταῦτα λέγοντες, τούτου ἕνεκεν ἐλέγχει αὐτοὺς ὁ κύριος, καί φησιν. ὅτι δοθήσεται ὑμῖν σημεῖον, ὅπερ δείξει με ἀληθινὸν υἱὸν τοῦ οὐρανίου πατρός. ποῖον τοῦτο; τὸ τοῦ Ἰωνᾶ, ἤγουν τὸ τῆς ἀναστάσεως. ὥσπερ γὰρ ἐκεῖνος τρεῖς ἡμέρας ἐποίησεν ἐν τῇ κοιλίᾳ τοῦ κήτους, οὕτω κἀγὼ τρεῖς ἡμέρας ποιήσας ἐν τῇ κοιλίᾳ τοῦ κήτους, τοῦ μεγάλου θηρὸς, τοῦ ᾅδου, ἀναστήσομαι. ἀλλ' Ἰωνᾶ μὲν μετὰ τὴν ἐκ τοῦ κήτους οἷον ἀναβίωσιν κηρύσσοντι ἐπείσθησαν οἱ νινευΐται, ἐμοὶ δὲ καὶ ἀναστάντι οὐ πιστεύσει ἡ γενεὰ αὕτη. ὅθεν κατακριθήσονται, ὅτι νινευΐτας οὐκ ἐμιμήσαντο. καίτοι γε πλεῖον Ἰωνᾶ ὧδε. τό, τε γὰρ ἀξίωμα τὸ ἐμὸν, καὶ τὸ τοῦ κηρύγματος εἶδος πολ-

λὴν διαφορὰν ἐνδείκνυται. ἐγὼ δεσπότης, ἐκεῖνος δοῦλος. ἐγὼ βασιλείαν οὐρανῶν κηρύσσω, ἐκεῖνος σωτηρίαν τὴν ἀπὸ τῆς καταστροφῆς. ἐγὼ μετὰ θαυμάτων, ἐκεῖνος οὐδὲν ποιήσας θαῦμα. ὁμοίως καὶ ἡ βασίλισσα τοῦ νότου κατακρινεῖ τὴν γενεὰν ταύτην, ὅτι ἐκ περάτων γῆς ἦλθεν ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος. νόει δέ μοι καὶ πᾶσαν ψυχὴν ἐν τῷ καλῷ κρατοῦσαν καὶ ἰσταμένην βασίλισσαν τοῦ νότου. οἷον τί φημι ὁ βορρᾶς παρὰ τῇ γραφῇ διαβάλλεται, ὡς τοῦ ἀντικειμένου τόπος, ψυχρὸς γὰρ καὶ νεκροποιὸς καὶ ναρκώδης, ὁ δὲ νότος ἐπαινεῖται ὡς πνεῦμα θερμὸν καὶ ζωογόνον, καὶ τῶν νεναρκηκότων μελῶν θαλπτικόν. διὸ καὶ ἡ ἐν τῷ ᾄσματι νύμφη τὸν βορρᾶν διώκουσα, ἐξεγέρθητι, φησί, βορρᾶ, καὶ ἔρχου νότε. καὶ πάλιν ὁ προφήτης φησί, καὶ τὸν ἀπὸ βορρᾶ ἐξολοθρεύσει κύριος, δηλονότι τὸν σατανᾶν. ἡ τοίνυν ψυχὴ ἡ βασιλεύουσα ἐν τῷ νότῳ, τῇ ἀγαθῇ μερίδι καὶ τῷ πνευματικῷ βίῳ, καὶ διὰ τῆς πρακτικῆς τὸ κράτος ἔχουσα, ἔρχεται εἰς τὸ ἀκοῦσαι τὴν σοφίαν, ὅπερ ἐστὶν εἰς θεωρίαν ἀναβαίνει. ἡ γὰρ σοφία τοῦ Σολομῶντος τοῦ εἰρηνικοῦ βασιλέως, τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ἡ θεωρία ἐστίν, εἰς ἣν ἄλλως οὐκ ἂν εἰσέλθῃ τίς, εἰ μὴ διὰ τοῦ βασιλεῦσαι ἐν τῷ ἀγαθῷ βίῳ, καὶ κρατῆσαι διὰ τῆς πρακτικῆς.

Οὐδεὶς δὲ λύχνον ἅψας, εἰς κρυπτὴν τίθησιν, οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φῶς βλέπωσιν. ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ὅταν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν. ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν ἐστι. σκόπει οὖν, μὴ τὸ φῶς τὸ ἐν σοί, σκότος ἐστίν. εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινόν, μὴ ἔχον τι μέρος σκοτεινόν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. Ἐπειδήπερ οἱ βάσκανοι Ἰουδαῖοι τὰ θαύματα βλέποντες ἐσυκοφάντουν ταῦτα νόος κακίᾳ, τούτου ἕνεκεν ὁ κύριος ταῦτά φησι. ὅτι λύχνον λαβόντες οἱ ἄνθρωποι παρὰ τοῦ θεοῦ, τὴν τοῦ νόος χάριν, δι' ἧς βλέπομεν ὡσανεὶ φωτὸς δοθέντος ἡμῖν, κατέκρυψαν ταύτην τὴν διάκρισιν τοῦ νοῦ, καὶ ἀπὸ βασκανίας σκοτισθέντες, τὰ θαύματα καὶ τὰς εὐεργεσίας οὐχ ὁρῶσι. καίτοι ἐπὶ τούτῳ ἐλάβομεν τὸν νοῦν, ἵνα ἐπὶ τὴν λυχνίαν τεθῶμεν, ὡς ἂν καὶ ἄλλοι βλέπωσι τὸ φῶς. δοκεῖ δέ μοι τοῦτο λέγειν. ὅτι ὦ φαρισαῖε, ἔχεις γνῶσιν, τοῦτο ὁ λύχνος. ἔδει σε τῇ γνώσει ταύτῃ κεχρῆσθαι πρὸς τὴν τῶν θαυμάτων ἐπίγνωσιν, καὶ τοῖς ἄλλοις δὲ φαίνειν καὶ δεικνύειν ταῦτα, ὅτι ἔργα εἰσὶ τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οὐχὶ τοῦ Βεελζεβούλ. ὡς ἂν οἱ εἰσπορευόμενοι, τουτέστιν οἱ εἰσαγωγικοί, καὶ ἀρχάριοι τὸ φῶς βλέπωσιν. ὁ μὲν γὰρ σοφὸς ἤδη ἐπορεύθη, ὁ δὲ ἔτι μανθάνων πορεύεται. ἀλλ' οὐ τοῦτο ἠβουλήθητε ὑμεῖς οἱ φαρισαῖοι, ἀλλὰ τὸν ὀφθαλμὸν τῆς ψυχῆς τὸν νοῦν ἁπλοῦν ὄντα, ἐποιήσατε λοξὸν καὶ σκολιόν. ὥσπερ γὰρ ὁ ὀφθαλμὸς τοῦ σώματος, ὅπως ἂν ἔχῃ, οὕτω καὶ τὸ σῶμα ποιεῖ, εἰ μὲν φωτεινὸς εἴη, ἔσται καὶ τὸ σῶμα ἐν φωτί, εἰ δὲ σκοτεινός, ἔσται κἀκεῖνο ἐν σκότει. τὸν αὐτὸν τρόπον καὶ τῷ νοῒ ἡ ψυχὴ συνδιατίθεται. καὶ οὗ ἔλαβεν ἐκ θεοῦ ὀφθαλμὸν καὶ φῶς, τοῦτον εἰ εὕροι σκοτιζόμενον ἢ ὑπὸ βασκανίας, ἢ φιλοχρηματίας, καὶ ἁπλῶς εἰπεῖν φιλαυτίας, σκοτίζεται καὶ αὐτή.

Ἐν δὲ τῷ λαλῆσαι, ἠρώτα αὐτὸν φαρισαῖός τις, ὅπως ἀριστήσῃ παρ' αὐτῷ. εἰσελθὼν δὲ ἀνέπεσεν. ὁ δὲ φαρισαῖος ἰδὼν ἐθαύμασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου. εἶπε δὲ ὁ κύριος πρὸς αὐτόν. νῦν ὑμεῖς οἱ φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας. ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησεν; πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν. Ἤδει μὲν τὴν τῶν φαρισαίων σκαιότητα ὁ κύριος, ἀλλ' ὅμως συνεστιᾶται αὐτοῖς διὰ αὐτὸ τοῦτο, ὅτι πονηροὶ ἦσαν, καὶ διορθώσασθαι ἔχρῃζον,

διὰ τούτου γάρ τοι συνεθίει, ὡς ἂν δράξηται ἀφορμῆς, καὶ βελτιώσῃ τὰ ἤθη αὐτῶν. ὥσπερ οὖν καὶ νῦν τὸ ἀνόητον αὐτῶν ἔθος ἐπισκόπτων, φημὶ δὴ τὸ πρὸ τοῦ φαγεῖν καθαρίζεσθαι αὐτοὺς, διδάσκει ὅτι δεῖ τὴν ψυχὴν κεκαθάρθαι δι' ἔργων ἀγαθῶν· ὡς τό γε νίπτεσθαι δι' ὕδατος, οὐ ψυχὴν, ἀλλὰ σῶμα καθαίρει. ἐκεῖνοι γὰρ ἐνόμιζον οἱ ἀνόητοι, ὅτι ἅμα τῷ σώματι καὶ ἡ ψυχὴ αὐτῶν καθαίρεται διὰ τοῦ βαπτίζεσθαι καὶ νίπτεσθαι τὸ σῶμα. ὁ τοίνυν κύριος χαριέντι παραδείγματι κέχρηται τῷ τοῦ ποτηρίου. ἐπεὶ γὰρ καιρὸς ἦν τραπέζης, ποτηρίου καὶ πίνακος μνημονεύει, ἀπὸ τῶν ἐν ὄψει κειμένων μαρτυρίαν παράγων, καὶ συμπείθων τὸν φαρισαῖον, ὅτι ὥσπερ οὐδὲν ὄφελος ἔξωθεν μὲν καθαρὸν εἶναι τὸ ποτήριον, ἔσωθεν δὲ ῥύπου παντὸς πεπληρωμένον, οὕτως οὐδὲ σώματος μὲν βαπτιζομένου, ψυχῆς δὲ γεμούσης πάσης ἀκαθαρσίας, οἷον ἁρπαγῆς καὶ πονηρίας. ἠνίξατο δὲ τὰ δύο πάθη τὰ ἐπικρατοῦντα τῶν ἰουδαίων, πλεονεξίαν διὰ τῆς ἁρπαγῆς, φθόνον δὲ καὶ τὰ ἐκ φθόνου διὰ τῆς πονηρίας. οὐδὲν οὖν ὄφελος, ὅταν οὕτως ἔχῃ ἡ ψυχή. ἄφρονες, οὐχ ὁ ποιήσας τὸ σῶμα, ὃ πολλῆς ἐπιμελείας ἀξιοῖς, καὶ τὴν ψυχὴν ἐποίησεν; ὀφείλετε οὖν καὶ ταύτην καθαίρειν. εἶτα διδάσκει αὐτοὺς, πῶς καθαρίζεται τὸ ἔσω. διὰ τῆς ἐλεημοσύνης, φησίν. ὅρα δέ μοι πῶς τὰ δύο πάθη αὐτῶν θεραπεύει. τὸν φθόνον λέγω, καὶ τὴν ἁρπαγὴν, διὰ τοῦ ὑποθέσθαι τὴν ἐλεημοσύνην. ὁ γὰρ ἐλεῶν ἀληθῶς, οὐχ ἁρπάσει τὰ τοῦ ἐλεουμένου, οὐ φθονήσει τῷ ἐλεουμένῳ. ἐπεὶ τοίνυν δύο τούτοις πάθη ὠνείδισε, δι' ἑνὸς φαρμάκου ταῦτα ἐκμοχλεύει. τῆς ἐλεημοσύνης ἥτις πρώτη θύρα τῆς θεοποιοῦ ἀγάπης, ἀγάπης δὲ παρούσης, ποῦ πλεονεξία καὶ φθόνος; τὰ ἐνόντα οὖν, τουτέστι τὰ ὑπάρχοντα ὑμῖν. καλῶς δὲ εἶπε τὰ ἐνόντα, καὶ οὐκ εἶπεν ὄντα, διότι τὰ χρήματα ἔνεισιν ἐν τῇ καρδίᾳ τοῦ φιλοχρημάτου, καὶ ἐγκάθηνται αὐτῇ, διὸ καὶ Δαβὶδ φησι. μὴ προστίθεσθαι τὴν καρδίαν τῷ πλούτῳ, τουτέστι, μὴ προσηλοῦν αὐτὴν καὶ συνδεσμεῖν. [ψαλ. ξά.]

» Ἀλλ' οὐαὶ ὑμῖν τοῖς φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ πήγανον, καὶ
» πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν, καὶ τὴν ἀγάπην τοῦ θεοῦ. ταῦτα ἔδει ποιῆ-
» σαι, κἀκεῖνα μὴ ἀφιέναι. οὐαὶ ὑμῖν τοῖς φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθε-
» δρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς. οὐαὶ ὑμῖν γραμ-
» ματεῖς, καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα καὶ οἱ ἄνθρω-
» ποι περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν. ἀποκριθεὶς δέ τις τῶν νομικῶν, λέγει αὐτῷ.
» διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις. ὁ δὲ εἶπε. καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ,
» ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων
» ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις. οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προ-
» φητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτοὺς, ἄρα μαρτυρεῖτε, καὶ συνευδοκεῖτε τοῖς
» ἔργοις τῶν πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτοὺς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐ-
» τῶν τὰ μνημεῖα. διὰ τοῦτο καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν. ἀποστελῶ εἰς αὐτοὺς προφήτας
» καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ διώξουσιν, ἵνα ἐκζητηθῇ τὸ αἷμα πάν-
» των τῶν προφητῶν, τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης,
» ἀπὸ τοῦ αἵματος Ἄβελ ἕως τοῦ αἵματος Ζαχαρίου, τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστη-
» ρίου καὶ τοῦ οἴκου. ναὶ λέγω ὑμῖν ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης.

Οἱ φαρισαῖοι ἵνα μὴ παραβῶσι δῆθεν τὸν νόμον, ἀπεδεκάτουν καὶ τὰ ἐλάχιστα. εἰ δέ τις αὐτοῖς ἐμέμψατο τυχὸν ὡς μικρολογουμένοις, τὸν νόμον προὔφερον, ὃς ἀπὸ πάντων δεκάτας προσφέρεσθαι τοῖς ἱερεῦσιν ἐκέλευεν. ὁ γοῦν κύριός φησιν. ὅτι ὥσπερ τούτων οὐκ ἀμελεῖτε, ἔδει ὑμᾶς καὶ τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ θεοῦ περιποιεῖσθαι. ἐπειδὴ γὰρ ἄδικοι ἦσαν, καὶ χήρας, καὶ ὀρφανὸν ἀπεκτίννυον, φησίν. ὅτι δεῖ ὑμᾶς ἔχειν

τὴν

τὴν κρίσιν, ἤγουν τὴν δικαιοκρισίαν. ἐπεὶ δὲ καὶ καταφρονηταὶ ἦσαν τοῦ θεοῦ, ἀδιαφόρως τοῖς ἱεροῖς ἔργοις ἐπιχειροῦντες, διὰ τοῦτο αὐτοῖς τὴν τοῦ θεοῦ ἀγάπην ἔχειν ἐντέλλεται. ὁ γὰρ ἀγαπῶν τὸν θεόν, οὐ καταφρονητικῶς μέτεισι τὰ ἔργα αὐτοῦ. τάχα δέ μοι δοκεῖ, ἐπειδὴ δύο εἴδη τῆς ἀγάπης, τό, τε πρὸς τὸν θεόν, καὶ τὸ πρὸς τὸν πλησίον, τὰ δύο ταῦτα αἰνίττεσθαι, διὰ μὲν τοῦ εἰπεῖν τὴν κρίσιν, ὑποδηλῶν τὴν εἰς τὸν πλησίον ἀγάπην, τὸ γὰρ δικαίως κρίνειν τὸν πλησίον, καὶ μὴ καταδυναστεύειν αὐτοῦ, ἐκ τοῦ ἀγαπᾶν αὐτὸν γίνεται. διὰ δὲ τοῦ εἰπεῖν τὴν ἀγάπην τοῦ θεοῦ, τὴν πρὸς τὸν θεὸν πάντως μηνύων ὁλικὴν διάθεσιν. καὶ ὅταν δέ τις ἀγαπᾷ τὸν πλησίον οὐ διά τι κοσμικόν, ἢ αἰσχρὸν πάθος, ἀλλὰ κατὰ θεόν, λεχθείη ἂν καὶ αὕτη ἀγάπη τοῦ θεοῦ, ἤγουν ἣν ἐντέλλεται ὁ θεός, ἣν ἀποδέχεται. ἤθελον δὲ παρὰ παντὸς ἀνθρώπου τιμᾶσθαι, καὶ προσαγορεύεσθαι ὡς διδάσκαλοι ἐν ταῖς ἀγοραῖς, τοῦτο γὰρ ὁ ἀσπασμός, ἡ προσαγορεία. ἐοίκατε γοῦν, φησί, μνήμασιν, ἃ γέμουσι μὲν πάσης σαπρίας, ἔξωθεν δὲ λαμπουσιν μαρμάροις. ἃ ὁρῶντες οἱ ἄνθρωποι, οὐκ οἴδασι ποῦ περιπατοῦσιν, ἢ γὰρ ἄν, ἐμυσάχθησαν τὴν ἔσωθεν βδελυγμίαν. ὁ δὲ νομικὸς ἀνοήτως ὑπάγει ἑαυτὸν τῷ ἐλέγχῳ, ἄλλοι δὲ ἦσαν οἱ νομικοὶ παρὰ τοὺς Φαρισαίους. οἱ μὲν γὰρ Φαρισαῖοι ὡς ἀσκηταὶ ἐδόκουν, καὶ ἀποκεκριμένοι τῶν ἄλλων. οἱ δὲ νομικοὶ γραμματεῖς ἦσαν, καὶ διδάσκαλοι τοῖς βουλομένοις, τὰ τοῦ νόμου ζητήματα λύοντες. ἐφόρτιζον οὖν τοὺς ἀνθρώπους βαρέα καὶ δυσβάστακτα οἱ νομικοί, ἐντελλόμενοι αὐτοῖς τὰ τοῦ νόμου δυσφύλακτα παρατηρήματα, αὐτοὶ δὲ τῷ δακτύλῳ αὐτῶν οὐ προσέψαυον τοῖς φορτίοις, τουτέστιν αὐτοὶ οὐδέν, ἐξ ὧν τοῖς ἄλλοις ἐπέταττον, ἔπραττον. ὅταν μὲν γὰρ ὁ διδάσκων πράττῃ ἃ διδάσκει, ἐπελαφρύνει τὰ φορτία, ὑπόδειγμα διδοὺς ἑαυτόν, καὶ παρηγορίαν ἐμποιῶν τοῖς διδασκομένοις. ὅταν δὲ οὐδὲν ὧν λέγει πράττῃ, τηνικαῦτα βαρέα ὄντως τὰ φορτία δοκεῖ τοῖς διδασκομένοις, ὡς μηδὲ παρὰ τοῦ διδασκάλου δυνάμενα κατορθωθῆναι. ἐμφαίνει δὲ ὁ κύριος τοὺς Ἰουδαίους ἀπογόνους καὶ κληρονόμους τῆς κακίας τοῦ Κάϊν, διὰ τοῦ λέγειν ὅτι πᾶν αἷμα ἐκχυθὲν ἀπὸ Ἄβελ ἕως τοῦ Ζαχαρίου ἀπαιτηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. καὶ γάρ, φησιν, ὑμεῖς ἀδελφοὺς ὄντας Γεν. δ΄.
ὑμῶν τοὺς προφήτας ἐφονεύσατε, ὡς κἀκεῖνος τὸν Ἄβελ. ὅθεν οὐκ ἀλόγως τινὲς τὸν μὲν Κάϊν εἰς τὸν τοὺς προφήτας ἀποκτείναντα λαὸν ἐξελάβοντο, ἀφ' οὗ ἐκδεδίκηνται ἑπτά, ἐλαφροτέρα δηλαδὴ τιμωρία, τὸν δὲ Λάμεχ εἰς τοὺς ἀποκτείναντας τὸν Χριστόν, διὸ καὶ ἑβδομηκοντάκις ἑπτὰ ἐκδεδίκηνται, εἰς αἰχμαλωσίαν διασπαρέντες ἀνυπόστροφον. τίς δὲ ἦν ἄρα Ζαχαρίας, ὃν ἐφόνευσαν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου;
οἱ μὲν λέγουσι τὸν ἀρχαῖον Ζαχαρίαν τὸν τοῦ Ἰωδαέ, καὶ ὃν ἐλιθοβόλησαν, ὡς ἔστι μα- δ΄. Βασι. ιγ΄.
θεῖν ἐκ τῆς βίβλου τῶν βασιλειῶν. οἱ δὲ τὸν πατέρα τοῦ προδρόμου, τοῦτον γὰρ τάξαν- β΄. Παρ. κδ΄.
τα τὴν θεοτόκον μετὰ τῶν παρθένων μετὰ τὸ τεκεῖν τὸν Χριστόν, καὶ στήσαντα ταύτην ἐν τῷ τόπῳ ἐν ᾧ ἐκεῖναι ἵσταντο. ὁ δὲ τόπος ἦν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου τοῦ ἔξω τοῦ χαλκοῦ. διὰ τοῦτο τοίνυν ἐφόνευσαν αὐτόν. ἐπεὶ γὰρ προσεδόκων τινὲς Χριστὸν βασιλέα αὐτῶν ἐσόμενον, οὐκ ἤθελον δὲ βασιλευθῆναι, τούτου ἕνεκα ἐφόνευσαν τὸν ἅγιον,
» ὡς βεβαιοῦντα, ὅτι παρθένος ἔτεκεν, καὶ ὁ Χριστὸς ἐγεννήθη ὁ μέλλων αὐτῶν βασι-
» λεύειν, ὅπερ ἀπεστρέφοντο, ἀβασίλευτοι γὰρ ἤθελον εἶναι.
» Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως, αὐτοὶ οὐκ εἰσήλθετε,
» καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτούς, ἤρξαντο οἱ
» γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν, καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων, ἐνεδρεύοντες αὐτόν, ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ. Κλεῖδα γνώσεως ὠνόμασεν ὁ κύριος τὴν διδασκαλίαν, καὶ τὴν διὰ

τοῦ νόμου χειραγωγίαν δυναμένου προσάγειν τῷ χριστῷ, ὁ γὰρ νόμος χειραγωγὸς πάντως εἰς χριστόν. οἱ τοίνυν νομικοὶ τὸν νόμον δοκοῦντες ἑρμηνεύειν, τὴν κλεῖδα τῆς γνώσεως κατεῖχον ἐθελοκάκως, καὶ οὐκ ἤνοιγον τὰς τοῦ νόμου θύρας, ἵνα δι᾽ αὐτῶν εἰσέλθωσιν αὐτοί τε καὶ ὁ λαὸς πρὸς χριστόν. ἔστι δὲ ὁ νόμος θύρα εἰς χριστόν· πλὴν ἡ θύρα αὕτη κεκλεισμένη ἐστὶν, ἐὰν μή τις τὴν ἀσάφειαν τοῦ νόμου σαφηνίζῃ, καὶ διανοίγῃ. καὶ γὰρ ὁ κύριος εἶπεν. εἰ ἐπιστεύετε μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί. καὶ πάλιν. ἐρευνᾶτε τὰς γραφὰς, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ ὑμεῖς οὐ θέλετε ἐλθεῖν πρός με. οἷον ὡς ἐπὶ τινὸς ὑποδεῖξαι, ἀμνὸς ἐσφάζετο τοῖς Ἰουδαίοις, ἐχρίοντο αἱ φλιαὶ, καὶ τὰ κρέα ἤσθιον, καὶ ἦν αὐτοῖς νίκη τοῦτο κατὰ τοῦ ὀλοθρεύοντος. τοῦτο δὲ ἅπαν τὸ τοῦ χριστοῦ μυστήριον ἐδήλου, οὗ ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου σφαγέντος, ἐχρίσθησαν αἱ ἡμέτεραι φλιαὶ, θυμὸς, καὶ ἐπιθυμία, καὶ τὸ τούτων ὑπέρθυρον τὸ λογιστικὸν, καὶ τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐφάγομεν, καὶ νενικήκαμεν τὸν τὰς ψυχικὰς ἡμῶν δυνάμεις ὀλοθρεύοντα. καὶ τὰ πλείω δὲ τοῦ νόμου τὸν χριστὸν ὑπεδήλουν. κεκλεισμένος μέντοι ἦν ὁ νόμος τῇ τοῦ γράμματος ἀσαφείᾳ, ὥσπερ τινὶ θύρᾳ. ἐὰν δέ τις διδασκαλίαν ἐνεχείριστο, οὗτος εἶχε τὴν κλεῖδα τῆς γνώσεως, καὶ εἰ ἠβούλετο ἤνοιξεν ἂν, καὶ αὐτός τε εἰσῆλθε, καὶ ἄλλοις ὁδηγὸς ἐγένετο. ὅπερ οἱ νομικοὶ οὐκ ἐποίησαν, ἀλλὰ ἦραν τὴν κλεῖδα τῆς γνώσεως, τουτέστιν ἀπέκρυψαν, ἠφάνισαν, καὶ λοιπὸν ὡς τῆς κλειδὸς ἀρθείσης ἐκ μέσου, ἤτοι τῆς ἑρμηνείας τοῦ νόμου ἔμεινε κεκλεισμένη ἡ τούτου θύρα. νοήσεις δ᾽ ἂν καὶ τὴν πίστιν κλεῖδα τῆς γνώσεως. διὰ γὰρ τῆς πίστεως προσγίνεται ἡ τῆς ἀληθείας γνῶσις. καὶ γοῦν ὁ προφήτης Ἠσαΐας φησί. καὶ ἐὰν οὐ πιστεύσητε, οὐ δ᾽ οὐ μὴ συνῆτε. οἱ τοίνυν νομικοὶ τὴν κλεῖδα ταύτης, ἤτοι τὴν πίστιν ἦραν ἐκ μέσου, καὶ ἀπέκρυψαν. οὐ γὰρ εἴων πιστεύειν τινὰς εἰς τὸν τῶν ὅλων σωτῆρα χριστόν. ἐθαυματούργει ἐκεῖνος, καὶ ὁ λαὸς διὰ τῶν θαυμάτων πιστεύων, ἔμελλεν ἐπιγινώσκειν αὐτὸν θεὸν, οἱ δὲ ἐν Βεελζεβοὺλ ἔλεγον ἐπιτελεῖν αὐτὸν τὰ θαύματα. ὁρᾷς πῶς ἦραν τὴν κλεῖδα τῆς γνώσεως, οὐκ ἐῶντες πιστεύειν τῷ δι᾽ οὗ ἡ γνῶσις αὐτοῖς ἔμελλεν ἐπιγίνεσθαι; ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς τὸ θέλημα τοῦ θεοῦ, οἱ δὲ ἔλεγον. δαιμόνιον ἔχει, καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε; ἦραν οὖν κατὰ τὸ ἀληθὲς τὴν κλεῖδα τῆς γνώσεως, αὐτοί τε οὐκ εἰσῆλθον, καὶ ἑτέροις κεκωλύκασι, καὶ ταῦτα εἰσερχομένοις, τουτέστιν ἐπιτηδείοις ὄντας πρὸς θεογνωσίαν. ἔτι δὲ αὐτοῦ ταῦτα λέγοντος, ἐκεῖνοι ὥσπερ ἐπιμαρτυροῦντες τοῖς λόγοις αὐτοῦ, δέον ἐπιγνῶναι τὴν οἰκείαν ἀσθένειαν, ἐπεδείκνυον ἑαυτοὺς δῆθεν σοφωτέρους αὐτοῦ. καὶ δὴ ἀποστοματίζειν αὐτὸν ἤρξαντο, τουτέστι, πυκνῶς ἐρωτᾷν αὐτὸν, καὶ ἀπορεῖν. γίνεται γὰρ τὸ ἀποστοματίζειν, ὅταν πλείονες ἐρωτῶσιν ἕνα περὶ ἄλλων καὶ ἄλλων ὑποθέσεων. τότε γὰρ μὴ δυνάμενος πᾶσιν ἀποκρίνεσθαι, ἔμφασιν δίδωσι τοῖς ἀνοήτοις τοῦ διαπορηθῆναι. τοῦτο τοίνυν ἐσοφίζοντο καὶ οἱ κατάρατοι ἐκεῖνοι κατὰ χριστοῦ. πολλοὶ γὰρ ἐρωτῶντες ἕνα, ἐδόκουν ἀποστοματίζειν, καὶ εἰς ἀπορίαν ἄγειν αὐτὸν, ὡς μὴ δυνάμενον αὐτοῖς ἀποκρίνεσθαι, ὅπερ εἰκότως ἐγίνετο. πῶς γὰρ ὁ εἷς δύναται πολλοῖς ἀποκρίνεσθαι ἄλλα καὶ ἄλλα ἐρωτῶσι; δύναται δὲ τὸ ἀποστοματίζειν καὶ οὕτω νοηθῆναι, ἀντὶ τοῦ παγιδεύειν αὐτὸν, καὶ ἀπὸ τοῦ στόματος κρατεῖν. ὅταν γάρ τις κρατηθῇ ἀφ᾽ ὧν λέγει, ἀποστοματίζεσθαι δοκεῖ, τουτέστιν, ἀπὸ τοῦ στόματος ἕλκεσθαι, καὶ κατακρίνεσθαι. δηλοῖ δὲ τοῦτο καὶ τὰ ἐφεξῆς. ζητοῦντες γάρ, φησι, θηρεῦσαι τι ἐκ τοῦ στόματος αὐτοῦ, ὅπερ γὰρ πρὸ ὀλίγου εἶπεν ἀποστοματίζειν, τοῦτο νῦν λέγει θηρεῦσαι ἐκ τοῦ στόματος αὐτοῦ. ἠρώτων δὲ αὐτὸν, ποτὲ μὲν περὶ τοῦ νόμου, ὡς ἂν βλάσφημον ἐλέγξωσιν αὐτὸν κατηγορήσαντα τοῦ Μωσέως. τοῦτο γὰρ ὑπενόουν. ποτὲ δὲ περὶ τῶν τοῦ καίσαρος. ἵνα ὡς στασιαστὴν αὐτὸν καὶ τυραννιῶντα προσαγγείλωσι.

σαπείλωσι. καὶ ὅλως, οἷαι δὴ ψυχαὶ πονηραὶ καὶ πάσης κακοηθείας ἀνάμεστοι ἐνοήσαμεν.

Κεφάλαιον δωδέκατον.

» Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, ἤρ-
» ξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον. προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν
» φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις. οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν, ὃ οὐκ ἀποκαλυφθή-
» σεται καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. ἀνθ᾽ ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ
» ἀκουσθήσεται, καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν
» δωμάτων. Φαρισαῖοι μὲν παιδεύειν αὐτὸν ἐπειρῶντο ἐν λόγῳ, ὡς δὴ τοὺς ὄχλους ἀποστήσωσιν ἀπ᾽ αὐτοῦ. τὸ δὲ εἰς τοὐναντίον περιΐστατο, μᾶλλον γὰρ προσίεσαν οἱ ὄχλοι, καὶ εἰς μυριάδας συλλεγόμενοι, καὶ οὕτως ἐφιέμενοι ἕκαστος πλησιάζειν αὐτῷ, ὥστε καὶ συμπατεῖν ἀλλήλους. οὕτως ἄρα ἰσχυρὸν ἡ ἀλήθεια, καὶ ὁ δόλος πανταχοῦ ἀσθενής. Ἰησοῦς οὖν ἰδὼν τὸν δόλον τῶν φαρισαίων, καὶ ὅτι σχηματίζονται μὲν ἐρωτᾶν, τῇ δὲ ἀληθείᾳ παιδεύουσιν, εἶπε τοῖς μαθηταῖς αὐτοῦ περὶ τῆς ὑποκρίσεως τῶν φαρισαίων, ἐλέγχων πάντως αὐτοὺς, καὶ τὰς καρδίας αὐτῶν μεστὰς ὑποκρίσεως ἀπογυμνῶν. ζύμην δὲ καλεῖ τὴν ὑπόκρισιν ὡς ὀξώδη, καὶ τῆς παλαιᾶς κακίας οὖσαν, καὶ μεταποιοῦσαν καὶ συμφθείρουσαν ἑαυτῇ τὰς τῶν ἀνθρώπων γνώμας, οἷς δὴ προσμιγείη. οὐδὲν γὰρ οὕτως ἀλλοιοῖ τὰ ἤθη, ὡς ἡ ὑπόκρισις. δεῖ οὖν τοὺς τῷ Χριστῷ μαθητευθέντας, τὴν ὑπόκρισιν φεύγειν. ἀλήθεια γὰρ ὢν ὁ Χριστὸς, προδήλως τῷ ψεύδει ἀντίκειται. ψεῦδος δὲ μεστὴ πᾶσα ὑπόκρισις, ἄλλο μὲν πλαττομένη, ἄλλο δὲ οὖσα. οἱ μὲν οὖν φαρισαῖοι, φησὶν, οἴονται λανθάνειν διὰ τῆς ὑποκρίσεως, τὸ χρηστόηθες αὐτοῖς περιποιούμενοι. πλὴν οὐδὲν συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυφθήσεται. πάντα γὰρ καὶ ῥήματα καὶ διανοήματα γυμνὰ παραστήσονται τῷ τελευταίῳ μὲν πάντως κριτηρίῳ. πλὴν κἀν τῷ παρόντι βίῳ πολλὰ τῶν κρυπτομένων γυμνοῦσθαι φιλεῖ. ὅσα οὖν εἴπατε ἐν τῇ σκοτίᾳ, καὶ ἐν τοῖς ταμείοις, καὶ κρυφίως ἐλαλήσατε, κηρυχθήσεται ἐπὶ τῷ φωτὶ καὶ ἐπὶ τῶν δωμάτων. ταῦτα δὲ φαίνεται μὲν πρὸς τοὺς μαθητὰς λέγων, πρὸς δὲ τοὺς φαρισαίους ἀποτείνεται, τὰς αὐτῶν ἐπιβουλὰς αἰνιττόμενος, καὶ μονονουχὶ ἐπίτηδες δηλῶν αὐτοῖς, κἂν δοκῇ πρὸς τοὺς μαθητὰς ταῦτα λέγειν. ὅτι ὦ φαρισαῖοι ὅσα ἐν τῇ σκοτίᾳ, τουτέστιν ἐν ταῖς σκοτειναῖς ὑμῶν καρδίαις ἐμελετήσατε παιδεῦσαί με θέλοντες, ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ γνωσθήσεται. ἐγὼ γάρ εἰμι τὸ φῶς, καὶ οὐ δύνασθαί με λαθεῖν, ἀλλ᾽ ἐν ἐμοὶ τῷ φωτὶ πᾶν, ὃ ἡ ὑμετέρα σκοτία Ἰωάν. ηʹ. θʹ.
βουλεύεται, διαγινώσκεται. καὶ ὃ πρὸς τὸ οὖς ἀλλήλους συνεβουλεύσασθε, ἀκουστόν μοι γέγονεν οὕτως, ὥσπερ δὴ εἰ ἐπὶ τῶν ὑψηλῶν δωμάτων ἐκηρύχθη. ταῦτα δὲ δύνασαι νοῆσαι, καὶ ὅτι φῶς μέν ἐστι τὸ εὐαγγέλιον, καὶ δώματα ὑψηλὰ, αἱ τῶν ἀποστόλων ὑψηλαὶ ψυχαί. ὅσα δὲ οἱ φαρισαῖοι ἐβουλεύοντο, ἐκηρύχθησαν ὕστερον, καὶ ἠκούσθησαν ἐν τῷ φωτὶ τοῦ εὐαγγελίου, ἐπὶ τῶν ἀποστολικῶν ψυχῶν ἱσταμένου τοῦ μεγάλου κήρυκος τοῦ πνεύματος.

» Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ
» μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι. ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε.
» φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν, ναὶ λέ-
» γω ὑμῖν, τοῦτον φοβήθητε. οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο; καὶ ἓν ἐξ αὐ-
» τῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ θεοῦ. ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑ-
» μῶν πᾶσαι ἠρίθμηνται. μὴ οὖν φοβεῖσθε, πολλῶν στρουθίων διαφέρετε.

Ἐπειδὴ τῆς ὑποκρίσεως τῶν φαρισαίων κατηγόρησεν ὁ κύριος, καὶ ἀπέστησεν αὐτῆς τοὺς αὐτοῦ μαθητὰς, καὶ ἐν τῷ μέσῳ δὲ πάλιν τοὺς φαρισαίους ἐπλήττε διὰ τοῦ λέγειν,



ὃ εἴπατε ἐν τῇ σκοτίᾳ ἀκουσθήσεται ἐν τῷ φωτί, νῦν πρὸς τοὺς φίλους αὐτοῦ τὰ τελειότερα διαλέγεται. τὰς γὰρ ἀκάνθας ἐξελθὼν ἤδη, σπείρει τὸ ἀγαθὸν σπέρμα. λέγω δὲ ὑμῖν τοῖς φίλοις μου. τὰ γὰρ πρότερον λεγόμενα οὐ πρὸς αὐτοὺς ἦσαν, ἀλλὰ πρὸς τοὺς Φαρισαίους· ὑμῖν οὖν λέγω τοῖς φίλοις μου, οὐ πᾶσι γὰρ ἁρμόζει ὁ λόγος οὗτος, ἀλλ' οἳ ἐξ ὅλης ψυχῆς ἠγάπησαν αὐτόν, καὶ οἳ δύνανται λέγειν. τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ; τοῖς τοιούτοις ἁρμόζει αὕτη ἡ παραίνεσις. μὴ φοβηθῆτε, φησίν, ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ μηδὲν τούτου πλέον βλάπτειν ἐχόντων εἰς γὰρ μικρὸν ἡ ἀπ' αὐτῶν ζημία περιΐσταται, σῶμα βλαπτόντων, ὃ τὸ οἰκεῖον πείσεται, κἂν αὐτοὶ μὴ βλάψωσιν. ἐκεῖνον δὲ ἄξιον φοβεῖσθαι τὸν οὐ μόνον σῶμα κολάζοντα, ἀλλὰ καὶ ψυχήν, τὸ ἀθάνατον χρῆμα ἀθανάτοις ὑποβάλλοντα τιμωρίαις, καὶ ταύταις ἐν πυρί. εἰς ἀνδρίαν οὖν πνευματικὴν ἀλείφει τοὺς αὐτοῦ φίλους Χριστός, μάρτυρας αὐτοὺς ἐργαζόμενος, καὶ τὸν τῶν ἀνθρώπων φόβον ἀπ' αὐτῶν ἐκβάλλων. ἄνθρωποι γάρ, φησι, μέχρι τοῦ φθαρτοῦ σώματος ἐκτείνουσι τὰς ὀργάς, καὶ πέρας αὐτῶν τῆς καθ' ἡμῶν ἐπιβουλῆς ὁ τῆς σαρκὸς θάνατος. θεοῦ δὲ κολάζοντος, οὐ μέχρι μόνης σαρκὸς ἡ ζημία στήσεται, ἀλλὰ καὶ αὐτὴ συνυπάγεται ταῖς αἰκίαις ἡ ἀθλία ψυχή. σημείωσαι δὲ ἐντεῦθεν, ὅτι τοῖς ἁμαρτωλοῖς ὁ θάνατος πρὸς τιμωρίαν ἐπάγεται, κἀνταῦθα κολαζομένοις διὰ τοῦ ἀποκτείνεσθαι, κἀκεῖσε μετὰ ταῦτα εἰς γέενναν ἐμβαλλομένοις. ἐξετάζων δὲ τὴν λέξιν, καί τι ἕτερον ἐννοήσεις. ὅρα γὰρ ὅτι οὐκ εἶπε, φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι, βάλλοντα εἰς τὴν γέενναν, ἀλλ' ἐξουσίαν ἔχοντα βαλεῖν, οὐ γὰρ πάντως οἱ ἀποθνήσκοντες ἁμαρτωλοὶ βάλλονται εἰς τὴν γέενναν, ἀλλ' ἐν τῇ ἐξουσίᾳ κεῖται τοῦτο τοῦ θεοῦ, ὥστε καὶ τὸ συγχωρεῖν. τοῦτο δὲ λέγω διὰ τὰς ἐπὶ τοῖς κεκοιμημένοις γενομένας προσφορὰς καὶ τὰς διαδόσεις, αἳ οὐ μικρὰ συντελοῦσι τοῖς καὶ ἐν ἁμαρτίαις βαρείαις ἀποθανοῦσιν. οὐ πάντως οὖν μετὰ τὸ ἀποκτεῖναι βάλλει εἰς τὴν γέενναν, ἀλλ' ἐξουσίαν ἔχει βαλεῖν. μὴ τοίνυν ἐλλείψωμεν ἡμεῖς, σπουδάζοντες δι' ἐλεημοσυνῶν καὶ πρεσβειῶν ἐξιλεοῦσθαι τὸν ἐξουσίαν μὲν ἔχοντα βαλεῖν, οὐ πάντως δὲ τῇ ἐξουσίᾳ ταύτῃ χρώμενον, ἀλλὰ καὶ συγχωρεῖν δυνάμενον. ἐπεὶ δὲ πολλοὶ τὸν ὑπὲρ τῆς ἀληθείας θάνατον ἐγκατάλειψιν οἴονται θεοῦ, μὴ τοῦτο, φησί, ὑμεῖς οἰηθῆτε. οὐ γὰρ ὡς ἐγκαταλιμπανόμενοι ὑπ' ἐμοῦ, μέλλετε θνήσκειν. εἰ γὰρ καὶ τῶν στρουθίων τῶν πωλουμένων οὐδὲν ἀνεπίληστον, πολλοῦ δεῖ ὁ ὑμέτερος θάνατος τῶν ἐμῶν φίλων γενέσθαι, ὡς μὴ προνοουμένου ὑμῶν ἐμοῦ. τοσαύτην γὰρ ὑμῶν ποιοῦμαι τὴν πρόνοιαν, ὥστε ἕκαστα τῶν ὑμετέρων εἰδέναι λεπτῶς, καὶ οἷον ἠριθμημένας ἔχειν τὰς τρίχας ὑμῶν. κἂν τοίνυν εἰς πειρασμοὺς ἐάσω ὑμᾶς εἰσελθεῖν, χορηγήσω πάντως καὶ τὴν εἰς τὸ ὑπομεῖναι δύναμιν. πολλάκις δὲ εἴ τινα ἀσθενῆ ἴδω, οὐδὲ ἐμπεσεῖν αὐτὸν συγχωρήσω πειρατηρίῳ. κηδεμὼν γὰρ ὤν, καὶ πάντα εἰδώς, καὶ ἠριθμημένα ἔχων καὶ τὰ λεπτότατα, ἑκάστῳ τὸ κατ' ἀξίαν καὶ τὸ πρόσφορον οἰκονομῶ. ἐπιτηρήσας δὲ εὑρήσεις ἐν τῇ γραφῇ ἀριθμούμενα πάντα τὰ ἄνδρεια, καὶ εἰς μέτρον ἡλικίας φθάσαντα, καὶ ἄξια ἁπλῶς θείας ἀπαριθμήσεως. κεφαλὴν οὖν ἑκάστου τῶν πιστῶν τὴν χριστοπρεπῆ πολιτείαν νοητέον. τρίχας δὲ ταύτης τὰς κατὰ μέρος νεκρωτικὰς τοῦ σώματος πράξεις, αἳ ἀριθμοῦνται παρὰ θεῷ, καὶ ἐν λόγῳ τίθενται. αἱ γὰρ τοιαῦται ὑμῶν πράξεις θείας ἐπισκοπῆς ἀξιοῦνται. νοοῦσι δέ τινες. πέντε στρουθία τὰς πέντε αἰσθήσεις, αἳ δύο ἀσσαρίων πωλούμεναι, τουτέστι, διὰ καινῆς καὶ παλαιᾶς διαθήκης ἀνεπίληστοί εἰσι παρὰ τῷ θεῷ. ὧν γὰρ αἱ αἰσθήσεις ῥυθμίζονται καὶ προσάγονται τῷ λόγῳ, ὥστε μὴ εἶναι ἀχρεῖαι εἰς πνευματικὴν βρῶσιν, οὗτοι ἀνεπίληστοι τῷ κυρίῳ.

Πρὸς ῥω. η'.

Λέγω δὲ ὑμῖν πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς

τοῦ

» τοῦ ἀνθρώπου ὁμολογήσῃ ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ. ὁ δὲ ἀρνησάμε-
» νός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ. καὶ
» πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ, τῷ δὲ εἰς τὸ ἅγιον
» πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συ-
» ναγωγὰς, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε, πῶς ἢ τί ἀπολογήσησθε, ἢ
» τί εἴπητε. τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

Νῦν τὸ ἔπαθλον τῆς μαρτυρίας προτίθησιν. ἐπεὶ γὰρ εἶπε μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ προσεῖπεν, ὅτι καὶ αἱ τρίχες ὑμῶν ἠρίθμηνται, ἵνα μή τις εἴπῃ δός μοι καὶ μισθόν τινα, τί γάρ μοι μέλλει εἰ τὰς τρίχας ἔχεις ἠριθμημένας; φησί. θέλεις καὶ μισθόν; ἄκουε. ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ὁμολογηθήσεται ἐνώπιον τοῦ θεοῦ. τὸ δὲ ὁμολογήσῃ ἐν ἐμοὶ, εἶπεν, ἀντὶ τοῦ μετὰ τῆς ἐμῆς συνεργίας καὶ ἐν τῇ ἐμῇ δυνάμει. ὁμολογήσω γοῦν κἀγὼ ἐν αὐτῷ, τουτέστιν, ὑπ' αὐτοῦ συνεργούμενος. χρῄζομεν γὰρ καὶ ἡμεῖς προηγουμένως τοῦ θεοῦ, οὐδὲν γὰρ χωρὶς ἐκείνου δυνάμεθα. καὶ ὁ θεὸς πάλιν χρῄζει ἡμῶν, ἐὰν γὰρ μὴ εὕρῃ ἐν ἡμῖν ἔργα ἄξια, οὐδὲ προσλαμβάνεται [illegible] γὰρ ἂν προσωπολήπτης εἴη. ὁμολογοῦμεν οὖν ἡμεῖς ἐν αὐτῷ, τουτέστιν, ἐν τῇ αὐτοῦ συνεργίᾳ. καὶ αὐτὸς ἐν ἡμῖν, τουτέστιν, ἐν τῇ ἡμῶν συνεργίᾳ. εἰ μὴ γὰρ δώσομεν αὐτῷ ἀφορμὴν, οὐδὲ ὁμολογήσει ὑπὲρ ἡμῶν. ὁ δὲ ἀρνούμενος οὐκ ἐν τῇ τοῦ θεοῦ δυνάμει ἀρνεῖται. διὸ οὐδὲ προσέθηκε τὸ ἐν ἐμοὶ, ἀλλ' ὁ ἀρνησάμενός με. μήποτε δὲ καθὸ πᾶς ἅγιος ἐν τῷ χριστῷ μένει, καὶ ὁ χριστὸς ἐν αὐτῷ, κατὰ τοῦτο εἴρηται τὸ, ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ, τουτέστι μένων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ μένων; καὶ πᾶς ὃς ἂν ἐρῇ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ, τουτέστιν, ὃς βλασφημήσει εἰς ἐμὲ τὸν φαινόμενον υἱὸν ψιλὸν τοῦ ἀνθρώπου, καὶ ἐσθίοντα, καὶ πίνοντα, καὶ μετὰ τελωνῶν διάγοντα καὶ πορνῶν, συγγνωστὸς κἂν μετανοήσῃ κἂν μή. οὐ γὰρ λογίζεται αὐτῷ ἁμαρτία μὴ πιστεύοντι.. τί γὰρ εἶδεν, ἵνα πιστεύσῃ; τί δὲ μᾶλλον οὐκ εἶδεν ἄξιον δυσφημίας; εἶδεν ἄνθρωπον, πόρναις συνδιάγοντα, καὶ βλασφημεῖ εἰς αὐτόν. οὐ λογίζεται οὖν αὐτῷ ἁμαρτία, εἰκὸς γὰρ ἔπαθε, πῶς γὰρ υἱὸς θεοῦ, ὁ πόρναις συνδιάγων; βλασφημήσει τοίνυν καὶ πλάνον ἀποκαλέσει τὸν οὕτω μὲν διάγοντα, υἱὸν δὲ θεοῦ ἑαυτὸν ποιοῦντα. ὅταν δέ τις εἰς τὸ ἅγιον πνεῦμα βλασφημῇ, ἀσύγγνωστος. ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὅταν θεοσημείας βλέπων, καὶ ἔργα μεγάλα καὶ ἐξαίρετα ἀπιστῇ καὶ συκοφαντῇ, τὰς τοῦ ἁγίου πνεύματος ἐνεργείας τῷ βεελζεβοὺλ προσανατιθεὶς; τότε βλασφημῶν εἰς τὸ ἅγιον πνεῦμα, καὶ ἐν πνεύματι πονηρῷ καὶ οὐ θείῳ τὰ σημεῖα γίνεσθαι λέγων, ἀσύγγνωστός ἐστι, καὶ οὐκ ἔσται ἀθῷος, εἰ μὴ μετανοήσει. τῷ μὲν εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου βλασφημοῦντι, οὐδὲ ἁμαρτία ἐλογίζετο, διὸ καὶ μὴ μετανοῶν συγγνωστέος. τῷ δὲ θείου πνεύματος ἔργα ὁρῶντι, καὶ βλασφημοῦντι, χωρὶς μετανοίας οὐκ ἀφεθήσεται, ἁμαρτία γὰρ μεγίστη λογισθήσεται. ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ τὰ ἑξῆς. ἐπειδὴ ἡ ἀσθένεια ἡμῶν διττή, καὶ ἢ διὰ φόβον κολάσεων ἀποφεύγομεν τὸ μαρτύριον, ἢ δι' ἀγροικίαν, καὶ τὸ μὴ δύνασθαι δοῦναι λόγον τῆς ἐν ἡμῖν πίστεως, ἰάσατο μὲν τὸν ἐπὶ ταῖς κολάσεσι φόβον διὰ τοῦ εἰπεῖν, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, ἰᾶται δὲ νῦν καὶ τὸν ἐπὶ τῇ ἀγροικίᾳ. ἐπεὶ γὰρ οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα ἐπίστευσαν, ἀλλ' οἱ πλείους ἰδιῶται, μὴ φοβοῦ, φησὶ, ὁ ἄγροικος καὶ ἰδιώτης, μηδὲ μερίμνα πῶς ἢ τί ἀπολογήσῃ τῷ τυράννῳ ἐρωτώμενος ἢ τί εἴπῃς ἄλλον τρόπον δημηγορῶν. τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν. ὥστε, τίς χρεία τοῦ φροντίζειν, εἴγε ἐν αὐτῇ τῇ ὥρᾳ μέλλεις ὑπὸ τοῦ πνεύματος διδάσκεσθαι; οὕτως οὖν ἀμφοτέρωθεν εἰς τὸ μαρτύριον ἡμᾶς ἐπαλείφει, τὸν μὲν ἐπὶ τῇ σωματικῇ

ἀσθενείᾳ φόβον, τόν τε ἐπὶ τῇ ἀγροικίᾳ ἰώμενος.

» Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου. διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι με-
» τ' ἐμοῦ τὴν κληρονομίαν, ὁ δὲ εἶπεν αὐτῷ. ἄνθρωπε, τίς με κατέστησε δικαστὴν, ἢ μερι-
» στὴν ἐφ' ὑμᾶς; εἶπε δὲ πρὸς αὐτούς. ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας, ὅτι
» οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτῷ.

Διδάσκων ἡμᾶς ὁ κύριος, πῶς δεῖ καταφρονεῖν τῶν βιωτικῶν, καὶ ὅτι οὐ δεῖ περισπᾶσθαι περὶ τὰ γήϊνα, ἀποπέμπεται τὸν προσκαλούμενον αὐτὸν εἰς τὸ μερίσασθαι τὴν πατρῴαν κληρονομίαν. διὸ καί φησι. τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς; ἐπειδὴ γὰρ ἐκεῖνος καταλιπὼν αἰτεῖν τὰ χρήσιμα, καὶ πρὸς ψυχικὴν σωτηρίαν συμφέροντα, περὶ γηΐνων καὶ προσκαίρων πραγμάτων μεριστὴν αὐτὸν γενέσθαι ᾐτεῖτο, τούτου χάριν ὡς ὀχληρὸν, καὶ οὐδὲν ἐθέλοντα μαθεῖν τῶν δεόντων ἀποπέμπεται, καὶ τοῦτο πρᾳέως ποιῶν καὶ οὐκ ἐπιπληκτικῶς. πείθει δὲ πάντως διὰ τούτου πάντας τοὺς καὶ τότε καὶ νῦν ἀκούοντας παντὸς μὲν ἀμελεῖν προσκαίρου καὶ γηΐνου πράγμα-[redacted]κοιῶτας ἀδελφοῖς, εἴκοντας δὲ μᾶλλον αὐτοῖς, κἂν βούλωνται πλεο-

Ματθ. ε΄. [redacted]κτεῖν. ἀπὸ γὰρ τοῦ αἴροντος, φησὶ, τὰ σὰ μὴ ἀπαίτει, ζητοῦντας ὅσα περ ἐστὶ χρήσιμα καὶ ἀναγκαῖα πρὸς σωτηρίαν ψυχῆς. διὸ καὶ ἐπήγαγε λέγων. ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας, ὡς βόθρον τινὰ διαβολικὸν ὑποφαίνων ἡμῖν ταύτην ἀποφεύγειν. πρὸς τίνας δὲ τοῦτο εἶπε, ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας; πρὸς τοὺς δύο τούτοις ἀδελφοῖς. ἐπεὶ γὰρ περὶ κληρονομίας ἦν αὐτοῖς ἡ ἀμφιβολία, εἰκὸς δὲ ἦν τῶν δύο τούτων τὸν ἕνα ἀδικεῖν τὸν ἕτερον, διὰ τοῦτο περὶ πλεονεξίας αὐτοῖς δια-

Πρὸς ἐφ. ε΄. ταλ. ριγ΄. λέγεται, μέγα γὰρ τοῦτο κακόν. διὸ καὶ Παῦλος, εἰδωλολατρείαν τοῦτο καλεῖ, τάχα ὡς μόνοις πρέπον τοῖς μὴ εἰδόσι θεὸν, ἢ ὅπερ καὶ ἀληθέστερον, ἐπεὶ τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύρεον καὶ χρυσίον. ὅμοιος τοῖς εἰδωλολάτραις ὁ τιμῶν τὸ ἀργύρεον καὶ τὸ χρυσίον, τὴν γὰρ αὐτὴν ὕλην προσκυνοῦσι καὶ περιέπουσιν ἀμφότεροι. δεῖ οὖν φεύγειν τὸ περιττόν. διατί; διότι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστι, τουτέστιν, οὐ συνεκτείνεται τὸ τῆς ζωῆς μέτρον τῇ περιουσίᾳ. οὐ γὰρ δὴ ὁ ἔχων πολλὰ, ἤδη που καὶ ἐς μακρὸν ζήσεται. οὐ δὲ ἀκολουθεῖ τῷ πλήθει τοῦ πλούτου ἡ μακροζωία. τοῦτο δὲ λέγει ὁ κύριος, ἀνατρέπων τοὺς τῶν φιλοπλούτων λογισμούς. ἐπειδὴ γὰρ οἱ φιλόπλουτοι δοκοῦσιν ὡς φιλόζωοι περιέπειν τὸν πλοῦτον, καὶ ὡς ἐπὶ μακρὸν μέλλοντες βιώσεσθαι, πανταχόθεν συνάγειν, φησίν. ἄθλιε καὶ ταλαίπωρε. μὴ γὰρ ἐκ τοῦ ἔχειν πολλὰ προσγενήσεταί σοι καὶ τὸ μακρόβιον; τί τοίνυν κακοπαθεῖς προδήλως ὑπὲρ τῆς ἀδήλου ἀναπαύσεως; ἄδηλον μὲν γὰρ, εἴγε φθάσεις εἰς γῆρας, οὗ ἕνεκα θησαυρίζεις. πρόδηλον δὲ ὅτι νῦν δαπανᾷ περὶ τὸν πορισμὸν τῶν χρημάτων.

» Εἶπε δὲ παραβολὴν πρὸς αὐτοὺς λέγων. ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώ-
» ρα, καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων, τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρ-
» πούς μου; καὶ εἶπε, τοῦτο ποιήσω. καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομή-
» σω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γενήματά μου, καὶ τὰ ἀγαθά μου, καὶ ἐρῶ τῇ ψυ-
» χῇ μου. ψυχὴ ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλὰ, ἀναπαύου, φάγε, πίε, εὐ-
» φραίνου. εἶπε δὲ αὐτῷ ὁ θεὸς, ἄφρον ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ
» σοῦ. ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς θεὸν πλουτῶν.

Εἰπὼν ὅτι οὐ τῇ περισσείᾳ τῶν χρημάτων καὶ ἡ τοῦ ἀνθρώπου ζωὴ συμπαρεκτείνεται, πρὸς βεβαίωσιν τούτου ἐπιφέρει καὶ παραβολήν. καὶ ὅρα πῶς ὑπογράφει ἡμῖν ἀνοήτου πλουσίου ἀπλήστους λογισμούς. ὁ μὲν γὰρ θεὸς τὰ ἑαυτοῦ ἐποίει, καὶ τὴν οἰκείαν εὐσπλαγχνίαν ἐπεδείκνυτο. οὐ γὰρ ἐν χωρίον τοῦ πλουσίου, ἀλλ' ὅλη ἡ χώρα εὐφόρησεν ὁ δὲ

σεν ὁ δὲ οὕτως ἦν ἄκαρπος περὶ τὴν εὐσπλαγχνίαν, ὥστε πρὶν ἢ λαβεῖν, συνεῖχεν.
ὅρα δὲ καὶ τὰς τοῦ πλουσίου ἠδονάς, τί ποιήσω; τοιαύτας φωνὰς οὐχὶ καὶ ὁ πένης λέ-
γει; τί ποιήσω ὅτι οὐκ ἔχω πῶς τραφήσομαι; πῶς ἐνδύσομαι; ἴδε μοι καὶ τὰς τοῦ
πλουσίου φωνάς. τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου; καλή γε ἀνά-
παυσις. ἔγε καὶ ὁ πένης φησί, τί ποιήσω ὅτι οὐκ ἔχω; καὶ ὁ πλούσιος τί ποιήσω ὅτι
οὐκ ἔχω; τί τοίνυν συνέχομεν ἐκ τοῦ πλείω συνάγειν; ἀνάπαυσιν μὲν γὰρ οὐ κερδαί-
νομεν. καὶ δῆλον ἀπὸ τῶν φροντίδων. ἁμαρτιῶν δὲ μόνον πλῆθος ἑαυτοῖς ἐπισωρεύο-
μεν. καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. ἐὰν δὲ πλέον εὐφορήσῃ εἰς
τὸ μέλλον ἡ χώρα, πάλιν καθαιρήσεις, καὶ πάλιν οἰκοδομήσεις; καὶ τίς χρεία καθαι-
ρεῖν καὶ οἰκοδομεῖν; ἔχεις ἀποθήκας τῶν πτωχῶν τὰς γαστέρας πολλὰ δυναμένας χω-
ρεῖν, καὶ ἀκαταλύτους καὶ ἀφθάρτους, οὐράνιοι γάρ εἰσι καὶ θεῖαι, ἐπείπερ ὁ τρέφων πέ-
νητα, θεὸν τρέφει. ὅρα δὲ καὶ ἕτερον ἀνόητον. τὰ γεννήματά μου, καὶ τὰ ἀγαθά μου.
οὐ γὰρ ἐνόμιζε ταῦτα ἔχειν ἐκ θεοῦ, ἢ γὰρ ἂν ὡς θεοῦ οἰκονόμος περὶ ταῦτα διέκειτο.
ἀλλ' οἰκείων πόνων γεννήματα ταῦτα ᾤετο. διὸ καὶ ἑαυτῷ ταῦτα σφετεριζόμενος, τὰ
γεννήματά μου καὶ τὰ ἀγαθά μου ἔλεγεν. οὐδένα γάρ, φησιν, ἔχω κοινωνόν, οὐδένα με-
ρίτην ποιοῦμαι. οὐ τοῦ θεοῦ εἰσιν, ἀλλ' ἐμά, μόνος οὖν ἀπολαύσω. οὐ τὸν θεὸν προσλήψο-
μαι εἰς τὴν τούτων ἀπόλαυσιν. ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἀνόητα, ἴδωμεν καὶ τὰ ἑξῆς.
ψυχὴ ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά. μῆκος ἑαυτῷ ὁρίζει ζωῆς, ὥσπερ καὶ
τοῦτο ἐκ γῆς γεωργήσας. μὴ γὰρ καὶ τοῦτο γέννημα σόν; μὴ γὰρ καὶ τοῦτο ἀγαθὸν σόν;
φάγε, πίε, εὐφραίνου. εὖ γε τῶν ἀγαθῶν τῆς ψυχῆς, τὸ γὰρ φαγεῖν καὶ τὸ πιεῖν, ἀλό-
γου ψυχῆς ἀγαθόν. τοιαύτην οὖν ἔχων καὶ αὐτὸς ψυχήν, εἰκότως αὐτῇ ταῦτα προσανα-
τίθησι. λογικῆς δὲ ψυχῆς ἀγαθόν, νοῆσαι, λογίσασθαι, εὐφρανθῆναι νόμῳ θεοῦ καὶ δια-
νοήμασιν ἀγαθοῖς. οὐκ ἀρκεῖ δέ σοι τὸ φαγεῖν, καὶ πιεῖν ὦ ἄφρον, ἀλλὰ καὶ τὴν ἐπα-
κολουθοῦσαν τούτοις αἰσχίστην καὶ μυσαρὰν ἡδονὴν ἐπιτάττεις τῇ ψυχῇ; εὐφήμως γὰρ
ὁ κύριος διὰ τοῦ εὐφραίνου, τὰ ἀσελγέστατα πάθη ἐδήλωσεν, ἃ τῇ πλησμονῇ τῶν βρω-
μάτων καὶ πομάτων παρέπεται. εἶπε δὲ αὐτῷ ὁ θεός, ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν
ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ. οὐχ ὡς τοῦ θεοῦ τῷ πλουσίῳ ὁμιλήσαντος λέγεται,
τὸ εἶπε δὲ αὐτῷ ὁ θεός, ἀλλὰ τοιοῦτόν τι λέγει, ὅτι ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου εἶ-
πεν ὁ θεός, πλάττεται γὰρ ταῦτα ἡ παραβολή. ἄφρονα μὲν οὖν αὐτὸν ὀνομάζει, ὡς
πάντη ἀνόητα βουλευσάμενον, καθὰ δὴ ἀπεδείξαμεν. ἄφρων γὰρ καὶ μάταιος πᾶς
τοιοῦτος. καθὰ καὶ Δαβὶδ λέγει. μάτην πᾶς ἄνθρωπος. καὶ ἡ αἰτία, θησαυρίζει καὶ Ψαλ. λη΄.
οὐ γινώσκει τίνι συνάξει αὐτά. πῶς γὰρ οὐκ ἄφρων, ὁ μὴ γνοὺς ὅτι ζωῆς μέτρα παρὰ
μόνῳ τῷ θεῷ, καὶ οὐκ αὐτός τις ἕκαστος ἑαυτῷ ὁριστὴς τῆς ζωῆς; ὅρα δὲ καὶ τὴν λέ-
ξιν, τοῦ ἀπαιτοῦσιν. ὥσπερ γάρ τινες ἀπηνεῖς φορολόγοι, φοβεροὶ ἄγγελοι τὴν ψυχήν
σου ἀπαιτοῦσιν ἄκοντος, οἷα διὰ φιλοζωΐας ἀντιποιουμένου τῶν ἐνταῦθα. ὁ μὲν γὰρ
δίκαιος οὐκ ἀπαιτεῖται τὴν ψυχήν, ἀλλὰ παρατίθησι ταύτην τῷ θεῷ καὶ πατρὶ
τῶν πνευμάτων, χαίρων καὶ ἀγαλλόμενος, καὶ οὐ δὲ δυσφορεῖ περὶ τὴν ἀπόθεσιν,
ἐλαφροῦ γὰρ φορτίου τὸ σῶμα περίκειται. ὁ δέ γε ἁμαρτωλὸς κατασαρκώσας τὴν
ψυχήν, καὶ προσωματοποιήσας αὐτήν, καὶ γῆν ποιήσας, δυσαποσπάστως αὐτὴν
ἔχειν παρεσκεύασε. διὸ καὶ ἀπαιτεῖσθαι ταύτην λέγεται, ὥσπερ τις χρεώστης ἀπειθὴς
πράκτορσιν ἀπηνέσι παραδιδόμενος. ὅρα δὲ πῶς οὐκ εἶπεν ἀπαιτῶ τὴν ψυχήν σου,
ἀλλ' ἀπαιτοῦσι, τῶν δικαίων γὰρ αἱ ψυχαὶ ἐν χειρὶ θεοῦ. τῷ ὄντι οὖν ἐν νυκτὶ ἀπαι- Σοφ. γ΄.
τεῖται τὴν ψυχὴν ὁ τοιοῦτος, οὐ γὰρ ἔχει φῶς θείας ἐπιγνώσεως ἐπιλάμπον αὐτῷ,
ἀλλ' ἐν νυκτὶ τῆς φιλοπλουτίας ὢν, καὶ ὑπὸ ταύτης ἐσκοτισμένος, θανάτῳ κατα-

λαμβάνεται· οὕτως ἄρα ὁ θησαυρίζων ἑαυτῷ, ἄφρων δηλαδὴ καλούμενος, καὶ μὴ
περαίνων τὰς αὐτοῦ βουλὰς, ἀλλ' ἐν αὐτῷ τῷ καιρῷ τῆς βουλῆς ἐκτεμνόμενος ὅλως
τοῦ βίου. εἰ δέ γε τοῖς πένησι καὶ τῷ θεῷ ἐθησαύριζεν, οὐκ ἂν εἶχεν οὕτως· σπουδάσωμεν
οὖν εἰς θεὸν πλουτεῖν, τουτέστιν, ἐπ' ἐκείνῳ πεποιθέναι, καὶ ἐκεῖνον ἡμέτερον ἔχειν πλοῦ
τον, καὶ τοῦ πλούτου ταμίαν, καὶ μὴ λέγειν ὅτι τὰ ἀγαθά μου, ἀλλὰ τὰ ἀγαθὰ τοῦ
θεοῦ. εἰ δὲ θεοῦ εἰσιν ἀγαθὰ, μὴ ἀποστερώμεθα τὸν θεὸν τῶν ἀγαθῶν αὐτοῦ· τοῦτό ἐστι τὸ
εἰς θεὸν πλουτεῖν, τὸ πιστεύειν ὅτι ἐὰν πάντα δώσω καὶ κενώσω, οὐδέν μοι τῶν ἀναγ-
καίων ἐπιλείψει· ταμεῖον γάρ μοι τῶν ἀγαθῶν ἐστιν ὁ θεὸς, ἀνοίγω, καὶ αἴρω τὰ χρειώδη·

» Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ. διὰ τοῦτο ὑμῖν λέγω, μὴ μεριμνᾶτε τῇ ψυχῇ
» τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. ἡ γὰρ ψυχὴ πλείων ἐστὶ τῆς τρο-
» φῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος· κατανοήσατε τοὺς κόρακας ὅτι οὐ σπείρουσιν, οὐδὲ
» θερίζουσιν οἷς οὐκ ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη, καὶ ὁ θεὸς τρέφει αὐτούς· πόσῳ μᾶλλον
» ὑμεῖς διαφέρετε τῶν πετεινῶν; τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ
» τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μερι
» μνᾶτε; Κατὰ μικρὸν ἐπὶ τὰ τελεώτερα προάγει τὴν διδασκαλίαν ὁ κύριος. ὅρα
γὰρ τὴν τάξιν. ἐδίδαξε φυλάττεσθαι ἀπὸ τῆς πλεονεξίας, καὶ προσέθηκε παραβο-
λὴν, τὴν περὶ τοῦ πλουσίου, διὰ ταύτης δεικνὺς ὅτι ἄφρων ὁ τοῦ πλείονος ὀρεγόμε-
νος· εἶτα προκόπτων τῷ λόγῳ, οὐδὲ περὶ τῶν ἀναγκαίων ἡμᾶς μεριμνᾶν ἐᾷ· ὥσπερ
οὖν ὁ διάβολος ἀπὸ τῶν μικρῶν ἀρχόμενος περιπίπτειν ἡμᾶς τοῖς μείζοσι ποιεῖ. διὸ
Ἰώβ· δ΄· καὶ μυρμηκολέων ὠνόμασται παρὰ τῷ Ἰὼβ, οὕτως ἐκ τοῦ ἐναντίου ὁ κύριος ἀναλύων
αὐτοῦ τὰ ἔργα, πρότερον τὰ μεγάλα ἁμαρτήματα φεύγειν, εἶτα καὶ τὰς ἀρχὰς τού
των ὑποδείκνυσι. τὴν οὖν πλεονεξίαν ὑποδείξας ἡμῖν φυλάττεσθαι, ἔρχεται καὶ ἐπὶ
τὴν ῥίζαν ταύτης, ἵνα καὶ ταύτην ὑποτέμῃ, φημὶ δὴ τὴν μέριμναν· καί φησι. διὰ τοῦ
το λέγω ὑμῖν. ἐπειδὴ, φησὶν, ἄφρων ἐστὶν ὁ πλείονα ζωῆς μέτρα ἑαυτῷ διαγράφων, καὶ
ἀπατώμενος τοῦ πλείονος ἐντεῦθεν ὀρέγεσθαι, οἷος ἦν ὁ πλούσιος, διὰ τοῦτο λέγω ὑ-
μῖν. μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, οὐχ ὡς τῆς νοερᾶς ψυχῆς ἐσθιού-
σης, ἀλλ' ἐπεὶ δοκεῖ ἡ ψυχὴ μὴ ἄλλως ἀνέχεσθαι τῷ σώματι συνδεδέσθαι, εἰ μὴ τρε-
φομένων ἡμῶν, διὰ τοῦτο οὕτως εἶπεν. ἄλλως τε τὸ μὲν σῶμα, καὶ νεκρὸν ἐνδύεται, οὐ
τρέφεται δέ. ἐπεὶ οὖν τοῦ ἐμψύχου τὸ τρέφεσθαι, εἰκότως ἀνέθηκε τῇ ψυχῇ τὸ τρέφε
σθαι. ἢ οὐχὶ καὶ ἡ θρεπτικὴ δύναμις ψυχὴ λέγεται; μὴ μεριμνήσητε οὖν τῷ θρεπτικῷ
μέρει τῆς ἀλόγου ψυχῆς, τί φάγητε, μηδὲ τῷ σώματι τί ἐνδύσησθε, εἶτα ἐπιφέρει
λογισμόν. ὁ γὰρ τὸ μεῖζον δοὺς, τὴν ψυχὴν, οὐ δώσει καὶ τὴν τροφήν; ὁ τὸ σῶμα δοὺς,
οὐχὶ καὶ τὸ ἔνδυμα δώσει; εἶτα ἀπὸ παραδείγματος τῶν κοράκων, ὡς ἂν ἐντρέψῃ
ἡμᾶς, τὰ πετεινὰ εἰς μέσον ἄγει. ἠδύνατο μὲν γὰρ ἁγίους προφήτας παραγαγεῖν, οἷον
τὸν Ἠλίαν καὶ τὸν Μωϋσῆν, ἀλλὰ πρὸς πλείω δυσωπίαν τὰ πετεινὰ φέρει. εἶτα καὶ ἕτε
ρον λογισμὸν ἐπιφέρει. εἰπέ μοι. τί μεριμνῶν κερδαίνεις; προστίθης τῇ ἡλικίᾳ σου κἂν
τὸ ἐλάχιστον; οὐχὶ, μᾶλλον μὲν οὖν ὑφαιρεῖς τῶν σαρκῶν, τηκεδὼν γὰρ ἡ μέριμνα. εἰ
τοίνυν τὸ ἐλάχιστον οὐ δύνασαι προσθῆναι, τί περὶ τῶν λοιπῶν μεριμνᾷς; πρόδηλον
γὰρ ὅτι ὥσπερ τὴν αὔξησιν ὁ θεὸς δίδωσιν, οὕτω καὶ τἄλλα δώσει·

» Κατανοήσατε τὰ κρίνα πῶς αὐξάνει, οὐ κοπιᾷ, οὐδὲ νήθει. λέγω ὑμῖν, ὅτι οὐδὲ σο-
» λομῶν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀ-
» γρῷ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιέννυσι, πό
» σῳ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι; καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε καὶ τί πίνητε, καὶ μὴ
» μετεωρίζεσθε. ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. ὑμῶν δὲ ὁ πατὴρ οἶδεν

» ὅτι χρῄζετε τούτων· πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προσ-
» τεθήσεται ὑμῖν · Καὶ τὸ τῶν κρίνων ὑπόδειγμα, πρὸς τὸ ἐντρέψαι ἡμᾶς πλείονος ἔθηκεν· εἰ γὰρ ταῦτα οὕτως ἀμφιέννυσιν ὁ θεὸς, ὡς μηδὲ τὴν τοῦ σολομῶντος, δόξαν ἰσχῦσαι περιβαλέσθαι ποτὲ ὡς ἓν τούτων, καὶ ταῦτα τοῦ κάλλους τῶν κρίνων μὴ ἀναγκαίου ὄντος, πόσῳ μᾶλλον ἡμᾶς τὸ τίμιον πλάσμα οὐκ ἀμφιέσει, καὶ ταῦτα ἀναγκαίου ὄντος τῷ σώματι ὑμῶν τοῦ ἐνδύματος; τί οὖν, φησὶ, κελεύεις ἡμᾶς μὴ γεωργεῖν; οὐκ εἶπε μὴ γεωργεῖτε, ἀλλὰ μὴ μεριμνᾶτε. ἐργάζεσθαι μὲν γὰρ οὐ κωλύω, μεριμνᾶν δὲ, ὅπερ ἐστὶ τὴν ἐλπίδα ἔχειν ἐν ἑαυτοῖς, τοῦτο ἀπαγορεύω. ὡς ὅγε ἐργαζόμενος μὲν, ἐλπίζων δὲ εἰς θεὸν, οὕτως ἀμερίμνως διάγει. ὅτι γὰρ τὴν μέριμναν ὡς ἀπάγουσαν θεοῦ ἐκκόπτει, δῆλον· φησὶ γὰρ, μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε, καὶ μὴ μετεωρίζεσθε. μετεωρισμὸν γὰρ πάντως οὐδὲν ἄλλο λέγει, ἢ τὸν περισπασμὸν, καὶ τοῦ λογισμοῦ τὴν ἄστατον περιφορὰν ἄλλοτε ἄλλο ἐνθυμουμένου, καὶ ἀπὸ τούτου πηδῶντος ἐπ᾽ ἐκεῖνο, καὶ ἀεὶ τὰ ὑψηλότερα φανταζομένου· οὐχὶ τοῦτό ἐστιν ὁ μετεωρισμός; ὡς οὖν ἀπάγουσαν ἡμᾶς τοῦ θεοῦ τὴν τοιαύτην μέριμναν, ἤτοι τὸν μετεωρισμὸν, ἀπαγορεύει ὁ κύριος, εἰπὼν, ὅτι ταῦτα πάντα τὰ ἔθνη ἐπιζητεῖ. οὐ γὰρ μέχρι τῶν ἀναγκαίων ἡ μέριμνα ἵσταται, ἀλλ᾽ ὅπερ εἶπον, ἀεὶ τὰ ὑψηλότερα ζητεῖ· διὸ καὶ μετεωρισμὸς λέγεται, οἷόν τί φημι, οὐκ ἔχομεν ἄρτον, μεριμνῶμεν πόθεν ἕξομεν, καὶ οὐκ ἄχρι τούτου ἱστάμεθα, ἀλλὰ καὶ ὁποῖον στέαρ πυροῦ· εἶτα καὶ οἶνον, καὶ τοῦτον ἀνθοσμίαν, καὶ ὄψα πρὸς τούτοις. καὶ τοῦτο ἀτταγῆνος ἢ φασιανοῦ. ὁρᾷς τὴν μέριμναν, καὶ τὸν μετεωρισμόν; διὰ τοῦτο ὁ κύριος παντελῶς ταύτην ἀποκόπτει, οἱ ἐθνικοὶ γὰρ ταῦτα ζητοῦσιν· εἶτα καὶ ἕτερον ἐπάγει λογισμὸν. ὅτι ὁ πατὴρ ἡμῶν οἶδεν ὅτι χρῄζετε. καὶ οὐχ ἕνα λογισμὸν, ἀλλὰ καὶ πλείους. πατὴρ γάρ ἐστι, φησὶ, καὶ εἰ πατὴρ, πῶς οὐ δώσει; ἀλλὰ καὶ οἶδε, μὴ γὰρ ἀγνοεῖ. ἀλλὰ καὶ χρῄζετε. μὴ γὰρ περιττά ἐστιν, ἀλλὰ χρειώδη· εἰ οὖν καὶ πατὴρ, καὶ ὑμεῖς χρῄζετε, καὶ οἶδεν ἐκεῖνος, πῶς οὐ δώσει; ζητεῖτε οὖν τὴν βασιλείαν τοῦ θεοῦ προηγουμένως. καὶ τὴν περὶ τὰ βιωτικὰ μέριμναν ἀποποιήσασθε, ὡς ἐκκόπτουσαν ὑμᾶς ἀπὸ τούτου. καὶ τότε ταῦτα πάντα προστεθήσεται ὑμῖν· ὁρᾷς θεόν; εἰ ζητεῖς τὰ μικρὰ οὐκ ἀρεστὸν αὐτῷ ποιεῖς, καταισχύνεις γὰρ τὸ αὐτοῦ μεγαλόδωρον. εἰ ζητεῖς τὰ μεγάλα, ἐκεῖνα τε λήψῃ, καὶ προσέγε προσθήκην ἕξεις καὶ τὰ μικρά· εἰ γὰρ ἴδοις σε ἀσχολούμενον περὶ τὴν βασιλείαν αὐτοῦ, ἀναγκαῖον πάντως, ὅτι προνοήσεταί σου ἐν τοῖς σοῖς. ἢ οὐχὶ καὶ ἡμεῖς ἐν ταῖς οἰκίαις οὕτω ποιοῦμεν, μᾶλλον ἐκείνων φροντίζοντες τῶν ὅλους ἑαυτοὺς ἐπιδεδωκότων τῇ ἡμετέρᾳ θεραπείᾳ, καὶ τούτων προνοούμενοι, ὡς μὴ προνοουμένων αὐτῶν; οὐ πολλῷ οὖν μᾶλλον ὁ κύριος; ἐκκόπτει τοίνυν τὴν περὶ τῶν βιωτικῶν μέριμναν ὁ κύριος, ἵνα πείσῃ ἡμᾶς ζητεῖν τὴν βασιλείαν αὐτοῦ. μεριμνῶσι γὰρ τοῦτο οὐκ ἔνεστιν·

» Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ πατὴρ ἡμῶν δοῦναι ἡμῖν τὴν βασι-
» λείαν· πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην· ποιήσατε ἑαυτοῖς βα-
» λάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ
» ἐγγίζει, οὐδὲ σὴς διαφθείρει, ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν
» ἔσται · Μικρὸν ποίμνιον ὀνομάζει, τοὺς αὐτῷ μαθητεύειν θέλοντας ὁ κύριος, ἢ διότι ἐν τῷ κόσμῳ τούτῳ οἱ ἅγιοι μικροὶ καὶ ἐλάχιστοι διὰ τὴν ἑκούσιον ἀκτημοσύνην, καὶ ἀχρηματοσύνην, ἢ διὰ τὸ ἡττᾶσθαι τῆς τῶν ἀγγέλων πληθύος ἀμετρήτου οὔσης, καὶ ἀσυγκρίτως ὑπερεχούσης τὰ καθ᾽ ἡμᾶς· ὅτι γὰρ πλείους οἱ ἄγγελοι, δῆλον ἐκ τῆς παραβολῆς, ἣν εἶπεν ὁ κύριος. ὅτι χαίρει ὁ ποιμὴν ἐπὶ τῷ ἑνὶ πλανηθέντι, καὶ εὑρεθέντι, ἢ ἐπὶ τοῖς ἐννενηκονταεννέα τοῖς μὴ πεπλανημένοις · ἔδειξε γὰρ ἐντεῦθεν, ὅτι

Λουκ· ιε΄·

ὥσπερ τὸ ἓν πρὸς τὰ ἐννενηκονταεννέα, οὕτω καὶ ἡ ἀνθρωπίνη φύσις πρὸς τὴν ἀγγελικήν· μὴ φοβοῦ, φησί, ὦ μικρὸν ποίμνιον, ἀντὶ τοῦ μὴ ἀπιστήσῃς, ὅτι προνοήσεταί σου ὁ θεός, κἂν μὴ σὺ μεριμνᾷς. διατί; διότι εὐδόκησεν ὁ πατὴρ δοῦναι ὑμῖν τὴν βασιλείαν. ἐπεὶ οὖν τὴν βασιλείαν δίδωσι, πολλῷ μᾶλλον τὰ τῆς γῆς. μὴ τοίνυν ἀπίστει, ὅτι ἐὰν ἀκτημοσύνην ἐπιτηδεύσῃς, οὐχ ἕξεις τὸν προνοησόμενόν σου, ἀλλὰ πώλησον τὰ ὑπάρχοντα, καὶ δὸς ἐλεημοσύνην, καὶ ποίησον θησαυρὸν ἀνέκλειπτον· εἶτα πείθει ἡμᾶς καὶ ἀπὸ λογισμῶν ἀναντιῤῥήτων· ἐνταῦθα μὲν γάρ, φησι, σὴς διαφθείρει, ἐν οὐρανοῖς δὲ οὐ τοῦτο. οὐκ ἄρα οὖν ἀνόητον τὸ θησαυρίζειν ἐν τόπῳ, ἐν ᾧ διαφθορά; εἶτα ἐπειδὴ τὸν χρυσὸν οὐ διαφθείρει σής, εἶπε καὶ τό, ὅπου κλέπτης οὐκ ἐγγίζει. σὴς μὲν γὰρ οὐ διαφθείρει χρυσόν, ἀλλὰ κλέπτης συλᾷ. εἶτα ἐπειδὴ οὐ πάντες κλέπτονται, προστίθησι τὸν μείζω πάντη καὶ ἀναντιῤῥητον λογισμόν. ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται· ἔστω γάρ, φησιν, ὅτι οὔτε σὴς διαφθείρει, οὔτε κλέπτης ἐγγίζει, αὐτὸ τοῦτο τὸ ἔχειν τὴν καρδίαν προσηλωμένην τῷ κατορωρυγμένῳ θησαυρῷ, καὶ τὸ θεῖον χρῆμα τῆς ψυχῆς τῇ γῇ ἐμβαλεῖν, πόσης ἄξιον τιμωρίας; μᾶλλον δὲ πῶς οὐ μεγίστη τιμωρία τῷ γε νοῦν ἔχοντι; ὅπου ὁ θησαυρός σου ἐκεῖ καὶ ἡ καρδία σου. εἰ ἐν τῇ γῇ ἐκεῖνος, ἐν τῇ γῇ καὶ αὕτη. εἰ ἐν τῷ οὐρανῷ ἐκεῖνος, ἄνω καὶ αὕτη. τίς οὖν οὐκ ἂν ἕλοιτο εἶναι ἄνω καὶ μὴ ὑπὸ γῆν; ἄγγελος εἶναι καὶ μὴ ἀσπάλαξ ὑπὸ γῆν ἀεὶ ἐν τοῖς ὀρύγμασι διαιτώμενος·

» Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι
» ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλ-
» θόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ· μακάριοι οἱ δοῦλοι ἐκεῖνοι οὓς ἐλθὼν
» ὁ κύριος εὑρήσει γρηγοροῦντας. ἀμὴν λέγω ὑμῖν. ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐ-
» τούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ ἐν τῇ
» τρίτῃ φυλακῇ καὶ εὕρῃ οὕτως, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι· τοῦτο δὲ γινώσκετε, ὅτι
» εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν ἀ-
» φῆκε διορυχθῆναι τὸν οἶκον αὐτοῦ. καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι, ὅτι ἧ ὥρα οὐ δοκεῖτε ὁ
» υἱὸς τοῦ ἀνθρώπου ἔρχεται·

Ἀπέριττον ποιήσας τὸν μαθητὴν αὐτοῦ ὁ κύριος, καὶ γυμνώσας αὐτὸν πάσης βιωτικῆς μερίμνης καὶ μετεωρισμοῦ, καὶ κοῦφον ἀπεργασάμενος, ἤδη καὶ ὑπηρέτην αὐτὸν ποιεῖ. δεῖ γὰρ τὸν ὑπηρετεῖν θέλοντα, κοῦφον εἶναι καὶ εὐσταλῆ. διό, φησιν, ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι. ὅπερ ἐστίν. ἕτοιμοι πάντοτε φαίνεσθε πρὸς τὰ ἔργα τοῦ δεσπότου ὑμῶν. καὶ οἱ λύχνοι καιόμενοι. ὅπερ ἐστί, μὴ ἐν σκότει καὶ ἀκρισίᾳ διάγετε, ἀλλ᾽ ἔστω ὑμῶν τὸ τοῦ λόγου φῶς, πάντα ὑποδεικνύον τὰ πρακτέα καὶ μὴ πρακτέα. ἔστιν οὖν νὺξ ὁ κόσμος οὗτος· ἐζωσμένοι δὲ τὰς ὀσφύας, οἱ τὴν πρακτικὴν μετιόντες. τοιοῦτον γὰρ τὸ σχῆμα τῶν ἐργατικῶν, οἷς δεῖ καὶ τοὺς λύχνους προσεῖναι καιομένους. δεῖ γὰρ τῇ πρακτικῇ προσεῖναι καὶ τὸ τῆς διακρίσεως χάρισμα, ἵν᾽ ἔχοι διαγινώσκειν ὁ πρακτικός, οὐ μόνον τί χρὴ ποιεῖν, ἀλλὰ καὶ τὸ πῶς. πολλοὶ μὲν γὰρ τὸ καλὸν ἐποίησαν, οὐ καλῶς δέ. οἱ τοιοῦτοι οὖν τὰς μὲν ὀσφύας ἦσαν περιεζωσμένοι, ἔπραττον γάρ, τοὺς δὲ λύχνους, οὐκ εἶχον καιομένους, τουτέστιν, οὐκ εἶχον τὴν ἐκ τοῦ λόγου διάκρισιν, ἀλλ᾽ ἢ εἰς τῦφον ἐνέπεσον, ἢ εἰς ἄλλον ἀπονοίας κρημνόν. νοήσεις δὲ καὶ τοῦτο, ὅτι πρῶτον αἱ ὀσφύες ἡμῶν περιζώννυνται, εἶτα οἱ λύχνοι καίονται. πρῶτον γὰρ πρᾶξις, εἶτα θεωρία, ἥτις ἐστὶ τοῦ νοῦ ἔλλαμψις. λύχνος γὰρ ὁ νοῦς ἡμῶν, ὃς ὅταν ἔχῃ τὸ φῶς τοῦ θεοῦ ἐν αὐτῷ λάμπον, τότε λέγεται καίεσθαι· σπουδάσωμεν οὖν ἀρετὴν ἀσκεῖν, ἵνα τοὺς δύο λύχνους ἡμῶν καιομένους ἔχωμεν· τόν τε ἐνδιάθετον λόγον, καὶ τὸν προφορικόν, τὸν μὲν ἐνδιάθετον διὰ παντὸς

ἀστράπτοντα ἐν τῇ ψυχῇ, τὸν δὲ προφορικὸν ἐν τῇ γλώσσῃ. ὁ μὲν γὰρ ἔνδον ἡμᾶς
φωτίζει, ὁ δὲ διδασκαλικὸς καὶ προφορικὸς λύχνος τοὺς ἄλλους· καὶ ἡμεῖς ὦμεν ὅ-
μοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων·
τίς δὲ οὗτος ὁ κύριος, ἢ ὁ Χριστὸς ὁ Ἰησοῦς; ὃς τὴν ἀνθρωπίνην φύσιν ἀναλαβὼν ὡς
νύμφην, καὶ ἑνώσας ἑαυτῷ, γάμον ἐποίησεν εἰς σάρκα μίαν αὐτῇ κολληθεὶς, μᾶλλον
δὲ, οὐχ ἕνα γάμον ποιεῖται, ἀλλὰ πολλοὺς, καθεκάστην γὰρ ἡμέραν νυμφεύεται
ἐν οὐρανῷ τὰς τῶν ἁγίων ψυχὰς, ἃς παριστάνει αὐτῷ παῦλος, ἢ εἴ τις κατὰ παῦλον; β´· Προς
παρθένους ἁγνὰς ἀναλύει δὲ ἐκ τῶν ἐν οὐρανοῖς γάμων. τάχα μὲν καθολικῶς ἐν τῇ Κορ· ια´·
καθόλου συντελείᾳ, ὅτε ἀπ' οὐρανοῦ ἐλεύσεται ἐν τῇ δόξῃ τοῦ πατρός. τάχα δὲ καὶ
καθεκάστην ὥραν ἐν τῇ μερικῇ τοῦ καθένα συντελείᾳ ἀοράτως καὶ ἀπροσδοκήτως ἐ-
φιστάμενος· μακάριος οὖν ἐκεῖνος, ὃν εὑρήσει περιεζωσμένον μὲν τὴν ὀσφὺν, οἷα δὴ
τῷ πρακτικῷ μέρει τῆς κατὰ χριστὸν φιλοσοφίας θεραπεύειν τὸν θεὸν ἐθι μαθέντα,
ἔχοντα δὲ τὸν λύχνον τοῦ λόγου καὶ τῆς διακρίσεως καιόμενον, καὶ μὴ μόνον πράττον-
τα τὸ καλὸν, ἀλλὰ καὶ καλῶς· οὐ μὴν ἀλλὰ καὶ τὴν θεωρίαν οἱονεὶ ἕνα λύχνον δεξά-
μενον, διὰ γὰρ τοῦ τὴν ὀσφὺν περιεζῶσθαι, περιγίνεται ἡμῖν καὶ ὁ καιόμενος λύχνος
τῆς θεωρίας, μᾶλλον δὲ οἱ δύο λύχνοι, ὅ, τε ἐνδιάθετος καὶ ὁ προφορικός· τῷ τοιού
τῳ οὖν θεράποντι θεράπων ὁ κύριος γίνεται· περιζώσεται γάρ φησι καὶ ἀνακλινεῖ
αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς· περιζώννυται μὲν οὖν ὁ θεὸς καθὸ οὐχ ἅ-
πασαν τὴν τῶν ἀγαθῶν χύσιν ἡμῖν ἐπιχορηγεῖ, ἀλλ' ἀναστέλλει ταύτην· τίς γὰρ δύ-
ναται χωρῆσαι θεὸν, ὅσος ἐστί; καὶ δῆλον ἐκ τῶν σεραφὶμ καλυπτομένων διὰ τὴν ὑ- Ἡσαΐ· ς´·
περβολὴν τοῦ θείου φωτός· ἀνακλίνει δὲ τοὺς καλοὺς δούλους, ὅλους γὰρ δι' ὅλων ἀνα
παύει· ὡς γὰρ ὁ ἀνακεκλιμένος ὅλον τὸ σῶμα ἀναπαύει, οὕτω καὶ ἐν τῇ μελ-
λούσῃ παρουσίᾳ ὅλοι δι' ὅλων οἱ ἅγιοι ἀναπαύονται· ἐνταῦθα μὲν γὰρ τῷ σώματι ἄ-
νεσιν οὐχ εὑρίσκουσιν, ἐκεῖσε δὲ σὺν ταῖς ψυχαῖς καὶ τὰ πνευματικὰ αὐτῶν καὶ τὰ
θεῖα σώματα ἀφθαρσίαν κληρονομήσαντα πάσης ἀναπαύσεως ἀπολαύουσιν, καὶ ἔ- α´. Πρὸς
σται ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν αὐτοῖς· διακονεῖ δὲ τοῖς ἀξίοις, ἀμειβόμενος αὐτοὺς Κορ· ιε´·
τοῖς ἴσοις, καὶ ὥσπερ αὐτοὶ αὐτῷ διηκόνησαν, οὕτω καὶ αὐτὸς αὐτοῖς ὑπηρετῶν, καὶ δα-
ψιλῆ αὐτοῖς παρέχων τράπεζαν, καὶ τὴν τῶν πνευματικῶν χαρισμάτων τρυφὴν
χαριζόμενος· φυλακὴν δὲ δευτέραν καὶ τρίτην νόησαι δεῖ τὰς διαφόρους ὥρας τῆς
ζωῆς ἡμῶν. οἷον τί λέγω. ὥσπερ ὁ ἀγρυπνῶν ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ φυλακῇ, δο-
κεῖ ἐγρηγορώτατος εἶναι, αὗται γὰρ αἱ ὧραι τῆς νυκτὸς μάλιστα ὕπνου παρεκτικαὶ
τοῖς ἀνθρώποις, καὶ πρώτου ὕπνου. οὕτω νόειμοι καὶ ἐν τῇ διαφόρῳ καταστάσει τῆς
ζωῆς ἡμῶν εἶναι ὥρας τὰς μακαρίους ἡμᾶς ποιούσας, ἐὰν εὑρεθῶμεν γρηγοροῦντες· ἥρ-
πασέ τις τὰ χρήματά σου; τεθνήκασί σοι παῖδες; ἐσυκοφαντήθης; ἐὰν ἐν τοῖς τοιού
τοις καιροῖς οὐ καταπέσῃς, ἀλλ' ἐγρηγορὼς εὑρεθεὶς τῷ θεῷ καὶ δεσπότῃ, καὶ μηδὲν
ἔξω τῶν αὐτοῦ ἐντολῶν ἀναγκασθῇς πρᾶξαι, ὄντως ἐγρηγορότα σε εὗρεν ἐν δευτέρᾳ
καὶ τρίτῃ φυλακῇ, τουτέστιν, ἐν καιρῷ δεινῷ, καὶ ὕπνον θανατώδη, καὶ κατάπτωσιν
ταῖς χαύναις ψυχαῖς παρέχοντι· δεῖ οὖν ἐγρηγορότως, οἰκοδεσπότῃ γὰρ ἐοίκαμεν, ὃς
εἰ μὲν ἀγρυπνεῖ, οὐ δύναται οὐδὲν κατὰ τῶν αὐτοῦ χρημάτων ὁ κλέπτης, εἰ δὲ ὑπνώ
δης ἐστὶ, πάντα ἄρχας οἰχήσεται. κλέπτην δὲ ἐνταῦθα νοοῦσι μέν τινες καὶ τὸν διάβο-
λον, ὥσπερ καὶ οἶκον τὴν ψυχὴν, οἰκοδεσπότην τὸν ἄνθρωπον· οὐ μὴν ἔοικε πρόσφο
ρος εἶναι τῇ ἀκολουθίᾳ αὕτη ἡ ἐκδοχή· κλέπτῃ γὰρ ἐνταῦθα παραβάλλεται ἡ παρου
σία τοῦ κυρίου διὰ τὸ ἀπροσδόκητον, ὡς καί τις τῶν ἀποστόλων λέγει. ἡ γὰρ ἡμέρα κυ β´· Πετ· γ´·
ρίου ὡς κλέπτης ἐν νυκτί. καὶ ἐνταῦθα δὲ ὁ κύριος ἴδε πῶς ἑρμηνεύει ἡμῖν, τίς ἐστιν ὁ

κλέπτης, φησὶ γάρ, καὶ ὑμεῖς οὖν γρηγορεῖτε, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. φασὶ δὲ τινες, ὅτι περὶ τὴν πρώτην φυλακὴν ἐγρηγοροῦντες νοοῦνται οἱ τῶν ἄλλων ἐπιμελέστεροι. περὶ δὲ τὴν δευτέραν οἱ ὑποβεβηκότες, περὶ δὲ τὴν τρίτην, οἱ ἔτι τούτων ἥττους· ἄλλοι δὲ τὰς διαφόρους ἡλικίας ἐξηγήσαντο. πρώτην μὲν καθ᾽ ἣν νέοι ἐσμέν, δευτέραν δέ, καθ᾽ ἣν ἄνδρες, τρίτην δέ, καθ᾽ ἣν πρεσβῦται· μακάριος οὖν ὅστις εὑρεθῇ ἐν ὁποίᾳ δήποτ᾽ οὖν ἡλικίᾳ ἐγρηγορώς, καὶ μὴ ἀμελῶς περὶ τὴν ἐργασίαν τοῦ καλοῦ διακείμενος·

Εἶπε δὲ αὐτῷ ὁ Πέτρος· κύριε πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ
» πρὸς πάντας; εἶπε δὲ ὁ κύριος. τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος, καὶ φρόνιμος, ὃν κα-
» ταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον; μα-
» κάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ, εὑρήσει ποιοῦντα οὕτως· ἀληθῶς
» λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ καταστήσει αὐτόν·

Ἠρώτησεν ὁ Πέτρος, οἷα πάντων φροντίζων, καὶ ὑπὲρ τῶν ἀκουόντων διακαιόμενος ὡς φιλάδελφος, καὶ ὡς ἤδη τὴν ἐκκλησίαν πιστευθείς, εἰ πρὸς πάντας τὴν παραβολὴν ταύτην λέγει· ὁ δὲ κύριος φανερῶς μὲν οὐδὲν ἀποκρίνεται αὐτῷ πρὸς τὴν ἐρώτησιν, ἐπικεκρυμμένως δὲ δείκνυσιν, ὅτι ἡ μὲν ῥηθεῖσα παραβολὴ κοινὴ ἦν, καὶ εἰς πάντας φθάνουσα καὶ τοὺς τυχόντας πιστούς, τῆς δὲ πρὸς ὑμᾶς, φησί, τοὺς ἀποστόλους, καὶ ἁπλῶς τοὺς διδασκαλίας ἢ προστασίας ἀξιωθέντας, ἤδη ἄκουε· τίς ἄρα ἐστὶν ὁ πιστός, καὶ φρόνιμος οἰκονόμος· ἡ μὲν προρρηθεῖσα παραβολὴ πολλοῖς, φησίν, ἁρμόζει, νῦν δὲ περὶ τῶν προστασίας ἀξιωθέντων φησί, λέγων· διαπορῶ τίς εὑρεθήσεται ταῦτα ἔχων, καὶ πίστιν καὶ φρόνησιν, σπάνιος γὰρ οὗτος καὶ δυσεύρετος· ὥσπερ γὰρ ἐπὶ τῶν χρηματικῶν οἰκονομιῶν εἰ πιστὸς εἴη τις τῷ δεσπότῃ αὐτοῦ, μὴ φρόνιμος δέ, ἀπόλλυται τὰ δεσποτικά, μὴ δυναμένου διοικῆσαι ταῦτα ὡς δεῖ, ἀλλ᾽ ὅταν χρεία δοῦναι, μὴ διδόντος, καὶ πλειόνων ἀπώλειαν ποιοῦντος. πάλιν εἰ φρόνιμος μὲν εἴη, καὶ περιεκτικός, ἄπιστος δέ, κλέπτης ἂν εἴη, καὶ τόσῳ μᾶλλον δυσφώρατος, ὅσῳ καὶ φρονιμώτατος· οὕτω δὴ καὶ ἐπὶ τῶν θείων, δεῖ ἐν ταυτῷ καὶ πίστεως καὶ φρονήσεως. οἶδα γὰρ ἐγὼ πολλοὺς σπουδαίους μὲν δοκοῦντας κατ᾽ ἀρετήν, καὶ θεοσεβεῖς, καὶ πίστιν ἔχοντας, ἐν τῷ μὴ δύνασθαι δὲ φρονίμως διαθέσθαι τὰ ἐκκλησιαστικά, οὐ μόνον χρήματα, ἀλλὰ καὶ ψυχὰς ζημιώσαντας· οἷον ἔπταισέ τις ἐν ψυχικῷ προσπταίσματι, εἰ μὴ φρόνιμος εἴη ὁ προεστώς, ἀλλὰ μόνον πίστιν ἔχων, τουτέστιν ἀρετὴν ἀδιάκριτον, ἢ ἐξ ἀμέτρου ἐπιτιμήσεως, ἢ ἐκ πρᾳότητος ἀκαίρου διαφθαρείη ὁ πταίσας, καὶ οὐκ ἰαθήσεται, ἀλλ᾽ ἐπιτριβήσεται· ὅστις οὖν πιστὸς εὑρεθῇ, καὶ φρόνιμος, κατασταθήσεται ἐπὶ τῆς θεραπείας τοῦ κυρίου, τουτέστιν, ἐπάνω πάντων τῶν δούλων, ὥστε ἑκάστῳ ἐν καιρῷ διδόναι τὸ σιτομέτριον, εἴτε δογματικὸς λόγος ἐστὶν ᾧ τρέφονται αἱ ψυχαί, εἴτε πράξεων ὑποτύπωσις, καὶ διαταγὴ πῶς δεῖ βιοῦν· ὁ τοιοῦτος, εἰ οὕτως εὑρεθείη ποιῶν, μακάριος, καὶ ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ καταστήσει αὐτὸν ὁ κύριος, οὐ μόνον ἐπὶ τοῖς δούλοις, ἀλλ᾽ ἤδη καὶ ὑψηλοτέρου βαθμοῦ ἀξιώσας, ἐπὶ πᾶσιν αὐτὸν κα-
Ἰησ. ι· ταστήσει, ὥστε καὶ τὰ ἐπίγεια ἔχειν ὑπακούοντα καὶ τὰ οὐράνια, οἷος Ἰησοῦς ὁ τοῦ ναυῆ,
γ· Βασιλ· ιη· οἷος Ἠλίας, ὁ μὲν ἡλίῳ, ὁ δὲ νεφέλαις οὐρανοῦ, ἐπιτάττοντες, καὶ πάντες ἁπλῶς οἱ ἅγιοι ὡς θεοῦ φίλοι τοῖς τοῦ φίλου χρώμενοι, κοινὰ γὰρ τὰ τῶν φίλων· καὶ πᾶς ὁ τὴν πρακτικὴν μετιὼν ἀρετὴν ἐν τῷ ἠσύχῳ βίῳ, καὶ τὰ δοῦλα πάθη θυμὸν καὶ ἐπιθυμίαν οἰκονομῶν, καὶ ἑκάστῳ ἐν καιρῷ τὸ σιτομέτριον παρέχων, θυμῷ μέν, ὥστε μισεῖν τοὺς μισοῦντας τὸν κύριον, καὶ ἐπὶ τοῖς ἐχθροῖς αὐτοῦ ἐκτήκεσθαι, ἐπιθυμίᾳ δὲ ὥστε πρόνοιαν τῆς σαρκὸς ποιεῖν ἀναγκαίαν, καὶ ὅλην αὐτὴν πρὸς θεὸν ἀναπέμπειν·

πέμπειν. πᾶς οὖν ὁ τοιοῦτος μακάριος, καὶ δὴ ἐπιτεύξεται καὶ θεωρίας, καὶ ἐπὶ πᾶσι τοῖς τοῦ κυρίου ὑπάρχουσι κατασταθήσεται, πάντα τῷ θεωρητικῷ νῷ ἀξιωθεὶς βλέπειν, καὶ ἐπισκοπεῖν, καὶ οὐ μόνον ταῦτα τὰ μὴ κυρίως ὑπάρχοντα, ἀλλὰ καὶ τὰ κυρίως ὑπάρχοντα, λέγω δὴ τὰ αἰώνια.

» Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἐλθεῖν, καὶ
» ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε, καὶ πίνειν, καὶ μεθύσκε-
» σθαι, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει,
» καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

Οὐαὶ τοῖς τοιούτοις δούλοις, οἳ χάρισμα λαβόντες πνευματικῆς ἐπιστασίας, διαφθείρουσι τὴν ἐμπιστευθεῖσαν αὐτοῖς οἰκονομίαν, καὶ πίνουσι μὲν καὶ μεθύσκονται, εἴτε ἀληθῶς ταῦτα βούλοιο νοεῖν, συμβαίνει γὰρ καὶ τοῦτο τοῖς κακοῖς τῶν ἐκκλησιῶν ἡγεμόσι, κατασπαταλῶσι τῶν πτωχικῶν χρημάτων, εἴτε καὶ μέθην νοεῖν θέλεις, τὴν παραφορὰν τοῦ νοῦ, καὶ ἐν δόγμασι καὶ ἐν χρήμασι. τύπτουσι δὲ οἱ τοιοῦτοι προεστάται τοὺς παῖδας καὶ τὰς παιδίσκας, φημὶ δὴ, τοὺς ἐν τῇ ἐκκλησίᾳ ἀσθενεστέρους σκανδαλίζοντες, τύπτουσιν αὐτῶν τὴν συνείδησιν. ὁ γὰρ ἀσθενὴς, καὶ μικρόψυχος ἰδὼν ἐμὲ τὸν ἀρχιερέα κακῶς διεξάγοντα τὴν ζωὴν, τύπτεται τὴν συνείδησιν σκανδαλιζόμενος, καὶ πληγὰς δέχεται ἐν τῇ καρδίᾳ, καὶ ἀσθενέστερος γίνεται. ταῦτα δὲ πάντα συμβαίνει τῷ πονηρῷ δούλῳ ἐκ τοῦ εἰπεῖν ὅτι ὁ κύριος μου χρονίζει ἐλθεῖν, ἀπὸ ῥαθυμίας γὰρ, καὶ τοῦ μὴ ἐνθυμεῖσθαι τὴν ὥραν τῆς τελευτῆς, τὰ τοιαῦτα γίνονται. εἰ γὰρ ἐνενοοῦμεν ὅτι ἥκει ὁ κύριος, καὶ ἐπὶ θύραις ἡ τελευτὴ, καὶ συντέλεια τῆς ζωῆς ἡμῶν, ἧττον ἂν ἡμαρτάνομεν. ἀλλ᾽ ὅρα καὶ τὴν τιμωρίαν. διχοτομήσει, φησὶν, αὐτόν. τουτέστι, στερήσει τοῦ χαρίσματος τοῦ διδασκαλικοῦ. ἵνα γὰρ μή τις νομίσῃ ὅτι συμβαλεῖται αὐτῷ τὸ χάρισμα, πρὸς τὸ μὴ σφοδρότερον κολασθῆναι, πῶς, φησὶ, συμβαλεῖται αὐτῷ τὸ χάρισμα, ὅπου γε γυμνὸς τούτου εὑρίσκεται τότε; τὸ γὰρ διχοτομηθῆναι, τοῦτο σημαίνει, τὸ στερηθῆναι τῆς χάριτος. εὑρίσκεται γὰρ ὁ ἐλεεινὸς τότε σὰρξ ὢν, καὶ οὐ πνεῦμα. ἐπεὶ τότε ἐσμὲν ἐν πνεύματι κατὰ τὸν ἀπόστολον, ὅτε πνεῦμα θεοῦ Πρὸς Ῥωμ. η΄.
οἰκεῖ ἐν ἡμῖν. ὁ δὲ μὴ πνεύματι στοιχήσας, ἀλλ᾽ ἐν σαρκὶ ὢν, καὶ ἄμοιρος εὑρεθεὶς πνευματικῆς πολιτείας, μετὰ τῶν ἀπίστων τάττεται, οἷα σὺν τῷ ἀπίστῳ κόσμῳ κατακρινόμενος, ὡς μηδὲν ὠφεληθεὶς ἀπὸ τῆς δοκούσης πίστεως. ἡ γὰρ ἀληθὴς πίστις ἐν αὐτῷ οὐκ ἦν, εἰ γὰρ ἀληθὴς πίστις ἐν αὐτῷ ἦν, οἰκονόμος ἂν ἦν πιστός. νῦν δὲ ἐπεὶ πίνων ἦν, καὶ μεθύων, καὶ διαφθείρων τὰ δεσποτικὰ οὐκ εἶχε τὴν ἀληθῆ πίστιν, ἣν ἀπαιτοῦνται οἱ οἰκονόμοι. καλῶς ἄρα μετὰ τῶν ἀπίστων τίθεται τὸ μέρος αὐτοῦ. στερηθεὶς γὰρ τοῦ χαρίσματος καὶ γυμνωθεὶς, κολοβὸς εὑρίσκεται καὶ οὐχ ὁλόκληρος.

» Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ἑτοιμάσας μηδὲ
» ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια
» πληγῶν, δαρήσεται ὀλίγας. παντὶ δὲ ᾧ ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ᾽ αὐτοῦ,
» καὶ ᾧ παρέθεντο πολὺ, περισσότερον αἰτήσουσιν αὐτόν. Ἐνταῦθα καὶ πλεῖόν τι καὶ φοβερώτερον ὑποδείκνυσιν ἡμῖν ὁ κύριος. οὐ μόνον γάρ φησι τοῦ χαρίσματος γυμνωθήσεται ὁ τοιοῦτος, καὶ οὐδὲν αὐτῷ συμβαλεῖται πρὸς ἀπαλλαγὴν τῶν κολάσεων, ἀλλὰ καὶ μείζονος αὐτῷ κατακρίσεως αἴτιον γενήσεται τὸ τοῦ ἀξιώματος μέγεθος. ὅσῳ γὰρ γινώσκων ἔπταισε, τοσούτῳ μείζονα τὴν τιμωρίαν ἑαυτῷ περιποιεῖται. καὶ διὰ τῶν ἐφεξῆς δὲ σαφέστερον τοῦτο ποιεῖ. ᾧ γὰρ ἐδόθη, φησὶ, πολὺ, καὶ πολὺ ζητηθήσεται παρ᾽ αὐτοῦ. καὶ ᾧ παρέθεντο πολὺ, περισσότερον αἰτήσουσιν αὐτόν. διὰ τούτων γὰρ αἰνίττεται τὴν τοῖς διδασκάλοις ὀφειλομένην τιμωρίαν μείζονα ἐσομέ-

νην, καὶ δίδοται οὖν τοῖς διδασκάλοις καὶ παρακατατίθεται, δίδοται μὲν, οἷον τὸ χάρισμα τοῦ θαυματουργεῖν, καὶ ἰᾶσθαι νόσους, παρακατατίθεται δὲ αὐτοῖς τὸ τοῦ λόγου καὶ τῆς διδασκαλίας χάρισμα. ἐπὶ μὲν οὖν τοῦ δίδοται, οὐκ εἶπεν ὅτι περισσότερον ἀπαιτήσουσιν. ἐπὶ δὲ τοῦ παρακατατίθεται. καὶ γὰρ οὕτως τὸ τοῦ λόγου χάρισμα ἐπεργασίας δεῖται, καὶ ἀπαιτεῖται ὁ διδάσκαλος περισσότερον. δεῖ γὰρ αὐτὸν μὴ ῥαθυμεῖν, ἀλλὰ πλεονάζειν τὸ τοῦ λόγου τάλαντον. τὸ τοίνυν παρετέθη ἀντὶ τοῦ ᾧ ἐδανείσθη πολὺ, ὀφείλεις νοεῖν, τὸ γὰρ δάνειον, παρακαταθήκην ἐνταῦθα ὠνόμασεν. ἀλλὰ ζητοῦσι τινὲς, ἔστω καλῶς τιμωρεῖται ὁ γνοὺς τὸ θέλημα τοῦ δεσπότου, καὶ μὴ ποιῶν. ὁ δὲ μὴ γνοὺς διατί τιμωρεῖται; διότι δυνάμενος μαθεῖν καὶ αὐτὸς, ὅμως οὐκ ἠθέλησεν, ἀλλ' ἀπὸ ῥαθυμίας αὐτὸς ἑαυτῷ αἴτιος τοῦ μὴ μαθεῖν γέγονεν. ὥστε διὰ τοῦτο κολαστέος, ὅτι ἑκὼν οὐκ ἔμαθε.

φρίξωμεν ἀδελφοί. εἰ γὰρ ὁ μηδ' ὅλως γνοὺς, ἄξιος πληγῶν, ποῖος ἀπαλλάξει λόγος τοὺς ἐν γνώσει πλημμελοῦντας, καὶ μάλιστα εἰ καὶ διδάσκαλοι εἶεν; φορτικώτερον γὰρ τὸ τούτων κατάκριμα.

» Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; βάπτισμα δὲ ἔχω βα-
» πτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ. Πῦρ νοεῖται μὲν καὶ τὸ κήρυγμα, ὁ λόγος γὰρ πῦρ κατεσθίων πᾶν ὑλῶδες, καὶ συρφετῶδες νόημα, καὶ τὰ εἴδωλα ἐξαφανίζον ὁποίας ἂν ὕλης εἶεν. νοεῖται δὲ καὶ ὁ ζῆλος ὁ ὑπὲρ τοῦ καλοῦ ἐν ἑκάστῳ ἡμῶν ἀναπτόμενος. τάχα δὲ καὶ οὗτος διὰ τὸν λόγον τοῦ θεοῦ γινόμενος, οὐκ ἀπέοικε τοῦ προτέρου. τούτῳ δὴ τῷ πυρὶ βούλεται ὁ κύριος ἀνάπτεσθαι τὰς καρδίας ἡμῶν, δεῖ γὰρ ἡμᾶς ζῆλον διάπυρον ὑπὲρ τοῦ καλοῦ ἔχειν. τὸ γὰρ τί θέλω εἰ ἤδη ἀνήφθη; ἀντὶ τοῦ πόσον θέλω, εἰ ἤδη ἀνήφθη. ἐπισπεύδει γὰρ τὴν ἀνάψιν τούτου τοῦ πυρὸς, καθὼς
Πρὸς Ῥω. ιβ΄. καὶ ὁ Παῦλος λέγει. τῷ πνεύματι ζέοντες. καὶ πάλιν, ζηλῶ γὰρ ὑμᾶς θεοῦ ζήλῳ.
β΄. πρὸς Κορ. ια΄. βάπτισμα δὲ τὸν θάνατον ἑαυτοῦ λέγει. ἐπειδὴ γὰρ τὸ πῦρ τοῦτο οὐκ ἄλλως ἔμελλεν ἀναφθῆναι, εἰ μὴ μετὰ τὸν θάνατον αὐτοῦ, καὶ γὰρ ἔκτοτε τὸ κήρυγμα καὶ ὁ ζῆλος ηὐξήθη, διὰ τοῦτο ἐπάγει καὶ περὶ τοῦ θανάτου, ὀνομάζων αὐτὸν βάπτισμα. ἐπιθυμῶν δὲ τούτου σφόδρα, φησί. καὶ πῶς συνέχομαι. ἀντὶ τοῦ, πόσον φροντίζω, καὶ θλίβομαι, ἕως οὗ τελεσθῇ, διψῶ γὰρ τὸν ὑπὲρ τῆς πάντων σωτηρίας θάνατον. πῦρ δὲ ἦλθε βαλεῖν ὁ κύριος οὐ μόνον ἐπὶ πᾶσαν τὴν γῆν, εἰς ἣν ὁ λόγος καὶ ἡ πίστις ἡπλώθη, ἀλλὰ καὶ ἐπὶ τὴν ἑκάστου ψυχὴν, γῆν μὲν οὖσαν ἀκανθηφόρον καὶ ἄκαρπον, ὑπὸ δὲ τοῦ θείου λόγου ὥσπερ πυρὸς διακαιομένην, καὶ δεκτικὴν γινομένην τῶν θείων σπερμάτων, καὶ καρποφοροῦσαν πνευματικῶς. ὅταν γὰρ ἅψηταί τινος ψυχῆς ἀοράτως ἡ
Λου. κδ΄. θεία χάρις, ἐκεῖ φλέγεσθαι τῷ θεοῦ πόθῳ, ὡς οὐκ ἔστιν εἰπεῖν. ὥσπερ ἀμέλει καὶ οἱ περὶ Κλεόπαν τῷ τοιούτῳ πυρὶ τῆς τοῦ θεοῦ ὑποφλεγόμενοι ἀοράτως χάριτος, οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ἔλεγον. εἴτις οὖν ἔπαθε τὸ τοιοῦτον πάθος, εἴσεται τὸ λεγόμενον. πάσχουσι δὲ πολλοὶ καὶ πολλάκις ἀναγινωσκομένων θείων γραφῶν, ἢ βίων ἁγίων πατέρων, ἢ παραινούντων τινῶν καὶ διδασκόντων, διακαιόμενοι πρὸς τὸ καλὸν τὰς ψυχάς. καὶ οἱ μὲν ἄχρι τέλους, οἱ δὲ παραυτίκα ἀποψυχραίνονται.

» Δοκεῖτε, ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; οὐχὶ λέγω ὑμῖν, ἀλλ' ἢ διαμερι-
» σμόν. ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ, καὶ δύο
» ἐπὶ τρισὶν διαμερισθήσονται πατὴρ ἐπὶ υἱῷ, καὶ υἱὸς ἐπὶ πατρὶ, μήτηρ ἐπὶ θυγατρὶ,
» καὶ θυγάτηρ ἐπὶ μητρί. πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθε-
Πρὸς Ἐφ. β΄. » ρὰν αὐτῆς. Χριστὸς μέν ἐστιν ἡ εἰρήνη ἡμῶν, πλὴν οὐκ ἦλθον, φησὶν, εἰρήνην δοῦναι. ὅθεν αἰνίγματι ἔοικε τὸ λεγόμενον. λέγομεν οὖν, ὡς οὐ πᾶσα εἰρήνη ἄψογος καὶ καλὴ,

ἀλλ' ἔστιν

ἀλλ' ἔστιν ἐπισφαλὴς πολλάκις, καὶ πόῤῥω τῆς θείας ἀγάπης βάλλουσα· οἷον ὅταν εἰρηνεύωμεν, καὶ συμφωνῶμεν ἐπὶ καταλύσει τῆς ἀληθείας· ταύτην οὖν τὴν εἰρήνην οὐκ ἦλθε δοῦναι Χριστὸς, τοὐναντίον μὲν οὖν βούλεται ἡμᾶς διαφέρεσθαι πρὸς ἀλλήλους ὑπὲρ τοῦ καλοῦ, ὃ καὶ ἐν τῷ διωγμῷ γέγονεν· ἐν ἑνὶ γὰρ οἴκῳ πατὴρ ἕλλην υἱῷ πιστῷ διεφέρετο, καὶ μήτηρ θυγατρὶ, καὶ τὸ ἔμπαλιν· πῶς δὲ εἰπὼν πέντε ἐν ἑνὶ οἴκῳ διαμεμερισμένους ἔσεσθαι, ἐν τῇ ἀπαριθμήσει ἓξ πρόσωπα τέθεικε; λέγομεν οὖν ὅτι ἓν πρόσωπον δὶς ἐλήφθη, ἡ θυγάτηρ γὰρ καὶ ἡ νύμφη τὸ αὐτὸ πρόσωπόν ἐστιν, ὡς πρὸς μὲν οὖν τὴν μητέρα προσλαμβανόμενον, θυγάτηρ ὠνομάσθη, ὡς δὲ πρὸς τὴν πενθερὰν, νύμφη· τρεῖς οὖν ἔσονται διαμεμερισμένοι, ὁ πατὴρ, καὶ ἡ μήτηρ, καὶ ἡ πενθερά. ἐπὶ δυσὶ, τουτέστι, τῷ υἱῷ καὶ τῇ θυγατρί. ἡ γὰρ θυγάτηρ ὡς ἔφαμεν ἓν πρόσωπον οὖσα, καθὸ δύο σχέσεις ἀναδέχεται, καὶ τοῦτο δοκεῖ εἶναι δύο πρόσωπα, τῇ μητρὶ προστεθημένη καὶ τῇ πενθερᾷ· νόει δέ μοι ἁπλῶς πατέρα καὶ μητέρα καὶ πενθερὰν πάντα τὰ παλαιὰ, υἱὸν δὲ καὶ θυγατέρα, πάντα τὰ νέα· ὁ τοίνυν κύριος πᾶσι τοῖς παλαιοῖς ἡμῶν, καὶ ἁμαρτωλοῖς ἔθεσι καὶ δόγμασι μάχεσθαι τὰ νέα, καὶ θεῖα αὐτοῦ ἐντάλματα καὶ δόγματα βούλεται· νόει δὲ καὶ οὕτως. πατὴρ μὲν ὁ νοῦς, υἱὸς δὲ ὁ λόγος, μερισμὸς οὖν τούτων ἐγένετο ἐν τῷ ἑνὶ οἴκῳ τῷ ἀνθρώπῳ φημὶ, οἷον ἵνα σαφέστερον εἴπω, ἐνελάμφθη ὁ νοῦς τοῦ Ἀρεοπαγίτου Διονυσίου, καὶ τὸ κήρυγμα ἐδέξατο, ἀνθίστατο δὲ τούτῳ νοῒ τῷ ἀναποδείκτως δεξαμένῳ τὴν πίστιν, ὁ λόγος ὁ ἑλληνικὸς, ἀποδεικνύειν πειρώμενος, καὶ διαλεκτικαῖς ἐφόδοις ἀκολουθεῖν ἀναγκάζων. ὁρᾷς μερισμὸν πατρὸς καὶ υἱοῦ μαχομένων ἀλλήλοις διὰ Χριστὸν καὶ τὸ κήρυγμα; καὶ μητέρα δὲ καὶ πενθερὰν καλέσαις ἂν τὴν διάνοιαν, θυγατέρα δὲ καὶ νύμφην τὴν αἴσθησιν. καὶ ταύταις οὖν μάχη ἵσταται διὰ Χριστὸν, τῇ μὲν διανοίᾳ κατὰ τῆς αἰσθήσεως, ὅταν ἡ διάνοια πείθῃ προτιμᾶν τὰ μὴ ῥευστὰ τῶν ῥευστῶν, τὰ ἀόρατα τῶν ὁρατῶν, καὶ ἔχῃ πρὸς τοῦτο πολλὰς ἀποδείξεις συνεργούς· ἔστι δὲ ὅτε καὶ τῇ αἰσθήσει κατὰ τῆς διανοίας πόλεμος συγκροτεῖται· ἡ γὰρ αἴσθησις διὰ τῶν θαυμάτων καὶ τῶν ὁρωμένων σημείων χειραγωγουμένη πρὸς πίστιν, οὐ πείθεται τοῖς τῆς διανοίας λογισμοῖς, οὐδὲ ταῖς ἑλληνικαῖς ἀποδείξεσιν ἕπεσθαι βούλεται, συναναγκαζούσαις τοὺς προσέχοντας αὐταῖς μὴ πιστεύειν ὅτι θεὸς γέγονεν ἄνθρωπος, ἢ ὅτι παρθένος ἔτεκε. τοιαῦτα γὰρ τὰ τῶν φύσει δουλευόντων ἑλληνικῶν λογισμῶν ληρήματα. ἡ μέντοι αἴσθησις διὰ τῶν ὁρωμένων θαυμάτων κρείττων πάσης ἀποδείξεώς ἐστι πρὸς θεογνωσίαν χειραγωγός· οὐ πᾶσα οὖν εἰρήνη καὶ συμφωνία καλὸν, ἀλλ' ἔστιν ὅτε καὶ μάχη καὶ διάστασις θεῖόν τι χρῆμα δοκεῖ· μηδεὶς τοίνυν φιλιαζέτω τοῖς πονηροῖς, ἀλλὰ κἂν πατὴρ κἂν μήτηρ ἐναντίοι εὑρίσκωνται τῷ Χριστοῦ νόμῳ, πολεμητέον αὐτοῖς ὡς τῆς ἀληθείας ἐχθροῖς·

» Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις, ὅταν ἴδητε νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως
» λέγετε, ὅτι ὄμβρος ἔρχεται καὶ γίνεται οὕτως· καὶ ὅταν νότον πνέοντα, λέγετε ὅτι
» καύσων ἔσται· καὶ γίνεται· ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε
» δοκιμάζειν, τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε; τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνε-
» τε τὸ δίκαιον; ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργα-
» σίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ, μή ποτε κατασύρῃ σε πρὸς τὸν κριτὴν, καὶ ὁ κριτής σε
» παραδῷ τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε βάλλῃ εἰς φυλακήν· λέγω σοι, οὐ μὴ ἐξέλ-
» θῃς ἐκεῖθεν, ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς·

Ἐπειδὴ περὶ τοῦ κηρύγματος διελέχθη, καὶ πῦρ αὐτὸ καὶ μάχαιραν ὠνόμασεν· εἰκὸς δὲ ἦν τοὺς ἀκούοντας ταράσσεσθαι, μὴ συνιέντας τί ἐστι τὸ λεγόμενον, φησίν. ὅτι ὥσπερ τὰς τοῦ ἀέρος ποιότητας ἀπό τινων σημείων διαγινώσκετε, οὕτως ἔδει καὶ τὴν

ἐμὴν παρουσίαν ἐπιγινώσκειν ἀπό τε τῶν λεγομένων, ἀπό τε τῶν πραττομένων ὑπ' ἐ-
μοῦ· καὶ γὰρ οἱ λόγοι μου δεικνύουσί με ἐναντιούμενον ὑμῖν, καὶ τὰ ἔργα δὲ ὁμοίως·
Λουκ. θ. ὑμεῖς μὲν γὰρ τελῶναι καὶ ἅρπαγες, ἐγὼ δὲ οὐκ ἔχω ποῦ τὴν κεφαλὴν κλίναι·
ἔδει οὖν ὑμᾶς, ὥσπερ ἀπὸ τῆς νεφέλης τεκμαίρεσθαι τὸν ὄμβρον, καὶ ἀπὸ τοῦ νότου τὸν
καύσωνα, οὕτω καὶ τὸν καιρὸν τῆς ἐμῆς δηλαδὴ παρουσίας δοκιμάζειν, καὶ τεκμη
ριοῦσθαι, ὅτι οὐκ εἰρήνην ἦλθον δοῦναι, ἀλλ' ὄμβρον καὶ ταραχήν· νεφέλη γάρ εἰμι καὶ
αὐτός, καὶ ἀπὸ δυσμῶν ἔρχομαι, τῆς ἀνθρωπίνης φύσεως λέγω, τῆς πρώην χθαμα
λῆς τε, καὶ πολὺν τὸν ἐκ τῆς ἁμαρτίας ζόφον ἐχούσης· ἀλλὰ καὶ πῦρ ἦλθον βαλεῖν,
καὶ καύσωνα ποιῆσαι, νότος γάρ εἰμι πνεῦμα θερμόν, καὶ τῆς τοῦ βορρᾶ ψυχρότη-
τος ἀντίθετον· ἐπεὶ καὶ ἀπὸ τῆς Βηθλεὲμ ἐφάνην, ἥτις πρὸς νότον κεῖται· ταῦτα εἰ-
πών, διδάσκει αὐτοὺς καὶ περὶ εἰρήνης λοιπὸν ἐπαινετῆς· ἐπεὶ γὰρ ἔδειξε τὴν ἐπαι-
νετὴν διάστασιν, δείκνυσι καὶ τὴν ἀμώμητον εἰρήνην· καί φησιν, ὅτι ἐπειδὰν ὁ ἀν-
τίδικος ἕλκῃ σε εἰς δικαστήριον, ἐν τῇ ὁδῷ σπούδασον, ἀγώνισαι, τὸ γὰρ δὸς ἐργασίαν
τοῦτο δηλοῖ, τὸ πάντα τρόπον ἐπινοήσασθαι, ὡς ἂν ἀπαλλαγῇς ἀπ' αὐτοῦ· καὶ ἄλλως
δέ, τὸ δὸς ἐργασίαν νοεῖται, ἀντὶ τοῦ κἂν μηδὲν ἔχῃς, δανείσθητι, καὶ δὸς ἐργασίαν, του
τέστι τόκον, ὑπὲρ τοῦ ἀπηλλάχθαι αὐτοῦ. μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ
κριτής σε παραδῷ τῷ πράκτορι, τουτέστι, τῷ ἀπαιτητῇ, κἀκεῖνος βάλῃ σε εἰς φυλα
κήν, ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς. ταῦτα δὲ λέγει ὁ κύριος, ἐκφοβῶν διὰ τού-
των τοὺς παχυτέρους, καὶ πρὸς τὸ εἰρηνεύειν συνάγων· εἰδὼς γὰρ ὅτι τοὺς γεωδεστέρους
ὁ τῆς ζημίας φόβος καὶ τῶν κολάσεων συστέλλει, διὰ τοῦτο ταῦτά φησι· νοοῦνται δὲ
ταῦτα καὶ διὰ τὸν διάβολον, ἀντίδικος γὰρ οὗτος ἡμῶν· ἐν τῇ ὁδῷ οὖν τῷ βίῳ τούτῳ
λέγω ὄντες, σπουδάσωμεν ἐργαζόμενοι τὴν ἀρετήν, ἀπηλλάχθαι ἀπ' αὐτοῦ, καὶ μη-
δὲν κοινὸν ἔχειν πρὸς αὐτόν, μήποτε ἐν τῇ μελλούσῃ κρίσει παραδῷ ἡμᾶς τῷ κριτῇ.
τὰ γὰρ ἔργα αὐτοῦ ἃ ἐνταῦθα ἐποιήσαμεν, αὐτὰ παραδιδόασιν ἡμᾶς τῇ κρίσει, καὶ
ὁ κριτὴς τῷ πράκτορι παραδίδωσιν ἡμᾶς, τιμωρητικῇ τινι καὶ κακοποιῷ δυνάμει·
καὶ λοιπὸν τιμωρεῖται ἡμᾶς, ἄχρις ἂν καὶ τῶν λεπτῶν ἁμαρτημάτων δίκας δῶμεν,
καὶ τὸ τῆς κολάσεως μέτρον ἐκπληρώσωμεν, οὐδέποτε δὲ πληροῦται τὸ τῆς κολά-
σεως μέτρον, ἀεὶ ἄρα κολασθησόμεθα· εἰ γὰρ ἄχρι τότε εἰς φυλακὴν ἐσόμεθα, ἄχρις
ἂν τὸ ἔσχατον λεπτὸν ἀποδῶμεν, οὐδέποτε δὲ μέλλομεν ἀποδοῦναι, πρόδηλον ὡς ἀΐδιος
ἡ κόλασις ἔσται·

Κεφάλαιον τρισκαιδέκατον·

» Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων,
» ὧν τὸ αἷμα Πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν· καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐ-
» τοῖς· δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς γαλιλαίους ἐγέ-
» νοντο; ὅτι τοιαῦτα πεπόνθασιν; οὐχὶ λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύ
» τως ἀπολεῖσθε· ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτώ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ σιλωάμ, καὶ
» ἀπέκτεινεν αὐτούς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀνθρώπους τοὺς
» κατοικοῦντας ἐν Ἱερουσαλήμ; οὐχὶ λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὁμοίως
Πράξ. ε. » ἀπολεῖσθε· Ἰούδας ὁ γαλιλαῖος, οὗ καὶ ἐν ταῖς πράξεσιν ὁ αὐτὸς οὗτος εὐαγγε
λιστὴς μέμνηται, νομομαθὴς δῆθεν ὤν, ἔπεισε πολλοὺς καὶ ἄλλους γαλιλαίους συνα-
παχθῆναι τῷ αὐτοῦ δόγματι· ἐδογμάτιζε δὲ μηδένα ἀνθρώπων μηδὲ μέχρι στόματος
ἀνέχεσθαι λέγειν κύριον, μηδὲ κατά τινα τιμὴν καὶ φιλοφροσύνην, μὴ δι' αὐτὸν τὸν βα
σιλεύοντα· ὅθεν καὶ πολλοί γε αὐτῶν ὑπὲρ τοῦ μὴ εἰπεῖν κύριον τὸν καίσαρα χαλε-
πῶς ᾐκίζοντο, οἳ καὶ ἐδίδασκον μηδὲ παρὰ τὰς διατεταγμένας τῷ Μωϋσεῖ θυσίας δεῖν
ἀναφέρεσθαι·

ἀναφέρεσθαι. διόπερ ἐκώλυον τὰς ὑπὲρ τοῦ καίσαρος, καὶ τοῦ ῥωμαίων ἔθνους γινο-
μένας θυσίας. εἰκὸς οὖν ἐπὶ τούτοις ἀγανακτοῦντα τὸν πιλάτον κελεῦσαι τοὺς γαλι-
λαίους τούτους ἀποσφάττεσθαι παρ᾽ αὐταῖς δὴ ταῖς θυσίαις ταῖς ὑπ᾽ αὐτῶν κωλυο-
μέναις ὑπὲρ τοῦ ῥωμαίων ἔθνους γίνεσθαι. ὥστε ἀναμιγῆναι τὸ αἷμα αὐτῶν τῷ τῶν
θυσιῶν αἵματι. ἀπήγγελλον οὖν τινες ταῦτα τῷ σωτῆρι ὡς ὑπὲρ εὐσεβείας δῆθεν γι-
νόμενα. βουλόμενοι τὸ ἐπὶ τούτοις ἀρέσκον αὐτῷ μαθεῖν. ἐνόμιζον γάρ τινες δικαιό-
τατα αὐτοὺς παθεῖν ὡς ἁμαρτωλούς, ἅτε στάσιν κινήσαντας, καὶ τὸν πιλάτον ἐρεθίσαν-
τας ἐπὶ τῷ μισεῖν τοὺς Ἰουδαίους. ἡ γὰρ αὐτῶν ἔνστασις ἡ ὑπὲρ τοῦ μὴ καλεῖν τὸν καίσα-
ρα κύριον, παντὸς τοῦ ἔθνους τῶν Ἰουδαίων ἥπτετο. ὁ τοίνυν σωτὴρ τὸ μὲν εἶναι αὐτοὺς
ἁμαρτωλοὺς οὐκ ἀρνεῖται, οὐ μήν φησι ταῦτα πεπονθέναι αὐτοὺς ὡς ἁμαρτωλοτέρους
τῶν λοιπῶν τῶν μὴ πεπονθότων. ἐὰν γὰρ καὶ ὑμεῖς μὴ μετανοήσητε, καὶ ἀφέμενοι
τοῦ στασιάζειν καὶ ἐμφυλίους μάχας ἀνάπτειν, θεὸν τοῖς ἔργοις θεραπεύειν σπεύσητε,
χείρονα πείσεσθε. δεῖ γὰρ μὴ προφάσει εὐσεβείας δόξαν ἑαυτοῖς περιτιθέντας, εἰς ἐμ-
φυλίους στάσεις ἀπονεύειν. ὁ δὲ πύργος ὁ πεσὼν ἐν τῷ σιλωὰμ δεῖγμα ἦν τῶν μετὰ
ταῦτα συμβησομένων τῷ λαῷ. διὰ γὰρ τῶν τότε ἀναιρεθέντων ὀλίγων, τοὺς πολλοὺς
ἐπαίδευσεν, ὅτι καὶ αὐτοὶ τὰ χείρω πείσονται. ὁ μὲν γὰρ πύργος τῆς ὅλης πόλεως
ἐστὶ προτύπωσις, οἱ δὲ δέκα καὶ ὀκτὼ τοῦ ὅλου ἔθνους. πεσούσης οὖν τῆς πόλεως ὑπὸ
τίτου, πᾶν τὸ ἔθνος συναπώλετο τῇ ἀπιστίᾳ ἐναπομείναντες. τοῦτο ἔστω ὑμῖν πρὸς
πάντα τὰ καθ᾽ ἡμέραν προσπίπτοντα νουθεσία. μὴ γὰρ ἐπειδή τινες περιπίπτουσιν,
ἡμῶν ἀπειράστων καταλιμπανομένων, ἤδη τοῦτο ἡμῖν εἰς ἀμεριμνίαν παντελῆ ἔστω, ὅτι
ὡς δίκαιοι ἀπείραστοι καταλιμπανόμεθα, ἀλλὰ τοὐναντίον μᾶλλον παιδευώμεθα, ὅτι
ἐπὶ τούτῳ κολάζονται ἐκεῖνοι, ἵνα ἡμεῖς βελτιωθῶμεν, εἰ δὲ μή, τὰ χείριστα πεισόμεθα.
» Ἔλεγε δὲ ταύτην τὴν παραβολήν. συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυ-
» τευμένην, καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. εἶπε δὲ πρὸς τὸν ἀμπε-
» λουργόν. ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω.
» ἔκκοψον αὐτήν. ἵνα τί καὶ τὴν γῆν καταργεῖ; ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ. κύριε, ἄ-
» φες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτήν, καὶ βάλω κόπρια. κἂν
» μὲν ποιήσῃ καρπόν, εἰ δὲ μήγε εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν. Ἀκολούθως εἰσάγει
τὴν παραβολὴν ταύτην. ἐπειδὴ γὰρ εἶπεν ὅτι ἐὰν μὴ μετανοήσητε, ἀπολεῖσθε. εἰκό-
τως ἐπισυνάπτει τὴν παραβολὴν ταύτην. ἔστιν οὖν συκῆ ἡ γενεὰ τῶν Ἰουδαίων φύλ-
λα μόνα πικρὰ ποιοῦσα, καρπὸν δὲ μὴ παρέχουσα. ἐν τῷ ἀμπελῶνι δὲ τοῦ θεοῦ
ἵστατο, τῇ πολιτείᾳ τῇ Ἰουδαϊκῇ. ὁ οἰκοδεσπότης, ὁ χριστὸς ἐλθών, καὶ ζητῶν καρπὸν
πίστεως καὶ ἀγαθοεργίας ἐν αὐτῇ, οὐχ εὗρε. τρία δὲ ἔτη ἦλθε, διὰ μωσέως, διὰ προ-
φητῶν, καὶ τὸ τρίτον δι᾽ ἑαυτοῦ. ὕστερον μέντοι μὴ μετανοήσαντας ἐξέκοψε τῆς τοῦ
θεοῦ ἀγάπης, οὐκ ἔτι γὰρ ἔθνος κυρίου, καὶ λαὸς ἅγιος καλοῦνται. εἰς τὸν τόπον δὲ Ἀριθ. κζ΄.
αὐτῶν ἀντεισήχθησαν τὰ ἔθνη τὰ δυνάμενα καρποφορεῖν. νοηθείη δ᾽ ἂν καὶ ἡ σύμπα- Ἐξο. ιθ΄.
σα ἀνθρωπότης συκῆ. οἰκοδεσπότης, ὁ θεὸς καὶ πατήρ. ἀμπελουργὸς δὲ ὁ υἱὸς τοῦ
θεοῦ. φιλοπονῆσαι δὲ καὶ ἐκκαθᾶραι τὸν ἀμπελῶνα ἡμῶν ἐνδημήσας, ἐκκόψαι
ταύτην τὴν συκῆν ὡς ἄκαρπον οὐκ ἐᾷ ὁ χριστὸς τοιαῦτα λέγων, ἄφες αὐτὴν καὶ τοῦτο
τὸ ἔτος. εἰ διὰ νόμου καὶ προφητῶν οὐκ ἐβελτιώθησαν, καὶ μετανοίας καρπὸν οὐκ ἐπέ-
δωκαν, ἀλλά γε κἀγὼ τοῖς ἐμοῖς ἀρδεύσω τούτους δόγμασι καὶ μαθήμασι. κἂν μὲν
ποιήσωσι καρπὸν εὐπειθείας, εἰ δὲ μή γε εἰς τὸ μέλλον ἐκκόψεις αὐτὴν τῆς τῶν δι-
καίων μερίδος ἐκτεμὼν αὐτούς. ἐκ τρίτου δὲ καρπὸν ζητηθεῖσα ἡ φύσις ἡμῶν, οὐκ ἐπέ-
δωκεν, ἅπαξ μέν, ὅτε ἐν τῷ παραδείσῳ τὴν ἐντολὴν παρέβημεν. δεύτερον δὲ ὅτε Γεν. γ΄.

Ἐξο· λβ·
ψαλ· ρε·

ἐν τῷ νόμῳ ἐμοσχοποίησαν, καὶ ἤλλαξαντο τὴν δόξαν τοῦ θεοῦ ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον· καὶ τρίτον, ὅτε τὸν σωτῆρα καὶ κύριον παρῃτήσαντο, εἰπόντες οὐκ ἔχομεν βασιλέα εἰ μὴ καίσαρα· καὶ ὁ καθένα δὲ ἡμῶν, συκῆ ἐστιν ἐν τῷ ἀμπελῶνι τοῦ θεοῦ, τῇ ἐκκλησίᾳ, ἢ, ἁπλῶς εἰπεῖν, τῷ κόσμῳ τούτῳ πεφυτευμένος· ἔρχεται οὖν ζητῶν καρπὸν ὁ θεός, καὶ ἐὰν εὕρῃ σε ἄκαρπον, ἐκκοπῆναι τοῦ βίου τούτου προστάττει· ὁ δὲ ἀμπελουργὸς ἱκετεύει φείσασθαι· τίς δὲ ὁ ἀμπελουργός; ἢ ὁ ἄγγελος ὁ ἑκάστου φύλαξ, ἢ καὶ αὐτὸς ὁ ἄνθρωπος, ἕκαστος γὰρ αὐτὸς ἑαυτῷ ἀμπελουργός· πολλάκις οὖν ἀρρωστίαις θανατώδεσιν, ἢ ἄλλοις κινδύνοις περιπεσόντες, ἄφες ὦ κύριε, λέγομεν, καὶ τοῦτο ἔτος, καὶ μετανοήσομεν· τοῦτο γὰρ δηλοῖ τὸ σκάψαι, καὶ περιβαλεῖν κόπρια· σκάπτεται μὲν γὰρ ἡ ψυχή, ὅταν τὸν χνοῦν τῶν βιωτικῶν φροντίδων ἀποτινάσσηται, καὶ κουφίζηται. κόπρια δὲ αὐτῇ περιβάλλονται, ἡ τῆς ἀτιμοτέρας ἀγωγῆς καὶ παρὰ πάντων καταπατουμένης θερμότης· ὅταν γάρ τις ἀπὸ δόξης εἰς ἄδοξον βίον ἑαυτὸν ἐπιρρίψῃ διὰ τὴν τῆς ψυχῆς σωτηρίαν, κόπρια λέγεται περιβαλεῖν τῇ ψυχῇ πρὸς τὸ καρποφορῆσαι· ἐὰν μὲν οὖν ποιήσωμεν καρπόν, εἰ δὲ μήγε οὐκέτι ἀφίησιν ἡμᾶς ἐν τῷ ἀμπελῶνι αὐτοῦ, ἀλλ᾽ ἐκκόπτει τοῦδε τοῦ κόσμου, ἵνα μὴ καταργῶμεν τὸν τόπον· τὸν γὰρ ἁμαρτωλὸν πολυχρονοῦντα βλέπων τις, βλάπτεται, καὶ χείρων γίνεται· καὶ οὕτως εὑρίσκεται ὁ ἁμαρτωλὸς μήτε αὐτὸς καρποφορῶν, καὶ ἄλλῳ ἐμποδίζων δυναμένῳ καρποφορεῖν. εἰ δὲ ἐκκοπῇ τοῦδε τοῦ βίου, τάχα οἱ ἐκκοπέντα αὐτὸν ἰδόντες, εἰς συναίσθησιν ἐρχόμενοι μεταβαλοῦνται καὶ καρποφορήσουσι· τρία δὲ ἔτη λέγεται ἔρχεσθαι ὁ οἰκοδεσπότης ἐπὶ τὴν συκῆν, τάχα μὲν καὶ διὰ τὸ τρεῖς εἶναι τοὺς δεδομένους ἡμῖν νόμους, δι᾽ ὧν ἔρχεται πρὸς ἡμᾶς ὁ κύριος· εἰσὶ δὲ οὗτοι, ὁ φυσικός, ὁ νομικός, καὶ ὁ πνευματικός· ἔδει μὲν γὰρ τῷ φυσικῷ νόμῳ παιδευομένους ἡμᾶς καρποφορεῖν, ἡ γὰρ φύσις αὐτὴν διδάσκει τὸ δέον· ἐπεὶ δὲ ἄχρηστον εὗρεν ἐν ἡμῖν τὸν φυσικόν, ἔδωκε τὸν μωσαϊκὸν βοηθὸν τοῦ φυσικοῦ νόμου· ὡς δὲ καὶ οὗτος ἄχρηστος διὰ τὴν ῥαθυμίαν ἡμῶν εὑρίσκετο, δίδωσι τὸν πνευματικόν· ὅταν οὖν οἱ τρεῖς οὗτοι μὴ βελτιώσωσι τὴν τινὸς ψυχήν, μὴ δὲ ὑπὸ τῆς μακροζωΐας καὶ φιλανθρωπίας βελτιωθείη, τότε δὴ εἰς τὸ μέλλον οὐκέτι ἐᾶται, οὐ γὰρ πολλάκις ἐξαπατᾶται ὁ θεὸς ταῖς ὑπερημερίαις· μήποτε δὲ καὶ τρία ἔτη νοήσῃς τὰς τρεῖς καταστάσεις τῶν ἡλικιῶν; τὴν παιδικήν, ἤτοι τῶν μειρακίων, ἥτις περὶ τὰ ὀκτωκαίδεκα ἔτη λογίζεται· τὴν ἀνδρικήν, καὶ τὴν τρίτην τῶν ἤδη ἀρξαμένων πολιοῦσθαι· ὅταν οὖν ἐν τῷ γήρᾳ τῷ τρίτῳ ἔτει, οὐ δῶμεν καρπούς, καὶ ἔτι συγχωρηθῶμεν ζῆσαι πρὸς τὸ περιβαλεῖν κόπρια, τὴν ἄτιμον διὰ χριστὸν ζωὴν ἐπανῃρημένοι, εἶτα καὶ οὕτως ψευσόμεθα, οὐκ ἔτι φείσεται ὑμῶν ὁ κύριος, ἀλλ᾽ ἐκκόψει ἵνα μὴ καταργῶμεν τὴν γῆν καὶ ἄλλοις βλάπτοντες· αὕτη ἡ ἐξήγησις δοκεῖ μοι εἶναι προσφυεστέρα τῷ σκοπῷ τῷ προκειμένῳ·

» Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασι· καὶ ἰδοὺ γυνὴ ἦν πνεῦ-
» μα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ, καὶ ἦν συγκύπτουσα, καὶ μὴ δυναμένη ἀνα-
» κύψαι εἰς τὸ παντελές· ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησε, καὶ εἶπεν αὐτῇ, γύναι
» ἀπολέλυσαι τῆς ἀσθενείας σου· καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας, καὶ παραχρῆμα ἀνωρθώ-
» θη, καὶ ἐδόξαζε τὸν θεόν· ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος ἀγανακτῶν, ὅτι τῷ σαββά-
» τῳ ἐθεράπευσεν ὁ Ἰησοῦς· ἔλεγε τῷ ὄχλῳ· ἓξ ἡμέραι εἰσίν, ἐν αἷς δεῖ ἐργάζεσθαι, ἐν
» ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ ἡμέρᾳ τοῦ σαββάτου· ἀπεκρίθη δὲ αὐτῷ
» ὁ κύριος, καὶ εἶπεν. ὑποκριταί, ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ, ἢ τὸν
» ὄνον ἀπὸ τῆς φάτνης, καὶ ἀπαγαγὼν ποτίζει; ταύτην δὲ θυγατέρα Ἀβραὰμ οὖσαν,
» ἣν ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου

τῇ ἡμέρᾳ

» τῇ ἡμέρᾳ τοῦ σαββάτου; καὶ ταῦτα λέγοντος αὐτοῦ κατῃσχύνοντο πάντες οἱ ἀντικεί-
» μενοι αὐτῷ. καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ.
Ἐξ ἐπηρείας διαβολικῆς τὸ πάθος τοῦτο τῇ γυναικὶ συνέβη, καθὰ δὴ καὶ ὁ κύριός φη
σιν· ἣν ἔδησεν ὁ σατανᾶς ἔτη δέκα καὶ ὀκτώ. ἴσως γὰρ διά πταίσματά τινα ἐγκατα
λειφθεῖσαν ὑπὸ θεοῦ ἐτιμωρεῖτο ὁ σατανᾶς. παραίτιος γάρ ἐστι τοῖς τῶν ἀνθρώπων
σώμασι πάντων τῶν δυσχερῶν, ὅταν ἄνωθεν παρὰ θεοῦ συγχωρηθείη· ἐπεὶ καὶ ἐξ ἀρ
χῆς αὐτὸς ἡμῖν πρόξενος ἐγεγόνει, τοῦ ἐκπεσεῖν μὲν τῆς ἀφθαρσίας, ἐφ' ἧ ἐκτίσθημεν,
νοσερῷ δὲ σώματι καὶ παθῶν δεκτικῷ προσδεθῆναι. τοὺς δερματίνους γὰρ χιτῶνας Γεν. γ΄.
τοῦτο νοοῦμεν πάντως. ὁ μέντοι κύριος θεοπρεπεστάτῃ φωνῇ καὶ ἐξουσίας γεμούσῃ τῆς
γυναικὸς ταύτης τὴν νόσον ἐλαύνει. ἐπιτίθησι δὲ καὶ τὰς χεῖρας αὐτῇ, ἵνα μάθωμεν,
ὅτι τὴν τοῦ θεοῦ λόγου δύναμίν τε καὶ ἐνέργειαν ἡ ἁγία περιφόρηκε σὰρξ, ἰδία γὰρ ἦν
αὐτοῦ, καὶ οὐχ ἑτέρου τινὸς παρ' αὐτὸν ὄντος καταμόνας καὶ ἰδιοϋποστάτως κεχωρισ
μένου, καθὰ δὴ νεστορίῳ τῷ δυσσεβεῖ δοκεῖ. ἡ μὲν οὖν ἀγαθότης τοῦ κυρίου τοιαύτη, καὶ
οὕτω τὸ οἰκεῖον πλάσμα ἠλέησεν. ὁ δὲ ἐξ ἀρχῆς τὴν γυναῖκα δεσμεύσας σατανᾶς,
ἀχθόμενος τῇ ταύτης λύσει, οἷα θέλων ἐπὶ πλέον κακουχεῖσθαι αὐτὴν, δεσμεῖ τὸν ἀρ
χισυνάγωγον τῷ φθόνῳ, καὶ διὰ τοῦ στόματος τούτου ἐπηρεάζει τῷ θαύματι. οὕτως
ἄρα πανταχοῦ τοῖς καλοῖς ἐπιτίθεται. ἀγανακτεῖ οὖν ὅτι ἐν σαββάτῳ ἡ θεραπεία
γέγονε, οὗ ὁ κύριος χαριεστάτῳ ὑποδείγματι τῶν ἀλόγων ζώων ἐλέγχει. ὅθεν οὐ μόνος
αὐτὸς τοῖς τοιούτοις λόγοις, ἀλλὰ καὶ πάντες οἱ ἄλλοι ἀντικείμενοι τῷ Ἰησοῦ ἀπὸ τῶν λό-
γων κατῃσχύνοντο. λίαν γὰρ ἦν ἀνόητον τὸ κωλύειν θεραπευθῆναι ἄνθρωπον ἐν σαββά
τῳ διὰ τὴν ἀργίαν δῆθεν τὴν ὑπὸ τοῦ νόμου τῷ σαββάτῳ προστεταγμένην. οἱ μὲν οὖν
ἀντικείμενοι τῷ Ἰησοῦ ἀπὸ τῶν λόγων κατῃσχύνοντο, οἱ δὲ ὄχλοι ἔχαιρον ἐπὶ τοῖς ἔργοις.
ὡς ἐκεῖνοί γε τοῖς ἔργοις οὐκ ἔχαιρον, ἀλλ' ἐξετήκοντο θαυματουργοῦντος τοῦ χριστοῦ,
οἱ δὲ τοῦ ὄχλου οἷα ὠφελούμενοι, ἐκ τῶν σημείων, ἔχαιρον, ἰάσεων ἀπολαύοντες. ταῦ-
τα δέ μοι λάμβανε τὰ θαύματα καὶ ἐπὶ τὸν ἐντὸς ἄνθρωπον. συγκύπτει γὰρ ψυχὴ,
ὅταν ἐπὶ τὰς γηΐνας μόνας φροντίδας νεύῃ, καὶ μηδὲν οὐράνιον ἢ θεῖον φαντάζηται.
διὸ καὶ ὀκτὼ καὶ δέκα ἔτη νοσεῖν λέγεται. ὅταν γάρ τις περὶ τὴν τήρησιν τῶν ἐντο
λῶν τοῦ θείου νόμου, αἵτινές εἰσι δέκα, καὶ περὶ τὴν ἐλπίδα τοῦ ὀγδόου αἰῶνος ἀσθε-
νῇ, δέκα καὶ ὀκτὼ ἔτη συγκύπτειν λέγεται. ἢ οὐχ ὁ τῇ γῇ προσκείμενος, καὶ ἁμαρτά
νων ἀεὶ τάς τε ἐντολὰς ἀθετεῖ, καὶ τὸν μέλλοντα αἰῶνα οὐ προσδέχεται; ἀλλ' ὁ κύ-
ριος ἐν σαββάτῳ καὶ συναγωγῇ θεραπεύει τὴν τοιαύτην ψυχήν. ὅταν γὰρ συνα-
γάγῃ τίς ἐν ἑαυτῷ τοὺς τῆς ἐξομολογήσεως λογισμοὺς, Ἰούδας γὰρ ἐξομολόγησις λέ
γεται, καὶ σάββατον ποιῇ, τουτέστιν ἀργίαν ἀπὸ τῶν κακῶν, τότε θεραπεύει αὐτὸν ὁ
Ἰησοῦς οὐ λόγῳ μόνῳ λέγων αὐτῷ ἀπολέλυσαι τῆς ἀσθενείας σου, ἀλλὰ καὶ τὰς χεῖ-
ρας ἐπιθείς. δεῖ γὰρ ἡμᾶς καὶ τὴν τῶν θείων χειρῶν συνεργίαν πρὸς τὸ πράττειν τὰ
τῆς ἀρετῆς ἔργα, δέξασθαι, καὶ μὴ διὰ λόγου μόνου καὶ κατηχήσεως τὴν θερα-
πείαν λαβεῖν, δοκοῦντας ἀρκεσθῆναι.

» Ἔλεγε δὲ, τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ τίνι ὁμοιώσω αὐτήν; ὁμοία ἐστὶ
» κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ, καὶ ηὔξησε, καὶ ἐγέ
» νετο εἰς δένδρον μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐ
» τοῦ. πάλιν εἶπε. τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ θεοῦ; ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα
» γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. καὶ διεπορεύετο κατὰ
» πόλεις, καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ.

Κόκκῳ σινάπεως παραβάλλει τὴν βασιλείαν τοῦ θεοῦ, βασιλεία δὲ θεοῦ ὁ λόγος, καὶ

τὸ κήρυγμα, διὰ γὰρ τοῦ κηρύγματος ἐβασίλευσεν ἐπὶ τὰς ψυχὰς τῶν ἀνθρώπων· ὥσπερ οὖν τὸ σίναπι δοκεῖ μὲν εἶναι μικρὸν, πολλὴν δὲ τὴν δύναμιν ἔχει, οὕτω καὶ ὁ λόγος τοῦ εὐαγγελίου καταφρονεῖται μὲν τοῖς πολλοῖς, καὶ δοκεῖ μωρία εἶναι, λαβὼν δὲ αὐτὸν ἄνθρωπος, καὶ βαλὼν εἰς κῆπον αὐτοῦ, ἤγουν τῇ ἑαυτοῦ ψυχῇ, δένδρον μέγα ποιεῖ, ὥστε κλάδους αὐτῷ προσεῖναι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅπερ ἐστὶ τοὺς τὰ ὑψηλὰ θέλοντας πέτεσθαι ἀνθρώποις, κατασκηνοῦν ἐν τούτοις τοῖς κλάδοις· οἱ γὰρ τῶν γηΐνων ὑπερκείμενοι, ἐν τοῖς κλάδοις τοῦ κηρύγματος, ἤτοι τοῖς ἡπλωμένοις νοήμασιν

Πράξ. θʹ. ἀναπαύονται· οἷον τί φημι, κόκκον ἔλαβεν ὁ παῦλος, τὴν μικρὰν τοῦ ἀνανίου κατήχησιν· ἀλλὰ φυτεύσας ἑαυτοῦ τὸν κόκκον ἐν τῷ ἰδίῳ αὐτοῦ κήπῳ, κλάδους ἐποίησε, τὰς πολλάς φημι καὶ καλὰς διδασκαλίας, καὶ ἐπιστολάς, ἐν αἷς κατεσκήνουν οὐ μόνοι οἱ τότε ὑψηλοὶ καὶ σοφοὶ κατὰ νοῦν, καὶ σοφίαν, οἷοι οἱ κορίνθιοι, ὁ διονύσιος, ὁ ἱερόθεος, καὶ ἄλλοι πλεῖστοι, ἀλλὰ καὶ οἱ καθ᾽ ἑκάστους καιρούς· δύναται κόκκος σινάπεως νοηθῆναι καὶ αὐτὸς ὁ κύριος εὐτελὴς μὲν τὸ φαινόμενον, τέκτονος γὰρ υἱὸς, καὶ πενέ-

Ματ. ιγʹ. στατος, πεσὼν δὲ ἐν τῇ καρδίᾳ τῆς γῆς διὰ τοῦ νεκρωθῆναι, καὶ ἐν τῷ κήπῳ ταφεὶς

Μάρ. ςʹ. κλάδους ὡραίους τοὺς ἀποστόλους ἐποίησεν, οἷς ἐπαναπαύονται πάντες οἱ πρώην περιφερόμενοι παντὶ πνεύματι τῆς πλάνης, οἷον οἱ ἐξ ἐθνῶν πετεινοῖς παραβαλλόμενοι διὰ τὸ τοῦ λογισμοῦ εὐπεριάγωγον καὶ εὐεξαπάτητον, καὶ πολλῆς γέμον κουφότητος· τοιοῦτοι γὰρ πάντες οἱ πλανώμενοι, πετεινοῖς τοῦ οὐρανοῦ, τουτέστι τοῦ ἀέρος ἐοικότες· πάλιν ἔοικε ζύμῃ ὁ θεῖος λόγος, ἣν λαβοῦσα γυνὴ, τουτέστιν ἡ ἀνθρωπεία φύσις, ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, τουτέστιν, εἰς σῶμα, ψυχὴν, πνεῦμα, ὥστε ἁγιασθῆ-

αʹ Θεσ. εʹ. ναι ταῦτα, καθά φησιν ὁ Μακάριος Παῦλος, καὶ γενέσθαι ἓν φύραμα τῇ πρὸς τὸ ἅγιον πνεῦμα κοινωνίᾳ· νοήσαις δ᾽ ἂν γυναῖκα τὴν ψυχὴν, σάτα δὲ τρία, τὸ τριμερὲς αὐτῆς, λογικὸν, θυμικὸν, καὶ ἐπιθυμητικόν· εἰ οὖν τις ἐν τῷ τριμερεῖ τούτῳ κατακρύψῃ τὸν λόγον τοῦ θεοῦ, ποιήσει ὅλον ἑαυτὸν πνευματικὸν, ὥστε μήτε τὸ λογιστικὸν ἐν τοῖς δόγμασι σφάλλεσθαι, μήτε θυμὸν καὶ ἐπιθυμίαν ἀλόγιστα φέρεσθαι, ἀλλὰ ζυμωθῆναι, καὶ ἐξομοιωθῆναι τῷ λόγῳ τοῦ θεοῦ· διεπορεύετο δὲ ὁ Ἰησοῦς κατὰ πόλεις, καὶ κώμας διδάσκων, οὔτε γὰρ τῶν μικρῶν μὲν ἐπέβαινεν, οἷαι αἱ κῶμαι, τῶν δὲ πόλεων ἠμέλει, ὅπερ ποιοῦσιν οἱ τοὺς ἀφελεστέρους ἐξαπατᾶν βουλόμενοι, οὔτε τῶν πόλεων ἐπιβαίνων ὡς φιλενδείκτης, καὶ φίλος δόξης, τῶν μικρῶν ἠμέλει, ἀλλ᾽ ὡς κοινὸς δεσπότης, μᾶλλον δὲ πατὴρ πάντων προνοούμενος πανταχοῦ περιῄει· ἆρ᾽ οὖν τὰς μὲν ἔξω πόλεις περιήρχετο, ἐν αἷς οὐ τοσοῦτοι ἦσαν νομομαθεῖς, τὴν δὲ Ἱερουσαλὴμ ἀπεδίδρασκεν, ἅτε δεδιὼς τοὺς παρὰ τῶν νομομαθῶν ἐλέγχους, ἢ τὸν ἐκ τούτων θάνατον ὑφορώμενος; οὐκ ἔστιν εἰπεῖν, ἀλλὰ καὶ πορείαν, φησὶ, ποιούμενος εἰς Ἱερουσαλὴμ, ἔνθα γὰρ πλείους οἱ νοσοῦντες, ἐκεῖσε μᾶλλον εἰσωθεῖτο ὁ ἰατρός·

» Εἶπε δέ τις αὐτῷ. κύριε, εἰ ὀλίγοι οἱ σωζόμενοι· ὁ δὲ εἶπε πρὸς αὐτούς. ἀγωνίζεσθε
» εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, ὅτι πολλοὶ λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ
» ἰσχύσουσιν· ἀφ᾽ οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑ-
» στάναι, καὶ κρούειν τὴν θύραν λέγοντες. κύριε, κύριε ἄνοιξον ἡμῖν· καὶ ἀποκριθεὶς ἐρεῖ
» ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· τότε ἄρξεσθε λέγειν. ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐ-
» πίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν, ἐδίδαξας. καὶ ἐρεῖ, λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς
» πόθεν ἐστὲ, ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας, ἐκεῖ ἔσται ὁ κλαυθμὸς,
» καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ὄψησθε Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ, καὶ πάν-
» τας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω· καὶ ἥξου-
» σιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀπὸ βορρᾶ καὶ νότου, καὶ ἀνακλιθήσονται ἐν τῇ

βασιλείᾳ τοῦ θεοῦ. καὶ ἰδού εἰσιν ἔσχατοι οἳ ἔσονται πρῶτοι, καί εἰσι πρῶτοι οἳ ἔσονται ἔσχατοι. Ὀλίγοι οἱ σωζόμενοι διὰ τὸ μὴ ἐγχωρεῖν πολλοὺς δέξασθαι τὴν στενήν. ἔστιν οὖν ὁ οἰκοδεσπότης ὁ κύριος, συγκαλεῖται δὲ πάντας ἀνθρώπους εἰς ἑστίασιν, καὶ ἀπόλαυσιν τῶν ἀδαπανήτων ἀγαθῶν. ὅσοι μὲν οὖν σπουδαῖοι ἄχρι καὶ τῆς τοῦ ἀρίστου ὥρας σπουδάζουσιν εἰσελθεῖν. ὅσοι δὲ νωθέστεροι, καὶ μετὰ τὴν τοῦ ἀρίστου ὥραν εὑρισκόμενοι, ἀποκλείονται. τίς δὲ ἡ ὥρα τοῦ ἀρίστου, ἢ ὁ παρὼν βίος; οὗτος γὰρ ὄντως ὁ καιρὸς ἄριστος εἰς τὴν πρὸς τὸ ἑστιαθῆναι πνευματικὴν ἑτοιμασίαν. ἀφ᾽ οὗ τοίνυν ἐγερθῇ ὁ οἰκοδεσπότης, τουτέστιν εἰς κρίσιν ἐξαναστῇ, καὶ ἀποκλείσῃ τὴν θύραν, τὴν τῆς ἀρετῆς φημὶ ὁδὸν, ἥτις μετὰ τὴν ἐντεῦθεν ἀποβίωσιν οὐχ ὁδεύεται, ἐν τῷ βίῳ γὰρ οὔσιν ἡμῖν ὁδεύεται ἡ τῆς ἀρετῆς ὁδός. ἄρχονται μὲν οἱ ἀμελέστερον ἐνταῦθα ζήσαντες κρούειν τὴν θύραν. τότε γὰρ δὴ τότε διὰ τῆς ἀνοήτου μετανοίας, τὴν τῆς ἀρετῆς ὁδὸν ἀναζητοῦσι λόγοις ψιλοῖς, οἷον τισι κρότοις, καὶ κτύποις ἀνακαλούμενοι ταύτην, τῶν ἔργων ἀπόντων. ὁ δὲ οἰκοδεσπότης ἤδη δικαίως ἀποκλείσας, προσποιεῖται μὴ δὲ εἰδέναι πόθεν εἰσίν. εἰκότως, εἰσὶ μὲν γὰρ ἐκ τοῦ διαβόλου, ὁ δὲ κύριος τοὺς ὄντας αὐτοῦ γινώσκει. τὸ δὲ ἐφάγομεν καὶ ἐπίομεν ἐνώπιόν σου, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας, καὶ ἁπλῶς μὲν οὕτως πρὸς τοὺς ἐξ Ἰσραὴλ λέγεται. καὶ γὰρ ἐξ αὐτῶν ὁ χριστὸς κατὰ σάρκα, καὶ αὐτοῖς συνήσθιε, καὶ συνέπινε. πλὴν ἀλλὰ καὶ ὑψηλότερον δύναται νοηθῆναι. τὸ ἐνώπιόν σου ἐφάγομεν καὶ ἐπίομεν. τὴν γὰρ νομικὴν τελοῦντες λατρείαν, καὶ προσκομίζοντες τῷ θεῷ τὰς δι᾽ αἵματος θυσίας, ἤσθιον καὶ ηὐφραίνοντο, ἠκροῶντο δὲ καὶ τῶν θείων βίβλων ἐν ταῖς συναγωγαῖς. πάντως γὰρ ὁ κύριος καὶ διὰ τῶν προφητῶν ἐδίδασκεν, οὐ γὰρ τὰ ἑαυτῶν οἱ προφῆται προετίθεσαν, ἀλλὰ τὰ τοῦ θεοῦ ὑπηγόρευον, διὸ καὶ ἔλεγον, τάδε λέγει κύριος. οὐκ οὖν ἤρκεσε τοῖς Ἰουδαίοις εἰς δικαίωσιν ἡ δι᾽ αἱμάτων λατρεία. μὴ προσηκαμένοις τὴν πίστιν τὴν δικαιοῦσαν τὸν ἀσεβῆ. καὶ τοῖς κατ᾽ ἐμὲ δὲ χριστιανοῖς μὲν, ἀμελέσι δὲ τὴν ζωὴν, ἁρμόσειεν ἂν ταῦτα. ἢ οὐχὶ καὶ ἡμεῖς τρώγομεν τὸ θεῖον σῶμα; καὶ πίνομεν τὸ αἷμα τοῦ θεοῦ ἐνώπιον αὐτοῦ καθεκάστην τῇ μυστικῇ τραπέζῃ προσιόντες; καὶ διδάσκει ἐν ταῖς πλατείαις ψυχαῖς ἡμῶν ὁ κύριος; ἀλλ᾽ οὐδὲν ὄφελος, εἰ ἀκροαταὶ τοῦ θείου νόμου γινόμεθα, καὶ οὐ ποιηταί. τοὐναντίον μὲν οὖν μᾶλλον εἰς μειζόνων βασάνων ὑπόθεσιν ἡμῖν ἡ ἀκρόασις, ὥσπερ καὶ ἡ τῶν θείων ἁγιασμάτων μετάληψις εἰς κρίμα καθίσταται. παρατήρησον δὲ ὅτι ἀπόβλητοί εἰσιν ἐκεῖνοι, ὧν ἐν ταῖς πλατείαις, διδάσκει ὁ κύριος. ὡς ἐάν γε διδάσκοντα αὐτὸν ἔχωμεν οὐκ ἐν πλατείαις, ἀλλ᾽ ἐν στεναῖς καὶ τεθλιμμέναις καὶ κατανενυγμέναις καρδίαις, οὐκ ἀπόβλητοι ἐσόμεθα. τὸ δὲ ἐκεῖ ἔσται ὁ κλαυθμὸς, ὅταν ὄψησθε Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ἁρμόζει μὲν καὶ τοῖς Ἰσραηλίταις, πρὸς οὓς ταῦτα διελέγετο, καὶ ἔτι τοῖς κατὰ καιροὺς ἀπίστοις. οἱ γὰρ Ἰουδαῖοι τούτῳ μάλιστα ἐδάκνοντο τῷ ἀκούειν, ὅτι ἄλλοι μὲν οἱ ἐξ ἐθνῶν ἀναπαύσονται μετὰ Ἀβραὰμ, καὶ τῶν πατέρων, αὐτοὶ δὲ ἐξωσθήσονται. ἁρμόζει δὲ καὶ ἡμῖν τοῖς μὴ ἀκόλουθα τῇ πίστει πράττουσι. καὶ ἡμεῖς γὰρ ἐν τῷ νόμῳ τοῦ χριστοῦ καυχώμενοι, εἶτα διὰ τῆς παραβάσεως τούτου ἀθετοῦντες αὐτὸν, πρῶτοι μὲν τῷ δοκεῖν ἐσμὲν, ὡς κατηχηθέντες ἐκ σπαργάνων αὐτῶν τὸν λόγον καὶ τὸν χριστὸν φορέσαντες, ἔσχατοι δὲ ἐσόμεθα ἐθνικῶν τυχὸν προτιμηθέντων, τῶν πρὸς τῷ τέλει τοῦ βίου πιστευσάντων, καὶ ἀρεστῶς τῷ θεῷ διαγαγόντων τὸν ὀλίγον τῆς ζωῆς χρόνον.

Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν τινες φαρισαῖοι λέγοντες αὐτῷ, ἔξελθε, καὶ πορεύου ἐντεῦθεν, ὅτι Ἡρώδης θέλει σε ἀποκτεῖναι. καὶ εἶπεν αὐτοῖς. πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ, ἰδοὺ ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ

Ἀριθ. ιϛ΄. β΄. Προς Θιμό. β.

» τῇ τρίτῃ τελειοῦμαι, πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι
» οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ. φθόνῳ διατηκόμενοι οἱ κατάρατοι φαρισαῖοι ἐκφοβεῖν πειρῶνται τὸν κύριον, καὶ τὸν Ἡρώδην ἐπαπειλοῦσιν αὐτῷ. οὐ γὰρ ἤθελον αὐτὸν ὁρᾶν θαυματουργοῦντα, ἵνα μὴ τῷ πλήθει τῶν σημείων ἐφέλκηται τοὺς ὄχλους, καὶ τῇ τοῦ λόγου δυνάμει διδάσκων ἐπιστρέφῃ πρὸς ἑαυτόν. προφασίζονται οὖν τὸν Ἡρώδην, καὶ κήδεσθαι τοῦ σωτῆρος σχηματίζονται. ἐκεῖνος δὲ εἰδὼς τὰς καρδίας αὐτῶν πράως τε καὶ συνεσκιασμένως, ὡς ἔθος αὐτῷ, ἀποκρίνεται αὐτοῖς. καί φησιν, εἴπατε τῇ ἀλώπεκι ταύτῃ. καὶ δοκεῖ μὲν ἀλώπεκα τὸν Ἡρώδην ὀνομάζειν, τοὺς φαρισαίους δὲ μᾶλλον, εἴ τις ἀκριβῶς σκοποίη. οὐ γὰρ εἶπε τῇ ἀλώπεκι ἐκείνῃ ἀλλὰ ταύτῃ, μέσῃ τινὶ χρώμενος φωνῇ, καί γε εὐφυῶς. διὰ μὲν γὰρ τοῦ ἐν κοινῶς εἰπεῖν ἀλώπεκι, τὸν Ἡρώδην δέδωκεν ἐκείνοις ὑπολαβεῖν, διὰ δὲ τοῦ δεικτικῶς φάναι ταύτῃ, αὐτοὺς ἐκείνους τοὺς δολεροὺς ᾐνίξατο. τῷ ὄντι γὰρ τὸ τῆς ἀλώπεκος πανοῦργον, καὶ δύστροπον οἱ φαρισαῖοι ἐπεδείκνυντο. ὅρα δέ μοι πῶς πρὸς τὴν κακουργίαν αὐτῶν ἀποκρίνεται αὐτοῖς. ἐπεὶ γὰρ ἐκεῖνοι διὰ τὰς ἰάσεις φθονοῦντες τὸν ἐκ τοῦ Ἡρώδου φόβον αὐτῷ ἐπέσειον, αὐτὸς, ὅπερ ἠπίστατο λυπεῖν ἐκείνους, τοῦτο λέγει. ἰδοὺ γάρ, φησιν, ἐπιτελῶ ἰάσεις, καὶ δαιμόνια ἐκβάλλω. ὡς γὰρ προείρηται, διὰ τοῦτο ἐδίωκον αὐτὸν, ἵνα μὴ τῇ τῶν παραδόξων ἐπιδείξει χρώμενος σαγηνεύῃ πολλοὺς εἰς τὸ πιστεύειν αὐτῷ. τὸ δὲ σήμερον, καὶ αὔριον πλείονας ἡμέρας δηλοῖ. ὥσπερ οὖν καὶ ἡμεῖς εἰώθαμεν ἐν τῇ συνήθει ὁμιλίᾳ λέγειν, σήμερον, καὶ αὔριον γίνεται τόδε, οὐ πάντως τοσούτῳ διαστήματι τὸ ἔργον περικλείοντες, ἀλλὰ τὸ ταχέως γενήσεσθαι δηλοῦντες. οὕτως οὖν καὶ ὁ χριστὸς εἰπὼν, ὅτι ἰάσεις ἐπιτελῶ σήμερον, καὶ αὔριον, καὶ τῇ τρίτῃ ἡμέρᾳ τελειοῦμαι, οὐ πάντως τοῦτο ἐδήλωσε. τὸ ἐν τῇ τρίτῃ ἡμέρᾳ ἀναγκαίως τελειωθῆναι, ἀλλὰ τὸ συντόμως τὸν θάνατον αὐτοῦ γενήσεσθαι δηλοῖ. πλὴν δεῖ με σήμερον καὶ αὔριον, τουτέστι, χρόνον τινὰ προσμεῖναι ἐνταῦθα θαυματουργοῦντα, καὶ τῇ ἐχομένῃ πορεύεσθαι εἰς Ἱερουσαλήμ, ἐκεῖσε γὰρ ἀφώρισα ἐμαυτῷ τὸ πάθος. ἐπειδὴ γὰρ ἐκεῖνοι ἔλεγον αὐτῷ, ἔξελθε, ὅτι Ἡρώδης μέλλει σε φονεύειν, ἐν τῇ γαλιλαίᾳ δὲ ταῦτα ἔλεγον, ἐκείνης γὰρ Ἡρώδης ἦρχε, δείκνυσιν αὐτοῖς, ὅτι καὶ πολλὰ βουλευομένῳ Ἡρώδῃ οὐκ ἔσται αὐτὸν ἀνελεῖν, οὐ γὰρ ἐν Γαλιλαίᾳ. ἀλλ᾽ ἐν Ἱερουσαλὴμ προώρισται αὐτῷ παθεῖν. ἵνα δέ σοι καὶ τὸ ῥητὸν τοῦ εὐαγγελίου σαφέστερον ἐκθῶμαι, μὴ νοήσῃς ὅτι δεῖ με σήμερον καὶ αὔριον πορεύεσθαι, ἀλλὰ στῆθι ἄχρι τοῦ σήμερον, καὶ αὔριον. καὶ οὕτως εἰπὲ τὸ, τῇ ἐχομένῃ πορεύεσθαι. οἷον πολλάκις ἀριθμοῦντες εἰώθαμεν λέγειν, ἐγὼ κυριακῇ δευτέρᾳ καὶ τρίτῃ ἐξέρχομαι, οὐχ ὡς μέλλων καὶ ἐν τῇ κυριακῇ, καὶ ἐν τῇ δευτέρᾳ ἐξελθεῖν, ἀλλ᾽ ἀπαριθμούμενος μόνον τὰς δύο ἵνα δηλώσω τὴν τρίτην. οὕτως οὖν καὶ ὁ κύριος ἐνταῦθα ὥσπερ ἀπαριθμούμενός φησι, δεῖ με σήμερον καὶ αὔριον, εἶτα τῇ τρίτῃ πορεύεσθαι εἰς Ἱερουσαλήμ, ἐκεῖσε γάρ μοι τὸ τέλος ἀφώρισται. καθάπερ δὲ ἀνωτέρω ἐξείπομεν οὐχ ὡς ἐν τρισὶν ἡμέραις περικλείων τὴν ἑαυτοῦ ζωὴν ὁ κύριος, ταῦτά φησιν, ἀλλὰ πλείονας μὲν ἡμέρας, πλὴν οὐ πάνυ μακρόν τινα χρόνον ὑποσημαίνει. ὡσανεὶ γὰρ τοιαῦτά φησι πρὸς τοὺς αὐτῷ διαφθονουμένους, τί τὸν ἐμὸν μελετᾶτε θάνατον; ἰδοὺ μετ᾽ ὀλίγον τοῦτο γίνεται. ὅταν δὲ ἀκούσῃς ὅτι οὐκ ἐνδέχεται ἔξω Ἱερουσαλὴμ ἀπολέσθαι προφήτην, μὴ νόμιζε βίαν ἀναγκαστικὴν Ἰουδαίοις ἐπάγεσθαι εἰς τὸ τοιαῦτα δρᾶν, ἐκ τοῦ τὰ τοιαῦτα γράφειν, ἀλλὰ τῇ μιαιφόνῳ αὐτῶν προαιρέσει ἀκολούθως λέγεσθαι τοῦτο. ὥσπερ ἂν εἰ λῃστὴν ὁρῶν μιαιφονώτατον ὁδοστατοῦντα εἴποι τις οὐκ ἐνδέχεται τὴν ὁδὸν ταύτην, ἐν ᾗ ὁ λῃστὴς τοὺς ὁδεύοντας ἐνεδρεύει, καθαρὰν αἱμάτων εἶναι. πάντως γὰρ τοῖς ἔργοις τοῦ λῃστοῦ τὸ ἀκόλουθόν φησιν. οὕτως οὖν

κὴν τῇ Ἱερουσαλὴμ ληστῶν ἐγκαθημένων τῶν φαρισαίων καὶ γραμματέων οὐκ ἐνεδέχετο ἐν ἄλλῳ χωρίῳ, ἢ πάντως ἐν τῷ τῶν ληστῶν ἀπολέσθαι τὸν τῶν προφητῶν δεσπότην. ἐνεθισθέντες γὰρ τοῖς αἵμασι τῶν δούλων καὶ τὸν κύριον ἀποκτενοῦσι.

» Ἱερουσαλὴμ, Ἱερουσαλὴμ ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀ-
» πεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον
» ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. ἰδοὺ ἀφίεται ὑμῖν
» ὁ οἶκος ὑμῶν ἔρημος. ἀμὴν λέγω ὑμῖν, οὐ μή με ἴδητε ἤδη, ἄχρις ἂν εἴπητε, εὐλογη-
» μένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Τῷ διπλασιασμῷ τοῦ ὀνόματος δείκνυσι τὴν

στοργὴν, ἣν ἔχει περὶ αὐτοὺς ὁ κύριος. ὥσπερ γάρ τις ἐραστὴς παρὰ τῆς ἐρωμένης καταφρονούμενος, οὕτως ἀνακαλεῖται τὴν μοιχαλίδα συναγωγήν. δείκνυσι δὲ καὶ τὴν οἰκείαν φιλανθρωπίαν, ὅτι πολλάκις ἠθέλησεν ἐπισυναγαγεῖν αὐτοὺς, καὶ τὴν ἐκείνων ἀπόνοιαν σημαίνει ἐν τῷ εἰπεῖν, ὅτι οὐκ ἠθελήσατε; ἀφίημι λοιπὸν ὑμᾶς. τοσοῦτον γὰρ ἐμίσησα τὴν πονηρίαν ὑμῶν, ὥστε οὐδὲ τὸν ναὸν, λέγω οἶκόν μου εἶναι, ἀλλ' οἶκον ὑμῶν. ἄχρι γὰρ ἐνεπολιτεύετο ὑμῖν ἡ ἀρετὴ, καὶ ὁ ναὸς ἐμὸς ἦν. ἐπεὶ δὲ καὶ αὐτὸν ἐμιάνατε, καὶ ἐμπόριον, καὶ σπήλαιον ληστῶν πεποιήκατε ταῖς πολλαῖς καπηλείαις, καὶ τῷ φιλοχρηματῷ τῆς γνώμης ἀλλήλοις ἀποκτιννύοντες. τοῦτο γάρ ἐστιν ἡ πραγματεία τῆς ληστείας ὑποσκελίζουσα τὸν ἀδελφὸν, καὶ ἁρπάζουσα τὰ αὐτοῦ. ὃ καὶ οἱ λησταὶ ποιοῦσι, συμποδίζοντες γὰρ τοὺς ὁδίτας οὕτως ἤδη τὰ αὐτῶν ἀφαιροῦνται. ἐπεὶ οὖν τὸν ναὸν σπήλαιον ληστῶν πεποιήκατε διὰ τὸ τῶν πραγματειῶν εἶδος, ἃ ἐν αὐτῷ τῷ τῆς προσευχῆς οἴκῳ ἐποιεῖτε, οὐκέτι ἐμός ἐστιν οἶκος, ἀλλ' ὑμῶν. οὐ μόνον δὲ τὸν ναὸν νοήσεις οἶκον, ἀλλὰ καὶ τὴν ἅπασαν γενεὰν τῶν Ἰουδαίων, οἶδε γὰρ ἡ γραφὴ καὶ τὸ γένος οἶκον ὀνομάζειν. ὡς τὸ, οἶκος λευὶ εὐλογήσατε τὸν κύριον. κἀνταῦθα οὖν δύναται νοηθῆναι τὸ, οἶκος ἀντὶ τοῦ τὸ γένος ὑμῶν ἀφίεται παρ' ἐμοῦ. ὡς καὶ διὰ τοῦ προφήτου ἀλλαχοῦ φησιν ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου. οἶκον γὰρ ἐκεῖ τοὺς Ἰσραηλίτας φησί. δείκνυσι δὲ, ὅτι καὶ πρὸ τούτου αὐτὸς ἦν ὁ συνέχων αὐτοὺς, καὶ τῶν ἐχθρῶν ῥυόμενος. τὸ δὲ οὐ μή με ἴδητε ἄχρις ἂν εἴπητε εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. τὴν δευτέραν σημαίνει παρουσίαν. τότε γὰρ καὶ ἄκοντες ὁμολογήσουσιν αὐτὸν σωτῆρα καὶ κύριον, ὅτε αὐτοῖς οὐδὲν ὄφελος. τί οὖν, οὐκ εἶδον αὐτὸν ἀφ' οὗ ταῦτα εἶπε. καὶ μάλα. ὅταν οὖν λέγῃ ὅτι οὐ μή με ἴδητε ἀπὸ τοῦ νῦν, οὐχὶ τὴν τότε ὥραν σημαίνει, ἀλλὰ τὸν μετὰ τὸν σταυρὸν χρόνον. ὥσπερ ἂν εἰ εἶπεν, ἀφ' οὗ με σταυρώσετε, οὐκέτι οὐ μή με ἴδητε, ἄχρις ἂν πάλιν ἔλθω.

ψαλ. ρλδ'

Ἱερε. ιβ'.

Κεφάλαιον τεσσαρεσκαιδέκατον.

» Καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν φαρισαίων σαβ-
» βάτῳ, φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν. καὶ ἰδοὺ ἄνθρωπός τις
» ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς φαρισαίους καὶ
» νομικοὺς, λέγων. εἰ ἔξεστι θεραπεύειν ἐν σαββάτῳ. οἱ δὲ ἡσύχασαν, καὶ ἐπιλαβόμενος
» ἰάσατο αὐτὸν, καὶ ἀπέλυσε. καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε, τίνος ὑμῶν υἱὸς ἢ βοῦς — ὄνος
» εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου;
» καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα. Εἰ καὶ ἐγίνωσκε τὸ δύστροπον

τῶν φαρισαίων ὁ κύριος, ὅμως εἰσίει εἰς τοὺς οἴκους αὐτῶν. ὠφελείας γὰρ ψυχῶν ἐφρόντιζε, καὶ διὰ τοῦτο εἰσήρχετο. ἢ γὰρ ἐκ λόγου, καὶ διδασκαλίας, ἢ ἐκ σημείων ἐπιδείξεως δυνατὸν ἦν αὐτοὺς ὠφελεῖσθαι, εἴγε ἠβούλοντο. παρελθόντος οὖν εἰς μέσον τοῦ ὑδρωπικοῦ, ὁ κύριος οὐ τοῦτο ἐσκόπησεν, ὅπως μὴ σκανδαλίσῃ αὐτοὺς, ἀλλ' ὅπως εὐεργετήσῃ τὸν θεραπείας δεόμενον. δεῖ γὰρ ἡμᾶς, ἔνθα ὠφέλεια ἀνακύπτει μάλα πολ

λῆ, μὴ φροντίζειν τῶν ἀνοήτως σκανδαλιζομένων. ἐλέγχει δὲ τὴν ἀφροσύνην τῶν ἐγκαλεῖν μελλόντων αὐτῷ, διὸ καὶ ἐρωτᾷ εἰ ἔξεστι τῷ σαββάτῳ θεραπεύειν, ἢ οὔ. ἆρα γὰρ οὐ προφανῶς καταγελᾷ αὐτῶν ὡς ἀνοήτων; εἴγε τοῦ θεοῦ τὸ σάββατον εὐλογήσαντος, αὐτοὶ κωλύουσιν ἀγαθοποιεῖν ἐν τούτῳ, καὶ ποιοῦσιν αὐτὸ πάντως ἐπικατάρατον; ἡ γὰρ ἡμέρα ἡ μηδὲν ἔργον ἀγαθὸν ἐπιδεχομένη, οὐκ εὐλογημένη. ἀλλ' οὗτοί γε γνόντες ὅποι φέρει τὸ ἐρώτημα, ἡσύχασαν. τότε δὴ ὁ Ἰησοῦς τὸ οἰκεῖον ποιεῖ, καὶ διὰ τῆς ἀφῆς ἰᾶται τὸν ἄνθρωπον. εἶτα καὶ τοὺς φαρισαίους ἐντρέπει διὰ τούτου, μονονουχὶ τοιαῦτα λέγων αὐτοῖς. εἰ κεκώλυκεν ὁ νόμος ἐλεεῖν ἐν σαββάτῳ, μὴ φροντίσῃς υἱοῦ κινδυνεύοντος ἐν σαββάτῳ. καὶ τί λέγω υἱοῦ, ὅπου οὐδὲ βοῦν ἀβοήθητον καταλείψαις εἰ κινδυνεύοντα ὄψει; πῶς οὖν οὐκ ἀνόητον παρατηρεῖσθαι τὴν τοῦ ὑδρωπικοῦ θεραπείαν ἐν σαββάτῳ; ὑδρωπικός ἐστι καὶ πᾶς ὁ διὰ τοῦ ἀνειμένου βίου, καὶ ὑγροῦ κατὰ ψυχὴν νοσήσας δεινῶς, δεῖται Χριστοῦ. οὐκοῦν καὶ θεραπευθήσεται, εἰ ἔμπροσθεν Χριστοῦ γένηται. ὁ γὰρ ἔμπροσθεν θεοῦ εἶναι ἐννοῶν ἀεί, καὶ παρ' αὐτοῦ ὁρᾶσθαι, ἐλάχιστα ἁμαρτήσεται.

» Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολὴν ἐπέχων, πῶς τὰς πρωτοκλισίας ἐξε-
» λέγοντο, λέγων πρὸς αὐτούς. ὅταν κληθῇς ὑπό τινος εἰς γάμον, μὴ κατακλιθῇς εἰς τὴν
» πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ, καὶ ἐλθὼν ὁ σὲ καὶ αὐ-
» τὸν καλέσας, ἐρεῖ σοι, δὸς τούτῳ τόπον, καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον
» κατέχειν. ἀλλ' ὅταν κληθῇς πορευθεὶς ἀνάπεσον εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ
» κεκληκώς σε, εἴπῃ σοι, φίλε. προσανάβηθι ἀνώτερον. τότε ἔσται σοι δόξα ἐνώπιον τῶν
» συνανακειμένων σοι, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν
» ὑψωθήσεται.

Ὁρᾷς τὰ δεῖπνα τοῦ Χριστοῦ ποῖά τινά εἰσιν, εἰς ὠφέλειαν ψυχῶν, οὐκ εἰς κόρον γαστρὸς κατασρέφοντα; ἴδε γάρ, ἰασάμενος τὸν ὑδρωπικόν, ἐδίδαξε τοὺς φαρισαίους, ὅτι καλὸν τὸ ἐν σαββάτῳ εὐεργετεῖν. ἐπεὶ δὲ εἶδεν αὐτοὺς καὶ περὶ τῆς πρωτοκλισίας θορυβουμένους, ἰᾶται καὶ τοῦτο τὸ πάθος οὐκ ἀπὸ σμικρᾶς ἀρχόμενον προφάσεως, ἀλλ' ἀπὸ μεγάλης, καὶ δυσδιαφύκτου τῆς κενοδοξίας φημί. καὶ μήτις νομιζέτω τὴν περὶ τούτου διδασκαλίαν μικρὰν εἶναι, καὶ ἀναξίαν τῆς τοῦ θεοῦ μεγαλοπρεπείας. μάλιστα μὲν γὰρ οὐδὲ ἰατρὸν φιλάνθρωπον εἴποις ἄν, τὸν ποδάγρας μὲν ἰᾶσθαι ἐπαγγελλόμενον, καὶ ὅσα τῶν νοσημάτων ἀξιόλογα, δακτύλου δὲ σύντριμμα, ἢ ὀδόντος ἄλγος μὴ δεχόμενον θεραπεύειν. ἔπειτα πῶς μικρὸν τὸ τῆς κενοδοξίας πάθος, ὃ ἠνώχλει πάντως τοῖς τὰς πρωτοκλισίας ζητοῦσιν; ἐχρῆν οὖν, ἐχρῆν τὸν τῆς ταπεινώσεως διδάσκαλον, καὶ ἀρχηγόν, καὶ τελειωτὴν Χριστὸν πάντα κλάδον τῆς πονηρᾶς ῥίζης τῆς κενοδοξίας ἐκτέμνειν. καὶ τοῦτο δέ μοι προσλογίζου. εἰ μὲν οὖν οὐκ ἦν καιρὸς τραπέζης, καὶ διελέγετο περὶ τούτων ὁ κύριος, ἀφεὶς τοὺς περὶ ἄλλων λόγους, εἶχεν ἂν λόγον ἡ μέμψις, νῦν δὲ δείπνου ὄντος, καὶ τοῦ τῆς φιλοπρωτείας πάθους πρὸ ὀφθαλμῶν τοῦ σωτῆρος ἐνοχλοῦντος τοῖς ἐλεγχθεῖσι, καιρὸν εἶχεν ἡ παραίνεσις. ἴδε γὰρ καὶ ἄλλως πόσου μώμου τὸν ἄνθρωπον ἀπαλλάττει, καὶ πῶς κόσμιον αὐτὸν ποιεῖ. πόσης γὰρ αἰσχύνης ἀνάμεστον, ὅταν τὸν μὴ πρέποντά σοι τόπον ζητήσαντα, εἶτα ἐλθόντος τοῦ ἐντιμοτέρου, ὁ καλέσας σε εἴπῃ, δὸς τούτῳ τόπον. καὶ τοῦτο πολλάκις. καὶ ὑποβαίνῃς μὲν αὐτός, ἐκεῖνοι δὲ προεδρεύωσι. πόσου δὲ ἐπαίνου ἄξιον τοὐναντίον, ὅταν ὁ τῆς πρώτης καθέδρας ἄξιος, ὑποβὰς ἐξ ἀρχῆς, εἶτα προεδρεύων εὑρεθῇ, πάντων ἐξισταμένων αὐτῷ τῶν πρωτείων. ἆρα μικρά σοι δοκεῖ ἡ τοιαύτη τοῦ κυρίου παραίνεσις, τὴν μεγίστην τῶν ἀρετῶν τὴν ταπείνωσιν ὑπογράφουσα, καὶ ταῖς τῶν ἀκροωμένων ψυχαῖς ἐγκαθιστῶσα, καὶ πρὸς τὸ εὔσχημον ἄγουσα, τούς γε αὐτῆς ἀκούοντας;

ἀκούονται; ὅπερ οὖν καὶ ὁ Χριστοῦ μαθητὴς Παῦλος ὕστερον εἶπε, πάντα εὐσχημόνως α. πρὸς κο-
καὶ κατὰ τάξιν, φησί, γινέσθω· πῶς οὖν τοῦτο γενήσεται; μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ριν. ιδ'.
ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος· ὁρᾷς τὸν μαθητὴν τὰ αὐτὰ τῷ διδασκάλῳ φθεγγό- α. πρὸς κο-
μενον; τὸ δὲ πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται πῶς νοήσομεν; καὶ γὰρ πολλοὶ ἐν ριν. ι'.
τῷ βίῳ τούτῳ ὑψοῦντες ἑαυτούς, τιμῆς ἀπολαύουσι· τοῦτο μὲν οὖν ἐστὶ τὸ ταπεινοῦσθαι,
ὅταν τις ἀπολαύῃ πλείονος τιμῆς ἐν τῷ κόσμῳ, τότε γὰρ ἄθλιος καὶ ταπεινὸς πα-
ρὰ θεῷ. ἔπειτα δὲ οὐκ ἄχρι τέλους, οὐδὲ παρὰ πᾶσιν ὁ τοιοῦτος τιμᾶται, ἀλλ' ἐν
ὅσῳ τούτοις τιμᾶται, ἐκεῖνοι διασύρουσιν αὐτόν, ἢ καὶ αὐτοὶ οἱ τιμῶντες. ἀληθὴς οὖν
ἡ τῆς ἀληθείας ἀπόφασις· καὶ πᾶς ὁ ἀνάξιος ὕψους, σφετεριζόμενος τοῦτο, ταπει-
νωθήσεται, καὶ παρὰ τῷ θεῷ μέν, ὅτε ἡ τελευταία κρίσις, κἂν τῷ βίῳ δὲ τούτῳ πάν-
των μάλιστα· φύσει δὲ πᾶς ἄνθρωπος ἀνάξιος ὕψους· μηδεὶς οὖν ἐπαιρέσθω, ἵνα μὴ
ἐσχάτως ταπεινωθῇ·

Ἔλεγε δὲ τῷ κεκληκότι αὐτόν, ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους
σου μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλουσίους, μήπο-
τε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα. ἀλλ' ὅταν ποιῇς δοχήν,
κάλεσον πτωχούς, ἀναπήρους, χωλούς, τυφλούς, καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀν-
ταποδοῦναί σοι, ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων. ἀκούσας δέ
τις τῶν συνανακειμένων εἶπεν αὐτῷ. μακάριος ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ
τοῦ θεοῦ· Ἐκ δυοῖν μεροῖν συγκειμένου τοῦ δείπνου, τῶν τε καλούντων, καὶ τῶν κα-
λουμένων, τὸ μὲν τῶν καλουμένων μέρος ἔφθη διὰ παραινέσεως εἰς τὴν σωτήριον τα-
πεινοφροσύνην χειραγωγήσας, καὶ ὄψον αὐτοῖς ἀδαπάνητον παραθείς, λοιπὸν δὲ τὸν
καλέσαντα ἀντιφιλοτιμεῖται, καὶ διὰ παραινέσεως ἀνθεστιᾷ, ἀπάγων αὐτὸν τοῦ διά
τινα χάριν ἀνθρωπίνην τὰς ἑστιάσεις ποιεῖσθαι, καὶ τὴν παραυτίκα ἀντιμισθίαν ἐκ-
δέχεσθαι· οἱ γὰρ μικρόψυχοι φίλους καλοῦντες ἢ συγγενεῖς διὰ τὴν ἐν τῷ παρευθὺ
χάριν τοῦτο ποιοῦσι, κἂν μὴ τύχωσι δυσχεραίνουσιν· οἱ δὲ μεγαλόψυχοι τὸ μέλλον
ἀναμένοντες παρὰ τοῦ ὄντως πλουσίου, τὰς ἀμοιβὰς ἐκδέχονται· ταῦτα δὲ λέγων ὁ
κύριος, οὐ τῆς πρὸς τοὺς φίλους τιμῆς ἀπείργει ἡμᾶς, ἀλλὰ μὴ πιπράσκειν τὴν φι-
λοφροσύνην παιδεύει· ἀκούσας δέ τις ταῦτα. καὶ νομίσας, ὅτι ὁ θεὸς ἀντιφιλοτι-
μήσεται, καὶ ἀνθεστιάσει σωματικαῖς τραπέζαις τοὺς δικαίους, εἶπεν· ὅτι μακάριος
ὅστις φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ· οὐ γὰρ ἦν πνευματικός, ἵνα νοήσῃ τὰ
ὑπὲρ αἴσθησιν, ἀλλ' ἔτι ψυχικός, τουτέστιν, ἀνθρωπίνοις λογισμοῖς διοικούμενος· τοιοῦ-
τος γὰρ ὁ ψυχικὸς ὁ μηδὲν ὑπὲρ φύσιν πιστεύων, ἀλλὰ πάντα κατὰ φύσιν νοῶν. τρεῖς
γάρ εἰσι καταστάσεις, σαρκική, ψυχική, καὶ πνευματική· καὶ σαρκικὴ μέν ἐστιν, ὅταν
τις ἥδεσθαι βούληται, καὶ χαίρειν μετὰ τοῦ καὶ ἄλλους κακοποιεῖν, οἷόν ἐστι πάντων τὸ
τῶν πλεονεκτῶν φῦλον· ψυχικὴ δὲ κατάστασις, ὅταν τις μήτε βλάπτειν μήτε βλά-
πτεσθαι βούλοιτο, τοῦτο γὰρ τὸ κατὰ φύσιν ζῆν· ἐπεὶ καὶ ἡ φύσις αὐτὴ τοῦτο ἡμῖν
εἰσηγεῖται· πνευματικὴ δέ, ὅταν τις καὶ βλάπτεσθαι βούλοιτο διὰ τὸ καλόν, καὶ κα-
κουχεῖσθαι· ἔστιν οὖν ἡ μὲν πρώτη παρὰ φύσιν, ἡ δὲ μέση κατὰ φύσιν, ἡ δὲ τρίτη ὑπὲρ
φύσιν· πᾶς οὖν ἀνθρώπινα φρονῶν, καὶ μηδὲν τῶν ὑπὲρ φύσιν δυνάμενος νοῆσαι, ψυ-
χικὸς λέγεται, ὡς ψυχῇ καὶ πνεύματι διοικούμενος· ὅταν δέ τις πνεύματι ἄγηται,
καὶ οὐκέτι ζῇ αὐτός, ζῇ δὲ ἐν αὐτῷ Χριστός, οὗτός ἐστιν ὁ πνευματικός, ὁ τὴν φύσιν ὑ- Πρὸς Γαλ. β'
περαναβάς· ψυχικὸς οὖν ἦν ὁ νομίσας αἰσθητὰς ἔσεσθαι τὰς ἀμοιβὰς τοῖς ἁγίοις, οἷα
μηδὲν τῶν ὑπὲρ φύσιν δυνάμενος νοῆσαι·

Ὁ δὲ εἶπεν αὐτῷ, ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς, καὶ

» ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου, εἰπεῖν τοῖς κεκλημένοις, ἔρχεσθε, ὅτι
» ἤδη ἕτοιμά ἐστι πάντα· καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες· ὁ πρῶτος εἶ-
» πεν αὐτῷ, ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν, καὶ ἰδεῖν αὐτόν, ἐρωτῶ σε, ἔχε
» με παρῃτημένον· καὶ ἕτερος εἶπε, ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι
» αὐτά, ἐρωτῶ σε, ἔχε με παρῃτημένον· καὶ ἕτερος εἶπε, γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο
» οὐ δύναμαι ἐλθεῖν· Τοῦ συνανακειμένου εἰπόντος, ὅτι μακάριος ὃς φάγεται ἄ-
ριστον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ὁ κύριος διδάσκει αὐτὸν πλατύτερον, πῶς δεῖ νοεῖν ἡ-
μᾶς τὰς τοῦ θεοῦ ἑστιάσεις. καὶ δή φησι παραβολὴν τοιάνδε, ἄνθρωπον μὲν ὀνομά-
ζων τὸν φιλάνθρωπον αὐτοῦ πατέρα· ὁ γὰρ θεὸς ὅταν μὲν τὴν τιμωρητικὴν αὐτοῦ
Ωση· ιγ΄· δύναμιν αἰνίττηται, παρὰ τῇ γραφῇ πάνθηρ, καὶ πάρδαλις, καὶ ἄρκτος ὀνομάζε-
ται· ὅταν δὲ φιλανθρωπίαν τινὰ αἰνίττεσθαι μέλλῃ, ἄνθρωπος εἰσάγεται, ὥσπερ οὖν
καὶ νῦν· ἐπειδὴ περὶ τῆς φιλανθρωποτάτης οἰκονομίας διαλαμβάνει ἡ παραβολὴ
ἣν ἐνήργησεν ἐν ἡμῖν, κοινωνοὺς ἡμᾶς ποιήσας τῆς σαρκὸς τοῦ υἱοῦ αὐτοῦ, ἄνθρωπος
αὐτὸν ὠνόμασε· δεῖπνον δὲ μέγα ἐκάλεσε τὴν οἰκονομίαν ταύτην, δεῖπνον μέν, ἐπει-
δὴ ἐν ἐσχάτοις καιροῖς, καὶ οἷον ἐπὶ δυσμαῖς τοῦ αἰῶνος ἦλθεν ὁ κύριος· μέγας δὲ ὁ
α΄· πρὸς Τι- δεῖπνος οὗτος, ἐπειδὴ καὶ ὁμολογουμένως μέγα τὸ τῆς σωτηρίας ἡμῶν μυστήριον· καὶ
μοθ· γ΄. ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου· τίς ἐστιν οὗτος ὁ δοῦλος; ὁ τὴν μορ-
φὴν τοῦ δούλου ἀναλαβὼν ὁ υἱὸς τοῦ θεοῦ, ἄνθρωπος γενόμενος, καὶ ὡς ἄνθρωπος
ἀπεστάλθαι λεγόμενος· πρόσχες δὲ πῶς οὐκ εἶπε δοῦλον, ἀλλὰ μετὰ τοῦ ἄρθρου τὸν δοῦ-
λον, τὸν κυρίως, φησίν, αὐτῷ κατὰ τὸ ἀνθρώπινον εὐαρεστήσαντα, καὶ εὖ δουλεύσαντα·
οὐ μόνον γὰρ καθὸ υἱὸς καὶ θεὸς εὐάρεστος τῷ πατρί, ἀλλὰ καὶ καθὸ ἄνθρωπος, αὐ-
τὸς μόνος ἀναμαρτήτως πάσαις ταῖς τοῦ πατρὸς βουλαῖς, καὶ ἐντολαῖς ὑπηρετήσας,
καὶ πληρώσας πᾶσαν δικαιοσύνην, δουλεῦσαι λέγεται τῷ θεῷ καὶ πατρί, διὸ καὶ κυ-
ρίως δοῦλος τοῦ θεοῦ αὐτὸς ἂν λέγοιτο μόνος· τῇ ὥρᾳ δὲ τοῦ δείπνου ἀπεστάλη, τουτέ-
στιν, ἐν τῷ ὡρισμένῳ, καὶ ἐπιτηδείῳ καιρῷ· οὐδὲ γὰρ ἄλλος καιρὸς ἦν τῆς σωτηρίας
ἡμῶν ἐπιτηδειότερος, ἢ ἐκεῖνος ὁ κατὰ τὴν τοῦ αὐγούστου καίσαρος βασιλείαν, ὅτε
κορυφωθεῖσαν τὴν κακίαν ἔδει καθαιρεθῆναι· ὥσπερ γὰρ νόσημα ὕπουλον, καὶ κα-
κόηθες ἐῶσιν οἱ ἰατροὶ πάντα τὸν πονηρὸν χυμὸν ἐκρῆξαι, εἶθ' οὕτως τὰς φαρμακείας
ἐπάγουσιν, οὕτως καὶ τὴν ἁμαρτίαν ἔδει πάντα τὰ οἰκεῖα ἑαυτῆς εἴδη ἐπιδείξα-
σθαι, εἶτα τὸν μέγαν ἰατρὸν ἐπιθεῖναι τὸ φάρμακον· διὰ τοῦτο δὴ περιέμεινεν ὁ κύριος
τὸ μέτρον τῆς κακίας πληρῶσαι τὸν διάβολον, καὶ οὕτως σαρκωθεὶς πᾶν εἶδος κακίας
διὰ πάσης τῆς ἁγίας αὐτοῦ πολιτείας ἐξιάσατο· ἀπεστάλη οὖν ἐν ὥρᾳ, τουτέστι, τῷ
Ψαλ· μδ΄· ὡραίῳ καὶ ἐπιτηδείῳ καιρῷ, καθὰ καὶ Δαβὶδ λέγει· περίζωσαι τὴν ῥομφαίαν σου
ἐπὶ τὸν μηρόν σου τῇ ὡραιότητί σου· πάντως γὰρ ῥομφαία μὲν ὁ λόγος τοῦ θεοῦ, διὰ
τοῦ μηροῦ δὲ ἡ ἐν σαρκὶ γένεσις σημαίνεται, ἥτις τῇ ὡραιότητι ἐγένετο, τουτέστιν, ἐν τῷ
ἐπιτηδείῳ καιρῷ· ἀπεστάλη δὲ εἰπεῖν τοῖς κεκλημένοις· τίνες δὲ εἰσὶν οὗτοι οἱ κεκλημέ-
νοι; τάχα μὲν καὶ πάντες ἄνθρωποι, πάντας γὰρ ἐκάλεσεν ὁ θεὸς εἰς τὴν ἐπίγνω-
σιν αὐτοῦ, τοῦτο μὲν διὰ τῆς τῶν ὁρωμένων εὐταξίας, τοῦτο δὲ διὰ τοῦ φυσικοῦ νόμου·
τάχα δὲ οἰκειότερον οἱ ἐξ Ἰσραήλ, οἱ διὰ τοῦ νόμου καὶ τῶν προφητῶν ἐκλήθησαν· εἰς
τούτοις οὖν ἀπεστάλη προηγουμένως ὁ κύριος, εἰς τὰ πρόβατα οἴκου Ἰσραήλ· αὐτὸς
Ματθ. ιε΄· μὲν οὖν ἔλεγεν ἔρχεσθε ὅτι ἤδη ἕτοιμά ἐστι πάντα, ἐγγὺς γὰρ ἐστὶν τὴν βασιλείαν τῶν
Ματθ· γ΄· οὐρανῶν, ἅπασιν εὐηγγελίζετο ὁ κύριος, καὶ ἐντὸς ὑμῶν· οἱ δὲ ἤρξαντο ἀπὸ μιᾶς πα-
Μαρ· α΄. ραιτεῖσθαι, τουτέστιν, ὡς ἐξ ἑνὸς συνθήματος· πάντες γὰρ οἱ ἄρχοντες τῶν ἰουδαίων
Λουκ. ιζ΄· παραιτησάμενοι ἔχειν τὸν Ἰησοῦν βασιλέα, οὐδὲ τοῦ δείπνου ἠξιώθησαν. ὁ μὲν διὰ φιλο-
πλουτίαν,

πλουτίαν, ὁ δὲ διὰ φιληδονίαν. ὁ μὲν γὰρ τὸν ἀγρὸν ἀγοράσας, καὶ ὁ τὰ ζεύγη τῶν
βοῶν, φιλόπλουτοι ἂν νοηθεῖεν· ὁ δὲ τὴν γυναῖκα γήμας φιλήδονος. εἰ βούλει δέ μοι,
ἀγρὸν ἀγοράζει ὁ διὰ τὴν τοῦ κόσμου σοφίαν μὴ παραδεξάμενος τὸ μυστήριον. ἀγρὸς
μὲν γὰρ ὁ κόσμος, καὶ ἡ φύσις ἁπλῶς, ὁ δὲ τὴν φύσιν βλέπων, τὸ ὑπὲρ φύσιν οὐ πα-
ραδέχεται. ἰδὼν οὖν ὁ Φαρισαῖος τυχὸν τὸν ἀγρὸν, τουτέστι, πρὸς τοὺς τῆς φύσεως νό-
μοις ἀποβλέψας, οὐ παρεδέξατο τὸ τεκεῖν παρθένον θεὸν, ὡς ὑπὲρ φύσιν ὄν. ἀλλὰ
καὶ οἱ τῇ ἔξω σοφίᾳ ἐγκαυχώμενοι πάντες, διὰ τὸν ἀγρὸν τοῦτον, τουτέστι τὴν φύσιν,
ἠγνόησαν τὸν καινοτομήσαντα τὴν φύσιν Ἰησοῦν. ὁ δὲ ζεύγη βοῶν ἀγοράσας πέντε,
καὶ δοκιμάζων αὐτὰ, νοηθείη ἂν καὶ ὁ φιλόϋλος ἄνθρωπος, ὃς τὰς πέντε τῆς ψυ-
χῆς αἰσθήσεις ταῖς σωματικαῖς συνέζευξε, καὶ τὴν ψυχὴν σάρκα ἐποίησε. διὰ τοῦτο
οἷα δὴ περὶ γῆν ἐγκεχλιμένος, οὐ βούλεται τοῦ λογικοῦ δείπνου μεταλαβεῖν. φησὶ
γὰρ καὶ σοφὸς, τί σοφισθήσεται ὁ κρατῶν ἀρότρου; ὁ δὲ διὰ τὴν γυναῖκα ἐκπίπτων, Ἐκκλ. λή.
ὁ φιλήδονος εἴη ἂν, ὃς τῇ σαρκὶ τῇ συζύγῳ τῆς ψυχῆς προστετηκὼς, καὶ ἐν αὐτῇ ὢν,
ὡς κολληθεὶς αὐτῇ, θεῷ ἀρέσαι οὐ δύναται. νοήσαις δ᾽ ἂν ταῦτα πάντα καὶ κατὰ τὸ
ῥητόν. καὶ γὰρ ἐκπίπτομεν τοῦ θεοῦ καὶ δι᾽ ἀγροὺς, καὶ διὰ ζεύγη βοῶν, καὶ διὰ γά-
μους, προσκείμενοι μὲν τούτοις, καὶ τὸν ἅπαντα βίον εἰς ταῦτα δαπανῶντες, καί που
καὶ ἄχρις αἱμάτων διὰ ταῦτα ἐκτραχηλιζόμενοι, θεῖον δὲ μηδὲν ἢ νόημα ἢ ῥῆμα δια-
νοούμενοι, ἢ μετερχόμενοι.

» Καὶ παραγενόμενος ὁ δοῦλος, ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ, ταῦτα. τότε ὀργισθεὶς ὁ
» οἰκοδεσπότης, εἶπε τῷ δούλῳ αὐτοῦ, ἔξελθε ταχέως εἰς τὰς πλατείας, καὶ ῥύμας τῆς
» πόλεως, καὶ τοὺς πτωχοὺς, καὶ ἀναπήρους, καὶ χωλοὺς, καὶ τυφλοὺς εἰσάγαγε ὧδε. καὶ
» εἶπεν ὁ δοῦλος, κύριε γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. καὶ εἶπεν ὁ κύριος
» πρὸς τὸν δοῦλον, ἔξελθε εἰς τὰς ὁδοὺς, καὶ φραγμοὺς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γε-
» μισθῇ ὁ οἶκός μου. λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων
» γεύσεταί μου τοῦ δείπνου. Ἀπερρίφησαν μὲν οἱ ἄρχοντες τῶν Ἰουδαίων καὶ οὐδεὶς
ἐκ τούτων ἐπίστευσε τῷ Χριστῷ, ὡς καὶ αὐτοὶ ἐνεκαυχῶντο τῇ κακίᾳ. μὴ γάρ φησι, τῶν Ἰωάν. ζ΄.
ἀρχόντων τὶς ἐπίστευσεν εἰς αὐτόν. οὗτοι μὲν οὖν οἱ νομομαθεῖς, καὶ γραμματεῖς, ὥς- Ἠσα. ιθ΄.
φησιν ὁ προφήτης, μωρανθέντες ἐξέπεσον τῆς χάριτος, οἱ δὲ ἐκ τῶν Ἰουδαίων ἰδιῶται
χωλοὶ, καὶ τυφλοὶ, καὶ ἀνάπηροι ἀπεικαζόμενοι, τὰ μωρὰ τοῦ κόσμου, καὶ οἱ ἐξου-
δενωμένοι, οὗτοι ἐκλήθησαν. ὁ γὰρ ὄχλος ἐθαύμαζεν ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς Λουκ. δ΄.
ἐκπορευομένοις ἐκ τοῦ στόματος τοῦ Ἰησοῦ, καὶ ἔχαιρον τῇ διδασκαλίᾳ. μεθ᾽ ὃ δὲ εἰσῆλ-
θον οὗτοι οἱ ἐξ Ἰσραὴλ, ἡ ἐκλογὴ φημὶ, οὓς ὁ θεὸς προώρισεν εἰς δόξαν αὐτοῦ, οἳ ἦσαν
Πέτρος, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ αἱ λοιπαὶ μυριάδες τῶν πιστευσάντων, ἡ ἀγαθότης
τοῦ θεοῦ καὶ εἰς τὰ ἔθνη ὑπερεκχεῖται. οἱ γὰρ ἐν ταῖς ὁδοῖς, καὶ τοῖς φραγμοῖς, τὰ
ἔθνη νοηθεῖεν. οἱ μὲν Ἰσραηλῖται ἐντὸς ἦσαν τῆς πόλεως, ἅτε καὶ νομοθεσίαν δεξά-
μενοι, καὶ ἀστειοτέραν διαγωγὴν λαχόντες. τὰ δὲ ἔθνη ξένα τῶν διαθηκῶν ὄντα, καὶ
ἀπηλλοτριωμένοι τῆς νομοθεσίας τοῦ Χριστοῦ, καὶ μὴ συμπολῖται ὄντες τῶν ἁγίων
οὐκ ἐν μιᾷ ὁδῷ, ἀλλὰ πολλαῖς τῆς ἀνομίας καὶ ἀγροικίας διέτριβον, καὶ ἐν τοῖς
φραγμοῖς, ταῖς ἁμαρτίαις φημὶ, ἡ γὰρ ἁμαρτία μέγας φραγμὸς, καὶ μεσότοιχον
διϊστῶν ἡμᾶς ἀπὸ τοῦ θεοῦ. τὴν κτηνώδη οὖν τῶν ἐθνῶν διαγωγὴν, καὶ εἰς τὰς πολλὰς
δόξας μεμερισμένην αἰνίττεται διὰ τῶν ὁδῶν, τὴν δὲ ἐν ἁμαρτίαις αὐτῶν ζωὴν διὰ τῶν
φραγμῶν. οὐχ ἁπλῶς δὲ κελεύει τούτους καλέσαι, ἀλλὰ ἀναγκάσαι, καίτοι προαι-
ρετικὸν ἅπασι τὸ πιστεύειν. ἀλλ᾽ ἵνα μάθωμεν, ὅτι μεγάλης τοῦ θεοῦ δυνάμεως ση-
μεῖόν ἐστι τὸ πιστεῦσαι τὰ ἔθνη τοσαύτην ἀγνωσίαν ἔχοντα, διὰ τοῦτο εἶπεν ἀνάγκασον.

εἰ μὴ γὰρ ἦν πολλὴ τοῦ κηρυττομένου ἡ δύναμις, καὶ μεγάλη ἡ τοῦ λόγου ἀλήθεια, πῶς
ἂν ἐπείσθησαν ἄνθρωποι εἰδωλομανοῦντες, καὶ αἰσχρουργοῦντες ἀθρόον ἐπιγνῶναι
τὸν ὄντως θεὸν, καὶ πνευματικὸν βίον τελέσαι; τὸ τοίνυν παράδοξον τῆς μεταθέ-
σεως θέλων δηλῶσαι, ἀνάγκην τὸ πρᾶγμα ὠνόμασεν· ὡς ἂν εἴποι τις, ὅτι καὶ μὴ βου-
λόμενοι οἱ ἕλληνες ἀφεῖναι τὰ εἴδωλα, καὶ τὴν τρυφὴν, ὅμως ὑπὸ τῆς ἀληθείας τοῦ
κηρύγματος ἠναγκάσθησαν ταῦτα φυγεῖν· ἄλλως τε καὶ ἡ δύναμις τῶν σημείων με-
γάλην ἐπῆγεν ἀνάγκην τοῦ μετατεθῆναι εἰς τὴν τοῦ χριστοῦ πίστιν, καὶ καθεκάστην δὲ ὁ
δεῖπνος οὗτος ἑτοιμάζεται, καὶ καλούμεθα πάντες εἰς τὴν βασιλείαν, ἣν καὶ πρὸ κα-
ταβολῆς κόσμου ἡτοίμασεν ὁ θεὸς τοῖς ἀνθρώποις· ἀλλ᾽ οἱ μὲν διὰ σοφίας περιερ-
γίαν, οἱ δὲ διὰ φιλοϋλίαν, οἱ δὲ διὰ φιλοσαρκίαν οὐκ ἀξιούμεθα ταύτης· ἡ δὲ τοῦ θεοῦ
φιλανθρωπία ἑτέροις ἁμαρτωλοῖς χαρίζεται ταύτην, τυφλοῖς τὰς νοητὰς ὄψεις, μὴ
συνιεῖσι τί τὸ θέλημα τοῦ θεοῦ, ἢ συνιεῖσι μὲν, χωλοῖς δὲ οὖσι, καὶ ἀκινητοῦσι πρὸς τὸ
πράττειν τοῦτο· καὶ συνόλως πτωχοῖς ἀποπεσοῦσι τῆς ἄνω δόξης· καὶ ἀναπήροις,
ἄμωμον τὸν ἑαυτῶν βίον μὴ ἐπιδεικνυμένοις· τούτοις οὖν τοῖς ἁμαρτωλοῖς εἰς τὰς
πλατείας, καὶ εὐρυχώροις ὁδοὺς τῆς ἁμαρτίας πλανωμένοις ἐπιπέμπει ὁ πατὴρ τὸν
δειπνοκλήτορα αὐτοῦ υἱὸν, τὸν καὶ δοῦλον γενόμενον κατὰ σάρκα, τὸν μὴ δικαίους ἐλ-
Ματθ. θ'· θόντα καλέσαι ἀλλὰ ἁμαρτωλούς· καὶ ἑστιᾷ τούτους φιλοτίμως ἀντ᾽ ἐκείνων τῶν γνω-
στικῶν καὶ πλουσίων, καὶ τῇ σαρκὶ χαριζομένων. πολλοῖς δὲ καὶ νόσους ἐπιπέμπων
καὶ κινδύνους, ποιεῖ αὐτοὺς καὶ ἄκοντας ἀποτάξασθαι τῷ βίῳ οἷς κρίμασιν οἶδε, καὶ εἰ-
σάγει αὐτοὺς εἰς τὸν δεῖπνον αὐτοῦ, ἀνάγκην αὐτοῖς ἐπάγων τὴν τῶν κινδύνων ἐπιφο-
ράν· καὶ τούτου τὰ παραδείγματα πολλά· διδάσκει δὲ ἡμᾶς καὶ κατὰ τὸ ἁπλού-
στερον ἡ παραβολὴ τοῖς πένησι καὶ ἀναπήροις χαρίζεσθαι μᾶλλον ἢ τοῖς πλουσίοις, ὃ καὶ
πρὸ ὀλίγου παραινῶν διὰ τοῦτο αὐτὸ δοκεῖ τὴν παραβολὴν εἰπεῖν, πιστούμενος διὰ ταύ-
της, ὅτι τοὺς πτωχοὺς δεῖ ἑστιᾶν· καὶ ἄλλο δὲ μανθάνομεν, τὸ ὀφείλειν οὕτως εἶναι προθύ-
μοι, καὶ φιλότιμοι περὶ τὴν ὑποδοχὴν τῶν ἀδελφῶν, ὥστε καὶ μὴ θέλοντας ἀναγ-
κάζειν πρὸς τὸ μεταλαμβάνειν τῶν ἡμετέρων ἀγαθῶν· τοῦτο καὶ τοῖς διδάσκουσι με-
γάλη νουθεσία, ὥστε καὶ ἄκοντας τοὺς μαθητὰς παιδεύειν τὸ δέον·

» Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοὶ, καὶ στραφεὶς εἶπε πρὸς αὐτοὺς, εἴ τις ἔρχε-
» ται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα, καὶ
» τὰ τέκνα καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύ-
» ναταί μου εἶναι μαθητής, καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται ὀπίσω
» μου οὐ δύναταί μου εἶναι μαθητής· Ἐπειδὴ πολλοὶ τῶν συμπορευομένων τῷ Ἰη-
σοῦ, οὐ σὺν προθυμίᾳ πάσῃ, καὶ ἀποταγῇ ἠκολούθουν, ἀλλὰ ψυχρότερον διέκειντο,
διδάσκων αὐτοὺς οἷον δεῖ τὸν μαθητὴν αὐτοῦ εἶναι, ἀποφαίνεται περὶ τούτου, καὶ οἷον
διατυποῖ αὐτὸν, καὶ ζωγραφεῖ εἰσηγούμενος δεῖν αὐτὸν μισεῖν οὐ μόνον τοὺς ἔξωθεν αὐ-
τῷ ᾠκειωμένους, ἀλλὰ καὶ τὴν ἑαυτοῦ ψυχήν· ὅρα δὲ μὴ συναρπασθῇς τῷ ῥητῷ ἁ-
πλῶς οὕτως καὶ ἀνεπιστημόνως, οὐ γὰρ ἀπανθρωπίαν διδάσκει ὁ φιλάνθρωπος, οὐδὲ
διαχειρίζεσθαι ἑαυτοὺς νουθετεῖ, ἀλλὰ τόν γε γνήσιον αὐτοῦ μαθητὴν βούλεται τότε
μισεῖν τοὺς κατὰ γένος οἰκείους, ὅτε πρὸς θεοσέβειαν αὐτῷ ἐμποδίζοιεν καὶ διὰ τὴν
πρὸς αὐτοὺς σχέσιν κωλύοιτο αὐτὸς τὸ καλὸν μετιέναι· ἐπεὶ εἰ μὴ ἐμποδίζοιεν, τιμᾶν
μᾶλλον ἄχρι τῆς τελευταίας ἀναπνοῆς διδάσκει· καὶ πῶς διδάσκει, διὰ τῆς μεί-
ζονος διδασκαλίας, φημὶ. δι᾽ ὧν ἔπραξεν αὐτός. καὶ γὰρ τῷ Ἰωσὴφ καίτοι οὐδὲ
Λουκ. β'· κυρίως αὐτοῦ πατρὶ ὄντι, ἀλλὰ νομιζομένῳ ἦν ὑποτασσόμενος. καὶ τῆς μητρὸς το-
σαύτην ἐποιεῖτο ἀεὶ τὴν πρόνοιαν, ὥστε οὐδὲ σταυρούμενος ἠμέλησε ταύτης, ἀλλὰ πα-

ρεδίδου

ρεδίδου τῷ ἠγαπημένῳ μαθητῇ· πῶς οὖν ὁ ταῦτα διδάξας διὰ τῶν ἔργων, ἐτόλμα διὰ Ἰωάν. ιθ'.
τῶν λόγων εἰσηγεῖσθαι; ἀλλ' ὅπερ ἔφην, μισεῖν ἡμᾶς τοὺς γονεῖς ἐντέλλεται, ὅτε θεὸς τὸ
κινδυνευόμενον. τότε γὰρ οὐ γονεῖς λογίζονται οὐδὲ οἰκεῖοι, πρὸς τὴν τοιαύτην ὠφέ-
λειαν ἡμῖν ἀντιπίπτοντες· κἀντεῦθεν δὲ δῆλον ὃ λέγομεν, ἐκ τοῦ καὶ τὴν ἑαυτοῦ ψυχὴν
ἐντέλλεσθαι μισεῖν, πάντως γὰρ οὐ τοῦτο διακελεύεται τὸ ἑαυτοὺς ἀποκτιννύναι, ἀλλὰ
τὸ ταῖς ἐπιθυμίαις τῆς ψυχῆς ταῖς χωριζούσαις ἡμᾶς τοῦ θεοῦ ἀπαρτάσθαι· καὶ
εἰ πρόκειται μαρτύριον, μὴ φροντίζειν τῆς ψυχῆς, μόνον κέρδους προκειμένου αἰωνίου·
ὅτι δὲ τοῦτο διδάσκει, καὶ οὐ τὸ ἁπλῶς ἑαυτοὺς ἀποκτιννύναι, δείκνυσι πάλιν αὐτὸς ἐξ
ὧν τοῦ διαβόλου πειράζοντος αὐτὸν, ὥστε βαλεῖν ἑαυτὸν κάτω ἀπὸ τοῦ ἱεροῦ, ἀπεκρού Ματθ. δ'.
σατο τὴν πεῖραν, καὶ οὐδὲ ἐπεδίδου ἑαυτὸν τοῖς ἰουδαίοις, ἀλλὰ καὶ ἀνεχώρει, καὶ διὰ Λουκ. δ'.
μέσου αὐτῶν διερχόμενος τοὺς φονῶντας ἀπεκρύπτετο. ὅστις οὖν βλαπτόμενος εἰς θεο Μαρ. α'.
σέβειαν ὑπό τινος τῶν οἰκείων, στέργει τὴν πρὸς αὐτοὺς σχέσιν, καὶ προτιμοτέραν ταύ Λουκ. δ'.
την ποιεῖται τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως, ἔτι τε καὶ διὰ τοῦ φιλοζωεῖν πολλάκις,
καὶ μαρτυρίου προκειμένου εἰς ἄρνησιν ἐκτραχηλίζεται οὗτος οὐ δύναται χριστοῦ εἶναι
μαθητής·

» Τίς γὰρ ἐξ ὑμῶν θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δα
» πάνην, εἰ ἔχει τὰ εἰς ἀπαρτισμόν, ἵνα μήποτε θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύον-
» τος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται ἐμπαίζειν αὐτῷ λέγοντες, ὅτι οὗτος ὁ
» ἄνθρωπος ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι· Διὰ τῆς τοῦ πύργου παρα-
βολῆς διδάσκει ἡμᾶς ὁ κύριος ἅπαξ ἀκολουθεῖν αὐτῷ ἑλομένοις, φυλάξαι τὴν αὐ
τὴν προαίρεσιν, καὶ μὴ θεμέλιον μὲν καταβαλέσθαι, ἤτοι ἀρχὴν ἀκολουθήσεως, εἶ-
τα τέλος μὴ ἐπιθεῖναι, ὡς μὴ ἔχοντας ἀρκοῦσαν τὴν παρασκευὴν τῆς προθυμίας·
τοιοῦτοι ἦσαν ἐκεῖνοι, περὶ ὧν Ἰωάννης ὁ εὐαγγελιστὴς ἔφη, πολλοὶ οὖν ἐκ τῶν μαθητῶν ς'.
αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω· καὶ πᾶς δὲ ἄνθρωπος πράττειν μὲν τὴν ἀρετὴν ἑλό-
μενος, μὴ φθάσας δὲ, ὥστε καὶ θείαν γνῶσιν προσλαβεῖν, διὰ τὸ ἀτελῶς καὶ ἀλόγως
τῆς ἀρετῆς ἄρξασθαι ἀτελῶς κτίζει· μὴ δυνάμενος ἀπαρτίσαι τὸν πύργον τῆς ὑ-
ψηλῆς γνώσεως· ὅθεν καὶ ἐμπαίζεται ὑπὸ τῶν θεωρούντων αὐτὸν καὶ ἀνθρώπων
καὶ δαιμόνων· καὶ ἄλλως δὲ, θεμέλιον μὲν νοήσαις τὸν διδασκαλικὸν λόγον· ὁ γὰρ
τῆς διδασκαλίας λόγος διαλαμβάνων, φέρε εἰπεῖν, περὶ ἐγκρατείας θεμελίῳ ἔοικε
καταβληθεὶς ἐπὶ τὴν τοῦ μαθητοῦ ψυχὴν, δεῖ οὖν τῷ λόγῳ τούτῳ, ἤτοι τῷ θεμελίῳ καὶ
ἐποικοδομεῖν, τὰ τῆς πράξεως λέγω· ἵνα καὶ πύργος ἡμῖν ἰσχυρὸς ἀπὸ προσώπου ἐ-
χθροῦ ἀπαρτισθείη, ἡ ἀρετὴ ἐκείνη ἣν προεθέμεθα· ὅτι δὲ θεμέλιος μὲν ὁ λόγος, οἰ-
κοδομὴ δὲ ἡ πρᾶξις, ἱκανῶς ἡμᾶς ὁ ἀπόστολος διδάσκει λέγων, ὅτι θεμέλιον τέθει α'. πρὸς
κα Ἰησοῦν χριστὸν, ἄλλος δὲ ἐποικοδομεῖ· καὶ ἑξῆς καταλέγει τὰς διαφόρους οἰκοδο- Κο. α'.
μὰς, ἤτοι ἐργασίας ἢ καλῶν ἢ πονηρῶν ἔργων· φοβηθῶμεν οὖν, μήποτε ἐμπαίξωσιν ἡ-
μῖν· οἱ δαίμονες, περὶ ὧν ὁ προφήτης φησὶν ὅτι ἐμπαῖκται κυριεύσουσιν αὐτῶν, τῶν Ἡσαΐ. γ'.
ὑπὸ τοῦ θεοῦ δηλαδὴ ἀπωσμένων·

» Ἢ τίς βασιλεὺς πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθίσας
» πρῶτον βουλεύεται, εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χι-
» λιάδων ἐρχομένῳ πρὸς αὐτόν; εἰ δὲ μήγε ἔτι πόρρω αὐτοῦ ὄντος, πρεσβείαν ἀποστεί
» λας ἐρωτᾷ τὰ πρὸς εἰρήνην· οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς
» ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής· καλὸν τὸ ἅλας, ἐὰν δὲ τὸ ἅλας μω
» ρανθῇ, ἐν τίνι ἀρτυθήσεται; οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν, ἔξω βάλλου-
» σιν αὐτό· ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω· Καὶ αὕτη ἡ παραβολὴ διδάσκει ἡμᾶς μὴ

διψύχους εἶναι, μὴ δὲ σαρκὶ καὶ θεῷ προσηλῶσθαι, ἀλλ᾽ εἰ μέλλοιμεν τὸν κατὰ τῶν πο-
νηρῶν δυνάμεων πόλεμον ἄρασθαι, προσφέρεσθαι αὐτοῖς ὡς ἐχθροῖς, καὶ ἀληθῶς ἀν-
τιπαρατάττεσθαι. βασιλεὺς μὲν οὖν ἐστι καὶ ἡ ἁμαρτία βασιλεύουσα ἐν τῷ θνητῷ σώ-
ματι ἡμῶν τῶν παραδεχομένων αὐτήν. βασιλεὺς δὲ καὶ ὁ νοῦς ἡμῶν ἐκτίσθη. εἰ τοί-
νυν μέλλοιεν ἀντιστῆναι τῇ ἁμαρτίᾳ, ὁλοψύχως πολεμείτω αὐτῇ, δεινὸς γὰρ ὁ στρα-
τὸς ταύτης καὶ φοβερὸς, καὶ μείζων καὶ πλείων δοκεῖ ἡμῶν. οἱ γὰρ δαίμονες στρατιῶ-
ται τῆς ἁμαρτίας, οἳ δοκοῦσιν εἴκοσι χιλιάδων ἀριθμὸν ἐπέχειν. πρὸς δέκα χιλιά-
δας ἡμετέρας. ἀσώματοι γὰρ ὄντες, καὶ πρὸς τοὺς ἐνσωμάτοις ἡμᾶς συγκρινόμε-
νοι. πλείονα τὴν ἰσχὺν δοκοῦσιν ἔχειν. κἂν οὖν δοκῶσιν ἰσχυρότεροι. ἀλλ᾽ ἡμεῖς δυνάμε-
ψαλ. νθ´. ρζ´. θα ἀντιπαρατάσσεσθαι, ἐν τῷ θεῷ γὰρ, φησὶ, ποιήσομεν δύναμιν. καὶ κύριος φω-
ψαλ. κς´. τισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβο-
λὴ οὐ φοβηθήσεται ἡ καρδία μου. δέδωκε δὲ ἡμῖν πάντως ὁ σαρκωθεὶς δι᾽ ἡμᾶς θεὸς
Λουκ. ι´. πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. διὸ καὶ ἐπειδὴ ἐν σαρκὶ ὄντες, οὐ σαρκι-
κὰ ὅπλα ἔχομεν. κἂν δέκα χιλιάδας δοκῶμεν ἔχειν. διὰ τὸ ἐν σώματι εἶναι, ἐκείνων
εἴκοσι χιλιάδων ὄντων διὰ τὸ ἀσώματον τῆς φύσεως, ὅμως λέγειν ὀφείλομεν, κύ-
ψαλ. μβ´. ριος ὁ θεός μου δύναμίς μου. καὶ μηδέποτε εἰρηνεύσωμεν πρὸς τὴν ἁμαρτίαν, ὅπερ
ἐστι δουλωθῆναι τοῖς πάθεσιν, ἀλλὰ μᾶλλον ἀντιστῶμεν αὐτοῖς καὶ ἄσπονδον μῖσος
πρὸς αὐτὰ ἀναδεξώμεθα, μηδὲν θέλοντες ἔχειν τῶν τοῦ κόσμου ἐμπαθῶς, ἀλλ᾽ ἀπο-
τασσόμενοι πᾶσιν. ὅτι οὐ δύναται χριστοῦ εἶναι μαθητὴς ὁ μὴ ἀποτασσόμενος πᾶ-
σιν. ἀλλ᾽ εἰρηνεύων πρός τινα τῶν ἐν τῷ κόσμῳ ψυχοβλαβῶν. ὁ γὰρ χριστοῦ μαθη-
τὴς, ἅλας ὀφείλει εἶναι, οὐ μόνον αὐτὸς ἀγαθὸς ὢν, καὶ κακίας ἀμέτοχος, ἀλλὰ καὶ
ἄλλοις μεταδοτικὸς ἀγαθότητος. τοιοῦτον γὰρ τὸ ἅλας. αὐτό τε ἄσηπτον μένον καὶ
ἀβλαβὲς, καὶ ἕτερα διαφυλάττον ἄσηπτα, οἷς ἂν μεταδῷ τῆς ποιότητος. ἐὰν δὲ
τὸ ἅλας ἀποβάλῃ τὴν οἰκείαν φύσιν, ἄχρηστον πάντῃ γίνεται, οὔτε εἰς γῆν, οὔτε εἰς
κοπρίαν εὔθετον ὄν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ἐγὼ μὲν πάντα χριστιανὸν ὠφέλιμον
καὶ ἀρτυτικὸν βούλομαι εἶναι, οὐ μόνον τὸν διδασκαλίας χάρισμα ἐγκεχειρισμένον,
οἷοι ἦσαν οἱ ἀπόστολοι, καὶ διδάσκαλοι, καὶ ποιμένες. ἀλλὰ καὶ τοὺς λαϊκοὺς αὐτοὺς
χρησίμους, καὶ ἐπωφελεῖς τοῖς πλησίον ἅπαντας εἶναι. ἐὰν δὲ ὁ μέλλων ἑτέροις ὠφε-
λεῖν, αὐτὸς ἀδόκιμος γένηται, καὶ ἐκστῇ τῆς προσηκούσης τῷ χριστιανῷ καταστάσεως,
οὔτε ὠφελῆσαι, οὔτε ὠφεληθῆναι δυνήσεται. οὔτε γὰρ εἰς γῆν φησὶν, οὔτε εἰς κοπρίαν
εὔθετόν ἐστιν. αἰνίττεται δὲ διὰ μὲν τῆς γῆς τὸ ὠφελούμενον, διὰ δὲ τῆς κοπρίας τὸ
ὠφελοῦν. διὸ ὡς μήτε ὠφελῶν, μήτε ὠφελούμενος ἀπόβλητος πάντῃ καὶ ἀπόῤ-
ῥιπτος. ἐπεὶ δὲ σκοτεινὸς καὶ παραβολικὸς ὁ λόγος ἦν, διεγείρων τοὺς ἀκροατὰς ὁ
κύριος εἰς τὸ μὴ ἁπλῶς παραδέξασθαι τὸ ῥηθὲν περὶ τοῦ ἅλατος, φησὶν, ὁ ἔχων ὦτα
ἀκούειν, ἀκουέτω, τουτέστιν. ὁ ἔχων σύνεσιν συνιέτω. ὦτα γὰρ ἐνταῦθα τὴν αἰσθητι-
κὴν δύναμιν τῆς ψυχῆς, καὶ τὴν πρὸς τὸ συνιέναι ἐπιτηδειότητα νοητέον. ἕκαστος
οὖν ἡμῶν τῶν πιστῶν ἅλας ἐστὶν, ἐκ τῶν θείων λόγων καὶ τῆς ἄνωθεν χάριτος ταύτην
τὴν ποιότητα δεδεγμένος. ὅτι δὲ ἡ χάρις ἅλας ἐστὶν, ἄκουε τοῦ Παύλου. ὁ λόγος ὑ-
πρὸς Κολ. δ´. μῶν ἔστω ἐν χάριτι, ἅλατι ἠρτυμένος. ὡς ὅταν ὁ λόγος εἴη ἄχαρις, ἄναλος λέγοιτο ἄν.
εἰ τοίνυν καταφρονήσομεν τῆς τῶν θείων λόγων ποιότητος, καὶ οὐ δεχόμεθα ταύτην
εἰς ἑαυτοὺς καὶ ποιούμεθα ἐξ αὐτῆς, τότε μωροὶ καὶ ἀσύνετοι γινόμεθα, καὶ οὕτως ἐ-
μωράνθη τὸ ἅλας ἡμῶν ὡς μὴ ἔχον τὴν τῆς ἄνωθεν χάριτος ποιότητα.

ΚΕΦ. ιε´.

Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι, καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ. καὶ
διεγόγγυζον

» διεγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς λέγοντες, ὅτι οὗτος ἁμαρτωλοὺς προσ-
» δέχεται καὶ συνεσθίει αὐτοῖς. εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην λέγων, τίς
» ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει
» τὰ ἐνενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως εὕρῃ αὐτὸ, καὶ
» εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ χαίρων, καὶ ἐλθὼν εἰς τὸν οἶκον αὐτοῦ συγκαλεῖ
» τοὺς φίλους καὶ τοὺς γείτονας λέγων αὐτοῖς, συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν
» μου τὸ ἀπολωλός; λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἐν τῷ οὐρανῷ ἔσται ἐπὶ ἑνὶ ἁμαρ-
» τωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐνενηκονταεννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετα-
» νοίας. ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύ-
» χνον, καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου εὕρῃ, καὶ εὑροῦσα συγκαλεῖ
» τὰς φίλας καὶ τὰς γείτονας λέγουσα, συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν, ἣν ἀ-
» πώλεσα; οὕτω λέγω ὑμῖν χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁ-
» μαρτωλῷ μετανοοῦντι. Ὁ μὲν κύριος ἐκεῖνο ἐποίει οὗ ἕνεκεν καὶ ἐσαρκώθη, προ-
σιέμενος τοὺς τελώνας, καὶ τοὺς ἁμαρτωλοὺς, ὡς ἰατρὸς τοὺς ἀσθενοῦντας. οἱ δὲ ἁμαρ-
τωλοὶ τῷ ὄντι Φαρισαῖοι γογγυσμῷ τὴν φιλανθρωπίαν ταύτην ἠμείβοντο. βδελυ-
κτοὺς γὰρ ἡγούμενοι τοὺς τελώνας, αὐτοὶ τὰς οἰκίας τῶν χηρῶν καὶ τῶν ὀρφανῶν κατή-
σθιον. τί οὖν ὁ κύριος; ὥσπερ πρὸς τοὺς τελώνας ἐφιλανθρωπεύετο, οὕτω δὴ καὶ πρὸς
τούτους αὐτοὺς τοὺς τὴν φιλανθρωπίαν ταύτην διαβάλλοντας. οὐ γὰρ ἀποστρέφεται
τούτους ὡς ἀνιάτους καὶ γογγυστὰς, ἀλλὰ πρᾴως θεραπεύει παραβολὴν αὐτοῖς λέ-
γων τὴν τῶν προβάτων, καὶ ἀπὸ τῶν ἐναργῶν καὶ φανερῶν πείθων αὐτοὺς, καὶ ἐπι-
στομίζων μὴ δυσχεραίνειν ἐπὶ τῷ τοσούτῳ τῆς ἀγαθότητος χύματι. καίτοι εἰ ἐπὶ προ-
βάτῳ ἑνὶ ἀλόγῳ, καὶ μὴ κατ᾽ εἰκόνα θεοῦ γεγενημένῳ τοσαύτη χαρὰ γίνεται εὑρεθέντι
μετὰ τὸ πλανηθῆναι, πόσην εἰκὸς γίνεσθαι ἐπὶ ἀνθρώπῳ λογικῷ κατ᾽ εἰκόνα θεοῦ δεδη-
μιουργημένῳ; προδήλως μὲν οὖν ἡ παραβολὴ τοὺς δικαίους φησὶ πρόβατα ἐνενηκον-
ταεννέα, καὶ ἓν τὸν ἐκπεσόντα ἁμαρτωλόν. φασὶ δέ τινες ἑκατὸν μὲν πρόβατα πᾶ-
σαν τὴν λογικὴν κτίσιν, ἓν δὲ πρόβατον τῆς λογικῆς φύσεως τὸν ἄνθρωπον, ὃ πλανη-
θὲν ἀνεζήτησεν ὁ ποιμὴν ὁ καλὸς, ἀφεὶς τὰ ἐνενηκονταεννέα, ἐν τῇ ἐρήμῳ, τουτέστιν
ἐν τῷ ἄνω τόπῳ τῷ οὐρανίῳ. ἔρημος γὰρ πολυοχλίας κοσμικῆς ἀπῳκισμένος ὁ οὐ-
ρανὸς, καὶ πάσης γαλήνης, καὶ εἰρήνης μεμεστωμένος. εὑρὼν δὲ ὁ κύριος τοῦτο τὸ πλα-
νηθὲν, ἐπέθηκεν ἐπὶ τοὺς ὤμους αὐτοῦ, τὰς γὰρ ἀσθενείας ἡμῶν, καὶ τὰς ἁμαρτίας αὐ- Ἡσα· νγʹ
τὸς ἐβάστασε, καὶ πάντα τὰ βάρη ἡμῶν αὐτὸς ἀβαρῶς ἀνεδέξατο. πάντα, ὅσα ἐχρεο-
στοῦμεν, αὐτὸς ἀποφλήσας, καὶ ἡμᾶς ῥᾳδίως καὶ ἀπόνως σώσας ἄχρι καὶ τοῦ οἴκου αὐ-
τοῦ, τουτέστι τοῦ οὐρανοῦ. καὶ συγκαλεῖ τοὺς φίλους, καὶ τοὺς γείτονας. τάχα τοὺς ἀγγέ-
λους, οἷς καὶ πρόβατα εἶναι ἀποδεδώκαμεν κατ᾽ ἄλλην καὶ ἄλλην ἐπιβολήν. καθὸ
μὲν γὰρ πᾶσα κτιστὴ φύσις ὡς πρὸς θεὸν κτηνώδης ἐστὶ, κατὰ τοῦτο πρόβατα καλοῖν-
το ἂν αἱ ἄνω δυνάμεις. καθὸ δὲ λογικαὶ, ἤγουν νοεραὶ καὶ πλησιέστεραι τῶν ἄλλων
κτισμάτων δοκοῦσαι, κατὰ τοῦτο φίλοι καὶ γείτονες οἱ τῶν ἀγγελικῶν χοροὶ δυνάμεων
νοηθεῖεν. καὶ γυναῖκα δὲ νοήσαις, τὴν σοφίαν, καὶ δύναμιν τοῦ θεοῦ καὶ πατρὸς τὸν
αὐτοῦ υἱὸν, ὃς ἀπώλεσε μίαν δραχμὴν ἐκ τῶν λογικῶν, καὶ κατ᾽ εἰκόνα αὐτοῦ κτισθέν-
των κτισμάτων τὸν ἄνθρωπον, καὶ ἅπτει λύχνον, τὴν ἑαυτοῦ σάρκα. ὥσπερ γὰρ ὁ λύ-
χνος ἐκ γῆς ὢν τὰ ἐσκοτισμένα φωτίζει διὰ τοῦ φωτὸς οὗ δέχεται, οὕτω καὶ ἡ σὰρξ
τοῦ κυρίου γήϊνος οὖσα, καὶ ὁμοία ἡμῖν τῷ φωτὶ τῆς θεότητος, ὑφ᾽ ἧς προσελήφθη, ἔ-
φανε. καὶ μὴν ἐσαρώθη καὶ ὁ οἶκος, τουτέστιν ἅπας ὁ κόσμος ἀπεκαθάρθη τῆς ἁ-
μαρτίας, Χριστὸς γὰρ ἦν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. καὶ δὴ εὑρέθη ἡ δραχμὴ, Ἰωάν· αʹ

ἡ βασιλικὴ εἰκὼν, καὶ χαρὰ γίνεται αὐτῷ τε τῷ εὑρόντι Χριστῷ, καὶ ταῖς ἄνω δυνά-
μεσιν, αἳ φίλαι αὐτῷ καὶ γείτονές εἰσι. φίλαι μὲν ὡς τὸ θέλημα αὐτοῦ ποιοῦσαι,
γείτονες δὲ ὡς ἀσώματοι. ζητῶ δὲ μήποτε φίλαι μὲν αὐτοῦ εἰσὶ πᾶσαι αἱ ἄνω δυ-
νάμεις, γείτονες δὲ αἱ πλησιέστεραι, οἷον θρόνοι, χερουβὶμ, σεραφίμ. ὅρα γὰρ τὴν λέ-
ξιν, καὶ συγκαλεῖ τὰς φίλας καὶ τὰς γείτονας, ἔοικε γὰρ δύο τινὰ μέρη παραδηλοῦν,
εἰ καὶ περιεργότερον δόξει.

» Εἶπε δὲ, ἄνθρωπός τις εἶχε δύο υἱοὺς, καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρὶ, πά-
» τερ δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. καὶ διεῖλεν αὐτοῖς τὸν βίον. καὶ μετ' οὐ
» πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς χώραν μα-
» κρὰν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως. δαπανήσαντος δὲ αὐτοῦ
» πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι,
» καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης. καὶ ἔπεμψεν αὐτὸν
» εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἐκ τῶν
» κερατίων ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. Καὶ αὕτη ἡ παραβολὴ ὁμοία
ταῖς προλαβούσαις ἐστίν. εἰσάγει γὰρ καὶ αὕτη ἄνθρωπον μὲν τὸν θεόν. τὸν οὕτως φι-
λάνθρωπον, υἱοὺς δύο, τὰ δύο τάγματα τῶν ἀνθρώπων, δικαίους φημὶ καὶ ἁμαρτω-
λούς. εἶπε δὲ ὁ νεώτερος, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. ἡ δικαιοσύνη μὲν
ἀρχαῖον κτῆμα τῆς ἀνθρωπίνης φύσεως, διὸ καὶ ὁ πρεσβύτερος υἱὸς οὐκ ἀποσκιρ-
τᾷ, ἡ δὲ ἁμαρτία ὑστερογενὲς κακόν. διὸ καὶ ὁ νεώτερος ἀποσκιρτᾷ, ὁ τῇ ἁμαρτίᾳ δη-
λαδὴ τῇ ὕστερον ἐπισαχθείσῃ συναυξηθείς. καὶ ἄλλως δὲ νεώτερος υἱὸς λέγεται ὁ ἁ-
μαρτωλὸς, ὡς νεωτεριστὴς, καὶ ἀποστάτης, καὶ ἀνταίρας τῷ πατρικῷ θελήματι.
πάτερ δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. οὐσία τοῦ ἀνθρώπου τὸ λογικόν ἐστιν,
ᾧ παρέπεται καὶ τὸ αὐτεξούσιον, πᾶν γὰρ λογικὸν αὐτεξούσιον. δίδωσιν οὖν ἡμῖν ὁ κύ-
ριος τὸν λόγον, ἵνα χρησώμεθα αὐτεξουσίως, τούτῳ ὡς οὐσίᾳ οὔσῃ ἡμετέρᾳ. δίδωσι δὲ
πᾶσιν ἐπίσης, πάντες γὰρ ἐπίσης λογικοὶ, ἐπίσης αὐτεξούσιοι. ἀλλ' οἱ μὲν κατὰ λό-
γον χρώμεθα τῇ φιλοτιμίᾳ ταύτῃ, οἱ δὲ καὶ ἀχρειοῦμεν τὸ θεῖον δῶρον. καὶ πάντα
δὲ ἁπλῶς, ὅσα δέδωκεν ἡμῖν ὁ κύριος, οὐσία ἡμῶν λογισθείεν, οἷον λέγω οὐρανὸν, γῆν,
ἁπλῶς τὴν κτίσιν πᾶσαν, νόμον, προφήτας. ἀλλ' ὁ μὲν νεώτερος υἱὸς εἶδεν οὐρανὸν,
καὶ ἐθεοποίησεν, εἶδε γῆν, καὶ ἐσεβάσθη, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθη πορεύε-
σθαι, ἐν τοῖς προφήταις ἐπονηρεύσατο. ὁ δὲ πρεσβύτερος υἱὸς πᾶσι τούτοις εἰς δόξαν
θεοῦ ἀπεχρήσατο. διὸ οὖν ταῦτα ἐπίσης εἴασεν αὐτεξουσίως πορεύεσθαι, οὐδένα γὰρ
βιάζεται μὴ δουλεύειν αὐτῷ βουλόμενον. εἰ γὰρ ἤθελε βιάζεσθαι, οὐκ ἂν λογικοὺς
ἡμᾶς καὶ αὐτεξουσίους ἐδημιούργησεν. ἅπαντα δὲ ταῦτα συλλήβδην ὁ νεώτερος ἐ-
δαπάνησε. καὶ τί τὸ αἴτιον; ὅτι ἀπεδήμησεν εἰς χώραν μακράν. ἐπειδὰν γὰρ ὁ ἄν-
θρωπος ἀποστῇ ἀπὸ θεοῦ, καὶ μακρὰν ἑαυτὸν ποιήσῃ τοῦ θείου φόβου, πάντα τὰ θεῖα
δῶρα ἐκδαπανᾷ. ἐγγὺς μένοντες τοῦ θεοῦ οὐδὲν τοιοῦτον ποιοῦμεν ἀπωλείας ἄξιον,
κατὰ τὸ προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ
σαλευθῶ. μακρὰν δὲ αὐτοῦ καὶ ἀποστάται γενόμενοι τὰ χείριστα πάντα καὶ ποιοῦ-
μεν, καὶ πάσχομεν. κατὰ τὸ ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται. διε-
σκόρπισε τοίνυν τὴν οὐσίαν εἰκότως, ἡ μὲν γὰρ ἀρετὴ ἕνα ὅρον ἔχει, καὶ ἕν τι ἐστὶν, ἡ δὲ
ψαλ. ιε'. κακία πολυσχιδής ἐστι, καὶ πλάνας ἐμποιοῦσα πολλὰς, οἷον λόγου χάριν, τῆς μὲν ἀν-
ψαλ. οβ'. δρίας εἷς ἐστὶν ὅρος, τὸ δέ ἐστιν, ὅτε δεῖ, καὶ ὡς δεῖ, καὶ πρὸς οὓς δεῖ τῷ θυμικῷ χρᾶσθαι,
τῆς δὲ κακίας δύο τὰ εἴδη, δειλία καὶ θρασύτης. ὁρᾷς σκορπιζόμενον τὸν λόγον, καὶ
τὴν ἑνότητα τῆς ἀρετῆς ἀπολλυμένην; δαπανηθείσης δὲ τῆς οὐσίας ταύτης, καὶ

μηκέτι κατὰ λόγον τὸν φυσικὸν νόμον φημὶ, πορευομένου τοῦ ἀνθρώπου, ἀλλὰ μηδὲ νόμῳ στοιχοῦντος τῷ γραπτῷ, μηδὲ προφητῶν ἀκούοντος, λιμὸς ἰσχυρὸς γίνεται, οὐ λιμὸς ἄρτου, ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον κυρίου. καὶ ἄρχεται ὑστερεῖσθαι, οἷα μὴ Ἀμώς. η΄. φοβούμενος τὸν κύριον, ἀλλὰ μακρὰν ἀπέχων αὐτοῦ· ὡς τοῖς γε φοβουμένοις τὸν κύ- Ψαλ. λγ΄. ριον οὐκ ἔστιν ὑστέρημα· πῶς δὲ οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις; διότι ὁ φοβούμενος Ψαλ. ρια΄. τὸν κύριον ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα· διὰ τοῦτο δὲ δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐσκόρπισε μᾶλλον αὐτὸς καὶ ἔδωκε τοῖς πένησι, τοσοῦτον ἀπέχει τοῦ αὐτὸς ὑστερεῖσθαι· ὁ τοίνυν μακρὰν ἀποδημήσας τοῦ θεοῦ, καὶ μὴ πρὸ ὀφθαλμῶν ἔχων τὸ φοβερὸν αὐτοῦ πρόσωπον, ὑστερεῖται εἰκότως, οὐδενὸς θείου λόγου ἐν ἐκείνῳ ἐνεργοῦντος· καὶ πορευθεὶς, τουτέστι προοδεύσας, καὶ προκόψας τῇ κακίᾳ ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· ὁ μὲν γὰρ κολλώμενος τῷ κυρίῳ, ἓν β΄. Πρὸς πνεῦμα γίνεται, ὁ δὲ κολλώμενος τῇ πόρνῃ, φύσει τῶν δαιμόνων, ἓν σῶμα γίνεται. Κορινθ. ς΄. σὰρξ ὅλος καθιστάμενος, καὶ μὴ πνεύματος χώρησιν ἐν ἑαυτῷ ἔχων, ὡς οἱ ἐπὶ τοῦ κατακλυσμοῦ· πολῖται γὰρ τῆς χώρας ἐκείνης τῆς ἀπεχούσης τοῦ θεοῦ οἱ δαίμονες Γεν. ς΄. πάντως εἰσίν· οὗτος δὲ προκόψας, καὶ ἐν κακίᾳ δυνατὸς γεγονὼς βόσκει χοίρους, τουτέστι, καὶ ἄλλοις διδάσκαλος πονηρίας γίνεται καὶ βορβορώδους πράξεως· πάντες γὰρ οἱ τῷ βορβόρῳ τῶν ἀτίμων πράξεων καὶ ὑλικῶν παθῶν ἐνηδόμενοι χοῖροι· τοῦ χοίρου γὰρ οἱ ὀφθαλμοὶ οὐδέποτε τὰ ἄνω βλέπειν δύνανται ἀλλοκότου διαπλάσεως τυχόντες· ὅθεν καὶ οἱ χοιροβοσκοὶ ἐπειδὰν χοῖρον κατέχοντες, οὐ δύνωνται παύειν αὐτὸν βοῶντα, ἀναστρέψαντες ὕπτιον, μετεωρότερον αὐτὸν πείθουσι βοᾶν· οἱονεὶ γὰρ εἰς θέαν ἐλθὼν ὧν οὐκ εἶδέ ποτε, καὶ τὰ ἄνω βλέπων ἐκπλήττεται, καὶ σιγᾷ· τοιοῦτοι οἱ ὀφθαλμοὶ τῶν τοῖς φαύλοις ἐντρεφομένων, οὐδέποτε τὰ ἄνω ὁρῶσι· τούτους οὖν βόσκει ὁ πολλῶν ἐν κακίᾳ προέχων, οἷοι οἱ πορνοβοσκοί· οἱ ἀρχιλησταὶ, οἱ ἀρχιτελῶναι, πάντες γὰρ οὗτοι χοίρους βόσκειν λεχθήσονται· ἐπιθυμεῖ δὲ ὁ ἐλεεινὸς οὗτος κορεσθῆναι τῆς ἁμαρτίας, καὶ οὐδεὶς αὐτῷ δίδωσι ταύτης κόρον. τῶν γὰρ κακῶν οὐ λαμβάνει κόρον, ὁ τούτοις ἐνεθισθείς· μὴ γὰρ μένει ἡ ἡδονή; ἀλλ᾽ ἅμα γίνεται, καὶ ἀπογίνεται, καὶ εὑρίσκεται πάλιν κενὸς ὁ ἐλεεινός. κερατίοις γὰρ παραβάλλεται ἡ ἁμαρτία γλυκύτητα ἔχουσα καὶ τραχύτητα, ἡδύνει μὲν γὰρ πρόσκαιρα, κολάζει δὲ ἀΐδια· οὐδεὶς οὖν δίδωσι κορεσθῆναι τῶν κακῶν τῷ ἐν τούτοις τρυφῶντι· τίς γὰρ καὶ δώσει αὐτῷ κόρον, καὶ παύσει; θεός. ἀλλ᾽ οὐ πάρεστι, μακρὰν γὰρ τοῦ θεοῦ ἀποδημεῖ ὁ ταῦτα ἐσθίων· ἀλλὰ δαίμονες; καὶ πῶς οἵ γε μᾶλλον τοῦτο σπεύδοντες, τὸ μηδέποτε
» παῦλαν καὶ κόρον γενέσθαι τῆς κακίας;

» Εἰς ἑαυτὸν δὲ ἐλθὼν, εἶπε. πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύονται ἄρτων, ἐ-
» γὼ δὲ λιμῷ ἀπόλλυμαι. ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐ-
» τῷ, πάτερ ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι
» υἱός σου, ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυ-
» τοῦ· ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνί-
» σθη, καὶ δραμὼν ἔπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν· εἶπε δὲ
» αὐτῷ ὁ υἱὸς, πάτερ ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κλη-
θῆναι υἱός σου· Εἰς ἑαυτὸν ἦλθεν ὁ τέως ἄσωτος, ἕως μὲν γὰρ ἔπραττε τὰ φαῦλα ἔξω ἑαυτοῦ ἦν. καταδαπανῆσαι γὰρ λέγεται τὴν οὐσίαν, καὶ εἰκότως διὰ τοῦτο ἔξω ἑαυτοῦ ἐστιν· ὁ γὰρ μὴ λόγῳ κυβερνώμενος, ἀλλὰ ὡς ἄλογος ζῶν, καὶ ἐπὶ ὅροις τῆς ἀλογίας ὑπάρχων, ἔξω ἑαυτοῦ ἐστι, καὶ οὐ μένει ἐπὶ τῆς οἰκείας οὐσίας, τουτέστι τοῦ λόγου· ὅταν δὲ ἀναλογίσηταί τις ὧν ἐπὶ ποίαν κατήντησεν ἀθλιότητα, τότε γίνεται ἐν

ἑαυτῷ, λογιζόμενος, καὶ εἰς μετάνοιαν ἐρχόμενος ἀπὸ τῆς ἔξω περιπλανήσεως. μισθίοις δὲ λέγει, οἷον τοὺς κατηχουμένους, οἳ οὔπω ἔφθασαν γενέσθαι υἱοί, ὡς μήπω φωτισθέντες. πάντως δὲ οἱ κατηχούμενοι περισσείαν ἔχουσι τῶν ἄρτων τῶν λογικῶν, καθεκάστην τῶν ἀναγνωσμάτων ἀκούοντες. καὶ ἵνα μάθης διαφορὰν μισθίου καὶ υἱοῦ, ἄκουε. τρεῖς εἰσι τάξεις τῶν σωζομένων, οἱ μὲν γὰρ ὡς δοῦλοι ποιοῦσι τὸ καλὸν
ψαλ. ριη'. φοβούμενοι τὴν κρίσιν, ὃ καὶ ὁ Δαβὶδ αἰνίττεται, καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου λέγων, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. οἱ δὲ μίσθιοί εἰσιν δηλοῦσιν ἐπιθυμίᾳ τῶν ἀγαθῶν εὐαρεστεῖν σπεύδοντες θεῷ, ὡς ὁ αὐτὸς Δαβὶδ φησιν, ἔκλινα τὴν
ψαλ. ριη'. καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι᾽ ἀντάμειψιν. εἰ δέ εἰσιν υἱοί, δι᾽ ἀγάπην τὴν πρὸς θεὸν ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ὡς καὶ πάλιν ὁ αὐτὸς
ψαλ. ριη'. Δαβὶδ μαρτυρεῖ, ὡς ἠγάπησα τὸν νόμον σου κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστί. καὶ πάλιν, ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, οὐχ ἃς ἐφοβήθην, καὶ πάλιν, θαυμαστὰ τὰ μαρτύριά σου, καὶ διὰ τὸ εἶναι θαυμαστά, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου. ὅταν οὖν ἐν τῇ τάξει τοῦ υἱοῦ ὤν τις, εἶτα διὰ τὴν ἁμαρτίαν ἀποκηρυχθείη, καὶ ὁρῴη ἄλλους ἀπολαύοντας τῶν θείων χαρισμάτων, καὶ κοινωνοῦντας τῶν θείων μυστηρίων, καὶ τοῦ ἄρτου τοῦ θείου, οὐδὲ γὰρ περὶ τῶν κατηχουμένων μόνον χρὴ νοεῖν ὡς μισθίων λεγομένων, ἀλλὰ καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ ἁπλῶς μὴ τῆς πρώτης τάξεως ὄντων. τότε δὴ ταῦτα τὰ οἰκτρὰ ὀφείλει ἐπιλέγειν ἑαυτῷ, πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι. ἀλλ᾽ ἀναστάς, τουτέστιν ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας, πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ, πάτερ ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιόν σου, καταλιπὼν γὰρ τὰ οὐράνια, ἥμαρτον εἰς ταῦτα, προτιμήσας αὐτῶν τὴν κατάπτυστον ἡδονήν, καὶ τῆς πατρίδος μου οὐρανοῦ τὴν τοῦ λιμοῦ χώραν προκρίνας. ὥσπερ γὰρ ἁμαρτάνειν λέγεται, φέρε εἰπεῖν εἰς χρυσόν, ὁ μόλιβδον αὐτοῦ προτιμῶν, οὕτως εἰς οὐρανὸν ἁμαρτάνει, ὁ τούτου προτιμήσας τὰ γήϊνα, ἀποτυγχάνει γὰρ πάντως τῆς εἰς τὸν οὐρανὸν φερούσης ὁδοῦ. ἐπίστησον δέ, ὅτι ὅταν μὲν ἡμάρτανεν, ὡς μὴ ἐνώπιον τοῦ θεοῦ πράττων ἡμάρτανεν, ὅτε δὲ ἐξομολογεῖται, ἐνώπιον τοῦ θεοῦ ἡμαρτηκὼς αἰσθάνεται. ἀναστὰς δὲ ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ, δεῖ γὰρ ἡμᾶς μὴ μόνον βούλεσθαι τὰ φίλα θεῷ, ἀλλὰ καὶ πράττειν. ὥσπερ δὲ εἶδες θερμὴν τὴν μετάνοιαν, οὕτως καὶ τὴν εὐσπλαγχνίαν τοῦ πατρὸς ὅρα, οὐδὲ γὰρ ἀνέμεινε τὸν υἱὸν ἐλθεῖν ἄχρις αὐτοῦ, ἀλλὰ προφθάνει, καὶ περιπλέκεται, πατὴρ γὰρ τῇ χρηστότητι, εἰ καὶ φύσει θεός, καὶ ὅλος ὅλον περιφύεται, ἵνα
Ἡσαΐ. νη'. πάντοθεν αὐτὸν πρὸς ἑαυτὸν συσφίγξῃ, καθὸ εἴρηται, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε. καὶ πάλαι μὲν ὅτε ἐμάκρυνεν ἑαυτὸν ὁ υἱός, καιρὸς ἦν καὶ τῷ πατρὶ τοῦ μακρυνθῆναι ἀπὸ τῆς περιλήψεως· ὅτε δὲ ἤγγισε διὰ τῆς προσευχῆς καὶ τῆς ἐπιστροφῆς, καιρὸς ἐγένετο τοῦ περιλαβεῖν. ἐπιπίπτει τοίνυν ἐπὶ τὸν τράχηλον τὸν ἀποστατοῦντα πρώην, πειθήνιον νῦν γενέσθαι ἐνδεικνύμενος. καὶ καταφιλεῖ αὐτόν, τὴν καταλλαγὴν δεικνύων, καὶ οἷόν τι προπύλαιον τὸ στόμα πρῶτον τοῦ μανθάνοντος ἁγιάζων, εἶτα διὰ τούτου καὶ ἐπὶ τὰ ἔνδον τὸν ἁγιασμὸν εἰσπέμπων.

» Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ, ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην. καὶ
» ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς
» πόδας αὐτοῦ, καὶ ἐξενέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐ-
» φρανθῶμεν, ὅτι ὁ υἱός μου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.
» καὶ ἤρξαντο εὐφραίνεσθαι. Δούλους δὲ τοὺς ἀγγέλους νοήσαις, τὰ λειτουργικὰ πνεύ-
Πρὸς Ἑβρ. α'. ματα τὰ στελλόμενα εἰς διακονίαν διὰ τοὺς σωτηρίας ἀξίους, καὶ γὰρ οὗτοι στολίζουσι τὸν

ἐκ κακίας ἐπιστρέφοντα τὴν στολὴν τὴν πρώτην, ἤτοι τὴν ἀρχαίαν, ἣν πρὶν ἁμαρ-
τεῖν ἐφοροῦμεν, τὸ ἔνδυμα τῆς ἀφθαρσίας, ἢ τὴν τιμίαν τὴν πρὸ τῶν ἄλλων πα-
σῶν, οἷα ἐστὶν ἡ τοῦ βαπτίσματος. πρώτη γάρ μοι αὕτη περιτίθεται, καὶ παρ᾽ αὐτῆς
λαμβάνω τὴν τῆς ἀσχημοσύνης περιστολήν. ἢ τοίνυν τοὺς ἀγγέλους νοήσαις δούλους,
τοὺς πᾶσι τοῖς ὑφ᾽ ἡμῶν τελουμένοις διακονουμένους. καὶ δι᾽ ὧν ἁγιαζόμεθα μέσων. ἢ
καὶ τοὺς ἱερεῖς, τοὺς καὶ διὰ βαπτίσματος, καὶ λόγου διδασκαλικοῦ τὸν ἐπιστρέφον-
τα ἐνδύοντας, καὶ στολὴν πρώτην περιτιθέντας, τὸν χριστὸν αὐτόν. ὅσοι γὰρ ἐβαπτί-
σθημεν εἰς χριστὸν, χριστὸν ἐνεδυσάμεθα, καὶ δακτύλιον διδόασιν εἰς τὴν χεῖρα, τὴν Πρὸς Γα. γ΄.
σφραγῖδα τοῦ χριστιανισμοῦ, ἣν διὰ τῶν ἔργων ἔχομεν. ἡ μὲν γὰρ χεὶρ τῆς πράξεως
σύμβολον, ὁ δὲ δακτύλιος τῆς σφραγῖδος. ὁ τοίνυν βαπτισθεὶς, καὶ ἁπλῶς ὁ ἀπὸ
κακίας ἐπιστρέφων, ὀφείλει ἔχειν ἐπὶ τῆς χειρός. τουτέστιν, ἐπὶ πάσης πρακτικῆς δυ-
νάμεως σφραγῖδα, καὶ γνώρισμα χριστιανοῦ. ἵνα δεικνύναι ἔχῃ, ὡς κατ᾽ εἰκόνα τοῦ
κτίσαντος αὐτὸν ἀνεκαινίσθη. ἢ καὶ ἄλλως νοήσαις τὸν δακτύλιον, τὸν ἀῤῥαβῶνα τοῦ
πνεύματος. οἷον τί φημι, ὁ θεός. τὰ μὲν τελειότατα ἀγαθὰ τότε δίδωσιν, ὅτε τού-
των καιρός. καὶ νῦν δὲ πιστούμενος δηλαδὴ, ἐκεῖνα δίδωσιν ἡμῖν χαρίσματα, οἷόν τι-
νας ἀῤῥαβῶνας τῶν μελλόντων, τοῖς μὲν θαυματουργίαν, τοῖς δὲ διδασκαλίαν,
τοῖς δὲ ἄλλο τι. καὶ ταῦτα δεχόμενοι ἀπὸ τούτων καὶ τὰ τελειότερα βεβαίως ἐλπί-
ζομεν. καὶ ὑποδήματα εἰς τοὺς πόδας, ἵνα φυλάττωνται ἀπὸ τῶν σκορπίων, τῶν μι-
κρῶν δηλαδὴ δοκούντων ἁμαρτημάτων, καὶ κρυφίων, ὡς ἔφη δαβὶδ, πλὴν θανα- Ψαλ. ιη΄.
τωδῶν καὶ αὐτῶν. ναὶ μὴν καὶ ἀπὸ ὄφεων τῶν προφανῶς βλάπτειν νομιζομένων,
φημὶ ἁμαρτιῶν. καὶ ἄλλως δὲ ὑποδήματα δίδονται τῷ ἀξιωθέντι τῆς πρώτης στο-
λῆς, ποιοῦντος τοῦ θεοῦ αὐτὸν ἕτοιμον εἰς τὸ εὐαγγελίζεσθαι, καὶ ὠφελεῖν ἑτέρους. τοῦτο
γὰρ ὁ χριστιανὸς τοῦ πλησίον ἡ ὠφέλεια. μόσχος δὲ σιτευτὸς οὐκ ἀγνοεῖται τίς ἐστιν, ὁ
θυόμενος, καὶ ἐσθιόμενος. πάντως γὰρ ὁ ἀληθὴς υἱὸς τοῦ θεοῦ, καθὸ ἄνθρωπος, καὶ
σάρκα εἴληφε, τὴν ἄλογον φύσει, καὶ κτηνώδη, καὶ αὐτὴν τῶν οἰκείων αὐχημάτων
πεπλήρωκε. κατὰ τοῦτο μόσχος νοεῖται, ἀπειρόζυγος μὲν τοῦ νόμου τῆς ἁμαρτίας,
σιτευτὸς δὲ, καθὸ εἰς τοῦτο τὸ μυστήριον ἀφώριστο πρὸ καταβολῆς κόσμου. καὶ περιερ- Ἀποκα. ιγ΄.
γότερον δὲ ἴσως δόξει τὸ ῥηθησόμενον, ὅμως ῥηθήσεται. ὅτι ὁ ἄρτος, ὃν κλῶμεν κατὰ
τὸ φαινόμενον μὲν, ἐκ σίτου συνεστὼς, σιτευτὸς ῥηθείη, κατὰ τὸ νοούμενον δὲ σὰρξ ὢν, μό-
σχος ἂν λεχθείη. καὶ ὁ αὐτός ἐστι μόσχος, καὶ σιτευτός. πᾶς οὖν βαπτιζόμενος, καὶ υἱὸς
θεοῦ γινόμενος, μᾶλλον δὲ ἀποκαθιστάμενος, καὶ ἁπλῶς πᾶς ὁ ἀπὸ ἁμαρτίας καθαρι-
ζόμενος, τοῦ μόσχου τούτου τοῦ σιτευτοῦ κοινωνεῖ, καὶ εὐφροσύνης αἴτιος καὶ τῷ πατρὶ,
καὶ τοῖς δούλοις αὐτοῦ καθίσταται, ἀγγέλοις καὶ ἱερεῦσιν ὡς ἐκ νεκρώσεως ἀναζήσας,
καὶ ἐξ ἀπωλείας εὑρεθείς. ὅσον μὲν γὰρ ἐπὶ τῇ τῆς κακίας περιουσίᾳ νεκρὸς ἦν,
ἀπεγνωσμένος δηλαδὴ, ὅσον δὲ ἐπὶ τῇ ἀνθρωπίνῃ φύσει τῇ τρεπτῇ, καὶ ἐκ κακίας δυ-
ναμένῃ εἰς ἀρετὴν μεταπεσεῖν, ἀπολωλὼς λέγεται, ὁ γὰρ ἀπολωλὼς μετριώτερον,
ἢ ὁ νεκρός.

» Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ, καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ ἤ-
» κουσε συμφωνίας, καὶ χορῶν, καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων δούλων, ἐπυν-
» θάνετο τί εἴη ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ, ὅτι ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου
» τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν
» εἰσελθεῖν. ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν, παρεκάλει αὐτόν. ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πα-
» τρὶ, ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτέ σου ἐντολὴν παρεῖδον, καὶ ἐμοὶ οὐ-
» δέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ. ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ

» καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν.
» ὁ δὲ εἶπεν αὐτῷ, τέκνον σὺ πάντοτε μετ᾽ ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν. εὐφραν-
» θῆναι δὲ ἔδει, καὶ χαρῆναι, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε, καὶ ἀπο-
» λωλὼς, καὶ εὑρέθη. Ἐνταῦθα τὸ πολυθρύλλητον ζήτημα, πῶς ὁ υἱὸς φαίνεται
φθονερὸς ὁ εὐαρέστως ζήσας τἄλλα, καὶ δεδουλευκὼς τῷ πατρὶ, ὃ λυθήσεται, εἴγέ
τις τὴν παραβολὴν ἀναλογίσαιτο, διὰ τί ἐρρέθη. πάντως γὰρ διότι ἐγόγγυζον οἱ
καθαροὶ, καὶ δικαιοῦντες ἑαυτοὺς Φαρισαῖοι ἐπὶ τῷ κυρίῳ προσδεχομένῳ πόρνας, καὶ
τελώνας, διὰ τοῦτο ἡ παραβολὴ αὕτη μετὰ τῶν πρὸ αὐτῆς εἴρηται. ἐπεὶ οὖν διότι ἐγόγ-
γυζον οἱ Φαρισαῖοι. δίκαιοι ὄντες ὑπὲρ τοὺς τελώνας, ὡς ἐδόκουν, εἴρηται. σκόπει ὅτι
τὸ πρόσωπον τοῦ δοκοῦντος γογγύζειν υἱοῦ λαμβάνεται εἰς πάντας τοὺς σκανδαλιζο-
μένους ἐπὶ τῇ ἀθρόᾳ εὐπραγίᾳ, καὶ σωτηρίᾳ τῶν ἁμαρτωλῶν. τοῦτο δὲ οὐκ ἔστι φθό-
νος, ἀλλ᾽ ὑπέρχυσις τῆς φιλανθρωπίας τοῦ θεοῦ ἀγνοουμένη ἡμῖν, καὶ διὰ τοῦτο τίκτου-
Δαβίδ. οβ' σα τὸν γογγυσμόν. ἆρα γὰρ ὁ Δαβὶδ οὐκ εἰσάγει πρόσωπον σκανδαλιζομένου ἐπὶ
Ἀββακ. α' τῇ εἰρήνῃ τῶν ἁμαρτωλῶν; καὶ ὁ Ἀββακοὺμ ὁμοίως, τί ὅτι ὁδὸς ἀσεβῶν εὐθηνεῖται
Ἱερε. ιβ' λέγων; καὶ Ἱερεμίας, ἐφύτευσας αὐτοὺς, καὶ ἐρριζοβόλησαν. ταῦτα γὰρ πάντα τῆς
ἀσθενοῦς καὶ πτωχῆς διανοίας εἰσὶ τῶν ἀνθρώπων ἐμπυριζομένης, καὶ διστάζουσης ἐπὶ
τῇ ἀναξίᾳ, δῆθεν εὐπραγίᾳ τῶν πονηρῶν. λέγει τοίνυν διὰ τῆς παρούσης παραβο-
λῆς ὁ κύριος μονονουχὶ τοιαῦτα τοῖς Φαρισαίοις, ἔστω ὑμεῖς δίκαιοι κατὰ τὸν υἱὸν ἐκεῖ-
νον, καὶ εὐάρεστοι τῷ πατρὶ, παρακαλῶ ὑμᾶς τοὺς δικαίους, καὶ καθαροὺς μὴ γογγύ-
ζειν ἐπὶ τῇ εὐφροσύνῃ, ἣν ποιούμεθα διὰ τὴν τοῦ ἁμαρτωλοῦ σωτηρίαν. καὶ γὰρ καὶ
οὗτος υἱός. οὐ τοίνυν φθόνος ἐντεῦθεν ἐμφαίνεται, ἀλλὰ τὴν τῶν Φαρισαίων γνώ-
μην παιδεύει ὁ κύριος διὰ τῆς παραβολῆς ταύτης, ὥστε εἰ καὶ δίκαιοι εἰσὶν αὐτοὶ, καὶ
πᾶσαν ἐντολὴν τοῦ θεοῦ πεπληρωκότες, μὴ δυσχεραίνειν ἐπὶ τῇ παραδοχῇ τῶν ἁμαρ-
τωλῶν. καὶ οὐδὲν θαυμαστὸν εἰ δυσχεραίνομεν ἐπὶ τοῖς ἀναξίως δοκοῦσι γίνεσθαι, το-
σαύτη γάρ ἐστιν ἡ τοῦ θεοῦ φιλανθρωπία, καὶ οὕτως ἀφθόνως μεταδίδωσιν ἡμῖν τῶν
οἰκείων ἀγαθῶν, ὥστε καὶ γογγυσμοὺ τίκτεσθαι ἐντεῦθεν δύνασθαι. ὅπερ καὶ ἐν τῇ συ-
νήθει ὁμιλίᾳ λέγομεν, πολλάκις γὰρ εὐεργετήσαντες τινὰ, εἶτα ἀχαριστηθέντες παρ᾽ αὐ-
τοῦ λέγομεν, ὅτι μέμφονταί μοι πάντες, ὅτι σε εὐηργέτησα τοσαῦτα. καίτοιγε ἴσως
οὐκ ἐμέμψατό τις ἡμῖν, ἀλλ᾽ ὅμως τῆς εὐεργεσίας ἐνδείξασθαι βουλόμενοι τὸ μέγε-
θος, τοῦτο πλάττομεν. ἴδωμεν δὲ καὶ κατὰ μέρος ὡς ἐν ἐπιτομῇ τὴν παραβολήν. ἐν
ἀγρῷ ἦν ὁ πρεσβύτερος υἱὸς, ἐν τῷ κόσμῳ τούτῳ. ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, τὴν
σάρκα φημί. ἵνα ἐμπλησθῇ ἄρτων, καὶ σπείρων ἐν δάκρυσιν, ἵνα ἐν ἀγαλλιάσει θερί-
σῃ. μαθὼν δὲ τὰ πραχθέντα, οὐκ ἤθελεν εἰς τὴν κοινὴν χαρὰν εἰσελθεῖν, ὁ δὲ φι-
λάνθρωπος πατὴρ ἔξεισι, καὶ παρακαλεῖ, καὶ ἀναδιδάσκει αὐτὸν τὴν τῆς εὐφροσύ-
νης αἰτίαν, ὅτι νεκροῦ ἐστιν ἀναζώωσις, διὰ τὸ ἀγνοεῖν ὡς ἄνθρωπον σκανδαλιζόμενον,
καὶ αἰτιώμενον αὐτὸν, ὡς αὐτῷ μὲν, οὐδὲ ἔριφον ἐδεδώκει, τῷ δὲ ἀσώτῳ τὸν σιτευ-
τὸν καταθύσειε μόσχον. τί δέ ἐστι τὸ διὰ τοῦ ἐρίφου δηλούμενον, ὧδε ἂν μάθοις. πᾶς
Ματθ. κε' ἔριφος τῆς ἀριστερᾶς καὶ ἁμαρτωλοῦ μερίδος τάττεται, φησὶν οὖν ὁ εὐάρεστος υἱὸς, ὅτι
ἐν πᾶσι πόνοις διῆγον τὴν ζωὴν, διωκόμενος, κακουχούμενος, ὑπὸ τῶν ἁμαρτωλῶν
θλιβόμενος, καὶ οὐδέποτε ὑπὲρ ἐμοῦ ἔσφαξας, καὶ ἀπέκτεινας ἔριφον, τουτέστιν ἁμαρ-
τωλὸν θλίβοντά με, ὡς ἂν εὕρω μικρὰν ἄνεσιν. οἷον ἔριφος ἦν τῷ Ἡλιοῦ ὁ Ἀχαάβ.
ἐδίωκεν οὖν τὸν προφήτην, καὶ οὐκ ἔδωκεν ὁ κύριος τοῦτον τὸν ἔριφον ταχέως εἰς σφα-
γὴν, ἵνα μικρὸν ἀνεθεὶς Ἡλιοῦ ἀναπαύσηται μετὰ τῶν φίλων αὐτοῦ τῶν προφητῶν.
γ' Βασι. ιθ' διὸ καὶ φησὶ πρὸς θεὸν, κύριε τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου
κατέσκαψαν.

κατέσκαψαν· ἔριφος τῷ Δαβὶδ ὁ Σαοὺλ, καὶ πάντες οἱ ἐν διαβάλλοντες αὐτὸν, οὓς ἠφίει ὁ κύριος πειράζειν αὐτὸν, καὶ οὐκ ἔσφαττεν. ὡς ἀλλ' ἠθέλει Δαβὶδ, διὸ καὶ ἔλεγεν, ἕως πότε ἁμαρτωλοὶ κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται; ταῦτα λέγει καὶ ὁ ἐν τῷ εὐαγγελίῳ υἱὸς, πάντοτέ με ἐν κόποις ὄντα οὐδὲ μιᾶς παραμυθίας ἠξίωσας, οὐδὲ τῶν θλιβόντων με τινὰ σφαγῇ παρέδωκας, νῦν δὲ οὕτως ἀπόνως σώζεις τὸν ἄσωτον. οὗτος μὲν οὖν σκοπὸς τῆς παραβολῆς ἅπας, διὰ τοὺς γογγύζοντας Φαρισαίοις ἐπὶ τοῖς ὑπὸ τοῦ κυρίου προσλαμβανομένοις ἁμαρτωλοῖς λεχθείσης, καὶ παιδευούσης, κἂν ὦμεν δίκαιοι, μὴ τοὺς ἁμαρτωλοὺς ἀποστρέφεσθαι, μὴ δὲ προσδεχομένου αὐτοὺς τοῦ θεοῦ καταγογγύζειν· υἱὸς τοίνυν νεώτερος αἱ πόρναι, καὶ οἱ τελῶναι· υἱὸς πρεσβύτερος οἱ Φαρισαῖοι, καὶ οἱ γραμματεῖς, καθ' ὑπόθεσιν δίκαιοι λαμβανόμενοι, ὡσανεὶ λέγοντος τοῦ θεοῦ. ἔστω ὑμεῖς δίκαιοι ἀληθῶς, καὶ οὐδεμίαν ἐντολὴν παραβεβηκότες, οὐ δεῖ οὖν προσλαμβάνεσθαι τοὺς ἐκ πονηρίας ἐπιστρέφοντας; τοὺς τοιούτοις οὖν γογγυστὰς παιδεύει διὰ τῆς παραβολῆς. οὐκ ἀγνοῶ δὲ, ὅτι τινὲς εἰς τοὺς ἀγγέλους μὲν τὸν πρεσβύτερον υἱὸν, τὸν δὲ νεώτερον εἰς τὴν τῶν ἀνθρώπων φύσιν τὴν νεωτερίσασαν κατὰ τῆς δοθείσης ἐντολῆς καὶ ἀφηνιάσασαν ἐξελάβοντο· ἄλλοι εἰς τοὺς ἰσραηλίτας, καὶ τοὺς ἐθνικούς· ἀληθὲς δὲ, ὃ εἴπομεν μόνον. ὅτι εἰς μὲν τῶν δικαίων τὸ πρόσωπον, λαμβάνεται ὁ πρεσβύτερος υἱὸς, εἰς τὸ τῶν ἁμαρτωλῶν δὲ καὶ ἐπιστρεφόντων, ὁ νεώτερος· τὸ δὲ ὅλον ὕφος τῆς παραβολῆς διὰ τοὺς Φαρισαίους συνέστη, παιδεύοντος αὐτοὺς τοῦ κυρίου, μὴ δυσχεραίνειν ἐπὶ τῇ παραδοχῇ τῶν ἁμαρτωλῶν, κἂν αὐτοὶ δίκαιοι ἔσιν. μηδεὶς οὖν ἐπὶ τοῖς τοῦ θεοῦ κρίμασι δυσχεραινέτω, ἀλλ' ἀνεχέσθω εὐπραγούντων, καὶ σωζομένων τῶν ἁμαρτωλῶν δοκούντων. τί γὰρ οἶδας, εἰ οὗ σὺ νομίζεις ἁμαρτωλὸν, οὗτος μετενόησε, καὶ διὰ τοῦτο προσεδέχθη; τί δὲ εἰ κρυπτὰς ἀρετὰς ἔχει, καὶ διὰ ταύτας παρὰ τοῦ θεοῦ εὐμενῶς ὁρᾶται;

Κεφάλαιον ιϛʹ.

Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ, ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον, καὶ οὗτος διεβλήθη αὐτῷ, ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτῷ. καὶ φωνήσας αὐτὸν, εἶπεν αὐτῷ, τί τοῦτο ἀκούω περὶ σοῦ; ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου, οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν. εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος, τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ; σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι. ἔγνων τί ποιήσω, ἵνα ὅταν μετασταθῶ τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν· καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεοφειλετῶν τοῦ κυρίου αὐτοῦ, ἔλεγε τῷ πρώτῳ. πόσον ὀφείλεις τῷ κυρίῳ μου; ὁ δὲ εἶπεν, ἑκατὸν βάτους ἐλαίου. καὶ εἶπεν αὐτῷ. δέξαι σου τὸ γράμμα, καὶ καθίσας ταχέως γράψον πεντήκοντα· ἔπειτα ἑτέρῳ εἶπε, σὺ δὲ πόσον ὀφείλεις; ὁ δὲ εἶπεν, ἑκατὸν κόρους σίτου· καὶ λέγει αὐτῷ, δέξαι σου τὸ γράμμα, καὶ γράψον ὀγδοήκοντα· καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν. ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροί εἰσιν ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν. κἀγὼ ὑμῖν λέγω, ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς· Πᾶσα παραβολὴ πλαγίως καὶ εἰκονικῶς δηλοῖ πραγμάτων τινῶν φύσιν, οὐ κατὰ πάντα ἐοικυῖα τοῖς πράγμασιν ἐκείνοις, δι' ἃ παρελήφθη· διὸ οὐδὲ χρὴ πάντα τὰ μέρη τῶν παραβολῶν λεπτῶς πολυπραγμονεῖσθαι, ἀλλ' ὅσον ἔοικε τῷ προκειμένῳ καρπουμένοις; τὰ λοιπὰ ἐᾶν, ὡς τῇ παραβολῇ συνυφιστάμενα, καὶ μηδὲν πρὸς τὸ προκείμενον συμβαλλόμενα. οἷον δὴ καὶ ἐπὶ τῆς προτεθείσης παραβολῆς, χρὴ ποιῆσαι. εἰ γὰρ πάντα ἐξετάζειν ἐπιχειρήσο-

ψαλ. ϟγʹ.

μὲν λεπτομερῶς, τίς ὁ οἰκονόμος, τίς ὁ τοῦτον προβαλλόμενος εἰς τὴν οἰκονο-
μίαν, καὶ παρὰ τίνος διεβλήθη, καὶ τίνες οἱ χρεωστοῦντες, καὶ διὰ ποίαν αἰτίαν ὁ μὲν
ἔλαιον, ὁ δὲ σῖτον. καὶ διατί ἀνὰ ἑκατὸν ὀφλῆσαι λέγονται. καὶ ἁπλῶς τἄλλα πάν-
τα εἰ περιεργότερον ἐξετάζοιμεν, σκοτεινὸν τὸν λόγον ποιησόμεθα, πρὸς τῷ καὶ κα-
ταγέλαστα ἴσως ἐξηγεῖσθαι διὰ τὴν τῆς ἀκριβείας ἀνάγκην. δεῖ τοίνυν τοσοῦτον ὠφε-
ληθῆναι ἀπὸ τῆς παρούσης παραβολῆς, ὅσον ἐνδέχεται. οἷον τί φημι, ὁ κύριος ἐνταῦ-
θα βούλεται ἡμᾶς διδάξαι περὶ τὸ τὸν δοθέντα ἡμῖν πλοῦτον καλῶς διατίθεσθαι.
καὶ πρῶτον μὲν τοῦτο μανθάνομεν, ὅτι οὐκ ἐσμὲν κύριοι χρημάτων, οὐδὲν γὰρ ἔχο-
μεν ἴδιον, ἀλλ' οἰκονόμοι ἀλλοτρίων ἐσμὲν παρὰ τοῦ δεσπότου ἡμῖν ἐγκεχειρισμένων, ἵ-
να καλῶς αὐτὰ διαθώμεθα, καὶ ὡς ἐκεῖνος προστάττει· ἔπειτα ὅτι μὴ κατὰ γνώμην
τοῦ δεσπότου τὴν οἰκονομίαν τοῦ πλούτου μεταχειριζόμενοι, ἀλλ' εἰς οἰκείας σπατά-
λας τοῖς δοθεῖσιν ἀποχρώμενοι, διαβεβλημένοι ἐσμὲν οἰκονόμοι. βούλημα γὰρ τοῦ δε-
σπότου ἐστὶ χρᾶσθαι τοῖς δοθεῖσιν εἰς τὰς τῶν ὁμοδούλων χρείας, οὐκ εἰς οἰκείας τρυ-
φάς· διαβαλλόμενοι δὲ καὶ μέλλοντες μεθίστασθαι τῆς οἰκονομίας τῶν χρημάτων,
ἤτοι τοῦ βίου τούτου ἐκκόπτεσθαι, ὅτε δηλαδὴ καὶ λόγον δώσομεν τῆς οἰκονομίας με-
τὰ τὴν ἐνθένδε μετάστασιν, ἐὰν φρόνιμοι ὦμεν, ἐπαισθανόμεθα ὀψὲ γοῦν τοῦ δέοντος,
καὶ ποιοῦμεν ἡμῖν ἑαυτοῖς φίλους ἐκ τῶν τῆς ἀδικίας χρημάτων· ἀδικίας δὲ χρή-
ματα ἐκεῖνα ὀνομάζονται, ὅσα ὁ μὲν κύριος δέδωκεν ἀναλίσκεσθαι εἰς χρείας τῶν
ἀδελφῶν, καὶ ὁμοδούλων, ἡμεῖς δὲ ἑαυτοῖς παρακατέχομεν· ἀλλ' ὀψὲ γοῦν συναι-
σθώμεθα, ποῖ φερόμεθα, καὶ ὅτι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὔτε κάμνειν δυνάμεθα, ἐργα-
σίας γὰρ οὐκ ἔστι τότε καιρὸς, οὔτε ἐπαιτεῖν εὐπρεπὲς, μωραὶ γὰρ αἱ παρθένοι αἱ ἐ-
παιτήσασαι ὀνομάζονται· τί τοίνυν λοιπὸν; τὸ συμμεριστὰς ποιῆσαι τῶν χρημά-
των τούτων τοὺς ἀδελφοὺς, ἵν' ὅταν ἐκλίπωμεν ἐντεῦθεν, τουτέστιν ἀπὸ τοῦ βίου τού-
του ἀναχωρῶμεν, δέξωνται ἡμᾶς οἱ πένητες εἰς τὰς αἰωνίους σκηνὰς, τοῖς γὰρ ἐν Χρι-
στῷ πένησιν αἱ αἰώνιαι σκηναὶ ἀπεκληρώθησαν, εἰς ἃς δύνανται δέξασθαι τοὺς ἐνταῦ-
θα αὐτοὺς φιλιάσαντας διὰ τῆς δόσεως τῶν χρημάτων, ἃ δεσποτικὰ ὄντα τοῖς πέ-
ψαλ. λϛ'. νησιν ἔδει ἐξ ἀρχῆς δοθῆναι. οὗτοι γὰρ οἱ χρεῶσται κατὰ τὸ εἰρημένον, ὅλην τὴν ἡμέ-
Παροιμ. ιθ'. ραν ἐλεεῖ, καὶ δανείζει ὁ δίκαιος· καὶ πάλιν, ὁ ἐλεῶν πτωχὸν δανείζει θεῷ. ἔδει μὲν
οὖν προηγουμένως πάντα δοθῆναι τοῖς καλοῖς τούτοις χρεωφειλέταις τοῖς ἑκατοντα-
πλασίονα ἀποδιδοῦσι. πλὴν ἐπεὶ οἰκονόμοι τῆς ἀδικίας εὑρισκόμεθα, ἀδίκως πα-
ρακατέχοντες ἃ ἄλλοις ἀφώρισται, μὴ πάντη μενετέον ἐν ταύτῃ τῇ ἀπανθρωπίᾳ,
ἀλλὰ μεταδοτέον τοῖς πένησιν, ἵνα παρ' αὐτῶν ὑποδεχθῶμεν εἰς τὰς αἰωνίους σκηνάς.
οὕτως οὖν ἐκλαμβάνουσιν ἡμῖν τὴν παραβολὴν οὐδὲν περιττὸν, ἢ περίεργον, ἢ ὀνειρο-
κριτικὸν τῇ ἐξηγήσει ἀπαντήσει. δοκεῖ δὲ ἀλλόκοτόν τι σημαίνειν τὸ, υἱοὶ τοῦ αἰῶνος τού-
του φρονιμώτεροί εἰσι καὶ τὰ ἑξῆς· οὐκ ἔστι δὲ δυσπαρακολούθητον, ἢ ξενίζον. υἱοὺς
γὰρ αἰῶνός φησι τούτου, τοὺς ἐπινοουμένους πάντα τὰ ἐν τῇ γῇ αὐτοῖς λυσιτελοῦν-
τα· υἱοὺς δὲ φωτὸς, τοὺς ὀφείλοντας τὸν πνευματικὸν πλοῦτον μεταχειρίζεσθαι θεο-
φιλῶς· τοῦτο οὖν λέγει, ὅτι οἱ ἄνθρωποι οἰκονόμοι μὲν ἀνθρωπίνων διοικήσεων καθιστά-
μενοι πάντα τρόπον πραγματεύονται, ὅπως μετὰ τὸ μετασταθῆναι ἐκ τῆς οἰκονο-
μίας, ἔχωσι παρηγορίαν· υἱοὶ δὲ φωτὸς ταττόμενοι, τουτέστι πνευματικὴν διοίκησιν
χρημάτων πιστευόμενοι, οὐδὲν ἐπινοοῦνται πρὸς τὸ ὠφεληθῆναι μετὰ ταῦτα· υἱοὶ οὖν τοῦ
αἰῶνος τούτου οἱ ἀνθρωπίνας διοικήσεις πεπιστευμένοι, καὶ ἐν τῇ γενεᾷ τῇ ἑαυτῶν
τουτέστιν ἐν τῷ βίῳ τούτῳ φρονίμως τὰ καθ' ἑαυτοὺς διοικοῦντες· υἱοὶ δὲ φωτὸς οἱ χρή-
ματα λαβόντες, ὥστε διοικεῖν αὐτὰ θεοφιλῶς· εὑρισκόμεθα οὖν ἐν μὲν ταῖς ἀνθρω-

πόνοις διοικήσεσι φρονίμως τὰ ἑαυτῶν διοικοῦντες, καὶ πραγματευόμενοι, ἵνα εἰ καὶ ἐκπέσοιμεν ποτὲ τῆς οἰκονομίας, ἔχοιμεν τι καταφύγιον τοῦ βίου· ἐν δὲ τοῖς κατὰ θεὸν ὀφείλουσι διοικεῖσθαι χρήμασιν οὐ φαινόμεθα πρόνοιαν ποιούμενοι, μήπως λόγον δῶμεν τῆς οἰκονομίας μεταστάντες ἐκ τοῦδε τοῦ βίου, καὶ εὑρεθῶμεν πάσης παραμυθίας ἐστερημένοι. διὸ καὶ ἄφρονες καλούμεθα, μὴ φρονοῦντες τὰ μετὰ ταῦτα ἡμῖν λυσιτελήσοντα. ἀλλὰ ποιήσωμεν ἑαυτοῖς φίλους. τοὺς πένητας, μεταδιδόντες αὐτοῖς τοῦ τῆς ἀδικίας πλούτου, τουτέστι τοῦ δοθέντος μὲν ἡμῖν παρὰ θεοῦ, ὥστε δικαιοσύνης ὅπλον γενέσθαι, ἀποκρατηθέντος δὲ παρ' ἡμῶν, καὶ διὰ τοῦτο εἰς ἀδικίαν μεταστάντος· εἰ δὲ ὁ ἐκ δικαίων δῆθεν πόρων πλοῦτος, ὅταν μὴ καλῶς οἰκονομηθῇ, καὶ δοθῇ πένησιν, ἀδικία καὶ μαμωνᾶς λογίζεται, ὁ ἐξ ἀδικίας πόσῳ μᾶλλον· ἐκ τούτου οὖν ποιήσωμεν ἡμῖν φίλους, ἵνα ὅταν ἐκλίπωμεν, καὶ ἀναχωρῶμεν ἐκ τοῦδε τοῦ βίου, ἢ καὶ ἄλλως ὅταν ὀλιγοψυχῶμεν κατακρινόμενοι, ἐκεῖσε δέξωνται ἡμᾶς εἰς τὰς αἰωνίους σκηνάς·

» Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστιν, ὁ δὲ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολ-
» λῷ ἄδικός ἐστιν· εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν
» πιστεύσει; καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἡμέτερον τίς ὑμῖν δώσει; οὐ-
» δεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν, ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀ-
» γαπήσει, ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε θεῷ δουλεύειν,
» καὶ μαμωνᾷ· Ἔτι περὶ τοῦ δεῖν κατὰ θεὸν οἰκονομεῖν τὸν πλοῦτον διδάσκει· ὁ γὰρ πιστὸς ἐν ἐλαχίστῳ, τουτέστιν ὁ διοικήσας καλῶς τὸν ἐμπιστευθέντα αὐτῷ πλοῦτον ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἐν πολλῷ πιστός ἐστι τουτέστι καὶ ἐν τῷ μέλλοντι αἰῶνι τοῦ ὄντως πλούτου ἄξιός ἐστιν· ἐλάχιστον οὖν καλεῖ τὸν γήϊνον πλοῦτον, ὡς τῷ ὄντι μικρὸν, μᾶλλον δὲ οὐδὲν ὄντα, ἐπείπερ ῥευστός· πολὺν δὲ τὸν οὐράνιον, ὡς μένοντα ἀεὶ, καὶ προστιθέμενον· ὁ δὲ ἐν τούτῳ τῷ γηΐνῳ ἄδικος φανεὶς, καὶ σφετερισάμενος τὰ εἰς κοινὴν τῶν ἀδελφῶν χρείαν δοθέντα αὐτῷ, οὐδὲ τοῦ πολλοῦ ἐκείνου ἄξιος εὑρεθήσεται, ἀλλ' ὡς ἄδικος ἀποβληθήσεται, ἑρμηνεύων δὲ τὸ ῥηθὲν, ἐπιφέρει. εἰ ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸν ἀληθινὸν τίς ὑμῖν πιστεύσει; ἄδικον μὲν μαμωνᾶν, τὸν προσόντα πλοῦτον ἡμῖν ὠνόμασεν, εἰ γὰρ οὐκ ἦν ἄδικος, οὐκ ἂν προσῆν. νῦν δὲ ἐπεὶ πρόσεστιν ἡμῖν, εὔδηλον ὅτι ἀποκρατούμενος καὶ μὴ πτωχοῖς διαδιδόμενος ἄδικός ἐστι· τοῦτο δὲ νοσφισμὸς ἀλλοτρίων χρημάτων, καὶ πτωχικῶν, τοῦτο δὲ ἀδικία· ὃς οὖν τὸν πλοῦτον τοῦτον κακῶς διοικεῖ καὶ ἀπίστως, πῶς τὸν ἀληθινὸν πλοῦτον πιστευθήσεται; καὶ τοῖς μὴ πιστῶς διαθεμένοις ἡμῖν τὸ ἀλλότριον, τουτέστι τὰ χρήματα ἀλλότρια δὲ ταῦτα ὡς τοῖς πτωχοῖς ἀφωρισμένα, καὶ ἄλλως, καθὸ οὐκ εἰσηνέγκαμέν τι εἰς τὸν κόσμον, ἀλλὰ γυμνοὶ γεγεννήμεθα, τὸ ἡμέτερον τίς δώσει; ἡμέτερον δὲ ὁ πλοῦτος ὁ οὐράνιος καὶ θεῖος, ἐκεῖ γὰρ ἡμῶν τὸ πολίτευμα. καὶ τοῦ κατ' εἰκόνα θεοῦ δημιουργηθέντος ἀνθρώπου χρήματα μὲν, καὶ κτήματα ἀλλότρια, οὐδὲν γὰρ ἔοικεν αὐτῷ τούτων, θείων δὲ ἀγαθῶν ἀπόλαυσις, καὶ θεοῦ μέθεξις τοῦτο ἐστι τὸ ἡμέτερον· μέχρι μὲν οὖν τούτου ἐδίδαξεν ἡμᾶς, πῶς δεῖ διοικεῖν τὸν πλοῦτον πιστῶς. ἀλλότριος γάρ ἐστι, καὶ οὐχ ἡμῶν, ἡμεῖς γὰρ οἰκονόμοι, καὶ οὐχὶ κύριοι, καὶ δεσπόται· ἐπεὶ δὲ ἡ κατὰ θεὸν τοῦ πλούτου διοίκησις οὐκ ἄλλως κατορθοῦται, εἰ μὴ διὰ τῆς ἀπροσπαθείας, προστίθησι καὶ τοῦτο τῇ διδασκαλίᾳ εἰπών, οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ, τουτέστιν, ἀδύνατον τὸν προσηλωμένον τῷ πλούτῳ, καὶ ἀποκρατοῦντά τι κατὰ προσπάθειαν, δοῦλον εἶναι θεοῦ· ὥστε εἰ μέλλεις πιστῶς διοικεῖν τὸν πλοῦτον, μὴ δουλεύσῃς αὐτῷ, ὅπερ ἐστὶ, μὴ ἔχῃς σχέσιν πρὸς αὐτὸν, καὶ ὄντως ἐδούλευσας τῷ θεῷ, πανταχοῦ γὰρ ἡ φιλαργυρία διαβάλλεται, ὅπερ ἐστὶν ἡ ἐμπαθὴς σχέσις, καὶ

φιλία τοῦ πλούτου·

» Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι φιλάργυροι ὑπάρχοντες καὶ ἐξεμυ-
» κτήριζον αὐτόν. καὶ εἶπεν αὐτοῖς, ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀν-
» θρώπων, ὁ δὲ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν, ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυ-
» γμα παρὰ τῷ θεῷ· Οἱ μὲν Φαρισαῖοι ἐξεμυκτήριζον τὸν κύριον, ὡς ἐπὶ τοῖς λόγοις διακνιζόμενοι, δυσηρεστοῦντο γὰρ ὡς φιλάργυροι περὶ ἀκτημοσύνης ἀκούοντες· ἐπεὶ καὶ εἴρηται, βδέλυγμα ἁμαρτωλῷ θεοσέβεια, καὶ οἱ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες· ὁ δὲ κύριος ἐκκαλύπτων τὴν ὑποκεκρυμμένην αὐτῶν πονηρίαν, καὶ δεικνὺς, ὅτι εἰ καὶ ὑποκρίνονται δικαιοσύνην, βδελυκτοί εἰσι παρὰ τῷ θεῷ διὰ τὴν οἴησιν, ἣν περὶ ἑαυτῶν ἔχουσι, φησὶν, ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς, καὶ οἰόμενοι, ὡς μόνοις ὑμῖν τὸ νοεῖν ἃ δεῖ, καὶ διδάσκειν δέδοται· διὸ καὶ μυκτηρίζετε τοῖς ἐμοῖς λόγοις ὡς ἄφρονος, θέλοντες νομίζεσθαι τῷ πλήθει ἀληθείας διδάσκαλοι. ἀλλ' οὐχ οὕτως, ὁ γὰρ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν, καὶ βδελυκτοὺς ὑμᾶς ἡγεῖται διὰ τὴν ὑψηλοφροσύνην, καὶ τὴν τῆς ἀνθρωπίνης δόξης ἐπιθυμίαν· τὸ γὰρ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα παρὰ τῷ θεῷ, ἀκάθαρτος γὰρ παρὰ κυρίῳ πᾶς ὑψηλοκάρδιος. ἔδει γοῦν ὑμᾶς ὦ Φαρισαῖοι, μὴ πρὸς ὑπόληψιν ζῆν ἀνθρωπίνην, θεὸς γὰρ διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, δικαιοῦν δὲ μᾶλλον ἑαυτοὺς ἐνώπιον τοῦ θεοῦ·

Ἐκκλη. α΄.
Παροιμ. ιϛ΄.
Ψαλ. νβ΄.

» Ὁ νόμος, καὶ οἱ προφῆται ἕως Ἰωάννου, ἀπὸ τότε ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται.
» καὶ πᾶς εἰς αὐτὴν βιάζεται. εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν, καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ
» νόμου μίαν κεραίαν πεσεῖν· πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, καὶ γαμῶν ἑτέραν, μοι-
» χεύει, καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν, μοιχεύει· Δοκεῖ ἀπηρτημένα εἶναι ταῦθα, καὶ μηδεμίαν κοινωνίαν ἔχειν πρὸς τὰ προρρηθέντα, ἀλλὰ τῷ προσέχοντι οὐκ ἀνακόλουθα δόξαιεν ἂν, λίαν δὲ τοῖς προλαβοῦσιν ἀκόλουθα· ἐπειδὴ γὰρ αὐτὸς μὲν ἀκτημοσύνην εἰσηγήσατο δι' ὧν ἀνωτέρω εἶπε, καὶ τὸν πλοῦτον ἄδικον μαμωνᾶν ἐκάλεσεν, ὁ δὲ νόμος τὰς εὐλογίας καὶ ἐν τῷ πλούτῳ ἐδίδου, καὶ οἱ προφῆται τὰ ἀγαθὰ τῆς γῆς ἐπηγγέλλοντο. ἵνα μήτις εἴπῃ αὐτῷ διαμυκτηρίζων, ὥσπερ οἱ Φαρισαῖοι, τί σὺ λέγεις; ἐναντιοῖς τῷ νόμῳ, ἐκεῖνος καὶ ἐν τῷ πλούτῳ εὐλογεῖ, καὶ σὺ ἀκτημοσύνην διδάσκεις; διὰ τοῦτό φησιν ὁ νόμος, καὶ οἱ προφῆται ἕως Ἰωάννου εἶχον τὸν καιρὸν, καὶ καλῶς μὲν ἐδίδασκον, ἅτε καιρὸν ἐχούσης τῆς νηπιότητος τῶν ἀκουόντων. ἀφ' οὗ δὲ ὁ Ἰωάννης ὁ σχεδὸν ἄυλος δι' ἀκτημοσύνην, καὶ ἀκτήμων διὰ τὴν μικροῦ ἀϋλίαν ἐπεδήμησε, καὶ βασιλείαν οὐρανῶν ἐκήρυξεν, οὐκέτι λοιπὸν τὰ τῆς γῆς ἀγαθὰ καιρὸν ἔχουσιν, ἀλλ' ἡ βασιλεία τῶν οὐρανῶν κηρύττεται· διὸ καὶ ἀκτημοσύνην ἐν γῇ ὀφείλουσιν ἐπιτηδεύειν οἱ τῶν οὐρανῶν ἐφιέμενοι· ἐπεὶ οἵγε προφῆται, καὶ ὁ νόμος μὴ μνησθέντες βασιλείας οὐρανῶν, εἰκότως τὰ τῆς γῆς ἀγαθὰ ἐπηγγέλλοντο τοῖς ἔτι ἀτελεστέροις, καὶ μηδὲν μέγα καὶ ἀνδρικὸν ἐννοεῖν δυναμένοις· ὥστε εἰκότως ὦ Φαρισαῖοι ἀκτημοσύνην διδάσκω, οἷα δὴ τῶν ἀτελῶν τοῦ νόμου προσταγμάτων μηκέτι καιρὸν ἐχόντων. εἶτα ἵνα μὴ εἴπωσιν, ὅτι λοιπὸν πάντα τὰ τοῦ νόμου ἐκβέβληνται ὡς ματαίου καὶ διακένου, οὐχί φησιν ἀλλὰ μᾶλλον νῦν ἀναπληροῦται, καὶ τελειοῦται· ὅσα γὰρ ἐσκιαγράφησεν ἐκεῖνος εἴτε περὶ χριστοῦ λέγων τυπικῶς, εἴτε περὶ ἐντολῶν, ταῦτα νῦν ἀναπληροῦνται, καὶ οὐδὲν τούτων ἄχρι καὶ μιᾶς κεραίας διαπεσεῖται· τότε γὰρ περὶ χριστοῦ ἐκεῖ σκιωδῶς ὑποδειχθέντα, νῦν φανερώτερον τελεσθήσονται. καὶ αἱ ἐντολαὶ τοῦ νόμου, αἱ τότε πρὸς τὴν τῶν ἀτελῶν διάνοιαν οἰκείως καὶ καταλλήλως δοθεῖσαι, νῦν τὸ ὑψηλότερον καὶ τελειότερον ἔξουσιν· ὅτι γὰρ ὁ νόμος πρὸς ἀτελεῖς ἀτελῶς διελέγετο, δῆλον ἐντεῦθεν, καὶ γὰρ περὶ λύσεως γάμου πρὸς τὴν

Δευτ. κδ΄.
Ἡσαΐ. α΄.

σκληροκαρδίαν

σκληροκαρδίαν τῶν ἑβραίων ἀπεκρίνατο. ἵν᾽ εἰ μισοίη ὁ ἀνὴρ τὴν γυναῖκα, ἐξουσίαν ἔχῃ ἀπολύειν αὐτὴν, ἵνα μὴ χεῖρόν τι γένηται. φονεῖς γὰρ ὄντες καὶ αἱμοχαρεῖς οὐδὲ τῶν οἰκειοτάτων ἐφείδοντο, ὡς καὶ τοὺς υἱοὺς, καὶ τὰς θυγατέρας τοῖς δαιμονίοις θύειν. ἀλλὰ τὸ μὲν χθαμαλὸν, καὶ ἀτελὲς τοῦ νόμου τοιοῦτον, καιρὸς γὰρ ἦν τῆς τοιαύτης νομοθεσίας τότε. νυνὶ δὲ ἄλλης τελειοτέρας διδασκαλίας δεῖ. διὸ καὶ φημὶ, πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας δηλαδὴ, καὶ γαμῶν ἑτέραν, μοιχεύει. ὥστε οὐδὲν θαυμαστὸν, εἰ καὶ ~~μὴ~~ περὶ ἀκτημοσύνης διαλέγομαι. μηδὲν οὕτω σαφῶς τοῦ νόμου διδάσκοντος, ~~αὐτὸς~~ περὶ ἀκτημοσύνης. ἰδοὺ γοῦν περὶ τῆς τοῦ γάμου λύσεως ὁ νόμος ἀδιαφόρως ἐκέλευσε. διὰ τὴν μιαιφονίαν τῶν ἰουδαίων, ἐγὼ δὲ πρὸς τὸ τελειότερον ἐγγυμνάζων τοὺς ἀκούοντας, τὴν ἀνεύλογον ἀπόλυσιν ἀπαγορεύω. οὐκ ἐναντία ἐκείνῳ διαγορεύων, ἀλλὰ μᾶλλον τὸ ἐκείνου βούλημα ἱστῶν. τῷ γὰρ νόμῳ βουλητὸν ἦν τὸ μὴ γίνεσθαι φόνους μεταξὺ ἀνδρὸς καὶ γυναικός. τοῦτο κἀγὼ τυπῶ, διὰ τοῦ παιδεύειν τοὺς συζύγους ἀλλήλων κήδεσθαι, καὶ φείδεσθαι ὡς μελῶν οἰκείων. ὥστε καὶ ὁ νόμος μὲν τοῦτο ἐβούλετο, ἐπεὶ δὲ ἀτελεῖς ἦσαν οἱ ἀκούοντες, ὥρισε τὴν τοῦ γάμου διάλυσιν, ἵνα κἂν οὕτως φειδὼ γένοιτο καὶ μὴ κατ᾽ ἀλλήλων μαίνοιντο ὅ, τε ἀνὴρ, καὶ ἡ γυνή. τὰ τοῦ νόμου τοίνυν πάντα ἔστησεν ὁ χριστός. ὥστε καλῶς εἶπεν, ὡς ἀδύνατόν φησιν, πεσεῖν μίαν κεραίαν τοῦ νόμου. πῶς γὰρ ἂν πέσῃ ὁ μᾶλλον ὀρθούμενος ὑπὸ χριστοῦ.

» Ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν, καὶ βύσσον, εὐφραινό-
» μενος καθ᾽ ἡμέραν λαμπρῶς, πτωχὸς δέ τις ἦν ὀνόματι λάζαρος, ὃς ἐβέβλητο πρὸς
» τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος, καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πι-
» πτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου. ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ
» ἕλκη αὐτοῦ. ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέ-
» λων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ. ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη.

Ἀκόλουθα τοῖς προειρημένοις ταῦτα. ἐπειδὴ γὰρ προλαβὼν περὶ τοῦ τὸν πλοῦτον διατίθεσθαι καλῶς ἐδίδαξεν, εἰκότως ἐπισυνάπτει καὶ ταύτην τὴν παραβολὴν, εἰς τοῦτο αὐτὸ φέρουσαν διὰ τοῦ κατὰ τὸν πλούσιον ὑποδείγματος. παραβολὴ γὰρ καὶ τοῦτο, ἀλλ᾽ οὐχ ὥς τινες ἀνοήτως ἂν οἰηθεῖεν, πρᾶγμά ἐστιν ἤδη γεγονὸς, οὐδέπω γὰρ οὔτε τοῖς δικαίοις τῶν ἀγαθῶν, οὔτε τοῖς ἁμαρτωλοῖς τῶν ἐναντίων ἡ ἀποκλήρωσις, ἀλλ᾽ ἐσχημάτισε τὸν λόγον ὁ κύριος, πρὸς τὸ παιδεῦσαι τοὺς ἀνελεήμονας, οἷα αὐτοῖς ἀποκείσονται, καὶ αὖ διδάξαι τοὺς κακοπαθοῦντας, οἷα εὖ πείσονται, ὑπὲρ ὧν ἐνταῦθα ὑπομένουσι. τὸν μὲν οὖν πλούσιον ἀνωνύμως ἐν τῇ παραβολῇ παρέλαβεν. οἷα μηδὲ ἄξιον παρὰ θεῷ ὀνομάζεσθαι, καθὰ καὶ διὰ τοῦ προφήτου φησὶν, οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. τοῦ δὲ πένητος ὀνομαστὶ μνημονεύει, τῶν γὰρ δικαίων τὰ ὀνόματα καὶ ἐν βίβλῳ ζωῆς ἀπογράφονται. ἔστι δὲ λόγος, ὡς ἡ ἑβραίων παράδοσις ἔχει, λάζαρον εἶναί τινα ἐν ἱεροσολύμοις κατ᾽ ἐκεῖνο καιροῦ ἐσχάτην πενίαν κεκληρωμένον, καὶ ἀρρωστίαν, οὗ μνημονεῦσαι τὸν κύριον εἰς παραβολὴν αὐτὸν λαβόντα, ὡς ἐμφανῆ καὶ γνώριμον. ὁ μὲν οὖν πλούσιος πάντοθεν εὔπορος ἦν, καὶ γὰρ καὶ πορφύραν καὶ βύσσον ἐνεδέδυτο, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τὴν ἄλλην τρυφὴν ἐτρύφα πᾶσαν. εὐφραινόμενος γάρ φησι, καὶ οὐ νῦν μὲν, νῦν δὲ οὔ, ἀλλὰ καθημέραν. καὶ οὐ μετρίως, ἀλλὰ λαμπρῶς, τουτέστιν ἀσώτως, καὶ πολυτελῶς. ὁ δὲ λάζαρος καὶ πένης, καὶ ἀρρωστῶν, καὶ τοῦτο δεινῶς, ἡλκωμένος γάρ φησιν. ἔστι γὰρ ἀρρωστεῖν, οὐ μὴν ἡλκῶσθαι. ἐνταῦθα δὲ ἐπίτασις τοῦ κακοῦ καὶ πρὸς τὸν πυλῶνα βεβλημένος τοῦ πλουσίου, ἑώρα βασανισμὸς τὸ ὁρᾶν ἄλλους ὑπερτρυφῶντας, αὐτὸν δὲ λι

Δευτ. κδ΄.
Ψαλ. ρε΄.
Ψαλ. ιε΄.
Δανιήλ. ιβ΄.
Πρὸς Φι. δ΄.
Ἀπο. γ΄. κ΄.

μάτθαιον. ἐπεθύμει γὰρ χορτασθῆναι οὐχὶ βρωμάτων πολυτελῶν, ἀλλὰ καὶ ψιχίων
αὐτῶν, καὶ τούτων, ὧν οἱ κύνες χορτάζονται· ἀλλὰ καὶ ἔρημος τῶν θεραπευσόντων.
οἱ γὰρ κύνες ἔλειχον τὰ ἕλκη αὐτοῦ, οἷα μηδενὸς ὄντος τοῦ ἀποσοβήσοντος τούτους· ἆ-
ρα οὖν ἐν τοσούτοις δεινοῖς ὢν ὁ λάζαρος ἐβλασφήμησεν, ἢ ἐλοιδόρησε τὴν τρυφὴν
τοῦ πλουσίου; ἢ τὴν ἀπανθρωπίαν κατέκρινεν; ἢ τὴν πρόνοιαν ἐμέμψατο; οὐδὲν τού-
των ἐνόησεν, ἀλλὰ μετὰ πολλῆς τῆς φιλοσοφίας ἐκαρτέρει. πόθεν δῆλον; ἀφ' ὧν οἱ
ἄγγελοι αὐτὸν ἀποθανόντα ἐδέξαντο. οὐκ ἂν γὰρ εἰ γογγυστὴς ἦν, καὶ βλάσφημος, το-
σαύτης τιμῆς ἠξιώθη, καὶ τῆς παρ' ἀγγέλων δορυφορίας. ἀπέθανε δὲ καὶ ὁ πλού-
σιος, καὶ ἐτάφη· τῷ ὄντι γὰρ καὶ ζῶντος κατωρορυγμένη αὐτοῦ ἦν ἡ ψυχὴ, ὡς τάφον
περιφέρουσα τὴν σάρκα· διὸ καὶ ἀποθανὼν οὐχ ὑπὸ ἀγγέλων ἀπάγεται, ἀλλ' εἰς τὸν
ᾅδην κατάγεται· ὁ γὰρ μηδὲν ὑψηλὸν φρονήσας ποτὲ μηδ' οὐράνιον, τοῦ κατωτά-
του τόπου ἄξιος· τῷ γοῦν εἰπεῖν ὅτι ἐτάφη, τοῦτο παρηνίξατο ὁ κύριος, ὅτι καὶ ἡ ψυ-
χὴ αὐτοῦ τὸν κατωτάτω τόπον καὶ ζοφώδη ἔλαχεν·

» Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν
» Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ, καὶ αὐτὸς φωνήσας
» εἶπε. πάτερ Ἀβραὰμ ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δα-
» κτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ
» ταύτῃ. εἶπε δὲ Ἀβραὰμ, τέκνον μνήσθητι, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ
» σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά, νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ
» ἐπὶ πᾶσι τούτοις χάσμα μέγα ἐστήρικται μεταξὺ ἡμῶν καὶ ὑμῶν, ὅπως οἱ θέλον-
» τες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν·

Ὥσπερ τὸν Ἀδὰμ ὁ κύριος ἐκβάλλων τοῦ παραδείσου ἀπέναντι αὐτοῦ κατῴκισεν,
ἵνα τῇ συνεχεῖ ὄψει ἀνανεούμενον τὸ πάθος ἀκριβεστέραν αὐτῷ παράσχῃ τὴν αἴσθησιν
τῆς τῶν ἀγαθῶν ἐκπτώσεως. οὕτω καὶ τοῦτον κατέναντι τοῦ Λαζάρου κατεδίκασεν,
ἵν' ὁρῶν αὐτὸν ἐν οἵοις ἐστὶν, αἰσθάνηται ὧν διὰ τὴν ἀπανθρωπίαν ἐκπέπτωκε· διατί
δὲ οὐ παρ' ἄλλῳ τινὶ τῶν δικαίων, ἀλλ' ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ εἶδε τὸν Λάζα-
ρον; ἐπεὶ φιλόξενος ἦν ὁ Ἀβραὰμ, ἵν' ὅσῳ ἔλεγχος τῆς μισοξενίας αὐτοῦ γένηται,
διὰ τοῦτο μετ' ἐκείνου βλέπει· ἐκεῖνος καὶ τοὺς παριόντας εἰς τὴν οἰκίαν εἷλκε τὴν
ἑαυτοῦ, αὐτὸς δὲ καὶ τὸν ἔσω κείμενον παρεώρα· διατί δὲ μὴ πρὸς τὸν Λάζαρον ἀπο-
τείνει τὸν λόγον, ἀλλὰ πρὸς τὸν Ἀβραάμ; ᾐσχύνετο ἴσως, ἐνόμιζε γὰρ τυχὸν καὶ μνη-
σικακεῖν τὸν Λάζαρον, καὶ ἐκ τῶν καθ' ἑαυτὸν ἔκρινε καὶ τὰ τοῦ Λαζάρου· εἰ γὰρ ἐγὼ
τοσαύτης ἀπολαύων εὐημερίας, περιεώρων αὐτὸν τοσούτοις κακοῖς στενοχωρούμενον, καὶ
οὐδὲ ψιχίων μετεδίδουν, πολλῷ μᾶλλον αὐτὸς ὁ καταφρονηθεὶς μνησικακήσει, καὶ
οὐκ ἐπινεύσει δοῦναι τὴν χάριν· διὰ τοῦτο πρὸς τὸν Ἀβραὰμ ποιεῖται τοὺς λόγους,
ἐνόμιζε γὰρ ἀγνοεῖν τὸν πατριάρχην τὰ γεγενημένα· τί οὖν ἐκεῖνος; οὐκ εἶπεν ἀ-
πάνθρωπε, καὶ ὠμὲ, οὐκ αἰσχύνῃ; φιλανθρωπίας νῦν μέμνησαι; ἀλλὰ πῶς; τέκνον,
ὅρα συμπαθῆ καὶ ἁγίαν ψυχὴν, φησὶ γάρ καί τις σοφός, ψυχὴν τεταπεινωμένην μὴ
προσταράξῃς· διὰ τοῦτο καὶ αὐτὸς τέκνον φησὶν, αἰνιττόμενος διὰ τούτου, ὅτι ἄχρι τού-
του ἐστὶν αὐτῷ ἡ ἐξουσία τοῦ ὀνομάσαι αὐτὸν οὕτως ἱλαρῶς, περαιτέρω δὲ οὐδενὸς
ἐξουσιάζει· οὐ ἔχω τούτου σοι μεταδίδωμι, συμπαθοῦς φωνῆς, τὸ δὲ ἐντεῦθεν ἐκεῖ με-
ταβαίνειν οὐχ ἡμέτερον, ἐκλείσθη γὰρ τὰ πάντα· καὶ σὺ μὲν ἀπέλαβες τὰ ἀγαθά
σου, ἐκεῖνος δὲ τὰ κακά· τίνος δὲ ἕνεκεν οὐκ εἶπεν ἔλαβες, ἀλλ' ἀπέλαβες; τὸ γὰρ ἀπο-
λαβεῖν ἐπὶ τῶν ὑποδεχομένων ὅπερ ἐχρεωστοῦτο, λέγειν εἰώθαμεν· τί οὖν μανθάνο-
μεν; ὅτι κἂν μιαροί τινες ὦσιν, κἂν εἰς ἔσχατον κακίας ἐληλακότες, πολλάκις ἔστι, καὶ

δύο

δύο εἰργάσαντο ἀγαθά. ὅθεν καὶ αὐτὸς ἔχων τινὰ ἀγαθὰ διὰ τῆς ἐν τῷδε τῷ βίῳ εὐημερίας τὴν ἀμοιβὴν δεξάμενος, ἀπολαβεῖν ταῦτα λέγεται. ὁμοίως δὲ καὶ ὁ Λάζαρος τὰ κακά, ἴσως γὰρ καὶ οὗτος ἓν ἢ δύο εἰργάσατο κακά, καὶ διὰ τῆς ὀδύνης, ἧς ἐνταῦθα ὑπέμεινεν, ἀπέλαβε τὴν ἀξίαν ἀμοιβὴν τούτων. διὸ παρακαλεῖται μὲν οὗτος, ὀδυνᾶσαι δὲ σύ. τὸ δὲ χάσμα δηλοῖ τὴν τῶν δικαίων πρὸς τοὺς ἁμαρτωλοὺς διάστασιν, καὶ διαφοράν. ὥσπερ γὰρ καὶ αἱ προαιρέσεις αὐτῶν διάφοροι ἦσαν, οὕτω καὶ αἱ μοναὶ πολλὴν τὴν ἀπόστασιν ἔχουσιν, ἑκάστου τὰ κατάλληλα τῇ προαιρέσει, καὶ τῷ βίῳ ἀπολαμβάνοντος. σημείωσαι δὲ ἐντεῦθεν πόρισμά τι κατὰ τῶν ὠριγενιαστῶν λεγόντων, ὅτι τέλος ἐχούσης τῆς κολάσεως ἔσται καιρός, ὅτε οἱ ἁμαρτωλοὶ ἑνωθήσονται τοῖς δικαίοις, καὶ τῷ θεῷ, καὶ οὕτως τὰ πάντα ἐν πᾶσι γένηται ὁ θεός. ἰδοὺ γὰρ ἀκούομεν τοῦ Ἀβραὰμ λέγοντος, ὅπως οἱ βουλόμενοι ἔνθεν πρὸς ὑμᾶς, ἢ ἐκεῖθεν διαβῆναι πρὸς ἡμᾶς μὴ δύνωνται. ὥσπερ οὖν ἀδύνατον ἐκ τῆς λήξεως τῶν δικαίων μεταβῆναι τινὰ εἰς τὸν τόπον τῶν ἁμαρτωλῶν, οὕτως ἀδύνατον ἡμᾶς διδάσκει Ἀβραὰμ τὸ μεταβῆναι ἐκ τοῦ τόπου τῆς κολάσεως εἰς τὸν τόπον τῶν δικαίων. Ἀβραὰμ δὲ ἀξιοπιστότερος δήπου Ὠριγένους. τί δὲ ὁ ᾅδης; οἱ μὲν αὐτόν φασι χῶρον ὑπόγειον σκοτεινόν, οἱ δὲ τὴν ἀπὸ τοῦ ἐμφανοῦς εἰς τὸ ἀφανὲς, καὶ ἀειδὲς μετάστασιν τῆς ψυχῆς ᾅδην ἔφασαν. ἄχρι μὲν γὰρ ἐν σώματι ἐστὶν ἡ ψυχή, φαίνεται διὰ τῶν οἰκείων ἐνεργειῶν, μεταστᾶσα δὲ τοῦ σώματος ἀειδὴς γίνεται, τοῦτο γοῦν ἔφασαν εἶναι τὸν ᾅδην. κόλπους δὲ Ἀβραάμ, τὴν περιοχὴν τῶν ἀγαθῶν τῶν ἀποκειμένων τοῖς δικαίοις, τοῖς ἀπὸ ζάλης εἰς λιμένας καταντήσασιν οὐρανίους. ἐπεὶ καὶ ἐν θαλάσσῃ κόλπους εἰώθαμεν καλεῖν τοὺς λιμενοειδεῖς καὶ ἀναπαυτηρίους τόπους. σημείωσαι δὲ καὶ τοῦτο, ὅτι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὁ ἀδικῶν τὸν ἀδικούμενον ὄψεται, ἐν ποίᾳ δόξῃ ἐστί, καὶ οὗτος αὖ ἐκεῖνον ἐν ποίᾳ κατακρίσει, ὥσπερ ἐνταῦθα ὁ πλούσιος τὸν Λάζαρον, καὶ οὗτος πάλιν τὸν πλούσιον.

» Εἶπε δέ, ἐρωτῶ οὖν σε πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου, ἔχω
» γὰρ πέντε ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν
» τόπον τοῦτον τῆς βασάνου. λέγει αὐτῷ Ἀβραάμ, ἔχουσι Μωσέα, καὶ τοὺς προφήτας,
» ἀκουσάτωσαν αὐτῶν. ὁ δὲ εἶπεν, οὐχὶ πάτερ Ἀβραάμ, ἀλλ' ἐάν τις ἐκ νεκρῶν πορευ-
» θῇ πρὸς αὐτούς, μετανοήσουσιν. εἶπε δὲ αὐτῷ, εἰ Μωσέως, καὶ τῶν προφητῶν οὐκ ἀκού-
» ουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται. Ἀποτυχὼν τῆς καθ' ἑαυτὸν ὁ ἐλεει-
νὸς πλούσιος, ὑπὲρ ἑτέρων τίθησι τὴν ἱκετηρίαν. ὅρα πῶς ὑπὸ τῆς κολάσεως εἰς συναίσθησιν ἦλθε, καὶ ὁ τοῦ Λαζάρου πρὶν καταφρονῶν ἐν ποσὶ κειμένου, νῦν ἑτέρων ἀπόντων φροντίζει, καὶ παρακαλεῖ πεμφθῆναι τὸν Λάζαρον ἐκ τῶν νεκρῶν εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ. καὶ οὐχ ἁπλῶς ἕνα τῶν νεκρῶν, ἀλλὰ τὸν Λάζαρον, ὅπως ἴδωσιν αὐτὸν ἐστεφανωθέντα καὶ ἐν δόξῃ καὶ ὑγείᾳ, οἱ ἰδόντες αὐτὸν ἐν ἀρρωστίᾳ, καὶ ἀτιμίᾳ, καὶ οἱ γενόμενοι μάρτυρες τῆς πενίας αὐτοῦ, αὐτοὶ καὶ τῆς δόξης γένωνται θεαταί. πρόδηλον γὰρ ὡς ἐν δόξῃ ἤμελλεν αὐτοῖς ἐπιφανῆναι, εἴγε ἀξιόπιστον αὐτὸν ἐχρῆν εἶναι κήρυκα. τί οὖν ὁ Ἀβραάμ; ἔχουσι Μωσέα, οὐχ οὕτως, φησί, σὺ κήδῃ τῶν ἀδελφῶν, ὡς ὁ ποιήσας αὐτοὺς θεός, μυρίους γὰρ ἐπέστησεν αὐτοῖς διδασκάλους. ὁ δὲ πλούσιος οὐχί φησι πάτερ. ἐπεὶ γὰρ αὐτὸς τῶν γραφῶν ἀκούων ἠπίστει, καὶ μύθους εἶναι τὰ λεγόμενα ἐνόμιζε, ὁμοίως ἔχειν καὶ τοὺς ἀδελφοὺς ὑπελάμβανε, καὶ ἀφ' ἑαυτοῦ κρίνων ἔλεγε, ὅτι οὐκ ἀκούουσι τῶν γραφῶν, ὥσπερ οὖν οὐδ' αὐτός, ἀλλ' ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πιστεύσουσι. τοιοῦτοι καὶ νῦν εἰσὶν οἱ λέγοντες, τίς οἶδε τὰ ἐν ᾅδου; τίς ἐλθὼν ἐκεῖθεν ἀπήγγειλεν ἡμῖν; ἀλλ' ἀκουσάτωσαν τοῦ Ἀβραάμ, ὅτι εἰ τῶν γραφῶν

οὐκ ἀκούομεν, οὐδὲ τοῖς ἐξ ᾅδου ἐρχομένοις πιστεύσομεν· καὶ τοῦτο ἐδήλωσαν οἱ Ἰου-
δαῖοι, οἱ ἐπεὶ τῶν γραφῶν οὐκ ἤκουον, οὐδὲ νεκροὺς ἰδόντες ἀναστάντας ἐπίστευσαν,
ἀλλὰ καὶ τὸν Λάζαρον ἀνελεῖν ἐπεχείρουν· καὶ ἐν τῷ σταυρῷ νεκρῶν πολλῶν ἀνα-
στάντων, ὅμως τοῖς ἀποστόλοις ἐπεπήδων φονικώτερον· ἐπεὶ εἴγε ὠφέλει ἡμᾶς εἰς πί-
στιν, καὶ τοῦτο ἐποίει ἂν συχνάκις ὁ κύριος, νῦν δὲ οὐδὲν οὕτως ὠφελεῖ, ὡς ἡ τῶν γρα-
φῶν ἀκριβὴς ἔρευνα· νεκροὺς δὲ ἀνιστᾶν, ἐσοφίσατο ἂν ὁ διάβολος κατὰ φαντασίαν,
καὶ διὰ τούτου ἐπλάνησεν ἂν τοὺς ἀνοήτους, πολλὰ τῶν ἐν ᾅδου δόγματα ἄξια τῆς οἰκείας
κακίας καταπείρων· τῶν δὲ γραφῶν ὑγιῶς ἐρευνωμένων, οὐδὲν ἰσχύσει τοιοῦτον σοφί-
σασθαι, αὗται γάρ εἰσι λύχνος, καὶ φῶς, καὶ τούτου φαίνοντος, ὁ κλέπτης φαίνεται,
καὶ εὑρίσκεται· ταύταις οὖν πιστευτέον, καὶ μὴ ζητητέον νεκρῶν ἀναστάσεις. ἔστι δὲ καὶ
τροπικώτερον τὴν παραβολὴν ταύτην ἐκλαβεῖν, λέγοντας τὸν Ἑβραϊκὸν λαὸν ὑπο-
δηλοῦσθαι διὰ τοῦ πλουσίου, πλούσιος γὰρ ἦν οὗτος τὸ παλαιὸν, ἐν πάσῃ γνώσει, καὶ
σοφίᾳ πλουτισθεὶς, καὶ τοῖς λογίοις τοῦ θεοῦ τοῖς ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πο-
λύν, ἀλλὰ καὶ πορφύραν, καὶ βύσσον ἐνεδέδυτο, βασιλείαν ἔχων καὶ ἱερωσύνην, καὶ
Ἔξο. ιθʹ. βασίλειον ὢν ἱεράτευμα τῷ θεῷ· αἰνίττεται δὲ ἡ μὲν πορφύρα τὴν βασιλείαν, ἡ δὲ
Ἔξο. κηʹ. βύσσος ἱερωσύνην· οἱ γὰρ Λευῖται βυσσίνοις ἐχρῶντο ἐν ταῖς ἱερουργίαις ἐσθήμασιν· εὐ-
φραίνετό, τε καθ' ἡμέραν λαμπρῶς, καθ' ἑκάστην γὰρ ἡμέραν θυσίας ἀνέφερον πρωΐας,
Ἀριθ. κηʹ. καὶ ἑσπέρας, ἃς καὶ τοῦ ἐνδελεχισμοῦ ὠνόμαζον· Λάζαρος δὲ ἦν ὁ ἐξ ἐθνῶν λαὸς, πέ-
νης θείων χαρίτων, καὶ σοφίας, καὶ πρὸ τῶν πυλώνων κείμενος, οὐ γὰρ ἐξῆν τοῖς ἐθνι-
Δευτ. κγʹ. κοῖς εἰς τὸν οἶκον εἰσελθεῖν, μιασμὸς γὰρ ἐδόκει, ὡς καὶ ἐν ταῖς πράξεσι καταβοᾶ-
Πράξ. καʹ. ται ὁ Παῦλος ὡς ἐθνικοὺς εἰσαγαγὼν εἰς τὸν ναὸν, καὶ κεκοινωκὼς τὸν ἅγιον τόπον τοῦ-
τον· ἀλλὰ καὶ ἥλκωτο ταῖς προσοζούσαις ἁμαρτίαις, καὶ τοὺς ἀναιδεῖς κύνας, τοὺς
δαίμονας ἔτρεφε τοῖς ἕλκεσι τούτοις, ἡδονὴ γὰρ αὐτοῖς τὰ ἡμέτερα ἕλκη· ἐπεθύμει
δὲ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου, ἄμοιρος γὰρ ἦν παν-
τάπασι τῶν τὴν καρδίαν στηριζόντων ἄρτων, καὶ τῆς λεπτοτάτης, καὶ μικρᾶς, καὶ
Ματθ. ιεʹ. λογικῆς τροφῆς ἐδεῖτο, ὥσπερ καὶ ἡ Χαναναία ἐθνικὴ οὖσα, ἀπὸ τῶν ψιχίων διατρα-
φῆναι ζητεῖ· τί οὖν; ἀπέθανε μὲν ὁ Ἑβραϊκὸς λαὸς τῷ θεῷ, καὶ νεκρὰ γέγονεν αὐ-
τῶν τὰ ὀστᾶ, μηδεμίαν κίνησιν πρὸς τὸ ἀγαθὸν ποιουμένων· ἀπέθανε δὲ καὶ ὁ Λάζα-
ρος τῇ ἁμαρτίᾳ, ὁ ἐθνικὸς λαὸς, καὶ οἱ μὲν Ἰουδαῖοι ἐν ταῖς ἁμαρτίαις αὐτῶν
ἀποθανόντες ἐν τῇ φλογὶ κατακαίονται τοῦ φθόνου ζηλοῦντες, ὡς φησὶν ὁ ἀπόστολος,
ὅτι οἱ ἐθνικοὶ προσεδέχθησαν εἰς τὴν πίστιν· ὁ δὲ πρὶν πένης καὶ ἄτιμος λαὸς τῶν
ἐθνῶν ἐν κόλποις Ἀβραὰμ τοῦ πατρὸς τῶν ἐθνῶν διάγει εἰκότως. καὶ γὰρ καὶ Ἀβραὰμ
ἐθνικὸς ὢν, ἐπίστευσε τῷ θεῷ, καὶ ἐξ εἰδωλολατρείας εἰς θεογνωσίαν μετέστη· οἱ τοίνυν
κοινωνοὶ τῆς μεταθέσεως αὐτοῦ καὶ τῆς πίστεως, εἰκότως καὶ ἐν τοῖς κόλποις αὐτοῦ
ἀναπαύονται, τὰς αὐτὰς αὐτῷ λήξεις, καὶ μονὰς, καὶ ὑποδοχὰς τῶν ἀγαθῶν κλη-
ρωσάμενοι· καὶ ἐπιθυμεῖ ὁ Ἰουδαῖος σταγόνος μιᾶς τῶν παρὰ τῷ νόμῳ παλαιῶν ῥαν-
τισμῶν, καὶ καθαρσίων, ὡς ἂν καταψυχθείη αὐτοῦ ἡ γλῶσσα, καὶ ἔχοι τὸ παρρησιάζε-
σθαι καὶ λέγειν τι πρὸς ἡμᾶς, ὡς τοῦ νόμου ἐνεργοῦντος, ἀλλ' οὐ τυγχάνει, ὁ νόμος γὰρ
Ψαλ. λθʹ. ἕως Ἰωάννου, καὶ θυσίαν φησὶ, καὶ προσφορὰν οὐκ ἠθέλησας· καὶ τὰ ἑξῆς· καὶ ὁ Δα-
Δαν. θʹ. νιὴλ ἐξολοθρευθήσεσθαι χρίσμα, καὶ ἐσφραγισθῆναι προφητείαν, τουτέστι, παυθῆναι,
καὶ συγκλεισθῆναι προηγόρευσε· σὺ δὲ καὶ ἠθικῶς τὴν παραβολὴν ἐκλάμβανε, καὶ
μὴ πλούσιος ὢν ἐν κακοῖς παρορᾷς τὸν νοῦν σου λιμώττοντα, καὶ κάτω βεβλημένον
τὸν ἄνω φέρεσθαι δεδημιουργημένον, καὶ πρὸ τῶν πυλώνων κείμενον, ἀλλ' εἰσάγαγε
αὐτὸν ἔσω, καὶ μὴ ἔξω ἔστω, καὶ περιπλανάσθω, μηδὲ κείσθω, ἀλλ' ἐνεργείτω. οὕτως

γὰρ αὐτοῖς ὑπάρξῃ τὸ κατὰ νοῦν ἐνεργεῖν, καὶ μὴ μόνον κατὰ σάρκα τρυφᾶν. καὶ τὰ ἄλλα δὲ τῆς παραβολῆς ῥᾴδιον εἰς ἠθικὴν ὠφέλειαν ἐκλαβέσθαι.

Κεφ. ιζ'.

Εἶπε δὲ πρὸς τοὺς μαθητὰς, ἀνένδεκτόν ἐστι τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ δι' οὗ ἔρχεται, λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔῤῥιπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. προσέχετε ἑαυτοῖς. ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ, καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμαρτήσει εἰς σὲ, καὶ ἑπτάκις ἐπιστρέψῃ εἰς σὲ, λέγων μετανοῶ, ἀφήσεις αὐτῷ. Ἐπειδὴ οἱ φαρισαῖοι φιλοχρήματοι ὄντες διεγόγγυζον κατὰ τοῦ κυρίου περὶ ἀκτημοσύνης λέγοντος, εἶπεν μὲν καὶ τὴν τοῦ πλουσίου, καὶ τοῦ Λαζάρου παραβολὴν, δεικνύων αὐτοῖς διὰ ταύτης οἵα αὐτοὺς κόλασις ἐκδέξεται διὰ τὸ φιλόπλουτον. λέγει δὲ λοιπὸν καὶ πρὸς τοὺς μαθητὰς καὶ περὶ αὐτῶν τῶν φαρισαίων, σκανδαλουργοὺς ἐμφαίνων αὐτοὺς, καὶ ἐμποδιστὰς τῆς θείας ὁδοῦ, καὶ διὰ τοῦτο οὐαὶ αὐτοῖς ἀπειλῶν. τί οὖν φησιν, ἴδωμεν. ἀνένδεκτόν ἐστι μὴ ἐλθεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ δι' οὗ ἔρχεται, τουτέστιν, ἀδύνατόν ἐστι μὴ ἐλθεῖν τὰ σκάνδαλα, ἤτοι τὰ κωλύματα τῆς ἀγαθῆς καὶ θεοφιλοῦς πολιτείας. ἀνάγκη γὰρ διὰ τὴν πολλὴν τῶν ἀνθρώπων πονηρίαν κωλύματα πολλὰ τοῦ κηρύγματος, καὶ τῆς ἀληθείας εὑρεθῆναι, πλὴν ἀλλ' οὐαὶ τῷ δι' οὗ ἔρχονται, τῷ ἐργάτῃ τούτων, οἷοι οἱ φαρισαῖοι σκανδαλίζοντες, καὶ κωλύοντες τὸ κήρυγμα. ἀλλὰ ζητοῦσι πολλοὶ ἐπαπορούντες, εἰ ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα, καὶ ἀδύνατον μὴ ἐμποδισθῆναι τὸ κήρυγμα, διατί λοιπὸν κατακρίνεις ὦ κύριε καὶ ταλανίζεις τοὺς τῶν σκανδάλων ἐργάτας; ἐξ ἀνάγκης γὰρ ἐγένοντο τοιοῦτοι, πᾶν δὲ τὸ ἀναγκαστικὸν, καὶ συγγνωστόν. ἀλλ' ἄκουε ὅτι ἡ ἀνάγκη αὕτη ἐκ προαιρέσεως ἔχει τὴν ἀρχὴν, οἷον τί λέγω, ὁ κύριος ὁρῶν τὴν πονηρίαν τῶν τότε ἀνθρώπων, καὶ ὅπως ἔγκεινται ἐπὶ τὸ πονηρὸν, καὶ οὐδὲν ἀγαθὸν προαιροῦνται, εἶπεν. ὅτι ὅσον ἀπὸ τῆς ἀκολουθείας τῶν ὁρωμένων ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα. ἡ μὲν οὖν πονηρία, ἣν ἐπετηδεύοντο οἱ ἄνθρωποι, ἐκ προαιρέσεως, ἡ δὲ τῶν σκανδάλων ἐργασία ἐκ τῆς πονηρίας ἀναγκαίως ἐπηκολούθησεν, ὥστε διὰ τοῦτο καὶ κολαστέοι οἱ τῶν σκανδάλων ἐργάται. ὡς φέρε εἰπεῖν ἐπὶ ὑποδείγματος, ἰατρὸς ὁρῶν τινὰ μοχθηρῶς διαιτώμενον, καὶ ἀπληστίᾳ χρώμενον, εἴποι, ἀναγκαῖον ἐστὶ τοῦτον νοσῆσαι. ἆρ' οὖν ἡ νόσος ἀναγκαία; ναὶ, ὅσον ἀπὸ τῆς ἀκολουθίας τῆς μοχθηρᾶς διαίτης. διὰ τοῦτο οὐαὶ τοῖς ἐμποδίζουσι τῷ κηρύγματι, διότι εἰς τοῦτο κακίας ἦλθον, ὥστε ἀνάγκην γενέσθαι, τοῦ ἐλθεῖν τὰ σκάνδαλα. καὶ γὰρ συμφέρει τῷ ἀνθρώπῳ τῷ σκάνδαλα, καὶ ἐμπόδια ποιοῦντι μύλον ὀνικὸν περιτεθῆναι, καὶ βληθῆναι εἰς τὴν θάλασσαν, ἢ ἕνα τῶν μικρῶν πιστῶν σκανδαλίσαι, καὶ περιτρέψαι. διὸ ἀσφαλίζεται τοὺς μαθητὰς, καί φησι, προσέχετε ἑαυτοῖς. ἰδοὺ φησὶ προλέγω ὑμῖν, ὅτι ἥξει τὰ κακὰ, ἀναπολόγητοι ἐστέ, ἀνάγκη μὲν γὰρ ἥξειν ἐκεῖνα, οὐκ ἀνάγκη δὲ ἡμᾶς ἀπολέσθαι, εἴγε ἀσφαλίζεσθε ἑαυτοὺς. καὶ καθοπλίζετε. ἀνάγκη μὲν γὰρ τὸν λύκον ἐλθεῖν, ἀλλ' ἐὰν ἐγρήγορεν ὁ ποιμὴν, οὐκ ἀνάγκη διαφθαρῆναι τὰ πρόβατα, ἀλλὰ τὸν λύκον μάτην χανόντα ἀπελθεῖν, εἰπὼν οὖν ταῦτα περὶ τῶν σκανδαλιζόντων, καὶ βλαπτόντων, τουτέστιν ἐμποδιζόντων, ἐπειδὴ πολλαὶ διαφοραί εἰσι τούτων, οἱ μὲν γάρ εἰσιν ἀνίατοι, οἷοι οἱ φαρισαῖοι, οἱ δὲ ἰάσιμοι, οἷοι οἱ τοῦ κυρίου ἀδελφοὶ πρὸς αὐτὸν τὸν κύριον, οὐδὲ γὰρ αὐτοὶ ἐπίστευον εἰς αὐτὸν, ἐπεὶ οὖν πολ- Ἰωάν. ζ'.
λαὶ διαφοραὶ τῶν ἐμποδιζόντων, εἰκὸς γὰρ εἶναί τινας καὶ ὁμοπίστους τοιούτους, διὰ τοῦτο φησὶν, ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ σὺ μόνος κατ' ἰδίαν, καὶ ἂν μὲν ἀκούσῃ σου, ἐκέρδησας αὐτὸν, εἰ δὲ μὴ, παράλαβε μετὰ σοῦ ἕνα ἢ δύο, καὶ

Ματθ. ιη΄. ἑξῆς, ὅσα μὲν πλατέως ὁ Ματθαῖος ἐξέθετο, ὁ δὲ Λουκᾶς παρεσιώπησεν ὡς τῷ Ματθαίῳ ῥηθέντα· ὁ μὲν ἀκούσας τῶν ἐπιτιμήσεων, συγγνώμης ἄξιος, ὁ δὲ μὴ ἀκούσας, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης, τουτέστι βδελυκτὸς, καὶ οὐκ ἄξιος καλεῖσθαι ἀδελφός. εἶτα. ὥσπερ εἰπόντος τινὸς, ὅτι ἔσω κύριε, ταῦτα μὲν καλῶς διεῖλες, ἐὰν δὲ πολλάκις συγγνώμης ἀξιωθεὶς πάλιν βλάπτῃ, τί ποιητέον αὐτῷ; φησὶν εἰ μετανοεῖ πάλιν, ἄφες αὐτῷ. καὶ πάλιν, κἂν ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ, ἄφες αὐτῷ. τὸ δὲ ἑπτάκις ἐνταῦθα ἀντὶ τοῦ πολλάκις κεῖται, ὥσπερ καὶ τὸ, ὅτι στεῖρα ἔτεκεν ἑπτά. ὁσάκις οὖν μετανοεῖ, τοσαυτάκις αὐτῷ ἀφιέναι δεῖ. μὴ γὰρ δὴ νόμιζε. ὅτι ἀριθμὸν τίθησιν ὁ κύριος τῆς συγχωρήσεως, ἀλλ᾽ ὅπερ εἶπον τὸ ἑπτάκις, ἀντὶ τοῦ πολλάκις, καὶ ἀναρίθμητα νόει, ὥσπερ καὶ ἐν τῇ συνήθει ὁμιλίᾳ λέγομεν, μυρίανδρος πόλις, οὐχ ὅτι μυρίους ἔχει, ἴσως γὰρ καὶ πλείους, ἀλλ᾽ ἀντὶ τοῦ πολύανδρος εἰπεῖν, μυρίανδρος φαμέν· ὅτι δὲ τοῦτο λέγει, δῆλον ἀπὸ τοῦ Ματθαίου, ἐκεῖ γὰρ τῷ Πέτρῳ εἰπόντι, ἄρα κύριε ἕως ἑπτάκις συγχωρήσω αὐτῷ; εἶπεν ὁ κύριος. οὐχὶ, ἀλλ᾽ ἑβδομηκοντάκις ἑπτὰ διὰ τούτου τὸ ἀναρίθμητον ὑποδηλῶν·

» Καὶ εἶπον οἱ ἀπόστολοι τῷ κυρίῳ πρόσθες ἡμῖν πίστιν· εἶπε δὲ ὁ κύριος, εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ, ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ, καὶ ὑπήκουσεν ἂν ὑμῖν. τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι αὐτῷ ἐκ τοῦ ἀγροῦ ἐρεῖ, εὐθέως παρελθὼν ἀνάπεσαι, ἀλλ᾽ οὐχὶ ἐρεῖ αὐτῷ, ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι, ἕως φάγω καὶ πίω, καὶ μετὰ ταῦτα φάγεσαι, καὶ πίεσαι σύ; μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι ἐποίησε τὰ διαταχθέντα αὐτῷ; οὐ δοκῶ. οὕτω καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν, ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν·

Οἱ ἀπόστολοι ἐπίστευον μὲν τῷ κυρίῳ, πλὴν εἰς συναίσθησιν τῆς ἀσθενείας αὐτῶν ἐλθόντες, καὶ ἀκούσαντες τοῦ κυρίου περὶ μεγάλων τινῶν εἰπόντος αὐτοῖς, καὶ περὶ τοῦ κινδύνου τοῦ ἀπὸ τῶν σκανδάλων, δέονται ὡς ἂν πλεονάσῃ αὐτοῖς ἡ τῆς πίστεως δύναμις, δι᾽ ἧς δυνήσονται ταῦτα, ἃ εἶπε, κατορθῶσαι τὰ περὶ ἀκτημοσύνης φημί· οὐδὲν γὰρ οὕτως κατορθοῖ ἀκτημοσύνην, ὡς τὸ πιστεῦσαι, καὶ θαῤῥῆσαι θεῷ, ὥσπερ οὐδὲν οὕτως ποιεῖ θησαυρίζειν, ὡς τὸ μὴ πιστεύειν, ὅτι μέγας ταμίας ὁ θεὸς, καὶ ταμεῖον ἀκένωτον ἡ ἀγαθότης αὐτοῦ· ἔτι τε καὶ πρὸς τὰ σκάνδαλα διὰ τῆς πίστεως ἔξεστιν ἀντιστῆναι, διὸ προσερχόμενοί φασι, πρόσθες ἡμῖν πίστιν, τελειοτέρους ἀνάδειξον ἡμᾶς ἐν τῇ πίστει καὶ βεβαιοτέρους, ὁ δὲ κύριος δεικνύων αὐτοῖς, ὅτι καλῶς αἰτοῦσι, καὶ ὅτι ταύτην τὴν γνώμην δεῖ αὐτοὺς ἔχειν βεβαίαν περὶ τῆς πίστεως ὡς μεγάλα δυναμένης, φησὶν, ὅτι εἰ εἴχετε πίστιν, καὶ ταύτην ἂν τὴν συκάμινον μετεφυτεύετε. δύο δὲ ἐν τούτῳ τὰ μεγάλα, τό, τε μετακινηθῆναι τὸ κατὰ γῆς ἐῤῥιζωμένον, καὶ τὸ ἐν τῇ θαλάσσῃ μεταφυτευθῆναι, ἐν ὕδατι γάρ τι ἂν φυτευθείη; δῆλον δὲ ὅτι διὰ τοῦ ταῦτα εἰπεῖν, τὴν τῆς πίστεως δείκνυσι δύναμιν· τάχα δ᾽ ἄν τις ἀλληγορῶν τὴν συκάμινον, εἴποι εἶναι τὸν διάβολον, ὡς τοῦ αἰωνίου σκώληκος πρόξενον ἡμῖν, καὶ τροφέα γινόμενον διὰ τῶν ἐξ αὐτοῦ φυομένων λογισμῶν, τῆς γὰρ συκαμίνου τὰ φύλλα σκώληκας τρέφουσι, δι᾽ ὧν τὰ σηρικὰ νήματα γίνονται· ταύτην οὖν τὴν συκάμινον ἡ πίστις δύναται ἐκριζῶσαι ἀπὸ καρδίας ἀνθρωπίνης, καὶ εἰς τὴν θάλασσαν βαλεῖν, τουτέστιν, εἰς τὴν ἄβυσσον ἀπολῦσαι· ἐπεὶ δὲ ταῦτα εἶπε περὶ τῆς πίστεως, ἐπιφέρει καὶ ἀναγκαιοτάτην ἑτέραν διδασκαλίαν, ποίαν ταύτην; τὴν περὶ τοῦ μὴ δεῖν μεγαλοφρονεῖν ἐπὶ κατορθώμασιν, ἐπειδὴ γὰρ ἡ πίστις πολλὰ κατορθοῖ, καὶ τῶν ἐντολῶν πληρωτὴν ποιεῖ τὸν ταύτην ἔχοντα μετὰ τοῦ καὶ θαυματουργίαις κατα-

κοσμεῖν αὐτόν, ἐκ τούτων δὲ εἰκὸς τὸν ἄνθρωπον εἰς μεγαλοφροσύνην ἐκπεσεῖν πολλάκις, ἀσφαλίζεται τοὺς ἀποστόλους, ὥστε μὴ ἐπαίρεσθαι ἐπὶ κατορθώμασι, δι' ὑποδείγματος χαριεστάτου· τίς γάρ φησιν, ὑμῶν δοῦλον ἔχων καὶ τὰ ἑξῆς· ἐνδείκνυται γὰρ διὰ ταύτης τῆς παραβολῆς, ὅτι οὐ δεῖ ἐπαίρεσθαι ἐπί τινι κατορθώματι, μᾶλλον δὲ οὐδὲ ἐπὶ τῇ πασῶν τῶν ἐντολῶν ἐκπληρώσει, δούλῳ γὰρ ἀνάγκη ἐπίκειται, τὸ πληροῦν τὰς ἐντολὰς τοῦ κυρίου, οὐ μὴν ὡς κατόρθωμα ἐπιγράφεσθαι ἑαυτῷ τοῦτο ὀφείλει. εἰ γὰρ μὴ ἐργάσηται, πληγῶν ἀξιωτέος, ἐπεὶ δὲ εἰργάσατο, ἀρκείσθω ὅτι τὰς πληγὰς διέφυγεν, οὐ μὴν ὀφείλει ἐπὶ τούτῳ τιμὴν ζητεῖν ἀναγκαίως, τῆς γὰρ τοῦ δεσπότου φιλοτιμίας ἐστὶ τὸ δοῦναι αὐτῷ, μᾶλλον δὲ χαρίσασθαί τι. οὐκοῦν καὶ τῷ θεῷ δουλεύων, εἴτε τὰς ἐντολὰς κατορθοῖ, οὐκ ὀφείλει ἐπαίρεσθαι, οὐδὲν γὰρ μέγα ἐποίησεν, ἀλλ' οὐαὶ ἦν αὐτῷ εἰ μὴ ἐποίησεν, ὡς ὁ ἀπόστολός φησιν, οὐαί μοι, ἐὰν μὴ εὐαγγελίζωμαι· οὔτ' αὖ εἰ χαρισμάτων ἔτυχεν, ὀφείλει ἐπὶ τούτοις μεγαλοφρονεῖν, χαρίσματα γάρ εἰσι διὰ ἔλεον θεοῦ χαρισθέντα αὐτῷ, οὐχὶ διότι ἐχρεώστει αὐτῷ ὁ δεσπότης, μᾶλλον γὰρ ὁ δοῦλος χρεωστεῖ τῷ δεσπότῃ αὐτοῦ, τὸ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ. εἰ δὲ καὶ ὅταν πάσας τὰς ἐντολὰς ποιήσωμεν, οὐδὲ τότε ὀφείλομεν οἴεσθαί τι μέγα, τί γενόμεθα, ὅταν μηδὲ τὸ πολλοστὸν μέρος τῶν ἐντολῶν τοῦ θεοῦ κατορθοῦντες ἔτι ἐπαιρόμεθα; ἐπίστησον δὲ ἐν τῷ τῆς παραβολῆς ῥητῷ, ὅτι πρῶτον ἔταξε τό, ἀροτριῶντα, εἶτα ἐπήγαγε τό, ποιμαίνοντα. πρῶτον μὲν γὰρ δεῖ ἀρότην εἶναι τινὰ εἶτα καὶ ποιμαντικὴν ἐγχειρισθῆναι. ὁ γὰρ τὴν ἑαυτοῦ σάρκα καλῶς ἀροτριώσας, οἷόν τινα γῆν, οὗτος ἄξιός ἐστι καὶ ποιμὴν ἑτέρων γενέσθαι. ὃς γὰρ τοῦ ἰδίου οἴκου οὐκ οἶδεν, ὡς δεῖ, προστῆναι, πῶς ἐκκλησίας ἐπιμελήσεται; ἄροσον οὖν πρότερον σεαυτόν, καὶ τότε ποιμανεῖς ἑτέρους, καθὰ καὶ Ἱερεμίας φησί, νεώσατε ἑαυτοῖς νεώματα, εἶτα τό, φωτίσατε ἑαυτοῖς φῶς γνώσεως, ὃ δηλοῖ τῆς ποιμαντικῆς τὸ κυριώτατον μέρος.

α΄. Πρὸς Κορ. θ΄.
α΄. Πρὸς Τιμόθ. γ΄.
Ἱερε. δ΄.

» Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ αὐτὸς διήρχετο διὰ μέ-
» σου Σαμαρείας, καὶ Γαλιλαίας, καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα πόλιν, ἀπήντησαν αὐ-
» τῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόῤῥωθεν, καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες, Ἰησοῦ
» ἐπιστάτα ἐλέησον ἡμᾶς. καὶ ἰδὼν εἶπεν αὐτοῖς, πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς
» ἱερεῦσι. καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτούς, ἐκαθαρίσθησαν, εἷς δὲ ἐξ αὐτῶν ἰδὼν ὅτι
» ἰάθη, ὑπέστρεψε, μετὰ φωνῆς μεγάλης δοξάζων τὸν θεόν, καὶ ἔπεσεν ἐπὶ πρόσωπον
» παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ, καὶ αὐτὸς ἦν σαμαρείτης. ἀποκριθεὶς δὲ ὁ
» Ἰησοῦς εἶπεν, οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ; οὐχ εὑρέθησαν ὑποστρέψαν-
» τες δοῦναι δόξαν τῷ θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος. καὶ εἶπεν αὐτῷ, ἀναστὰς πορεύου,
» ἡ πίστις σου σέσωκέ σε.

Κἀντεῦθεν αὖθις ἐπιγνοίη, ὡς οὐδὲν ἐμποδίζει τινὶ πρὸς τὸ εὐαρεστεῖν θεῷ, κἂν ἐπικαταράτου γένους εἴη, μόνον εἰ προαίρεσιν ἀγαθὴν ἔχοι. ἰδοὺ γὰρ δέκα μὲν λεπροὶ συνήντησαν τῷ Ἰησοῦ μέλλοντι εἰσελθεῖν εἴς τινα πόλιν. ἀπήντησαν δὲ ἔξω τῆς πόλεως, οὐ γὰρ ἐξῆν αὐτοῖς ἀκαθάρτοις νομιζομένοις, ἔσω τῆς πόλεως διάγειν, πόῤῥωθεν δὲ στάντες, οἷα αἰσχυνόμενοι τὴν δοκοῦσαν αὐτῶν ἀκαθαρσίαν, καὶ μὴ τολμῶντες ἐγγίσαι, ἐνόμιζον γὰρ καὶ τὸν Ἰησοῦν βδελυχθῆναι ἂν αὐτούς, ὥσπερ καὶ οἱ λοιποὶ ἐποίουν, αἴρουσι τὴν φωνήν, καὶ ἱκετεύουσι. τῷ μὲν τόπῳ, πόῤῥω ἔστησαν, τῇ δὲ ἱκεσίᾳ ἐγγὺς ἐγένοντο, ἐγγὺς γὰρ καὶ πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. καὶ οὐχ ὡς ἁπλῶς ἄνθρωπον ἱκετεύουσιν, ἀλλ' ὡς ὑπὲρ ἄνθρωπον, ἐπιστάτην γὰρ αὐτὸν ὀνομάζουσιν, ὅ ἐστι, κύριον, κηδεμόνα, ἔφορον, ὅπερ ἐγγύς ἐστι τοῦ θεοῦ νομίζειν αὐτόν. ὁ δὲ προστάττει αὐτοῖς ἐπιδεῖξαι ἑαυτοὺς τοῖς ἱερεῦσιν, οἱ γὰρ ἱε-

Λευ. ιγ΄.
Ψαλ. ρμδ΄.

Λευ. ιγ΄. ρεῖς ἐδοκίμαζον τοὺς τοιούτους, καὶ παρ᾽ ἐκείνων τὴν ψῆφον ἐδέχοντο, εἴτε καθαροὶ τῆς λέπρας εἰσίν, εἴτε μή. εἶχον γὰρ σημεῖον οἱ ἱερεῖς δι᾽ ὧν τὴν αἰτίαν λέπραν ἐχαρακτήριζον. ἀλλὰ καὶ μεθ᾽ ὃ ἐλεπρώθη τις, εἶτα ὑγιείας ἔτυχεν, οἱ ἱερεῖς ἐδοκίμαζον, καὶ δῶρον προσεφέρετο τὸ ἐν τῷ νόμῳ διαταχθέν. ἐνταῦθα δὲ ὁμολογουμένως λεπρῶν ὄντων τούτων, τί ἔδει αὐτοὺς ὑποδειχθῆναι τοῖς ἱερεῦσιν, εἰ μὴ πάντως ἔμελλον καθαρισθῆναι; τὸ γὰρ προστάξαι αὐτοῖς ἀπελθεῖν πρὸς τοὺς ἱερεῖς, οὐδὲν ἄλλο ἐνέφαινεν, ἢ ὅτι καθαροὶ ἔσονται. διὸ καί φησιν, ὅτι ἐν τῷ ὑπάγειν ἐκαθαρίσθησαν. ἀλλ᾽ ὅρα ὅπερ ἐν ἀρχῇ εἴπομεν, ὅτι δέκα ὄντων, οἱ μὲν ἐννέα καίτοι ἰσραηλῖται ὄντες, ἀχάριστοι ἐφάνησαν, ὁ δὲ σαμαρείτης ἀλλογενὴς ὤν, ὑπέστρεψε, καὶ τὴν τῆς εὐγνωμο-

Δ΄. Βασιλ. ιζ. σύνης φωνὴν ἠφίει, ἀσσύριοι γὰρ οἱ σαμαρεῖται, ἵνα μηδεὶς ἐθνικὸς ἀπογινώσκῃ, καὶ ἵνα μηδεὶς ἐκ προγόνων ἁγίων ὢν καυχῷτο. αἰνίττεται δὲ τὸ θαῦμα τοῦτο καὶ τὴν κοινὴν κατὰ παντὸς τοῦ ἀνθρωπίνου γένους γενομένην σωτηρίαν, δέκα μὲν γὰρ λεπροὶ ἡ παντελὴς τῶν ἀνθρώπων φύσις λεπρωθεῖσα τῇ κακίᾳ, καὶ τὴν τῆς ἁμαρτίας ἀσχημοσύνην περιφέρουσα, καὶ ἔξω τῆς τῶν οὐρανῶν πόλεως διὰ τὴν ἀκαθαρσίαν διάγουσα, καὶ πόῤῥωθεν ἱσταμένη θεοῦ, αὐτὸ τοῦτο τὸ πόῤῥωθεν ἵστασθαι, ἱκετηρίαν εἶχε· τῷ γὰρ φιλανθρώπῳ, καὶ θέλοντι πάντας σωθῆναι, καὶ ἀγαθύνεσθαι, μεγίστη πρόφασις εἰς ἔλεον τὸ μηδένα ὁρᾶν μετέχοντα τῆς ἀγαθότητος αὐτοῦ, δι᾽ αὐτὸ γὰρ τοῦτο ἐπικάμπτεται πρὸς τὸ θεραπεῦσαι τοὺς οὕτως ἀθλίως ἔχοντας· καὶ μέντοι καὶ ἐθεράπευσε πᾶσαν τὴν λεπρωθεῖσαν φύσιν, ὑπὲρ παντὸς ἀνθρώπου καὶ σαρκωθεὶς, καὶ θανάτου γευσάμενος. ἀλλ᾽ οἱ μὲν ἰουδαῖοι, καί τοι ὅσον τὸ ἐπὶ τῷ κυρίῳ καθαρισθέντες τῶν οἰκείων τῆς λεπρώδους ἁμαρτίας ἀκαθαρσιῶν, ἀγνώμονες ἀνεφάνησαν, καὶ οὐχ ὑπέστρεψαν ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς ματαιότητος, ὥστε δοῦναι δόξαν τῷ θεῷ τῷ σώσαντι, τουτέστι, πιστεῦσαι αὐτῷ, ὅτι θεὸς ὤν, ἠνέσχετο τὰ ἔσχατα παθεῖν· τοῦτο γὰρ δόξα θεοῦ ἡ σάρξ, καὶ ὁ σταυρός· οὗτοι μὲν οὖν τὸν σαρκωθέντα, καὶ σταυρωθέντα κύριον τῆς δόξης οὐχ ὡμολόγησαν, ὁ δὲ ἀλλογενὴς λαὸς τῶν ἐθνῶν ἐπέγνω τὸν καθαρίσαντα, καὶ ἐδόξασεν αὐτὸν ἐν τῷ πιστεῦσαι, ὅτι τοσοῦτον φιλάνθρωπός ἐστιν ὁ θεὸς καὶ δυνατὸς, ὥστε καὶ ἀτιμώτατα δι᾽ ἡμᾶς ἀναδέξασθαι, ὅπερ ἐστὶ φιλανθρωπίας, καὶ ἀναδεξάμενος μηδὲν παραβλαβῆναι εἰς τὴν οἰκείαν φύσιν, ὅπερ ἐστὶ δυνάμεως·

» Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν φαρισαίων, πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ, ἀπεκρί-
» θη αὐτοῖς καὶ εἶπεν, οὐκ ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ μετὰ παρατηρήσεως, οὐδὲ ἐροῦ-
» σιν ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ, ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν· εἶπε δὲ πρὸς τοὺς
» μαθητὰς, ἐλεύσονται ἡμέραι, ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώ-
» που ἰδεῖν, καὶ οὐκ ὄψεσθε· καὶ ἐροῦσιν ὑμῖν ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ, μὴ ἀπέλθητε, μηδὲ
» διώξητε· ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπ᾽ οὐρανὸν, εἰς τὴν ὑπ᾽ οὐρανοῦ
» λάμπει, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ, πρῶτον δὲ δεῖ αὐτὸν
» πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης·

Πολλαχοῦ μὲν τῶν διδασκαλιῶν αὐτοῦ ὁ κύριος ἐμέμνητο τῆς βασιλείας τοῦ θεοῦ, οἱ δὲ φαρισαῖοι ταῦτα ἀκούοντες, κατειρωνεύοντο αὐτοῦ, καὶ διὰ τοῦτο περὶ ταύτης προσίεσαν ἐρωτῶντες πότε ἔρχεται, διαγελῶντες αὐτὸν ὡς ἀλλόκοτα καὶ περὶ ἀσυνήθους καὶ ξένου πράγματος κηρύττοντα, οὐδεὶς γὰρ τῶν προγενεστέρων διδασκάλων, καὶ προφητῶν ταύτης ἐπεμνήσθη. ἢ τάχα καὶ κατὰ νοῦν ἔχοντες ὅτι ὅσον οὔπω, μέλλουσιν αὐτὸν ἀποκτεῖναι, προσίασιν ὡς ἐν μυκτηρισμῷ καὶ εἰρωνείᾳ ἐρωτῶντες, καὶ ὡσανεὶ τοιαῦτα φάσκοντες, σὺ μὲν περὶ βασιλείας ποιεῖς τοὺς λόγους, πότε δὲ ἔσται ἡ βασιλεία σου αὕτη; σὺ γὰρ αὔριον ὑφ᾽ ἡμῶν θανατοῦσθαι μέλλεις, καὶ σταυρός σε παραλήψεται,

καὶ

καὶ ὅσα τῆς ἀτιμίας. τί οὖν ὁ χριστός; οὐ κατὰ τὴν ἀνόητον αὐτῶν γνώμην, καὶ ἀφρο-
σύνην ἀποκρίνεται τοῖς ἄφροσιν, ἀλλ' ἀφεὶς αὐτοὺς πλανᾶσθαι περὶ τὴν ὁμωνυμίαν
τῆς βασιλείας, καὶ μὴ ἀποκαλύψας αὐτοῖς, οὐδὲ γὰρ ἐδέξαντο ἄν, περὶ ποίας βα-
σιλείας διαλέγεται, καὶ ὅτι οὐχ ὡς οἷόν τε ἐγκόσμιός ἐστιν αὕτη ἡ βασιλεία, ἀλλ' ὑ-
περκόσμιος· ταῦτα οὖν ἀφεὶς, ὡς μὴ ἀξίων ὄντων τούτων ἀκούειν διὰ τὸ ἐθελοκω-
φεῖν, περὶ τοῦ καιροῦ τῆς βασιλείας διαλέγεται, ὡς ἄγνωστός ἐστι, καὶ ἀπαρατήρη-
τος, οὐ γὰρ ἔχει καιρὸν ὡρισμένον, ἀλλ' ἀεὶ τῷ βουλομένῳ πάρεστιν ἡ βασιλεία τοῦ
θεοῦ. πάντως γὰρ βασιλεία μὲν τοῦ θεοῦ ἐστιν ἡ ἀγγελικὴ κατάστασις, καὶ διαγωγή,
τότε γὰρ δὴ λέγεται βασιλεύειν τῷ ὄντι θεὸς, ὅταν μηδὲν κοσμικὸν ἐν ταῖς ψυχαῖς
ἡμῶν πολιτεύηται, ἀλλὰ τὰ πάντα ὦμεν ὑπερκοσμίως διάγοντες. ταύτην δὲ τὴν
διαγωγὴν ἐντὸς ἡμῶν ἔχομεν, τουτέστιν, ὅταν βουληθῶμεν, οὐ καιροῦ γὰρ μακροῦ, οὐδὲ
ἀποδημίας χρεία, ἀλλ' ἐγγὺς ἡμῶν ἐστι καὶ ἡ πίστις, καὶ ἡ μετὰ τὸ πιστεῦσαι κατὰ θεὸν
διαγωγή. ταυτὸ δὲ τοῦτο καὶ ὁ ἀπόστολος ἔφη, ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί Πρὸς ῥω. ι.
σου, καὶ ἐν τῇ καρδίᾳ σου, τουτέστι, τὸ ῥῆμα τῆς πίστεως, καὶ τὸ πιστεῦσαι γὰρ, καὶ τὸ
μετὰ τὴν πίστιν ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἐντὸς ἡμῶν ἐστιν. οἱ μὲν οὖν φαρισαῖοι
διεχλεύαζον τὸν κύριον, ὡς περὶ τῆς βασιλείας κηρύττοντα περὶ ἧς οὐδεὶς ἐκήρυξεν,
ὁ δὲ κύριος δεικνὺς, ὅτι ἀγνοοῦσι πρᾶγμα, ὃ ἐντὸς αὐτῶν ἐστι, καὶ βουλομένοις τοῦτο
λαβεῖν πολλὴ ἡ εὐκολία, νῦν γὰρ ὄντος ἐμοῦ μέσον ὑμῶν, δύνασθε πάντως τὴν βα
σιλείαν τοῦ θεοῦ δέξασθαι, πιστεύσαντες εἰς ἐμὲ, καὶ κατὰ τὰς ἐμὰς ἐντολὰς ζῆν ἑ-
λόμενοι. τοῖς δὲ μαθηταῖς αὐτοῦ εἶπεν, ἐλεύσονται ἡμέραι, καὶ τὰ ἑξῆς, τουτέστι, καὶ
ὑμῖν ἡ βασιλεία τοῦ θεοῦ πάρεστιν, ἐν ὅσῳ εἰμὶ μεθ' ὑμῶν, πάρεστι δὲ αὕτη ὑμῖν, οὐ μό
νον καθὸ ἐπιστεύσατέ μοι, καὶ ἠκολουθήσατε, ἀλλὰ καὶ καθὸ ἐν πάσῃ ἀφροντισίᾳ διά
γετε νῦν, ἐμοῦ ὑμῶν κηδομένου, καὶ προνοουμένου, ἐλεύσονται δὲ ἡμέραι ὅτε ἀπόν-
τος ἐμοῦ, κινδύνοις παραδοθήσεσθε, καὶ ἐπὶ ἡγεμόνας, καὶ βασιλεῖς ἀγόμενοι τὸν νῦν
ἀκίνδυνον καιρὸν, καὶ τὴν ἀφροντισίαν, ἣν ἐμοῦ συνόντος ὑμῖν ἔχετε, ὡς βασιλείαν
θεοῦ ποθήσετε, καὶ πολλάκις ἐπιθυμήσετε τῶν ἐμῶν ἡμερῶν μιᾶς ἐπιτυχεῖν, του-
τέστι, ταύτης τῆς μετ' ἐμοῦ συνδιαγωγῆς, ὡς ἀκινδυνωτέρας. εἰ γὰρ καὶ σὺν αὐτῷ
ὄντες, οὐ πάντῃ ἄπονον, καὶ ἀκίνδυνον ἦγον βίον, ἀλλὰ φεύγοντι συμφεύγοντες ἐκα-
κοπάθουν, καὶ λοιδορουμένῳ συνελοιδοροῦντο, ἀλλὰ πρὸς τοὺς μέλλοντας κινδύνους
συγκρινόμενα τὰ πρότερον αὐτοῖς ἐπισυμβαίνοντα, τὸ ἀκίνδυνον πολὺ ἔχειν φανή-
σονται. ὥστε ἡ βασιλεία τοῦ θεοῦ καὶ κατὰ τοῦτόν γε τὸν τρόπον ἐντὸς τῶν ἀποστόλων
ἦν, κατὰ τὸ ἀκίνδυνον, καὶ ἄπονον φημί. ἐπεί τοι γε μετὰ τὴν ἀνάστασιν ὡς αἰχμάλω
τοι, καὶ διωκόμενοι περιήεσαν. κατασκευάζει δὲ διὰ τούτων τῶν λόγων τὰς τῶν ἀ-
ποστόλων καρδίας φερεπόνους, καὶ καρτερικὰς, καὶ προλέγει αὐτοῖς, ἵνα μὴ πλανη-
θῶσιν. ἂν γὰρ εἴπωσι, φησὶν, ἰδοὺ ὧδε ἢ ἰδοὺ ἐκεῖ, μὴ διώξητε, μηδεὶς γάρ, φησιν, ὑμᾶς
πείσειεν, ὅτι ἦλθον ὧδε ἢ ἐκεῖ, οὐ γὰρ τόπῳ περικλεισθήσεται ἡ δευτέρα μου παρου-
σία ἡ λαμπροτέρα, καὶ ἐνδοξοτέρα, ἀλλ' ὥσπερ ἀστραπὴ οὐ λανθάνει, ἀλλ' ἀπ' ἄκρου
τῆς γῆς ἐπὶ θάτερον ἄκρον φαίνει, οὕτω καὶ ἡ ἐμὴ παρουσία λαμπρὰ καὶ ἐπιφα-
νὴς ἔσται, καὶ οὐδένα ἀποκρυβήσεται. μὴ οὖν πλανηθῆτε ὑπὸ τῶν ψευδοχρίστων, οὐ
γὰρ ὥσπερ πρότερον ἐν φάτνῃ, καὶ πτωχείᾳ διὰ τριάκοντα ἐτῶν ἐφάνην, οὕτω καὶ
τότε, ἀλλὰ πάντα ἐνδόξῃ, δορυφορούντων ἀγγέλων, καὶ ἐν ῥιπῇ. εἶτα ἐπειδὴ αὐτοῖς
φοβερὰ προεῖπεν ἀπαντήσειν, παραμυθούμενος αὐτοὺς, καὶ παρακαλῶν γενναίως φέ
ρειν, τῷ καθ' ἑαυτὸν ὑποδείγματι τοῦτο συνιστᾷ. μὴ γὰρ θαυμάσητε, φησιν, εἰ συμβή-
σεται ὑμῖν τοιαῦτα ἐπίπονα οἷα ἐπιθυμίαν ὑμῖν ἀγαγεῖν τῆς μετ' ἐμοῦ ταύτης τῆς

νυνὶ συνδιαγωγῆς, αὐτὸς γὰρ ἐγὼ ὁ μέλλων ὡς ἀστραπὴ φανῆναι, πρότερον μέλλω παθεῖν πολλὰ, καὶ ἀποδοκιμασθῆναι, καὶ οὕτως ἐν τῇ δόξῃ ταύτῃ ἐλθεῖν· ὥστε τοῦτο ὑμῖν ἔστω εἰς παράκλησιν τὴν πρὸς ἀρετὴν, καὶ προθυμοποιείτω ὑμᾶς εἰς τὸ καρτερεῖν, τὸ ἀφορᾷν δηλαδὴ πρὸς ἐμὲ, καὶ ἐλπίζειν, ὅτι καὶ ὑμῖν ἡ δόξα ἐκ τοῦ κινδύνοις παθεῖν, καὶ ἀποδοκιμασθῆναι περιγενήσεται, ὥσπερ οὖν καὶ ἐμοί·

Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἤσθιον, καὶ ἔπινον, ἐγάμουν, καὶ ἐξεγαμίζοντο, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἀπώλεσεν ἅπαντας· ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λὼτ, ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν, ᾗ δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ σοδόμων, καὶ ἔβρεξε πῦρ, καὶ θεῖον

γεν. ζ'.

ἀπ' οὐρανοῦ, καὶ ἀπώλεσεν ἅπαντας· κατὰ ταῦτα ἔσται ἡ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται· Καὶ διὰ τούτων τὸ αἰφνίδιον, καὶ ἀπροσδόκητον τῆς αὐτοῦ παρουσίας ἐνδείκνυται, ὥσπερ γὰρ ἐπὶ τοῦ Νῶε ἐξαίφνης ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία αὐτοῦ· αἰνίττεται δὲ διὰ τῶν ὑποδειγμάτων τούτων τουτέστι τῶν κατὰ τὸν κατακλυσμὸν ἀνθρώπων, καὶ τοῦ τῶν σοδομιτῶν, ὅτι τοῦ

γεν. ιθ'.

ἀντιχρίστου ἐλθόντος, τὰ τῶν ἀτόπων ἡδονῶν ἐπιταθήσονται τοῖς ἀνθρώποις. καὶ λάγνοι ἔσονται, καὶ ἀθέσμοις ἡδοναῖς ἐκδεδωκότες, ὅπερ δὴ καὶ ὁ ἀπόστολος εἶπεν, ὅτι ἐν

β'. πρὸς τιμ. γ'

ταῖς ἐσχάταις ἡμέραις ἔσονται οἱ ἄνθρωποι φιλήδονοι μᾶλλον, ἢ φιλόθεοι, καὶ εἰκότως ἐπὶ τῆς βασιλείας τοῦ πλάνου αὐξήσει τὰ κακὰ, τῆς γὰρ πονηρίας, καὶ πάσης ἁμαρτίας καταγώγιον ὢν ἐκεῖνος, τί ἄλλο ἐμπολιτεύεσθαι ποιήσει τῇ ἐλεεινῇ τῶν τότε ἀνθρώπων γενεᾷ, ἢ πάντως τὰ οἰκεῖα αὐτῷ; ἐξ ἀκαθάρτου γὰρ, τί καθαρισθήσεται; ἔσονται οὖν τηνικαῦτα οἱ ἄνθρωποι ἐν πάσῃ τρυφῇ, ὥσπερ ἐπὶ τοῦ Νῶε, καὶ οὐδὲν δυσχερὲς ἐλπίσουσιν, ἀλλὰ καὶ ἀπιστήσουσιν, ἐάν τις αὐτοῖς περί τινων συμβησομένων δυσχερῶν λέγῃ, ὥσπερ καὶ οἱ ἐπὶ τοῦ Νῶε, καὶ οἱ ἐπὶ τοῦ Λώτ·

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά· καὶ ὁ ἐν τῷ ἀγρῷ ὁμοίως, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω,

γεν. ιθ'.

μνημονεύετε τῆς γυναικὸς Λώτ· ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτὴν, καὶ ὃς ἂν ἀπολέσῃ αὐτὴν, ζωογονήσει αὐτήν· Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῆς τοῦ ἀντιχρίστου παρουσίας ὁ ὢν ἐπὶ τοῦ δώματος, τουτέστι τοῦ ὕψους τῆς ἀρετῆς, μὴ καταβάτω, μηδὲ ὑφεθήτω ἀπὸ ταύτης διά τινα πρόφασιν βιωτικὴν, πάντα γὰρ τὰ βιωτικὰ σκεύη λέγονται εἶναι τῷ ἀνθρώπῳ, ἄλλῳ μὲν εἰς ἀρετὴν, ἄλλῳ δὲ, εἰς κακίαν συμβαλλόμενα· μὴ τοίνυν ὁ ἐπὶ τοῦ ὕψους τῆς ἀρετῆς ἱστάμενος, καταβάτω διά τι βιωτικὸν, καὶ ἀποπεσέτω τοῦ οἰκείου ὕψους, ἀλλ' ἐνιστήτω πρὸς τὴν κακίαν, καὶ μὴ μαλακισθήτω· καὶ ὁ ἐν τῷ ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω, τὸν γὰρ ἐν τῷ ἀγρῷ, τῷ κόσμῳ τούτῳ ἐργαζόμενον τὴν ἀρετὴν οὐ δεῖ ἐπιστρέφειν εἰς τὰ ὀπίσω ἀλλὰ τοῖς

λου. θ'.

ἔμπροσθεν ἐπεκτείνεσθαι, ὥσπερ καὶ ἀλλαχοῦ φησὶν, οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἐπιφέρει δὲ ὑπόδειγμα τὴν γυναῖκα τοῦ Λὼτ, ἣ στραφεῖσα ὀπίσω, εἰς τὴν στήλην ἁλὸς ἐπάγη, τουτέστι μὴ ἐξελθοῦσα τῆς κακίας, ἐναπέμεινε τῇ ταύτης ἁλμυρίᾳ, ὅλη κακὴ γενομένη, καὶ στηλιτεύουσα τὴν ἧτταν, ἣν ἔπαθε παγεῖσα καὶ ἐναπομείνασα τῇ κακίᾳ· εἶτα ἐπιφέρει τὰ ἀκόλουθα τοῖς ἄνω εἰρημένοις, ὃς ζητήσει τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτὴν, μὴ γὰρ, φησὶ, σπουδασάτω τὶς ἐν τῷ τοῦ ἀντιχρίστου διωγμῷ περιποιήσασθαι τὴν ἑαυτοῦ ψυχὴν, ἀπολέσει γὰρ αὐτήν· ὃς δ' ἂν ἑαυτὸν σφαγαῖς, καὶ ἁπλῶς κινδύνοις ἐκδῷ, σωθήσεται, μὴ ὑποκύπτων τῷ τυράννῳ διὰ τὸ

φιλόζωον·

φιλόζωον· ὥσπερ οὖν ἀνωτέρω εἶπεν, ὅτι ὁ ἐπὶ τοῦ ὕψους τῆς ἀρετῆς, μὴ διὰ τὰ βιωτικὰ πράγματα καταβαινέτω μαλακιζόμενος τυχὸν διὰ κτήματα, καὶ χρήματα, καὶ διὰ ταῦτα ὑφιέμενος τῆς ἐνστάσεως, οὕτω καὶ νῦν ὁδηγῶν περὶ ὧν φησιν, καὶ τί λέγω ὅτι μὴ καταβήσῃ διὰ σκεύη, μηδὲ διὰ τὰ ἐκτὸς προήσῃ τὴν ἀρετήν; μηδὲ δι' αὐτὴν τὴν τῆς ψυχῆς περιποίησιν δόξῃ ὑποκλιθῆναι τῷ πλάνῳ, καὶ διώκτῃ· ταῦτα δὲ ὁ Ματθαῖος πάντα διὰ τὴν τῶν ἱεροσολύμων ἅλωσιν λεχθῆναι τῷ κυρίῳ φησὶν αἰνιττομένῳ τὴν τῶν ἐχθρῶν ἐπίθεσιν, καὶ ὅτι ἀμεταστρεπτὶ φεύγειν δεῖ τοὺς Ῥωμαίους ἐπιόντας, καὶ μήτε ἐν τῷ δώματι ὄντας, καταβαίνειν εἰς τὴν οἰκίαν διά τι χρειῶδες, ἀλλ' εὐθὺς φεύγειν, οὐ γάρ ἐστι καιρὸς σχολῆς, ὥστε συσκευάζεσθαι, μήτε ἐν ἀγρῷ ὄντας, στρέφεσθαι εἰς τὴν οἰκίαν, καὶ τὸν ἐν τῇ οἰκίᾳ γὰρ ὄντα, φεύγειν δεῖ· οὐδὲν δὲ θαυμαστὸν καὶ ἐν τῇ ἁλώσει τῶν ἱεροσολύμων ταῦτα γεγονέναι, καὶ μέλλειν αὖθις γενήσεσθαι ἐν τῇ παρουσίᾳ τοῦ ἀντιχρίστου, μᾶλλον δὲ πρὸς αὐτῷ τῷ καιρῷ τῆς συντελείας θλίψεως καὶ τότε μελλούσης γίνεσθαι ἀφορήτου· Ματθ. κδ'.

» Λέγω ὑμῖν, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς, ὁ εἷς παραληφθή-
» σεται, καὶ ὁ ἕτερος ἀφεθήσεται· δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτὸ, ἡ μία παρα-
» ληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσεται· καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ, ποῦ κύριε;
» ὁ δὲ εἶπεν αὐτοῖς, ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοὶ συναχθήσονται·

Καὶ ἐντεῦθεν τὸ ἀπροσδόκητον καὶ αἰφνίδιον τῆς αὐτοῦ παρουσίας μανθάνομεν, τὸ γὰρ εἰπεῖν, ὅτι δύο ἔσονται ἐπὶ κλίνης μιᾶς, ἀμεριμνίαν ἐμφαίνει, καὶ τὸ ἀλήθειν δὲ καὶ τοῦτο ἀπροσδόκητον ἔσεσθαι τὴν παρουσίαν ὑποδηλοῖ· καὶ ἄλλο δὲ μανθάνομεν, ὅτι ἐν νυκτὶ ἡ παρουσία ἔσται, φησὶν οὖν ὅτι καὶ ἐκ τῶν πλουσίων τῶν ἐπὶ κλίνης ἀναπαυομένων, οἱ μὲν σωθήσονται, οἱ δὲ οὔ. ἐπεὶ γὰρ εἶπεν, ὅτι δυσκόλως οἱ πλούσιοι σώζονται. Ματθ. ιθ'. δείκνυσι νῦν, ὅτι οὔτε οὗτοι ἀπόλλυνται, οὔτε οἱ πένητες σώζονται, ἀλλὰ καὶ ἐκ τῶν πλουσίων ὁ μὲν παραλαμβάνεται εἰς ἀπάντησιν τοῦ κυρίου ἁρπαζόμενος, ὡς κοῦφος τῷ πνεύματι, καὶ οὐράνιος, ὁ δὲ ἀφίεται κάτω ὡς κατάκριτος. καὶ ἐκ τῶν πενήτων ὁμοίως, οὓς διὰ τὸ ἀλήθειν ἐσήμανεν, ὁ μὲν σωθήσεται, ὁ δὲ οὔ· οὐ γὰρ πάντες πένητες δίκαιοι, ἐκ τούτων γὰρ οἱ κλέπται, καὶ βαλαντιοτόμοι, διὰ τοῦ ἀλήθειν οὖν τὸν ἐπίπονον βίον τῶν πενήτων ἐδήλωσεν· ἐρωτησάντων δὲ τῶν μαθητῶν, ποῦ κύριε παραληφθήσονται οὗτοι, ἔφη. ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοὶ, τουτέστιν, ὅπου ὁ υἱὸς τοῦ ἀνθρώπου, ἐκεῖ πάντες οἱ ἅγιοι οἱ κοῦφοι, καὶ ὑψιπετεῖς, ὡς οἵγε ἁμαρτωλοὶ βαρεῖς, διὸ καὶ κάτω ἀφίενται· ὥσπερ γὰρ σώματος νεκροῦ κειμένου, πάντες οἱ σαρκοβόροι ὄρνεις ἐπ' αὐτὸ φέρονται, οὕτω καὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου τοῦ δι' ἡμᾶς νεκρωθέντος, καὶ εἰς πτῶσιν τεθέντος, ἀπ' οὐρανῶν φανέντος, πάντες οἱ ἅγιοι συναχθήσονται, καὶ αὐτοὶ οἱ ἄγγελοι, μετ' αὐτῶν γὰρ ἥξει ἐν τῇ δόξῃ τοῦ πατρὸς, καὶ ἐν ἀρρήτῳ αἴγλῃ. εἰ γὰρ καὶ νύκτα ὠνόμασε τὸν καιρὸν ἐκεῖνον, ἀλλὰ διὰ τὸ ἀπροσδόκητον, καὶ διὰ τὸ τοῖς ἁμαρτωλοῖς μέλλον προσγενέσθαι σκότος, τοῦτο εἴρηκε, τοῖς γὰρ δικαίοις φῶς ἀνατελεῖ, μᾶλλον δὲ καὶ αὐτοὶ ἐκλάμψουσιν ὡς ὁ ἥλιος·

Κεφάλαιον· ιη'

» Ἔλεγε δὲ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν αὐτοὺς πάντοτε προσεύχεσθαι, καὶ μὴ
» ἐκκακεῖν, λέγων· κριτής τις ἦν ἔν τινι πόλει τὸν θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον
» μὴ ἐντρεπόμενος, χήρα δέ τις ἦν ἐν ἐκείνῃ τῇ πόλει, καὶ ἤρχετο πρὸς αὐτὸν λέγου-
» σα, ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου, καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον· μετὰ δὲ ταῦτα
» εἶπεν ἐν ἑαυτῷ, εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διάγε
» τὸ παρέχειν μοι κόπους τὴν χήραν ταύτην, ἐκδικήσω αὐτὴν, ἵνα μὴ εἰς τέλος ἐρχο-

» μένη ὑποπιέζῃ με. εἶπε δὲ ὁ κύριος, ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει, ὁ δὲ
» θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν ἡμέ-
» ρας καὶ νυκτὸς, καὶ μακροθυμῶν ἐπ᾽ αὐτοῖς; λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν
» αὐτῶν ἐν τάχει. πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς.
Ἐπειδὴ θλίψεων ἐμνημόνευσε καὶ κινδύνων, ἐπιφέρει καὶ τὴν θεραπείαν τούτων, ἥ
δέ ἐστιν, ἡ προσευχὴ, καὶ οὐχ ἁπλῶς προσευχὴ, ἀλλ᾽ ἐπίμονος, καὶ μεμεριμνημένη.
μέλλουσι μὲν γὰρ, φησὶ, ταῦτα πάντα τοῖς τότε συμβαίνειν, ἀλλὰ μέγας βοηθὸς πρὸς
ταῦτα ἡ προσευχὴ, ἣν ἐπιμόνως καὶ συνεχῶς ποιεῖσθαι δεῖ ἡμᾶς ἐννοοῦντας, πῶς
τὸν κριτὴν τῆς ἀδικίας ἡ τῆς χήρας προσεδρία κατεδυσώπησεν. εἰ γὰρ τοῦτον τὸν
πάσης κακίας πεπληρωμένον, καὶ πρὸς θεὸν, καὶ πρὸς ἀνθρώπους ἀπαναιδευσάμενον
ἡ καρτερία ἐμάλαξε, πόσῳ μᾶλλον ἡμεῖς τὸν πατέρα τοῦ ἐλέους θεὸν οὐχ ἑλκύσο-
μεν εἰς οἶκτον, κἂν μακροθυμῇ πρὸς τὸ παρόν; ὅρα δὲ ὅτι τὸ μηδὲ ἀνθρώπους αἰσχύ-
νεσθαι χείρονος κακίας δεῖγμα, τὸν μὲν γὰρ θεὸν πολλοὶ οὐ φοβοῦνται, πλὴν ἀλ-
λ᾽ ἀνθρώπους αἰσχύνονται, διὸ καὶ ἧττον ἁμαρτάνουσιν. ὅταν δὲ καὶ πρὸς ἀνθρώπους
ἀπαναισχυντήσειέ τις, ἐνταῦθα ἤδη τῆς κακίας ἡ κορυφή. διὸ καὶ ὁ κύριος ὕστερον τέ-
θεικε τὸ ἄνθρωπον μὴ ἐντρεπόμενος, ὡσανεὶ τοῦτο λέγων, ὅτι κριτὴς ἦν τὸν θεὸν μὴ
φοβούμενος, καὶ τί λέγω τοῦτο, ὅτι τὸν θεὸν οὐκ ἐφοβεῖτο; τὸ μεῖζον ἔχε δεῖγμα τῆς
κακίας, ὅτι οὐδὲ ἄνθρωπον ᾐσχύνετο. ταῦτα μὲν οὖν ἡ παραβολὴ ἡμᾶς διδάσκει, ὡς
Λου. ια´. πολλάκις εἴπομεν, νουθετοῦσα μὴ ἐκκακεῖν ἐν ταῖς προσευχαῖς, ὥσπερ οὖν καὶ ἀλλα-
χοῦ ἔφη, τίς ἐξ ὑμῶν φίλον ἔχων, εἶτα ἐλθόντα καὶ κρούοντα νυκτὸς ἀποπέμψεται;
Ματθ. ζ´. διὰ γὰρ τὴν ἀναίδειαν αὐτοῦ, εἰ μὴ δι᾽ οὐδὲν ἄλλο ἀνοίξει. καὶ πάλιν τίς ἐξ ὑμῶν οὐ,
ἐὰν ὁ υἱὸς αὐτοῦ αἰτήσῃ ἄρτον, καὶ τὰ ἑξῆς. διὰ τούτων γὰρ πάντων τὴν ἔμμονον σχο-
λὴν ἐν ταῖς προσευχαῖς ἡμῖν ὑποτίθεται. ἐπειράθησαν δέ τινες περιεργότερον τὴν
παραβολὴν ταύτην ἐκλαβέσθαι, καὶ ἀπεικάσαι ἐτόλμησαν τῇ ἀληθείᾳ. χήρα μὲν
ἔφασαν, ἐστὶ πᾶσα ψυχὴ τὸν ἄνδρα ἀποβαλοῦσα αὐτῆς, ὃν εἶχε πρότερον, τὸν διάβο-
λον φημὶ, καὶ διὰ τοῦτο ἀντίδικον αὐτὸν ἔχουσα ἀεὶ ἐπιτιθέμενον αὐτῇ. ἡ δὲ προσέρ-
χεται τῷ θεῷ τῷ κριτῇ τῆς ἀδικίας, τουτέστι, τῷ κατακρίνοντι τὴν ἀδικίαν, ὃς οὔτε
θεὸν φοβεῖται, αὐτὸς γὰρ θεὸς μόνος, καὶ οὐκ ἔχει ὃν φοβηθήσεται ἕτερον, ἀλλ᾽ οὔτε
Πρὸς Γα- ἄνθρωπον αἰσχύνεται, θεὸς γὰρ πρόσωπον ἀνθρώπου οὐ λαμβάνει. ταύτην τὴν χή-
λατ. β´. ραν ψυχὴν δεομένην τοῦ θεοῦ συνεχῶς διὰ τὸν ἀντίδικον αὐτῆς διάβολον, οἰκτείρει ὁ
θεὸς καταδυσωπησάσης αὐτὸν τῆς προσεδρείας ταύτης. ταῦτα μὲν οὖν ὅτῳ φίλον δε-
χέσθω, παρετέθη γὰρ, ἵνα μὴ ἀγνοῶνται. πλὴν ταῦτα διδάξας ἡμᾶς ὁ κύριος περὶ
τοῦ δεῖν προσεύχεσθαι, καὶ ὑποδείξας ὅτι εἰ οὗτος ὁ ἄνομος, καὶ πάσης κακίας πεπλη-
ρωμένος ᾤκτειρε τῇ συνεχείᾳ τῆς δεήσεως, πόσῳ μᾶλλον ὁ θεὸς ὁ πάσης δικαιοσύ-
νης ἀρχηγὸς οὐ ποιήσει τὴν ἐκδίκησιν ἐν τάχει, καίτοι μακροθυμῶν, καὶ φαινόμενος
ἀνηκουστεῖν τῶν δεομένων αὐτοῦ νυκτὸς καὶ ἡμέρας; ταῦτα οὖν διδάξας, καὶ δείξας
ἡμῖν ὅτι ἐν τῷ καιρῷ τῆς συντελείας τῇ προσευχῇ χρηστέον πρὸς τοὺς μέλλοντας τό-
τε κινδύνους ἐπιγενήσεσθαι, ἐπιφέρει, ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου ἆρα ἐλθὼν εὑρήσει τὴν
πίστιν ἐπὶ τῆς γῆς; ἐν σχήματι ἐρωτήσεως τὸ σπάνιον τῶν τότε εὑρεθησομένων πιστῶν
ὑποσημαίνων. τοσοῦτον γὰρ κατακρατήσει τότε ὁ υἱὸς τῆς ἀνομίας, ὥστε πλανᾶν καὶ
τοὺς ἐκλεκτοὺς, εἰ δυνατόν. εἴωθε δὲ ἐπὶ τοῦ σπανίως εὑρισκομένου, τῷ ἐρωτηματικῷ τρό-
πῳ χρῆσθαι, ὡς καὶ ἐπὶ τοῦ τίς ἆρα ἐστὶν ὁ πιστὸς δοῦλος, καὶ φρόνιμος; καὶ ἐνταῦ-
θα οὖν τὸ αὐτὸ ὑποδηλῶν, καὶ ὅτι βραχεῖς, καὶ ὀλιγοστοὶ ἔσονται οἱ τὴν πρός τε τὸν θεὸν,
καὶ πρὸς ἀλλήλους πίστιν φυλάττοντες, τῇ ἐρωτήσει ταύτῃ ἐχρήσατο. εἰκότως δὲ τῇ

περὶ τοῦ

περὶ τοῦ προσεύχεσθαι παραινέσει τὸν περὶ τῆς πίστεως λόγον ἐπισυνῆψεν· ἐπειδὴ γὰρ πάσης προσευχῆς βάθρον, καὶ κρηπὶς ἡ πίστις, εἰ μὴ γὰρ πιστεύσει ὁ ἄνθρωπος, ὅτι ὃ ἐὰν αἰτήσῃ, λήψεται πρὸς τὸ συμφέρον, ματαία ἡ προσευχὴ, ἣν ποιεῖται, διὰ τοῦτο ὁ κύριος περὶ τοῦ προσεύχεσθαι διδάσκων, καὶ τῆς πίστεως ἐπεμνήσθη, δηλῶν κεκρυμμένως, ὅτι ὀλίγων ἔσται καὶ τὸ προσεύχεσθαι τότε, ἐπειδὴ καὶ ἡ πίστις ἐν ὀλίγοις εὑρεθήσεται· ἐλθὼν μὲν οὖν ὁ κύριος ἐν νεφέλαις, οὐχ εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς, εἰ μὴ ἄρα ἐν ὀλίγοις, ποιήσει δὲ ταύτην τότε, καὶ ἄκοντες γὰρ πάντες ὁμολογήσου- Προς Φιλ. β'
σιν, ὅτι κύριος Ἰησοῦς εἰς δόξαν θεοῦ πατρός· καὶ ἔστε χρὴ ταῦτα πίστιν, ἀλλὰ μὴ ἀνάγκην εἰπεῖν, οὐδεὶς τῶν ἀπίστων ἔσται, ὃς οὐ πιστεύσει, ὅτι μόνος ὁ σωτὴρ ὁ παρ' αὐτοῦ πρὶν βλασφημούμενος·

Εἶπε δὲ καὶ πρός τινας τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς, ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοιποὺς, τὴν παραβολὴν ταύτην. ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης. ὁ φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν, ταῦτα προσηύχετο, ὁ θεὸς εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ τελώνης, νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. καὶ ὁ τελώνης μακρόθεν ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, λέγων. ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος. ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται·

Οὐ παύεται ὁ κύριος τὸ τῆς ὑπερηφανίας πάθος ἐκκαθαίρων διὰ πλειόνων· ἐπειδὴ γὰρ πλέον τῶν ἄλλων παθῶν ἐνοχλεῖ ταῖς ἀνθρωπίναις γνώμαις, διὰ τοῦτο πολλαχοῦ καὶ πολλάκις περὶ τούτου διδάσκει· ἀμέλει καὶ νῦν τὸ χεῖρον εἶδος ταύτης ἐκκαθαίρει, πολλὰ γὰρ τὰ τῆς φιλαυτίας βλαστήματα, καὶ γὰρ καὶ οἴησις, καὶ ἀλαζονεία, καὶ κενοδοξία ἐκ ταύτης φύονται, ὀλεθριώτερον δὲ πάντων ἡ ὑπερηφανία· ὑπερηφανία δέ ἐστιν ἀθέτησις θεοῦ· ὅταν γάρ τις οὐ τῷ θεῷ, ἀλλ' ἑαυτῷ ἐπιγράφηται τὰ κατορθώματα, τί ἄλλο, ἢ ἄρνησις θεοῦ ἐστι καὶ ἀντιθεΐα· τοῦτο οὖν τὸ πάθος τὸ ἀντίθεον, ᾧ ὁ κύριος ἀντιτάσσεται ὡς ἐχθρὸς ἐχθρῷ, διὰ τῆς παραβολῆς ταύτης ὁ κύριος θεραπεύειν ἐπαγγέλλεται· διὰ γὰρ τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς, καὶ μὴ τὸ πᾶν θεῷ λογιζομένοις, ἀλλὰ διὰ τοῦτο καὶ τοὺς ἄλλους ἐξουθενοῦντας, ταῦτά φησι, καὶ δείκνυσιν, ὅτι ἡ δικαιοσύνη τἄλλα θαυμαστὴ οὖσα, καὶ πλησίον τοῦ θεοῦ τὸν ἄνθρωπον ἱστῶσα, ὅταν τὴν ὑπερηφανίαν προσλάβηται, εἰς τὰ κατώτατα τὸν ἄνθρωπον ἀπορρίπτει, καὶ ὡς δαίμονα ποιεῖν τὸν τέως ἰσόθεον χρηματίζοντα· ἔοικε μὲν οὖν τὰ ῥήματα τοῦ φαρισαίου ἐξ ἀρχῆς μὲν εὐγνώμονος ἀνθρώπου λόγοις, εὐχαριστῶ σοι γὰρ, φησὶν, ὁ θεός. τὰ δὲ ἐφεξῆς πάσης ἀγνοίας πεπληρωμένα, οὐ γὰρ εἶπεν ὅτι ἐποίησάς με ἀπέχειν ἀπὸ ἀδικίας, ἀπὸ ἁρπαγῆς, ἀλλὰ πῶς; οὐκ εἰμί· ἑαυτῷ προσῆψε τὸ κατόρθωμα, καὶ τῇ οἰκείᾳ ἰσχύϊ. τὸ δὲ καὶ τοὺς ἄλλους κατακρίνειν, τοῦτο πῶς ἐστιν ἀνθρώπου εἰδότος, ὡς παρὰ θεοῦ ἔχει, ἃ ἔχει; πάντως γὰρ εἰ ἐπίστευσεν, ὅτι χάριτι ἔχει τὰ ἀλλότρια ἀγαθὰ, οὐκ ἂν τοὺς ἄλλους ἐξουθένει, λογιζόμενος ὅτι καὶ αὐτὸς ἐπίσης γυμνός ἐστιν ὅσον ἐπὶ τῇ οἰκείᾳ δυνάμει, δωρεὰν δὲ ἐνεδύθη διὰ ἔλεον· διὰ τοῦτο ὑπερήφανος ὁ φαρισαῖος, ὡς οἰκείᾳ ἰσχύϊ ἐπιγράφων τὰ εἰργασμένα· κἀντεῦθεν ὑπήχθη καὶ τοὺς ἄλλους κατακρίνειν. ἐπισημαίνεται δὲ ὁ κύριος καὶ διὰ τοῦ σταθεὶς τὸ ὑψηλόφρον αὐτοῦ καὶ ἀταπείνωτον, τοῦ μὲν γὰρ ταπεινόφρονος καὶ τὸ ὁρώμενον ταπεινὸν, οὗτος δὲ καὶ τῷ σχήματι σοβαρότητα ἐπεδείκνυτο· εἰ δὲ καὶ περὶ τοῦ τελώνου εἴρηται τὸ ἑστὼς, ἀλλ' ὅρα καὶ τὸ ἐφεξῆς. ὅτι οὐδὲ τοὺς ὀφθαλμοὺς ἤθελεν εἰς τὸν οὐρανὸν

ἐπᾶραι, ὥστε ἡ στάσις αὐτῷ συγκεκυφυῖα ἦν, ἐκείνου δὲ καὶ οἱ ὀφθαλμοὶ εἰς τὸν οὐρα-
νὸν ἐπήροντο. καὶ τῇ καρδίᾳ συνυψοῦτο· ὅρα δὲ κἀν τῇ τοῦ φαρισαίου εὐχῇ τάξιν
ὑποδεικνυμένην ἡμῖν. πρότερον γὰρ εἶπεν ἃ οὐκ ἔστι, καὶ τότε κατέλεξεν ἅ ἐστιν· εἰ-
πὼν γὰρ ὅτι οὐκ εἰμὶ ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων τάδε καὶ τάδε, προσέθηκε καὶ τὰ
τῆς ἀρετῆς, τὸ νηστεύειν δὶς τοῦ σαββάτου, καὶ τὸ ἀποδεκατοῦν ὅσα κτᾶται, δεῖ γὰρ
ψαλ. λγ΄. μὴ ἐκκλίνειν μόνον ἀπὸ κακοῦ, ἀλλὰ καὶ ποιεῖν ἀγαθόν· καὶ πρότερον δεῖ ἀπέχεσθαι
τῆς κακίας, καὶ τότε τῇ ἀρετῇ ἐπιχειρῆσαι. ὥσπερ οὖν καὶ πηγῆς βορβορωθείσης ὕδωρ
μέλλων ἀπαρρύσασθαι καθαρόν, πρότερον ἐκκάθαρον τὸν βόρβορον, καὶ τότε ἀρύ-
σῃ τὸ καθαρόν· καὶ τοῦτο δὲ ἐπισκόπησον, πῶς οὐκ εἶπεν ὅτι οὐκ εἰμὶ ὡς οἱ πολλοί, ἅρ-
παξ, μοιχός, οὐδὲ γὰρ κατεδέξατο ἄχρι καὶ ῥήματος ψιλοῦ ὄνομα διαβεβλημένοις
τῷ ἑαυτοῦ προσώπῳ μοναδικῶς προσῆψαι, ἀλλὰ πληθυντικῶς τοῖς λοιποῖς ἀνθρώ-
ποις ταῦτα προσέρριψεν· εἰπὼν δὲ ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποί, ἀντέθηκε τούτῳ, τὸ νη-
στεύω δὶς τοῦ σαββάτου, τουτέστι δεύτερον τῆς ἑβδομάδος, σάββατον γὰρ ἡ ἑβδομὰς
ἐλέγετο, ἀπὸ τῆς τελευταίας καὶ ἀναπαυσίμου ἡμέρας ὀνομαζομένη. σάββατ γὰρ
ἡ ἀνάπαυσις, καὶ σάββατα δὲ τὴν ἑβδομάδα ἔλεγον πληθυντικῶς. ὅθεν καὶ μίαν
σαββάτων τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος τὴν παρ' ἡμῖν κυριακὴν ἐκάλουν,
παρὰ γὰρ ἑβραίοις τὸ μίαν ταυτὸν σημαίνει τῷ πρώτην· οὗτος καὶ ἑτέρου λόγου βα-
θυτέρου, πρὸς μὲν οὖν τὸ τῆς μοιχείας πάθος τὴν νηστείαν ἀντιλαζονεύεται, καὶ γὰρ
ἀπὸ τρυφῆς ἡ λαγνεία. αὐτὸς μὲν τὸ σῶμα διὰ νηστείας ἄγχων, πολὺ ἀπεῖχε τοῦ τοιού-
των παθῶν· ἐνήστευον δὲ ἄρα οἱ φαρισαῖοι δευτέραν, καὶ πέμπτην· πρὸς δὲ τὸ ἅρπα-
γες καὶ ἄδικοι, ἀντέταξε τό, ἀποδεκατῶ ὅσα κτῶμαι, τοσοῦτον γάρ, φησιν, ἐναντιοῦ-
μαι τῇ ἁρπαγῇ, καὶ ἀδικίᾳ, ὥστε καὶ τὰ ἐμαυτοῦ προσδίδωμι. ἡ δὲ δεκάτωσις δο-
κεῖ μὲν τισὶν ἁπλῶς καὶ ἅπαξ παρὰ τοῦ νόμου διαγορεύεσθαι, τοῖς δὲ βαθέως ἐρευ-
Δευτε. ιδ΄. νῶσιν αὐτόν, εὑρίσκεται τρεῖς δεκατώσεις εἰσηγούμενος, καὶ τοῦτο ἐκ τοῦ δευτερονομίου
ιδ΄. κς΄. μαθήσῃ ἀκριβῶς, ἐπιστήσας τὸν νοῦν· ταῦτα μὲν οὖν ὁ φαρισαῖος, ὁ δὲ τελώνης πάν-
τα τὰ ἐναντία, μακρόθεν γὰρ ἵστατο καὶ σχήματι, καὶ ῥήματι, καὶ κατανύξει καρ-
δίας πάμπολυ ἀπέχων αὐτοῦ, καὶ οὐ μόνῳ τῷ τοπικῷ διαστήματι, τοῖς τε γὰρ ὀφθαλ-
μοῖς ᾐδεῖτο εἰς τὸν οὐρανὸν ἆραι, ἀναξίοις τῆς τῶν ἄνω θέας κρίνων οὓς τὰ τῆς γῆς
ἀγαθὰ βλέπειν, καὶ καρποῦσθαι θελήσαντας· εἴς τε τὸ στῆθος ἑαυτοῦ ἔτυπτεν, τὴν
καρδίαν οἱονεὶ πλήσσων ὑπὲρ τῶν πονηρῶν βουλευμάτων, καὶ εἰς αἴσθησιν διεγείρων
οἷα καθεύδουσαν, καὶ οὐδὲν ἄλλο ἔλεγε, ἢ ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· καὶ διὰ
τούτων ἁπάντων κατέβη δεδικαιωμένος, ἢ ἐκεῖνος, ἀντὶ τοῦ παρ' ὃ ἐκεῖνος, ἀκάθαρτος
Παροι. ιϛ΄. γὰρ παρὰ κυρίῳ πᾶς ὑψηλοκάρδιος, καὶ κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπει-
Παροιμ. γ΄. νοῖς δὲ δίδωσι χάριν· ἀλλὰ θαυμάσειεν ἄν τις, πῶς ὁ μὲν φαρισαῖος ὀλίγα ῥήματα
α΄. Πέτρ. ε΄. μεγαλοφροσύνης προϊέμενος κατακρίνεται, ὁ δὲ Ἰὼβ πάμπολλα μεγαλορρημονή-
σας στεφανοῦται; ὅτι τοι ὁ μὲν φαρισαῖος οὐδενὸς ἀναγκάζοντος ἵστατο τοιαῦτα μα-
ταιάζων, καὶ κατακρίνων ἑτέρους, μηδεμιᾶς χρείας κατεπειγούσης, ὁ δὲ Ἰὼβ τῶν φί-
λων ἀποπνιγόντων αὐτόν, καὶ φορτικώτερον τῆς συμφορᾶς ἐπικειμένων, καὶ λεγόν-
των ὅτι δι' ἁμαρτίας ταῦτα πέπονθε, ἠναγκάσθη ἀπαριθμήσασθαι τὰ οἰκεῖα κατορ-
θώματα, καὶ τοῦτο ὑπὲρ τῆς θείας δόξης, καὶ τοῦ μὴ ἐκκοπῆναι τὸν ἐπ' ἀρετῇ τῶν
ἀνθρώπων δρόμον· εἰ γὰρ ἐπληροφορήθησαν οἱ ἄνθρωποι, ὅτι ἁμαρτίαι ἦσαν ἃ ἐποίει
ὁ Ἰώβ, καὶ δι' ἐκεῖνα πάσχει, ἀπείχοντο ἂν τοῦ τὰ αὐτὰ ποιεῖν, καὶ τοίνυν ἐγένοντο ἂν
μισόξενοι ἀντὶ φιλοξένων, ἀνελεήμονες, ἄδικοι ἀντὶ ἐλεημόνων, καὶ δικαίων· ταῦτα
γὰρ ἦσαν τοῦ Ἰὼβ τὰ ἔργα· ἵνα τοίνυν μὴ βλαβεῖεν πολλοὶ τούτου ἕνεκα, ἀπαριθ-

μεῖται

μεῖται τὰ κατορθώματα. τῷ μὲν οὖν Ἰὼβ αὗται αἱ αἰτίαι, ἵνα μὴ λέγωμεν, ὅτι ἐν
αὐτοῖς τοῖς ῥήμασι τοῖς δοκοῦσι μεγαληγορίας εἶναι, πᾶσα ταπεινοφροσύνη ἐκλάμ- Ἰὼβ κθ'.
πει. τίς γὰρ ἂν με θείη, φησὶ, κατὰ μῆνα ἡμερῶν τῶν ἔμπροσθεν, ὅτε ὁ θεός με ἐφύ-
λαττεν; ὁρᾷς ὅτι τῷ θεῷ τὸ πᾶν ἀνέθηκε; καὶ οὐδὲ κατακρίνει ἑτέρους, ἀλλὰ μᾶλ
λον κατακρίνεται ὑπὸ τῶν φίλων, τῷ δὲ Φαρισαίῳ εἰς ἑαυτὸν καὶ μὴ εἰς θεὸν τὸ πᾶν
ἀναφέροντι, καὶ δίχα ἀνάγκης ἑτέρους κατακρίνοντι, εἰκότως ἡ κατάκρισις ἐπάγε-
ται, πᾶς γὰρ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὑπὸ θεοῦ κατακρινόμενος, ὁ δὲ ταπει
νῶν ἑαυτὸν τῇ κατακρίσει, ὑψωθήσεται παρὰ θεοῦ δικαιούμενος. λέγε γὰρ σὺ πρῶ Ἡσαΐ. μγ'.
τος, φησὶ, τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς.

» Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται. ἰδόντες δὲ οἱ μαθηταὶ,
» ἐπετίμησαν αὐτοῖς. ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ, εἶπεν. ἄφετε τὰ παιδία
» ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτὰ, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ.
» ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλ
» θῃ εἰς αὐτήν. Καὶ τοῦτο πρὸς μετριοφροσύνην συμβάλλεται τὸ τῶν παιδίων. δι-
δάσκει γὰρ διὰ τούτου ὁ κύριος ταπεινοφρονεῖν, καὶ πάντας παραδέχεσθαι, καὶ μη-
δενὸς καταφρονεῖν. οἱ μὲν γὰρ μαθηταὶ ἀνάξιον ἡγοῦντο τοῦ τηλικούτου διδασκά-
λου τὸ προσφέρεσθαι αὐτῷ παιδία, ὁ δὲ δεικνύων αὐτοῖς, ὅτι τοσοῦτον δεῖ ταπεινο-
φρονεῖν, ὥστε καὶ τὰ ἐλάχιστα μὴ βδελύττεσθαι. καὶ οὕτως μὲν διδάσκει τὴν με-
τριοφροσύνην δι' ὧν ἔπραξε, μὴ ἀποπεμψάμενος, ἀλλ' ἡδέως παραδεξάμενος τὰ
βρέφη. διδάσκει δὲ καὶ διὰ λόγου, ὅτι τῶν κατὰ τὰ παιδία διακειμένων ἐστὶν ἡ βα-
σιλεία τῶν οὐρανῶν. τὸ παιδίον οὐκ ἐπαίρεται, οὐκ ἐξουθενεῖ τινα, ἀκακόν ἐστιν, ἄδο-
λον οὔτε ἐπὶ τοῖς λαμπροῖς ὀγκούμενον, οὔτε ἐπὶ τοῖς λυπηροῖς συστελλόμενον, ἀλλὰ
πάσῃ ἁπλότητι σχολάζον. ὥστε ὁ ταπεινοφρόνως ζῶν καὶ ἀκάκως, ἐκεῖνος παρὰ τῷ
θεῷ προσδεκτέος, καὶ ὁ δεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, τουτέστιν ἀδό-
λως, ἀπολυπραγμονήτως, πιστῶς. ὁ γὰρ περίεργος, καὶ ἀεὶ ἐρωτῶν τὸ, πῶς, τῇ ἀπι
στίᾳ συγκαταλυθήσεται, καὶ οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν, ἣν ἁπλῶς, καὶ ἀπε-
ριέργως, καὶ μετριοφρόνως οὐκ ἠθέλησε παραδέξασθαι. πάντες μὲν οὖν οἱ ἀπόστο
λοι καὶ πάντες ἁπλῶς οἱ πιστεύσαντες τῷ χριστῷ, παιδία ἂν κληθεῖεν, ὡς καὶ αὐτὸς
ὁ κύριος τοὺς ἀποστόλους ὠνόμασε. παιδία μήτι προσφάγιον ἔχετε; οἱ δὲ σοφοὶ τῶν
ἑλλήνων σοφίαν ἐν τῷ μυστηρίῳ ζητοῦντες, ὅ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ, καὶ μὴ βουλό- Ἰωάν. κα'.
μενοι δέξασθαι τοῦτο ἀσυλλογίστως, εἰκότως ἐξώσθησαν τῆς βασιλείας ταύτης. οὐκ εἶ-
πε δὲ ὅτι τούτων ἐστὶν ἡ βασιλεία, ἀλλὰ τῶν τοιούτων, τουτέστι τῶν τὴν ἀκακίαν, καὶ
μετριοφροσύνην προαιρετικῶς κτησαμένων, ἣν φυσικῶς τὰ παιδία ἔχουσι. δεξώμε-
θα οὖν πάντα τὰ ἐκκλησιαστικὰ, ἅπερ ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ἀπεριέργως, καὶ πι-
στῶς, καὶ μετριοφρόνως, τὸ γὰρ περιεργάζεσθαι οἰήσεως, καὶ δοξοσοφίας.

» Καὶ ἐπηρώτησέ τις αὐτὸν ἄρχων λέγων, διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώ-
» νιον κληρονομήσω; εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς. τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ
» εἷς ὁ θεός. τὰς ἐντολὰς οἶδας, μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδο-
» μαρτυρήσῃς. τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου. ὁ δὲ εἶπε, ταῦτα πάντα ἐ-
» φυλαξάμην ἐκ νεότητός μου. ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς εἶπεν αὐτῷ ἔτι ἕν σοι λείπει,
» πάντα ὅσα ἔχεις πώλησον, καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ
» δεῦρο ἀκολούθει μοι. ὁ δὲ ἀκούσας ταῦτα, περίλυπος ἐγένετο, ἦν γὰρ πλούσιος σφό-
δρα. Δοκεῖ μὲν τισιν οὗτος ὁ ἄνθρωπος πανοῦργός τις εἶναι, καὶ οἷον παγιδεῦσαι ζη
τῶν τὸν Ἰησοῦν ἐν λόγοις, οὐκ ἔοικε δὲ τοῦτο, ἀλλὰ φιλάργυρος εἶναι. ἐπεὶ καὶ ὁ χριστὸς

τοιοῦτον αὐτὸν ὄντα ἤλεγξε. καὶ γὰρ Μάρκος φησὶν, ὅτι προσδραμὼν, καὶ γονυπετῶν παρεκάλει τὸν ἰησοῦν, καὶ ὅτι ἐμβλέψας αὐτῷ ὁ ἰησοῦς, ἠγάπησεν αὐτὸν, φιλοχρήματος μὲν οὖν ὁ ἄνθρωπος. πρόσεισι δὲ τῷ ἰησοῦ μαθεῖν ἐφιέμενος περὶ ζωῆς αἰωνίου, τάχα ὡς φιλοχρήματος καὶ τοῦτο, οὐδὲν γὰρ οὕτως φιλόζωον, ὡς φιλοχρήματος ἄνθρωπος. ἐνόμισεν οὖν τὸν ἰησοῦν ὑποθέσθαι αὐτῷ τρόπον, δι' οὗ αἰωνίως ζήσεται, καταπολαύων τῆς καταχρήσεως τῶν χρημάτων. ὡς δὲ ὁ κύριος τὴν ἀπόκτησιν εἶπεν πρόξενον εἶναι τῆς αἰωνίου ζωῆς, ὡς περιμεμψάμενος ἑαυτῷ τῆς ἐρωτήσεως, καὶ τῷ ἰησοῦ τῆς ἀποκρίσεως, ἄπεισιν. αὐτὸς γάρ τοι ἕνεκεν τοῦ ἔχειν τὰ χρήματα ἐπὶ πολὺ, ἔχρηζε τῆς αἰωνίου ζωῆς. ἐπεὶ εἰ τὰ χρήματα ἔμελλεν ἀποκτᾶσθαι, τί ἔδει αὐτῷ τῆς αἰωνίου ζωῆς πένητι μέλλοντι ζῆν, ὥσγε ἐδόκει; προσέρχεται γοῦν τῷ κυρίῳ, ὡς ἁπλῶς ἀνθρώπῳ, καὶ διδασκάλῳ, διὸ ὁ κύριος δεικνύων, ὅτι οὐ δεῖ ὡς ἀνθρώπῳ αὐτῷ προσιέναι ψιλῷ, εἶπεν. οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ θεός. ἀγαθόν με, φησὶν, εἶπας, τί οὖν προσέθηκας τὸ, διδάσκαλε; φαίνεται γὰρ ὅτι ἕνα τῶν πολλῶν με ὑπολαμβάνεις. εἰ δὲ τοῦτο, οὐκ εἰμὶ ἀγαθὸς, οὐδεὶς γὰρ ἀνθρώπων ἀγαθὸς κυρίως, εἰμὶ εἷς ὁ θεός. ὥστε εἰ θέλεις ἀγαθόν με λέγειν, ὡς θεόν με λέγε ἀγαθὸν, ἀλλὰ μὴ ὡς ἀνθρώπῳ ψιλῷ προσέρχου. εἰ γὰρ ἄνθρωπόν με κοινόν τινα νομίζεις, μηδὲ ἀγαθὸν καλεῖ, τῷ ὄντι γὰρ ἀγαθὸς, καὶ πηγὴ ἀγαθότητος καὶ ἀρχὴ τῆς αὐτοαγαθότητος ὁ θεὸς, οἱ δὲ ἄνθρωποι εἰ καὶ ἀγαθοί ἐσμεν, ἀλλ' οὐ κυρίως, ἀλλὰ κατὰ μετοχὴν, καὶ ἐπίμικτον ἔχοντες τὸ ἀγαθὸν, καὶ τρεπτόν. τὰς ἐντολὰς οἶδας, μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ ψευδομαρτυρήσῃς, καὶ τὰ ἑξῆς. πρότερον ὁ νόμος τὰ, ἐν οἷς εὐκολώτερον ὀλισθαίνομεν, διορθοῦται. εἶτα τὰ ἐν οἷς οὐ πολλοὶ, οὐδὲ πολλάκις, οἷον τὸ μοιχεύειν, ἐπειδὴ τὸ πῦρ καὶ φυσικὸν καὶ ἔνδοθεν. τὸ φονεύειν, ἐπειδὴ μέγα θηρίον ὁ θυμός. τὸ δὲ κλέπτειν ἐλαφρότερον, καὶ τῇ ψευδομαρτυρίᾳ σπανιάκις περιπίπτειν ἐστί. διὸ ἐκεῖνα μὲν πρότερον διορθοῦται, οἷα εὐκόλως ἡμῶν εἰς ἐκεῖνα ὀλισθαινόντων, καὶ ἄλλως βαρύτερα ὄντα. ταῦτα δὲ, τὴν κλοπήν φημι, καὶ τὴν ψευδομαρτυρίαν, δεύτερα τίθησιν. ὡς καὶ σπανιάκις ἀπαντῶντα, καὶ ἐλαφρότερα. ἐπεὶ δὲ τὸ εἰς γονεῖς ἁμαρτάνειν εἰ καὶ μέγα ἐστὶν ἁμάρτημα, ἀλλ' οὖν ὡς μὴ συχνάκις συμβαῖνον, οὐδὲ γὰρ τοσοῦτον θηριώδεις εὐκόλως εὑρίσκονται οἱ πολλοὶ, ὡς εἰς γονεῖς παροινεῖν, ἀλλ' ὀλιγάκις, καὶ ὀλίγοι, ὕστερον τούτων τέθηκεν. ὡς δὲ ὁ νεανίσκος εἶπε ταῦτα πάντα φυλάξασθαι ἐκ νεότητος, τὸ κεφάλαιον πάντων τὴν ἀκτημοσύνην ὁ κύριος αὐτῷ ὑποτίθεται. ὅρα δὲ νόμοις χριστιανικῆς πολιτείας τῷ ὄντι, πάντα ὅσα ἔχεις πώλησον, φησὶν, εἰ γάρ τι ἐναπομείνῃ, ἐκείνου δοῦλος εἶ. καὶ διάδος, οὐ συγγενέσι πλουσίοις, ἀλλὰ πτωχοῖς. οἶμαι δὲ ὅτι καὶ τὸ διάδος ἔμφασιν ἔχει τοῦ μετὰ κρίσεως, καὶ μὴ ὡς ἔτυχε, τὸν τῶν χρημάτων σκορπισμὸν ποιεῖσθαι. ἐπεὶ δὲ σὺν τῇ ἀκτημοσύνῃ δεῖ καὶ τὴν ἄλλην ἀρετὴν πᾶσαν προσεῖναι τῷ ἀνθρώπῳ, διὰ τοῦτο εἶπε, καὶ δεῦρο ἀκολούθει μοι, τουτέστι, καὶ ἐν πᾶσι τοῖς ἄλλοις ἴσθι μαθητὴς ἐμὸς, καὶ ἀεὶ ἀκολούθει, μὴ σήμερον μὲν, αὔριον δὲ οὔ. ὡς δὲ φιλοχρημάτῳ ἐπηγγείλατο τὸν ἐν οὐρανοῖς θησαυρὸν, ἀλλ' οὐ προσέσχεν ὁ ἄρχων, δοῦλος γὰρ ἦν τῶν χρημάτων, διὸ καὶ ἀκούσας ἐλυπήθη, ὅτι στέρησιν αὐτῷ τῆς κτήσεως εἰσηγεῖται. ὅπουγε αὐτὸς καὶ τῆς αἰωνίου ζωῆς διὰ τοῦτο ἐπιθυμεῖ, ὡς ἂν ἐπὶ πολὺ τῇ τῶν χρημάτων περιουσίᾳ καὶ αἰωνίως ἐμβιοίη. καὶ τὸ λυπηθῆναι δὲ αὐτὸν εὐγνώμονα, ἀλλ' οὐ πανοῦργον ὑποδηλοῖ, οὐδεὶς γοῦν τῶν φαρισαίων ἐλυπήθη ποτὲ, ἀλλὰ μᾶλλον ἠγρίαινον. οὐκ ἀγνοῶ δὲ, ὅτι ὁ μέγας τῆς οἰκουμένης φωστὴρ ὁ χρυσοῦς τὴν γλῶτταν τῆς ὄντως αἰωνίου ζωῆς ἐπιθυμεῖν τὸν νεανίσκον τοῦτον ἐδέξατο, καὶ ἐρᾶν μὲν αὐτῆς, κατέχεσθαι δὲ πάθει μείζονι τῇ φιλαρ-

γυρίᾳ, πλὴν οὐκ ἄχαρι καὶ ὃ νῦν προσετέθη, ὅτι ὡς φιλοχρήματος ἐπεθύμει ζωῆς αἰωνίου.

» Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον, εἶπε. πῶς δυσκόλως οἱ τὰ χρήμα-
» τα ἔχοντες, εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ θεοῦ. εὐκοπώτερον γάρ ἐστι κάμηλον
» διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. εἶ-
» πον δὲ οἱ ἀκούσαντες, καὶ τίς δύναται σωθῆναι, ὁ δὲ εἶπε, τὰ ἀδύνατα παρὰ ἀν-
» θρώποις, δυνατά ἐστι παρὰ τῷ θεῷ. εἶπε δὲ ὁ Πέτρος. ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα.
» ὁ δὲ εἶπεν αὐτῷ, ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς ἐστιν, ὃς ἀφῆκεν οἰκίαν, ἢ γονεῖς, ἢ ἀδελ-
» φοὺς, ἢ γυναῖκα, ἢ τέκνα ἕνεκεν τῆς βασιλείας τοῦ θεοῦ, ὃς οὐ μὴ ἀπολάβῃ πολλα-
» πλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

Ἐπειδὴ ὁ πλούσιος ἀκούσας τὴν τῶν ὑπαρχόντων ἀπόκτησιν ἐλυπήθη, φησὶν ὁ κύριος θαυμαστικῷ τῷ σχήματι, πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες, εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ θεοῦ, οὐκ εἶπεν ὅτι ἀδυνάτως ἔχουσιν εἰσελθεῖν, ἀλλὰ δυσκόλως, οὐ γὰρ ἀδύνατον σωθῆναι τοῖς τοιούτοις, δυνατὸν γὰρ τὰ χρήματα προϊεμένοις, ἐπιτυχεῖν τῶν ἄνω, δύσκολον μέντοι τοῦτο. ἰξοῦ γὰρ κολλητικώτερα τὰ χρήματα καὶ δυσκόλως ἀποσπᾶται ὁ τούτοις συσχεθείς. παρακατιὼν δὲ καὶ ὡς ἀδύνατον αὐτὸ τίθησι, φησὶ γὰρ, εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον σωθῆναι. ἀδύνατον γὰρ πάντως κάμηλον διὰ τρυπήματος βελονίου χωρῆσαι, εἴτε τὸ ζῶον αὐτὸ νοήσεις κάμηλον, εἴτε σχοινόν τινα ναυτικὴν παχεῖαν. εἰ οὖν κάμηλον χωρηθῆναι διὰ τρυπήματος βελονίου εὐκοπώτερον, ἢ πλούσιον σωθῆναι, ἀδύνατον δὲ τοῦτο, ἀδυνατώτερον ἄρα τὸ σωθῆναι πλούσιον. τί οὖν ἐστιν εἰπεῖν; πρῶτον μὲν, ὅτι ἀληθῶς οὕτως ἔχει, πλούσιον γὰρ ὄντα ἀδύνατον σωθῆναι. μὴ γάρ μοι εἴπῃς ὅτι ὁ δεῖνα πλούσιος ὢν, ἐδίδου τὰ προσόντα, καὶ ἐσώθη, οὐ γὰρ πλούσιος ἐσώθη, ἀλλ' ἢ ἀκτήμων γεγονὼς, ἢ τέως οἰκονόμος ὢν ἐσώθη, οὐχὶ πλούσιος, ἄλλο γὰρ οἰκονόμος, καὶ ἄλλο πλούσιος. πλούσιος μὲν γάρ ἐστιν, ὁ ἑαυτῷ τηρῶν τὸν πλοῦτον, οἰκονόμος δὲ ὁ δι' ἑτέροις τοῦτον ἐγχειρισθείς. ὥστε καὶ εἰ οὗτος ἐσώθη, οὐ πλούσιος ἐσώθη, ἀλλ' ἢ, ὡς ἔφημεν, πάντα ἀπεκτισάμενος ἃ εἶχεν, ἢ ὡς οἰκονόμος καλῶς αὐτὰ διατιθέμενος. ἔπειτα καὶ τοῦτο σκόπει, ὅτι τὸν μὲν πλούσιον ἀδύνατον σωθῆναι, τὸν δὲ τὰ χρήματα ἔχοντα δύσκολον. ὡς ἂν εἰ ἔλεγεν, ὁ μὲν ἐχόμενος ὑπὸ τῶν χρημάτων, καὶ δουλεύων αὐτοῖς, καὶ κρατούμενος οὐ σωθήσεται, ὁ δὲ ἔχων τὰ χρήματα, τουτέστι κύριος αὐτῶν ὢν, καὶ αὐτὸς ἔχων ταῦτα, οὐκ ἐχόμενος δὲ ὑπ' αὐτῶν, δυσκόλως σωθήσεται διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, ἀδύνατον γὰρ μὴ παραχρήσασθαι οἷς ἔχομεν, ἕως γὰρ ἔχομεν χρήματα, σπουδάζει ὁ διάβολος ὑποσκελίζειν ἡμᾶς, εἰς τὸ παρὰ τὸν κανόνα, καὶ τὸν νόμον τῆς οἰκονομίας χρήσασθαι ἔστιν ὅτε, καὶ δύσκολον ἐκφυγεῖν τὰς παγίδας αὐτοῦ. διὰ τοῦτο καλὸν ἡ ἀχρημοσύνη καὶ σχεδὸν ἀπείραστον. εἶπον δέ φησιν, οἱ ἀκούσαντες. τίς ἄρα δύναται σωθῆναι; ὁ δὲ εἶπε, τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατὰ παρὰ τῷ θεῷ, παρὰ μὲν γὰρ τοῖς ἀνθρωπίνην γνώμην ἔχουσιν, ἤτοι κάτω συρομένοις, καὶ ἐπιθυμοῦσι τῶν γηΐνων, ἀδύνατόν ἐστι σωθῆναι, ὡς εἴρηται, παρὰ δὲ θεῷ δυνατὸν, τουτέστιν, ὅταν τις σύμβουλον ἔχῃ τὸν θεὸν, καὶ τὰ δικαιώματα τοῦ θεοῦ, καὶ τὰς περὶ ἀχρημοσύνης ἐντολὰς διδασκάλους λάβῃ, καὶ τὴν παρ' ἐκείνου ἐπικαλοῖτο ἐπικουρίαν, δυνατὸν ἔσται τοῦτο, ἡμῶν μὲν γάρ ἐστι, τὸ θελῆσαι τὸ ἀγαθὸν, θεοῦ δὲ τὸ τελειῶσαι. καὶ ἄλλως δὲ εἴπερ ὑπεραναβάντες πᾶσαν ἀνθρωπίνην ἐπὶ τῷ πλούτῳ μικροψυχίαν, θελήσομεν φίλους ἡμῖν αὐτοὺς ποιῆσαι ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, σωθησόμεθα, ὑπ' αὐτῶν εἰς τὰς αἰωνίους σκηνὰς παραπεμπόμενοι. βέλτιον μὲν

γὰρ ἐὰν πάντα προώμεθα, εἰ δὲ μὴ πάντα, συμμερίτας γοῦν ποιῆσαι τοὺς πένητας, καὶ οὕτως τὸ ἀδύνατον δυνατὸν γίνεται. ἀδύνατον μὲν γὰρ τὸν μὴ πάντα προέμενον σωθῆναι, πλὴν διὰ φιλανθρωπίαν θεοῦ γίνεται καὶ τὸ μερικῶς μεταδοῦναι εἰς ὠφέλειαν ἀνάλογον. πρὸς ταῦτα ὁ πέτρος ἐρωτᾷ, ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἐρωτᾷ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ πρὸς παραμυθίαν πάντων πενήτων. ἵνα γὰρ μὴ οἱ πλούσιοι μόνοι εὐέλπιδες ὦσιν, ὡς πολλῶν τευξόμενοι, οἷα πολλῶν καταφρονήσαντες, οἱ δὲ πένητες δυσελπιστῶσιν οἷα ὀλίγων ἀποστάντες, καὶ διὰ τοῦτο ὀλίγας ἀμοιβὰς προσδοκῶντες, ἐρωτᾷ πέτρος καὶ ἀκούει, ὅτι καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι τὰς ἀμοιβὰς ἕξει πᾶς ὁ ὁτιοῦν διὰ θεὸν καταφρονήσας τῶν ὑπαρχόντων, κἂν μικρὰ εἶεν. μὴ γὰρ τοῦτο σκοπήσῃς ὅτι μικρά, ἀλλ᾽ ὅτι βίος ὅλος ἦσαν ἐκεῖνα τὰ μικρὰ τῷ ἀνθρώπῳ, καὶ ὥσπερ σὺ τοῖς πολλοῖς καὶ μεγάλοις, οὕτως ἐκεῖνος τοῖς ὀλίγοις καὶ μικροῖς ἐμβιῶσαι προσεδόκα, ἵνα μὴ λέγω ὅτι ὁ ὀλίγα ἔχων, πλείονα σχέσιν ἔχει πρὸς ταῦτα. καὶ δῆλον ἀπὸ τῶν πατέρων, οἳ ὅταν ἕνα παῖδα ἔχωσι, πλείω τὴν σχέσιν ἐπιδείκνυνται πρὸς τοῦτον, ἢ πρὸς πλείους, οὕτω καὶ ὁ πένης πρὸς τὴν μίαν οἰκίαν, καὶ πρὸς τὸν ἕνα ἀγρὸν δριμύτερον διάκειται, ἢ σὺ πρὸς τοὺς πολλούς. εἰ δὲ μή, ἀλλ᾽ ἴσον γοῦν ἀμφοτέροις τὸ τῆς σχέσεως. διὰ τοῦτο καὶ τὸ τῆς περιφρονήσεως. ἔνθεν τοι καὶ ἐν τῷ νῦν αἰῶνι πολυπλασίας λαμβάνουσι τὰς ἀμοιβάς, ὡς οἱ ἀπόστολοι αὐτοὶ οὗτοι. καλύβας γὰρ καταφρονήσαντες ἕκαστος, νῦν λαμπροτάτοις ναοὺς ἔχουσι καὶ ἀγρούς, καὶ προσόδους, καὶ γυναῖκας πολλὰς τῇ πρὸς αὐτοὺς θερμότητι, καὶ πίστει συνδεδεμένας, καὶ τἄλλα πάντα ἁπλῶς. καὶ ἐν τῷ μέλλοντι δὲ αἰῶνι οὐκ ἀγροῖς τοιούτοις πολυπλασίοις, καὶ σωματικὰς ἀντιδόσεις λάβωσιν, ἀλλὰ ζωὴν αἰώνιον.

» Παραλαβὼν δὲ τοὺς δώδεκα, εἶπε πρὸς αὐτούς. ἰδοὺ ἀναβαίνομεν εἰς ἱεροσόλυμα,
» καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ υἱῷ τοῦ ἀνθρώ-
» που· παραδοθήσεται γὰρ τοῖς ἔθνεσι, καὶ ἐμπαιχθήσεται, καὶ ὑβρισθήσεται, καὶ ἐμ-
» πτυσθήσεται, καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.
» καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ᾽ αὐτῶν, καὶ
» οὐκ ἐγίνωσκον τὰ λεγόμενα. Προλέγει αὐτοῖς τὰ τοῦ πάθους, ἵνα δύο ταῦτα κατορθώσῃ, ἓν μὲν τὸ δεῖξαι, ὅτι οὐκ ἄκων οὐδὲ ὡς ψιλὸς ἄνθρωπος ἀγνοῶν τὸν θάνατον σταυροῦται, ἀλλὰ καὶ προείδει, καὶ ἑκὼν πάσχει· εἰ γὰρ ἐβούλετο μὴ παθεῖν, ἐξέκλινεν ἂν οἷα δὴ προειδώς, τῶν γὰρ μὴ προγινωσκόντων ἐστὶ τὸ ἁλίσκεσθαι. δεύτερον δὲ τὸ πεῖσαι αὐτοὺς εὐκόλως φέρειν τὰ συμβησόμενα, ἅτε προακηκοότας, καὶ μὴ ἐκ τοῦ αἰφνιδίου αὐτοῖς προσπεσόντα. καίτοι εἰ μέλλοι τελεσθῆναι ἐπὶ σοὶ ὦ κύριε τὰ πάλαι ὑπὸ τῶν προφητῶν λεχθέντα, διατί ἀναβαίνεις; δι᾽ αὐτὸ μὲν οὖν τοῦτο, ἵνα σωτηρίαν ἐργάσωμαι. ὥστε ἑκὼν ἔρχεται. ἀλλ᾽ ὁ μὲν ταῦτα, οἱ δὲ μαθηταὶ τότε μὲν συνίεσαν οὐδέν, ἦν γὰρ τὸ ῥῆμα τοῦτο παρακεκαλυμμένον ἀπ᾽ αὐτῶν, μάλιστα πάντων τὸ ῥῆμα τῆς ἀναστάσεως, καὶ τἄλλα μὲν γὰρ οὐκ ἐπεγίνωσκον, οἷον τὸ παραδοθήσεσθαι τοῖς ἔθνεσι, μάλιστα δὲ τὸ τῆς ἀναστάσεως οὐκ ἐπεγίνωσκον ὅλως· οὐδὲ γὰρ ἦν ἐν καταχρήσει τοῦτο, οὔτε πάντες ἐπίστευον οἱ ἰουδαΐζοντες, οὐδὲ τὴν ἁπλῶς ἀνά-
Ματθ. κβ'. στασιν· καὶ δῆλον ἀπὸ τῶν σαδδουκαίων. ἀλλ᾽ εἴποις ἄν, εἰ καὶ μὴ ἐπεγίνωσκον, τί λοι-
Μαρ. ιβ'. πὸν προύλεγεν αὐτοῖς ταῦτα; τί γὰρ τὸ ὄφελος αὐτοῖς πρὸς τὴν ἐν τῷ καιρῷ τοῦ
Λουκ. κ'. σταυροῦ παράκλησιν, μὴ συνιεῖσι τὸ λεγόμενον; οὐ μικρὰ ὠφελοῦντο εἰς τὸ μετέπει-
τα ἀναμιμνησκόμενοι, ὅτι ταῦτα ἦσαν, ἃ τέως προλέγοντος τοῦ κυρίου οὐ συνίεσαν.
Ἰωαν. ιβ'. καὶ τοῦτο δῆλον ἀπὸ πολλῶν, καὶ μάλιστα ἀφ᾽ ὧν ἰωάννης λέγει, ταῦτα δὲ οὐκ ἔγνω-

σιν οἱ μαθηταὶ αὐτοῦ, ὕστερον δὲ ἐμνήσθησαν, ὅτι ταῦτα ἦν γεγραμμένα ἐπ' αὐτῷ. καὶ ὁ παράκλητος δὲ ἀναμνήσας αὐτοὺς πάντα ἀξιοπιστοτέραν τὴν περὶ χριστοῦ μαρτυρίαν αὐτοῖς ἐγκατέθηκε. περὶ δὲ τοῦ πῶς τριήμερος ἡ ταφὴ, ἱκανῶς ἐν τοῖς ἄλλοις εὐαγγελισταῖς εἴρηται.

» Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς ἱεριχὼ, τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν
» προσαιτῶν. ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί ἂν εἴη τοῦτο. ἀπήγγειλαν
» δὲ αὐτῷ ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. καὶ ἐβόησε λέγων, Ἰησοῦ υἱὲ Δαβὶδ
» ἐλέησόν με. καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ, αὐτὸς δὲ πολλῷ μᾶλ-
» λον ἔκραζεν, υἱὲ Δαβὶδ ἐλέησόν με. σταθεὶς δὲ ὁ Ἰησοῦς, ἐκέλευσεν αὐτὸν ἀχθῆναι
» πρὸς αὐτόν. ἐγγίσαντος δὲ αὐτοῦ, ἐπηρώτησεν αὐτὸν λέγων. τί σοι θέλεις ποιήσω; ὁ δὲ
» εἶπε, κύριε ἵνα ἀναβλέψω. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. ἀνάβλεψον, ἡ πίστις σου σέσωκέ-
» σε. καὶ παραχρῆμα ἀνέβλεψε, καὶ ἠκολούθησεν αὐτῷ, δοξάζων τὸν θεόν. καὶ πᾶς
» ὁ λαὸς ἰδὼν, αἶνον ἔδωκε τῷ θεῷ.

Οὐδὲ πάρεργον ὁ κύριος τὸ ἐπὶ τῷ τυφλῷ θαῦμα ἐργάζεται, ἵνα μηδὲ ἡ πάροδος αὐτοῦ ἀλυσιτελὴς εἴη ἡμῖν διδασκαλία, καὶ τοῖς τοῦ χριστοῦ μαθηταῖς, ἵνα διὰ πάντων, καὶ πάντοτε, καὶ πανταχοῦ ἐπωφελεῖς ὦμεν, καὶ μηδὲν ἡμῶν ἀργὸν ᾖ. ὁ τοίνυν τυφλὸς αὐτὸν εἶναι τὸν ἐλπιζόμενον χριστὸν πιστεύσας, εἰκὸς γὰρ ἦν αὐτὸν, ἅτε δὴ τοῖς ἰουδαϊκοῖς ἐντεθραμμένον, μὴ ἀγνοεῖν ὅτι ἐκ σπέρματος Δαβὶδ ὁ χριστὸς, φωνῇ μεγάλῃ βοᾷ, υἱὸς Δαβὶδ ἐλέησόν με, καὶ τῷ εἰπεῖν δὲ ἐλέησόν με, ἐμφαίνει ὅτι θειοτέραν τινὰ εἶχε περὶ αὐτοῦ ἔννοιαν, καὶ οὐ ψιλὸν ἄνθρωπον ἐνόμιζε. θαυμαστὸν δέ μοι καὶ τὴν ἔνστασιν αὐτοῦ τῆς ὁμολογίας, πῶς καίτοι πολλῶν ἐπιτιμώντων αὐτῷ, οὐκ ἐσίγα, ἀλλὰ περισσότερον ἔκραζε, θερμότης γὰρ ἦν τὸ ἔνδοθεν κινοῦν αὐτόν. διὸ καὶ ὁ Ἰησοῦς προσκαλεῖται αὐτὸν ὡς τῷ ὄντι ἄξιον ἐγγίσαι αὐτῷ, ἐπερωτᾷ δὲ αὐτὸν τί σοι θέλεις ποιήσω; οὐχ ὡς ἀγνοῶν, ἀλλ' ὅπως μὴ δόξῃ τοῖς παροῦσιν, ὅτι ἄλλα αἰτοῦντος ἐκείνου, ἄλλα αὐτὸς δίδωσι, καὶ ὡς ἐκεῖνος μὲν αἰτεῖ χρήματα, αὐτὸς δὲ οἷα φιλενδείκτης, τυφλότητα ἐξιᾶται, ἴσως γὰρ τοιαῦτα ὁ φθόνος ἀνόητα ἐσυκοφάντησεν ἄν. διὸ ἐρωτήσας, ἐπειδὴ εὗρεν αὐτὸν τοῦ ἀναβλέψαι ἐπιθυμοῦντα, τοῦτο δίδωσιν. ὅρα δὲ τὸ ἀκόμπαστον, ἡ πίστις σου, φησὶ, σέσωκέ σε, ἐπίστευσας γὰρ, ὅτι ὁ κηρυττόμενος υἱός εἰμι ἐκεῖνος τοῦ Δαβὶδ ὁ χριστός. καὶ τοσαύτην ἐπεδείκνυσο τὴν θερμότητα, ὥστε μηδὲ ἐπιτιμώμενος σιγᾶν. μανθάνομεν δὲ ἐκ τούτου, ὅτι ὅταν μετὰ πίστεως αἰτῶμεν, οὐκ ἄλλα μὲν αἰτοῦμεν, ἄλλα δὲ δίδωσιν, ἀλλ' ἐκεῖνα αὐτά. ὥστε ἐπειδὰν ἄλλα αἰτοῦντες, ἄλλα λαμβάνομεν, πρόδηλον ὅτι οὐ καλῶς οὐδὲ πιστῶς αἰτοῦμεν. αἰτεῖτε γὰρ, φησὶ, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε. Ἰακ. δ΄. ὅρα δὲ καὶ τὴν ἐξουσίαν, ἀνάβλεψον. τίς γὰρ τῶν προφητῶν οὕτως ἐθεράπευσεν, ἐν τοσαύτῃ φημὶ ἐξουσίᾳ; ὅθεν καὶ φῶς τῷ κάμνοντι γέγονεν ἡ φωνὴ, ἐκ φωτὸς τοῦ ἀληθινοῦ προϊοῦσα. ὅρα δὲ καὶ τὴν εὐγνωμοσύνην τοῦ θεραπευθέντος, ἠκολούθει γὰρ τῷ Ἰησοῦ, δοξάζων τὸν θεὸν, καὶ ἑτέροις τοῦ δοξάζειν πρόφασις ὤν.

Κεφάλαιον ιθ΄.

» Καὶ εἰσελθὼν διήρχετο τὴν ἱεριχὼ, καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος ζακχαῖος,
» καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος, καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν, τίς ἐστι,
» καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν, καὶ προδραμὼν ἔμπροσθεν,
» ἀνέβη ἐπὶ συκομορέαν, ἵνα ἴδῃ αὐτὸν, ὅτι δι' ἐκείνης ἔμελλε διέρχεσθαι. καὶ ὡς ἦλθεν
» ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν, καὶ εἶπεν αὐτῷ. ζακχαῖε σπεύσας
» κατάβηθι, σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. καὶ σπεύσας κατέβη, καὶ ὑπεδέ-
» ξατο αὐτὸν χαίρων, καὶ ἰδόντες πάντες διεγόγγυζον λέγοντες, ὅτι παρὰ ἁμαρτωλῷ

» ἀνδρὶ εἰσῆλθε καταλῦσαι. σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς κύριον, ἰδοὺ τὰ ἡμίση τῶν
» ὑπαρχόντων μου κύριε δίδωμι πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησα ἀποδίδωμι τε-
» τραπλοῦν. εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο,
» καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν, ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι, καὶ σῶσαι
» τὸ ἀπολωλός. Αὐτὰ τὰ ἰσχυρότατα τῶν τοῦ διαβόλου σκευῶν ἁρπάζει ὁ κύριος,
καὶ τὰς πόλεις αὐτοῦ καθαιρεῖ, ὅρα γὰρ ὅπως οὐ μόνον τελώνας μαθητὰς αὐτοῦ ἐ-
ποιήσατο, ἀλλὰ καὶ ἀρχιτελώνην τὸν Ζακχαῖον αἰχμαλωτίζει πρὸς σωτηρίαν. ὅτι δὲ
ὁ μὲν τελώνης βδελυκτὸν χρῆμα, ἀρχιτελώνης δὲ πολλῷ μᾶλλον, ὡς ἐν κακίᾳ ἄρ-
χων, οὐδεὶς ἀμφιβαλεῖ, τοῖς τελώναις γὰρ ὁ βίος οὐδαμόθεν ἄλλοθεν, ἢ ἐκ δακρύων
πτωχικῶν. ἀλλ' οὐ παροραται ὁ ἀρχιτελώνης οὗτος, ἀλλὰ μόνην προθυμίαν δίδωσι,
καὶ ἀντιλαμβάνει τὴν σωτηρίαν. ποθῶν γὰρ ἰδεῖν τὸν Ἰησοῦν, καὶ ἀναβὰς διὰ τοῦτο
ἐπὶ τὴν συκομορέαν πρὶν ἢ θεάσηται αὐτὸς, ὑπὸ τοῦ κυρίου βλέπεται. οὕτως ἄρα
προφθάνει ἡμᾶς ὁ θεὸς πανταχοῦ, μόνον εἰ προθυμουμένοις ἴδοι. ἰδὼν δὲ ὁ Ἰησοῦς αὐ-
τὸν, ἐπισπεύδει τοῦ κατελθεῖν, ὡς ἐν τῷ οἴκῳ αὐτοῦ μεῖναι μέλλων. ὁ δὲ οὐκ ἠμέλησε,
δεῖ γὰρ μὴ ἀναδύεσθαι, ὅταν Χριστός τι προστάττῃ, ἀλλὰ καὶ κατέβη, καὶ ὑπεδέξατο
χαίρων. κἂν οἱ πολλοὶ διεγόγγυζον. ἴδωμεν δὲ καὶ τί καρποφορεῖ ἐπὶ τῇ εἰσόδῳ τοῦ
Χριστοῦ, τὰ ἡμίση τῶν ὑπαρχόντων μοι δίδωμι, φησὶ, πτωχοῖς. ὁρᾷς θερμότητα; οὐ φει-
δομένως ἤρξατο σπείρειν, οὐδ' ὀλίγα τινὰ δέδωκεν, ἀλλὰ πάντα τὸν βίον. καὶ αὐτὰ
γὰρ ἃ ὑπεκράτησε, διὰ τὸ ἔχειν δοῦναι τοῖς ἀδικηθεῖσιν ὑπεκράτησε. καὶ γὰρ διδά-
σκων ἡμᾶς, ὅτι οὐδὲν κέρδος, εἴ τις ἐξ ἀδικίας ἔχων χρήματα τοῖς ἄλλοις ἐλεεῖ, κατα-
λιμπάνων τοὺς ἀδικηθέντας, ὅρα τί καὶ τούτῳ ποιεῖ, τετραπλοῦν ἀποδίδωσιν, εἴ τινα
τι ἠδίκησεν. ἐκείνῳ αὐτῷ τῷ ἀδικηθέντι τὴν ζημίαν ἀποθεραπεύων. τοῦτο γὰρ ἀληθοῦς
ἐλεημοσύνης, καὶ οὐχ ἁπλῶς τὴν ζημίαν, ἀλλὰ καὶ μετὰ προσθήκης κατὰ τὸν νόμον.
Ἔξο. κβ΄. ὁ γὰρ νόμος τὸν κλέπτην τετραπλοῦν ἀποτιννύειν ἐκέλευε. καίτοι εἰ ἀκριβῶς σκοπήσο-
μεν, οὐδὲν ὅλως αὐτῷ ὑπελείπετο τῶν χρημάτων. δέδωκε μὲν γὰρ τὰ ἡμίση τῶν
ὑπαρχόντων τοῖς πτωχοῖς, ὑπελείφθησαν δὲ αὐτῷ τὰ ἡμίση, ἐκ τούτων πάλιν τῶν
ὑπολειφθέντων ἀπεδίδου τετραπλοῦν τοῖς παρ' αὐτοῦ ἀδικηθεῖσιν. ὥστε εἰ ὁ βίος τοῦ
Παροιμ. γ΄. ἀρχιτελώνου ἐξ ἀδικίας, αὐτὸς δὲ πάντα ὅσα ἠδίκησε τετραπλασίως ἀποδίδωσι,
σκόπει ὡς γεγύμνωται παντελῶς. κἀντεῦθεν εὑρίσκεται τοῦ νόμου κρεῖττον φρονῶν,
τῷ εὐαγγελίῳ μαθητευόμενος, ὡς ὑπὲρ ἑαυτὸν ἀγαπήσας τὸν πλησίον, καὶ ὑπισχνού-
μενος μὲν ταῦτα, μᾶλλον δὲ ποιήσας. οὐ γὰρ εἶπεν ὅτι δώσω τὰ ἡμίση, καὶ ἀποδώσω
τὸ τετραπλοῦν, ἀλλ' ἰδοὺ δίδωμι καὶ ἀποδίδωμι. ἤκουσε γὰρ τῆς τοῦ Σολομῶντος παραι-
νέσεως, μὴ εἴπῃς ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω σοι. ὁ Χριστὸς εὐαγγελίζεται
αὐτῷ τὴν σωτηρίαν, σήμερον, φησὶ, δίδως, σήμερον σοι σωτηρία. εἰπὼν γὰρ τῷ οἴκῳ
τούτῳ, πάντως τὸν Ζακχαῖον δηλοῖ τὴν σωτηρίαν προσδεξάμενον. ὁ γὰρ Ζακχαῖος διὰ
τοῦ οἴκου δηλοῦται, ἐπεὶ ἄψυχον οἰκοδόμημα οὐκ ἂν υἱὸν Ἀβραὰμ ἔλεγεν, ἀλλὰ πρό-
δηλον ὅτι τὸν ἔμψυχον οἰκοδεσπότην. υἱὸν δὲ Ἀβραὰμ αὐτὸν ὠνόμασε, τάχα μὲν καὶ
ὡς πιστεύσαντα, καὶ δικαιωθέντα ἐκ πίστεως, τάχα δὲ καὶ ὡς πολλὰ τὰ χρήματα με-
γαλόψυχον καὶ φιλόπτωχον, οἷος ἦν ἐκεῖνος ὁ πατριάρχης. ὅρα δὲ, ὅτι νῦν εἶπεν υἱὸν
Ἀβραὰμ τὸν Ζακχαῖον, ὅτι τὴν ἐκ τοῦ τρόπου εἶδεν ἐν αὐτῷ ὁμοιότητα. οὐ γὰρ εἶπεν
ὅτι καθότι καὶ αὐτὸς υἱὸς Ἀβραὰμ ἦν, ἀλλ' ὅτι ἐστὶ νῦν, πρώην γὰρ, ὅτε ἀρχιτελώνης
ἦν καὶ φορολόγος, οὐδεμίαν ὁμοιότητα ἔχων πρὸς τὸν δίκαιον, οὐκ ἦν υἱός. ἐπεὶ δὲ καὶ
ἐγόγγυζον τινὲς, ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ καταλύει, πρὸς τὸ ἐπιστομίσαι τούτοις,
φησὶν, ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι, καὶ σῶσαι τὸ ἀπολωλός. ταῦτα μὲν τὰ
τοῦ ῥητοῦ.

τοῦ ῥητοῦ. ῥᾴδιον δ᾽ ἐστὶ καὶ ἄλλως ἐκλαβέσθαι εἰς ἠθικὴν ὠφέλειαν ταῦτα, πᾶς γὰρ ὁ
ἄρχων ἐν κακίᾳ πολλῶν, μικρός ἐστι τὴν πνευματικὴν ἡλικίαν, ἀντίκειται γὰρ σάρξ,
καὶ πνεῦμα, καὶ διὰ τοῦτο οὐ δύναται ἰδεῖν τὸν Ἰησοῦν ἀπὸ τοῦ ὄχλου, ὑπὸ τῶν παθῶν
ὀχλούμενος, καὶ ὑπὸ πραγμάτων βιωτικῶν, οὐ δύναται ὁρᾶν τὸν Ἰησοῦν ἐνεργοῦν-
τα, καὶ κινούμενον, καὶ περιπατοῦντα· ὁ γὰρ τοιοῦτος οὐδεμίαν ἐνέργειαν ἐπιγινώσκει
χριστιανῷ πρέπουσαν, τοῦτο γάρ ἐστι τὸ βαδίζειν τὸν Ἰησοῦν, τουτέστι τὸ πράττειν τι ἐν ἡμῖν
τὸν Χριστόν· ἀλλ᾽ ὁ τοιοῦτος ἄνθρωπος ὁ μηδέποτε ἰδὼν τὸν Ἰησοῦν βαδίζοντα, ἀλλὰ
πάσης πράξεως Χριστῷ ἁρμοζούσης ἀνεπαίσθητος, ἐκ μεταμελείας εἰς συναίσθησιν ἔρ-
χεται πολλάκις, καὶ ἀναβαίνει ἐπὶ συκομορέαν, πᾶσαν ἡδονὴν, καὶ γλυκύτητα, ἥτις
διὰ τῆς συκῆς δηλοῦται, μαραίνων καὶ ἀπονεκρῶν, καὶ οὕτως ὑψηλότερος ἑαυτοῦ γι-
νόμενος, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος, ὁρᾶται ὑπὸ τοῦ Ἰησοῦ; καὶ ὁρᾷ, καὶ
φησὶ πρὸς αὐτὸν ὁ κύριος, σπεύσας κατάβηθι, τουτέστιν ἀνέβης διὰ τῆς μετανοίας
ἐφ᾽ ὑψηλότερον βίον, κατάβηθι διὰ τῆς ταπεινοφροσύνης, μήπως ὑποσκελίσῃ ἡ ὑψηλο-
φροσύνη· σπεῦσον, ταπεινώθητι· ἐὰν γὰρ ταπεινωθῇς, ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι, ἀ-
ναγκαῖον γὰρ, φησὶν, ἐστὶ τὸ ἐν τῷ οἴκῳ τοῦ ταπεινοῦ μένειν με. ἐπὶ τίνα γὰρ ἐπιβλέψω,
ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντα τοὺς ἐμοὺς λόγους; ὁ τοιοῦτος καὶ τὰ ἡμί- Ἡσαΐ. ξϛ'.
ση τῶν ὑπαρχόντων δίδωσι τοῖς πτωχοῖς δαίμοσι. διττῶν γὰρ ὄντων ἡμῖν τῶν ὑπαρχόν-
των, σωματικῶν φημὶ, καὶ ψυχικῶν, τῶν μὲν σωματικῶν πάντων παραχωρεῖ ὁ δή-
μιος τοῖς πτωχοῖς τῷ ὄντι, καὶ παντὸς ἀγαθοῦ ἐστερημένοις δαίμοσι, τῶν δὲ ψυχικῶν
οὐχ ὑπεξίσταται, ὃ καὶ ἐπὶ τοῦ Ἰὼβ ἔγνωμεν τὸν κύριον λέγοντα, πλὴν τῆς ψυχῆς αὐ- Ἰώβ. β'.
τοῦ μὴ ἅψῃ, ἀλλὰ καὶ εἴ τινός τι ἐσυκοφάντησε, τετραπλοῦν ἀποτίννυσιν. αἰνίττεται δὲ
διὰ τούτου, ὅτι πᾶς ὁ διὰ μετανοίας τὴν ἐναντίαν τῇ προτέρᾳ κακίᾳ ὁδὸν ἐρχόμενος,
διὰ τῶν τεσσάρων ἀρετῶν πάντα τὰ πρότερον ἁμαρτηθέντα ἐξιᾶται, καὶ οὕτως
λαμβάνει τὴν σωτηρίαν· καὶ Ἀβραὰμ υἱὸς ὀνομάζεται, ὡς καὶ αὐτὸς ἐξελθὼν ἐκ Γεν. ιβ'.
τῆς γῆς αὐτοῦ, καὶ ἐκ τῆς συγγενείας τῆς προτέρας κακίας, καὶ ἔξω τοῦ οἴκου τοῦ πα-
τρὸς αὐτοῦ, τουτέστιν ἔξω ἑαυτοῦ γεγονὼς, καὶ ἀπαρνησάμενος ἑαυτόν. οἶκος γὰρ τοῦ πα-
τρὸς αὐτοῦ τοῦ διαβόλου αὐτὸς ἦν· ἔξω τοίνυν ἑαυτοῦ γεγονὼς, καὶ ἀλλοιωθείς. σωτη-
ρίας τυγχάνει κατὰ τὸν Ἀβραάμ·

» Ἀκουόντων δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπε παραβολὴν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι
» Ἱερουσαλὴμ, καὶ δοκεῖν αὐτοὺς, ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία τοῦ θεοῦ ἀναφαί-
» νεσθαι. εἶπεν οὖν, ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν, λαβεῖν ἑαυ-
» τῷ βασιλείαν, καὶ ὑποστρέψαι, καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς δέκα
» μνᾶς, καὶ εἶπε πρὸς αὐτοὺς, πραγματεύσασθε, ἕως ἔρχομαι. οἱ δὲ πολῖται αὐτοῦ
» ἐμίσουν αὐτὸν, καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ λέγοντες, οὐ θέλομεν τοῦτον βα-
» σιλεῦσαι ἐφ᾽ ἡμᾶς· Δοκεῖ μοι, ὅτι οἱ ἄνθρωποι οὗτοι ἀκούοντες βασιλείαν θεοῦ,
αἰσθητὴν ταύτην ὑπελάμβανον παρὰ θεοῦ εὐδοκηθεῖσαν ἐπὶ ἐλευθερίᾳ τοῦ ἑβραϊκοῦ
γένους, διὸ καὶ ὑπενόουν, ὅτι ὁ Ἰησοῦς ἀνερχόμενος εἰς Ἱερουσαλὴμ, λήψεται ταύτην
τὴν βασιλείαν· ὁ δὲ κύριος δεικνύων αὐτοῖς, ὅτι ἀνόητά τινα λογίζονται, οὐ γὰρ αἰ-
σθητὴ ἡ βασιλεία αὐτοῦ, ἅμα δὲ καὶ ἐμφαίνων, ὅτι θεὸς ὢν οἶδε τοὺς διαλογισμοὺς
αὐτῶν, λέγει ταύτην τὴν παραβολὴν, ἄνθρωπον μὲν εὐγενῆ παρεισάγων ἑαυτόν.
κἂν γὰρ ἄνθρωπος γέγονεν, ἀλλὰ μεμένηκεν ἐν τῷ ὕψει, καὶ τῇ εὐγενείᾳ τῆς θεότη-
τος, συμπεράνας δὲ τὸ τῆς μετὰ σαρκὸς οἰκονομίας μυστήριον, εἰς χώραν μακρὰν, τὸν
οὐρανὸν φημὶ, ἀναπεφοίτηκεν, ὡς ἂν λάβῃ βασιλείαν ἑαυτῷ, τουτέστιν ὡς ἂν καὶ κα-
θὸ ἄνθρωπος καθίσει ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς μετὰ σαρκός. ὡς

Πρὸς ἑβρ. ι. μὲν γὰρ θεὸς, ἀεὶ συνεδριάζων ἦν τῷ πατρί, ὡς δὲ ἄνθρωπος τότε ἐκάθισεν, ὅταν
ἀνελήφθη πορευόμενος, ἕως οὗ τεθῶσιν οἱ ἐχθροὶ ὑπὸ τοὺς πόδας αὐτοῦ. τοῦτο δὲ ἔσται ἐν
τῇ συντελείᾳ, ὅτε τὰ πάντα καὶ ἄκοντα ὑποταγήσεται αὐτῷ πιστεύοντα, ὅτι κύ-
ριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. πολῖται δὲ αὐτοῦ εἰσὶν οἱ Ἰουδαῖοι μισοῦν-
Ἰωάν. ιέ. τες αὐτὸν, ἑωράκασι γάρ, φησι, καὶ μεμισήκασι καὶ ἐμὲ, καὶ τὸν πατέρα μου, οἱ οὐκ
Ἰωάν. ιθ'. ἠθέλησαν αὐτὸν ἐπ' αὐτοὺς βασιλεῦσαι. διὸ καὶ ἔλεγον πρὸς Πιλάτον ἀρνούμενοι τὴν
βασιλείαν αὐτοῦ, οὐκ ἔχομεν βασιλέα. καὶ πάλιν. μὴ γράφε ὁ βασιλεὺς τῶν Ἰου-
θ'. δαίων. καίτοι Ζαχαρίας βοᾷ, χαῖρε σφόδρα θύγατερ σιὼν, ὅτι ὁ βασιλεύς σου ἔρχε-
λβ'. ταί σοι δίκαιος, καὶ σώζων. καὶ Ἠσαΐας ἰδοὺ δὴ βασιλεὺς δίκαιος βασιλεύσει. καὶ
ψαλ. β'. Δαβὶδ, ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ. οἱ μὲν οὖν Ἰουδαῖοι ἐμίσησαν τὸν κύριον,
ὁ δὲ τοῖς δούλοις αὐτοῦ δέκα μνᾶς δέδωκε. δοῦλοι δὲ αὐτοῦ οἱ ἐν τῇ ἐκκλησίᾳ διακο-
νίας πεπιστευμένοι, δέκα λεγόμενοι εἶναι διὰ τὸ τέλειον τῆς ἐκκλησιαστικῆς προστασίας.
ἡ γὰρ ἐν τῇ ἐκκλησίᾳ τάξις τελείαν ἔχει τὴν τῶν προεστώτων διακόσμησιν, καὶ οὔτε
πλείονας ἔδει εἶναι, οὔτε ἐλάττονας. οἷον λόγου χάριν, τρία ταῦτα ὁρῶμεν ἐν τῇ ἐκ-
κλησίᾳ, κάθαρσιν, φωτισμὸν, καὶ τελείωσιν. τρία καὶ τὰ ταύτας τὰς ἐνεργείας κλη-
ρωσάμενα τάγματα, οἱ διάκονοι καθαίρουσι διὰ κατηχήσεως, καὶ διδασκαλίας, οἱ πρεσ-
βύτεροι φωτίζουσι διὰ τοῦ βαπτίσματος, οἱ ἀρχιερεῖς καὶ ἱερατικὰς τάξεις καθιστῶσι,
καὶ τελειοῦσιν, ὅ ἐστι, χειροτονοῦσιν. ὁρᾷς τὰ τάγματα πρὸς τὰς ἐνεργείας, καὶ οὔτε
πλείω οὔτε ἐλάττω, τὰ τῶν προεστώτων φημί; τούτοις οὖν τοῖς δούλοις διανέμει δέκα
μνᾶς, τὰ χαρίσματα φημὶ, ἃ ἑκάστῳ δίδοται πρὸς τὸ συμφέρον. πᾶς γὰρ ὁ προστα-
σίαν ἐγχειρισθεὶς, κἂν ἀνάξιος ᾖ, χάρισμα ἔχει διὰ αὐτῆς τῆς χειροτονίας, καὶ ἔστι τοῦτο
μέγα οὕτως τῆς τοῦ θεοῦ φιλανθρωπίας καὶ οἰκονομίας μυστήριον.
» Καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν, εἶπε φωνηθῆναι αὐ-
» τῷ τοὺς δούλους τούτους, οἷς ἔδωκε τὸ ἀργύριον, ἵνα γνῷ τίς τί διεπραγματεύσατο.
» παρεγένετο δὲ ὁ πρῶτος λέγων, κύριε ἡ μνᾶ σου προσειργάσατο δέκα μνᾶς. καὶ εἶπεν
» αὐτῷ, εὖ δοῦλε ἀγαθὲ, ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέ-
» κα πόλεων. καὶ ἦλθεν ὁ δεύτερος λέγων, κύριε ἡ μνᾶ σου ἐποίησε πέντε μνᾶς. εἶπε
» δὲ καὶ τούτῳ, καὶ σὺ γίνου ἐπάνω πέντε πόλεων. καὶ ἕτερος ἦλθε λέγων, κύριε
» ἰδοὺ ἡ μνᾶ σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ. ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐ-
» στηρὸς εἶ, αἴρεις ὃ οὐκ ἔθηκας, καὶ θερίζεις ὃ οὐκ ἔσπειρας. λέγει δὲ αὐτῷ, ἐκ τοῦ στό-
» ματός σου κρινῶ σε πονηρὲ δοῦλε. ᾔδεις, ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, αἴρων ὃ οὐκ
» ἔθηκα, καὶ θερίζων ὃ οὐκ ἔσπειρα, καὶ διατί οὐκ ἔδωκας τὸ ἀργύριόν μου ἐπὶ τρά-
» πεζαν, καὶ ἐγὼ ἐλθὼν, σὺν τόκῳ ἂν ἔπραξα αὐτό; καὶ τοῖς παρεστῶσιν εἶπεν, ἄρατε
» ἀπ' αὐτοῦ τὴν μνᾶν, καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι. καὶ εἶπον αὐτῷ, κύριε δέκα
» μνᾶς ἔχει. λέγω γὰρ ὑμῖν, ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ
» ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. πλὴν τοὺς ἐχθρούς μου ἐκείνους τοὺς μὴ θελήσαντάς με
» βασιλεῦσαι ἐπ' αὐτοὺς, ἀγάγετε ὧδε, καὶ κατασφάξατε ἔμπροσθέν μου. καὶ εἰπὼν ταῦ-
» τα ἐπορεύετο ἔμπροσθεν ἀναβαίνων εἰς Ἱεροσόλυμα. Ἐν τῷ ἐπανέρχεσθαι αὐ-
τόν. ὁ Χριστὸς ὁ εὐγενὴς, καὶ κατὰ τὸ ἀνθρώπινον, ἐκ βασιλικοῦ γὰρ γένους κατήγετο
ὁ κύριος, καὶ κατὰ τὸ θεῖον, τουτέστιν ἐν τῇ δευτέρᾳ αὐτοῦ ἐλεύσει, ὅτε φανήσεται βα-
σιλεὺς μετὰ τῶν ἀγγέλων ἐν τῇ δόξῃ τοῦ πατρὸς ἐρχόμενος, καὶ πᾶν γόνυ κάμψει αὐτῷ,
τότε δὴ τότε καὶ τοὺς τὰ χαρίσματα δεξαμένοις δούλοις λογοπραγεῖ. καὶ εὑρίσκον-
ται, ὁ μὲν πολλοὺς ὠφελήσας, καὶ δεκαπλασιάσας τὸ χάρισμα, ὁ δὲ ὠφελήσας μὲν
καὶ αὐτὸς, ἐλάττους δὲ, ὁ δὲ μηδ' ὅλως ὠφελήσας τινὰ, ἀλλ' ἐν ῥαθυμίᾳ δαπανήσας

τὸν καιρὸν

τὸν καιρὸν τῆς πραγματείας. διὸ ὁ μὲν δεκαπλασιάσας ὃ ἔλαβεν, ἐπάνω δέκα
πόλεων καθίσταται, τουτέστιν, ἀρχὴν δέκα πόλεων λαμβάνει, ὅ ἐστι, πολλαπλασίους
τὰς ἀμοιβὰς δέχεται. καὶ ὁ ἐφεξῆς κατὰ τὴν ἀναλογίαν. ὁ δὲ μηδὲν κερδάνας, κα-
τακρίνεται. ἴδωμεν δὲ καὶ τί φησι, κύριε ἰδοὺ ἡ μνᾶ σου, λάβε ταύτην. εἶχον γὰρ ταύ-
την ἐν σουδαρίῳ ἀποκειμένην. νεκρῷ οὔτι τῷ κυρίῳ σουδάριον περιετέθη, καὶ τοῦ Λα- Ἰωάν. κ'.
ζάρου ἐν τῷ τάφῳ ἡ ὄψις σουδαρίῳ περιεκαλύπτετο. εἰκότως οὖν ὀκνηρὸς οὗτος σου- ια'.
δαρίῳ φησὶν ἐναποθεῖναι τὸ χάρισμα, νεκρὸν γὰρ αὐτὸ ποιήσας καὶ ἀνενέργητον, οὐκ
ἐπεξειργάσατο, οὐδὲ κεκέρδηκεν. ἐφοβούμην γάρ σε, φησὶν, ὅτι αἴρεις ὃ οὐκ ἔθηκας. διὰ τοῦ-
τα πολλοὶ προφασίζονται, μὴ θέλοντες γὰρ ὠφεληθῆναι τινὰς, φασὶν, ὅτι ὅπου οὐκ
ἔσπειρεν ὁ θεὸς εὐφυΐαν, καὶ ἐπιτηδειότητα, ἐκεῖθεν μὴ ζήτει θέρος. τὸν δεῖνα οὐκ
ἐποίησεν εὐφυᾶ πρὸς μάθησιν ἐπιτήδειον, καὶ τί με ἀπαιτεῖ τὴν ἐκείνου ὠφέλειαν;
διὸ καὶ ὁ κύριος φησὶ, σὺ δίδαξον, καὶ κατάβαλε τὸ ἀργύριόν μου τοῖς τραπεζίταις,
τουτέστι, πᾶσι τοῖς πρὸς τὸ ὠφελεῖσθαι προκειμένοις ἀνθρώποις. πᾶς γὰρ ἄνθρωπος
τραπεζίτης ὑπὸ θεοῦ προκεχείρισται, ὥστε ἐν τῷ μεγάλῳ τοῦ κόσμου τούτου ἐργαστη-
ρίῳ πραγματεύεσθαι. καὶ ἐγὼ ἐλθὼν, ἔπραξα ἂν αὐτὸ, τουτέστιν, ἀπῄτησα σὺν τό-
κῳ. δεῖ μὲν γὰρ ἡμᾶς τὸ οἰκεῖον ποιεῖν, περὶ δὲ τῶν μετέπειτα, θεὸς κρινεῖ τοὺς μὴ θε-
λήσαντας ὠφεληθῆναι. αἴρεται οὖν τὸ χάρισμα, καὶ δίδοται τῷ ἀγαθῷ πραγμα-
τευτῇ, κἂν γὰρ ἔχῃ, μᾶλλον δι' αὐτὸ τοῦτο ὀφείλει πλείω προσλαβεῖν. τῷ γὰρ ἔχον-
τι δοθήσεται, τουτέστι τῷ ἐκ τοῦ καλῶς πραγματεύσασθαι πολλῶν εὐπορήσαντι,
ἐκείνῳ δοθήσεται καὶ πλείω. εἰ γὰρ τὰ ὀλίγα ηὔξησε δεκαπλασιάσας, πρόδηλον ὅτι
τὰ πλείω δεκαπλασιάζων, πλείονος κέρδους πρόξενος τῷ δεσπότῃ ἔσται. ἀπὸ δὲ
ἀμελοῦς καὶ ὀκνηροῦ, καὶ μὴ αὐξῆσαι σπουδάσαντος ὃ ἔλαβε, καὶ αὐτὸ ἐκεῖνο, ὃ ἔχει,
ἀρθήσεται, ἵνα μὴ ἀργῇ τὸ δεσποτικὸν πρᾶγμα δυνατὸν ὂν δοθῆναι ἑτέρῳ, καὶ πο-
λυπλασιασθῆναι. ταῦτα δὲ μὴ μόνον ἐπὶ τοῦ λόγου, καὶ τῆς διδασκαλίας ἐκλαμ-
βάνομεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἠθικῶν ἀρετῶν. καὶ γὰρ κἀνταύταις δέδωκεν ἡμῖν ὁ θεὸς
χαρίσματα, τῷ μὲν νηστείας, τῷ δὲ ἐλεημοσύνης, τῷ δὲ πραότητος, τῷ δὲ ἀτυφίας.
κἂν μὲν νήφωμεν, πολυπλασιάζομεν ταῦτα, ἂν δὲ ῥαθυμῶμεν, καὶ ἀπονεκρωθῶμεν
τῇ προαιρέσει, ὕστερον αἰτιασόμεθα τὸν θεὸν, ὡς εἰώθαμεν λέγειν, καὶ τί ποιήσω ἐὰν
ὁ δεῖνα ᾖ ἅγιος; θέλει ὁ θεὸς, καὶ ἔστιν ἅγιος. ἐμὲ οὐ θέλει, καὶ οὐκ εἰμί. καὶ ἐκεῖ-
νος Πέτρος ἦν, ἐκεῖνος Παῦλος. ἀνόητε ἄνθρωπε, ἡ μνᾶ αὕτη Πέτρον σε ποιεῖ καὶ Παῦ-
λον. ἐργάσαι δὲ κατὰ δύναμιν, καὶ προσάγαγέ τι τῷ δεδωκότι, κἂν μὴ ὅσον ὁ Πέ-
τρος, καὶ Παῦλος. σὺ δὲ τὰ αὐτὰ τῷ Πέτρῳ καὶ τῷ Παύλῳ δεξάμενος. κἀκεῖνος γὰρ
μνᾶν, καὶ σὺ μνᾶν, ἔπειτα μηδὲ κινηθεὶς ὅλως εἰς ἐργασίαν τοῦ καλοῦ αἰτιᾷ τὸν θεόν;
διὰ τοῦτο ἀνάξιοι εὑρισκόμενοι τῶν χαρισμάτων, ἀπογυμνούμεθα τούτων. τοὺς δὲ
ἐχθρούς μου, φησὶ, τοὺς μὴ θέλοντάς με βασιλεῦσαι, ἀγάγετε ὧδε, καὶ σφάξατε, τοὺς
ἰουδαίους φησὶν, οὓς καταφθορᾷ παραδώσει, εἰς τὸ πῦρ τὸ ἐξώτερον παραπέμπων
αὐτούς. καὶ μέντοι οὗτοι οἱ ἄθλιοι κἀνταῦθα, ἐν τῷ κόσμῳ τούτῳ φημὶ, κατεσφάγη-
σαν ὑπὸ τῶν ῥωμαϊκῶν στρατευμάτων, τηρούμενοι, καὶ φυλαξόμενοι τῇ ἐκεῖσε σφαγῇ.
» Καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηθφαγὴ, καὶ Βηθανίαν πρὸς τὸ ὄρος τὸ καλούμενον ἐ-
» λαιῶν, ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ εἰπὼν, ὑπάγετε εἰς τὴν κατέναντι κώμην,
» ἐν ᾗ εἰσπορευόμενοι, εὑρήσετε πῶλον δεδεμένον, ἐφ' οὗ οὐδεὶς πώποτε ἀνθρώπων ἐκά-
» θισε, λύσαντες αὐτὸν ἀγάγετε, καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, διατί λύετε; οὕτως ἐρεῖτε
» αὐτῷ, ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει. ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι, εὗρον καθὼς
» εἶπεν αὐτοῖς. λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ κύριοι αὐτοῦ πρὸς αὐτοὺς, τί λύε-



» τε τὸν πῶλον; οἱ δὲ εἶπον, ὁ κύριος αὐτοῦ χρείαν ἔχει. καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰη-
» σοῦν, καὶ ἐπιῤῥίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον ἐπεβίβασαν τὸν Ἰησοῦν.
» πορευομένου δὲ αὐτοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ. ἐγγίζοντος δὲ αὐ-
» τοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν, ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μα-
» θητῶν χαίροντες, αἰνεῖν τὸν θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν, ὧν εἶδον δυνάμεων, λέγον-
» τες εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι κυρίου, εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα
» ἐν ὑψίστοις. καί τινες τῶν φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτὸν, διδάσκαλε ἐπι-
» τίμησον τοῖς μαθηταῖς σου. καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς, λέγω ὑμῖν, ὅτι ἐὰν οὗτοι
» σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. Δύο ἐν ταυτῷ ὁ κύριος ὑποδηλῶν ἐπὶ τοῦ πώ-
Ζαχ. θ΄. λου καθίζει, ἓν μὲν, πληρῶν προφητείαν τὴν λέγουσαν, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται
καθήμενος ἐπὶ ὄνου, ἕτερον δὲ, τροπικῶς ἡμῖν αἰνιττόμενος, ὅτι ἐπιβήσεται ἐπὶ τὸν
νέον, καὶ ἀκάθαρτον, καὶ ἀδάμαστον ἐθνικὸν λαόν. οὐ γὰρ δήπου διὰ τὸ τῆς ὁδοῦ μῆ-
κος ἐδεῖτο τοῦ ὑποζυγίου. ὁ γὰρ πᾶσαν Γαλιλαίαν, καὶ Ἰουδαίαν πεζῇ περιερχόμε-
νος, πῶς ἂν ἀπὸ Βηθανίας εἰς Ἱερουσαλὴμ διϊὼν, ἐδεήθη τοῦ πώλου ὀλίγου ὄντος τοῦ
διαστήματος, ὡς πάντες ἴσασιν; ὅπερ οὖν εἶπον, μυστικῶς ταῦτα ποιεῖ. δεδεμένος δὲ ἦν
ὁ πῶλος καὶ κυρίοις εἶχε πολλοῖς, ἀλλὰ λύεται παρὰ τῶν ἀποστόλων, τουτέστι τῶν
ἀποσταλέντων. τοῦτο δὲ τοιοῦτόν ἐστι, Βηθανία μὲν οἶκος ὑπακοῆς ἑρμηνεύεται, Βηθφα-
γὴ δὲ οἶκος σιαγόνων, ἱερατικὸς ὢν τόπος, καὶ γὰρ σιαγόνες τοῖς ἱερεῦσιν ἐδίδοντο, ὡς
Δευτ. ιη΄. ἐν τῷ νόμῳ ἀναγέγραπται. δηλοῦται δὲ διὰ τῶν σιαγόνων ὁ τῆς διδασκαλίας λό-
γος, οὗ αἱ ψυχικαὶ σιαγόνες κατεργάζονται, καὶ λεπτύνουσιν. ἔνθα τοίνυν οἶκος τοῦ
λόγου τοῦ διδασκαλικοῦ, καὶ τῆς πρὸς τοῦτον ὑπακοῆς, ἐκεῖ στέλλονται οἱ τοῦ κυρίου
μαθηταὶ, καὶ λύουσι τὸν ταῖς σειραῖς δεδεμένον τῶν ἁμαρτιῶν λαὸν, καὶ ταῖς φρον-
τίσι τοῦ βίου ταῖς πολλαῖς, καὶ ἀντὶ τοῦ πολλοὺς ἔχειν κυρίους, καὶ θεοὺς, ποιοῦσιν αὐ-
τὸν ἔχειν ἕνα κύριον Ἰησοῦν, καὶ ἕνα θεὸν πατέρα. ὅπου γὰρ οὐκ ἔστιν οἶκος ὑπακοῆς,
οὐδὲ παραδοχὴ λόγου διδασκαλικοῦ, τοιοῦτόν τι οὐ γίνεται ἐκεῖ, οὐδὲ λύεται ὁ πῶ-
λος. δύο δὲ ὄντες οἱ ἀπεσταλμένοι, τοῦτο αἰνίττονται, ὅτι τῇ τοῦ ἐθνικοῦ λαοῦ προσαγω-
γῇ, καὶ τῇ πρὸς Χριστὸν ὑποταγῇ δύο τάγματα ὑπουργοῦσι, προφῆται, καὶ ἀπόστο-
λοι. καὶ ἄγουσιν αὐτὸν ἔκ τινος κώμης, ἵνα μάθωμεν ὅτι ἀγροικίᾳ πολλῇ συνῆν ὁ
λαὸς οὗτος καὶ ἀπαιδευσίᾳ. καὶ γὰρ οὐδὲ ἐκάθισεν ἐπ' αὐτὸν οὐδέποτε λόγος ἢ μω-
Ματθ. κα΄. σαϊκὸς, ἢ προφητικὸς, ἀλλὰ πῶλος ἦν ἀπαίδευτος. εἰ δὲ καὶ ὡς ἕτερος τῶν εὐαγγε-
λιστῶν ἔφη, παῖδες ἦσαν οἱ βοῶντες τὸ, ὡσαννὰ τῷ υἱῷ Δαβὶδ, καὶ οὕτω δ' ἂν ὑπαινίττοιν-
το τὸν αὐτὸν νέον λαὸν, διὰ τοῦ πιστεῦσαι τῷ Ἰησοῦ. ἐκ σπέρματος Δαβὶδ σαρκὶ φανέν-
τι, δόξαν ἀναπέμποντες θεῷ κατὰ τὸ γεγραμμένον, λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν
Ψαλ. ρα΄. κύριον. ἡ δὲ τῶν ἱματίων ὑπόστρωσις τοῦτο σημαίνειν ἔοικεν, ὅτι ἐκδυόμενοι τὸν παλαιὸν
ἄνθρωπον οἱ ἄξιοι ὄντες ὑμνεῖν τὸν Ἰησοῦν, ὑποστρωννύουσιν αὐτὸν, καὶ ὑποτάττουσιν αὐ-
τῷ, ἵνα ἐπιβὰς αὐτοῦ, ἁγιάσῃ αὐτὸν, καὶ μηκέτι ἡ σὰρξ ἐπανίστηται τῷ πνεύματι,
Ψαλ. λϛ΄. ὡς ἂν καὶ αὐτοὶ ἔχωσι λέγειν, ὑπετάγην τῷ κυρίῳ, καὶ ἱκέτευσα αὐτόν. ἅπαν δὲ τὸ
πλῆθος τῶν μαθητῶν ἔφη ὁ Λουκᾶς αἰνεῖν τὸν θεὸν, μαθητὰς λέγων ἁπλῶς τοὺς
ἀκολουθοῦντας πάντας τῷ Ἰησοῦ, οὐ τοὺς δώδεκα μόνους, οὐδὲ τοὺς ἑβδομήκοντα, ἀλ-
λὰ τὸν ὄχλον ἅπαντα τὸν ἢ διὰ χρείαν θαυμάτων, ἢ διὰ τὸ πρὸς καιρὸν θέλγεσθαι
ὑπὸ τῆς διδασκαλίας ἀκολουθοῦντα τῷ Ἰησοῦ, ἐν οἷς εἰκὸς καὶ νήπια ἀναμεμίχθαι,
Ματθ. κα΄. καθὰ ἕτεροι εἶπον εὐαγγελισταί. θεοφορούμενοι δὲ οὗτοι, βασιλέα αὐτὸν ἀνομολο-
γοῦσιν, ἐν ὀνόματι κυρίου ἐρχόμενον τουτέστιν ὡς θεὸν, καὶ εἰρήνη, φασὶν, ἐν οὐρανῷ. ἀν-
τὶ τοῦ ὁ παλαιὸς πόλεμος, ὃν εἴχομεν πρὸς τὸν θεὸν, κατελύθη. οὐ γὰρ ἦν ἐν τῇ γῇ

βασιλεὺς

βασιλεὺς θεός. νῦν δὲ τοῦ θεοῦ ἐρχομένου ἐπὶ γῆς, εἰρήνη εἰκότως ἐν οὐρανῷ. καὶ διὰ τοῦτο δόξα ἐν ὑψίστοις, τῶν ἀγγέλων δοξαζόντων ἐπὶ τῇ τοιαύτῃ ἑνώσει, καὶ καταλλαγῇ, ἣν ἡμῖν ὁ ἐπὶ πώλου ἐρχόμενος βασιλεὺς καὶ θεὸς ἐχαρίσατο. αὐτὸ γὰρ τοῦτο, τὸ θεὸν ὄντα ἐπὶ γῆς φαίνεσθαι, καὶ ἐν τῇ χώρᾳ ἡμῶν τῶν ἐχθρῶν αὐτοῦ περιπατεῖν, δηλοῖ σπονδὰς γενέσθαι μεταξὺ ἡμῶν καὶ αὐτοῦ. οἱ δὲ φαρισαῖοι διεγόγγυζον, ὅτι τε βασιλέα αὐτὸν ὠνόμαζε τὸ πλῆθος, καὶ ὅτι ὡς θεὸν αὐτὸν ὕμνουν, εἰς ἀνταρσίαν γὰρ φέρειν τὸ τοῦ βασιλέως ὄνομα ἐπιφημιζόμενον αὐτῷ, καὶ εἰς βλασφημίαν τοῦ κυρίου. ὁ δὲ ἐὰν οὗτοι, φησὶ, σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. μὴ γὰρ καταχαριζόμενοί μοι ταῦτά φασιν οἱ ἄνθρωποι, ἀλλ' ἀπὸ πασῶν, ὧν εἶδον, δυνάμεων πειθόμενοι, καὶ καταναγκαζόμενοι ταύτην τὴν δοξολογίαν προσφέρουσι.

» Καὶ ὡς ἤγγισεν ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτῇ, λέγων, ὅτι εἰ ἔγνως καὶ σὺ, καί
» γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ τὰ πρὸς εἰρήνην σου, νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου.
» ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ, καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι, καὶ περικυκλώ-
» σουσί σε, καὶ συνέξουσί σε πάντοθεν, καὶ ἐδαφιοῦσί σε, καὶ τὰ τέκνα σου ἐν σοὶ, καὶ
» οὐκ ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ, ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου.

Κλαίει ἐπὶ τῇ πόλει ὡς φιλάνθρωπος, οὐ γὰρ ἤθελεν ἀπολέσαι τοὺς ἐν ταύτῃ διὰ τὸ κατ' αὐτοῦ τόλμημα. δείκνυσιν οὖν τὰ σπλάγχνα τοῦ ἐλέους διὰ τοῦ κλαυθμοῦ. ὅτι γὰρ ἠλέει αὐτοὺς καὶ οὐ μόνον πρὸ τοῦ σταυροῦ, ἀλλὰ καὶ μετὰ τὸν σταυρὸν καὶ τὴν ἐπιστροφὴν αὐτῶν ἐδίψα, δῆλον ἐκ τοῦ μετὰ τοσαῦτα ἔτη, τριακονταπέντε γὰρ παρέδραμον, παραδοῦναι αὐτοὺς τοῖς ῥωμαίοις. πάντως γὰρ δι' οὐδὲν ἄλλο τὴν τιμωρίαν ἀνεβάλλετο, ἢ διὰ τὴν ἐπιθυμίαν τῆς ἐπιστροφῆς αὐτῶν. κλαίει οὖν τὴν ἀναισθησίαν τῆς Ἱερουσαλὴμ, καὶ φησὶν, εἰ ἔγνως καὶ σὺ καίγε ἐν τῇ ἡμέρᾳ ταύτῃ τὰ πρὸς εἰρήνην σοι, τουτέστιν, εἰ ἔγνως νῦν ἃ σοι συμφέρει, καὶ εἰρήνην, καὶ ἀνάπαυσιν ἐπάγει, ἅ τινά εἰσιν ἡ πίστις ἡ πρὸς ἐμὲ, καὶ τὸ ἀπέχεσθαι τῆς κατ' ἐμοῦ ἐπιβουλῆς. νῦν δὲ ἀπεκρύβη ἀπὸ ὀφθαλμῶν σου, ὅτι δι' ἐμὲ τὸν ὑπὸ σοῦ ἀθετούμενον, καταλήψονταί σε κακὰ ἀφόρητα, καὶ τάδε καὶ τάδε πείσῃ, ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου, τουτέστι τῆς ἐμῆς παρουσίας, ὅτε ἦλθον ἐπισκέψασθαί σε καὶ σῶσαι. ἔδει οὖν γνῶναί σε τὰ πρὸς εἰρήνην σου, καὶ πιστεῦσαι εἰς ἐμὲ, καὶ εἶχες ἂν εἰρήνην ἀπὸ τῶν ῥωμαίων, καὶ πάσης κακώσεως ἀπαλλαγήν. καὶ γὰρ οἱ πιστεύσαντες τῷ χριστῷ πάντες, τῆς ἁλώσεως ὑπέρτεροι γεγόνασιν, ὥστε εἰ πάντες ἐπίστευσαν, οὐδεὶς ἂν ἑάλω.

» Καὶ εἰσελθὼν, εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγορά-
» ζοντας, λέγων αὐτοῖς, γέγραπται, ὁ οἶκός μου οἶκος προσευχῆς ἐστιν, ὑμεῖς δὲ αὐτὸν ἐ- Ἠσαΐ. νϛ'.
» ποιήσατε σπήλαιον λῃστῶν. καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ. οἱ δὲ ἀρχιε-
» ρεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ. καὶ οὐχ εὕρι-
» σκον τὸ τί ποιήσουσιν, ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων. καὶ ἐγένετο ἐν
» μιᾷ τῶν ἡμερῶν ἐκείνων διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ, καὶ εὐαγγελιζομέ-
» νου, ἐπέστησαν οἱ ἱερεῖς καὶ οἱ γραμματεῖς σὺν τοῖς πρεσβυτέροις, καὶ εἶπον πρὸς αὐ-
» τὸν λέγοντες, εἰπὲ ἡμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξου-
» σίαν ταύτην; ἀποκριθεὶς δὲ εἶπε πρὸς αὐτοὺς, ἐρωτήσω κἀγὼ ὑμᾶς ἕνα λόγον, καὶ εἴ-
» πατέ μοι. τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; οἱ δὲ συνελογίσαντο
» ἐν ἑαυτοῖς λέγοντες, ὅτι ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ, ἐρεῖ, διατί οὐκ ἐπιστεύσατε αὐτῷ;
» ἐὰν δὲ εἴπωμεν ἐξ ἀνθρώπων, πᾶς ὁ λαὸς καταλιθάσει ἡμᾶς, πεπεισμένος γάρ ἐστι
» τὸν Ἰωάννην προφήτην εἶναι. καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. καὶ ὁ Ἰησοῦς εἶπεν
» αὐτοῖς, οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Ἐνδόξῃ εἰσελθὼν ὁ κύ-

ρειος τὴν ἱερουσαλὴμ, τῆς οἰκείας αὐθεντίας ποιεῖται δεῖγμα, τὸ τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ἐκκαθαίρειν τῶν καπηλευόντων. καίτοι καὶ ἐν ἀρχῇ τοῦ κηρύγματος τοῦτο πεποίηκεν, ὡς ἰωάννης φησί· καὶ πάλιν νῦν τοῦτο ἐκδευτέρου ποιεῖ, ὃ καὶ πρὸς μείζω κατηγορίαν τῶν ἰουδαίων ἐστὶν, ὅτι οὐδὲ ἀπὸ τῆς προτέρας αὐτοῦ παῤῥησίας ἐσωφρονίσθησαν, ἀλλ' ἐπέμενον τῇ καπηλείᾳ, καὶ ἀντίθεον αὐτὸν ἔλεγον ὄντα οὕτως τιμῶντα τὸν πατέρα, καὶ θεόν, ὡς καὶ τὸν οἶκον αὐτοῦ ἐκκαθαίρειν τῶν καπηλευόντων. διὸ καὶ τὸν ἠσαΐαν αὐτοῖς ἐπιφέρει κατήγορον λέγοντα, ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται. οἱ δὲ ἀνοήτως ἐπερωτῶσιν αὐτὸν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καίτοι ἐξῆν ἐννοῆσαι αὐτοὺς, ὅτι ἐπεὶ προφητικὴν ῥῆσιν παρήγαγε μαρτυροῦσαν, ὅτι ὁ οἶκος τοῦ θεοῦ οἶκος προσευχῆς ἐστὶν, οὐκ ἐμπόριον, καὶ σπήλαιον λῃστῶν, λῃστρικὸν γὰρ ἡ πλεονεξία, καὶ καπηλεία, τίς λοιπὸν χρεία ἐρωτᾷν αὐτὸν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ; ἕτοιμον γὰρ οὖν λογίσασθαι, ὅτι ὁ θεὸς ταῦτα κελεύει διὰ τοῦ προφήτου, οἱ δὲ ἐν ποίᾳ

Λευιτ. ι'. ἐξουσίᾳ ταῦτα ποιεῖς ἐρωτῶσιν. ὁ νόμος, φασὶ, τοῖς ἐκ λευῒ καταγομένοις τὴν τοῦ ἱεροῦ διακόσμησιν ἐπέτρεψε, σὺ μὴ καταγόμενος ἐκ λευϊτικῆς φυλῆς, πῶς ταῦτα

Ψαλ. ρθ'. ποιεῖς; καὶ τὰ ἱερατικὰ ἁρπάζεις; ἀλλ' ἀναμνήσθητε ἰουδαῖοι λέγοντος τοῦ Δαβὶδ, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελχισεδὲκ, μελχισεδὲκ δὲ εἴρηται ἱερεύς. ὁ δὲ μελχισεδὲκ οὐ κατὰ νόμον ἦν ἱερεὺς, οὐδὲ ἐκ τῆς λευϊτικῆς φυλῆς. πῶς γὰρ ὃς προγενέστερος ἦν τοῦ λευῒ τοσοῦτον; καὶ λοιπὸν, τί ζητεῖς ἐν χριστῷ τὴν τάξιν τοῦ νόμου; θεὸς νόμοις οὐχ ὑπόκειται. προσέταξεν ὅτε καιρὸς ἦν, ἐκ λευϊτικῆς εἶναι φυλῆς τοὺς ἱερεῖς, νῦν μετατάττει τοῦτον τὸν νόμον, καὶ τὴν τοῦ μελχισεδὲκ ἱερωσύνην προκρίνει. διὸ καὶ ἐκβάλλει τοὺς πωλοῦντας καὶ ἀγοράζοντας τὰ πρὸς θυσίαν ζῶα, οἷον πρόβατα, καὶ περιστεράς. μετὰ καὶ τὴν εὐπρέπειαν, καὶ τὸ εὔσχημον τῷ ναῷ περιποιεῖσθαι· ἔτι καὶ τοῦτο ὑποδεικνὺς, ὅτι οὐκ ἔτι ταῖς ζωοθυσίαις, δεῖ τὸν θεὸν ἐξιλάσκεσθαι πιστεύειν. ἦν μὲν οὖν ἕτοιμον τῷ κυρίῳ ἀποκρίνασθαι πρὸς αὐτοὺς, καθάπερ εἴρηται, καὶ εἰπεῖν, ὅτι ὁ προφήτης ταῦτα, μᾶλλον δὲ ὁ θεὸς διακελεύεται, πλὴν ἵνα δείξῃ αὐτοὺς, ὅτι πάντοτε ἀπειθοῦσι τῷ πνεύματι τῷ ἁγίῳ, καὶ οὐχ ὅτι γε ἠσαΐᾳ τῷ παλαιῷ προφήτῃ, καὶ εἰς λήθην ἴσως αὐτοῖς γενομένῳ, ἀλλὰ καὶ τῷ χθὲς φανέντι ἰωάννῃ τῷ αὔλῳ μικροῦ καὶ ἀσάρκῳ οὐκ ἠθέλησαν πιστεῦσαι, διὰ τοῦτο ἀντερωτᾷ αὐτοὺς τὴν ἀξιοθαύμαστον ταύτην ἐρώτησιν, δι' ἧς ἐπιστομίζει μὲν καὶ αὐτοὺς, δείκνυσι δὲ ἡμῖν, ὅτι εἰ τῷ τηλικούτῳ προφήτῃ οὐκ ἐπίστευσαν τῷ ἰωάννῃ τῷ μείζονι αὐτοῦ δοκοῦντι καὶ αὐτοῦ μαρτυροῦντι, πῶς ἂν αὐτῷ πιστεύσωσιν ἀκρολογουμένῳ αὐτοῖς ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ; ὅπερ γὰρ ἂν εἴπῃ, πάντως ἂν ἐξῆν αὐτοῖς διαβαλεῖν αὐτὸ καὶ διαπτύσαι, ὥσπερ καὶ τοὺς ἰωάννου λόγους τοῦ ἐνδοξοτέρου παρ' αὐτοῖς διέπτυσαν.

Κεφάλαιον, η'.

» Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην, ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε χρόνους ἱκανούς, καὶ ἐν καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δώσωσιν αὐτῷ, οἱ δὲ γεωργοὶ δείραντες αὐτὸν, ἐξαπέστειλαν κενὸν καὶ προσέθετο πέμψαι ἕτερον δοῦλον, οἱ δὲ κἀκεῖνον δείραντες, καὶ ἀτιμάσαντες, ἐξαπέστειλαν κενόν· καὶ προσέθετο πέμψαι τρίτον, οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον· εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσω; πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν, ἴσως τοῦτον ἰδόντες ἐντραπήσονται· ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ, διελογίζοντο πρὸς ἑαυτοὺς λέγοντες, οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτὸν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία, καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν· τί οὖν ποιήσει αὐτοῖς ὁ

κύριος

κύριος τοῦ ἀμπελῶνος; ἐλεύσεται, καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν
ἀμπελῶνα ἄλλοις. Βραχεῖα μὲν αὕτη ἡ παραβολὴ, πλὴν πολλὰ καὶ μεγάλα
διδάσκει ἡμᾶς, τὴν πρόνοιαν τοῦ θεοῦ, ἣν ἐπὶ τοῖς Ἑβραίοις τοσαύτην ἐχαρίσατο, μᾶλ
λον δὲ ἐπεδείξατο, τὸ ἐξ ἀρχῆς αὐτῶν φονικὸν, τὸ καὶ τῆς παλαιᾶς καὶ τῆς νέας
ἕνα εἶναι τὸν θεὸν, τὸ εἰσαχθήσεσθαι τὰ ἔθνη, τὸ ἀπορριφήσεσθαι τοὺς Ἰουδαίους. ἀμπε-
λὼν οὖν αὕτη ἡ συναγωγὴ τῶν Ἰουδαίων, γεωργοὶ δὲ οἱ γραμματεῖς, καὶ φαρισαῖοι οἱ
προεστῶτες, καὶ ἐπιστάται τοῦ λαοῦ, ἢ καὶ ἕκαστος αὐτὸς ἀμπελὼν, αὐτὸς γεωργὸς,
ἕκαστος γὰρ ἡμῶν αὐτὸς ἑαυτὸν γεωργεῖ. τοῦτον οὖν τὸν ἀμπελῶνα ἐκδοὺς γεωργοῖς ὁ φι
λάνθρωπος, ἀπεδήμησε, τουτέστιν, αὐτεξουσίους αὐτοὺς ἀφῆκε πορεύεσθαι, ἀπέστειλε
δὲ διαφόρους δούλους, προφήτας φημὶ, ὡς ἂν ἔχοι τι κέρδος μικρὸν, ἐκ τοῦ καρποῦ
γὰρ, φησὶν, ἤθελε λαβεῖν, οὐ τὸν καρπὸν ἅπαντα, τί γὰρ κερδαίνει ὁ θεὸς ἀφ' ἡμῶν,
εἰ μὴ τὴν αὐτοῦ ἐπίγνωσιν; καὶ αὕτη δὲ ἡμέτερον κέρδος, ὅμως τὴν σωτηρίαν ἡμῶν
καὶ τὸ ἡμέτερον κέρδος οἰκεῖον ποιεῖται. ὕβρισαν δὲ τοὺς ἀποσταλέντας οἱ κακοὶ γεωρ-
γοὶ, δείραντες, μετὰ καὶ τοῦ κενοὺς ἐξαποστεῖλαι, τουτέστιν, εἰς τοσοῦτον ἀγνωμοσύνης ἦλ
θον, ὥστε οὐ μόνον ἐξέκλιναν ἀπὸ τοῦ καλοῦ, καὶ οὐδένα καρπὸν ἀγαθὸν ἔδωκαν, ἀλλὰ
καὶ πονηρίαν ἐποίησαν, ὃ μείζονος κολάσεως ἄξιον. τῶν οὖν προφητῶν οὕτως τὰ δει
νότατα παθόντων, ὁ υἱὸς ἀποστέλλεται, ἴσως γὰρ φησὶν ἐντραπήσονται τὸν υἱόν μου.
τοῦτο δὲ εἶπεν, οὐχ ὡς ἀγνοῶν τὸ μέλλον, καὶ ὅτι μέλλουσι μᾶλλον αὐτὸν χεῖρον τῶν
προφητῶν διαθέσθαι, ἀλλ' ἐκεῖνο λέγων, ὅπερ ἔδει γενέσθαι, ἔδει γὰρ ἐντραπῆναι
αὐτὸν. εἰ δὲ καὶ αὐτοὶ τοσοῦτον οὐκ ἐνετράπησαν, ὥστε καὶ ἀπέκτειναν, τοῦτο εἰς μεί-
ζονα κατηγορίαν αὐτοῖς, ὅτι καὶ μετὰ τὸ ἀποφήνασθαι τὸν θεὸν, ὅτι οὕτως ἦν καλὸν γε
νέσθαι, καὶ ἐντραπῆναι αὐτὸν, αὐτοὶ τὴν ἐναντίαν ψῆφον ἔθεντο. τὸ δὲ τοιοῦτον ἰδίω- Ἱερ κς'.
μα παρὰ τῇ γραφῇ πολλαχοῦ εὑρίσκεται, ὡς τὸ, ἐὰν ἄρα ἀκούσωσιν. οὐ δὲ γὰρ ἐκεῖ Ἰεζε. β'.
ἀγνοῶν τὸ μέλλον, τοῦτο φησὶν, ἀλλ' ἵνα μὴ λέγωσι τινὲς, ὅτι ἡ πρόγνωσις τοῦ θεοῦ ἀ-
ναγκαίως αἰτία γέγονε τῆς παρακοῆς, διὰ τοῦτο οὕτως σχηματίζει τὰς λέξεις. ἐκβα-
λόντες δὲ τὸν υἱὸν ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν, τὸ μὲν πρόχειρον εἰπεῖν, ἔξω τῆς
Ἱερουσαλὴμ, ἔξω γὰρ τῆς πύλης ὁ χριστὸς ἔπαθεν. ἐπεὶ δὲ ἄνωθεν ἀμπελῶνα τὸν Πρὸς Ἑβρ.
λαὸν, οὐχὶ τὴν Ἱερουσαλὴμ ἐξελάβομεν, μήποτε οἰκειότερον εἰπεῖν, ὅτι ἀπέκτεινε ιγ'.
μὲν αὐτὸν ὁ λαὸς, ἔξω δὲ τοῦ ἀμπελῶνος, τουτέστιν, οὐκ αὐτὸς αὐτόχειρ τοῦ θανάτου
γενόμενος, ἀλλὰ τῷ Πιλάτῳ, καὶ τοῖς ἔθνεσιν ἐκδεδωκότες αὐτόν. ἔξω οὖν τοῦ ἀμπε-
λῶνος, ἤγουν τῶν τοῦ λαοῦ χειρῶν ἔπαθεν ὁ κύριος, αὐτοῖς γὰρ οὐκ ἐξῆν ἀποκτεῖναι οὐ Ἰωάν. ιη'.
δένα, ὑπὸ στρατιωτικῶν μέντοι χειρῶν ἀπέθανε. τινὲς δὲ ἀμπελῶνα τὴν γραφὴν ἐνόη-
σαν, ἔξω οὖν τῶν γραφῶν ἔπαθεν ὁ κύριος, τουτέστιν, οἱ μὴ πιστεύοντες μωσεῖ, οὗτοι ἀπέ
κτειναν αὐτόν. εἰ γὰρ ἐπίστευον μωσεῖ, καὶ ἐν ταῖς γραφαῖς ἦσαν, ἐρευνῶντες αὐτὰς,
οὐκ ἂν ἀπέκτειναν τὸν δεσπότην τῶν γραφῶν. ταῦτα εἰπὼν, ἐπάγει καὶ τὴν ψῆφον,
ἣν ἐπ' αὐτοὺς ἐξοίσει, ὅτι ἐκδώσεται ἄλλοις τὸν ἀμπελῶνα, τουτέστιν, ἄλλοις δώσει ταύ-
την τὴν χάριν, τὸ καλεῖσθαι λαός μου. ὅρα δὲ, ὅτι οἱ λέγοντες τὴν γραφὴν εἶναι τὸν ἀμ- Ὠση. β'.
πελῶνα, μᾶλλον ἐπιτυγχάνειν δοκοῦσιν, ὡς ἐντεῦθεν δηλοῦται, ἐξεδόθη γὰρ ἡμῖν ἡ
γραφὴ ἀρθεῖσα ἀπὸ τῶν Ἑβραίων. θαῤῥῶν δὲ, εἴποι αὖ τις πάντα τὰ πνευματικὰ εἶναι
τὸν ἀμπελῶνα, εἴτε ἐν τῇ γραφῇ, καὶ νόμοις, εἴτε ἐν πράξεσι, καὶ ἱστορίαις ἔκειντο, ὧν
πάντων ἐστερήθησαν οἱ Ἰουδαῖοι, καὶ ἡμεῖς ἀπολαύομεν.
Ἀκούσαντες δὲ εἶπον, μὴ γένοιτο. ὁ δὲ ἐμβλέψας αὐτοῖς, εἶπε. τί οὖν ἐστὶ τὸ γεγραμ Ψαλ. ρις'.
μένον τοῦτο, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γω
νίας; πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον τὸν λίθον, συνθλασθήσεται, ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει

» αὐτόν· καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς, καὶ οἱ γραμματεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖ-
» ρας ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν· ἔγνωσαν γάρ, ὅτι πρὸς αὐτοὺς τὴν πα
» ραβολὴν ταύτην εἶπεν· Ὁ μὲν Λουκᾶς, ὡς ἀκούεις, τὸν κύριον φησὶν εἰπεῖν, ὅτι
ἀπολέσει ὁ δεσπότης τοῦ ἀμπελῶνος τοὺς ἀγνώμονας γεωργούς, καὶ τὸν ἀμπελῶνα
Ματθ. κα΄. ἐκδώσεται ἄλλοις, ὅπερ ἀκούσαντες τοὺς φαρισαίους, εἰπεῖν μὴ γένοιτο· ὁ δὲ Ματθαῖος
ἑτέρως φησί· τὸν μὲν γὰρ κύριον ἐρωτῆσαι, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις ὁ δεσπό
της τοῦ ἀμπελῶνος; καὶ τοὺς Ἰουδαίους ἀποκριθέντας εἰπεῖν, κακοὺς κακῶς ἀπολέσει
αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις· ἆρ' οὖν ἐναντιολογία ἐστίν; ἄπαγε, ἀμ-
φότερα γὰρ εἰκὸς γεγενῆσθαι, καὶ κατὰ μὲν τὸν Ματθαῖον αὐτοὺς ἐκείνους τὴν ψῆ-
φον ἐξενεγκεῖν, εἶτα συναισθομένους ποῦ φέρει ἡ παραβολή, καὶ ὅτι δι' αὐτοὺς εἴρηται,
πάλιν εἰπεῖν τοῦτο, ὃ νῦν ὁ Λουκᾶς φησὶ τό, μὴ γένοιτο· τί οὖν ὁ Χριστός; ἐπάγει καὶ ἑτέ
ραν μαρτυρίαν ἀπὸ τοῦ Δαβίδ, λίθον μὲν ἑαυτὸν ὀνομάζων, οἰκοδόμους δὲ τοὺς διδασκά
Ἰεζεκ. ιγ΄. λους αὐτούς, καθὰ καὶ ὁ Ἰεζεκιὴλ φησὶν, οἰκοδομοῦντες τὸν τοῖχον, καὶ ἀλείφοντες ἀ-
ναρτύτως, τουτέστιν, οἱ τὰ πρὸς χάριν λέγοντες, καὶ συγκαλύπτοντες τὰ ἐλαττώμα-
τα τοῦ λαοῦ, καὶ οἷον ἐμπλάττοντες ἐπιπολαίως τὰ σαθρὰ τοῦ λαοῦ, ὥσπερ τινὸς τοί
Ἰωάν. θ΄. χου· πῶς δὲ ἀπεδοκίμασαν τοῦτον τὸν λίθον; εἰπόντες, οὗτος οὐκ ἔστιν ἐκ τοῦ θεοῦ· δύο
δὲ ἀπωλείας ἐνταῦθα λέγει, μίαν μὲν τὴν τῶν ψυχῶν αὐτῶν, ἣν αὐτοὶ σκανδαλι-
σθέντες ἔπαθον, πᾶς γὰρ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται, ἑτέραν δὲ τὴν
ἀπὸ τῆς αἰχμαλωσίας, ἣν ὁ λίθος αὐτοῖς ἐπήγαγεν, ὁ παρ' αὐτῶν ἐξουδενωθείς, ἐφ' ὃν
γάρ, φησί, πέσει, λικμήσει αὐτόν· οὕτως οὖν ἐλικμήθησαν οἱ Ἰουδαῖοι, καὶ διεσπάρησαν,
ὥσπερ ἄχυρα ἀπὸ μιᾶς ἅλωνος, τῆς Ἰουδαίας εἰς πάντα τὸν κόσμον· παρατήρησον
δέ, ὅτι πρότερον ἐκεῖνοι ἔπεσον ἐπὶ τὸν λίθον, τουτέστιν ἐσκανδαλίσθησαν, εἶθ' οὕτως ὁ
λίθος ἔπεσεν ἐπ' αὐτούς, καὶ ἐτιμωρήσατο· προηγεῖται γὰρ ἡ ἐμὴ ἁμαρτία, εἶθ' οὕτως ἡ
τοῦ θεοῦ ἐπ' ἐμὲ δικαία τιμωρία· ἀλλ' οἱ μὲν Ἰουδαῖοι ἀπεδοκίμασαν τὸν λίθον τοῦ-
τον, ὁ δὲ τοσοῦτον ἦν καλός, καὶ ἐκλεκτός, ὥστε εἰς κεφαλὴν γωνίας τεθῆναι, καὶ δύο
τοίχους συμβαλέσθαι καὶ ἑνῶσαι, τά τε παλαιὰ καὶ τὰ νέα· καίτοι ἔδει αὐτοὺς ἀκοῦ
Ἠσαΐ. η΄. σαι Ἠσαΐου λέγοντος, κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται ὑμῖν φόβος, καὶ οὐχ ὡς
λίθου προσκόμματι συναντήσετε αὐτῷ, οὐδ' ὡς πέτρας πτώματι· οἱ δὲ καὶ γνόντες,
ὅτι δι' αὐτοὺς τὴν παραβολὴν λέγει, βουλεύονται κατ' αὐτοῦ· καὶ εἰ μὴ ἦν ὁ τοῦ λαοῦ
Ἔξοδ. κγ΄. φόβος, καὶ χεῖρας ἂν ἐπέβαλον ἐπ' αὐτόν· καὶ τοῦ μὲν νόμου λέγοντος, ἀθῷον καὶ δί-
καιον οὐκ ἀποκτενεῖς, παρήκουσαν, τὸν δὲ τῶν ἀνθρώπων θυμὸν φοβοῦνται, καὶ ἀνα-
στέλλονται τῆς ἐκ τοῦ φανεροῦ ἐπιθέσεως, ἐπιβουλεύουσι δὲ ἄλλως·

» Καὶ παρατηρήσαντες, ἀπέστειλαν ἐγκαθέτους ὑποκρινομένους ἑαυτοὺς δικαίους
» εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγον εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ, καὶ τῇ ἐξου-
» σίᾳ τοῦ ἡγεμόνος· καὶ ἐπηρώτων αὐτὸν λέγοντες, διδάσκαλε οἴδαμεν, ὅτι ὀρθῶς λέ-
» γεις, καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ
» διδάσκεις, ἔξεστιν ἡμῖν φόρον Καίσαρι δοῦναι, ἢ οὔ; κατανοήσας δὲ αὐτῶν τὴν πανουρ
» γίαν, εἶπε πρὸς αὐτούς, τί με πειράζετε; ἐπιδείξατέ μοι δηνάριον, τίνος ἔχει εἰκόνα καὶ
» ἐπιγραφήν; ἀποκριθέντες δὲ εἶπον, Καίσαρος· ὁ δὲ εἶπεν αὐτοῖς, ἀπόδοτε τοίνυν τὰ
» Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ· καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥή-
» ματος ἐναντίον τοῦ λαοῦ, καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ ἐσίγησαν·
Παγίδα ἡτοίμασαν οἱ φαρισαῖοι δυσδιάφυκτον τῷ κυρίῳ, ὥς γε ἐδόκουν, ἀλλὰ συνε-
λήφθη ἐν ταύτῃ ὁ ποὺς αὐτῶν· ἴδε γὰρ κακουργίαν· εἰ μὲν εἴποι, φησὶν, ὅτι δεῖ φό-
ρους διδόναι Καίσαρι, κατηγορητέος πρὸς τὸν λαόν, ὡς τὸ ἔθνος εἰς δουλείαν ὑπάγων,

σπέρμα Ἀβραάμ οὖ, καὶ μηδενὶ δουλεύσαν, εἰ δὲ κωλύει φόροις διδόναι, πάλιν πρὸς
τὸν ἡγεμόνα ἄξουσιν, ὡς στασιαστήν. ὁ δὲ τοὺς βρόχους αὐτῶν ἐκφεύγει, ὡς δορκὰς, οὕτως
γὰρ αὐτὸν ἐν τῷ ᾄσματι ἡ νύμφη ὠνόμασε, καὶ διδάσκει, ὅτι τὸ σωματικῶς ὑπο- ϛ.
κεῖσθαι τῷ τῶν σωμάτων ἡμῶν ἐξουσιάζοντι, εἴτε βασιλεῖ, εἴτε τυῤῥάννῳ, οὐδὲν ἡμῖν
λυμαίνεται πρὸς τὸ εὐαρεστεῖν πνευματικῶς τῷ θεῷ τῶν πνευμάτων. ἀπόδοτε
γὰρ, φησι, τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. καὶ ὅρα, οὐκ εἶπε δότε, ἀλ
λ᾽ ἀπόδοτε, χρέος, φησὶν, ἐστὶν, ἀπόδος οὖν τὴν ὀφειλήν. φυλάττει σε ὁ ἄρχων σου ἐκ τῶν
πολεμίων, τὸν βίον σου εἰρηναῖον καθιστᾷ, χρεωστεῖς οὖν αὐτῷ τὸν φόρον ἀντὶ τούτων.
ἄλλως τε καὶ αὐτὸ, ὃ προσφέρεις, τουτέστι τὸ νόμισμα, παρ᾽ ἐκείνου αὐτοῦ ἔχεις. τὸ οὖν
τοῦ βασιλέως νόμισμα ἀπόδος πάλιν αὐτῷ. ἐν τῷ μέσῳ δὲ κεκέρδηκας δι᾽ αὐτοῦ συ-
ναλλάγων, καὶ τὰ πρὸς τὸν βίον χρειώδη μεταχειριζόμενος, ὥσπερ ἀμέλει καὶ τὰ τοῦ
θεοῦ τῷ θεῷ δεῖ ἀποδιδόναι. δέδωκέ σοι νοῦν, ἀπόδος αὐτὸν αὐτῷ κατὰ νοῦν ἐνεργῶν.
δέδωκέ σοι λόγον, ἀπόδος αὐτὸν αὐτῷ, μὴ συμπαραβαλλόμενος τοῖς κτήνεσι
τοῖς ἀνοήτοις, ἀλλ᾽ ὡς λογικὸς πάντα πράττων. καὶ ἁπλῶς δέδωκέ σοι ψυχὴν, καὶ σῶ-
μα, πάντα ἀπόδος αὐτῷ, καὶ τὴν εἰκόνα αὐτοῦ ἀποκατάστησον αὐτῷ διὰ πίστεως,
δι᾽ ἐλπίδος, δι᾽ ἀγάπης βαδίζων. καὶ μὴν καὶ ἑτέρως χρὴ ἀποδιδόναι τὰ Καίσαρος Καί-
σαρι, ἕκαστος γὰρ ἡμῶν ἢ θεοῦ εἰκόνα φορεῖ, ἢ τοῦ κοσμοκράτορος. ὅταν οὖν ὁμοιώσω-
μεν ἑαυτοὺς τῷ Καίσαρι, υἱοὶ τοῦ διαβόλου γινόμενοι, τὴν εἰκόνα αὐτοῦ φοροῦμεν, ἣν δεῖ
ἀποδιδόναι αὐτῷ, καὶ ἀποῤῥίπτειν ἵν᾽ ἔχοι τὰ ἑαυτοῦ, καὶ μηδὲν ἐν ἡμῖν εὑρίσκῃ οἰκεῖον
αὐτοῦ, οὕτως γὰρ καὶ ἡ εἰκὼν τοῦ θεοῦ, ἀμιγὴς τηρηθείη ἡμῖν. διὸ Παῦλος παραινεῖ, α΄. Πρὸς
καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. Κορ. ιε΄.
καὶ ἀλλαχοῦ, ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον. ὅπερ ἐνταῦθα εἴρηται ἀποδιδόναι, Πρὸς Ἐφ δ΄
τοῦτο παρὰ τῷ Παύλῳ τὸ ἀποθέσθαι, καὶ ὃ ἐνταῦθα εἰκὼν Καίσαρος, τοῦτο ἐκεῖ εἰκὼν
χοϊκοῦ τοῦ ἁμαρτωλοῦ πάντως Ἀδὰμ καὶ παλαιοῦ ἀνθρώπου. ἡ γὰρ εἰκὼν τοῦ χοϊ-
κοῦ οὐδὲν ἄλλο, ἢ ἡ φθορὰ, καὶ ἡ ἁμαρτία, ἣν ἔχομεν ἀφομοιωθέντες τῷ ἀποστάτῃ,
καὶ μὴ τῷ βασιλεῖ. οὐκ ἴσχυσαν οὖν οἱ Φαρισαῖοι ἐπιλαβέσθαι τοῦ Ἰησοῦ ἐνώπιον τοῦ
λαοῦ, τὸ γὰρ σπουδαζόμενον αὐτοῖς, μάλιστα τοῦτο ἦν, τὸ πρὸς τὸν λαὸν διαβαλεῖν
τοῦτον, ὡς καταδουλοῦντα τοῖς Ῥωμαίοις τὸ ἔθνος, ὃ οὐκ ἴσχυσαν τελέσαι διὰ τὴν ὑπέρ-
σοφον αὐτοῦ ἀπόκρισιν.
Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες ἀνάστασιν μὴ εἶναι, ἐπηρώ-
των αὐτὸν λέγοντες, διδάσκαλε μωσῆς ἔγραψεν ἡμῖν, ἐάν τινος ἀδελφὸς ἀποθάνῃ ἔ-
χων γυναῖκα, καὶ οὗτος ἄτεκνος ἀποθάνῃ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα,
καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν, καὶ ὁ πρῶτος
λαβὼν γυναῖκα, ἀπέθανεν ἄτεκνος, καὶ ἔλαβεν ὁ δεύτερος τὴν γυναῖκα, καὶ οὗτος
ἀπέθανεν ἄτεκνος, καὶ ὁ τρίτος ἔλαβεν αὐτήν. ὡσαύτως δὲ καὶ οἱ ἑπτὰ, καὶ οὐ κα
τέλιπον τέκνα, καὶ ἀπέθανον, ὕστερον πάντων ἀπέθανε καὶ ἡ γυνή. ἐν τῇ οὖν ἀναστά
σει τίνος αὐτῶν γίνεται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. καὶ ἀποκριθεὶς εἶ-
πεν αὐτοῖς ὁ Ἰησοῦς, οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγαμίσκονται, οἱ δὲ κατα
ξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν, καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦ-
σιν, οὔτε ἐκγαμίσκονται, οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται, ἰσάγγελοι γάρ εἰσι, καὶ υἱοὶ
τοῦ θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες. ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, καὶ μωσῆς ἐμήνυσεν Ἔξο. γ΄.
ἐπὶ τῆς βάτου, ὡς λέγει κύριον τὸν θεὸν Ἀβραὰμ, καὶ τὸν θεὸν Ἰσαὰκ, καὶ τὸν θεὸν
Ἰακώβ. θεὸς δὲ οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων, πάντες γὰρ αὐτῷ ζῶσιν. ἀποκριθέν
τες δέ τινες τῶν γραμματέων εἶπον, διδάσκαλε καλῶς εἶπας. οὐκ ἔτι δὲ ἐτόλμων

ἐπερωτᾶν αὐτὸν οὐδέν. Σαθρὰν ὑποστήσαντες κρηπῖδα ἑαυτοῖς οἱ Σαδδουκαῖοι, διηπίστουν τοῖς περὶ ἀναστάσεως λόγοις. σωματικὴν γὰρ διαγωγὴν ἔσεσθαι ἐν τῇ ἀναστάσει ὑπονοοῦντες, εἰκότως ἐσφάλλοντο, διὸ καὶ ὡς ἄτοπον διαβάλλοντες τὸ περὶ τῆς ἀναστάσεως δόγμα, πλάττονται τὴν ἀνόητον διήγησιν ταύτην. ὁ οὖν κύριος τὴν κρηπῖδα αὐτοῖς διασαλεύσας, καὶ δείξας ὅτι οὐκ ἔστι σωματικὴ διαγωγή, τότε εὐθὺς τῇ σαθρᾷ ταύτῃ κρηπῖδι, καὶ ὑπονοίᾳ συγκατέσπασε τὸ δόγμα αὐτῶν, εἰπὼν πλανᾶσθε, μὴ εἰδότες τὰς γραφάς, ἀλλὰ παρενδεχόμενοι τὸν νοῦν αὐτῶν. οἱ μὲν γὰρ υἱοὶ τοῦ αἰῶνος τούτου, οἱ ἐν τῷ κόσμῳ τούτῳ γεννῶντες, καὶ γεννώμενοι γαμοῦσι, καὶ ἐκγαμίσκονται, τουτέστιν εἰς γάμους ἐκδίδονται. οἱ δὲ τοῦ αἰῶνος ἐκείνου υἱοὶ οὐδὲν τοιοῦτον, οὐδὲ γὰρ θανεῖν ἔτι δύνανται, διὸ οὐδὲ τὰ τοῦ γάμου ἐκεῖ, ἀλλ' ἀγγελικὴ καὶ θεία διαγωγή, ἐνταῦθα μὲν γὰρ ἐπειδὴ θάνατος, διὰ τοῦτο γάμος, καὶ ἐπειδὴ γάμος, διὰ τοῦτο θάνατος. ἐκεῖ δὲ τοῦ θανάτου καταργηθέντος, τίς χρεία τοῦ γάμου; ὁ γάμος γὰρ βοήθεια τοῦ θνητοῦ, καὶ πλήρωσις τοῦ λείποντος, ἔνθα δὲ οὐδὲν λείπει, τίς χρεία τοῦ πληροῦντος; ἰσάγγελοι οὖν εἰσί, καὶ υἱοὶ τοῦ θεοῦ. διατί; ὅτι τῆς ἀναστάσεως εἰσὶν υἱοί. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, εἶπον φησὶν αὐτοὺς υἱοὺς θεοῦ, διότι οὐδὲν σωματικὸν ἐν τῇ γεννήσει αὐτῶν ὁρᾶται, ἀλλὰ πάντα θεῖα, οὔτε γὰρ συνουσία προηγεῖται, οὔτε σπέρμα, οὔτε μήτρα, οὔτε κύησις ἐν τῇ ἀναστάσει, ἀλλὰ θεός ἐστιν ὁ γεννῶν τὰ σώματα ἡμῶν, λόγοις οἷς οἶδεν. οὐκοῦν ἐπεὶ θεός ἐστιν ὁ ἐνεργῶν ἐν τῇ ἀναστάσει, εἰκότως υἱοὶ λέγονται θεοῦ οἱ ἐξ ἀναστάσεως ἀναγεννώμενοι. ἐπιφέρει δὲ τοῖς λογισμοῖς καὶ μαρτυρίαν γραφικήν, φησὶ γὰρ ὁ μωσῆς τὸν θεὸν εἰπεῖν αὐτῷ ἐκ τῆς βάτου, ἐγώ εἰμι ὁ θεὸς Ἀβραάμ, καὶ τὰ ἑξῆς. εἰ δὲ ἅπαξ ἠφανίσθησαν οἱ πατριάρχαι, καὶ μὴ ἔζων παρὰ θεῷ τῇ ἐλπίδι τῆς ἀναστάσεως, οὐκ ἂν εἶπεν ὅτι ἐγώ εἰμι, ἀλλ' ἐγὼ ἤμην. τοῦτο γὰρ εἰώθαμεν λέγειν ἐπὶ τῶν διεφθαρμένων, καὶ ἀφανισθέντων πραγμάτων, ἐγὼ ἤμην δεσπότης τοῦδε τοῦ πράγματος. νῦν δὲ εἰπών, ὅτι ἐγώ εἰμι, ἔδειξεν ὅτι ζώντων ἐστὶ δεσπότης, καὶ θεός, καὶ οὐχὶ διεφθορότων πάντῃ. κἂν γὰρ νεκροὶ ὦσιν, ἀλλὰ τῇ ἐλπίδι τοῦ ἀναστῆναι, ζῶσιν. ὥσπερ καὶ ὁ Ἀδὰμ εἰ καὶ ἔζη, θνητὸς ἦν ὅμως, καὶ ἀπ' αὐτῆς τῆς ὥρας, ἀφ' ἧς ἔφαγε, ἀποθανεῖν λέγεται. τῶν Σαδδουκαίων δὲ οὕτως αἰσχυνθέντων, ἀπεδέξαντο τὸν Ἰησοῦν οἱ γραμματεῖς, ὡς ἀντίτεχνον τῶν Σαδδουκαίων, καυχῶντες ἐπὶ τῇ ἐκείνων ἥττῃ.

Εἶπε δὲ πρὸς αὐτούς, πῶς λέγουσι τὸν χριστὸν υἱὸν Δαβὶδ εἶναι, καὶ αὐτὸς Δαβὶδ λέ-
Ψαλ. ρθ'. γει ἐν βίβλῳ ψαλμῶν, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς
ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Δαβὶδ οὖν κύριον αὐτὸν καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ ἐστιν; ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθηταῖς αὐτοῦ, προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις, οἳ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσεύχονται. οὗτοι λήψονται περισσότερον κρίμα. Ἐπὶ τὸ πάθος, ὅσον οὔπω, μέλλων ἔρχεσθαι τὴν ἑαυτοῦ ἀνακηρύττει θεότητα, καὶ οὐδὲ τοῦτο ἀπαρακαλύπτως καὶ ἀλαζονικῶς, ἀλλὰ καὶ σφόδρα μετριοφρόνως. ἐρωτᾷ γὰρ αὐτούς, καὶ εἰς ἀπορίαν ἐναγαγὼν ἀφίησιν αὐτοὺς συλλογίσασθαι τὸ ἀκόλουθον. Δαβὶδ γάρ, φησι, κύριον αὐτὸν καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ ἐστι ψιλός; ἦν μὲν γὰρ υἱὸς Δαβὶδ τὸ κατὰ σάρκα, ἀλλὰ καὶ θεὸς αὐτοῦ, ἐκεῖνοι δὲ μόνον τοῦτο υἱὸν αὐτὸν τοῦ Δαβὶδ ἐνόμιζον. διὸ ἀνατρέπει ταύτην αὐτῶν τὴν δόξαν τὴν περὶ τοῦ ψιλὸν εἶναι υἱὸν τοῦ Δαβίδ, ἐμφαίνει δὲ καὶ ὅτι οὐκ ἀντίθετός ἐστι τῷ πατρί, ἀλλὰ πολλὴν τὴν ὁμόνοιαν ἔχει πρὸς αὐτόν, εἴγε τοὺς ἐχθροὺς

αὐτοῦ καταγωνίζεται ὁ πατήρ. ταῦτα μὲν οὖν τοῖς γραμματεῦσιν. ἐπεὶ δὲ τοὺς μαθητὰς διδασκάλους τῆς οἰκουμένης ἀπέστειλεν, εἰκότως αὐτοῖς παραινεῖ μὴ μιμεῖσθαι τῶν φαρισαίων τὴν φιλόδοξον καὶ φιλόπρωτον γνώμην, καὶ ἁπλῶς κοσμικὴν καὶ ἀνθρωπάρεσκον. τὸ γὰρ τοὺς ἀσπασμοὺς ἐπιτηδεύειν ἐν ταῖς ἀγοραῖς, κολακευόντων ἐστὶ τοὺς ἐντυγχάνοντας, καὶ δόξαν καλοηθείας θηρωμένων, ἢ συναγωγῆς χρημάτων πρόφασιν ταύτην τιθεμένων. ἀλλὰ καὶ τὰς οἰκίας τῶν χηρῶν, φησί, κατεσθίουσι γαστριζόμενοι, καὶ πόρρω τοῦ δέοντος ἀναλίσκοντες. καὶ ἡ πρόφασις ὡς εὐλαβής, εὐχὴν γὰρ καὶ ὠφέλειαν ψυχικὴν προφασιζόμενοι, οὐ νηστείαν διδάσκουσιν, ἀλλὰ μέθην, καὶ γαστριμαργίαν, καὶ διὰ ταῦτα λήψονται, φησί, περισσότερον κρίμα, ὅτι οὐ μόνον ποιοῦσι τὸ κακόν, ἀλλὰ καὶ προφασίζονται εὐχάς. καὶ τὸ πρόσχημα αὐτοῖς εὐλαβές, καὶ τὴν ἀρετὴν πρόφασιν ποιοῦνται πονηρίας. διὸ δὴ καὶ περισσότερον κατακριτέοι, ὡς καὶ τὸ καλὸν διαβάλλεσθαι ποιοῦντες. δέον γὰρ τὰς χήρας ἐλεεῖν, οἱ δὲ εἰσέρχονται εἰς τὰς οἰκίας αὐτῶν, ὡς δῆθεν διὰ τῶν μακρῶν εὐχῶν εὐλογήσοντες. αἱ δὲ ἀναγκάζονται ἀναλίσκειν ἐπὶ τῇ παρουσίᾳ αὐτῶν, καὶ οὕτως ἐκδαπανῶνται.

Κεφάλαιον, κα'.

Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους. εἶδε δὲ καί τινα χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο λεπτά. καὶ εἶπεν, ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν. ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ θεοῦ, αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλε. Γάζαν τὸν θησαυρὸν φασὶν εἶναι. ἦν οὖν ἱερὸς θησαυρὸς ἀπὸ φιλοθέων ἐρανιζόμενος, ᾧ ἐχρῶντο εἰς περιποίησιν, καὶ ἐπισκευὴν τοῦ ἱεροῦ, καὶ ἁπλῶς εἰς κόσμον τοῦ ναοῦ, καὶ πενήτων διατροφάς. κἂν ὕστερον καὶ ταῦτα ἐκαπήλευον οἱ ἱερεῖς, διανεμόμενοι τὸν θησαυρόν, ἀλλὰ μὴ πρὸς ἃ ἐξ ἀρχῆς ἀφώριστο, τούτῳ χρώμενοι. ἐπαινεῖ τοίνυν παρὰ πάντας τοὺς ἄλλους τὴν χήραν ὁ κύριος, ὡς ἐκ τοῦ ὑστερήματος αὐτῆς βαλοῦσαν ὅλον τὸν βίον αὐτῆς. οἱ γὰρ δύο ὀβολοὶ εἰ καὶ μικροὶ δοκοῦσιν, ἀλλ᾽ οὖν ὅλος βίος τῇ ἐκ τοῦ προσαιτεῖν διατρεφομένῃ εἰσί, χήρα γὰρ ἦν πενιχρά. οὐκ εἰς τὸ διδόμενον οὖν ἀφορῶν ὁ κύριος, ἀποδίδωσι τὰς ἀμοιβάς, ἀλλ᾽ εἰς τὸ λειπόμενον. τοῖς μὲν οὖν πλουσίοις πλείω κατελείποντο ἐν τοῖς οἴκοις, ὀλίγα καὶ μικρὰ προσενεγκοῦσι. τῇ δὲ ἅπασα ἡ οἰκία κεκένωτο, καὶ οὐδὲν ὑπελείφθη. εἰκότως οὖν καὶ ἀξιεπαινετωτέρα ἐκείνων. ἐνόησαν δέ τινες χήραν δύνασθαι ἐκληφθῆναι πᾶσαν ψυχὴν τὸν πρότερον ἄνδρα, τὸν παλαιὸν νόμον ἀποβαλοῦσαν, οὔπω δὲ τῆς πρὸς τὸν θεὸν λόγον συναφείας ἀξίαν. καὶ ταύτην προσάγειν ἀρραβῶνος λόγῳ τὴν λεπτὴν καὶ τέως σύμμετρον αὐτῇ πίστιν καὶ ἀγαθὴν συνείδησιν. δεῖ γὰρ μετὰ τῆς πίστεως καὶ ἀγαθὴν συνείδησιν ἤτοι βίον ἀδιάστροφον φέρεσθαι. καὶ εἰ οὕτω προσέρχεταί τις θεῷ, μείζω πάντων βαλεῖν δοκεῖ τῶν ἐν λόγῳ πλουσίων, καὶ ἠθικαῖς ἑλληνικαῖς ἀρεταῖς περιττῶν.

Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς, καὶ ἀναθήμασι κεκόσμηται. εἶπε. ταῦτα ἃ θεωρεῖτε, ἐλεύσονται ἡμέραι, ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ, ὃς οὐ καταλυθήσεται. ἐπηρώτησαν δὲ αὐτὸν λέγοντες, διδάσκαλε πότε οὖν ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον, ὅταν μέλλῃ ταῦτα γίνεσθαι; ὁ δὲ εἶπε, βλέπετε μὴ πλανηθῆτε. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ὅτι ἐγώ εἰμι. καὶ ὁ καιρὸς ἤγγικε, μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. ὅταν δὲ ἀκούσητε πολέμους, καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε, δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον. ἀλλ᾽ οὐκ εὐθέως τὸ τέλος. τότε ἔλεγεν αὐτοῖς, ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν,

» σεισμοί τε μεγάλοι κατὰ τόπους καὶ λιμοὶ, καὶ λοιμοὶ ἔσονται, φόβητρά τε, καὶ ση-
» μεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται. Εἰκότως ὁ κύριος προφητεύει περὶ τῆς ἱερου-
σαλὴμ ναοῦ, ἅτε δὴ πρὸς τὸ σταυρωθῆναι, ὅσον οὔπω, ὤν. ἵν' ἔχωμεν καὶ ταῦτα εἰς με-
γάλην ἀπόδειξιν τοῦ ἀληθῆ θεὸν εἶναι αὐτόν. ὅθεν καί τινων ἐπαινούντων τὰς οἰκο-
δομὰς τοῦ ἱεροῦ καὶ τὰ ἀναθήματα, οἶμαι δὲ τὰ τορευτὰ ἐκεῖνα καὶ γλυπτὰ λέγειν,
γ΄. βασι. ϛ΄. οἷον φοίνικας καὶ χερουβὶμ, ταῦτα γὰρ ἴσως τὰ ἀναθήματα φησὶν, ὁ κύριος οὐδενὸς
τούτων ἐπιστρέφεται, ἀλλὰ τὴν κατάλυσιν αὐτῶν προλέγει. οἱ δὲ ᾠήθησαν αὐτὸν
περὶ τῆς καθολικῆς συντελείας λέγειν, καίτοι περὶ τῆς ὑπὸ ῥωμαίων ἁλώσεως τῶν
ἱεροσολύμων λέγοντα. διὸ καὶ αὐτὸς συγκαταβαίνων αὐτοῖς, ἀφίησι μὲν τέως τοὺς
περὶ τῆς ἁλώσεως λόγους, μέλλει γὰρ αὐτοὺς παραπλέξαι τοῖς μετὰ ταῦτα. νῦν δὲ
περὶ τῆς συντελείας διαλαμβάνει, καὶ προασφαλίζεται αὐτοὺς, ὥστε τοῖς πρὸ τῆς
αὐτοῦ παρουσίας μέλλουσιν ἐλθεῖν ψευδοπροφήταις μὴ ὑπαχθῆναι. ἔσονται δὲ πό-
λεμοι καὶ ἀκαταστασίαι, πάσης γὰρ ἀγάπης ἀναιρεθείσης, εἰκότως οἱ πόλεμοι καὶ αἱ
ἀκαταστασίαι χώραν ἕξουσιν, ἀπὸ δὲ τῶν πολέμων λιμοὶ, καὶ λοιμοὶ, οἱ μὲν ὡς τοῦ ἀέ-
ρος ἐκ τῶν θνησιμαίων διαφθειρομένου, οἱ δὲ ὡς μὴ τῶν χωρῶν γεωργουμένων. τινὲς δὲ
τοὺς λιμοὺς, καὶ λοιμοὺς, καὶ τὰς ἄλλας θλίψεις οὐκ ἐν τῇ συντελείᾳ μόνον ἔσεσθαι,
ἀλλὰ καὶ τοῖς τῆς ἁλώσεως καιροῖς ἐξεδέξαντο. καὶ γὰρ ἰώσηπος ἀφορήτους συμ-
φορὰς διὰ τὸν λιμὸν λέγει γεγενῆσθαι. ἀλλὰ καὶ καθὼς φησὶ λουκᾶς ἐν ταῖς πρά-
ια΄. ξεσιν, ἐγένετο λιμὸς ἐπὶ κλαυδίου καίσαρος. ἀλλὰ μὴν καὶ φόβητρα πολλὰ γεγό-
νασι τὴν ἅλωσιν τῆς ἱερουσαλὴμ δηλοῦντα, ὡς ὁ αὐτὸς ἰώσηπος ἱστορεῖ. ὅλως τε
ταῦτα κοινὰ δύνανται νοεῖσθαι τοῦ τε καιροῦ τῆς συντελείας καὶ τῆς ἁλώσεως, τὰ
περὶ τῶν ἀκαταστασιῶν φημὶ καὶ τῶν πολέμων καὶ τῶν λοιπῶν.
» Πρὸ δὲ τούτων πάντων ἐπιβαλοῦσι ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσιν,
» παραδιδόντες εἰς συναγωγὰς, καὶ φυλακὰς, ἀγομένους ἐπὶ βασιλεῖς, καὶ ἡγεμόνας
» ἕνεκεν τοῦ ὀνόματός μου, ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. θέσθε οὖν εἰς τὰς καρδίας
» ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι. ἐγὼ γὰρ δώσω ὑμῖν στόμα, καὶ σοφίαν, ᾗ οὐ δυ-
» νήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. παραδοθήσεσθε δὲ
» καὶ ὑπὸ γονέων, καὶ συγγενῶν, καὶ φίλων, καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν,
» καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑ-
» μῶν οὐ μὴ ἀπόληται. ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.
Πρὸ τούτων πάντων τῶν τῆς συντελείας, ἢ καὶ τῶν τῆς ἁλώσεως, ὡς εἶπον γὰρ,
παραπλέκει τοῖς περὶ τῆς συντελείας λόγοις τοὺς περὶ τῆς ἁλώσεως, ἐπιβαλοῦ-
σιν ἐφ' ὑμᾶς, φησὶ, τοὺς ἐμοὺς μαθητὰς, τὰς χεῖρας. καὶ πρὸ τῆς ἁλώσεως γὰρ ἐδιώχθη-
σαν οἱ ἀπόστολοι ἐκ τῶν ἱεροσολύμων, τοῦ θεοῦ καὶ τοῦτο οἰκονομοῦντος, ἵνα μόνοις τοῖς
σταυρωταῖς ἐπικατασεισθῇ τὰ δεινά. αὐτοὶ δὲ τὸν κόσμον ὅλον οἱ ἀπόστολοι λέγω,
πράξ. κε΄. πληρώσωσι τοῦ κηρύγματος. ἤχθησαν οὖν ἐπὶ βασιλεῖς οἱ ἀπόστολοι, καὶ ἐπὶ ἡγεμόνας
ὡς παῦλος πρὸς τὸν φῆστον, πρὸς τὸν ἀγρίππαν, πρὸς αὐτὸν καίσαρα. γέγονε δὲ αὐ-
τοῖς τοῦτο εἰς μαρτυρίου δόξαν. ἐπεὶ δὲ ἰδιῶται ἦσαν καὶ ἀμαθεῖς, ἵνα μὴ ταραχθῶ-
σιν ὡς μέλλοντες λόγους ἀπαιτεῖσθαι παρὰ σοφῶν ἀνδρῶν, μηδὲν ὑμῖν, φησὶ, περὶ
τούτου μελέτω. λήψεσθε γὰρ παρ' ἐμοῦ ἐν ταυτῷ καὶ σοφίαν, καὶ εὐστομίαν, ὥστε
μηδὲ πάντας ὁμοῦ εἰς ἓν συνηγμένους τοὺς ἀντικειμένους δύνασθαι ἀντιστῆναι ὑμῖν, οὔ-
τε κατὰ τὴν σοφίαν, τουτέστι, κατὰ τὴν τῶν νοημάτων δύναμιν, οὔτε κατὰ τὴν εὐ-
στομίαν, καὶ τὸ τῆς γλώττης ἀπρόσκοπον. πολλάκις γάρ τις σοφίαν μὲν ἔχει ἐν λο-
γισμοῖς, καὶ νοήμασιν, εὐτάρακτος δὲ ὢν πρὸς θορύβους, συγχέει τὸ πᾶν ἐν καιρῷ
δημηγορίας.

δημηγορίας. ἀλλ᾽ οὗτοί γε, οἱ ἀπόστολοι λέγω, κατ᾽ ἀμφότερα ἐχαριτώθησαν, ὅθεν
καὶ ἐξεπλήττοντο τοὺς μὲν περὶ Πέτρον καὶ Ἰωάννην οἱ ἱερεῖς ἐπὶ τῇ ἀθρόᾳ σοφίᾳ κατα Πράξ. δ´·
λαμβανόμενοι αὐτοὺς, ὅτι πρότερον ἰδιῶται ἦσαν. τὸν δὲ Παῦλον ὁ Φῆστος λέγων, μαί Πράξ. κϛ´.
νῃ Παῦλε, τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει. ταῦτα εἰπὼν, καὶ τὸν ἐπὶ
τῇ ἀμαθείᾳ φόβον αὐτῶν ὑπεκλύσας, ἐπιφέρει καὶ ἕτερον ἀναγκαῖον, καὶ ἱκανοὺ
κατασεῖσαι ψυχὰς, τὸ παραδοθήσεσθε ὑπὸ φίλων καὶ συγγενῶν. προλέγει γοῦν καὶ
περὶ τούτου, ἵνα μὴ ἀθρόον ἐπελθὸν, διαταράξῃ αὐτούς. δεινὸν γὰρ τοῦτο ψυχῆς κα
θικέσθαι, ὡς καὶ Δαβὶδ φησιν, ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν. σὺ δὲ ἄνθρω- Ψαλ. νδ´·
πε ἰσόψυχε· καὶ πάλιν, ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτερνισμόν. ταῦτα Ψαλ· μ´·
εἰπὼν, καὶ ὅτι μισηθήσονται, καὶ ὅτι θανατωθήσονταί τινες ἐξ αὐτῶν, ἐπιφέρει τὴν
μεγίστην παραμυθίαν, ὅτι θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται, σωθήσεσθε
γάρ φησι, καὶ οὐδὲ τὸ ἐλάχιστον ὑμῶν διαφθαρήσεται, εἰ καὶ δόξει τοῖς πολλοῖς δια
φθαρῆναι, μόνον ὑπομένειν δεῖ. καὶ γὰρ ἐν τῇ ὑπομονῇ κτᾶσθαι δυνήσεσθε τὰς ψυ-
χὰς ὑμῶν. πρόσεισι μὲν γὰρ ὁ ἐχθρὸς, οἷά τις αἰχμαλωτιστὴς, τὰς ψυχὰς ὑμῶν διὰ
τῆς ἐπαγωγῆς τῶν δεινῶν ἀφαρπάζειν πειρώμενος, ἀλλ᾽ ὑμεῖς δότε ἀντὶ ἀργυρίου
τὴν ὑπομονὴν, καὶ κτήσασθε τὰς ψυχὰς ὑμῶν τούτῳ τῷ ἀνταλλάγματι, καὶ οὐ ζη
μιωθήσεσθε ταύτας. πρόσχες δὲ τὸ θανατώσουσιν ἐξ ὑμῶν, νοήσεις γὰρ βαθύτερόν τι,
ὅτι οὐχ ὁλοκλήρους ὑμᾶς θανατώσουσιν, ἀλλὰ διπλῶν ὄντων ὑμῶν ἐκ ψυχῆς καὶ σώ
ματος, οὐ τὰ δύο θανατώσουσιν, ἀλλ᾽ ἐξ ὑμῶν τὸ ἓν θανατώσουσι, τὸ σῶμά φημι, τὰς
δὲ ψυχὰς ὑμῶν κτήσασθε διὰ τῆς ὑπομονῆς. ὃ καὶ ἀλλαχοῦ φησι, μὴ φοβεῖσθε ἀπὸ Ματθ· ι´·
τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι·

» Ὅταν δὲ ἴδητε κυκλουμένην τὴν Ἱερουσαλὴμ ὑπὸ τῶν στρατοπέδων, τότε γνῶτε,
» ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη, καὶ οἱ
» ἐν μέσῳ αὐτῆς, ἐκχωρείτωσαν. καὶ οἱ ἐν ταῖς χώραις, μὴ εἰσερχέσθωσαν εἰς αὐτὴν,
» ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι, τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα· οὐαὶ
» ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις, ἔσται γὰρ
» ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν τῷ λαῷ τούτῳ, καὶ πεσοῦνται στόματι μα
» χαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη, καὶ Ἱερουσαλὴμ ἔσται πατου-
» μένη ὑπὸ ἐθνῶν, ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν. καὶ ἔσται σημεῖα ἐν ἡλίῳ, καὶ σελήνῃ,
» καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ ἠχούσης θαλάσσης, καὶ σάλου
» ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ·
» αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώ-
» που ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως καὶ δόξης πολλῆς· Σαφέστατα νῦν
περὶ τῆς ἁλώσεως τῆς Ἱερουσαλὴμ διαλαμβάνει· ὅθεν οἶμαι, οὕτως δεῖ νοηθῆναι
τὸ, πρὸ δὲ τούτων πάντων, τουτέστι πρὸ δὲ τῶν λιμῶν, καὶ τῶν λοιμῶν, καὶ τῶν ἄλ
λων δεινῶν, ἃ μέλλουσι συμβαίνειν ἐν τῷ καιρῷ τῆς συντελείας, διωχθήσεσθε μὲν ὑ-
μεῖς οἱ ἀπόστολοι καὶ τὰ ἑξῆς. εἶτα καὶ τῇ Ἱερουσαλὴμ τὰ κακὰ ἐπιστήσονται, ἐπει-
δὴ γὰρ ἐκεῖνοι ἐνόμιζον, ὅτι ἐν τῷ καιρῷ τῆς συντελείας καταλυθήσονται αἱ οἰκοδο-
μαὶ τοῦ ἱεροῦ, οὐχί φησιν. ὁ μὲν γὰρ τῆς συντελείας καιρὸς, ψευδοπροφήτας ἕξει,
καὶ λιμοὺς, καὶ λοιμοὺς ἐκ τῶν συνεχῶν πολέμων τῶν διὰ τὸ ἀποψυγῆναι τὴν ἀγά
πην μελλούντων ἐπισφθαρῆναι. ὑμεῖς δὲ πρὸ τοῦ τῆς συντελείας καιροῦ ἐκδιωχθήσε
σθε, καὶ Ἱερουσαλὴμ ἁλώσεται, καὶ οἱ λίθοι οὗτοι καταλυθήσονται. ὅταν γὰρ ἴδητε
τὴν πόλιν ὑπὸ τῶν ῥωμαϊκῶν στρατευμάτων κυκλουμένην, τότε τὴν ἐρήμωσιν αὐ
τῆς γνῶτε, ἐκ τραγῳδεῖ οὖν τὰ δεινὰ, ἃ τότε τὴν πόλιν περιστήσονται. οἱ μὲν γὰρ ἐν

τῇ Ἰουδαίᾳ, φευγέτωσαν, φησὶν, εἰς τὰ ὄρη. καὶ οἱ ἐν ταῖς χώραις, μὴ προσδοκάτω-
σαν, ὅτι ἡ πόλις τειχήρης οὖσα, φυλάξει αὐτοὺς, ἀλλ᾽ ἀναχωρήτωσαν καὶ οἱ ἐν μέσῳ
τῆς πόλεως. ἡμέραι γὰρ ἐκδικήσεώς εἰσιν, ὡς ἂν πληρωθῶσιν αἱ ἐγράφησαν, ἐν τῷ
θ'. Δανιὴλ μάλιστα. οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις, οὐ δυνήσονται γὰρ φεύγειν διὰ τὸ βά-
ρος τῆς γαστρός. καὶ ταῖς θηλαζούσαις, διὰ τὴν πρὸς τὰ βρέφη στοργὴν, μήτε δυνα-
μένας ἀφιέναι ἀτημέλητα, μήτε μεθ᾽ ἑαυτῶν ἐπάγεσθαι. τινὲς δὲ ἐν τούτοις αἰνίττε-
σθαι τὸν κύριον τὴν τεκνοφαγίαν φασὶν, ἣν ὁ Ἰώσηπος ἱστορεῖ, καὶ Ἱερεμίας προφη-
ιθ'. τεύει. καὶ Ἱερουσαλὴμ, φησὶν, ἔσται πατουμένη ὑπὸ ἐθνῶν. μέχρι τούτου τὰ περὶ τῆς
ἁλώσεως, εἶτα πάλιν τὰ περὶ τῆς συντελείας. ἔσται γάρ φησι, σημεῖα ἐν ἡλίῳ, καὶ
σελήνῃ, καὶ ἄστροις, καὶ γὰρ τῆς κτίσεως ἀλλοιουμένης, εἰκότως τὰ στοιχεῖα καινοτο-
μοῦνται. καὶ συνοχὴ ἐθνῶν, τουτέστι, θλίψις πάντων ἀπορίᾳ συμμιγὴς, ἥ τε θάλασσα
ἤχοις φρικώδεις μυκήσεται, καὶ σάλος ἔσται καὶ ταραχὴ, ὥστε τοὺς ἀνθρώποις ἀπο-
ψύχειν ἐκ μόνου τοῦ φόβου, καὶ τῆς προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ. ὁρᾷς
φανερῶς ἐνταῦθα περὶ τῆς συντελείας λέγοντα. ἄνω μὲν γὰρ ἔλεγε τὴν Ἱερουσα-
λὴμ κυκλοῦσθαι, καὶ πατεῖσθαι ὑπὸ τῶν στρατοπέδων τῶν ἐθνῶν, ἐνταῦθα δὲ τῇ οἰ-
κουμένῃ τὰ κακὰ ἐπέρχεσθαι. ὥστε περὶ τῆς καθόλου συντελείας ὁ λόγος νῦν ἐστιν αὐ-
τῷ. αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ τί λέγω, φησὶν, ὅτι οἱ ἄνθρω-
ποι ταραχθήσονται τῆς κτίσεως πάσης ἀλλοιουμένης; καὶ αὐτοὶ γὰρ οἱ ἄγγελοι, καὶ
αἱ πρῶται δυνάμεις ταραχθήσονται, καὶ ἐκπλαγήσονται ἐπὶ ταῖς οὕτω φρικώ-
δεσι τοῦ παντὸς μεταβολαῖς. καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου. τίνες, πάντες
οἵ τε πιστεύοντες, καὶ οἱ μὴ πιστεύοντες. ἐρχόμενον δὲ ἐν νεφέλαις, ὡς θεὸν δηλαδὴ με-
τὰ δυνάμεως καὶ δόξης πολλῆς, καὶ γὰρ ὑπὲρ τὸν ἥλιον ἀστράψει τότε αὐτός τε καὶ
ὁ σταυρὸς αὐτοῦ, καὶ παρὰ πάντων ἐπιγνωσθήσεται.

» Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε, καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν,
» διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν. καὶ εἶπε παραβολὴν αὐτοῖς, ἴδετε τὴν συκῆν, καὶ
» πάντα τὰ δένδρα ὅταν προβάλλωσιν ἤδη, βλέποντες ἀφ᾽ ἑαυτῶν γινώσκετε, ὅτι ἤδη
ἴσως: θέρος » ἐγγὺς τὸ τέλος ἔσται. οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς
» ἐστιν ἡ βασιλεία τοῦ θεοῦ. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν
» πάντα γένηται. ὁ οὐρανὸς, καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλ-
θωσιν. Ὥσπερ ἡ προτέρα παρουσία τοῦ κυρίου ἐπὶ ἀναστοιχειώσει τῶν ψυχῶν ἡ-
μῶν καὶ παλιγγενεσίᾳ ἦν, οὕτω καὶ ἡ δευτέρα ἐπὶ παλιγγενεσίᾳ τῶν σωμάτων ἡ-
μῶν ἔσται. ἐπειδὴ γὰρ αἱ ψυχαὶ ἔθανον πρότερον παρακούσασαι, τὰ δὲ σώματα
μετὰ ἐνιακόσια ἔτη τῆς παρακοῆς τὸν θάνατον ἐνεργείᾳ ὑπέστησαν, ἀκολούθως καὶ ἀ-
ναγεννῶνται, καὶ βελτιοῦνται, διὰ μὲν τῆς προτέρας παρουσίας αἱ ψυχαὶ, διὰ δὲ
τῆς δευτέρας τὰ σώματα. διὸ καί φησιν ὁ κύριος, ὅτι ὅταν ταῦτα γίνωνται, ἀνα-
κύψατε οἱ βεβαρημένοι τῇ φθορᾷ, καὶ οἷον ἐλευθεριάσατε. ἡ γὰρ ἀπολύτρωσις ὑμῶν
πάρεστι, τουτέστιν, ἡ τελεία τοῦ συναμφοτέρου ἐλευθερία, ψυχῆς λέγω καὶ σώματος,
ἡ γὰρ ἀπὸ πρόθεσις τοῦτο δοκεῖ αἰνίττεσθαι τὴν παντελῆ τῆς φθορᾶς ἀπαλλαγὴν,
ἣν καὶ τὸ σῶμα τότε δέξεται χάριτι τοῦ κυρίου τοῦ ἔσχατον ἐχθρὸν καταργοῦντος τὸν
θάνατον. κατήργησε μὲν γὰρ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, καὶ τὰς ψυχὰς ἐλυτρώσα-
το. λοιπὸς δὲ ἦν ὁ θάνατος ὁ τὰ σώματα ἡμῶν ἐπινεμόμενος, ὃς καὶ αὐτὸς καταρ-
γούμενος, αἴτιος ἡμῖν ἐλευθερίας καὶ ἀπολυτρώσεως ἔσται. καὶ ἡ βασιλεία τοῦ θεοῦ
εὐθὺς παρέσται τούτων γινομένων. ὥσπερ γὰρ ἡ συκῆ προβάλλουσα τὰ φύλλα, θέ-
ρος δηλοῖ ἐγγίζον, οὕτω καὶ ταῦτα γινόμενα τὰ τέρατα καὶ ἡ μεταποίησις τοῦ παν-

τοὺς δηλοῦσιν, ὅτι θέρος ἥξει, τουτέστιν ἡ βασιλεία τοῦ θεοῦ, μετὰ χειμῶνα καὶ ζάλην ὡς θέρος ἐρχομένη τοῖς δικαίοις. ὡς τοῖς γε ἁμαρτωλοῖς χειμὼν ἔσται τότε καὶ ζάλη, οὗτοι γὰρ θέρος τὸν παρόντα αἰῶνα ἔχουσι, ζάλην δὲ τὸν μέλλοντα. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν ταῦτα πάντα γένηται. γενεάν φησιν οὐ τοὺς τότε παρόντας, ἀλλὰ τὴν τῶν πιστῶν πᾶσαν γενεάν. οἶδε γὰρ καὶ γενεὰν ἀπὸ τῆς ὁμοτροπίας ὀνομάζειν ἡ γραφή, ὡς τὸ, αὕτη ἡ γενεὰ ζητούντων τὸν κύριον. ἡσα. κϐ. ἐπειδὴ γὰρ ταραχὰς καὶ πολέμους, καὶ ἀλλοιώσεις εἶπε γενέσθαι καὶ στοιχείων καὶ πραγμάτων, ἵνα μή τις ὑπολάβῃ, ὅτι μήποτε καὶ ὁ χριστιανισμὸς καταλυθήσεται, οὐχί φησιν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη τῶν χριστιανῶν. οὐρανὸς μὲν γὰρ καὶ γῆ ἀλλοιωθήσονται, οἱ δὲ λόγοι μου, καὶ τὸ εὐαγγέλιόν μου οὐ καταλυθήσονται, ἀλλὰ μενοῦσι, κἂν τὰ πάντα σαλεύωνται, καὶ ἡ εἰς ἐμὲ πίστις οὐκ ἐκλείψει. ἐμφαίνει δὲ ἐντεῦθεν, ὅτι τὴν ἐκκλησίαν προτιμοτέραν ἔχει πάσης τῆς κτίσεως, εἴγε ἡ μὲν κτίσις ἀλλοιοῦται, τῆς δὲ τῶν πιστῶν ἐκκλησίας, καὶ τῶν λόγων αὐτοῦ καὶ τοῦ εὐαγγελίου οὐδὲν περιέσται.

» Προσέχετε δὲ ἑαυτοῖς, μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέ-
» θῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐπιστῇ ἐφ' ὑμᾶς ἡ ἡμέρα ἐκείνη, ὡς παγὶς
» γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. ἀγρυ
» πνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γί
» νεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ἠκούσατε, φησί, φόβητρα καὶ ταραχάς, ἀλλ' αἰσθητὰ ταῦτα πάντα, καὶ σύμβολα τῶν τοῖς ἁμαρτωλοῖς καταληψομένων κακῶν. ἀλλὰ πρὸς ταῦτα τὰ δεινὰ φάρμακον μέγα καὶ ἀντιπαθὲς ἡ προσευχὴ καὶ προσοχή. τὸ γὰρ ἐν ἑτοιμασίᾳ εἶναι ἀεί, καὶ ἀπεκδοχῇ τοῦ τέλους, τούτων μάλιστα πάντων συμβαλέσθαι δυνήσεται. τοῦτο δὲ προσγενήσεται ὑμῖν, φησίν, ἐὰν νήφητε, καὶ μὴ βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς. μὴ γὰρ μετὰ παρατηρήσεως ἔρχεται ἡ ἡμέρα ἐκείνη, ἀλλ' ἀπροσδόκητος, κρυφίως ὥσπερ παγὶς συλλαμβάνουσα τοὺς μὴ προσέχοντας. τάχα δέ τις περιεργότερον ἐξετάσειε τὴν λέξιν ταύτην τήν, καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. ἐκείνους γὰρ παγιδεύει ἡ ἡμέρα ἐκείνη τοὺς ἐν ἀμεριμνίᾳ διάγοντας καὶ ἀργίᾳ, οὗτοι γάρ εἰσιν οἱ καθήμενοι, καὶ οὗτοι παγιδεύονται. ὅσοι δὲ ἐνεργοὶ καὶ δραστήριοι, καὶ νηφάλιοι περὶ τὴν τοῦ ἀγαθοῦ ἐργασίαν εἰσί, καὶ κινοῦνται ἀεὶ πρὸς τὸ καλόν, μὴ ἐν καθήμενοι, καὶ ἐναναπαυόμενοι τοῖς γηροῖς, ἀλλ' ἐγειρόμενοι ἐντεῦθεν, καὶ λέγοντες ἑαυτοῖς, ἀνάστα καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις, Μιχ. β΄. καὶ πατρίδα κρείττονα ποθοῦντες, τοῖς τοιούτοις οὐκ ἔστιν ἡ ἡμέρα ἐκείνη ὡς παγὶς καὶ κίνδυνος, ἀλλ' ὡς ἑορτῆς ἡμέρα. διὸ χρὴ ἀγρυπνεῖν, καὶ δέεσθαι τοῦ θεοῦ, ἵνα δυνηθῶμεν ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι. ποῖα; τάχα μὲν καὶ τοὺς λιμούς, καὶ τοὺς λοιμούς, καὶ τὰ ἄλλα ἃ τοῖς ἐκλεκτοῖς οὐχ οὕτως ἐπικείσεται, ὥσπερ καὶ τοῖς ἄλλοις. μᾶλλον μὲν οὖν διὰ τοὺς ἐκλεκτούς, καὶ τοῖς ἄλλοις κολοβωθήσονται. τάχα δὲ καὶ τὰ μέλλοντα τοῖς ἁμαρτωλοῖς αἰωνίως συμβήσεσθαι. ἐκεῖνα γὰρ ἄλλως οὐ δυνάμεθα ἐκφυγεῖν, εἰ μὴ δι' ἀγρυπνίας καὶ προσευχῆς. ἐπεὶ δὲ οὐκ ἀρκεῖ τοῖς γε μεγαλοψύχοις τὸ φυγεῖν τὴν κάκωσιν, ἀλλὰ δεῖ αὐτοὺς καὶ ἀγαθοῦ τινὸς ἐπιτυχεῖν, μετὰ τὸ εἰπεῖν ἵνα δυνηθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι, προσέθηκε καὶ σταθῆναι ἐνώπιον τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ὅπερ ἐστὶν ἀγαθῶν ἀπόλαυσις. δεῖ γὰρ οὐ μόνον φεύγειν τὰ δεινά, ἀλλὰ καὶ δόξαν σπεύδειν λαμβάνειν τὸν χριστιανόν. ἀγγελικὴ δὲ ἀξία τό, ἵστασθαι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ θεοῦ ἡμῶν. οἱ γὰρ ἄγγελοι αὐτοῦ, φησί, διὰ παντὸς βλέπουσι τὸ Ματθ. ιη΄.

πρόσωπον τοῦ πατρός μου·

» Ἦν δὲ τὰς ἡμέρας διδάσκων ἐν τῷ ἱερῷ, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ
» ὄρος τὸ καλούμενον ἐλαιῶν, καὶ πᾶς ὁ λαὸς ὤρθριζε πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν
» αὐτοῦ· Ἀπέκρυψαν μὲν οἱ εὐαγγελισταὶ τὰ πλείω ὧν ἐδίδασκε, καὶ μάλιστα οἱ τρεῖς, ὁ δέ γε Ἰωάννης καὶ αὐτὸς μὲν τὰ πλείω παρεσιώπησε, πλὴν ὑπὲρ τοὺς τρεῖς ἐξέθετο τινὰς διδασκαλίας ὑψηλοτέρας· τοῖς συναγομένοις οὖν ἐν τῷ ἱερῷ πολλὰ καὶ ὑψηλὰ διελέγετο, ὡς ἔστι τεκμήρασθαι. ὅτι γὰρ ὀλίγα εἶπον οἱ εὐαγγελισταί, οὐ γὰρ ἐπιδείκνυσθαι ἤθελον, δῆλον μὲν καὶ ἄλλοθεν πολλαχόθεν, οὐχ ἥκιστα δὲ καὶ τεκμήρασθαί ἐστιν, ἀπὸ τοῦ τρεῖς ἐνιαυτοὺς σχεδὸν κηρύττοντος τοῦ κυρίου. ὀλίγας διδασκαλίας αὐτοῦ ἀναγράψασθαι, ἃς οὐδὲ μιᾶς ἡμέρας διάλεξιν εἰπών τις ἱκανὴν, οἶμαι οὐ μεμφθήσεται· ἐκ πολλῶν οὖν ὀλίγα ἀνεγράψαντο ἡμῖν οἱ ἅγιοι εὐαγγελισταί, ὅσον μόνον γεῦμα παρεχόμενοι τῆς γλυκύτητος· διελέγετο οὐ μονοειδῶς, ἀλλ᾽ ἑκάστῳ τὸ πρόσφορον ἐπιθείς· διὸ καὶ ὁ ὄχλος ὤρθριζε πρὸς αὐτὸν, χάρις γὰρ ἐξεκέχυτο τοῖς χείλεσιν αὐτοῦ· νυκτὸς δὲ ἀνεχώρει πρὸς τὸ ὄρος, δεικνύων ἡμῖν, ὅτι δεῖ νυκτὸς μὲν διὰ τῆς ἡσυχίας τῷ θεῷ ὁμιλεῖν, ἡμέρας δὲ διὰ τῆς συγκαταβάσεως τοὺς ἀνθρώπους ὠφελεῖν, καὶ συνάγειν μὲν νυκτὸς, διαδιδόναι δὲ τὰ συνηγμένα ἡμέρας· αὐτὸς μὲν οὖν οὐκ ἐδεῖτο προσευχῆς, ἢ πρὸς θεὸν συναγωγῆς, οὐ γὰρ εἶχεν εἰς ὅ, τι συσταλῇ αὐτὸς ὢν θεός· ἡμῖν δὲ ταῦτα πρὸς ὑποτύπωσιν τέθεικεν, ἵνα κατὰ τὰ φρέατα νυκτὸς μὲν δεχώμεθα τὴν ἐκ τῶν πνευματικῶν φλεβῶν τῆς προσευχῆς σύῤῥοιαν, ἡμέρας δὲ ἐξαντλώμεθα διὰ τῶν ὠφελείας δεομένων· ἰδὼν οὖν αὐτὴς τότε τὸν λαὸν ὀρθρίζοντα πρὸς τὸν Ἰησοῦν, ὥστε ἀκούειν αὐτοῦ, εἴποι ἁρμόζειν αὐτῷ τὰ τοῦ Δαβὶδ λέγειν, ὁ θεὸς ὁ θεός
ψαλ. ξβ'. μου πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σε ἡ ψυχή μου·

Κεφάλαιον κβ'·

ἐγγίζω appropinquabat festū

» Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη πάσχα· καὶ ἐζήτουν οἱ ἀρχιερεῖς, καὶ οἱ
» γραμματεῖς, τὸ, πῶς ἀνέλωσιν αὐτὸν, ἐφοβοῦντο γὰρ τὸν λαόν. εἰσῆλθε δὲ ὁ σατα-
» νᾶς εἰς ἰούδαν τὸν ἐπικαλούμενον ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα· καὶ
» ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι, καὶ στρατηγοῖς, τὸ, πῶς αὐτὸν παραδώσει αὐ-
» τοῖς. καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐξωμολόγησε, καὶ ἐζή-
» τει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου· Ἐζήτουν μὲν αὐτὸν ἀνελεῖν οἱ γραμματεῖς, ἐπειδὲ ὁ καιρὸς τοῦ πάσχα ἐφειστήκει, καὶ κίνδυνον ἑώρων ἐκ τούτου αὐτοῖς ἀπὸ τοῦ λαοῦ συναγομένου, μάλιστα διὰ τὴν ἑορτὴν, ἐζήτουν λοιπὸν μέθοδον, πῶς ἀνελόντες αὐτὸν οὐ κινδυνεύσουσιν· εἰσῆλθε δὲ ὁ σατανᾶς εἰς ἰούδαν ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, τουτέστι, καὶ ταῦτα ἐκ τῶν οἰκείων ὄντα καὶ γνησίων μαθητῶν· ἵνα μηδεὶς θαῤῥῇ ἐφ᾽ ἑαυτῷ, ἀλλὰ πάντοτε προσέχῃ τῇ οἰκείᾳ ζωῇ, ὡς δεινὸν ἀντίπαλον ἔχων. τινὲς δὲ τὸ, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, οὕτως ἐνόησαν, ἀντὶ τοῦ, ἀριθμὸν μόνον πληροῦντα ἀποστολικὸν, οὐκ ἀπόστολον ὄντα ἀληθινὸν, καὶ μα-
Ἰωάν. ιγ. θητήν· πῶς γὰρ ἀληθὴς μαθητὴς ὁ κλέπτων τὰ ἐν τῷ γλωσσοκόμῳ βαλλόμενα; οὕτως οὖν εἰσελθόντα εἰς αὐτὸν τὸν σατανᾶν ἐδέξατο, καὶ συνεφώνησε τοῖς ζητοῦσι τὸν Ἰησοῦν παραδοῦναι, τοῦτο γὰρ σημαίνει τὸ ἐξωμολόγησεν, ἀντὶ τοῦ, τελείας ὁμολογίας καὶ συνθήκας ἐποιήσατο. καὶ ἐζήτει εὐκαιρίαν, ὅπως εὕροι αὐτὸν ἄτερ ὄχλου, τουτέστι καταμόνας, καὶ αὐτοῖς παραδώσει· στρατηγοὺς δέ φησιν ἐνταῦθα τοὺς ἄρχοντας τῶν οἰκοδομῶν τοῦ ἱεροῦ, ἢ καὶ τοὺς τῆς εὐταξίας ἐπιμελουμένους. ἐπέστησαν γὰρ οἱ Ῥωμαῖοι τῷ λαῷ τινας, ὡς ἂν μὴ ταράσσηται, στασιώδεις γὰρ ἦσαν· τούτους φησὶ στρατηγούς. ἴσως δὲ καὶ διοικήσεις στρατιωτικὰς, οἱ μέρους ὄντες τοῦ ἱερατικοῦ, στρατηγοὶ ὠνομάσθησαν·

μάθησιν· τὸ φιλόπρωτον γὰρ νοσοῦντες, καὶ τοιαύταις διοικήσεσιν ἐπεβάλλοντο. διὸ καὶ στρατηγοὺς αὐτοὺς ὠνόμασε τοῦ ἱεροῦ, ἐμφαντικώτερον τάχα καθαπτόμενος αὐτῶν·

» Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα· καὶ ἀπέστειλε Πέτρον,
» καὶ Ἰωάννην εἰπών, πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν· οἱ δὲ εἶ-
» πον αὐτῷ, ποῦ θέλεις ἑτοιμάσωμέν σοι; ὁ δὲ εἶπεν αὐτοῖς, ἰδοὺ εἰσελθόντων ὑμῶν εἰς
» τὴν πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων, ἀκολουθήσατε αὐ-
» τῷ εἰς τὴν οἰκίαν, οὗ εἰσπορεύεται, καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας, λέγει σοι
» ὁ διδάσκαλος· ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φά-
» γω; κἀκεῖνος ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε· ἀπελθόντες δὲ
» εὗρον, καθὼς εἴρηκεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα· Ὅτι μὲν φασὲκ ἑβραϊκῶς τὸ πάσχα λεγόμενον, τὴν ἐξ Αἰγύπτου διάβασιν δηλοῖ, πολλοῖς εἴρηται· καὶ ἁπλῶς πάντα τὰ ἐν τῇ ἑορτῇ τότε τελούμενα, τοῖς ἁγίοις ἡρμήνευται· νῦν δὲ ἡμῖν τίνα λέγει ἡμέραν τῶν ἀζύμων, ῥητέον καὶ τὰ ἑξῆς· ἡμέραν οὖν ἀζύμων λέγει τὴν πέμπτην, ᾗ ἐς τῇ ἑσπέρᾳ ἔμελλον θύειν τὸ πάσχα· ὁ τοίνυν κύριος τῇ πέμπτῃ πρωΐας τυχὸν ἀποστέλλει τοὺς μαθητὰς Πέτρον καὶ Ἰωάννην, τὸν μὲν ὡς ἀγαπῶντα, τὸν δὲ ὡς ἀγαπώμενον· ἀποστέλλει δὲ εἰς ἀλλοτρίαν οἰκίαν, οὐδὲ γὰρ εἶχεν αὐτός, ἀλλ᾽ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἢ γὰρ ἂν ἐν ἑνὸς τῶν μαθητῶν διήγαγε τὸ πάσχα· ὁρᾷς ἀκτημοσύνην; στέλλει δὲ αὐτοὺς πρὸς ἄνθρωπον μὴ γνωσκόμενον, ἵνα δείξῃ, ὅτι καὶ τὸ πάθος θέλων κατεδέξατο· εἰ γὰρ μὴ ἤθελεν, ἠδύνατο ὁ τὴν διάνοιαν τούτου τοῦ ἀγνώστου ἀνθρώπου πείσας, ὥστε αὐτοὺς ὑποδέξασθαι, κἂν τοῖς ἰουδαίοις ὅσα ἐβούλετο διαπράξασθαι· τινὲς δὲ φασί, ὅτι διὰ τοῦτο οὐκ εἶπε τοῦ ἀνθρώπου τὸ ὄνομα, καὶ ἐφανέρωσεν αὐτόν, ἀλλὰ σημείῳ τινὶ ὁδηγεῖ αὐτοὺς πρὸς τὴν οἰκίαν τοῦ ἀνθρώπου, διὰ τὸν προδότην, ὡς ἂν μὴ γνοὺς τὸ ὄνομα, καταμηνύσῃ τὴν οἰκίαν τοῖς φαρισαίοις, καὶ ἐλθόντες συλλάβωσιν αὐτόν, πρὶν ἢ τὸ δεῖπνον ἐπιτελέσῃ, πρὶν ἢ τὰ πνευματικὰ μυστήρια αὐτοῦ παραδῷ· διὸ φησὶ παρακατιὼν ὁ Χριστός, ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν πρὸ τοῦ με παθεῖν, τουτέστι πᾶσαν σπουδὴν ἐθέμην, ὅπως λάθωμεν τὸν προδότην, καὶ μὴ πρόωρον ὑποστῶμεν τὸ πάθος, πρὶν ἢ παραδῶμεν τὰ μυστήρια· ἔξεστι δὲ τῷ βουλομένῳ παραδέχεσθαι ταύτην τὴν ἐξήγησιν· τίνος δὲ ἕνεκα τὸ πάσχα τελεῖ; διὰ πάντων δεικνὺς ἄχρι τῆς τελευταίας ἀναπνοῆς, ὅτι οὐκ ἔστιν ἐναντίος τῷ νόμῳ· ἀλλὰ φάγωμεν τοῦτο τὸ πάσχα νοητῶς καὶ ἡμεῖς, καὶ δὴ νοήσωμεν ἡμέραν τῶν ἀζύμων, πᾶσαν τὴν ἐν τῷ φωτὶ τῷ πνευματικῷ διαγωγήν, μηδεμίαν παλαιότητα τῆς προτέρας ἐν τῷ Ἀδὰμ παρακοῆς ἔχουσαν, ἐν ᾗ διαγωγῇ οὕτως ἡμᾶς δεῖ τῶν μυστηρίων τοῦ Ἰησοῦ κατατρυφᾶν· ἑτοιμάσει οὖν ταῦτα τὰ μυστήρια Πέτρος καὶ Ἰωάννης, πρᾶξις καὶ θεωρία, θερμότης ζήλου καὶ πρᾳότης εἰρηνική. δεῖ γὰρ τὸν πιστὸν καὶ θερμὸν εἶναι περὶ τὴν ἐργασίαν τοῦ καλοῦ, καὶ ζηλωτὴν κατὰ τῆς πονηρίας, καὶ πρᾶον εἰς τοὺς πονηρευομένους, ἡ γὰρ πονηρία μισητέα, οὐχ ὁ πονηρευόμενος· ἐκεῖνος γὰρ θεραπευτέος, πάσχει γάρ, καὶ τοῦτό ἐστι τὸ πονηρεύεσθαι, τὸ παρὰ τοῦ πονηροῦ ἐνοχλεῖσθαι, καὶ πάσχειν τὴν πονηρίαν. ἐὰν οὖν Πέτρον καὶ Ἰωάννην ἔχωμεν ἑτοιμάζοντας τὸ δεῖπνον, βίον λέγω ἀγαθόν, ὅς ἐστι Πέτρος, καὶ δόγματα ἀληθῆ, ἅ ἐστιν ὁ θεολόγος Ἰωάννης, συναντήσει τοῖς τοιούτοις ἑτοιμασταῖς ἄνθρωπος, τουτέστι, τότε εὑρήσομεν τὴν ἀνθρωπίνην οὕτως κατάστασιν, τὴν κατ᾽ εἰκόνα δημιουργηθεῖσαν τοῦ πλάσαντος, ἢ μᾶλλον τοῦ κτίσαντος, κεράμιον ὕδατος βαστάζουσαν· ὕδωρ μὲν ἡ τοῦ πνεύματος χάρις, ὡς ὁ εὐαγγελιστὴς Ἰωάννης διδάσκει, κεράμιον δὲ τὸ εὔθρυπτον, καὶ πρὸς συντριβὴν εὔκολον τῆς καρ- Ἰωάν. ζ΄.

δίας· ὁ γὰρ δεξάμενος χάριν πνευματικὴν, ταπεινός ἐστι καὶ συντετριμμένος τῇ καρ-
Παροιμ. γ'. δίᾳ, ταπεινοῖς δὲ δίδωσι χάριν ὁ κύριος· ὁ εἰδὼς δὲ ἑαυτὸν γῆν, καὶ σποδὸν, καὶ λέγων
μετὰ τοῦ Ἰὼβ, ἐκ γῆς δέ με ἔπλασας, ἐκεῖνος βαστάζει τὴν τοῦ πνεύματος χάριν ἐν τῷ
εὐκατανύκτῳ, καὶ εὐκόλῳ πρὸς συντριβὴν ἀγγείῳ τῆς καρδίας αὐτοῦ ἀκολουθοῦν-
τες δὲ τῇ τοιαύτῃ καταστάσει, ἀφιξόμεθα εἰς τὴν τοῦ νοῦ οἰκίαν, ἧς ὁ οἰκοδεσπότης νοῦς
ἀνώγεον ἡμῖν ἐστρωμένον ὑποδείξει μέγα· ἀνώγεον μὲν ἡ ὑψηλὴ τοῦ τοιούτου νοῦ χώ-
ρησις, τὰ θεῖα φημὶ καὶ νοητὰ, οἷς ἐγκατοικεῖ, καὶ οἷς ἐμφιλοχωρεῖ, ἐστρωμένα δὲ ταῦ-
τα εἰσὶν, οὐδὲν γὰρ αὐτοῖς τραχὺ, ἀλλὰ καὶ τὰ σκολιὰ εἰς εὐθείαν γίνονται τῷ τοιού-
Παροιμ. η'. τῳ νοῒ, καθὰ καὶ Σολομὼν εἶπε, πάντα εὐθέα τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι
γνῶσιν· οὐκοῦν δὲ ἁμάρτοις καὶ τοῦτο εἰπὼν, ὅτι ὁ νοῦς εἰ καὶ ὑψηλὸν πρᾶγμα ποιεῖ
κατὰ τὴν τοῦ νοῦ ἐνέργειαν διάγων, ἀλλ' οὖν ἔστρωται αὐτῷ ἡ γνῶσις ἔτι, καὶ χθαμαλω-
τέρως ἔχει. ὑψηλὴ δὲ τῷ ὄντι ἡ γνῶσις, καὶ ὑπὲρ πᾶν ὕψος ἡ ὑπὲρ νοῦν ἀγνωσία. ὅτε
οὐκ ἔτι ὁ νοῦς ἐνεργεῖ, ἀλλ' ἐνεργεῖται. δεῖ δὲ πρότερον ἡμᾶς τῷ νοῒ ἡμῶν ἐνεργεῖν, εἶ-
θ' οὕτως ἐνεργησόμεθα τῇ τοῦ κυρίου χάριτι, λαμβάνοντες ἡμᾶς ὥσπερ καὶ τοὺς προφή-
Ἀββα. α'. τας. καὶ ἐξιστῶντας πάσης φυσικῆς ἐνεργείας. ἀμέλει λέγεται λῆμμα κυρίου ἐν τῷ
Ζαχ· θ'· ιβ' δὲ τῷ προφήτῃ γενέσθαι. ὥσπερ οὖν κἀνταῦθα τοῦ ἀνωγέου τούτου ἐστρωμένου, ἔρχεται
Μαλαχ· α'· ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ, καὶ τελεῖ τὰ μυστήρια ἐρχόμενος αὐτὸς πρὸς ἡμᾶς,
καὶ τὴν οἰκείαν αὐτοῦ ἐνέργειαν ἐμφαίνων ἡμῖν, ἀλλ' οὐκ ἀναμένων ἡμᾶς ἐλθεῖν πρὸς
αὐτὸν ἔτι. μαθηταὶ δὲ τοῦ λόγου θεοῦ πάντες οἱ λόγοι τῶν γεγονότων, τότε οὖν ὅταν
ἐνεργῇ ἐν ἡμῖν ὁ λόγος, τὴν τοῦ πάσχα μετάληψιν συνήσομεν, μᾶλλον δὲ συνεπιθη-
Ψαλ. η'· σόμεθα καὶ τοὺς λόγους τῶν γεγονότων, κατὰ τὸ, ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δα-
κτύλων σου·

» Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ. καὶ εἶπε πρὸς
» αὐτοὺς, ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν. λέγω
» γὰρ ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ, ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.
» καὶ δεξάμενος ποτήριον, εὐχαριστήσας εἶπε, λάβετε τοῦτο, καὶ διαμερίσατε ἑαυτοῖς.
» λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασι-
» λεία τοῦ θεοῦ ἔλθῃ· καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς λέ-
» γων, τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνά-
» μνησιν· ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων, τοῦτο τὸ ποτήριον ἡ και-
» νὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον· Τὸ πάσχα ἱστάμενοι
Ἔξο· ιβ'· ἤσθιον, πῶς οὖν ὁ κύριος ἀναπεσεῖν λέγεται; λέγουσιν οὖν ὅτι μετὰ τὸ φαγεῖν τὸ νομικὸν
πάσχα, ἀνέπεσον λοιπὸν κοινῷ τρόπῳ ἐσθίοντες ἄλλα τινὰ βρώματα· φησὶ δὲ πρὸς
τοὺς μαθητὰς, ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με πα-
θεῖν, ὡσανεὶ τοῦτο ἔλεγε, τοῦτό μοι τὸ τελευταῖον δεῖπνον μεθ' ὑμῶν, διὸ καὶ ἀγαπητόν
μοι καὶ ἐπιθυμητόν ἐστιν, ἄλλοτε γὰρ μεθ' ὑμῶν οὐκ ἑστιαθήσομαι, ὥσπερ καὶ οἱ μέλ-
λοντες ἀποδημήσειν, τὰ τελευταῖα προσφωνήματα τοῖς οἰκείοις καὶ γνησίοις ἡδύτε-
ρον καὶ ποθεινότερον προσάγουσι. καὶ ἄλλως δὲ, ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν
μεθ' ὑμῶν, διότι τὰ μεγάλα μυστήρια ἐν τούτῳ μέλλω παραδοῦναι ὑμῖν, τὰ τῆς και-
νῆς διαθήκης. δηλοῖ δὲ διὰ τούτου, ὅτι ἑκὼν πάσχει, ἐξῆν γὰρ πάντως αὐτῷ, ἐπειδὴ
ἐγίνωσκεν ὅτι μέλλει παθεῖν, ὑπαναχωρῆσαι ὥσπερ κἀν τοῖς προτέροις καιροῖς. τὸ δὲ
οὐ μὴ πίω αὐτὸ ἕως ὅτου ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ, τινὲς τῶν ἁγίων ἐνόησαν, ἀντὶ τοῦ
ἄχρις οὗ ἀναστῶ· μετὰ γὰρ τὴν ἀνάστασιν συναυλιζόμενος τοῖς μαθηταῖς, καὶ συνέ-
Πράξ· ι'· φαγε, καὶ συνέπιεν αὐτοῖς, ὥσπερ καὶ Πέτρος φησὶ πρὸς Κορνήλιον, οἵτινες συνεφάγο-
μεν,

μεν, καὶ συνεπιόμεθα αὐτῷ μετὰ τὴν ἀνάστασιν. ὅτι δὲ βασιλεία τοῦ θεοῦ ἡ ἀνάστασις, πρό-
δηλον. ἡ γὰρ ἀνάστασις κατάλυσίς τοῦ θανάτου, ἐβασίλευσε δὲ ὁ θάνατος ἀπὸ Ἀδὰμ
ἕως Χριστοῦ, τότε δὲ καταλυθεὶς, παρεχώρησε τῷ κυρίῳ τῆς νίκης, καὶ τῆς βασιλείας· κα- Ωσηέ· ιγ΄·
θὸ εἴρηται· ποῦ σου θάνατε τὸ νῖκος; καὶ ὁ Δαβὶδ, ὁ κύριος ἐβασίλευσεν, εἶτα ὑπομιμνήσκων α΄· πρὸς Κο-
πῶς ἐβασίλευσεν, εὐπρέπειαν φησὶν ἐνεδύσατο, ἀπαφθαρτισθέντος τοῦ σώματος, καὶ ριν. ιε΄·
τῇ θεότητι ὡραϊσθέντος, ὡς Ἡσαΐας φησὶν, οὗτος ὡραῖος ἐν στολῇ, βίᾳ μετὰ ἰσχύος. καὶ αὐ- Ψαλ. ϙβ΄
τὸς δὲ ὁ κύριος μετὰ τὸ ἀναστῆναι, φησὶν, ἐδόθη μοι πᾶσα ἐξουσία. τῆς οὖν ἀναστάσεως ἐλ- ξγ΄·
θούσης, ἣν βασιλείαν τοῦ θεοῦ ὠνόμασεν ὡς τὸν θάνατον καταλυσάσης, ἔπιε πάλιν σὺν Ματθ. κη΄·
τοῖς μαθηταῖς, πιστούμενος τὴν ἀνάστασιν, ὡς οὐ κατὰ φαντασίαν οὖσαν· τινὲς δὲ βασιλείαν
τοῦ θεοῦ τὴν μέλλουσαν κατάστασιν ἐδέξαντο, πίνειν δὲ τὸν κύριον ἐν τῷ μέλλοντι με-
θ' ἡμῶν τὴν ἀποκάλυψιν τῶν μυστηρίων αὐτοῦ, εὐφραίνων γὰρ ἡμᾶς εὐφραίνεται, καὶ
τρέφων τρέφεται ὁ φιλάνθρωπος· καὶ τὴν ἡμετέραν πόσιν, καὶ τροφὴν, ἤτοι μά-
θησιν, οἰκείαν τροφὴν λογίζεται. πίεται οὖν τηνικαῦτα καινήν τινα πόσιν μετὰ τῶν
ἀξίων, ἀποκαλύπτων αὐτοῖς ἀεὶ καινά τινα καὶ ἀσυνήθη· δύο δὲ δοκεῖ ποτηρίων
μνημονεύειν ὁ Λουκᾶς, καὶ ἐν μὲν φησι, λάβετε, καὶ διαμερίσατε ἑαυτοῖς, ὃ τῆς πα-
λαιᾶς διαθήκης τύπον εἴποι ἄν τις εἶναι. ἕτερον δὲ μετὰ τὸ κλάσαι τὸν ἄρτον καὶ διανεί-
μασθαι. αὐτὸς δὲ διανέμει τοῖς μαθηταῖς, ὃ καὶ τῆς καινῆς διαθήκης ὀνομάζει, καὶ
ἐν τῷ αὐτοῦ αἵματι φησὶν αὐτὸ ἐγκαινίζεσθαι. ἐπὶ μὲν γὰρ τῆς παλαιᾶς αἷμα ζώων
ἀλόγων ἦν, ὅτε ὁ νόμος ἐδόθη, νῦν δὲ τοῦ θεοῦ λόγου ἀνθρώπου γενομένου τὸ αἷμα τὴν Ἔξο. κδ΄
καινὴν διαθήκην ἡμῖν ἐπισφραγίζει· εἰπὼν δὲ τὸ ὑπὲρ ὑμῶν διδόμενον, καὶ ἐκχυνό-
μενον, οὐχ ὑπὲρ τῶν ἀποστόλων μόνον δεδόσθαι δηλοῖ τὸ σῶμα αὐτοῦ, καὶ τὸ αἷμα ἐκ-
κεχεῖσθαι, ἀλλ' ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως. ὅταν οὖν εἴπῃ ὑπὲρ ὑμῶν διδόμενον, ἀν-
τὶ τοῦ ὑπὲρ τῆς ὑμετέρας φύσεως τῶν ἀνθρώπων νόει· τὸ μὲν οὖν παλαιὸν πάσχα
ἐπὶ τῇ ἀπαλλαγῇ τῆς δουλείας τῆς ἐν Αἰγύπτῳ ἐτελεῖτο, καὶ τὸ αἷμα τοῦ προβά-
του ἐπὶ τῇ σωτηρίσει τῶν πρωτοτόκων. τὸ δὲ καινὸν πάσχα ἐπὶ ἀφέσει ἁμαρτιῶν, καὶ
ἐπὶ σωτηρίσει τῶν ἡγιασμένων καὶ ἀφωρισμένων λογισμῶν τῷ θεῷ. πρῶτον δὲ ὁ
ἄρτος, εἶτα τὸ ποτήριον, προτέρα γὰρ ἡ ἐπίπονος πρᾶξις, καὶ δυσκατέργαστος, ἱδρῶ-
τες γὰρ προηγοῦνται τῆς ἀρετῆς. ὥσπερ οὖν καὶ ὁ ἄρτος οὐ μόνον ἐν ἱδρῶτι τοῦ προ-
σώπου γεωργεῖται, ἀλλὰ καὶ ἐν τῷ ἐσθίεσθαι δυσκατεργαστότερός ἐστιν, εἶθ' οὕτως μετὰ
τοὺς πόνους ἡ εὐφροσύνη τῆς τοῦ θεοῦ χάριτος, ὅπερ ἐστὶ τὸ ποτήριον. μεθὸ γάρ τις ἐν β΄· πρὸς Κο-
τῇ ἀρετῇ τῇ δυσκατεργάστῳ κοπιάσει, τότε τῶν χαρισμάτων ἄξιος γίνεται, καὶ πά- ριν. ε΄·
σχει τὴν καλὴν μέθην, ἐξιστάμενος τοῦ κόσμου τούτου, ὡς ὁ Παῦλος, καὶ ὁ Δαβὶδ. τολ- Ψαλ. λ΄· ριε΄·
μητέον δὲ εἰπεῖν, καὶ ὡς ὁ θεὸς παρὰ τῷ Ἀββακούμ· γ΄·

Πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης· καὶ ὁ μὲν υἱὸς
τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ πα-
ραδίδοται. καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς, τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ μέλ-
λων τοῦτο πράσσειν. ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ, τίς αὐτῶν δοκεῖ εἶναι μεί-
ζων. ὁ δὲ εἶπεν αὐτοῖς, οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες
αὐτῶν, εὐεργέται καλοῦνται. ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὁ μείζων ἐν ὑμῖν, γενέσθαι
ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος, ὡς ὁ διακονῶν· τίς γὰρ μείζων ὁ ἀνακείμενος, ἢ ὁ δια-
κονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν· Οὐδὲν πε-
πωρωμένης ψυχῆς ἀθλιώτερον. ἰδοὺ γοῦν ὁ κύριος ὅρα τί φησιν, ὅτι ἡ χεὶρ τοῦ παρα-
διδόντος με ἐπὶ τῆς τραπέζης μετ' ἐμοῦ. καὶ ὁ ἀσύνετος οὐκ ᾐσθάνετο. καὶ γὰρ οὐ
μόνον, ἵνα δείξῃ ὅτι οὐκ ἀγνοεῖ τὸ συμβησόμενον, ταῦτα λέγει ὁ κύριος, ἀλλὰ καὶ ἵνα

δείξῃ ἡμῖν καὶ τὴν οἰκείαν ἀγαθότητα, καὶ τὴν τοῦ προδότου πονηρίαν, ὅτι καὶ συνέστιος γενέσθαι οὐκ ἠρυθρίασεν, οὐδὲ πάλιν αὐτὸς ἀνῆκε τὰ οἰκεῖα ποιῶν. καὶ τύπον ἡμῖν τεθεὶς, ἵνα ἄχρι τέλους σπουδάζωμεν κερδῆσαι τοὺς πταίοντας. καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου, φησὶ, πορεύεται, οὐχ ὡς ἀσθενῶν ἀμύναι ἑαυτῷ, ἀλλ' ὡς ὁρίσας ἑαυτῷ τὸν θάνατον ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων. πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται. ὥρισται μὲν γὰρ παθεῖν, ἀλλὰ σὺ διὰ τί εὑρέθης κακὸς, ὥστε πρὸς προδοσίαν ἕτοιμος εἶναι; διὰ τοῦτο οὖν σοι τὸ οὐαὶ ἀποκεκλήρωται, ὅτι εὑρέθης ἐπιτήδειος εἰς
Γεν. γ΄. προδοσίαν. ἐπεὶ καὶ ὁ ὄφις ἐπικατάρατος, διότι ὑπούργησε τῇ τοῦ διαβόλου συμ-
ιγ΄. βουλῇ. ἐθορυβήθησαν δὲ οἱ μαθηταὶ ταῦτα ἀκούσαντες. καὶ τοῦτο πλατύτερον μαθήσῃ ἐν τῷ κατὰ Ἰωάννην. νῦν δὲ οὐ περὶ τῆς ὑπονοίας τῆς προδοσίας θορυβοῦνται μόνον, ἀλλ' ἐκ τούτου τοῦ θορύβου καὶ εἰς ἔριν ἔρχονται, φιλονεικοῦντες τίς αὐτῶν εἴη μείζων. ἐνέπεσον δὲ εἰς ταύτην τὴν ἔριν ἀκολούθως, ἐπεὶ γὰρ πρὸς ἀλλήλους εἰκὸς ἦν λέγειν, ὅτι σὺ μέλλεις προδιδόναι, καὶ αὖ ἐκεῖνος τούτῳ ὅτι σὺ, ἐκ τούτου προήχθησαν εἰς τὸ λέγειν, ἐγὼ εἰμὶ κρείττων, καὶ ἐγώ εἰμι μείζων, καὶ τὰ τοιαῦτα. τί οὖν ὁ κύριος; καταστέλλει τὸν θόρυβον τούτων δυσὶν ὑποδείγμασιν, ἑνὶ μὲν τῷ τῶν ἐθνικῶν, οὓς βδελυκτοὺς εἶχον, δεικνύων ὅτι τούτοις ἐοικότες ἔσονται εἰ τοιαῦτα φρονοῦσιν. ἑτέρῳ δὲ τῷ ἑαυτοῦ, δι' ἑαυτοῦ γὰρ εἰς ταπεινοφροσύνην ἄγει, δεικνὺς ἑαυτὸν διακονοῦντα αὐτοῖς. καὶ γὰρ δὴ τότε, καθὰ εἴρηται, τὸν ἄρτον αὐτοῖς καὶ τὸ ποτήριον διένειμεν. ἐπεὶ τοίνυν ἐγὼ ὁ ὑπὸ πάσης ἀγγελικῆς καὶ λογικῆς φύσεως προσκυνούμενος ἐν μέσῳ ὑμῶν διακονῶ, πῶς ὑμεῖς ἄξιοι ἐστὲ μεγαλοφρονεῖν, καὶ περὶ πρωτείων ἐρίζειν; δοκεῖ δέ μοι μὴ δὲ παρέργως οὕτως μνημονεῦσαι τῆς ἀνακλίσεως ταύτης καὶ τῆς διακονίας, ἀλλ' ἀναμιμνήσκων αὐτοὺς, ὅτι εἰ ἐξ ἑνὸς ἄρτου ἐφάγετε, καὶ ἐξ ἑνὸς ποτηρίου ἐπίετε φίλους ὑμᾶς καὶ ἡνωμένους ἡ μία τράπεζα ποιεῖ, διατί τοίνυν ἀναξίως τούτων φρονεῖτε; ἀλλ' οὐδ' ἐγὼ τούτῳ μὲν διηκόνησα, τούτῳ δ' οὔ, ἀλλὰ πᾶσιν ὑμῖν ἐπίσης. πάντες οὖν ἓν καὶ τὸ αὐτὸ φρονεῖτε. σὺ δέ μοι ἐκ πάντων τούτων ἐννόει, πῶς ἀτελεῖς ἦσαν ἔτι οἱ μαθηταὶ, ἀλλ' ἴδε πῶς ὕστερον ἔλαμψαν. ἐντρεπέσθωσαν μανιχαῖοι λέγοντες, ὅτι ἐκ φύσεως εἰσί τινες ἀμαθεῖς, καὶ ἀδύνατον μετατεθῆναι τούτους.

» Ὑμεῖς δὲ ἐστὲ οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου. κἀγὼ διατίθε-
» μαι ὑμῖν, καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς
» τραπέζης μου, καὶ καθίσησθε ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. εἶ-
» πε δὲ ὁ κύριος, σίμων, σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον,
» ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. καὶ σύ ποτε ἐπιστρέψας,
» ἐπιστήριξον τοὺς ἀδελφούς σου. ὁ δὲ εἶπεν αὐτῷ, κύριε μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς
» φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. ὁ δὲ εἶπε, λέγω σοι Πέτρε, οὐ μὴ φωνήσει
» σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.

Ἐπειδὴ εἶπεν ὅτι τῷ παραδιδόντι με οὐαὶ, καὶ ἐν τῷ μέσῳ ἐδίδαξεν αὐτοὺς, ὅτι δεῖ μετριοφρονεῖν, ὥσπερ τῷ παραδιδόντι τὸ οὐαὶ προσαπεκλήρωσεν, οὕτως αὐτοῖς ἐκ τοῦ ἐναντίου φησὶν, ὅτι ὑμεῖς δὲ ἐστὲ οἱ παραμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου. διὸ καὶ ἀμοιβὰς ὑμῖν διατίθεμαι, τουτέστι, συμφωνῶ πρὸς ὑμᾶς, ἵνα ἐπεὶ ὁ πατήρ μου διέθετό μοι, ἤγουν ἀφώρισέ μοι βασιλείαν, ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου, τὸ δὲ ἐσθίειν καὶ πίνειν εἶπεν, οὐχ ὡς ἐδεσμάτων ἐκεῖσε ἐσομένων, οὐδὲ ὡς αἰσθητῆς οὔσης τῆς βασιλείας αὐτοῦ. αὐτός τε γὰρ ἐδίδαξεν οἷς πρὸς τοὺς
Πρὸς ῥω. ιδ΄. σαδδουκαίους εἶπεν, ὡς ἀγγελική ἐστιν ἡ ἐκεῖσε διαγωγή. καὶ ὁ Παῦλος δὲ διδάσκει

τὴν βασιλείαν τοῦ θεοῦ μὴ εἶναι βρῶσιν καὶ πόσιν. μηδεὶς οὖν πλανάσθω ἀκούων ἐνταῦθα τὸ, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου, ἀλλὰ νοείτω ὅτι ἐκ μεταφορᾶς τῶν παρὰ τοῖς τοῦ κόσμου βασιλεῦσι τιμωμένων ταῦτα εἴρηται. οἱ γὰρ σύνδειπνοι τοῦ βασιλέως δοκοῦσι πάντων πρωτεύειν. τοῦτο οὖν καὶ περὶ τῶν ἀποστόλων φησὶν, ὅτι πάντων πρωτιμότεροι ἔσονται παρ' αὐτῷ. ἐπεὶ καὶ θρόνων καθέδρας ἀκούων, μὴ θρόνους νόει, ἀλλὰ τιμὴν καὶ δόξαν, οὐδεὶς γὰρ τῶν κτιστῶν καὶ γενητῶν ἐκεῖ καθεδεῖται, ἀλλὰ τῆς ἁγίας τριάδος, τοῦ ἀκτίστου, καὶ βασιλέως τῶν ὅλων θεοῦ, μόνης ἐστὶ τὸ καθέζεσθαι, τῆς δὲ κτίσεως ὡς δούλης τὸ ἵστασθαι. καὶ ταῦτα δὲ σωματικῶς λέγομεν, τὸ καθεῖσθαι καὶ τὸ ἵστασθαι. τὸ δὲ κρίνοντες, τουτέστι κατακρίνοντες ἐκ τῶν δώδεκα φυλῶν τοὺς ἀπιστήσαντας. οὐ μικρὰ γὰρ κατάκρισις τοῖς ἐξ Ἰσραὴλ ἀπιστήσασιν οἱ ἀπόστολοί εἰσιν, ὡς Ἰσραηλῖται ὄντες καὶ αὐτοὶ, ὅμως πιστεύσαντες. ἐπεὶ τοίνυν τῷ μὲν προδότῃ τὸ οὐαὶ ἀπέδωκε, τούτοις δὲ τοῖς παραμείνασιν ἐν τῇ πρὸς αὐτὸν στοργῇ, τοσαύτην τιμὴν προεῖπεν ἔσεσθαι, ἵνα μὴ ἐπαρθῶσιν ὡς μέγα τι κατορθωκότες, καὶ παραμείναντες ἐν τῇ ἀγάπῃ αὐτοῦ, καὶ μὴ προδόντες, ὁ σατανᾶς φησιν, ἠτήσατο ὑμᾶς σινιάσαι, τουτέστι ταράξαι, βλάψαι, πειράσαι. ἀλλ' ἐγὼ ἐδεήθην, μὴ νομίσητέ φησιν, ὅτι ὑμέτερόν ἐστι τὸ πᾶν κατόρθωμα τοῦτο. ὁ γὰρ διάβολος πολὺς ἐπέκειτο ζητῶν ὑμᾶς ἐκβαλεῖν τῆς ἐμῆς στοργῆς, καὶ προδότας ἀποδεῖξαι. πρὸς δὲ τὸν Πέτρον ταῦτα ἀποτείνεται, διότι καὶ θρασύτερος τῶν ἄλλων ἦν, καὶ εἰκὸς αὐτὸν μεγαλοφρονῆσαι ἐφ' οἷς ἐπηγγείλατο ὁ Χριστός. διὸ καταστέλλων αὐτόν φησιν, ὅτι τῷ μὲν σατανᾷ πολλὴ σπουδὴ γέγονε καθ' ὑμῶν· ἐγὼ δὲ ἠτησάμην περὶ σοῦ, τοῦτο κατὰ τὸ ἀνθρώπινον ἔφη. ὡς γὰρ θεὸς τί ἐδεῖτο τοῦ αἰτήσασθαι; ἐδεήθην οὖν φησιν, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. εἰ γὰρ καὶ πρὸς μικρὸν μέλλεις σαλευθῆναι, ἀλλ' ἔχεις ἐναποκείμενα τὰ σπέρματα τῆς πίστεως. κἂν τὰ φύλλα ἔρριψε τὸ πνεῦμα τοῦ ἐπηρεάζοντος, ἀλλ' ἡ ῥίζα ζῇ, καὶ οὐκ ἐκλείψει ἡ πίστις σου. σὺ δὲ ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. τὸ μὲν πρόχειρον νοῆσαι, τοῦτ' ἐστὶν, ὅτι ἐπειδὴ σὲ τῶν μαθητῶν ἔξαρχον ἔχω, μεθὸ ἀρνησάμενός με, κλαύσεις, καὶ εἰς μετάνοιαν ἔλθῃς, στήριξον τοὺς λοιπούς. τοῦτο γὰρ προσήκει σοι ὡς μετ' ἐμὲ ὄντι τῆς ἐκκλησίας πέτρᾳ καὶ στηρίγματι. νοήσειε δ' ἄν τις τοῦτο οὐ μόνον περὶ τῶν τότε ἀποστόλων εἰρῆσθαι, ὡς ἂν ὑποστηριχθῶσιν ὑπὸ τοῦ Πέτρου, ἀλλὰ καὶ περὶ πάντων τῶν ἄχρι τῆς συντελείας τοῦ αἰῶνος πιστῶν. σὺ γὰρ ὦ Πέτρε ἐπιστρέψας, καλὸν ὑπόδειγμα γενήσῃ πᾶσιν εἰς μετάνοιαν, καὶ οὐδεὶς τῶν πιστευόντων εἰς ἐμὲ ἀπογνώσεται ἀποβλέπων πρὸς σὲ τὸν ἀπόστολον μὲν ὄντα, ἀρνησάμενον δὲ, καὶ πάλιν τὰ πρωτεῖα πάντων, καὶ τὴν τῆς οἰκουμένης ἐπιστασίαν λαβόντα διὰ τῆς μετανοίας. ἠτήσατο οὖν ὁ σατανᾶς σινιάσαι σε, καὶ βλάψαι ὥσπερ σῖτον καθαρὸν, παρεμβάλλων τὰ ῥυπαίνοντα, οἷα δὴ φθονῶν σοι τῆς πρὸς ἐμὲ ἀγάπης, ὥσπερ ἔθος αὐτῷ. οὕτω γὰρ καὶ τῷ Ἰὼβ ἐπεδείξατο, ἀλλ' ἐγὼ οὐ πάντη σε ἐγκατέλιπον, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου εἰς τὸ παντελές. εἰ καὶ ἐδεήθην δὲ ἐγὼ αὐτὸς περὶ σοῦ, ὅμως σὺ μὴ ἀναπέσῃς, ἀλλ' ἐπιστρέψας, τουτέστι μετανοήσας καὶ δακρύσας, καὶ ἀπὸ τῆς ἀρνήσεως φυγὼν, γενοῦ καὶ τοῖς ἄλλοις πιστοῖς τύπος τοῦ μετανοεῖν, καὶ μὴ ἀπογινώσκειν. τί οὖν ὁ Πέτρος; ἐκ πολλῆς ἀγάπης θρασύνεται, καὶ ὑπισχνεῖται τὰ τέως αὐτῷ ἀδύνατα. ὁ δὲ κύριος, ἐπεὶ εἶδεν αὐτὸν ἀπὸ προπετείας φθεγγόμενον, ἔδει γὰρ ἅπαξ ἀκούσαντα τῆς αὐτοαληθείας εἰπούσης αὐτῷ ὅτι παραδοθήσεται, μηκέτι ἀντιτείνειν, ἀναφαίνει αὐτῷ καὶ τὸ εἶδος τοῦ πειρασμοῦ, ὅτι ἄρνησις ἔσται. ἐντεῦθεν δὲ μανθάνομεν δόγμα, ὅτι οὐκ ἀρκεῖ πρόθεσις ἀνθρώπου χωρὶς τῆς τοῦ θεοῦ ἐπικουρίας, ὥσπερ οὖν καὶ ὁ Πέτρος ἐγκαταλειφθεὶς πρὸς

μικρὸν εἰ καὶ ἐδόκει ἀγαπᾶν καὶ θερμότητα ἔχειν, ἀλλ᾽ ὅμως τοῦ θεοῦ ἀφέντος, ὑπεσκελίσθη τῷ ἐχθρῷ. καὶ αὖ οὐκ ἀρκεῖ ἡ τοῦ θεοῦ ἐπικουρία, μὴ καὶ προθέσεως ἀνθρωπίνης οὔσης, ὥσπερ οὖν καὶ Ἰούδας οὐδὲν ὠφελήθη, καίτοι πάντα ποιοῦντος τοῦ κυρίου εἰς τὸ κερδῆσαι αὐτόν, προαίρεσις γὰρ ἀπῆν ἀγαθή. φρίξωμεν οὖν ἐννοοῦντες τοῦ διαβόλου τὰς ἐπιβουλάς, ὡς ἰσχύουσι κατὰ τῶν χαυνοτέρων. ἰδοὺ γὰρ ἐνταῦθα ὁ Πέτρος, καίτοι ὑπὸ θεοῦ συγκρατούμενος, ὅμως διότι μικρὸν οἰκονομικῶς ἐγκατελείφθη, εἰς ἄρνησιν ἀπηνέχθη. εἰ τοίνυν μὴ ἐτηρεῖτο ὑπὸ θεοῦ, καὶ σπέρματα ἐν αὐτῷ ἀποκείμενα ἦν ἀγαθά, τί οὐκ ἂν ἔπαθεν; ὁ γὰρ σκοπὸς τῷ διαβόλῳ ἦν καὶ τοῦτον εἰς προδοσίαν ῥῖψαι, τὰ γὰρ βρώματα τῷ διαβόλῳ, φησίν, ὁ προφήτης, ἐκλεκτά. χά-
Ἀββακ. α'. ρις δὲ θεῷ τῷ οὐκ ἐγκαταλείποντι τοὺς ὁσίους, καὶ δικαίους, καὶ ἀγαθοὺς τῇ καρδίᾳ, οἷος ἦν ὁ Πέτρος φιλόστοργος, καὶ περὶ τὸν διδάσκαλον πάσης πονηρᾶς ὑπονοίας ἀλλότριος.

Καὶ εἶπεν αὐτοῖς, ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου, καὶ πήρας, καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; οἱ δὲ εἶπον, οὐθενός. εἶπεν οὖν αὐτοῖς, ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν. λέγω γὰρ ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελε-
Ἠσαΐ. νγ'. σθῆναι ἐν ἐμοί, τὸ καὶ μετὰ ἀνόμων ἐλογίσθη. καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει. οἱ δὲ εἶπον, κύριε ἰδοὺ ὧδε μάχαιραι δύο. ὁ δὲ εἶπεν αὐτοῖς, ἱκανόν ἐστιν.

Ἐν ἀρχῇ μὲν τοῦ κηρύγματος στέλλων τοὺς μαθητὰς ὁ κύριος ἐπὶ τὰς κώμας καὶ πόλεις, ἀπερίττους ἀπέστελλε, μηδὲν ἐπαγομένους χρειῶδες, μηδενὸς φροντίζοντας. ἔδει γὰρ αὐτοὺς μαθεῖν τὴν αὐτοῦ δύναμιν καὶ ἐν τοῖς τοιούτοις. αὐτὸς γὰρ κηδόμενος αὐτῶν ὡς ἀσθενῶν, ἀφθόνως ἐποίει αὐτοῖς τὰ χρειώδη ἐπιῤῥεῖν καὶ ἀφροντίστως. νῦν δὲ τὰ ἐναντία διακελεύεται οὐκ ἐναντιούμενος ἑαυτῷ, ἀλλὰ δεικνὺς αὐτοῖς ὅτι μέχρι μὲν νῦν ὡς παιδία ἐβάσταζε, καὶ οὐδενὸς αὐτοὺς ἐποίει φροντίζειν, ἀπὸ τοῦ νῦν δὲ χρὴ καὶ αὐτοὺς τὰ τῶν ἀνδρῶν φρονεῖν καὶ προνοεῖσθαι ἑαυτῶν. ἐγὼ γάρ φησιν, ὁ πατὴρ ὑμῶν ὁ κηδόμενος ἤδη ἀπέρχομαι, ἀπὸ τοῦ νῦν ἐκδύσασθε πρὸς τὸ καὶ αὐτοὶ φροντίζειν τῶν οἰκείων, καὶ μὴ πάντα θαῤῥεῖν ἐμοί, οὐδὲ γὰρ τοιαῦτα ὑμῖν ἔσονται τὰ πράγματα, ῥᾴω τε καὶ ἄπονα, ἀλλὰ καὶ πείνῃ, καὶ δίψῃ, καὶ ἀντικειμένοις πολλοῖς περιπεσεῖσθε. ταῦτα γὰρ αἰνίττεται διὰ τοῦ βαλαντίου, καὶ τῆς πήρας, καὶ τῆς μαχαίρας. διὸ ἀνάσκητε, ὡς καὶ πεινήσοντες καὶ δεησόμενοι βρωμάτων, ὃ διὰ τῆς πήρας αἰνίττεται, καὶ ἀνδρίζεσθε, ὡς ἀντικειμένοις πολλοῖς περιπεσούμενοι, ὃ διὰ τῆς μαχαίρας ἐμφαίνει. ταῦτα δὲ λέγει, οὐχ ἵνα πάντως μαχαίρας ἐπισύρωνται, ἀλλ᾽ ὡς ἔφην, τοὺς πολέμους αἰνιττόμενος καὶ τοὺς κινδύνους, καὶ τὸ πρὸς πάντα παρεσκευασμένους εἶναι εἰσηγούμενος. ἵνα γὰρ μὴ νομίσωσιν οἱ μετέπειτα, ὅτι οὐδὲν παρ᾽ ἑαυτῶν οἱ ἀπόστολοι εἰς τὴν ἀρετὴν συνεισήνεγκαν, ἀλλὰ τὸ πᾶν τοῦ θεοῦ ἦν, οὐ τοῦτο, φησίν, ἔσται οὕτως· οὐδὲ γὰρ ὡς ἀψύχοις ὀργάνοις βούλομαι τοῖς ἐμοῖς μαθηταῖς χρᾶσθαι, ἀλλὰ καὶ τὰ παρ᾽ ἑαυτῶν ἐπιζητῶ προσφέρειν αὐτούς· ἀμέλει καὶ εὑρήσεις τοὺς ἀποστόλους, καὶ μάλιστα Παῦλον πολλὰ καὶ ἐξ ἐπινοιῶν ἀνθρωπίνων κατορθοῦντα, καὶ ἀνάγνωθι τὰς πράξεις, πλὴν ἐν ταύταις οὐκ ἀπῆν ἡ τοῦ θεοῦ βοήθεια· ἅμα δὲ καὶ ὠφελοῦντο οἱ ἀπόστολοι εἰς τὸ ἄτυφον ἐκ τούτου· εἰ γὰρ καὶ αὐτοὶ μηδενὸς φροντίζοντες, πάντα παρὰ τοῦ θεοῦ ἀνέμενον, καὶ ἐγίνοντο αὐτοῖς, ἐτυφώθησαν ἂν ὡς μείζονα ἢ κατὰ ἀνθρωπίνην φύσιν, λαχόντες, καὶ ἄλλως δέ, ἀργίας φύσεως καὶ διαφθορά, τὸ μηδὲν ἀφ᾽ ἑαυτῶν ἐπινοεῖσθαι, ἀλλὰ πάντα τοῦτο δὴ τὸ τοῦ λόγου, ἀληλεσμένα προσδοκᾶν.

διὰ τοῦτο φησὶν αὐτοῖς, ὅτι ἀπὸ τοῦ νῦν καὶ πήραν βαστάζετε, τουτέστιν, οὕτως διάκει-
σθε, καὶ φροντίζετε, ὡς πεινήσοντες. καὶ μαχαίρας ἀγοράσατε, ὅπερ ἐστὶν, οὕτως προ-
νοεῖσθε ἑαυτῶν ὡς κινδύνοις καὶ πολέμοις προσκρούσοντες· καὶ ἄλλως δὲ ἐξελάβον-
τό τινες τὸ ἀγοράσαι μάχαιραν· αἰνίττεται γάρ, φασι, τὴν ἔφοδον τὴν κατ' αὐτοῦ, ὅ-
σον οὔπω, γενησομένην, καὶ ὅτι μέλλουσιν αὐτὸν συλλαμβάνειν φονεῖς ἄνθρωποι. ἐπεὶ
γὰρ ἐκεῖνοι περὶ πρωτείων ἔφθησαν πρὸς ἀλλήλους φιλονεικήσαντες, οὐκ ἔστι καιρὸς,
φησὶ, φιλοπρωτείας, ἀλλὰ κινδύνων καὶ σφαγῶν· καὶ γὰρ ἐγὼ ὁ διδάσκαλος ὑμῶν
εἰς θάνατον ἀπάγομαι, καὶ οὐδὲ ἔντιμον θάνατον, ἀλλὰ καὶ τοῦτο πληρωθήσεται
ἐπ' ἐμοὶ, τὸ, καὶ μετὰ ἀνόμων ἐλογίσθη· τὴν ἔφοδον οὖν τὴν λῃστρικὴν αἰνίττεσθαι βου-
λόμενος, ἐμνήσθη μαχαίρας, καὶ οὔτε τέλεον ἀπεκάλυψεν, ἵνα μὴ δειλίᾳ τινὶ παρα-
χθῶσιν, οὔτε τέλεον ἀπεσιώπησεν, ἵνα μὴ τῇ ἀθρόᾳ ἐφόδῳ συγχυθῶσι· μᾶλλον δὲ ἵνα
μετὰ ταῦτα ἀναμιμνησκόμενοι, θαυμάζωσιν αὐτὸν ὡς προγινώσκοντα, καὶ ἐκπλήττον-
ται, πῶς ἑαυτὸν ἐξεδίδου πρὸς τὸ πάθος ὑπὲρ σωτηρίας τῶν ἀνθρώπων· καὶ διὰ τοῦτο
καὶ αὐτοὶ μηδὲν τῶν ἀλγεινῶν ὑποφύγωσιν ὑπὲρ τοῦ σῶσαι τινάς· ταῦτα γὰρ οἶμαι
τὰ αἰνιγματώδη διὰ τοῦτο ἔλεγεν. ἵνα μετὰ ταῦτα ἀναμιμνησκόμενοι καὶ συνιέντες
ὠφελῶνται ἐπεί τοι γε τότε οὕτως ἀνοήτως διέκειντο, ὥστε εἰπεῖν κύριε, ἰδοὺ ὧδε
μάχαιραι δύο. ὁ δὲ ἐπεὶ εἶδεν αὐτοὺς μὴ συνηκότας, φησὶν, ἱκανόν ἐστι· καίτοι γε οὐκ ἦν
ἱκανόν· εἰ μὲν γὰρ ἀνθρωπίνῃ βοηθείᾳ ἔδει κεχρῆσθαι κατὰ τῶν λῃστρικῶς ἐπιόντων,
οὐδὲ ἑκατὸν μάχαιραι ἱκαναὶ ἦσαν· εἰ δὲ μὴ τοῦτο, ἀλλὰ θειοτέρας ἔδει συνεργείας,
περιτταὶ καὶ αἱ δύο· ἀλλ' ὅμως ὁ κύριος οὐκ ἠθέλησεν ἐλέγξαι αὐτοὺς, ὡς μὴ νοήσαν-
τας, ἀλλ' εἰπὼν ἱκανόν ἐστι, παρέδραμεν· ὥσπερ οὖν καὶ ἡμεῖς, ἐπειδὰν πρός τινα ὁμι-
λοῦντες, ἴδωμεν αὐτὸν μὴ συνιέντα ὃ εἴπομεν, λέγομεν, καλὸν, ἄφες, καίτοι γε οὐκ ἔστι
καλὸν, ἀλλ' οὖν ἵνα μὴ ἐνοχλῶμεν, ἀφίεμεν· ποιεῖ δὲ τοῦτο ὁ κύριος, ἐπειδὰν ἴδῃ τοὺς
μαθητὰς μὴ νοήσαντας τὸ λεχθέν· παρατρέχει γὰρ, καὶ ἀφίησι, τῇ τῶν πραγμά-
των ἐκβάσει τὴν κατανόησιν τῶν ῥηθέντων ἐπιτρέπων· ὥσπερ καὶ ὅταν εἶπε, λύσα-
τε τὸν ναὸν τοῦτον, ὕστερον γὰρ ἔγνωσαν τοῦτο οἱ μαθηταὶ αὐτοῦ μετὰ τὴν ἀνάστασιν· τι- Ἰωάν. β'.
νὲς δὲ κατ' εἰρωνείαν ἔφασαν εἰπεῖν τὸν κύριον, τὸ, ἱκανόν ἐστιν· εἰπόντων γὰρ τῶν μα-
θητῶν, ἰδοὺ ὧδε μάχαιραι δύο, ὁ κύριος εἰρωνικῶς, φασὶν, εἴρηκεν, ἐπεὶ δύο εἰσὶ, πολ-
λαί εἰσι πάντως, καὶ ἀρκοῦσιν ἡμῖν πρὸς πλῆθος τοσοῦτον ἐπελευσόμενον ἡμῖν·

» Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν ἐλαιῶν· ἠκολούθησαν δὲ αὐ-
» τῷ καὶ οἱ μαθηταὶ αὐτοῦ, γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς, προσεύχεσθε μὴ
» εἰσελθεῖν εἰς πειρασμὸν, καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν· καὶ
» θεὶς τὰ γόνατα, προσηύχετο λέγων πάτερ εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο
» ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω· ὤφθη δὲ αὐτῷ ἄγγελος
» ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν· καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο. ἐγένε-
» το δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες εἰς τὴν γῆν· καὶ ἀναστὰς
» ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς αὐτοῦ, εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ
» τῆς λύπης· καὶ εἶπεν αὐτοῖς, τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθη-
» τε εἰς πειρασμόν· Μετὰ τὸ δεῖπνον οὐ ῥαθυμία, καὶ παίγνια, καὶ ὕπνος τὸν κύ-
ριον διαδέχονται, ἀλλὰ διδασκαλία, καὶ προσευχὴ, δι' ἡμᾶς ταῦτα τυποῦντα, καὶ
ὑποδεικνύντα· οὐαὶ λοιπὸν τοῖς τῆς ἀτίμου πορνείας ἔργοις μετὰ τὰ δεῖπνα ἐπιχει-
ροῦσιν. ὑπαναχωρεῖ γοῦν εἰς τὸ ὄρος τῶν ἐλαιῶν μετὰ τὸ τοιαῦτα διδάξαι τοὺς μαθη-
τὰς, ὡς ἂν προσεύξηται· εἰώθει γὰρ κατὰ μόνας τοῦτο ποιεῖν, διὸ καὶ ἀπὸ τῶν μαθη-
τῶν ἀποσπᾶται· οὐ πάντας δὲ τοὺς μαθητὰς, ἀλλὰ μόνους τοὺς τρεῖς παραλαμβάνει,

τοῦ καὶ τῆς δόξης αὐτοῦ ἐν τῷ ὄρει θεωροῖς· ἐπειδὴ γὰρ ἀγωνιᾷ, καὶ προσεύχεται, ἵνα μὴ δόξωσι δειλίας ταῦτα εἶναι, διὰ τοῦτο τούτοις τῆς θεϊκῆς αὐτοῦ δόξης, καὶ τῆς ἄνωθεν μαρτυρίας αὐτόπτας καὶ ἀκουστὰς παραλαμβάνει· ἵνα ὅταν ὁρῶσιν ἀγωνιῶντα, τῆς ἀνθρωπίνης φύσεως τοῦτο εἶναι λογίσωνται· διὰ γὰρ τὸ πιστώσασθαι, ὅτι ἀληθῶς ἄνθρωπος γέγονε, ἐνδέδωκε τῇ φύσει τὸ ἑαυτῆς ποιεῖν· καὶ ἐπιθυμεῖ ζωῆς καὶ αὐτὸς ὡς ἄνθρωπος, καὶ εὔχεται παρελθεῖν τὸ ποτήριον, φιλόζωον γὰρ ὁ ἄνθρωπος, τὰς αἱρέσεις διὰ τούτων ἀνατρέπων τὰς λεγούσας, ὅτι κατὰ φαντασίαν ἐνηνθρώπησεν· εἰ γὰρ καὶ τούτων γενομένων, ἔχον πάροδον τοιαῦτα φλυαρεῖν, τί οὐκ ἂν εἶπον, εἰ μηδὲ ταῦτα ἐγένετο; τὸ μὲν οὖν θέλειν παρενεχθῆναι τὸ ποτήριον, ἀνθρώπινον, τὸ δὲ ταχέως εἰπεῖν, πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν, δείκνυσιν ὅτι καὶ ἡμᾶς οὕτω δεῖ διακεῖσθαι καὶ φιλοσοφεῖν, καὶ τῷ θείῳ θελήματι παραχωρεῖν, καὶ τῆς φύσεως ἀνθελκούσης, μὴ ἐπιστρέφεσθαι. μὴ τὸ θέλημά μου τὸ ἀνθρώπινον γενέσθω, ἀλλὰ τὸ σόν, ὅπερ σὸν οὐκ ἔστι τοῦ ἐμοῦ θείου θελήματος κεχωρισμένον· δύο γὰρ φύσεις ἔχων ὁ εἷς χριστός, εἶχε πάντως καὶ φυσικὰ θελήματα, τό, τε θεῖον, καὶ τὸ ἀνθρώπινον, ἤτοι θελήσεις· ἤθελε μὲν οὖν ἡ ἀνθρωπίνη φύσις τὸ ζῆν, φυσικὸν γάρ, εἶτα ἑπομένη τῷ θείῳ θελήματι, τὸ δέ ἐστι, τὸ πάντας ἀνθρώποις σωθῆναι κοινὸν ὂν πατρός, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, τὸν θάνατον κατεδέξατο. καὶ οὕτως ἐγένετο τὸ θελητόν, τουτέστιν ὁ σωτηριώδης θάνατος· ὅτι γὰρ ἀπὸ τῆς ἀνθρωπίνης φύσεως ἦν τὸ προσεύχεσθαι, κατὰ παραχώρησιν παρούσης τὸ κοινὸν πάθος τῆς φιλοζωΐας, ἀλλ' οὐκ ἀπὸ τῆς θεότητος, ὥς φασιν οἱ κατάρατοι ἀρειανοί, δῆλον ἐκ τοῦ καὶ ἱδρῶσαι, καὶ οὕτως ἐναγώνιον γενέσθαι, ὥστε, τοῦτο δὴ τὸ τῆς παροιμίας, καὶ θρόμβοις αἵματος δόξαι αὐτοῦ πεσεῖν· παροιμία γάρ ἐστιν ἐπὶ τῶν σφόδρα κοπιώντων, ὅτι αἷμα ἵδρωσεν, ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων, αἵματα κλαίει· τοῦτο τοίνυν θέλων δηλῶσαι καὶ ὁ εὐαγγελιστής, ὅτι οὐχὶ λεπταῖς τισὶ νοτίσι, καὶ οἷον ἐνδείξεως χάριν ἐμφαινομέναις, ἀλλὰ σταγόσιν ἁδραῖς ἱδρώτων περιεστάζετο, τοὺς τῶν αἱμάτων θρόμβοις εἰς εἰκόνα τοῦ γενομένου παρείληφεν· ἐντεῦθεν οὖν δῆλον ὡς ἡ ἱδροῦσα φύσις ἐκείνη καὶ ἀγωνία, ἡ ἀνθρωπίνη ἦν οὐχ ἡ θεία· ἐπεὶ καὶ ἡ ἀνθρωπίνη φύσις συνεχωρήθη ταῦτα, πάσχειν, καὶ οὕτως ἔπασχεν, ἵν' ἅμα μὲν δείξῃ, ὅτι οὐ κατὰ φαντασίαν ἐφάνη ἄνθρωπος, ἅμα δὲ μυστικώτερον καὶ τὴν κοινὴν τῆς ἀνθρωπίνης φύσεως δειλίαν ἐξιάσηται, ἐν ἑαυτῷ δαπανήσας ταύτην, καὶ κατήκοον ποιήσας τῷ θείῳ θελήματι· καὶ τοὺς ἐκ τοῦ σώματος ἐξερχομένους ἱδρῶτας, καὶ ἀποπίπτοντας τοῦτο αἰνίττεσθαι φαίη αὖθις, τὸ ἀναξηραίνεσθαι, καὶ ἐξικμάζεσθαι, καὶ ἀποπίπτειν ἀφ' ἡμῶν τὰς τῆς δειλίας πηγάς, ἀνδριουμένης τῆς φύσεως ἡμῶν ἐν χριστῷ καὶ τονουμένης· εἰ μὴ γὰρ τοῦτο ἦν αἰνιττόμενος, φημὶ δὴ τὸ τὴν ἡμετέραν τῶν ἀνθρώπων δειλίαν ἐξιᾶσθαι θέλειν, οὐκ ἂν οὐδὲ εἰ σφόδρα δειλὸς ἦν καὶ ἀγεννής, οὕτως ἵδρου· ὤφθη δὲ αὐτῷ ἄγγελος ἐνισχύων αὐτόν, καὶ τοῦτο εἰς ἡμῶν παράκλησιν, ὡς ἂν τὴν τῆς εὐχῆς δύναμιν μάθωμεν, ὅτι ἐνισχύει, καὶ μαθόντες, ταύτην ἐν τοῖς δεινοῖς προβαλλώμεθα· ἅμα δὲ καὶ προ-
Δευτε. λβ'. φητεία μωσέως πληροῦται ἐν τῇ μεγάλῃ ᾠδῇ εἰρημένη, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ· τινὲς δὲ οὕτως περιειργάσαντο τὸ ῥητόν, ὅτι ὤφθη αὐτῷ ἄγγελος δοξάζων αὐτόν, καὶ λέγων, σή ἐστι κύριε ἡ ἰσχύς, σὺ γὰρ ἴσχυσας κατὰ τοῦ θανάτου καὶ τοῦ ᾅδου, ἐλευθερῶσαι τὸ γένος τῶν ἀνθρώπων· ταῦτα μὲν οὕτως· αὐτὸς δὲ τοὺς μαθητὰς εὑρὼν κοιμωμένους, ὀνειδίζει τε ἅμα, καὶ παραινεῖ ἐν πειρασμοῖς προσεύχεσθαι, ὥστε μὴ νικηθῆναι ὑπὸ τούτων, τοῦτο γὰρ τὸ μὴ εἰσελθεῖν εἰς πειρασμόν, τουτέστι, τὸ μὴ καταποθῆναι ὑπὸ τοῦ πειρασμοῦ, μηδὲ ἔσω τῆς αὐτοῦ ἐπικρατείας γενέσθαι· ἢ καὶ

ἁπλῶς

ἁπλῶς κελεύει ἡμᾶς εὔχεσθαι, ἵνα ἐν γαλήνῃ ὦσι τὰ ἡμέτερα, καὶ μὴ περιπέσω-
μεν τινὶ τῶν δυσχερῶν· δαιμονιῶδες γὰρ τὸ ἐπιῤῥίπτειν ἑαυτοὺς εἰς πειρασμούς, καὶ ἀ-
λαζονικόν· πῶς οὖν φησὶν ὁ Ἰάκωβος, ὅτι πᾶσαν χαρὰν ἡγήσασθε, ὅταν πειρασμοῖς πε-
ριπέσητε ποικίλοις; καὶ τί τοῦτο; μὴ γὰρ ἡμεῖς ἐναντία λέγομεν; ἰδοὺ γοῦν καὶ Ἰάκω- α.
βος οὐκ εἶπεν, ὅτι ἐπιῤῥίπτετε ἑαυτούς, ἀλλ᾽ ὅταν περιπέσητε, μὴ καταπέσητε, ἀλλὰ
πᾶσαν χαρὰν ἡγήσασθε, καὶ τὸ τέως ἀβούλητον ποιήσασθε βουλητόν· κρεῖττον γὰρ εἰ μὴ
ἦλθον, ἐπεὶ δὲ ἦλθον, τί δεῖ ἀνόητα λυπεῖσθαι; δεῖξον οὖν μοι ῥητῶς προστασσόμενον,
τὸ εὔχεσθε εἰς πειρασμοὺς ἐμπεσεῖν, ἀλλ᾽ οὐκ ἂν ἔχοις· οἶδα δὲ ὅτι διττὸν τὸ εἶδος τῶν
πειρασμῶν, καὶ ὅτι τινὲς νοοῦσι μὴ εἰσέρχεσθαι μὲν εἰς πειρασμὸν δεῖν εὔχεσθαι, τοῦ-
τέστιν εἰς τὸν τὴν ψυχὴν ἡττῶντα, ἤγουν εἰς πορνείας πειρασμόν, εἰς θυμοῦ πειρασμόν,
πᾶσαν δὲ χαρὰν ἡγεῖσθαι, ὅταν σωματικαῖς κακώσεσι καὶ πειρασμοῖς περιπίπτω-
μεν· ὅσῳ γὰρ ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦται· οἴδαμεν οὖν ταῦ- β. πρὸς κορ
τα, ἀλλὰ τὰ ἀληθέστερα προκρίνω, καὶ τὰ τῷ παρόντι σκοπῷ προσφυέστερα. ειν. δ.

» Ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα προήρ-
» χετο αὐτῶν, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν· ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἰούδα φιλή-
» ματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον, εἶπον
» αὐτῷ, κύριε εἰ πατάξομεν ἐν μαχαίρᾳ; καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον
» τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν· ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, ἐᾶτε ἕως
» τούτου· καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν· εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγε-
» νομένους ἐπ᾽ αὐτὸν ἀρχιερεῖς, καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους, ὡς ἐπὶ λῃστὴν ἐξε-
» ληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων; καθ᾽ ἡμέραν ὄντος μου μεθ᾽ ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ
» ἐξετείνατε τὰς χεῖρας ἐπ᾽ ἐμέ, ἀλλ᾽ αὕτη ὑμῶν ἐστὶν ἡ ὥρα καὶ ἐξουσία τοῦ σκότους.

Φίλημα Ἰούδας δέδωκε σύνθημα τοῖς ἐπιοῦσιν, ἀλλ᾽ οὐ μακρόθεν ὑπέδειξεν, ἵνα μὴ διαψευσθῶσι νυκτὸς οὔσης. ἐπεὶ καὶ τοῦ μὴ λαθεῖν τὸν Ἰησοῦν ἕνεκεν, μετὰ φανῶν καὶ λαμπάδων ἥκουσι. τί οὖν ὁ κύριος; προσίεται τοῦτο τὸ ἐχθρὸν φίλημα. οἱ κεραυνοὶ δὲ ἤμελλον ἐπὶ τὸν ἀχάριστον καὶ δόλιον, διδάσκοντος ἡμᾶς τὴν ἀνεξικακίαν ἐν τοῖς τοιούτοις τοῦ σωτῆρος. ὀνειδίζει δὲ μόνον, Ἰούδα φιλήματι προδίδως; οὐδὲ αὐτὸ τὸ εἶδος τῆς προδοσίας αἰσχύνῃ; φίλου ἀσπασμῷ ἐχθροῦ ἔργον τὴν προδοσίαν μιγνύεις; ἀλλὰ καὶ τίνα προδίδως; τὸν υἱὸν τοῦ ἀνθρώπου, τουτέστι τὸν ἥμερον; τὸν πρᾷον; τὸν συγκαταβατικόν; τὸν διὰ σὲ ἐνανθρωπήσαντα; καὶ ταῦτα θεὸν ὄντα; ταῦτα δὲ ἔλεγεν, ἄχρι τῆς ἐσχάτης ὥρας περικαιόμενος αὐτοῦ. διὸ καὶ οὐδὲ ὕβρισεν, οὐδὲ εἶπεν ἀπάνθρωπε καὶ ἀγνωμονέστατε, ἀλλ᾽ Ἰούδα, τῷ κυρίῳ αὐτοῦ ὀνόματι ἀνακαλούμενος αὐτόν. καὶ οὐ δι᾽ ἄλλο προσωνείδισεν, εἰ μὴ καὶ τοῦτο εἰς βελτίωσιν αὐτοῦ ἦν, εἴπερ ἐβούλετο· ἵνα γὰρ μὴ δόξῃ λαθεῖν, ἀλλ᾽ ἐπιγνοὺς κἂν τότε τὸν δεσπότην, ὡς πάντα εἰδότα, προσπέσῃ, καὶ μεταγνῷ, τούτου ἕνεκεν καὶ τοῦτο ἐποίησε, καὶ ὀνειδίζειν ἔδοξεν. ᾔδει μὲν γὰρ αὐτόν, ὅτι ἀδιόρθωτός ἐστιν, ἀλλ᾽ οὖν τὸ ἑαυτοῦ ἐποίει· ὥσπερ οὖν καὶ ὁ πατὴρ αὐτοῦ ἐν τῇ παλαιᾷ ποιεῖ, εἰδὼς μὴ ἀκούσοντας τοὺς Ἑβραίους, ὅμως ἀποστέλλει τοὺς προφήτας, ἅμα δὲ καὶ ἡμᾶς τοῦτο αὐτὸ διδάσκων, ἵνα μὴ ἐκκακῶμεν τοὺς πταίοντας διορθούμενοι. ζηλοῦσι δὲ οἱ μαθηταί, καὶ μαχαίρας ἀνασύρονται. πόθεν δὲ ταύτας εἶχον; τὸ ἀρνίον θύσαντες, καὶ ἀπὸ τραπέζης ἐξεληλυθότες, εἰκότως εἶχον ταύτας. ἐπιτιμᾶται δὲ ὁ θερμὸς Πέτρος, ὡς παρὰ τοῦ σκοποῦ τοῦ κυρίου ζήλῳ χρησάμενος. οἱ μὲν γὰρ ἄλλοι ἐρωτῶσιν εἰ πατάξομεν, αὐτὸς δὲ οὐ περιμένει προτροπήν, οὕτω πανταχοῦ ζέων ἦν ὑπὲρ τοῦ διδασκάλου. πατάσσει δὲ τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφαιρεῖ αὐτοῦ τὸ οὖς τὸ δεξιόν. οὐ τυχαίως τοῦτο, ἀλλὰ σύμβολον ὂν τοῦ τοὺς τότε ἀρχιε-

ρεῖς ἅπαντας δούλους γενέσθαι, καὶ ἀφελέσθαι τὴν δεξιὰν ἀκοήν· εἰ γὰρ ἤκουον μω-
σέως, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. Ἰησοῦς δὲ τὸ ὠτίον ἀποκαθίστησι, πρέ-
πει γὰρ τῇ μεγάλῃ τοῦ λόγου δυνάμει τὸ τοὺς παρακούοντας ἰᾶσθαι, καὶ προστιθέ-
ναι αὐτοῖς ὠτίον εἰς τὸ ἀκούειν. θαυματουργεῖ τοίνυν ὁ Ἰησοῦς, διὰ τοῦ φαινομένου τού
του ἐπὶ τῷ ὠτίῳ θαύματος, τὴν ἀνεξικακίαν αὐτοῦ δεικνύων, καὶ διὰ γοῦν τοῦ θαύμα
τος ἐνάγων αὐτοὺς εἰς τὸ ἀπέχεσθαι τῆς μανίας· λέγει δὲ πρὸς τοὺς ἀρχιερεῖς καὶ στρα
τηγοὺς τοῦ ἱεροῦ, τουτέστι τοὺς ταξεώτας, τοὺς ἐπὶ τὸ ἐκπράσσειν τεταγμένους τὰς ἱερατι-
κὰς ἀπαιτήσεις, ἢ καὶ τοὺς πεπιστευμένους τὰ τῆς ἐποικοδομῆς τοῦ ἱεροῦ καὶ ἐπισκευῆς
ἔργα στρατηγοὺς ὀνομάζει. φησὶν οὖν πρὸς τούτους, καθημέραν ἐν τῷ ἱερῷ ἐδίδασκον,
καὶ οὐκ ἠθελήσατέ με συλλαβεῖν, καὶ νῦν λῃστρικῶς ἐπήλθετε. ἀλλ᾽ οὕτως νυκτὸς ἔρ
γοις ἐπιχειρεῖτε, καὶ ἡ ἐξουσία ὑμῶν τοῦ σκότους ἐστί. καὶ διὰ τοῦτο τοιαύτην ὥραν ἐπε
τηρήσατε οἰκείαν ὑμῖν, καὶ τῷ ἔργῳ ᾧ ἐπεβάλλεσθε·

» Συλλαβόντες δὲ αὐτὸν ἤγαγον, καὶ εἰσήγαγον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως. ὁ δὲ
» Πέτρος ἠκολούθει μακρόθεν. ἁψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ συγκαθι-
» σάντων αὐτῶν, ἐκάθητο ὁ πέτρος ἐν μέσῳ αὐτῶν. ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τίς κα-
» θήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ εἶπε, καὶ οὗτος σὺν αὐτῷ ἦν. ὁ δὲ ἠρνήσα-
» το αὐτὸν λέγων. γύναι οὐκ οἶδα αὐτόν. καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη, καὶ
» σὺ ἐξ αὐτῶν εἶ. ὁ δὲ πέτρος εἶπεν, ἄνθρωπε οὐκ εἰμί. καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς,
» ἄλλος τις διϊσχυρίζετο λέγων, ἐπ᾽ ἀληθείας καὶ οὗτος μετ᾽ αὐτοῦ ἦν, καὶ γὰρ Γαλιλαῖος
» ἐστίν. εἶπε δὲ ὁ Πέτρος, ἄνθρωπε οὐκ οἶδα ὃ λέγεις· καὶ παραχρῆμα ἔτι λαλοῦν-
» τος αὐτοῦ, ἐφώνησεν ὁ ἀλέκτωρ. καὶ στραφεὶς ὁ κύριος ἐνέβλεψε τῷ πέτρῳ, καὶ ὑπε
» μνήσθη ὁ πέτρος τοῦ λόγου τοῦ κυρίου, ὡς εἶπεν αὐτῷ, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, ἀπαρ
» νήσῃ με τρίς, καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς· Ἠσθένησε κατὰ τὴν προῤῥησιν
τοῦ χριστοῦ ὁ πέτρος, καὶ ἠρνήσατο τὸν δεσπότην χριστὸν οὐχ ἅπαξ, ἀλλὰ καὶ τρίς, καὶ
κϛ'. ἐνώμοτον ἐποιεῖτο τὴν ἄρνησιν. φησὶ γὰρ ὁ Ματθαῖος, ὅτι ἤρξατο καταθεματίζειν,
καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. τοσοῦτον δὲ ἄρα ὑπὸ τῆς δειλίας κατεχέθη,
ἐγκαταληφθεὶς πρὸς μικρὸν διὰ τὴν θρασύτητα, ὡς ἂν παιδευθείς, τοῖς ἄλλοις συγ
γνώμων εἴη. προπετέστερος γὰρ ἦν, καὶ εἰ μὴ ἐντεῦθεν ἐσωφρονίσθη, αὐθαδῶς ἂν τὰ πολ
λὰ καὶ ἀσυγγνωμόνως διῆγεν. ἀλλὰ τότε γε τοσοῦτον ὑπὸ δειλίας κατεχύθη, ὥστε
οὐδὲ ᾔσθετο τοῦ πτώματος, εἰ μὴ ὁ κύριος στραφείς, ἐνέβλεψεν αὐτῷ. ὢ τῆς ἀγαθότη
τος, ὅτι καὶ ἐν κατακρίσει ὤν, οὐκ ἠμέλει τῆς σωτηρίας τοῦ μαθητοῦ. εἰκότως, καὶ γὰρ
καὶ ἡ κατάκρισις αὕτη διὰ σωτηρίαν ἀνθρώπων αὐτῷ ἐκαρτερεῖτο. ἠρνήσατο μὲν οὖν
ὁ μαθητὴς πρῶτον, εἶτα ἀλέκτωρ ἐφώνησεν, καὶ αὖ ἠρνήσατο ἄχρι καὶ τοῦ τρίτου,
καὶ τότε ἐφώνησεν ἐκ δευτέρου πάλιν ὁ ἀλεκτρυών. οὕτω γὰρ ὁ Μάρκος ἀναγράφει
ιδ'. λεπτότερόν τε καὶ ἀκριβέστερον, ταῦτα ἀναγραψάμενος οἷα παρὰ τοῦ πέτρου μαθών,
τούτου γὰρ καὶ μαθητὴς ἦν. διὸ ὡς τῷ Μάρκῳ ῥηθέντα ὁ Λουκᾶς κατ᾽ ἐπιδρομὴν εἶ-
πεν, οὐκ ἀκροβολογησάμενος· καὶ οὐκ ἔστιν ἐναντίον ὅ φησιν ὁ Λουκᾶς τῷ παρὰ τοῦ Μάρ
κου εἰρημένῳ. καὶ γὰρ ὁ ἀλέκτωρ καθ᾽ ἑκάστην ἀγωγὴν εἴωθε καὶ δὶς καὶ τρὶς φωνεῖν.
ὁ τοίνυν πέτρος τοσοῦτον ἐκαρώθη ὑπὸ τῆς ἀνθρωπίνης ἀσθενείας, ὥστε μηδὲ ὑπὸ
τῆς τοῦ ἀλέκτορος φωνῆς εἰς αἴσθησιν ἐλθεῖν, ἀλλὰ καὶ μετὰ τὸ φωνῆσαι τὸν ἀλέκτορα,
πάλιν ἀρνήσασθαι. καὶ πάλιν ἄχρις οὗ τῷ τοῦ Ἰησοῦ ἀγαθῷ βλέμματι εἰς ὑπόμνη
ιδ'. σιν ἤχθη. καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς· ἐξῆλθε μὲν γὰρ καὶ ὅτε τὸ πρῶτον ἠρ-
νήσατο, ὡς ὁ Μάρκος φησίν. εἶτα εἰκὸς ἦν πάλιν αὐτὸν εἰσελθεῖν, ἵνα μὴ δῷ μᾶλλον
ὑπόνοιαν, ὡς τοῦ Ἰησοῦ ὤν. καὶ πάλιν εἰς αἴσθησιν ἐλθών, οὕτως ἤδη ἐξέρχεται καὶ

κλαίει

κλαίει πικρῶς. ἵνα γὰρ μὴ φανῇ τοῖς ἐν τῇ αὐλῇ, ἔξεισιν ἀποκρυπτόμενος αὐτοῖς. τι-
νὲς δὲ οὐκ οἶδ', ὅπως ἀνόητον ἀπολογίαν ὑπὲρ τοῦ πέτρου συντιθέασι, λέγοντες τολμη-
ρῶς, ὅτι οὐκ ἠρνήσατο ὁ πέτρος, ἀλλ' εἶπεν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον, τουτέστι ψιλὸν
ἄνθρωπον οὐκ οἶδα, ἀλλὰ θεὸν ἄνθρωπον γενόμενον. τοῦτον δὲ τὸν ἀνόητον ἔλεγχον
ἄλλοις παρείσομεν. ψεύστην τε γὰρ ποιοῦσι τὸν κύριον, καὶ τῇ ὑφῇ τοῦ εὐαγγελίου ἐναν-
τιοῦνται. καὶ οὐδὲ δυνήσονται ὅλως συμβιβάσαι τὴν ἀκολουθίαν τῆς διηγήσεως, ἀλλὰ
καὶ ὁ πέτρος διατί ἔκλαυσεν, εἰ μὴ ἠρνήσατο;

» Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον αὐτῷ, δέροντες, καὶ περικαλύ-
» πτοντες αὐτὸν, αὐτοῦ τὸ πρόσωπον. ἔτυπτον καὶ ἐπηρώτων αὐτὸν λέγοντες, προφήτευ-
» σον, τίς ἐστιν ὁ παίσας σε; καὶ ἕτερα πολλὰ βλασφημοῦντες εἰς αὐτὸν, ἔλεγον. καὶ ὡς
» ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ γραμμα-
» τεῖς, καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν λέγοντες, εἰ σὺ εἶ ὁ χριστὸς, εἰπὲ ἡμῖν.
» εἶπε δὲ αὐτοῖς· ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε, καὶ ἐὰν ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ
» μοι, ἢ ἀπολύσητε. ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυ-
» νάμεως τοῦ θεοῦ. εἶπον γοῦν πάντες, σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; ὁ δὲ πρὸς αὐτοὺς ἔφη, ὑ-
» μεῖς λέγετε ὅτι ἐγώ εἰμι. οἱ δὲ εἶπον, τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; αὐτοὶ γὰρ ἠκούσα-
» μεν ἐκ τοῦ στόματος αὐτοῦ. Ὑβρισταί τινες καὶ ἀκόλαστοι ἦσαν οἱ ταῦτα ἐπάγοντες τῷ
Ἰησοῦ. ἅμα γάρ τοι ἔδει καὶ τὸν διάβολον μηδὲ ἓν εἶδος κακίας ἐλλιπεῖν, ἀλλὰ πάν-
τα κινῆσαι. ἵνα διὰ πάντων ἡ φύσις ἡμῶν ἁγία εὑρεθεῖσα, νικήσῃ καὶ καταῤῥάξῃ αὐ-
τόν. ἐπεὶ γὰρ διὰ τοῦτο ἀνέλαβε τὴν φύσιν ἡμῶν ὁ κύριος, ἵνα τρανώσῃ αὐτὴν πρὸς
πάσας τὰς τοῦ διαβόλου μηχανὰς, καὶ δείξῃ ὅτι καὶ ἐξ ἀρχῆς εἰ ἐνῆφεν ὁ Ἀδὰμ, οὐκ
ἂν ἡττήθη. διὰ τοῦτο πασῶν τῶν εἰδῶν τῆς τοῦ διαβόλου κακίας ἐπ' αὐτὸν χεομένων,
ἀνέχεται, ἵν' οἱ μετὰ ταῦτα θαῤῥῶμεν, ὡς τῆς φύσεως ἡμῶν ἐν χριστῷ νικησάσης, καὶ
μὴ πρός τι τῶν τοιούτων ὑβριστικῶν ἢ ἀνιαρῶν ἀποδειλιῶμεν. διὸ καὶ παίζεται,
καὶ παίεται. καὶ ὁ τῶν προφητῶν δεσπότης, ὡς ψευδοπροφήτης χλευάζεται. τὸ γὰρ
προφήτευσον ἡμῖν τίς ἐστιν ὁ παίσας σε; εἰς τοῦτο φέρει, χλευαζόντων αὐτὸν ὡς πλά-
νον, καὶ προφητείαν ἑαυτῷ περιάπτοντα. καὶ ὡς ἐγένετο ἡμέρα. τὰ γὰρ τῶν ἐμπαι-
γμῶν νυκτὸς ἐβλασφημεῖτο παρὰ τῶν μεθυόντων ὑπηρετῶν. τὸ δὲ πρεσβυτέριον καὶ
ἐντιμότερον μέρος ἐρωτῶσιν, εἰ αὐτός ἐστιν ὁ χριστός. ὁ δὲ εἰδὼς τὰς διανοίας αὐτῶν,
καὶ ὅτι εἰ τοῖς ἔργοις οὐκ ἐπίστευσαν τοῖς μᾶλλον πείθειν δυναμένοις, πῶς τοῖς λόγοις
πιστεύσουσιν; ἐὰν ὑμῖν εἴπω, φησὶν, οὐ μὴ πιστεύσητε. εἰ γὰρ ἐπιστεύετε λόγοις ἐμοῖς,
τίς χρεία λοιπὸν τοῦ νῦν συνεδρίου; καὶ ἐὰν ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτε. πολλάκις γὰρ
ἐρωτηθέντες, ἀπεσιώπησαν, ὡς ἐπὶ τοῦ βαπτίσματος Ἰωάννου, καὶ τοῦ, εἶπεν ὁ κύριος Ματ. κα΄.
τῷ κυρίῳ μου, καὶ ἐπὶ τῆς συγκυπτούσης. ποῦ οὖν ἀκούσαντες, ἐπιστεύσατε; πότε δὲ Μαρ. ια΄.
ἐρωτώμενοι, οὐκ ἐσιωπήσατε; διὸ τοῦτο μόνον φημὶ, ὅτι ἀπὸ τοῦ νῦν καιρὸς λόγων καὶ Λου. κ΄.
διδασκαλίας οὐκ ἔστιν ὑμῖν περὶ τοῦ, τίς εἰμι, εἰ γὰρ ἠθέλετε, ἔγνωτέ με ἀπὸ τῶν γε- Ματ. κβ΄.
νομένων σημείων, κρίσεως δὲ καιρὸς ἀπὸ τοῦ νῦν. ὄψεσθε οὖν με τὸν υἱὸν τοῦ ἀνθρώπου, Λου. κ΄. ιγ΄.
καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ. δέον οὖν πτῆξαι, οἱ δὲ μετὰ τοῦτον τὸν λό-
γον μᾶλλον ἐλύττησαν, καὶ μανιωδῶς ἐρωτῶσι. σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; ὁ δὲ μέσως
πως καὶ εἰρωνικῶς ἀποκρίνεται, ὑμεῖς τοῦτο λέγετε, ὅτι ἐγώ εἰμι. καὶ γὰρ κατεφρό-
νει τῆς λύττης αὐτῶν, καὶ ἀπτοήτως αὐτοῖς διελέγετο. ἐντεῦθεν δὲ δῆλον, ὅτι οἱ ἀ-
πειθεῖς οὐδὲν ὠφελοῦνται ἐκ τοῦ ἀποκαλύπτεσθαι αὐτοῖς τὰ μυστικώτερα, ἀλλὰ μᾶλ-
λον πλείω κατάκρισιν δέχονται. διὸ καὶ ἀποκρύπτεσθαι πρὸς τοὺς τοιούτους δεῖ, τοῦ-
το γὰρ μᾶλλον φιλανθρωπίας.

Κεφ. κγ'. » Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, ἤγαγον αὐτὸν ἐπὶ τὸν Πιλάτον. ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες, τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. ὁ δὲ Πιλάτος ἐπηρώτησεν αὐτὸν λέγων, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη, σὺ λέγεις. ὁ δὲ Πιλάτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους, οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. οἱ δὲ ἐπίσχυον λέγοντες, ὅτι ἀνασείει τὸν λαὸν διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας. ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.

Προφανῶς ἐναντιοῦνται τῇ ἀληθείᾳ. ποῦ γὰρ ἐκώλυσεν ὁ Ἰησοῦς φόρους διδόναι, ὅπου γε μᾶλλον ὡς χρέος ἀποδιδόναι ἐκέλευσεν, οὕτως εἰπὼν, ἀπόδοτε τὰ Καίσαρος Καίσαρι; πῶς δὲ ἀνασείει τὸν ὄχλον, ἄρα ὡς βασιλείας ἐγχειρῶν. ἀλλ' ἀπίθανον τοῦτο παντάπασι. καὶ βουλομένου γὰρ αὐτὸν τοῦ πλήθους βασιλέα ποιῆσαι, γνοὺς ἀνεχώρησεν. ὅθεν καὶ Πιλάτος ἐν καταλήψει τῆς συκοφαντίας γενόμενος, ὁμολογεῖ ὅτι οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. δοκεῖ δέ μοι καὶ αὐτὴ ἡ ἐρώτησις, ἣν ποιεῖται πρὸς τὸν Χριστὸν ἐπὶ καταγέλωτι τῆς συκοφαντίας εἶναι. μυκτηρίζει γὰρ τὸ πρᾶγμα λέγων, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; μονονουχὶ τοῦτο λέγων, σὺ ὁ πένης, ὁ εὐτελὴς, ὁ γυμνὸς, ὁ ἀβοήθητος κατηγορῇ ἐπὶ τῷ βασιλείας ἐφίεσθαι; τοῦτο δὲ καταγελῶντός ἐστιν, ὡς ἔφημεν, τῶν ταῦτα κατηγορούντων τοῦ Ἰησοῦ. ὅτι τὸν οὕτως εὐτελῆ καὶ γυμνὸν τοιούτῳ πράγματι ἐπιχειρεῖν πλάττουσι, πολλῶν δεομένῳ καὶ χρημάτων καὶ ἐπικούρων. οἱ δὲ μηδὲν ἔχοντες ἄλλο πρὸς τὴν συκοφαντίαν βοήθημα, ταῖς φωναῖς χρῶνται πρὸς συνεργίαν, καὶ κεκράγασι κατὰ τοῦ Θεοῦ λόγου. ἀνασείει γάρ φησι, τουτέστιν ἀνασατεῖ τὸν λαὸν, καὶ οὐκ ἐν ἑνὶ μέρει, ἀλλ' ἀπὸ μὲν τῆς Γαλιλαίας ἤρξατο. ἔφθασε δὲ ἕως ὧδε, διὰ μέσης τῆς Ἰουδαίας διελθών. οὐχ ἁπλῶς δέ μοι δοκοῦσι μεμνῆσθαι τῆς Γαλιλαίας, ἀλλ' εἰς φόβον τὸν Πιλάτον ἐνσείοντες. καὶ γὰρ οἱ Γαλιλαῖοι τοιοῦτοι ἀεὶ, στασιασταὶ, καὶ νεωτερισμοῖς ἐπιχειροῦντες, οἷος καὶ Ἰούδας ὁ Γαλιλαῖος. οὗ καὶ εἰς μνήμην ἐμβαλεῖν ἐοίκασι τὸν Πιλάτον, μονονουχὶ τοῦτο λέγοντες ἀναλόγισαι ἡγεμὼν τὸν Γαλιλαῖον Ἰούδαν, ὃς πολλὰ πράγματα Ῥωμαίοις παρέσχεν, ἀναστατώσας οὐκ ὀλίγον μέρος τοῦ λαοῦ. τοιοῦτος καὶ οὗτος, ὃν δεῖ ἐκποδὼν ποιεῖσθαι.

Ματ. κβ'. Μαρ. ιβ'. Λου. κ'. Ἰωάν. ς'.

» Ὁ οὖν Πιλάτος ἀκούσας Γαλιλαίαν, ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι, καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρώδου ἐστὶν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις. ὁ δὲ Ἡρώδης ἰδὼν τὸν Ἰησοῦν, ἐχάρη λίαν. ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ, καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον. ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς, αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ. ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτῷ ἐσθῆτα λαμπρὰν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. ἐγένοντο δὲ φίλοι ὅ, τε Πιλάτος καὶ ὁ Ἡρώδης, ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων, προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς. Πιλάτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς, καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν, εἶπε πρὸς αὐτοὺς, προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν λαὸν, καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον, ὧν κατηγορεῖτε κατ' αὐτοῦ. ἀλλ' οὐδὲ Ἡρώδης, ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτὸν, καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶν ἐν αὐτῷ πεπραγμένον, παιδεύσας οὖν ἀπολύσω. ἀνάγκην δὲ εἶχον ἀπολύειν ἑαυτοῖς κατὰ ἑορτὴν ἕνα.

Ῥωμαϊκῷ νόμῳ ἑπόμενος ὁ Πιλάτος, πέμπει τὸν κύριον πρὸς Ἡρώδην, τῷ κελεύοντι, ἕκαστον παρὰ τοῦ ἄρχοντος τῆς ἐπαρχίας αὐτοῦ κρίνεσθαι. διὸ καὶ ὡς Γα-

λιλαῖον

λιλαῖον τὸν Ἰησοῦν πέμπει τῷ τῆς γαλιλαίας ἐπάρχοντι. Ἡρώδης δὲ ἐχάρη ἐπὶ τού-
τῳ, οὐχ ὡς μέλλων κερδᾶναι τί ψυχωφελὲς ἐκ τῆς θέας τοῦ Ἰησοῦ, ἀλλ' ἐπειδὴ ἤκουε
περὶ αὐτοῦ, ὅτι σοφός ἐστι, καὶ τερατουργὸς, εἶχεν ἀνόητον ἐπιθυμίαν, τὸ φιλόκαινον
νοσῶν καὶ αὐτὸς, ὥστε ἰδεῖν τοῦτον τὸν ἀλλόκοτον ἄνθρωπον, καὶ ἀκοῦσαι αὐτοῦ, τί λέ-
γει. ἢ οὐχὶ τοιαῦτα καὶ νῦν νοσοῦμεν πολλοί; ἐπεθύμει οὖν καὶ αὐτὸς ἰδεῖν σημεῖόν τι
ἐκ τοῦ Ἰησοῦ, οὐχ ἵνα πιστεύσῃ, ἀλλ' ὅπως ἑστιάσῃ τὴν ὄψιν. ὥσπερ ἐν τοῖς θεάτροις ὁ-
ρῶμεν τοὺς θαυματοποιοὺς, ὄφεις καταπίνειν φαντάζοντας, καὶ ξίφη, καὶ τοιαῦτα,
καὶ θαυμάζομεν. σχεδὸν γὰρ ἐνόμιζον τὸν Ἰησοῦν εἶναι τοιοῦτόν τινα, ἐπηρώτα δὲ αὐτὸν
ἐν λόγοις ἱκανοῖς, οὕτω πως εἰρωνικῶς πρὸς αὐτὸν διακείμενος, καὶ τὸ ὅλον μυκτηρί-
ζων αὐτὸν, διὸ καὶ ὁ Ἰησοῦς οὐδὲν ἀποκρίνεται. οἶδε γὰρ πότε δεῖ ἀποκρίνασθαι, ὁ
πάντα ἐν λόγῳ ποιήσας, καὶ μαρτυρηθεὶς ὑπὸ Δαβίδ. ὅτι οἰκονομήσει τοὺς λόγους αὐ- ψαλ. ρια'.
τοῦ ἐν κρίσει. τί γὰρ δεῖ ἀποκρίνεσθαι τῷ μὴ ἐρωτῶντι διὰ τὸ μαθεῖν; τί δὲ δεῖ βάλ
λειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων; μᾶλλον μὲν οὖν, ὡς καὶ ἀνωτέρω εἰρήκα-
μεν, φιλανθρωπίας ἐστὶ τὸ σιγᾶν ἐν τοῖς τοιούτοις. ὁ γὰρ ῥηθεὶς λόγος πρὸς τῷ μηδὲν
ὠφελῆσαι, ἔτι καὶ κατακρίσεως πρόξενός ἐστι μείζονος τοῖς μὴ προσέχουσι. τῷ μέντοι
Πιλάτῳ, ἐπεὶ εὐγνωμονέστερος ἦν Ἡρώδου, ἀποκρίνεται, κἂν μὴ πάνυ σαφῶς. ἐρω-
τήσαντος γὰρ ἐκείνου, σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων; τί φησι ὁ κύριος; σὺ λέγεις. τοῦ-
το δὲ μέσην πως ἔχει τὴν διάνοιαν. δύναται γὰρ νοηθῆναι, καὶ ὅτι ἀληθῶς ἐγὼ εἰμὶ,
σὺ τὸ οὖν εἶπας. δύναται δὲ καὶ ἄλλως, ὅτι ἐγὼ οὐ λέγω, σὺ λέγεις. ἐξουσίαν ἔχεις καὶ
λέγεις. Ἡρώδῃ δὲ οὐδ' ὁ πωσοῦν ἀποκρίνεται, οἷα τὸ ὅλον ἐμπαίκτῃ ὄντι. καὶ γὰρ οὕ-
τως κατὰ τὸν Ἡσαΐαν τῷ σπέρματι τῷ πονηρῷ, τοῖς υἱοῖς τοῖς ἀνόμοις, τοῖς τότε λέ-
γω ἰουδαίοις καὶ πράκτορες ἦσαν καλαμώμενοι αὐτοὺς, καὶ ἐμπαίκται κυριεύοντες γ'
αὐτῶν. ὅτι δὲ καὶ τοιούτῳ σκοπῷ παικτικῷ καὶ γελοιώδει ἐπεθύμει ἰδεῖν τὸν Ἰησοῦν,
καὶ σημεῖον ἐξ αὐτοῦ θεάσασθαι, καὶ τοιαύτῃ γνώμῃ ἠρώτα αὐτὸν, ἔδειξε τὸ τέλος.
ἐξουθενήσας γὰρ αὐτὸν, καὶ ἐμπαίξας, ἀπέλυσε, καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τὰ
στρατεύματα αὐτοῦ, ὃ πάσης ὕβρεως ἐπέκεινα περιβαλὼν δὲ ἐσθῆτα λαμπρὰν, ἔ-
πεμψεν αὐτὸν τῷ Πιλάτῳ. σὺ δέ μοι ὅρα πανταχοῦ δι' ὧν ποιεῖ, συμποδιζόμενον τὸν
διάβολον. ποιεῖ γὰρ τοὺς ἐμπαιγμοὺς καὶ τὰς ὕβρεις ταύτας κατὰ χριστοῦ, δείκνυται
δὲ μᾶλλον ἐντεῦθεν ἡ ἀλήθεια. δι' ὧν γὰρ παίζουσιν, ἀριδηλότατα μαρτυροῦσιν, ὡς
οὐ στασιαστὴς καὶ ἀντάρτης ὁ κύριος. εἰ γὰρ τοιοῦτος ἦν, οὐκ ἂν ἔπαιζον, τηλικούτου
ἐπηρτημένου κινδύνου, καὶ ἐπαναστάσεως ὅλου τοῦ ἔθνους ὑποπτευομένης, καὶ ταῦτα τη-
λικούτου ἔθνους, καὶ οὕτω ταῖς καινοτομίαις χαίροντος. ἐγένοντο δέ φησι, φίλοι ὅ, τε
Πιλάτος καὶ ὁ Ἡρώδης. τὸ γὰρ τὸν ὑποκείμενον τῷ Ἡρώδῃ πεμφθῆναι ὑπὸ Πιλάτου
πρὸς αὐτὸν ἀρχὴ φιλίας ἔδοξεν, ὡς μὴ σφετεριζομένου τοῦ Πιλάτου τὰ προνόμια
τοῦ Ἡρώδου. πλὴν ὅρα πανταχοῦ καὶ τὰ διεστῶτα συνάγοντα τὸν διάβολον, ἵνα μό-
νον τῷ Χριστῷ σκευάσῃ τὸν θάνατον. καὶ μίαν σύμπνοιαν συγκροτοῦντα, καὶ τοὺς ἐχθροὺς
φιλιοῦντα. οὐκ αἰσχυνόμεθα οὖν ἡμεῖς, εἴγε τούτου καὶ τοὺς ἐχθροὺς εἰρηνεύοντος ἵνα
Χριστὸν ἀποκτείνῃ, ἡμεῖς διὰ τὴν ἡμῶν σωτηρίαν, οὐδὲ κἂν τοὺς φίλους ἐν τῇ πρὸς ἡμᾶς
φιλίᾳ τηρήσομεν. ἐπεὶ δὲ ἀνεπέμφθη πάλιν τῷ Πιλάτῳ, σκόπει πάλιν τὴν ἀλή-
θειαν λάμπουσαν. προσηνέγκατέ μοι, φησὶν ὁ Πιλάτος, τὸν ἄνθρωπον τοῦτον ὡς δια-
στρέφοντα τὸν λαὸν, καὶ οὐδὲν ἄξιον θανάτου ἐν τούτῳ εὑρίσκω, ἀλλ' οὐδὲ Ἡρώδης. ὁ-
ρᾷς; δύο ἀνθρώπων, καὶ ταῦτα τοῦ μὲν ἡγεμόνος, τοῦ δὲ βασιλέως ἡ μαρτυρία πάν-
τως ἀληθής. οὔτ' ἐγώ φησιν, οὔτε ὁ βασιλεὺς Ἡρώδης εὕρομεν αἴτιόν τι ἐν αὐτῷ. τί
φήσουσι πρὸς ταῦτα οἱ ἰουδαῖοι; οἱ κριταὶ αὐτοὶ μαρτυροῦσιν ὅτι ἀναίτιος ὁ ἄνθρωπος,

ὑμεῖς οἱ κατηγοροῦντες, οὐδένα μάρτυρα παρηγάγετε, τίσι δεῖ πιστεύειν; βαβαὶ πῶς
νικᾷ ἡ ἀλήθεια. σιωπᾷ Ἰησοῦς, καὶ μαρτυροῦσιν ὑπὲρ αὐτοῦ οἱ ἐχθροὶ, βοῶσιν οἱ ἰουδαῖοι,
καὶ οὐδεὶς ὁ ταῖς βοαῖς ἐπιμαρτυρῶν. μαλακὸς δέ τις ὁ Πιλάτος, καὶ ἥκιστα ὑπὲρ
ἀληθείας ἐνστατικός. ἐδεδοίκει γὰρ τὴν συκοφαντίαν, μήπως διαβληθῇ, ὡς τὸν ἀν-
Ἡσαΐ. η'. τάρτην ἀπολύσας. οὐ γὰρ ἔμαθε λέγειν, τὸν δὲ φόβον ὑμῶν οὐ μὴ φοβηθῶμεν, ἀλλὰ
κύριος αὐτὸς ἔσται μοι φόβος. παιδεύσας οὖν, φησὶν, ἀπολύσω, τουτέστι σωφρονίσας διὰ
μαστίγων. ἀνάγκην δὲ εἶχον οἱ ῥωμαῖοι κατὰ ἑορτὴν ἀπολύειν ἕνα, χαριζόμενοι τοῖς
ἰουδαίοις. ὑποσπόνδοις γὰρ γενομένοις τοῖς ἰουδαίοις, ἄδειαν δεδώκασι κατὰ τὰ οἰ-
κεῖα ἔθη καὶ νόμιμα πολιτεύεσθαι. ἔθος δὲ πάτριον ἦν ἰουδαίοις, τὸ παρὰ τοῦ ἄρ-
α'. ιδ'. χοντος ἐξαιτεῖσθαι τοὺς κατακρίτους, ὥσπερ καὶ παρὰ Σαοὺλ ἐξῃτήσαντο τὸν Ἰωνά-
θαν. εἰ δὲ τὴν ἱστορίαν ἀγνοεῖς, μέτιθι βασιλειῶν τὴν πρώτην, καὶ ταύτην εὑρήσεις.

» Ἀνέκραξαν δὲ παμπληθεὶ λέγοντες, αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν Βαραβᾶν. ὅσ-
» τις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει, καὶ φόνον, βεβλημένος εἰς φυλακήν. πά-
» λιν οὖν ὁ Πιλάτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. οἱ δὲ ἐπεφώνουν λέγον-
» τες, σταύρωσον, σταύρωσον αὐτόν. ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς, τί γὰρ κακὸν ἐποίησεν
» οὗτος; οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ. παιδεύσας οὖν αὐτὸν ἀπολύσω. οἱ δὲ ἐπέ-
» κειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆναι, καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν
» καὶ τῶν ἀρχιερέων. ὁ δὲ Πιλάτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν, ἀπέλυσε δὲ τὸν
» διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακὴν, ὃν ᾐτοῦντο, τὸν δὲ Ἰησοῦν παρέδω-
» κε τῷ θελήματι αὐτῶν. καὶ ὡς ἀπήγαγον αὐτὸν, ἐπιλαβόμενοι Σίμωνός τινος τοῦ κυ-
» ρηναίου ἐρχομένου ἀπ' ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὄπισθεν τοῦ Ἰησοῦ. ἠκο-
» λούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν, αἳ ἐκόπτοντο, καὶ ἐθρήνουν αὐτόν.

Τί τούτου χεῖρον; τὸ ἔθνος τὸ ἅγιον εἰς φόνους ἐλύττα, ὁ ἐθνικὸς Πιλάτος τὸν φόνον ἀ-
πετρέπετο, τὰ ἄνω κάτω ἐγένετο. αἶρε τοῦτον, φασὶν, ἀπόλυσον δὲ ἡμῖν Βαραβᾶν,
ὃς στασιαστὴς ὢν καὶ φονεὺς, ἐβλήθη εἰς φυλακήν. καὶ τρίτον ἀπολύει Πιλάτος, καὶ τρί-
τον ἐκεῖνοι βοῶσι κατὰ Χριστοῦ, ἵνα πάντως διὰ τοῦ τρίτου τούτου βεβαιώσωσι τὴν
οἰκείαν μιαιφονίαν, καὶ τὸν μὲν ἅγιον καὶ δίκαιον ἠρνήσαντο, καθὼς φησὶν ὁ μακά-
Πράξ. γ'. ριος Πέτρος, ᾐτήσαντο δὲ ἄνδρα φονέα χαρισθῆναι αὐτοῖς. τὸ γὰρ ὅμοιον ἀγαπῶσι,
διὸ καὶ τῆς μερίδος αὐτοῦ γίνονται, στασιάσαντες καὶ αὐτοὶ κατὰ Ῥωμαίων, καὶ φό-
νων μυρίων αἴτιοι γενόμενοι καὶ τῆς ἑαυτῶν ἀπωλείας. ταῦτα δὲ προλέγει καὶ διὰ Ἰε-
Ἱερεμ. ιβ'. ρεμίου ὁ κύριος, ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου δέδωκα
τὴν κληρονομίαν μου εἰς χεῖρας ἐχθρῶν. ἐγεννήθη ἡ κληρονομία μου ἐμοὶ, ὡς λέων ἐν
Ὠσηέ. ζ'. δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν. καὶ πάλιν Ὠσηὲ
οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ, δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ. ἐγὼ ἐλυ-
τρωσάμην αὐτούς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ, καὶ πεσοῦνται ἐν στόματι
ῥομφαίας οἱ ἄρχοντες αὐτῶν δι' ἀπαιδευσίαν γλώττης αὐτῶν. ἄγεται τοίνυν ὁ Ἰησοῦς,
καὶ πρῶτον μὲν ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν, καὶ βαστάζων ἐξῆλθεν. οὐ δὲ γὰρ κατε-
δέχετό τις τῶν ἄλλων βαστάσαι αὐτὸν, ἐπεὶ καὶ τὸ ξύλον ἐπικατάρατον εἶχον. εἶτα εὑ-
Δευτε. κα'. ρόντες Σίμωνά τινα κυρηναῖον, ἐπέθηκαν τούτῳ τὸν σταυρόν. ἀγγαρεύσαντες τὸν ἄνθρω-
πον, καὶ οἷόν τινα ἐπήρειαν αὐτῷ, τοῦτον ἐπιθέντες τὸν παρὰ τοῖς ἄλλοις ἀποτροπια-
ζόμενον. αἰνίττεται δὲ τοῦτο οὐ μικρὸν νουθέτημα, σταυρὸς μὲν γάρ ἐστιν ἡ νέκρωσις καὶ
ἀνενεργησία τῶν παθῶν καὶ ἀκινησία, ὁ γὰρ σταυρούμενος καθηλοῦται καὶ ἀπρακτεῖ.
ὁ τοίνυν κατὰ Χριστὸν διδάσκαλος ὀφείλει πρῶτον αὐτὸς τὸν σταυρὸν αἴρειν, καὶ καθη-
λοῦν τὰς σάρκας αὐτοῦ τῷ φόβῳ τοῦ θεοῦ, καὶ τῇ ἀπαθείᾳ λαμπρύνεσθαι, εἶθ' οὕτως

καὶ τοῖς

καὶ τοῖς ὑπηκόοις τούτων ἐπιτιθέναι, Σίμων γὰρ ὑπακοὴ ἑρμηνεύεται. πληροῦται δὲ
κἀνταῦθα τὸ τοῦ Ἠσαΐου, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· ἀρχὴ γὰρ τοῦ κυρίου καὶ βασι- Ἠσαΐ. θ'.
λεία ὁ σταυρός· φησὶ γὰρ ὁ Παῦλος, ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ, Πρὸς Φιλ. β'
σταυροῦ, διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ τὰ ἑξῆς, ἐπεὶ οὖν ὁ σταυρὸς ὕψος γέγονε
τῷ Ἰησοῦ καὶ δόξα, εἰκότως ἀρχὴ αὐτοῦ λέγεται, ἤτοι ἀρχικὸν ἀξίωμα καὶ σύμβο-
λον τῆς ἀρχῆς· ὡς γὰρ οἱ συγκλητικοὶ ἔχουσι σύμβολα τῶν ἀξιωμάτων, οἱ μὲν ζώ-
νας, οἱ δὲ μανδύας, οὕτω καὶ ὁ κύριος τὸν σταυρὸν τῆς οἰκείας βασιλείας σύμβολον
ποιεῖται· καὶ σκοπήσας εὑρήσεις, ὅτι ἄλλως οὐ βασιλεύει ἐν ἡμῖν ὁ Ἰησοῦς, εἰ μὴ διὰ
κακοπάθειαν· ὡς οἵγε τρυφῶντες ἐχθροὶ τοῦ σταυροῦ, ἐκεῖνος δὲ δύναται ὑπήκοος γε-
νέσθαι Χριστοῦ, καὶ ἆραι τὸν σταυρὸν αὐτοῦ, ὁ τῆς ἀρετῆς ἐργάτης. ὁ ἐρχόμενος ἀπ' ἀ-
γροῦ, ὁ τὸν κόσμον τοῦτον ἀγρὸν ὄντα καταλιμπάνων, καὶ τὰ ἐν αὐτῷ ἔργα, καὶ πρὸς
τὴν Ἱερουσαλὴμ τὴν ἄνω τὴν ἐλευθέραν ἱέμενος· ἀλλὰ καὶ τὸ ἀκολουθεῖν τῷ Χριστῷ
πλῆθος λαοῦ καὶ γυναικῶν, αἰνίττεται ὅτι πολὺ πλῆθος τῶν Ἰουδαίων μετὰ τὸν σταυ-
ρόν· τοῦτο γὰρ τὸ ἀκολουθεῖν πιστεύσουσιν εἰς αὐτόν· καὶ γυναῖκες δὲ πολλαί, καὶ ἀνά- β'.
γνωθι τὰς πράξεις, καὶ ὄψει μυριάδας τῶν πιστευόντων· μήποτε δὲ καὶ τὸ θρηνεῖν,
καὶ κόπτεσθαι τὰς ἀκολουθούσας γυναῖκας τῷ Ἰησοῦ, συμβάλλεται ἡμῖν εἰς ἦθος; ἔστι
μὲν γὰρ γυνὴ ψυχὴ ἀσθενής, αὕτη δὲ ἐὰν συντριβὴν καρδίας δεξαμένη διὰ τῆς με-
τανοίας, πενθῇ, καὶ κόπτηται, τότε ὄντως ἀκολουθεῖ τῷ Ἰησοῦ, τῷ σταυρουμένῳ καὶ κα-
κουχουμένῳ διὰ τὴν ἡμῶν σωτηρίαν.

» Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς εἶπε, θυγατέρες Ἱερουσαλὴμ μὴ κλαίετε ἐπ' ἐ-
» μέ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν, ὅτι ἰδοὺ ἔρχονται ἡμέραι, ἐν
» αἷς ἐροῦσι, μακάριαι αἱ στεῖραι, καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἐθή-
» λασαν· τότε ἄρξονται λέγειν τοῖς ὄρεσι, πέσετε ἐφ' ἡμᾶς, καὶ τοῖς βουνοῖς καλύψα- Ὠσηέ ι'.
» τε ἡμᾶς, ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται;

Αἱ μὲν γυναῖκες, φιλόδακρυ γὰρ τὸ γένος, καὶ πολύθρηνον ὡς δεινοῦ τινος ἐπισυμ-
βαίνοντος τῷ κυρίῳ, θρηνοῦσι, τὸ συμπαθὲς ἐνδεικνύμεναι, καὶ τὴν ἀδικίαν ἀποδυ-
ρόμεναι· ὁ δὲ οὐκ ἀποδέχεται, ἀλλὰ μᾶλλον ἐπιτιμᾷ αὐταῖς· ἑκουσίως γὰρ ἔπασχε,
τῷ δὲ ἑκουσίως πάσχοντι, καὶ ἐπὶ σωτηρίᾳ πάσης τῆς φύσεως, οὐ τὸ θρηνεῖσθαι, ἀλ-
λὰ τὸ κροτεῖσθαι προσήκει, καὶ εὐφημεῖσθαι· διὰ γὰρ τοῦ σταυροῦ καὶ θάνατος λέλυ-
ται, καὶ ᾅδης ᾐχμαλώτισται· οἱ θρῆνοι γὰρ οὐ τοῖς ἑκουσίως, ἀλλὰ τοῖς ἀκουσίως πά-
σχουσι παράκλησιν φέρουσιν· ἐπιτιμᾷ μὲν οὖν αὐταῖς κοπτομέναις αὐτόν, παραινεῖ δὲ
πρὸς τὰ μέλλοντα κακὰ βλέπειν, καὶ ἐπ' ἐκείνοις κόπτεσθαι, ὅτε γυναῖκες ἑψήσουσι
τὰ τέκνα αὐτῶν ἀνελεημόνως· καὶ ἡ ἐνέγκασα γαστὴρ, αὐτὴ πάλιν τὸ γεννηθὲν ἐλεει-
νῶς ὑποδέξεται· εἰ γὰρ ἐν ἐμοὶ τοιαῦτα ἐπεδείξαντο οἱ Ῥωμαῖοι, ἐν ἐμοὶ τῷ ὑγρῷ ξύ-
λῳ τῷ ἐγκάρπῳ καὶ ἀειθαλεῖ, καὶ ἀειζώῳ διὰ τὴν θεότητα, καὶ διὰ τῶν καρπῶν μου
τῆς διδασκαλίας τρέφοντι πάντας, ἐν ὑμῖν, τῷ λαῷ φημὶ, τῷ ξηρῷ ξύλῳ, τῷ πά-
σης δικαιοσύνης ζωοποιοῦ ἐστερημένῳ, καὶ μηδένα καρπὸν φέροντι, τί οὐκ ἂν ἐπιδεί-
ξαιντο; εἰ μὲν γὰρ εἴχετε ζωτικήν τινα ἐνέργειαν τοῦ ἀγαθοῦ, ἴσως ἂν φειδοῦς ἠξιώθη-
τε μετρίας γοῦν, νῦν δὲ ὡς ξηρὸν ξύλον εἰς καῦσιν καὶ εἰς διαφθορὰν ἔσεσθε.

» Ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι. καὶ ὅτε ἀπῆλθον ἐπὶ
» τὸν τόπον τὸν λεγόμενον κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν, καὶ τοὺς κακούργους, ὃν μὲν
» ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν· ὁ δὲ Ἰησοῦς ἔλεγε, πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί
» ποιοῦσι· διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλον κλήρους· καὶ εἱστήκει ὁ λαὸς θεω-
» ρῶν· ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες, ἄλλους ἔσωσε, σωσάτω

» ἑαυτὸν, εἰ οὗτος ἐστὶν ὁ Χριστὸς ὁ τοῦ θεοῦ ἐκλεκτός. ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶ-
» ται προσερχόμενοι, καὶ ὄξος προσφέροντες αὐτῷ, καὶ λέγοντες, εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν
» Ἰουδαίων, σῶσον σεαυτόν. ἦν δὲ καὶ ἡ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν
» Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς, οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων.

Πονηρὰν δόξαν κατασκευάζειν ἐθέλων τοῦ κυρίου ὁ διάβολος, καὶ λῃστὰς ἐποίει συσταυροῦσθαι αὐτῷ. ἀλλ' ὅρα πῶς καὶ τὸν ἕνα ἀφηρέθη, καὶ μᾶλλον πρὸς δόξαν πλείω τοῦ κυρίου τοῦτο γέγονε. τῶν μὲν γὰρ οἱ σταυροὶ οὐδὲ ἐζητήθησαν, τοῦ δὲ πᾶς ὁ κόσμος ἐκκρέμαται. καὶ προδήλως ἐντεῦθεν δείκνυται, τὸ μὴ ἄνομον εἶναι τὸν κύριον, ὡς οἱ λῃσταὶ, ἀλλὰ πάσης δικαιοσύνης ἀρχηγόν. ἄγουσι δὲ αὐτὸν ἐπὶ τὸν τόπον τοῦ κρανίου, ἔνθα φασὶ τὸν προπάτορα τεθάφθαι, ἵνα ὅπου διὰ ξύλου πτῶμα, ἐκεῖ καὶ ἡ διὰ τοῦ ξύλου ἔγερσις γένηται. Ἰησοῦς δὲ ὑπερβολὴν πρᾳότητος ἐνδεικνύμενος, ὑπὲρ αὐτῶν εὔχεται, πάτερ ἄφες αὐτοῖς, λέγων, οὐ γὰρ οἴδασι τί ποιοῦσι. καὶ μέντοι ἀφέθη ἂν αὐτοῖς τὸ ἁμάρτημα, εἰ μὴ μετὰ ταῦτα τῇ ἀπιστίᾳ ἐνέμειναν. τίνος δὲ ἕνεκεν διαμερίζονται τὰ ἱμάτια αὐτοῦ; ἴσως μὲν καὶ χρῄζοντες οἱ πολλοὶ αὐτῶν, τάχα δὲ, ὃ καὶ μᾶλλον ἀληθέστερον, ὕβρει τοῦτο καὶ ἀκολασίᾳ ποιοῦντες, τί γὰρ πολυτελὲς ἑώρων ἐν τοῖς ἱματίοις; γελῶντες οὖν καὶ ὑβρίζοντες, τοιαῦτα εἰργάζοντο. ὅπου γὰρ οἱ ἄρχοντες ἐμυκτήριζον, τί χρὴ περὶ τοῦ κοινοῦ πλήθους λογίζεσθαι; ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν. εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ θεοῦ ἐκλεκτός. τοῦτο ἔλεγε δι' αὐτῶν ὁ διάβο-
Ματθ. γ'. λος. ὥσπερ γὰρ ἐπὶ τοῦ πτερυγίου τοῦ ἱεροῦ, οὕτω κἀνταῦθα τοιαῦτά φησι βασκαίνων τῇ διὰ τοῦ σταυροῦ σωτηρίᾳ, καὶ περικόψαι βουλόμενος ταύτην, πάσαις, ὡς εἶπον, μηχαναῖς. ὄξος δὲ προσέφερον οἱ στρατιῶται, ὡς βασιλεῖ δῆθεν ὑπηρετοῦντες πρὸς τὸ πιεῖν. ὅρα δὲ καὶ ἑτέραν μηχανὴν τοῦ διαβόλου κατ' αὐτοῦ περιτρεπομένην. ὁ μὲν γὰρ τρισὶ χαρακτῆρσι γραμμάτων ἐξεπόμπευε δῆθεν τὴν αὐταρσίαν τοῦ Ἰησοῦ, ἵνα μηδένα λανθάνοι τῶν παριόντων, ὡς διὰ τοῦτο κρέμαται, διότι βασιλέα ἑαυτὸν ἐποίει. τὸ δὲ, καλὸν μὴ ὁ σοφὸς τοῦ κακοποιῆσαι συνίει, σύμβολον ἦν τοῦ κράτιστα τῶν ἐθνῶν, ὁποῖοι οἱ Ῥωμαῖοι καὶ σοφώτατοι, ὁποῖοι Ἕλληνες, καὶ θεοσεβέστατοι, ὁποῖον τὸ γένος τῶν Ἑβραίων, ὑπὸ τῇ βασιλείᾳ τοῦ Ἰησοῦ τεθήσεσθαι, καὶ ἀνακηρύξειν αὐτόν. εἴπομεν δὲ περὶ τούτων καὶ ἐν τῷ κατὰ Ἰωάννην πλείω καὶ ὑψηλότερα.

» Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν, λέγων, εἰ σὺ εἶ ὁ Χριστὸς,
» σῶσον σεαυτὸν καὶ ἡμᾶς. ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων, οὐδὲ φοβῇ
» σὺ τὸν θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως, ἄξια γὰρ ὧν ἐπράξα-
» μεν ἀπολαμβάνομεν, οὗτος δὲ, οὐδὲν ἄτοπον ἔπραξε. καὶ ἔλεγε τῷ Ἰησοῦ. μνήσθητί
» μου κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ἀμὴν λέγω σοι, σή-
Ματθ. κζ'. » μερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Μάρκ. ιε'. Πῶς οὖν οἱ ἕτεροι εὐαγγελισταὶ τοὺς δύο λῃστάς φασι κατηγορεῖν αὐτοῦ; ἐν ἀρχῇ μὲν εἰκὸς τοὺς δύο κατηγορεῖν αὐτοῦ, εἶτα τὸν ἕτερον αὐτῶν ἀγχίνουν ὄντα, ἐπιγνῶναι τὴν Ἰησοῦ ἀγαθότητα καὶ θεότητα ἐκ τῆς φωνῆς, ἧς ἐποιεῖτο ὑπὲρ τῶν σταυρούντων, πάτερ, λέγων, ἄφες αὐτοῖς. οὐ μόνον γὰρ πάσης φιλανθρωπίας γέμει, ἀλλὰ καὶ αὐθεντίαν πολλὴν ἐνδείκνυται ἡ φωνή. οὐ γὰρ εἶπε κύριε παρακαλῶ, ἄφες αὐτοῖς, ἀλλ' ἁπλῶς οὕτως καὶ ἐξουσιαστικῶς, πάτερ ἄφες αὐτοῖς. ἐκ ταύτης οὖν τῆς φωνῆς ἐπιγνοὺς ὁ πρότερον βλάσφημος τὸν Ἰησοῦν ἀληθινὸν βασιλέα ἐπιγινώσκει, ἐπιστομίζει δὲ καὶ τὸν ἕτερον λῃστὴν, καὶ πρὸς τὸν Ἰησοῦν λέγει, μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου. τί οὖν ὁ κύριος; σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ὡς μὲν γὰρ ἄνθρωπος ἐν σταυρῷ, ὡς δὲ θεὸς πανταχοῦ, κἀκεῖ κἂν τῷ παραδείσῳ, πάντα πληρῶν, καὶ μηδαμοῦ ὤν. ζητήσουσι δέ τινες, πῶς τοῦ κυρίου

λέγοντος τῷ λῃστῇ σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, ὁ Παῦλος ἔφη, οὐδεὶς τῶν Πρὸς Ἑβ. ια΄
ἁγίων ἐκομίσατο τὴν ἐπαγγελίαν; καὶ τινὲς λέγουσιν, ὅτι ὁ ἀπόστολος οὐ περὶ πάν-
των τῶν ἁγίων ἀπεφήνατο τὸ μὴ κομίσασθαι τὴν ἐπαγγελίαν, ἀλλὰ περὶ ὧν ἀπη-
ριθμήσατο μόνον· ἀπηριθμήσατο δὲ ἄλλοις μὲν πολλοῖς, τοῦ δὲ λῃστοῦ οὐδὲ ἐπεμνήσθη·
ἄκουε γὰρ τί φησιν, οὗτοι πάντες, δεικτικῶς πρὸς τοὺς ἀπηριθμημένους τὸν λόγον ἀνα-
φέρων, οἷς ὁ λῃστὴς οὐ συνηρίθμηται· ἕτεροι δὲ ἔφασαν, ὅτι οὐδὲ ὁ λῃστὴς οὔπω ἔτυχε
τῆς ἐν τῷ παραδείσῳ διαγωγῆς, ἀλλ᾽ ἐπειδὴ ἀμετάθετος καὶ ἀδιάψευστος ἡ τοῦ κυ-
ρίου ὑπόσχεσις, διὰ τοῦτο εἴρηται τὸ σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· ἔστι γὰρ καὶ
τοιοῦτον εἶδος, φασὶν, ἐν τοῖς τοῦ κυρίου ῥήμασιν, ἐν οἷς περὶ τῶν ἔσεσθαι μελλόντων,
ὡς ἤδη γενομένων διέξεισιν· ὡς ὅταν λέγῃ, ὁ μὴ πιστεύων ἤδη κέκριται· καὶ πάλιν, ὁ τῶν Ἰωάν. γ΄.
λόγων μου ἀκούων καὶ πιστεύων, εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θα- Ἰωάν. ε΄.
νάτου εἰς τὴν ζωήν· ἄλλοι δὲ ἐκβιάζονται τὸ ῥῆμα, στίζοντες εἰς τὸ σήμερον, ἵν᾽ ᾖ τὸ λε-
γόμενον τοιοῦτον, ἀμὴν λέγω σοι σήμερον, εἶτα τὸ μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ ἐπι-
φέροντες· τινὲς δὲ οἱ μάλιστα ἐπιτυχεῖν δόξαντες, οὕτως ἐξηγοῦνται· τὰ ἐπηγγελμέ-
να ἡμῖν ἀγαθὰ, οὐχ εἰς τὸν παράδεισον διαγωγή ἐστιν ἢ ἐπάνοδος, ἀλλ᾽ ἡ βασιλεία τῶν
οὐρανῶν, ὅθεν καὶ προσευχόμεθα, ἐλθέτω ἡ βασιλεία σου, οὐχ ἡ ἐπὶ τοῦ παραδείσου
διατριβή· μὴ γάρ μοι φαίη τις, ὅτι ταυτὸν παράδεισος καὶ βασιλεία, τὰ μὲν γὰρ
ἀγαθὰ τῆς βασιλείας, οὔτε οὖς ἤκουσεν, οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε ἐπὶ καρδίαν ἀν- α΄. Πρὸς Κο-
θρώπου ἀνέβη· τὸν δὲ παράδεισον καὶ ὀφθαλμὸς εἶδε τοῦ Ἀδὰμ, καὶ οὖς ἤκουσεν ριν. β΄.
αὐτοῦ, ἀπὸ παντὸς γὰρ, φησὶ, ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· κἂν
γὰρ καὶ ἓν ξύλον ἀπείρητο αὐτῷ, ἀλλ᾽ οὖν καὶ τοῦτο ἐθεᾶτο, καὶ περὶ αὐτοῦ ἤ- Γεν. β΄.
κουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· εὐφραίνετο γὰρ λογικῶς ὁ Ἀδάμ·
οὐ γὰρ δήπου τοιαύτην ἐργασίαν, καὶ εὐφροσύνην γεωργικὴν μετῄει. ὥστε οὐδὲν, φη-
σι, ἐναντίον ὁ Παῦλος λέγει. ὁ γὰρ λῃστὴς τοῦ μὲν παραδείσου τετύχηκε, τῆς δὲ
βασιλείας οὐκ ἔτυχε, τεύξεται δὲ, ὅτε καὶ πάντες οἷς ἀπηριθμήσατο ὁ Παῦλος·
τέως δὲ πρὸς τὸ παρὸν τὸν παράδεισον ἔχει, ὅς ἐστι χωρίον πνευματικῆς ἀναπαύ-
σεως, ταῦτα μὲν οὖν πολλοὶ πολλάκις ἔφασαν· ἔστι δὲ εἰπεῖν, ὅτι εἰ καὶ ταυτόν ἐστι βα-
σιλεία οὐρανῶν καὶ παράδεισος, οὐδὲν κωλύει καὶ τὸν κύριον ἀληθεύειν, καὶ τὸν Παῦ-
λον· ὁ γὰρ λῃστὴς ἔστι μὲν ἐν παραδείσῳ, ἤτοι τῇ βασιλείᾳ, καὶ οὐ μόνον αὐτὸς, ἀλλὰ
καὶ πάντες οἷς ἀριθμεῖται ὁ Παῦλος. οὐ μέντοι ἀπήλαυσε τῆς τελείας τῶν ἀγα-
θῶν κληρουχίας, ὥσπερ γὰρ οἱ κατάκριτοι ἐπὶ τῶν βασιλειῶν οὐκ εἰσὶν, ἀλλ᾽ ἐν φρου-
ραῖς ἀποκεκλεισμένοι τηροῦνται ταῖς ἀφωρισμέναις ποιναῖς, οἱ δὲ ἔντιμοι εἴσω τὰ
βασίλεια εἰσέρχονται, καὶ τέως ἐπὶ τούτων διάγουσιν, εἶτα ὅτε ὁ καιρὸς ἐπιστῇ τῆς
διανομῆς τῶν βασιλικῶν δωρεῶν, ἀξιοῦνται τούτων, οὕτως καὶ οἱ ἅγιοι, εἰ καὶ μήπω
τοῦ τελείου ἀπολαύουσιν, ἀλλά γε τέως ἐν τούτοις τοῖς φωτεινοῖς καὶ εὐώδεσι καὶ βα-
σιλικοῖς ἁπλῶς εἰπεῖν σκηνώμασι διάγουσιν. εἰ καὶ μήπω τῆς διανομῆς τῶν βασιλι-
κῶν δώρων ἀξιοῦνται τελείως· οὕτως οὖν ὁ λῃστὴς καὶ ἐν παραδείσῳ ἐγένετο, καὶ οὔ-
πω τοῦ τελείου ἀπήλαυσεν, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῇ· καὶ τοῦτο οἶμαι πάντων ἀ-
ληθέστερον, ἵνα μὴ λέγω ὅτι καὶ αἱ χάριτες τῶν ἁγίων ἐν ταῖς καθεκάστην θαυμα-
τουργίαις παράδεισος ἂν εἰκότως ῥηθεῖεν. καὶ πάντες δὲ ὅσοι πνευματικῶν χαρισμά-
των ἀξιωθέντες τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐντεῦθεν ἤδη ἔλαβον, ἐν τῷ παραδεί-
σῳ εἰσὶ, κἂν μήπω ἐτελειώθησαν, καὶ τὴν βασιλείαν παρέλαβον, καθάπερ φησὶ Παῦ-
λος ἐν τῇ αὐτῇ πρὸς Ἑβραίους ἐπιστολῇ·

Κἂν μήπω τὴν ἐπαγγελίαν ἐκομίσαντο. τὸ γὰρ τὴν ἐπαγγελίαν εἰπεῖν, τὸ ὁλό-

κλῆρον ἐνέφηνεν. οὔπω οὖν τὴν τελείαν ἐπαγγελίαν ἐδέξαντο, εἰσὶ μέντοι καὶ ἐν τῇ
βασιλείᾳ καὶ ἐν τῷ παραδείσῳ. σὺ δέ μοι τοῦτο θαύμασον, ὅπως ὥσπερ τις βασι-
λεὺς τροπαιοφόρος ἐπανιὼν ἐκ τῆς νίκης τὰ κράτιστα τῶν λαφύρων μεθ' ἑαυτοῦ ἐπά-
γεται, οὕτω καὶ ὁ κύριος τὸ κρεῖττον τῶν τοῦ διαβόλου λαφύρων σκυλεύσας, μεθ' ἑαυ-
τοῦ ἄγει, ἐπανιὼν εἰς τὴν ἀρχαίαν πατρίδα τοῦ ἀνθρώπου, τὸν παράδεισον φημί. καὶ
γὰρ οὐ μόνον καθὸ θεὸς ἦν ἐν τῷ παραδείσῳ, ἀλλὰ καὶ καθὸ ἀνθρωπίνην ψυχὴν προ-
Ματθ. ιβ'. σελάβετο λογικὴν καὶ νοερὰν, καὶ ἐν τῷ παραδείσῳ γέγονε μετὰ τοῦ νοὸς, καὶ εἰς ᾅ-
Μαρ. γ'. δου κατῆλθε μετὰ ψυχῆς. καὶ διὰ τοῦ σῶσαι τὸν λῃστὴν, τὸ τῆς πονηρίας ὄργανον, ἔδη-
Λουκ. ια'. σεν ὃ προέλεγεν, ὅτι δήσας τὸν ἰσχυρὸν τὰ σκεύη αὐτοῦ διαρπάσει.
» Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, καὶ
» ἐσκοτίσθη ὁ ἥλιος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. καὶ φωνήσας φωνῇ με-
» γάλῃ Ἰησοῦς εἶπεν, πάτερ εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. καὶ ταῦτα εἰ-
» πὼν, ἐξέπνευσεν. ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξασε τὸν θεὸν λέγων, ὄν-
» τως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεω-
» ρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα τύπτοντες ἑαυτῶν τὰ στήθη, ὑπέστρεφον. εἱστή-
» κεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι
Ματθ. ιζ'. ις'. » αὐτῷ ἀπὸ τῆς Γαλιλαίας ὁρῶσαι ταῦτα. Σημεῖον ἐπεζήτουν οἱ Ἰουδαῖοι ποτὲ
Μαρ. η'. ἰδεῖν ἐξ οὐρανοῦ, ἰδοὺ γοῦν σημεῖον, τὸ ξένον τοῦτο σκότος. σχίζεται δὲ καὶ τὸ καταπέ-
Λουκ. ια'. τασμα τοῦ ναοῦ, δεικνῦντος τοῦ κυρίου, ὅτι οὐκ ἔτι ἄβατα ἔσται τὰ ἅγια τῶν ἁγίων,
ἀλλὰ τοῖς ῥωμαίοις παραδοθέντα, βάσιμα καὶ βέβηλα γενήσονται. καὶ ἄλλως δὲ,
δεικνύντος ὅτι τὸ καταπέτασμα, ὃ διεῖργεν ἡμᾶς ἀπὸ τῶν ἐν οὐρανοῖς ἁγίων, σχίζεται,
ἤτοι ἡ ἔχθρα καὶ ἡ ἁμαρτία, τοῦτο γὰρ ἦν τὸ μέγα διάφραγμα, τὸ διϊστῶν ἡμᾶς ἐ-
κεῖθεν. δείκνυσι δὲ, ὅτι οὐ δι' ἀδυναμίαν ἐσταυρώθη. ὁ γὰρ ταῦτα ποιήσας, ἠδύνατο
κἀκείνους διαῤῥῆξαι, καὶ ἀφανίσαι. Φωνῇ δὲ μεγάλῃ κράξας, ἀφίησι τὸ πνεῦμα.
Ἰωαν. ι'. ἐξουσίαν γὰρ εἶχε τὴν ψυχὴν αὐτοῦ θεῖναι, καὶ πάλιν λαβεῖν αὐτήν. καὶ ἡ φωνὴ αὐ-
τη τῷ κεντυρίωνι, καὶ τἆλλα θαύματα πίστεως πρόφασις ἐγένετο. οὐ γὰρ ὡς κοινὸς
ἄνθρωπος, ἀλλὰ δεσποτικῶς ἀπέθνησκε, καὶ παραθήκην τὸν θάνατον ὠνόμασεν, ὡς
πάλιν ληψόμενος τὴν ψυχήν. ταύτῃ δὲ τῇ φωνῇ τῇ πρώτῃ ἐλευθερίας ἠξιώθησαν αἱ
ψυχαὶ ἡμῶν, οὐκ ἔτι τοῦ διαβόλου ἐξουσίαν ἔχοντος αὐτῶν, ἀλλὰ τῷ πατρὶ παρατι-
θεμένων. πρὸ γὰρ τοῦ θανάτου τοῦ χριστοῦ μέγα δίκαιον ἦν τῷ διαβόλῳ κατὰ τῶν ψυ-
χῶν, ἀφ' οὗ δὲ ὁ υἱὸς οὐκ εἰς τὸν ᾅδην, ἀλλ' εἰς τὰς πατρικὰς χεῖρας παρέθηκε τὸ πνεῦ-
Ἰωαν. ιβ'. μα, ἐλευθερίας ἔτυχον οἱ ἐξ ᾅδου. ὅπερ δὲ εἶπεν ὁ κύριος, ὅτι ὅταν ὑψωθῶ πάντας
ἑλκύσω πρὸς ἐμαυτὸν, νῦν ὁρᾶται τελεσθέν. ὑψωθεὶς γὰρ ἐπὶ σταυροῦ, εἵλκυσε λῃ-
στὴν, εἵλκυσεν ἑκατόνταρχον. ἔτυπτον δὲ καὶ τὰ στήθη τῶν ἰουδαίων τινὲς, καὶ τοῖς σταυ-
ρωταῖς ἐπιμεμφόμενοι, προδήλως τὸν Ἰησοῦν ἐδικαίουν. οἱ μὲν οὖν μαθηταὶ ἔφυ-
γον, αἱ γυναῖκες δὲ, τὸ κατάκριτον γένος καὶ ἐπάρατον παραμένουσι, καὶ θεωροῦσι
ταῦτα πάντα, καὶ τῆς ἐντεῦθεν δικαιώσεως καὶ εὐλογίας ἀπολαύουσι πρῶται, ὥσ-
περ οὖν καὶ τῆς ἀναστάσεως. σὺ δέ μοι θαύμαζε τὴν πώρωσιν τῶν Ἰουδαίων, οἱ γὰρ
Ματθ. κζ'. λέγοντες ὅτι καταβάτω ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν αὐτῷ, τὰ μείζω ἰδόντες οὐ πι-
στεύουσιν. οὐ γὰρ ἴσον ἦν καταβῆναι ἀπὸ τοῦ σταυροῦ, καὶ σκοτίσαι ἥλιον, πέτρας ῥῆξαι,
σεισμοῦ φοβεροῦ ἐπισεῖσαι, νεκροὺς ἀναστῆσαι, καταπέτασμα σχίσαι, καὶ ὅλην τὴν
κτίσιν ἀλλοιῶσαι. ὥστε μηδεὶς ἔτι ἀπορείτω διατί οὐ κατέβη, ἀλλὰ ἀπεριέργως δε-
χέσθω ταῦτα, λογιζόμενος ὅτι, εἰ καὶ τοῦτο ἐποίησεν, οὐδ' οὕτως ἐπίστευσαν. καὶ οὐδὲν
ἄλλο, ἢ διὰ τοῦ σταυροῦ σωτηρία ἐκωλύετο. ὁ γὰρ σταυρὸς δόξα χριστοῦ μάλιστα πάν-

των· ποιήσας οὖν τὰ μείζω μὴ πιστευσάντων ἐκείνων, δύο ἐν τούτῳ κατώρθωσε, τόν τε
σταυρὸν ἄχρι τέλους τὸ μέγα τρόπαιον ὑπέμεινέ τε καὶ ἀνεδέξατο, κἀκείνους ἔδειξεν
ἀγνώμονας τὰ πάντα, καὶ μηδὲν ἀγαθὸν ἔχοντας ἀλλὰ τῇ ἀπιστίᾳ συγκεκραμένους.
» Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι Ἰωσὴφ, βουλευτὴς ὑπάρχων, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος, οὗ-
» τος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν, ἀπὸ ἀριμαθαίας πό-
» λεως τῶν Ἰουδαίων, ὃς προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ θεοῦ· οὗτος προσελ-
» θὼν τῷ πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ καθελὼν αὐτὸ, ἐνετύλιξεν αὐτὸ σιν-
» δόνι, καὶ ἔθηκεν αὐτὸ ἐν μνημείῳ λαξευτῷ, οὗ οὐκ ἦν οὐδέπω οὐδεὶς κείμενος. καὶ ἡ-
» μέρα ἦν παρασκευὴ, καὶ σάββατον ἐπέφωσκε. κατακολουθήσασαι δὲ γυναῖκες, αἵ-
» τινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς γαλιλαίας, ἐθεάσαντο τὸ μνῆμα, καὶ ὡς
» ἐτέθη τὸ σῶμα αὐτοῦ. ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα· καὶ τὸ μὲν
» σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν· Εἰ καὶ πρώην κρυπτόμενος ἦν Ἰωσὴφ,
ἀλλ' οὖν νῦν πρᾶγμα ἀξιέπαινον ποιεῖ, καίτοι βουλευτὴς ὑπάρχων καὶ πλούσιος, καὶ
τολμᾷ ζητῆσαι σῶμα ἀνθρώπου, ὡς ἀντάρτου καὶ στασιαστοῦ σταυρωθέντος, καὶ οὐδέ-
να κίνδυνον ὑπελογίσατο. καίτοι δειλὸν ὁ πλοῦτος, ἀλλὰ καὶ αἰτεῖται, καὶ ἐντίμως
θάπτει, καὶ ἐν μνημείῳ λαξευτῷ, ἔνθα οὐδεὶς ἄλλος κατέκειτο· ἵνα μὴ εἴπωσιν οἱ συ-
κοφάνται ὅτι ἕτερον σῶμα ἀνέστη. αἱ δὲ γυναῖκες εἰ καὶ πίστιν εἶχον πρὸς κύριον,
ἀλλ' οὐχ οἵαν ἔδει, ἀλλ' ἀσθενῆ καὶ μικράν· ὡς γὰρ ψιλὸν ἄνθρωπον νομίζουσαι, μύρα
τε καὶ ἀρώματα ἑτοιμάζουσι κατὰ τὸ κρατῆσαν ἔθος παρὰ Ἰουδαίοις πάντως ἐπὶ
τοῖς νεκροῖς. καὶ τὸ μὲν σάββατον ἡσυχάζουσι κατὰ τὴν τοῦ νόμου ἐντολήν·

Κεφάλαιον, κδ΄.

» Τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος ἦλθον ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡ-
» τοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς· εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον
» ἀπὸ τοῦ μνημείου, καὶ εἰσελθοῦσαι, οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ. καὶ ἐγέ-
» νετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐ-
» ταῖς, ἐν ἐσθήσεσιν ἀστραπτούσαις, ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ
» πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτὰς, τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;
» οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. μνήσθητε, ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ γαλιλαίᾳ, Ματθ. ιζ΄.
» λέγων ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρ- Μάρκ. θ΄.
» τωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. καὶ ἐμνήσθησαν τῶν Λουκ. θ΄.
» ῥημάτων αὐτοῦ. καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα
» τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς, ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ
» Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα·
» καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς.
» ὁ δὲ Πέτρος ἀναστὰς, ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει κείμενα τὰ
» ὀθόνια μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός· Μίαν τῶν σαββά-
των τὴν πρώτην τῶν τοῦ σαββάτου, ἤτοι τῆς ἑβδομάδος ἡμερῶν ὀνομάζει, ὅπερ ἐστὶ,
τὴν παρ' ἡμῖν ἐκ τῆς τοῦ κυρίου ἀναστάσεως ὀνομαζομένην κυριακήν· κατ' αὐτὴν οὖν
ἦλθον ἐπὶ τὸ μνῆμα αἱ γυναῖκες, φέρουσαι ἀρώματα. ἦλθον δὲ ὄρθρου βαθέος, ὃ κη΄.
ὁ Ματθαῖος, ὀψὲ σαββάτων φησί· ὁ γὰρ βαθὺς ὄρθρος εἰς ταυτὸν φέρει τῷ λίαν ὀ-
ψέ· εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον, ἄγγελος γὰρ ἀπεκύλισεν αὐτὸν, ὡς ὁ Ματ-
θαῖός φησι· εἰσελθούσαις δὲ αὐταῖς δύο ἄνδρες φαίνονται. ὁ μὲν γὰρ ὁ ἐν τῷ Ματ-
θαίῳ ἐπεκάθητο τῷ λίθῳ, οὗτοι δὲ οἱ δύο ἄνδρες ἔσωθεν τοῦ μνημείου ἐφίστανται,
διάφοροι γὰρ αἱ ὀπτασίαι. λευχείμονες δὲ φαίνονται διὰ τὸ λαμπρὸν τῆς ἀναστά-

σεως, καὶ ἀναμιμνήσκουσιν αὐτὰς τῶν παρ᾽ ἐκείνου ῥηθέντων. ὅτι δεῖ, τουτέστιν ἀναγ-
καῖόν ἐστι παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, τῶν ῥωμαίων δηλαδὴ,
ὡς ἐθνικῶν ὄντων καὶ βδελυκτῶν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. εἴπομεν περὶ τῆς
ἀναστάσεως, πῶς ἐστι τριήμερος ἱκανῶς ἐν τῷ κατὰ Ματθαῖον. ὑποστρέψασαι δὲ ἀπὸ
τοῦ μνημείου, καὶ τοῖς ἀποστόλοις ταῦτα λέξασαι, ληρεῖν ἔδοξαν, οὕτως ἄπιστον φύσει
τοῖς ἀνθρώποις δοκεῖ τὸ τῆς ἀναστάσεως θαῦμα. ὁ μέντοι Πέτρος οὐκ ἀργεῖ, ὥσπερ οὐ-
δὲ τὸ πῦρ ὕλης λαβόμενον, ἀλλ᾽ ἔρχεται ἐπὶ τὸ μνῆμα, καὶ βλέπει μόνα τὰ ὀθόνια.
καὶ τέως τοῦτο ὠφελεῖται πρῶτον ἀπὸ τῆς πρὸς τὸ μνῆμα ἀφίξεως, τὸ θαυμάζειν
ἀντὶ τοῦ χλευάζειν· ἀπῆλθε γάρ φησι, πρὸς ἑαυτὸν, τουτέστι καθ᾽ ἑαυτὸν θαυμάζων
τὸ γεγονός. πῶς γὰρ τὰ ὀθόνια μόνα κατελείφθησαν, καὶ ταῦτα σμύρνῃ ἀλειμμένου
τοῦ σώματος; πόσην δ᾽ ἂν εἶχε σχολὴν ὁ κλέπτης, ὥστε ταῦτα ἰδίᾳ ἐντετυλιγμένα
ἀφεὶς, τὸ σῶμα ἐκφορῆσαι καὶ ταῦτα, στρατιωτῶν παρακαθημένων, Μαρίαν δὲ Ἰα-
κώβου τὴν θεοτόκον νόει, οὕτως γὰρ αὐτὴν ὠνόμαζον, ὡς μητέρα δοκοῦσαν Ἰακώ-
βου τοῦ υἱοῦ Ἰωσὴφ, ὃν καὶ μικρὸν ἔλεγον, τὸν ἀδελφόθεόν φημι, ἦν γὰρ καὶ μέγας
ὁ εἷς τῶν δώδεκα, ὁ τοῦ Ζεβεδαίου·

» Καὶ ἰδοὺ δύο ἦσαν ἐξ αὐτῶν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν
» σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαούς. καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλ-
» λήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς
» καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς. οἱ δὲ ὀφθαλμοὶ αὐ-
» τῶν ἐκρατοῦντο, τοῦ μὴ ἐπιγνῶναι αὐτόν. εἶπε δὲ πρὸς αὐτοὺς, τίνες οἱ λόγοι οὗτοι, οὓς
» ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες; καὶ ἐστὲ σκυθρωποί; ἀποκριθεὶς δὲ ὁ εἷς
» ᾧ ὄνομα Κλεώπας, εἶπε πρὸς αὐτὸν, σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔ-
» γνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; καὶ εἶπεν αὐτοῖς, ποῖα; οἱ δὲ
» εἶπον αὐτῷ, τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔρ-
» γῳ καὶ λόγῳ ἐναντίον τοῦ θεοῦ, καὶ παντὸς τοῦ λαοῦ, ὅπως τε παρέδωκαν αὐτὸν οἱ
» ἀρχιερεῖς, καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. ἡμεῖς δὲ
» ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τού-
» τοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ᾽ οὗ ταῦτα ἐγένετο. ἀλλὰ καὶ γυναῖκές
» τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ
» σῶμα αὐτοῦ, ἦλθον λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν
» ζῆν. καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτως, καθὼς καὶ αἱ
» γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον· Τινὲς τὸν ἕνα τούτων τῶν δύο αὐτὸν τὸν Λου-
κᾶν εἶναί φασι, διὸ καὶ ἀπέκρυψε τὸ ἑαυτοῦ ὄνομα ὁ εὐαγγελιστής. ὡμίλουν δὲ πρὸς
ἀλλήλους οὗτοι περὶ πάντων τῶν συμβεβηκότων, οὐχ ὡς πιστεύοντες, ἀλλ᾽ ὡς διαπο-
ροῦντες, καὶ ὡς ἐπὶ πράγμασιν ἐξαισίοις ἐξιστάμενοι καὶ τῷ παραδόξῳ μὴ ῥᾳδίως
ἔχοντες συνθέσθαι. ὁ δὲ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς. πνευματικὸν γὰρ καὶ
θειότερον ἔχων τὸ σῶμα λοιπὸν, οὐκ ἐκωλύετο τόπων διαστήματι πρὸς τὸ μὴ οὐχ οἷς
βούλεται παρεῖναι· διὸ οὐδὲ ἀπὸ τῶν χαρακτήρων τοῦ σώματος, ἐν οἷς ἐφαίνετο τότε
ιε· ὁ σωτὴρ, συνεχωροῦντο γνῶναι αὐτόν. ὡς γὰρ ὁ Μάρκος φησὶν, ἐν ἑτέρᾳ ἐφαίνετο
μορφῇ, καὶ ἐν ἄλλοις χαρακτῆρσιν· οὐκέτι γὰρ φυσικοῖς νόμοις ᾠκονόμει τὸ σῶμα,
ἀλλ᾽ ὑπὲρ φύσιν καὶ πνευματικῶς, ἐντεῦθεν οἱ ὀφθαλμοὶ ἐκείνων ἐκρατοῦντο τοῦ μὴ
ἐπιγνῶναι αὐτόν. διατί δὲ ἐν ἑτέρᾳ μορφῇ ἐφάνη; καὶ ἐκρατοῦντο οἱ ὀφθαλμοὶ αὐ-
τῶν; ἵνα πᾶσαν τὴν διστάζουσαν αὐτῶν γνώμην ἀνακαλύψωσιν, ἵνα τὸ ἕλκος ἀπο-
γυμνώσωσιν, εἶθ᾽ οὕτως τὸ φάρμακον ἐπιδέξωνται. ἵνα γλυκὺς αὐτοῖς φανῇ μετὰ τὴν
πολλὴν

πολλὴν τρίβων, ἵνα διδάξῃ ἀπὸ μωσέως καὶ τῶν προφητῶν, καὶ τότε ἐπιγνωσθῇ,
καὶ μᾶλλον πιστεύσωσιν, ὅτι οὐκ ἔτι τὸ σῶμα αὐτοῦ τοιοῦτόν ἐστιν, οἷον ἁπλῶς πᾶσι
θεωρητὸν εἶναι. ἀλλ᾽ εἰ καὶ αὐτὸ τὸ παθὸν ἀνέστη, ὅμως οἷς βούλεται φαίνεται· κερδαί-
νουσί τε ἐκ τούτου μέγα τι, τὸ μηκέτι διαπορεῖσθαι, τίνος ἕνεκεν οὐ πάλιν ἐν μέσοις
τοῖς δήμοις ἀναστρέφεται, λογιζόμενοι ὅτι ἡ μετὰ τὴν ἀνάστασιν αὐτοῦ διαγωγὴ ἀλλοιο-
τέρα ἐστὶ καὶ οὐ κοινὴ, οὐδὲ ἀνθρωποπρεπὴς, ἀλλὰ θειοτέρα, ὃ καὶ τῆς μελλούσης ἀ-
ναστάσεως τύπος, ἐν ᾗ ὡς ἄγγελοι διάξομεν καὶ υἱοὶ θεοῦ. διὰ ταῦτα τοίνυν ἐκρατοῦν-
το οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ ἐπιγνῶναι αὐτὸν, οἷς γὰρ ἤθελεν, ἑωρᾶτο. ὁ δὲ κλεώπας
καὶ ὀνειδίζει αὐτῷ τῷ φαινομένῳ συνοδοιπόρῳ, σὺ μόνος, φησὶ, παροικεῖς; ἀντὶ τοῦ σὺ
μόνος ἐκ τῶν κατοίκων τῆς ἱερουσαλὴμ οὐκ ἔγνως τὰ γενόμενα; ἄλλοι δὲ τὸ παροι-
κεῖς, οὕτως ἐνόησαν, σύ φησιν, οὕτω μόνος παροικεῖς, καὶ ἔξω τῶν ὁρίων τῆς ἱερουσα-
λὴμ ᾠκισμένος εἶ, καὶ ἀμέτοχος τῶν ἐν μέσῳ πραττομένων, ὡς μὴ ταῦτα γινώσκειν;
ὅρα δὲ πῶς μικρὰν πάντη περὶ τοῦ κυρίου ὑπόληψιν εἶχον, ἄνδρα γὰρ προφήτην αὐ-
τὸν ὠνόμαζον, οἷον ἠλίαν, Ἰησοῦν τὸν τοῦ Ναυῆ, ἢ καὶ Μωσέα εἰπεῖν. δυνατὸν ἐν ἔργῳ
καὶ λόγῳ, πρῶτον τὸ ἔργον, εἶτα ὁ λόγος, οὐδεὶς γὰρ λόγος βέβαιος διδασκαλικὸς, εἰ
μὴ πρότερον ὁ διδάσκων ἐργάτην ἑαυτὸν ἐκφαίνοι. δυνατὸς οὖν γίνου ἐν ἔργῳ πρῶτον,
εἶτα καὶ τὸν λόγον σπούδαζε ἔχειν· οὕτω καὶ ὁ θεὸς συνεργήσει σοι. πρότερον γὰρ ἡ
πρᾶξις, εἶτα θεωρία καὶ ἔλλαμψις· εἰ μὴ τὸ κάτοπτρον καθαρίσεις ἐν πόνῳ καὶ ἱδρῶ-
τι οὐκ ἂν τὸ ποθούμενον κάλλος κατοπτρίσῃς. μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ, τοῦ- Ματθ. ε΄.
το διὰ τῶν ἔργων, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται, τοῦτο τῆς θεωρίας τὸ τέλος. δεῖ δὲ εἶναι
δυνατὸν ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ θεοῦ, καὶ τότε ἐναντίον παντὸς τοῦ λαοῦ. πρῶ-
τον γὰρ ἀρεστέον θεῷ, εἶτα καὶ τὸ ἀμώμητον σπουδαστέον πρὸς ἀνθρώποις, ὡς ἂν ἐγχω-
ρῇ, καὶ μήτε τὴν ἀνθρωπαρέσκειαν προτιμητέον, ἀλλὰ τὴν θεοσέβειαν, μήτε πρὸς τὸ
σκάνδαλον τῶν πολλῶν βιωτέον, ἀλλὰ καὶ τούτου μετ᾽ ἐκείνοις προνοητέον, ὃ καὶ σο- Παροι. γ΄.
φός φησι προνοοῦ καλὰ ἐνώπιον θεοῦ, εἶτα καὶ ἀνθρώπων. καὶ Παῦλος τοῦτο αὐτό. ἡμεῖς
δὲ ἠλπίζομεν, φησὶν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραὴλ, ὡς περὶ δια- β΄. Προς
ψευσθέντες τῶν ἐλπίδων, οὕτω φασὶν, ἡμεῖς ἠλπίζομεν ὅτι αὐτὸς καὶ ἄλλοις σώσει, Κορ. η΄.
καὶ ἰδοὺ οὐδὲ ἑαυτὸν ἔσωσεν, οὕτως ἀγεννῶς καὶ ἀπίστως εἶχον. μονονουχὶ γὰρ ἐκεῖνα ἔ-
λεγον, ἃ καὶ οἱ ἐπὶ τοῦ σταυροῦ, ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύναται σῶσαι· διὸ καὶ ἀνοή-
τους αὐτοὺς ἀποκαλεῖ καὶ βραδεῖς τοῦ πιστεύειν. τί δὲ ἐστι τοῦτο τὸ λυτροῦσθαι τὸν Ἰσραήλ;
διαφόρως εἴπομεν, ὅτι τὸν χριστὸν προσεδόκων οἱ τοῦ λαοῦ, καὶ μὴ ἀκριβέστεροι σωτῆρα
καὶ λυτρωτὴν τῶν ἐπικειμένων αὐτοῖς κακῶν, καὶ τοῦ ζυγοῦ τῆς δουλείας τῆς ὑπὸ
ῥωμαίων, καὶ βασιλεύσειν δὲ αὐτὸν ἐπίγειον βασιλείαν ἤλπιζον. διὸ καί φασιν, ὅτι ἡ-
μεῖς ἠλπίζομεν, ὅτι καὶ τὸν Ἰσραὴλ ἀπὸ τῶν ἐθνικῶν ῥωμαίων αὐτὸς λυτρώσεται, καὶ
οὗτος οὐδὲ τὴν ἄδικον ἐπ᾽ αὐτῷ ψῆφον διέφυγε, καὶ μὴν καὶ τρίτην ἡμέραν ἄγει
σήμερον, καὶ γυναῖκες ἐξέστησαν ἡμᾶς καὶ τὰ ἑξῆς. ταῦτα ὥσπερ εἰ διαποροῦντες
φασίν. καὶ ἐοίκασί μοι οἱ ἄνδρες ἐν πολλῇ ἀμφιγνωμοσύνῃ εἶναι, καὶ μήτε σφόδρα
ἀπιστεῖν, μήτε σφόδρα πιστεύειν. τὸ μὲν γὰρ εἰπεῖν, ὅτι ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ λυ-
τρωσόμενος τὸν ἰσραὴλ, ἀπιστίαν ἐνδείκνυται. τὸ δὲ λέγειν, ὅτι τρίτην ταύτην ἡμέραν
ἄγει, ἀνθρώπων ἐστὶν ἐγγὺς ὄντων τοῦ ἀναμιμνήσκεσθαι, ὅτι εἶπεν αὐτοῖς τῇ τρίτῃ ἡ-
μέρᾳ ἀναστήσομαι. καὶ τὸ ἐξέστησαν ἡμᾶς, τοιοῦτόν τι ἐμφαίνει, φημὶ δὴ τὸ τὴν ἀπι-
στίαν αὐτῶν ὑποσαλεύεσθαι. ὅλως δὲ σκοπούμενοι οἱ λόγοι ἀνθρώπινοι τῷ ὄντι εἰσὶ,
καὶ πολλὴν τὸν διστασμὸν ἔχοντες, καὶ οἷον ἐπαπορουμένων, καὶ ἀμηχανούντων
διὰ τὸ τῆς ἀναστάσεως ἐξαίσιον. ἀπῆλθον δέ φασι, τινὲς τῶν σὺν ἡμῖν, ἢ τὸν Πέτρον

μόνον φησὶ, ἢ τὸν Πέτρον καὶ Ἰωάννην· κἀντεῦθεν δῆλον, ὅτι οἱ πλατέως ἕτεροι λέ-
γουσιν, ἄλλοι συντόμως καὶ ἐπιδρομάδην διέρχονται· ὥσπερ οὖν καὶ τὴν ἐπὶ τὸ μνη-
κ' μεῖον ἄφιξιν Πέτρου καὶ Ἰωάννου ὁ μὲν Ἰωάννης πλατύτερον διεξῆλθεν, οὗτος δὲ
ὀλίγον ἐπιμνησθεὶς, ἀνωνύμως παρῆλθεν·

» Καὶ αὐτὸς εἶπε πρὸς αὐτοὺς, ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶ
» σιν, οἷς ἐλάλησαν οἱ προφῆται. οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς
» τὴν δόξαν αὐτοῦ; καὶ ἀρξάμενος ἀπὸ πάντων τῶν προφητῶν, καὶ ἀπὸ Μωϋσέος διηρ-
» μήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ. καὶ ἤγγισαν εἰς τὴν κώ-
» μην οὗ ἐπορεύοντο. καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι, καὶ παρεβιά-
» σαντο αὐτὸν λέγοντες, μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ, καὶ κέκλικεν ἡ ἡμέρα.
» καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς, καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐ-
» τῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. αὐτῶν δὲ διηνοίχθη-
» σαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτὸν, καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. καὶ
» εἶπον πρὸς ἀλλήλους, οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν ὡς ἐλάλει ἡμῖν ἐν τῇ
» ὁδῷ; καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν
» εἰς Ἱερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς λέγοντας,
» ὅτι ἠγέρθη ὁ κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ
» ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου· Ἐπειδὴ ἀνθρωπίνως τὰς γνώμας διέ-
κειντο, καὶ πολὺν τὸν δισταγμὸν ἐνόσουν, ἀνοήτους αὐτοὺς ἀποκαλεῖ καὶ βραδεῖς, ὥς
τε πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται. ἔστι γὰρ πιστεύειν καὶ μερικῶς καὶ
καθόλου, οἷον ἐάν τις τὸν χριστὸν ἐπὶ σωτηρίᾳ τοῦ λαοῦ ἐλπίζῃ ἔσεσθαι, οὐ μέντοι γε
ψυχῶν σωτηρίᾳ, ἀλλ' ἀποκαταστάσει τοῦ ἔθνους τοῦ ἰουδαϊκοῦ καὶ ἀπολυτρώσει, ὁ τοιοῦ
τος οὐχ ὅσον δεῖ πιστεύειν, πιστεύει· καὶ αὖθις, εἰ πιστεύει μὲν τῷ Δαβὶδ λέγοντι, ὤρυ
ψαλ. κα'. ξαν χεῖράς μου καὶ πόδας μου, καὶ τὰ λοιπὰ ὅσα περὶ τοῦ σταυροῦ καὶ τῶν ἐν τῷ
σταυρῷ ὡς ἐκ προσώπου τοῦ κυρίου προφητεύει, καὶ δέχεται τὰ περὶ τοῦ πάθους, τὰ
ψαλ. ιε'. δὲ περὶ τῆς ἀναστάσεως οὐ λογίζεται, οἷον τὸ, οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθο-
ψαλ. πζ'. ρὰν, καὶ τὸ, οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, καὶ τὸ, ἐν νεκροῖς ἐλεύθε-
ψαλ. ξζ'. ρος, καὶ τὸ, ἐξάγων πεπεδημένους, καὶ τοὺς κατοικοῦντας ἐν τάφοις, καὶ τὰ τοιαῦτα,
οὐ τελείαν πίστιν ἔχει, ἀλλ' ἐκ μέρους. δεῖ δὲ ἐπὶ πᾶσι τοῖς τε τῆς ἀτιμίας, τοῖς τε
τῆς δόξης πιστεύειν τοῖς προφήταις. ἔδει γὰρ τὸν χριστὸν παθεῖν, τοῦτο τῆς ἀτιμίας·
ἀλλὰ καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ, τοῦτο τὸ ἔνδοξον. ὑμεῖς δὲ οὕτως ἀνόητοί ἐστε, ὥστε
νγ'. Ἡσαΐου ἀκούοντες λέγοντος ἀμφότερα, ὅτι τε εἰς σφαγὴν ἤχθη, καὶ ὅτι κύριος βού-
λεται δεῖξαι αὐτῷ φῶς, ἐκεῖνο μὲν δέχεσθαι, τοῦτο δὲ μὴ λογίζεσθαι. καὶ ὅτι μὲν
μεμώλωπισται, πιστεύειν. ὅτι δὲ κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πλη-
γῆς, μὴ προσεννοεῖν. ἀλλ' ἐπεὶ, φησὶν, ὑμεῖς ἀνόητοι, ἤτοι βραδεῖς, εἰ γὰρ ἀνόητοι
ἦσαν, οὐδ' ἂν οὐδ' αὐτὸς ἐλάλει αὐτοῖς· ἐπεὶ οὖν βραδεῖς ὑμεῖς ἐστὲ, ἐγὼ διαβαστάσω τὴν
ὑμῶν διάνοιαν, καὶ νοεῖν ὀξέως ποιήσω· διὸ καὶ ἀπὸ μωσέως καὶ ἀπὸ πάντων τῶν προ
Γεν. κβ'. φητῶν διηρμήνευεν αὐτοῖς· τό, τε γὰρ τῆς Ἀβραὰμ θυσίας μυστήριον, ὅτι Ἰσαὰκ ἀ-
φεθέντος, κριὸς ἐτύθη ταῦτα τὰ κατὰ τὸν κύριον προετύπου, ὡς καὶ αὐτὸς ὁ κύ-
Ἰωάν. η'. ριος φησὶν, ἰδεῖν τὸν Ἀβραὰμ τὴν ἡμέραν αὐτοῦ καὶ ἀγαλλιάσασθαι, καὶ τὸ, ὄψεσθε
Δευτε. κη'. τὴν ζωὴν ἡμῶν κρεμαμένην, ἐν ταυτῷ καὶ τὴν σταύρωσιν δηλοῖ διὰ τοῦ κρεμαμένην
εἰπεῖν, καὶ τὴν ἀνάστασιν διὰ τοῦ τὴν ζωὴν ὀνομάσαι. καὶ ἐν ταῖς λοιπαῖς δὲ προφη
τείαις σποράδην κεῖνται τὰ περὶ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, καὶ μάλιστα ἐν
τοῖς ἐπιφανεστέροις, καὶ πάρεστιν ἐκεῖθεν ταῦτα ἀναλέγεσθαι· σκόπει δέ μοι πῶς ἐκ

τοῦ

τοῦ κακοπαθεῖν τὸ εἰσελθεῖν εἰς τὴν δόξαν ἐστίν· προσποιεῖται δὲ πορρωτέρω πορεύε-
σθαι, κατὰ τὸ ἀνθρώπινον πάντως· ὅτε δὲ συγχωρεῖ τότε διανοίγονται οἱ ὀφθαλμοὶ
αὐτῶν, καὶ ἐπέγνωσαν αὐτόν· αἰνίττεται δέ τι καὶ ἕτερον, ὅτι τοῖς μεταλαμβάνουσι
τοῦ εὐλογημένου ἄρτου, διανοίγονται οἱ ὀφθαλμοὶ εἰς τὸ ἐπιγνῶναι αὐτὸν, μεγάλην
γὰρ καὶ ἄφατον δύναμιν ἔχει ἡ τοῦ κυρίου σάρξ· ἄφαντος δὲ γίνεται ἀπ' αὐτῶν, οὐκ
ἔτι γὰρ τοιοῦτον εἶχε σῶμα, οἷον ἐπὶ πολὺ σωματικῶς συνδιάγειν αὐτοῖς, καὶ ἅμα
ἵνα πλείονα ἐκ τούτου τὸν πόθον ἐπαυξήσῃ αὐτοῖς· οὕτω γοῦν ἐχάρησαν, ὥστε αὐτῇ
τῇ ὥρᾳ ἀναστῆναι, καὶ ὑποστρέψαι εἰς Ἱερουσαλήμ, οὐκ αὐτῇ δὲ τῇ ὥρᾳ· ἀνέστησαν μὲν
γὰρ κατ' αὐτὴν τὴν ὥραν, ὑπέστρεψαν δὲ μετὰ πλείους, ὅσας εἰκὸς ἦν αὐτοὺς ποιῆσαι
τὸ διάστημα τῶν ἑξήκοντα σταδίων βαδίζοντας, ἐν αἷς πάντως καὶ ὁ δεσπότης ὤφθη
τῷ Σίμωνι διὰ μέσου, ὁδοιπορούντων αὐτῶν ἐν τῇ ὑποστροφῇ· καιομένη δὲ ἦν ἡ καρ
δία αὐτῶν, ἢ τῷ πυρὶ τῶν λόγων τοῦ κυρίου, ἑρμηνεύοντος γὰρ αὐτοῖς, διεθερμαίνον-
το ἔσωθεν καὶ συνδιετίθεντο ἐπὶ τοῖς λεγομένοις ὡς ἀληθέσιν· ἢ ὅτι ἑρμηνεύοντος αὐ
τοῖς τὰς γραφὰς, ἐπάταξεν ἔσωθεν ἡ καρδία αὐτῶν, ὅτι οὗτος ὁ ἑρμηνεύων ἡμῖν
ἐστὶν ὁ κύριος·

» Ταῦτα δὲ αὐτῶν λαλούντων, καὶ αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ τῶν μαθητῶν αὐ
» τοῦ, καὶ λέγει αὐτοῖς, εἰρήνη ὑμῖν· πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦ
» μα θεωρεῖν, καὶ εἶπεν αὐτοῖς, τί τεταραγμένοι ἐστέ; καὶ διατί διαλογισμοὶ ἀναβαί
» νουσιν ἐν ταῖς καρδίαις ὑμῶν; ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου ὅτι αὐτὸς ἐγώ εἰ-
» μι· ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεω
» ρεῖτε ἔχοντα· καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. ἔτι δὲ ἀπι-
» στούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς, ἔχετέ τι βρώσιμον ἐν
» θάδε; οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου, καὶ λαβὼν
» ἐνώπιον αὐτῶν ἔφαγεν· εἶπε δὲ αὐτοῖς, οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι
» ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ μωσέως, καὶ
» προφήταις, καὶ ψαλμοῖς περὶ ἐμοῦ· Ὁ πάντα πρὸς σωτηρίαν ἡμῶν οἰκονομῶν
κύριος, ἵσταται ἐν μέσῳ τῶν μαθητῶν, πιστώσασθαι τὴν ἀνάστασιν θέλων· καὶ πρῶτον
μὲν διὰ τοῦ συνήθους προσφθέγματος τῆς εἰρήνης καταστέλλει τὸν θόρυβον αὐτῶν, ἅ-
μα δὲ καὶ δείκνυσιν, ὡς αὐτὸς ἐκεῖνος ἐστὶν ὁ διδάσκαλος αὐτῶν, ὁ τούτῳ τῷ προσρή-
ματι χαίρων, καὶ τούτῳ καθοπλίσας καὶ αὐτοὺς, ὁ ἡνίκα πρὸς τὸ κήρυγμα ἔστελλεν· Ματθ. ι.
ἐπεὶ δὲ διὰ τοῦ ῥήματος τούτου οὐ κατεστάλη ὁ τῆς ψυχῆς αὐτῶν θόρυβος, δείκνυσιν Λουκ. ι.
αὐτοῖς ἑτέρωθεν ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἐστὶν, ὁ τὰς καρδίας γινώσκων· διατί γάρ, φησι, δια-
λογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; πάντως δὲ τὸ γινώσκειν καρδίας, θεοῦ
ὁμολογουμένως ἐστί. ἐπιφέρει καὶ ἕτερον, τὴν ψηλάφησιν τῶν χειρῶν καὶ τῶν ποδῶν·
ὑμεῖς μὲν γάρ, φησι με πνεῦμα δοκεῖτε εἶναι, ἤτοι φάντασμα, οἷα πολλὰ τῶν τεθνεώ
των μάλιστα περὶ τὰ μνήματα φαντάζειν εἴωθεν· ἀλλ' ἴστε, ὅτι τὸ μὲν πνεῦμα οὔ-
τε σάρκα, οὔτε ὀστέα ἔχει, ἐγὼ δὲ καὶ σάρκα καὶ ὀστέα ἔχω· εἰ καὶ θειότερα καὶ πνευ-
ματικά· τὸ γὰρ τοῦ κυρίου σῶμα πνεῦμα μὲν οὐκ ἦν, πνευματικὸν δὲ, τουτέστι, πά-
σης παχύτητος ἐκτὸς, πνεύματι διοικούμενον· τὸ μὲν γὰρ σῶμα, ὃ νῦν ἔχομεν, ψυχι-
κόν ἐστι, τουτέστιν ψυχῇ διοικούμενον, καὶ ζωογονούμενον ταῖς φυσικαῖς καὶ ψυχικαῖς
ποιότησι καὶ δυνάμεσι· τὸ δὲ μετὰ τὴν ἀνάστασιν πνευματικὸν ὠνόμασεν ὁ Παῦλος, α΄. Πρὸς
ἤγουν πνεύματι ζωογονούμενον θείῳ, καὶ διοικούμενον, καὶ οὐ ψυχῇ, τρόπῳ ἀπορρήτῳ Κορ. ιε΄.
καὶ πνευματικῷ πρὸς ἀφθαρσίαν μεταστοιχειωθὲν, καὶ ἐν ταύτῃ συντηρούμενον· τοιοῦ
τον οὖν χρὴ νοεῖν τὸ τοῦ κυρίου σῶμα μετὰ τὴν ἀνάστασιν πνευματικὸν, καὶ λεπτὸν, καὶ

πάσης παχύτητος ἐκτὸς, καὶ οὔτε τροφῆς, οὔτε ἄλλου τινὸς δεόμενον, εἰ καὶ πρὸς πίστωσιν ἔφαγεν· ὃ γὰρ ἔφαγεν, οὐ κατὰ φύσιν ἔφαγεν, ἀλλὰ κατ' οἰκονομίαν, ἵνα δείξῃ ὅτι αὐτὸ τὸ παθὸν σῶμα ἀνέστη. κατὰ φύσιν μέντοι ἴδιον τῷ σώματι ἦν τὸ κεκλεισμένων τῶν θυρῶν εἰσιέναι, τὸ ἀκόπως ἀπὸ τόπου εἰς τόπον μεταβαίνειν. ἀπιστούντων οὖν τῶν μαθητῶν ἔτι, καὶ μηδὲ ἀπὸ τῆς ψηλαφήσεως ἀναπεισθέντων, καὶ ἕτερον προστίθησι τὸ τῆς βρώσεως, θείᾳ τινὶ δυνάμει καταναλισκομένων τῶν βιβρωσκομένων· πᾶν γὰρ τὸ φυσικῶς βιβρωσκόμενον, διὰ τοῦ στόματος εἰς ἀφεδρῶνα χωρεῖ, τὰ δὲ οὐ φυσικῶς ὡς εἴπομεν, ἀλλ' οἰκονομικῶς ἐβιβρώσκετο· ἔχειν δέ τι καὶ αἴνιγμα ἔοικε τὰ τότε βρωθέντα· ἰχθύος γὰρ ὀπτοῦ μέρος φαγὼν, αἰνίττεται ὅτι τὴν φύσιν ἡμῶν τὴν ἐν τῷ ἁλμυρῷ τούτῳ βίῳ νηχομένην τῷ πυρὶ τῆς οἰκείας θεότητος ἐκτήξας, καὶ πᾶσαν ἣν εἶχεν ἐκ τῶν βαθέων τῶν ὑδάτων, μᾶλλον δὲ τῶν κυμάτων ὑγρότητα ἐξικμάσας, θείαν βρῶσιν πεποίηκε ταύτην, τὴν πρώην βδελυκτὴν, ἡδεῖαν βρῶσιν

ταλ. ριη'. ἐργασάμενος τῷ θεῷ· τοῦτο γάρ φησιν, αἰνίττεται τὸ μελίσσιον κηρίον, τὴν νῦν γλυκύτητα λέγω τῆς περὶ ἀρβλήτου ἡμῶν φύσεως· ἢ καὶ τοῦτο οἶμαι αἰνίττεται, διὰ μὲν τοῦ ὀπτοῦ ἰχθύος τὴν πρακτικήν. ὑφαιροῦσαν ἡμῶν τὴν πολλὴν ὑγρότητα καὶ παχύτητα διὰ τῆς τῶν ἐρημικῶν καὶ ἡσυχαστικῶν ἀνθρώπων βοηθείας· τὴν δὲ γνῶσιν ἤτοι θεωρίαν διὰ τοῦ μελισσίου κηρίου, ἐπειδὴ γλυκέα τὰ τοῦ θεοῦ λόγια· ἔστι δὲ κηρίον ἀλλὰ κηφηνῶδες, τὸ τῆς ἑλληνικῆς σοφίας, ἔστι δὲ κηρίον μελίσσιον, τὸ τῆς θείας σο-

Προς Ρ'ω. θ'. φίας· ἐπειδὴ χριστὸς ἡ μέλισσα, μικρὰ μὲν τῷ μεγέθει, συντετμημένος γὰρ ὁ λόγος, καὶ
α'. Προς τῇ ῥώμῃ ἀσθενής· οὐκ ἐν δυνάμει γὰρ λόγου παῦλος κηρύττει, ἵνα μὴ κενώσῃ τὸν σταυ-
Κορ. α'. ρόν· πλὴν βασιλεῦσι καὶ ἰδιώταις ἐράσμιος, εἰς ὑγίειαν ψυχικὴν προσφερομένοις τοὺς πόνους αὐτῆς·

» Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς γραφὰς, καὶ εἶπεν αὐτοῖς, ὅτι οὕτως γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν χριστὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι ἐκ νεκρῶν, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν, καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ ἱερουσαλὴμ· ὑμεῖς δὲ ἐστὲ μάρτυρες τούτων, καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς, ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους· ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς· καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν· καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης, καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν θεόν. ἀμήν. Ὅτε εἰρήνευσε, καὶ κατέστησε τὰς καρδίας αὐτῶν δι' ὧν εἶπε, δι' ὧν ἐψηλαφήθη, δι' ὧν ἔφαγε πιστωσάμενος τὴν ἀληθῆ τοῦ σώματος αὐτοῦ ἀνάστασιν, τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέ-

ταλ. μι'. ναι τὰς γραφάς· εἰ μὴ γὰρ ἐσχόλασεν ἡ ψυχὴ αὐτῶν, πῶς ἂν ἔγνω ταρασσομένη, καὶ μὴ καθεστῶσα; σχολάσατε γάρ, φησι, καὶ γνῶτε· διὸ καὶ διδάσκει αὐτοὺς, ὅτι ἀναγκαῖον ἦν οὕτω παθεῖν τὸν χριστὸν, οὕτω πῶς; διὰ ξύλου σταυροῦ· ἐπειδὴ διὰ ξύλου ὁ ὄλεθρος, ἀναγκαῖον ἦν καὶ διὰ ξύλου ἀναλυθῆναι τὴν φθορὰν, καὶ δι' ὀδυνῶν τῶν ἐν τῷ ξύλῳ διελθόντα ἀήττητον τὸν κύριον, τὴν ἐν τῷ ξύλῳ ἡδονὴν καταργῆσαι, εἶτα καὶ ἀναστῆναι, φησὶ, τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη· περὶ τοῦ βαπτίσματος ἐνταῦθα φησὶν ἐν τούτῳ γὰρ μετάνοιά τε γίνεται διὰ τῆς ἐξαγορεύσεως καὶ ἀρνήσεως τῶν προτέρων κακιῶν καὶ ἀσεβειῶν, καὶ ἐπακολουθεῖ ἡ ἄφεσις τῶν ἁμαρτιῶν· πῶς δὲ τὸ βάπτισμα νόσο-

Ματθ. κη'. μεν ἐπὶ τῷ ὀνόματι τοῦ χριστοῦ μόνου γίνεσθαι, καὶ ταῦτα ἀλλαχοῦ διδασκόμενοι εἰς

τὸ ὄνομα

τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τελεῖν τοῦτο; πρῶτον μὲν
οὖν τοῦτό φαμεν, ὅτι τὸ βάπτισμα ὅταν λέγωμεν ἐπὶ τῷ ὀνόματι τοῦ χριστοῦ γίνεσθαι,
οὐ τοῦτο λέγομεν ὅτι δεῖ ἐπὶ μόνῳ τῷ τοῦ χριστοῦ ὀνόματι τοῦτο τελεῖν, ἀλλ' ὅτι τὸ τοῦ χρι
στοῦ βάπτισμα ὁ χριστὸς ἐβάπτιζε, τουτέστι, πνευματικὸν οὐκ ἰουδαϊκὸν, οὐδὲ οἷον τὸ
ἰωάννου εἰς μετάνοιαν μόνον, ἀλλὰ πνεύματος ἁγίου κοινωνίαν, καὶ ἄφεσιν ἁμαρ-
τιῶν παρεχόμενον, οἷον αὐτὸς ἔδειξε δι' ἡμᾶς βαπτιζόμενος ἐν ἰορδάνῃ, καὶ τὸ πνεῦ-
μα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς δείξας. ἔπειτα τὸ ἐπὶ τῷ ὀνόματι τοῦ χριστοῦ βάπτισ Ματθ. γ΄.
μα, ἀντὶ τοῦ εἰς τὸν θάνατον τοῦ χριστοῦ νόει. ὥσπερ γὰρ ἐκεῖνος θανὼν τριήμερος ἀνέ
στη, οὕτω καὶ ἡμεῖς ἐν θαπτόμενοι τυπικῶς τῷ ὕδατι, εἶτα ἀναδυόμεθα ἄφθαρτοι τὰς
ψυχάς. καὶ τῆς τοῦ σώματος ἀφθαρσίας τοὺς ἀῤῥαβῶνας δεχόμενοι. ἄλλως τε τὸ χρι
στὸς ὄνομα ἐν ἑαυτῷ ἐμφαίνει καὶ τὸν πατέρα τὸν χρίσαντα, καὶ τὸ χρίσμα τὸ πνεῦ
μα, καὶ τὸν χρισθέντα υἱόν. ἐπὶ τῷ ὀνόματι τοῦ κυρίου ἄφεσις ἁμαρτιῶν. ποῦ λοι-
πὸν αἱ βορβορώδεις γλῶσσαι τῶν βαπτιζόντων εἰς μοντανὸν, καὶ πρίσκιλλαν, καὶ
μαξιμίλλαν; ἀληθῶς οὐδεμία οὕτω τοῖς βαπτιζομένοις ἄφεσις, ἀλλὰ καὶ προσθήκη
ἁμαρτιῶν ἐπιγίνεται. οὗτοι μὲν οὖν κακῶς ἀπόλοντο. εἰς πάντα δὲ τὰ ἔθνη ὁ λόγος
ἐξῆλθεν, ἀρξάμενος ἀπὸ ἱερουσαλήμ. ἔδει γὰρ τὴν φύσιν πᾶσαν ἐν χριστῷ ἑνωθεῖσαν
καὶ προσληφθεῖσαν, μὴ εἰς δύο λοιπὸν διαιρεῖσθαι τμήματα ἑβραίοις καὶ ἐθνικοῖς,
ἀλλ' ἄρξασθαι ἀπὸ ἱερουσαλήμ τὸν λόγον καὶ ἐν τοῖς ἔθνεσιν ἀναπαύσασθαι, ἑνο-
ποιοῦντα τὴν φύσιν. ὑμεῖς δὲ, φησιν, ἐστὲ μάρτυρες τούτων, τῶν παθῶν, τῆς ἀναστά
σεως. εἶτα ἵνα μὴ ταραχθῶσι παρ' ἑαυτοῖς, καὶ λογίσωνται πῶς μαρτυρήσομεν ἄνθρω
ποι ἰδιῶται πρὸς ἔθνη ἀποστελλόμενοι; πρὸς τοὺς ἱεροσολυμίτας ἀντιπαρεκδυόμενοι
τοὺς καὶ σὲ ἀποκτείναντας; θαρσεῖτε φησὶ τούτου ἕνεκα, ἀποστελῶ γὰρ, ὅσον οὔπω, τὴν
ἐπαγγελίαν τοῦ πατρός μου, ἣν εἶπον διὰ ἰωήλ, ὅτι ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ β΄.
πᾶσαν σάρκα, καὶ τὰ ἑξῆς. καθίσατε οὖν οἱ νῦν δειλοὶ καὶ ἄνανδροι, ἕως οὗ ἐνδύσησθε
δύναμιν οὐκ ἀνθρωπίνην, ἀλλ' οὐράνιον. οὐκ εἶπε δὲ δέξησθε, ἀλλ' ἐνδύσησθε, τὸ πάντο
θεν φρουρητικὸν τῆς πνευματικῆς ὁπλίσεως ὑποφαίνων. ἐξήγαγε δὲ αὐτοὺς ἕως εἰς
βηθανίαν. τοῦτο νοήσωμεν ἐν αὐτῇ τῇ τεσσαρακοστῇ ἡμέρᾳ γεγονέναι. ἃ γὰρ οὗτοι ἐν ἐπι
τομῇ λέγουσι, ταῦτα νόει μοι σὺ ἐν πολλαῖς ἡμέραις γίνεσθαι, ὡς αὐτὸς οὗτος ὁ λου- Λου. α΄.
κᾶς φησὶν ἐν ταῖς πράξεσιν, ὅτι δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς. συχνά
κις γὰρ ἐφίστατο, καὶ ἀφίστατο. εὐλόγησε δὲ τοὺς μαθητὰς, τάχα μὲν καὶ δύναμιν
φρουρὸν αὐτοῖς ἐντιθεὶς ἄχρι τῆς τοῦ πνεύματος παρουσίας, τάχα δὲ καὶ ἡμᾶς δι-
δάσκων, ἐπειδὰν ἀποδημῶμεν, ταῖς εὐλογίαις τοὺς ὑφ' ἡμᾶς παρακατατίθεσθαι. ἀ-
νεφέρετο δὲ εἰς τὸν οὐρανόν, ἠλίας μὲν γὰρ ὡς εἰς οὐρανὸν, ὡσανεὶ γὰρ ἐδόκει εἰς οὐ- δ΄. Βασι. β΄.
ρανὸν ἀναφέρεσθαι. ὁ δὲ σωτὴρ εἰς τὸν οὐρανὸν αὐτὸν πρόδρομος πάντων ἀνελήλυθε,
μετὰ τῆς ἁγίας σαρκὸς αὐτοῦ ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ, καὶ σύνεδρον αὐ-
τὴν ἀποδεῖξαι τῷ πατρί. καὶ νῦν προσκυνεῖται ἡ φύσις ἡμῶν ἐν χριστῷ ὑπὸ πάσης
ἀγγελικῆς δυνάμεως. αὐτοὶ δὲ ὑπέστρεψαν μετὰ χαρᾶς μεγάλης, καὶ ἦσαν διὰ παν
τὸς ἐν τῷ ἱερῷ. ὁρᾷς ἀρετήν; οὔπω τὸ πνεῦμα, καὶ πνευματικῶς διάγουσι. οἱ γὰρ
κεκλεισμένοι πρότερον, νῦν ἐν μέσοις τοῖς ἀρχιερεῦσι διάγουσι, καὶ οὐδὲν ἐν αὐτοῖς
βιωτικὸν, ἀλλὰ πάντων περιφρονήσαντες, ἐν τῷ ἱερῷ αἰνοῦσι διαπαντὸς τὸν θεὸν, καὶ
εὐλογοῦσιν. ὧν μιμηταὶ καὶ ἡμεῖς γενόμενοι, ἐν ἱερῷ βίῳ διαπαντὸς εἴημεν, αἰνοῦντες
διὰ τούτου τοῦ βίου, καὶ εὐλογοῦντες τὸν θεόν. δόξα γὰρ θεοῦ, καὶ εὐλογία ὁ ἱερὸς καὶ
ἐνάρετος βίος, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Τέλος τῆς εἰς τὸ κατὰ Λουκᾶν εὐαγγέλιον ἑρμηνείας Θεοφυλάκτου.

ΒΙΟΣ ΤΟΥ ἸΩΑΝΝΟΥ ἘΚ ΤΟΥ ΣΩΦΡΟΝΙΟΥ·

Ἰωάννης, ὃν Ἰησοῦς πάνυ ἠγάπησεν, υἱὸς Ζεβεδαίου, ἀδελφὸς Ἰακώβου τοῦ ὑπὸ Ἡρώδου μετὰ τὸ πάθος τοῦ κυρίου ἀποκεφαλισθέντος, ἔσχατος πάντων ἔγραψεν εὐαγγέλιον, παρακληθεὶς παρὰ τῶν τῆς ἀσίας ἐπισκόπων, καὶ κατὰ κηρίνθου καὶ ἄλλων αἱρετικῶν, καὶ μάλιστα τηνικαῦτα τοῦ τῶν ἐβιωνιτῶν δόγματος ἀνακύψαντος, τῶν φασκόντων τὸν χριστὸν πρὸ μαρίας μὴ γεγενῆσθαι. ὅθεν ἠναγκάσθη τὴν θείαν γέννησιν αὐτοῦ εἰπεῖν· καὶ ἄλλην δὲ αἰτίαν τούτου τοῦ συγγράμματος φέρουσιν. ἀναγνοὺς γὰρ Ματθαίου, Μάρκου καὶ Λουκᾶ τὰ τεύχη, ἐδοκίμασε μὲν τὸ ὕφος τῶν ἱστοριῶν. καὶ ἀληθῆ αὐτοὺς εἰρηκέναι ἐβεβαίωσεν. ἑνὸς δὲ ἐνιαυτοῦ μόνον ἐν ᾧ καὶ ἔπαθε, μετὰ τὴν φυλακὴν Ἰωάννου τὴν ἱστορίαν συντάξαι. ἐάσας τοίνυν τὸν ἐνιαυτὸν οὗ τὰ πεπραγμένα παρὰ τῶν τριῶν ἐξετέθη, τοῦ ἀνωτέρου χρόνου, πρὶν ἢ τὸν Ἰωάννην ἐμβληθῆναι εἰς τὴν εἱρκτήν, τὰς πράξεις ἐξέθετο. καθὰ σαφηνισθῆναι δυνήσεται τοῖς ἐπιμελῶς τοῖς τέτταρσιν εὐαγγελίοις ἐντυγχάνουσιν. ὅπερ καὶ τὴν διαφωνίαν τὴν δοκοῦσαν εἶναι Ἰωάννου μετὰ τῶν λοιπῶν εἴργει. ἔγραψε δὲ μίαν ἐπιστολήν, ἧς ἡ ἀρχή ἐστιν. ὃ ἦν ἀπ' ἀρχῆς, ἥτις παρὰ πάντων τῶν ἐκκλησιαστικῶν καὶ πεπαιδευμένων ἀνδρῶν ἐγκρίνεται. αἱ δὲ λοιπαὶ δύο, ὧν ἡ ἀρχή ἐστι πρώτης μέν, ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ, δευτέρας δέ, ὁ πρεσβύτερος γαΐῳ τῷ ἀγαπητῷ, Ἰωάννου πρεσβυτέρου λέγονται. οὗ ἔτι καὶ νῦν ἕτερον μνῆμα ἐν τῇ ἐφέσῳ τυγχάνει. καί τινες νομίζουσι, τὰ δύο μνημεῖα Ἰωάννου εἶναι τοῦ εὐαγγελιστοῦ, περὶ οὗ ἡνίκα κατὰ τάξιν εἰς παπίαν τὸν τούτων ἀκροατὴν ἔλθωμεν ἐξηγησόμεθα. τοιγαροῦν τεσσαρεσκαιδεκάτῳ ἔτει, δεύτερον μετὰ Νέρωνα διωγμὸν κινοῦντος Δομετιανοῦ, εἰς πάτμον νῆσον περιορισθείς, συνέταξεν ἀποκάλυψιν, ἣν μετέφρασεν Ἰουστῖνος μάρτυς καὶ εἰρηναῖος. σφαγέντος δὲ Δομετιανοῦ, καὶ τῶν πράξεων αὐτοῦ διὰ τὴν πολλὴν ὠμότητα, παρὰ συγκλήτου ἀκυρωθεισῶν, ἐπὶ νέρβα εἰς ἔφεσον ἀναζεύξας, ἕως Τραϊανοῦ τοῦ βασιλέως ἐκεῖσε διατελέσας, πάσας τὰς τῆς ἀσίας ἐθεμελίωσε καὶ ᾠκοδόμησεν ἐκκλησίας καὶ λίαν γηράσας ἑξηκοστῷ ὀγδόῳ ἐνιαυτῷ, μετὰ τὸ πάθος κυρίου τελευτήσας πλησίον τῆς προειρημένης πόλεως ἠξιώθη τῆς κοιμήσεως·

ΒΙΟΣ ἸΩΑΝΝΟΥ ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ἘΚ ΤΗΣ ΤΟΥ Δωροθέου μάρτυρος καὶ Τυρίων ἐπισκόπου συνόψεως·

Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, ὁ καὶ εὐαγγελιστὴς τοῦ κυρίου γενόμενος, ὃν καὶ ἠγάπα ὁ κύριος. ἐν μὲν τῇ ἀσίᾳ, ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ χριστοῦ, ὑπὸ δὲ τραϊανοῦ βασιλέως ἐξωρίσθη ἐν τῇ νήσῳ πάτμῳ, διὰ τὸν λόγον τοῦ κυρίου. ἐκεῖ δὲ ὢν καὶ τὸ ἅγιον εὐαγγέλιον ἔγραψε, καὶ ἐξέδωκεν ἐν ἐφέσῳ, διὰ γαΐου τοῦ ξενοδόχου καὶ διακόνου, ᾧ καὶ Παῦλος ὁ ἀπόστολος μαρτυρεῖ λέγων Ῥωμαίοις. ἀσπάζεται ὑμᾶς γάϊος ὁ ξένος μου καὶ ὅλης τῆς ἐκκλησίας. μετὰ δὲ τὴν τελευτὴν τραϊανοῦ ἐπάνεισιν ἀπὸ τῆς νήσου ὁ μακάριος Ἰωάννης καὶ παραμένει ἐν ἐφέσῳ καὶ ἔζησεν ἔτη ρκ΄. καὶ μετὰ ταῦτα ζῶν, ἑαυτὸν ἐκεῖ ἔθαψε θεοῦ βουλήσει. εἰσὶ δὲ οἱ λέγουσι, μὴ ἐπὶ τραϊανοῦ αὐτὸν ἐξωρισθῆναι ἐν πάτμῳ, ἀλλὰ ἐπὶ Δομετιανοῦ, υἱοῦ οὐεσπασιανοῦ·

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΚΑΤΑ Ἰωάννην εὐαγγελίου·

α΄. Περὶ τῆς μαρτυρίας τοῦ Ἰωάννου περὶ χριστοῦ.
Περὶ τοῦ Ἰωάννου ἐρωτηθέντος, εἰ αὐτὸς ὁ χριστός.
Περὶ Ἀνδρέου, Πέτρου, Φιλίππου καὶ Ναθαναὴλ κληθέντων.

β΄. Περὶ τοῦ ἐν κανᾷ γάμου.
Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ.
Περὶ τοῦ, λύσατε τὸν ναὸν τοῦτον.

γʹ. Περὶ τοῦ Νικοδήμου καὶ Ἰησοῦ.
περὶ τοῦ Ἰησοῦ καὶ Ἰωάννου βαπτιζόντων.
περὶ καθαρισμοῦ.
δʹ. Περὶ τῆς Σαμαρείτιδος.
περὶ τοῦ υἱοῦ τοῦ βασιλικοῦ.
εʹ. Περὶ τοῦ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχοντος ἐν τῇ ἀσθενείᾳ.
Περὶ τῶν Ἰουδαίων ζητούντων ἀποκτεῖναι τὸν Ἰησοῦν.
ϛʹ. Περὶ τῶν πέντε ἄρτων καὶ δύο ἰχθύων.
περὶ τῆς ἀναχωρήσεως τοῦ Ἰησοῦ ἵνα μὴ ποιήσωσιν αὐτὸν βασιλέα.
περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.
περὶ τοῦ ὄχλου ἑπομένου τῷ Ἰησοῦ τοῖς πλοιαρίοις.
περὶ τοῦ ὄχλου ζητοῦντος σημεῖον.
περὶ τοῦ ἄρτου ἐκ τοῦ οὐρανοῦ.
περὶ τῶν πολλῶν τῶν μαθητῶν ἀπελθόντων ἀπὸ τοῦ Ἰησοῦ.
περὶ τῆς γνώμης τοῦ Πέτρου περὶ τοῦ Χριστοῦ.
ζʹ. Περὶ τῆς ἀναβάσεως τοῦ κυρίου ὡς ἐν κρυπτῷ εἰς τὴν ἑορτήν.
περὶ τῶν Ἰουδαίων θαυμαζόντων πῶς ὁ Ἰησοῦς γράμματα οἶδε μὴ μεμαθηκώς.
περὶ τοῦ σχίσματος τοῦ ὄχλου περὶ Χριστοῦ.
περὶ τῆς τῶν ἀρχόντων καὶ Νικοδήμου ἀμφισβητήσεως.
ηʹ. Περὶ τῶν ἐρωτώντων τὸν Ἰησοῦν περὶ τοῦ πατρὸς αὐτοῦ.
περὶ τοῦ Ἰησοῦ ἐλευθέρωσιν ἐπαγγελλομένου τοῖς ἑπομένοις αὐτῷ.
περὶ τῶν εἰπόντων ὅτι δαιμόνιον ἔχει ὁ Ἰησοῦς.
περὶ τῶν πειρωμένων Ἰουδαίων λιθοβολεῖν τὸν Ἰησοῦν, ὅτι τῷ Ἀβραὰμ προέκρινεν αὐτόν.
θʹ. Περὶ τοῦ ἐκ γενετῆς τυφλοῦ.
ιʹ. Περὶ τοῦ καλοῦ ποιμένος, καὶ μισθωτοῦ.
περὶ τοῦ Ἰησοῦ ἐρωτηθέντος ἐν τῇ στοᾷ, ἐν τῷ περιπατεῖν.
ιαʹ. Περὶ τῆς ἐγέρσεως τοῦ Λαζάρου.
Περὶ τῆς τῶν ἀρχιερέων καὶ τῶν Φαρισαίων βουλῆς περὶ τοῦ ἀποκτεῖναι τὸν Ἰησοῦν.
Περὶ ὧν εἶπεν ὁ Καϊάφας.
ιβʹ. Περὶ τῆς ἀλειψάσης τὸν κύριον μύρῳ.
Περὶ ὧν εἶπεν Ἰούδας.
περὶ τοῦ ὀναρίου.
περὶ τῶν Ἑλλήνων προσελθόντων καὶ ἐρωτώντων τὸν Φίλιππον.
περὶ φωνῆς ἐκ τοῦ οὐρανοῦ ἀκουσθείσης.
ιγʹ. Περὶ τοῦ νιπτῆρος.
περὶ τοῦ ἐξελθόντος Ἰούδα ἵνα τὸν Χριστὸν παραδώσῃ.
περὶ τῆς ἐντολῆς τοῦ ἀγαπᾶν ἀλλήλους.
περὶ τοῦ ζητοῦντος Πέτρου, ποῦ ὑπάγει ὁ κύριος.
ιδʹ. Περὶ Θωμᾶ ἀγνοοῦντος ποῦ ὑπάγει ὁ κύριος.
περὶ τοῦ Ἰούδα τοῦ Θαδδαίου ἐρωτῶντος τὸν Ἰησοῦν.
περὶ τοῦ παρακλήτου.
ιεʹ. Περὶ τῆς ἀληθινῆς ἀμπέλου, καὶ γεωργοῦ καὶ κλήματος.
ιϛʹ. Περὶ τοῦ Ἰησοῦ προλέγοντος τὰ συμβησόμενα τοῖς μαθηταῖς.
περὶ τοῦ μικρὸν καὶ ὄψεσθέ με.
περὶ τοῦ τὸν πατέρα ὅσα ἂν αἰτήσωνται δώσειν.
ιζʹ. Περὶ τῆς προσευχῆς τοῦ Ἰησοῦ πρὸς τὸν πατέρα ὑπὲρ τῶν δεδομένων ἑαυτῷ μαθητῶν.
ιηʹ. Περὶ τῆς παραδόσεως τοῦ Ἰησοῦ.
περὶ τῶν Ἰουδαίων χαμαὶ πεσόντων.
περὶ τοῦ Πέτρου ἀποκόψαντος τὸ ὠτίον τῷ τοῦ ἀρχιερέως δούλῳ.
Περὶ τοῦ Ἰησοῦ ἀπαγομένου πρὸς Ἄνναν, καὶ Καϊάφαν, καὶ Πιλάτον.
ιθʹ. Περὶ τῆς τοῦ Χριστοῦ μαστιγώσεως.
περὶ τῆς σταυρώσεως τοῦ Χριστοῦ.
περὶ τῶν παρὰ τῷ σταυρῷ ἑστώτων.
περὶ τῆς αἰτήσεως τοῦ κυριακοῦ σώματος.
περὶ τῆς ταφῆς αὐτοῦ.
κʹ. Περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ.
περὶ τῆς φανερώσεως τοῦ Χριστοῦ πρῶτον μὲν τῇ Μαρίᾳ τῇ Μαγδαληνῇ, ἔπειτα δὲ τοῖς μαθηταῖς συνηγμένοις.
καʹ. Περὶ τῆς φανερώσεως τοῦ Ἰησοῦ μετὰ τὴν ἀνάστασιν Πέτρῳ, καὶ ἑτέροις ἁλιεύουσιν ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος.
Περὶ τοῦ τῷ Πέτρῳ λεχθέντος, βόσκε τὰ πρόβατά μου.

ΘΕΟΦΥΛΑΚΤΟΥ ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ, ἙΡΜΗΝΕΙΑ ΕἸΣ ΤΟ ΚΑΤΑ ἸΩΑΝΝΗΝ ΕὐΑΓΓΕΛΙΟΝ·

τοῦ ἁγίου πνεύματος δύναμις ἐν ἀσθενείᾳ τελειοῦται, καθὰ γέγραπται, καὶ πιστεύομεν. α. πρὸς κορινθ. ια'. ἐν ἀσθενείᾳ δὲ οὐ σώματος μόνον, ἀλλὰ δὴ καὶ λόγου, καὶ σοφίας ἐν γλώττῃ κειμένης. καὶ τοῦτο δῆλον ἐκ πολλῶν μὲν καὶ ἄλλων, μάλιστα δὲ ἐκ τοῦ περὶ τὸν μέγαν (ἢ) Θεολόγον, καὶ ἀδελφὸν τοῦ Χριστοῦ ἐν χάριτι ὁρωμένου. οὗτος γὰρ ἁλιέως μὲν πατρὸς ἦν, τὴν αὐτὴν δὲ τέχνην τῷ πατρὶ μεταχειριζόμενος, οὐ μόνον ἀμαθὴς ἦν τῆς ἑλληνικῆς καὶ ἰουδαϊκῆς παιδεύσεως, ἀλλὰ καὶ πάντη ἀγράμματος, καθὰ δὴ καὶ ὁ θειότατος Λουκᾶς ἐν ταῖς πράξεσιν ἱστορεῖ περὶ αὐτοῦ. πράξ. δ'. καὶ γὰρ δὴ καὶ ἡ πατρὶς αὐτοῦ εὐτελεστάτη καὶ ἄσημος, ὡς χωρίον εἶναι οὐ λογικῆς, ἀλλ' ἁλιευτικῆς τέχνης, Βηθσαϊδὰ γὰρ τοῦτον ἐξήνεγκεν· ἀλλ' ὅμως ὁ τοιοῦτος, ὁ ἀγράμματος, ὁ ἄσημος, ὁ μηδὲν ἔχων περίβλεπτον, ἴδε ποίου τετύχηκε πνεύματος, ὥστε ἃ μηδεὶς τῶν ἄλλων εὐαγγελιστῶν ἡμᾶς ἐδίδαξεν, αὐτὸς ταῦτα βροντῆσαι· ἐπειδὴ γὰρ ἐκείνων καταγενομένων περὶ τὸ σωματικὸν τοῦ Χριστοῦ, μηδὲν δὲ περὶ τῆς πρὸ αἰώνων αὐτοῦ ὑπάρξεως τρανότερον καὶ σαφέστερον εἰπόντων, δέος ἦν μή ποτέ τινες χαμαιπετεῖς, καὶ μηδὲν ὑψηλὸν νοῆσαι δυνάμενοι, νομίσωσι τὸν Χριστὸν τότε πρῶτον εἰς ὕπαρξιν ἐλθεῖν, ὅτε ἀπὸ Μαρίας ἐγεννήθη, καὶ οὐχὶ πρὸ αἰώνων ἐκ τοῦ πατρὸς γεννηθῆναι, ὃ πάντως πέπονθε Παῦλος ὁ Σαμοσατεύς, τούτου ἕνεκεν ὁ μέγας Ἰωάννης περὶ τῆς ἄνω γεννήσεως διαλαμβάνει, καίτοι οὐδὲ τὴν σάρκωσιν τοῦ λόγου ἀμνημόνευτον καταλείψας, φησὶ γὰρ, καὶ ὁ λόγος σὰρξ ἐγένετο. ὡς δέ τινες φασὶ, καὶ ἠξίωσαν αὐτὸν οἱ ὀρθόδοξοι συγγράψαι περὶ τῆς ἄνω γεννήσεως, διὰ ἀναφανέντων τινῶν αἱρετικῶν ἐν ταῖς ἡμέραις ἐκείναις, τῶν δογματιζόντων ἄνθρωπον ψιλὸν ὑπάρξαι τὸν Ἰησοῦν· ὅτε δὴ λέγεται ὁ ἅγιος τὰ τῶν ἄλλων εὐαγγελιστῶν ἀναγνοὺς, θαυμάσαι μὲν ἐκείνους τῆς περὶ πάντα ἀληθοῦς ἀφηγήσεως, ἐπικρῖναι δὲ ὡς ὑγιῶς ἔχοντα, καὶ μηδὲν πρὸς χάριν εἰπόντας τῶν ἀποστόλων· ἃ μέντοι οὐ σαφῶς εἶπον ἐκεῖνοι, ἢ τελέως παρέλιπον, ταῦτα αὐτὸν ἐξαπλῶσαι καὶ τρανῶσαι, καὶ προσθεῖναι διὰ τοῦ ἰδίου εὐαγγελίου, ὃ καὶ συνέγραψεν ἐν Πάτμῳ τῇ νήσῳ ἐξόριστος διατελῶν, μετὰ τριακονταδύο ἔτη τῆς τοῦ Χριστοῦ ἀναλήψεως. ἠγαπᾶτο δὲ πάντων μάλιστα μαθητῶν Ἰωάννης τῷ κυρίῳ, ὡς ἁπλοϊκός τε, καὶ πραότατος, καὶ χρηστοηθέστατος, καὶ ὡς καθαρὸς τὴν καρδίαν, ἤγουν παρθένος· δι' οὗ δὴ χαρίσματος καὶ τὴν θεολογίαν ἐπιστεύθη, τῶν ἀθεάτων τοῖς πολλοῖς μυστηρίων κατατρυφήσας· Μακάριοι γάρ, φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. Ματθ. ε'. ἦν δὲ ἄρα καὶ συγγενὴς τοῦ κυρίου. καὶ πῶς, ἄκουσον. Ἰωσὴφ ὁ τῆς παναγνου θεοτόκου μνηστὴρ ἔσχεν ἐκ προτέρας γυναικὸς παῖδας ἑπτὰ, τέσσαρας ἄῤῥενας, καὶ τρεῖς θηλείας, τὴν Μάρθαν, τὴν Ἐσθὴρ, τὴν Σαλώμην, ἧς λέγω τῆς Σαλώμης, υἱὸς ἦν οὗτος ὁ Ἰωάννης· εὑρίσκεται τοίνυν ὁ κύριος θεῖος αὐτοῦ ὤν, ἐπεὶ γὰρ πατὴρ τοῦ κυρίου ὁ Ἰωσὴφ, τούτου δὲ τοῦ Ἰωσὴφ θυγάτηρ ἡ Σαλώμη, ἀδελφὴ ἄρα τοῦ κυρίου ἡ Σαλώμη λογίζεται, ὥστε καὶ ὁ ταύτης υἱὸς Ἰωάννης ἀνεψιὸς τοῦ κυρίου. οὐκ ἄτοπον δὲ ἴσως καὶ τὰ ὀνόματα τῆς μητρὸς αὐτοῦ, καὶ αὐτοῦ τοῦ εὐαγγελιστοῦ ἀναπτύξαι. ἡ μήτηρ Σαλώμη καλουμένη, ἑρμηνεύεται εἰρηνική. ὁ δὲ Ἰωάννης χάρις αὐτῆς· γινωσκέτω οὖν πᾶσα

ψυχὴ, ὡς ἡ εἰρήνη ἡ πρός τε τοὺς ἀνθρώποις, καὶ ἡ κατὰ ψυχὴν ἀπὸ τῶν παθῶν μήτηρ
γίνεται τῆς θείας χάριτος, καὶ γεννᾷ ταύτην ἐν ἡμῖν. τὴν γὰρ ταραττομένην ψυχὴν,
καὶ ἔτι μάχας ἔχουσαν πρός τε τοὺς ἄλλους ἀνθρώποις, καὶ πρὸς ἑαυτὴν, οὐκ εἰκὸς
τῆς θείας ἀξιωθῆναι χάριτος. ἐπισκεψάμεθα δὲ καί τι θαυμασιώτερον συμβὰν
περὶ τοῦτον δὴ τὸν εὐαγγελιστὴν Ἰωάννην. μόνος γὰρ οὗτος τρεῖς μητέρας ἀναφαίνε-
ται ἔχων, τὴν φυσικὴν τὴν Σαλώμην, τὴν βροντὴν, υἱὸς γὰρ βροντῆς διὰ τὴν εὐαγ-
Μαρ. γ'. γελίου μεγαλοφωνίαν, καὶ τὴν θεοτόκον, ἰδοὺ γάρ φησιν, ἡ μήτηρ σου. ἀλλ' ἐπεὶ ταῦ-
Ἰωαν. ιθ'. τα ἡμῖν πρὸ τῆς ἐξηγήσεως εἴρηται, ἀρκτέον ἤδη καὶ τῆς τοῦ ῥητοῦ ἀναπτύξεως.

Κεφάλαιον, α'.

Ἐν ἀρχῇ ἦν ὁ λόγος. Ὅπερ καὶ ἐν προοιμίοις εἶπον, πάλιν καὶ τοῦτο ἐρῶ, ὅτι
τῶν ἄλλων εὐαγγελιστῶν τὴν κάτω γέννησιν τοῦ κυρίου, τὴν ἀνατροφὴν, τὴν αὔξη-
σιν πλατέως ἀφηγησαμένων, οὗτος μὲν ἐκεῖνα παρατρέχει, ὡς αὐτάρκως τοῖς συμ-
μαθηταῖς αὐτοῦ ῥηθέντα, περὶ δὲ τῆς θεότητος τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος δια-
λέγεται. καί τοι εἰ ἀκριβῶς θεωρήσεις, οὔτε ἐκεῖνοι τὸ περὶ τῆς τοῦ μονογενοῦς θεό-
τητος εἰπεῖν παρώφθησαν, ἀλλ' ἐπεμνήσθησαν εἰ καὶ μὴ πλατέως, οὔτε οὗτος πρὸς τὸν
ὑψηλότερον λόγον ἀποβλέψας, ἠμέλησε πάντη τῆς ἐν σαρκὶ οἰκονομίας, ἓν γὰρ ἦν
πνεῦμα τὸ κινοῦν τὰς τῶν ἁπάντων ψυχὰς, διαλέγεται οὖν ἡμῖν περὶ τοῦ υἱοῦ, ὁ γὰρ
πατὴρ ἤδη ἀπὸ τῆς παλαιᾶς γνώριμος ἦν. καί τοι οὐδὲ τὸν πατέρα ἀπεσιώπησεν,
ἀλλὰ καὶ περὶ τούτου μέμνηται, ἐν οἷς καὶ περὶ τοῦ υἱοῦ λέγει. δείκνυσι τοίνυν τὸ
ἀΐδιον τοῦ μονογενοῦς ἐν τῷ λέγειν, ἐν ἀρχῇ ἦν ὁ λόγος, τουτέστιν, ἀπ' ἀρχῆς ἦν. τὸ
γὰρ ἀπ' ἀρχῆς ὂν, οὐ μὴ εὑρεθῇ πάντως χρόνος, ὅτε οὐκ ἦν. καὶ πόθεν, φησὶ, δῆλον
ὅτι τὸ ἐν ἀρχῇ ἦν, ταὐτὸν σημαίνει τῷ ἀπ' ἀρχῆς; πόθεν; καὶ ἀπ' αὐτῆς μὲν τῆς
κοινῆς ὑπολήψεως, μάλιστα δὲ ἀπ' αὐτοῦ τούτου τοῦ εὐαγγελιστοῦ. φησὶ γὰρ ἐν μιᾷ
α'. Ἐπι. α'. τῶν αὐτοῦ ἐπιστολῶν, ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἑωράκαμεν. ὁρᾷς οὖν πῶς αὐτὸς ἑαυτὸν ὁ ἠγα-
Γενέ. α'. πημένος ἑρμηνεύει; ναί φησιν, ἀλλ' ἐγὼ τὸ ἐν ἀρχῇ οὕτω νοῶ, ὥσπερ καὶ παρὰ τῷ
Μωϋσεῖ, ἐν ἀρχῇ ἐποίησεν ὁ θεός. ὥσπερ γὰρ ἐκεῖ οὐχ ὡς ἀϊδίου ὄντος τοῦ οὐρανοῦ τὸ
ἐν ἀρχῇ νοεῖται, οὕτως οὐδ' ἐνταῦθα τὸ ἐν ἀρχῇ νοήσω, ὡς ἀϊδίου ὄντος τοῦ μονογε-
νοῦς. ταῦτα μὲν ὁ αἱρετικός. ἡμεῖς δὲ πρὸς ταύτην τὴν ἀνόητον ἔνστασιν, οὐδὲν ἕτε-
ρον ἐροῦμεν, ἀλλ' ἢ τοῦτο, ὦ σοφιστὰ τῆς κακίας πῶς τὸ ἑξῆς ὑπεκράτησας; ἀλλ' ἡμεῖς
τοῦτο ἐροῦμεν, κἂν σὺ μὴ θέλῃς. ἐκεῖ μὲν γὰρ ὁ Μωϋσῆς φησὶν, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς
τὸν οὐρανὸν καὶ τὴν γῆν, ἐνταῦθα δὲ ἐν ἀρχῇ ἦν ὁ λόγος. τίς οὖν κοινωνία τῷ ἐποίησε
πρὸς τὸ ἦν; εἰ μὲν γὰρ ἐγέγραπτο καὶ ἐνταῦθα ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν υἱὸν,
ἐσίγησα ἄν, νῦν δὲ ἐν ἀρχῇ ἦν, ἐξ οὗ νοῶ τὸ ἀϊδίως εἶναι τὸν λόγον, ἀλλὰ μὴ ὕστερον,
καθὼς ὑμεῖς φλυαρεῖτε. τίνος δὲ ἕνεκεν οὐκ εἶπεν ἐν ἀρχῇ ἦν ὁ υἱὸς, ἀλλ' ὁ λόγος,
ἄκουε. ὅτι διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν, ἵνα μὴ ἀκούσαντες εὐθὺς ἐξ ἀρχῆς
υἱὸν, νοήσωμεν γέννησιν ἐμπαθῆ καὶ σωματικὴν, τούτου ἕνεκεν λόγον αὐτὸν ἐκάλε-
σεν. ἵνα σὺ μάθῃς ὅτι ὥσπερ ὁ λόγος γεννᾶται ἐκ τοῦ νοὸς ἀπαθῶς, οὕτω καὶ οὗτος
ἐγεννήθη ἐκ τοῦ πατρὸς ἀπαθῶς, καὶ ἄλλως δὲ, αὐτὸν λόγον ἐκάλεσεν, ἐπειδὴ τὰ τοῦ
πατρὸς ἡμῖν ἀπήγγειλεν, ὥσπερ καὶ πᾶς λόγος τὰ τοῦ νοὸς ἀπαγγέλλει βουλεύ-
ματα, ἅμα δὲ καὶ ἵνα δείξῃ αὐτὸν συναΐδιον τῷ πατρὶ ὄντα. ὥσπερ γὰρ οὐκ ἔστιν
εἰπεῖν νοῦν ὄντα ποτὲ χωρὶς λόγου, οὕτως οὐδὲ τὸν πατέρα καὶ τὸν θεὸν χωρὶς τοῦ
υἱοῦ. μετὰ τοῦ ἄρθρου δὲ εἶπεν ὁ λόγος, εἰσὶ γὰρ καὶ ἄλλοι πολλοὶ λόγοι τοῦ θεοῦ, οἷον δὴ
Ψαλ. ρβ'. φημὶ, αἱ προφητεῖαι, καὶ τὰ προστάγματα, καθὸ εἴρηται περὶ τῶν ἀγγέλων, ὅτι δυ-
νατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τουτέστι, τὰ προστάγματα αὐτοῦ, ἀλλ' ὁ κυρίως
λόγος

λόγος οὐσία τίς ἐστιν ἐνυπόστατος.

Καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. Καὶ ἐνταῦθα σαφέστερον δείκνυσι συναΐδιον τὸν υἱὸν τῷ πατρί. ἵνα γὰρ μὴ νομίσῃς, ὅτι ἦν ποτε ὁ πατὴρ χωρὶς τοῦ υἱοῦ φησιν, ὅτι ὁ λόγος ἦν πρὸς τὸν θεόν, τουτέστι, μετὰ θεοῦ ἐν τοῖς κόλποις τοῖς πατρικοῖς, τὸ γὰρ πρός, ἀντὶ τοῦ μετὰ ὀφείλεις νοῆσαι, ὡς καὶ ἀλλαχοῦ κεῖται, οὐχὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ πρὸς ἡμᾶς εἰσιν, (Ματ. ιγ'.) ἀντὶ τοῦ μεθ' ἡμῶν εἰσι, καὶ μεθ' ἡμῶν ἀναστρέφονται; οὕτω κἀνταῦθα τὸ πρὸς τὸν θεὸν νόησον, ἀντὶ τοῦ μετὰ θεοῦ ἦν σὺν τῷ θεῷ ἐν τοῖς κόλποις αὐτοῦ, οὐκ ἐνδέχεται γὰρ τὸν θεὸν ἄλογον ἢ ἄσοφον εἶναι ποτέ, ἢ ἀδύνατον. διὰ τοῦτο πιστεύομεν, ὅτι ἐπεὶ λόγος, καὶ σοφία, καὶ δύναμις τοῦ πατρός ἐστιν ὁ υἱός, ἀεὶ ἦν πρὸς θεόν, ἀντὶ τοῦ σὺν τῷ πατρί, καὶ μετὰ τοῦ πατρός. καὶ πῶς φησιν, υἱὸν ὄντα μὴ εἶναι ὕστερον τοῦ πατρός; πῶς; μάνθανε ἀπὸ τοῦ ὑλικοῦ ὑποδείγματος, τὸ ἀπαύγασμα τοῦ ἡλίου ἆρα οὐκ ἐξ αὐτοῦ ἐστι τοῦ ἡλίου; ναὶ πάντως. ἆρα οὖν καὶ ὕστερόν ἐστι τοῦ ἡλίου, ὥστε ἐννοηθῆναί ποτε ἥλιον χωρὶς τούτου; οὐκ ἔστιν εἰπεῖν, πῶς γὰρ ἂν καὶ εἴη ἥλιος μὴ ἀπαύγασμα ἔχων; ὅπερ οὖν ἐπὶ τούτου πολλῷ μᾶλλον ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ νοηθήσεται. ἀπαύγασμα γὰρ ὢν ὁ υἱὸς τοῦ πατρός, καθὼς ὁ Παῦλος λέγει, (Πρὸς Ἑβ. α'.) ἀεὶ τῷ πατρὶ συνεκφαίνεσθαι πιστευθήσεται, καὶ οὐχ ὕστερος ἔσται αὐτοῦ. νόει δέ μοι καὶ Σαβέλλιον τὴν λύσιν ἐκ τούτου τοῦ ῥητοῦ ἀνατρεπόμενον. ἐκεῖνος γὰρ ἐδογμάτιζεν, ὅτι ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα, ἓν πρόσωπόν εἰσι, καὶ τοῦτο τὸ ἓν πρόσωπον, ποτὲ μὲν ἐφάνη ὡς πατήρ, ποτὲ δὲ ὡς υἱός, ποτὲ δὲ ὡς πνεῦμα. ταῦτα ἐφλυάρει ὁ τοῦ πατρὸς τοῦ ψεύδους υἱός, καὶ τοῦ πονηροῦ πλήρης πνεύματος. ἐλέγχεται δὲ προφανῶς ἐκ τούτου, λέγω δὴ τοῦ, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, σαφέστατα γὰρ ὁ εὐαγγελιστὴς ἐνταῦθα λέγει, ἄλλον εἶναι τὸν λόγον, καὶ ἄλλον τὸν θεόν, ἤτοι τὸν πατέρα. ἐπεὶ γὰρ ὁ λόγος ἦν σὺν τῷ θεῷ, πρόδηλον ὅτι δύο πρόσωπα εἰσάγονται, εἰ καὶ μία φύσις τούτοις τοῖς δυσίν. ὅτι δὲ μία φύσις, ἄκουε. καὶ θεὸς ἦν ὁ λόγος. ὁρᾷς ὅτι καὶ ὁ λόγος θεός; ὥστε μία φύσις τῷ πατρὶ καὶ τῷ υἱῷ, ἐπεὶ καὶ μία θεότης. αἰσχυνέσθωσαν τοίνυν καὶ Ἄρειος καὶ Σαβέλλιος, Ἄρειος μὲν κτίσμα λέγων τὸν υἱὸν τοῦ θεοῦ καὶ ποίημα, ἐντρεπέσθω διὰ τοῦ ἐν ἀρχῇ ἦν, καὶ θεὸς ἦν ὁ λόγος, Σαβέλλιος δὲ ὁ μὴ λέγων τριάδα προσώπων, ἀλλὰ μονάδα, διὰ τοῦ καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. τρανῶς γὰρ ἐνταῦθα ἄλλον εἶναι τὸν λόγον, καὶ ἄλλον τὸν πατέρα, κηρύττει ὁ μέγας Ἰωάννης, εἰ καὶ μὴ ἄλλο καὶ ἄλλο. τὸ μὲν γὰρ ἄλλος καὶ ἄλλος ἐπὶ τῶν προσώπων λέγεται, τὸ δὲ ἄλλο καὶ ἄλλο, ἐπὶ τῶν φύσεων. οἷον ἵνα σαφέστερον τὸ νόημα ἐκθήσωμαι, Πέτρος καὶ Παῦλος, ἄλλος μὲν καὶ ἄλλος, δύο γὰρ πρόσωπα, οὐκ ἄλλο δὲ καὶ ἄλλο, μία γὰρ φύσις αὐτοῖς ἡ ἀνθρωπότης. οὕτως οὖν καὶ ἐπὶ πατρὸς καὶ υἱοῦ δογματιστέον, ἄλλος μὲν γὰρ καὶ ἄλλος, δύο γὰρ πρόσωπα, οὐκ ἄλλο δὲ καὶ ἄλλο, μία γὰρ φύσις ἡ θεότης.

Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. Οὗτος ὁ θεὸς λόγος, οὐδέποτε ἐχωρίσθη τοῦ θεοῦ καὶ πατρός. ἐπεὶ γὰρ εἶπεν, ὅτι καὶ θεὸς ἦν ὁ λόγος, ἵνα μή τις σατανικὴ ὑπόνοια ἐκταράξῃ τινάς, ἆρα μήποτε ἐπεὶ καὶ ὁ λόγος θεός ἐστιν, ἐπανέστη τῷ πατρὶ ὡς οἱ παρ' Ἕλλησι μυθευόμενοι; καὶ οἷον ἀποχωρισθεὶς αὐτοῦ ἀντίθεος γέγονε; διὰ τοῦτο τοίνυν φησίν, ὅτι εἰ καὶ θεός ἐστιν ὁ λόγος, ἀλλ' οὖν πάλιν πρὸς τὸν θεὸν καὶ πατέρα ἐστί, σὺν αὐτῷ ὤν, καὶ οὐδέποτε χωριζόμενος. οὐ χεῖρον δὲ καὶ πρὸς τοὺς ἀρειανίζοντας καὶ τοῦτο εἰπεῖν, οἱ κωφοὶ ἀκούσατε, οἱ λέγοντες ἔργον εἶναι καὶ ποίημα τοῦ θεοῦ τὸν υἱὸν αὐτοῦ συνίετε ποῖον ὄνομα τέθεικεν ὁ εὐαγγελιστὴς τῷ υἱῷ τοῦ θεοῦ, λόγον γὰρ αὐτὸν ἐκάλεσεν, ὑμεῖς δὲ ἔργον αὐτὸν καὶ ποίημα ὀνομάζετε. λόγος ἐστίν, οὐκ ἔργον, οὐδὲ



κτίσμα. διττοῦ δὲ ὄντος τοῦ λόγου, ὁ μὲν γάρ ἐστιν ἐνδιάθετος, ὃν καὶ μὴ λέγοντες ἔχομεν, φημὶ δὴ τὴν τοῦ λέγειν δύναμιν. καὶ κοιμώμενος γάρ τις καὶ μὴ λέγων, ὅμως ἔχει τὸν λόγον ἐν αὐτῷ κείμενον, καὶ τὴν δύναμιν οὐκ ἀπέβαλεν. ὁ μὲν οὖν ἐστιν, ἐνδιάθετος, ὁ δὲ προφορικὸς, ὃν καὶ διὰ τῶν χειλέων προφέρομεν τὴν τοῦ λέγειν δύναμιν τοῦ ἐνδιαθέτου, καὶ ἐντὸς κειμένου, εἰς ἐνέργειαν προάγοντες· διττοῦ τοίνυν ὄντος τοῦ λόγου, οὐδέτερος τούτων ἁρμόζει ἐπὶ τοῦ υἱοῦ τοῦ θεοῦ, οὔτε γὰρ προφορικὸς, οὔτε ἐνδιάθετός ἐστιν ὁ λόγος τοῦ θεοῦ. ἐκεῖνοι μὲν γὰρ τῶν φυσικῶν καὶ καθ' ἡμᾶς, ὁ δὲ τοῦ πατρὸς λόγος ὑπὲρ φύσιν ὤν, οὐχ ὑποβάλλεται τοῖς κάτω τεχνολογήμασιν. ὥστε διαπέπτωκε τοῦ ἕλληνος Πορφυρίου τὸ σόφισμα, ἐκεῖνος γὰρ ἀνατρέπειν πειρώμενος τὸ εὐαγγέλιον, τοιαύταις ἐχρῆτο διαιρέσεσιν. εἰ γὰρ λόγος, φησὶν, ὁ υἱὸς τοῦ θεοῦ, ἤτοι προφορικός ἐστιν ἢ ἐνδιάθετος, ἀλλὰ μὴν οὔτε τοῦτο, οὔτε ἐκεῖνο. οὐκ ἄρα οὐδὲ λόγος ἐστίν. ἔφθασε μὲν οὖν λύσας ὁ εὐαγγελιστὴς τὸ σόφισμα τοῦτο διὰ τοῦ εἰπεῖν, ὅτι τὸ ἐνδιάθετον καὶ τὸ προφορικὸν ἐπὶ τῶν καθ' ἡμᾶς καὶ τῶν φυσικῶν λέγεται. ἐπὶ δὲ τοῦ ὑπὲρ φύσιν, οὐδὲν τοιοῦτον. πλὴν καὶ τοῦτο ῥητέον, ὡς εἰ μὲν ἦν τὸ ὄνομα τοῦτο τὸ λόγος ἄξιον τοῦ θεοῦ, καὶ κυρίως ἐπ' αὐτοῦ, καὶ οὐσιωδῶς λεγόμενον, εἶχεν ἂν λόγον ἡ ἀπορία τοῦ ἕλληνος, νῦν δὲ οὔτε ἄλλο ὄνομα εὕροι αὖτις κύριον ἐπὶ θεοῦ, οὔτε τὸ λόγος αὐτὸ οὐσιωδῶς ἐστι καὶ κυρίως, δηλωτικὸν δὲ μόνον ἐστὶ τοῦ ἀπαθῶς γεννηθῆναι τὸν υἱὸν ἐκ τοῦ πατρὸς, ὥσπερ ὁ λόγος ἐκ τοῦ νοῦ, καὶ τοῦ αὐτὸν γεγονέναι τοῦ πατρικοῦ θελήματος ἄγγελον. ὥστε τί ἐπισφάττῃ τοῦ ὀνόματος ὦ ταλαίπωρε, ἤπου καὶ πατέρα ἀκούων, καὶ υἱὸν, καὶ πνεῦμα, ἐπὶ τὰς ὑλικὰς καταπέσεις; καὶ σαρκικὰς ἀνατυπώσεις τῷ νῷ πατέρας, καὶ υἱοὺς, καὶ πνεῦμα ἀέριον, νότιον τυχὸν ἢ βόρειον, ἢ τί ἄλλο τῶν ἐργαζομένων τοὺς κλύδωνας; ἀλλὰ γὰρ εἰ βούλει μαθεῖν ποῖος λόγος ἐστὶν ὁ τοῦ θεοῦ, ἄκουσον τῶν ἐφεξῆς·

Πάντα δι' αὐτοῦ ἐγένετο· Μὴ νομίσῃς, φησὶ, λόγον εἰς ἀέρα χεόμενον καὶ λυόμενον, ἀλλὰ ποιητὴν πάντων νοητῶν καὶ αἰσθητῶν· ἀλλὰ πάλιν οἱ περὶ τὸν Ἄρειον ἐπιφύονται, λέγοντες ὅτι ὥσπερ λέγομεν διὰ τοῦ πρίονος γενέσθαι τὴν θύραν ὡς δι' ὀργάνου, ἕτερον μέντοι ὄντα τεχνίτην τὸν κινοῦντα τὸ ὄργανον, οὕτω καὶ διὰ τοῦ υἱοῦ γενέσθαι τὰ πάντα, οὐχ ὡς αὐτοῦ ποιητοῦ ὄντος, ἀλλ' ὀργάνου, ὥσπερ ἐκεῖ ὁ πρίων τοῦ μέντοι θεοῦ καὶ πατρὸς ποιητοῦ ὄντος καὶ χρωμένου τῷ υἱῷ ὡς ὀργάνῳ. ὥστε ποίημα, φασὶν, ὁ υἱὸς, ἐπὶ τούτῳ κτισθεὶς, ἐπὶ τῷ δι' αὐτοῦ γενέσθαι τὰ πάντα, ὥσπερ ὁ πρίων ἐπὶ τούτῳ γίνεται, ἐπὶ τῷ δι' αὐτοῦ ἐνεργηθῆναι τὰ τεκτονικὰ ἔργα. ταῦτα μὲν ἡ πονηρὰ τοῦ Ἀρείου φατρία, ἡμεῖς δὲ τί πρὸς τούτοις ἐροῦμεν ἁπλοῦν καὶ εὐθές. ὡς εἰ ἐπὶ τούτῳ ἔκτισεν, ὡς φατὲ, ὁ πατὴρ τὸν υἱὸν, ἵνα ὄργανον ἔχῃ τοῦτον πρὸς συμπλήρωσιν τῆς κτίσεως, ἀτιμότερος ἔσται ὁ υἱὸς τῆς κτίσεως. ὥσπερ γὰρ τοῦ πρίονος ὀργάνου ὄντος τιμιώτερά εἰσι τὰ δι' αὐτοῦ γινόμενα, ὁ γὰρ πρίων δι' ἐκεῖνα ἐγένετο, οὐχὶ ἐκεῖνα διὰ τὸν πρίονα, οὕτω καὶ ἡ κτίσις τιμιωτέρα ἔσται τοῦ μονογενοῦς, δι' ἐκείνην γὰρ, ὡς λέγουσιν αὐτοί, ὁ πατὴρ ἔκτισεν αὐτὸν, ὡς ἐάν γε μὴ ἔμελλεν ὁ θεὸς κτίσαι τὰ πάντα, οὐδὲ τὸν μονογενῆ παρήγαγε, τούτων τῶν ῥημάτων τί ἀνοητότερον; ναί φησι. καὶ πῶς οὐκ εἶπεν αὐτὸς ὁ λόγος ἐποίησε τὰ πάντα, ἀλλ' ἐχρήσατο ταύτῃ τῇ προθέσει τῇ διά; πῶς; ἵνα μὴ ἀγέννητον καὶ ἄναρχον ὑπονοήσῃς εἶναι τὸν υἱὸν καὶ ἀντίθεον, τούτου ἕνεκεν εἶπεν, ὡς ὁ πατὴρ διὰ τοῦ λόγου ἐποίησε τὰ πάντα. ὑπόθες γάρ τινα ἔχοντα υἱὸν βασιλέα, μέλλοντα δὲ κτίσαι πόλιν, ἐμπιστεῦσαι τῷ υἱῷ τὴν ταύτης κτίσιν, ὥσπερ οὖν ὁ λέγων διὰ τοῦ υἱοῦ τοῦ βασιλέως ἐκτίσθη ἡ πόλις οὐ δοῦλον εἰσάγει τὸν υἱὸν τοῦ βασιλέως, ἀλλὰ δείκνυσιν, ὅτι οὗτος ὁ υἱὸς ἔχει καὶ πατέρα, καὶ οὐ μόνος ἐστίν.

οὕτω καὶ ἐνταῦθα ὁ εὐαγγελιστὴς εἰπὼν διὰ τοῦ υἱοῦ γεγενῆσθαι τὰ πάντα, ἐδήλωσεν ὅτι ὁ πατὴρ μεσίτῃ αὐτῷ πρὸς τὴν κτίσιν, ἵν' οὕτως εἴπω, ἐχρήσατο, οὐχ ὡς ἐλάττονι αὐτοῦ, ἀλλ' ὡς μᾶλλον ἰσοδυνάμῳ, καὶ ὡς ἰσχύοντι τηλικαύτην ἐκτελεῖν ἐπίτασιν. καὶ ἕτερόν σοι λέγω, ὅτι ἐάν σε ταράττῃ ἡ διά πρόθεσις, καὶ ζητῇς εὑρεῖν ἐν τῇ γραφῇ ῥῆσιν τινὰ λέγουσαν ὅτι αὐτὸς ὁ λόγος ἐποίησε τὰ πάντα, ἄκουε τοῦ Δαβίδ. κατ' ἀρ- ψαλ. ρα',
χὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας. καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. ὁρᾷς πῶς οὐκ εἶπεν ὅτι διὰ σοῦ ἐγένοντο οἱ οὐρανοί, καὶ ἐθεμελιώθη ἡ γῆ, ἀλλὰ σὺ ἐθεμελίωσας; καὶ ἔργα χειρῶν σου εἰσίν; ὅτι δὲ ταῦτα περὶ τοῦ μονογενοῦς ὁ Δαβίδ, ἀλλ' οὐ περὶ τοῦ πατρὸς λέγει, μάθοις ἂν καὶ ἀπ' αὐτοῦ τοῦ ἀποστόλου συγχρωμένου τῷ ῥητῷ ἐν τῇ πρὸς Ἑβραίους, μάθοις δ' ἂν καὶ ἀπ' αὐτοῦ τοῦ ψαλμοῦ. εἰπὼν γὰρ ὅτι ὁ κύριος ἐπέβλεψεν ἐπὶ τὴν γῆν τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ, καὶ λῦσαι τοὺς τεθανατωμένους, καὶ τοῦ ἀναγγεῖλαι ἐν σιὼν τὸ ὄνομα κυρίου, τίνα ἄλλον δηλοῖ, ἢ τὸν υἱὸν τοῦ θεοῦ; οὗτος γὰρ ἐπὶ τὴν γῆν ἐπέβλεψεν, εἴτε ταύτην ἐφ' ἧς κινούμεθα, εἴτε τὴν ἡμετέραν φύσιν τὴν γεωθεῖσαν, εἴτε τὴν σάρκα, κατὰ τὸ γῆ εἶ, ἣν καὶ προσείληφεν, ἔλυσέ τε ἡμᾶς τοὺς πε- γενε. β'.
πεδημένους ταῖς τῶν οἰκείων ἁμαρτημάτων πλοκαῖς, καὶ υἱοὺς τῶν τεθανατωμένων τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, καὶ ἀνήγγειλεν ἐν σιὼν τὸ ὄνομα κυρίου. ἐν γὰρ τῷ ἱερῷ ἑστὼς ἐδίδασκε περὶ τοῦ πατρὸς αὐτοῦ, καθὰ καὶ αὐτὸς λέγει, ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις. ταῦτα τοίνυν τίνι ἁρμόζουσι τῷ πατρί, ἢ τῷ υἱῷ; πάντα τῷ υἱῷ. αὐτὸς γὰρ Ἰωάν. ιζ'.
ἀνήγγειλε τὸ ὄνομα τοῦ πατρὸς διδάσκων. μετὰ γοῦν τὸ ταῦτα εἰπεῖν ὁ μακάριος Δαβίδ, ἐπάγει, καὶ σὺ κατ' ἀρχὰς κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. ἆρ' οὐ φανερῶς τὸν υἱὸν παρεισάγει ποιητὴν ἀλλ' οὐκ ὄργανον; εἰ δὲ πάλιν ἡ διά πρόθεσις ὕφεσίν τινα δοκεῖ σοι εἰσάγειν, τί φήσεις, ὅταν ὁ παῦλος τιθῇ ταύ-
την ἐπὶ τοῦ πατρός; φησὶ γάρ, πιστὸς ὁ θεός, δι' οὗ ἐκλήθημεν εἰς κοινωνίαν τοῦ υἱοῦ αὐ- α'. πρὸς κο-
τοῦ. ἆρα ὄργανον ἐνταῦθα ποιεῖ τὸν πατέρα; καὶ πάλιν. παῦλος ἀπόστολος διὰ ριν. α'.
θελήματος θεοῦ. ἀλλὰ ταῦτα μὲν ἱκανά, ἐπανιτέον δὲ πάλιν ὅθεν ἐξέβημεν. πάν-
τα δι' αὐτοῦ ἐγένετο. μωσῆς μὲν περὶ τῆς ὁρατῆς κτίσεως διαλαβών, οὐδὲν ἡμῖν πε- α'. πρὸς κο-
ρὶ τῶν νοητῶν διετράνωσεν, ὁ δ' εὐαγγελιστὴς ἐν ῥήματι πάντα περιλαβών φησί, ριν. α'.
πάντα δι' αὐτοῦ ἐγένετο, τὰ ὁρατὰ καὶ τὰ νοητά.

Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. Ἐπειδὴ εἶπεν, ὅτι πάντα αὐτὸς ἔκτισεν, ἵνα μὴ νομίσῃ τις, ὅτι καὶ τὸ πνεῦμα τὸ ἅγιον αὐτὸς ἔκτισε, προστίθησιν, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο. ποῖα δὲ πάντα; τὰ γενόμενα. ὥσπερ εἰ ἔλεγεν, ὅτι εἴ τι ἐστὶ τῆς γεννητῆς φύσεως, ἐκεῖνο γέγονεν ὑπὸ τοῦ λόγου, τὸ δὲ πνεῦμα οὐκ ἔστιν ἐπὶ τῆς γεννητῆς φύσεως, διὸ οὐδὲ γέγονεν ὑπ' αὐτοῦ. χωρὶς οὖν τῆς τοῦ λόγου δυνάμεως, οὐδὲν ἐγένετο ὃ γέγονεν, ἀντὶ τοῦ ὃ γεννητῆς φύσεως ἦν.

Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Οἱ μὲν οὖν πνευματομάχοι οὕτως ἀναγινώσκουσι τὸ ῥητὸν χωρίον, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, εἶτα ἐνταῦθα στίξαντες, ἀναγινώσκουσιν ὡς ἀφ' ἑτέρας ἀρχῆς, ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἑρμηνεύουσι κατὰ τὸν οἰκεῖον νοῦν τὸ χωρίον, λέγοντες ὅτι ἐνταῦθα περὶ τοῦ πνεύματος διαλαμβάνει ὁ εὐαγγελιστὴς λέγων, τουτέστι, τὸ πνεῦμα τὸ ἅγιον ζωὴ ἦν. ταῦτα λέγουσιν οἱ περὶ Μακεδόνιον, σπεύδοντες δεῖξαι κτίσμα τὸ πνεῦμα τὸ ἅγιον, καὶ συγκαταριθμῆσαι αὐτὸ τοῖς γενομένοις. ἡμεῖς δὲ οὐχ οὕτως, ἀλλὰ στίξαντες ἐν τῷ ὃ γέγονεν, ἀπ' ἀρχῆς ἑτέρας ἀναγινώσκομεν, τό, ἐν αὐτῷ ζωὴ ἦν. ἐπειδὴ γὰρ εἶπε περὶ τῆς δημιουργίας, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, λέγει λοιπὸν καὶ περὶ τῆς προνοίας, ὅτι οὐ μόνον ἐδημιούργησεν, ἀλλὰ καὶ τὴν ζωὴν τῶν δημιουργηθέντων αὐτός ἐστιν ὁ συνέ-

χων, καὶ γὰρ ἐν αὐτῷ ζωὴ ἦν. οἶδα δὲ παρά τινι τῶν ἁγίων οὕτως ἀναγνωσθὲν τὸ χωρίον τοῦτο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν ἐν αὐτῷ· εἶτα ἐνταῦθα στίξας, ἤρξατο τοῦ ἐφεξῆς, ζωὴ ἦν, καὶ οἶμαι ὅτι οὐδὲ αὕτη ἡ ἀνάγνωσις ἔσφαλται, ἀλλὰ τοῦ αὐτοῦ ὀρθοῦ νοήματος ἔχεται· καὶ οὗτος γὰρ ὁ ἅγιος ὀρθοδόξως ἐνόησεν, ὅτι χωρὶς τοῦ λόγου οὐδὲ ἓν ἐγένετο, ὃ γέγονεν ἐν αὐτῷ, πάντα γὰρ ὅσα γεγόνασι, καὶ ἐκτίσθησαν ἐν αὐτῷ τῷ λόγῳ φημὶ, χωρὶς αὐτοῦ οὐ γεγόνασιν· εἶτα ἀπ᾽ ἄλλης ἀρχῆς ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· ζωὴν δὲ ὁ εὐαγγελιστὴς ὀνομάζει τὸν κύριον, ὡς τὴν τῶν ἁπάντων ζωὴν συνέχοντα, ἀλλὰ καὶ ὡς τῆς πνευματικῆς ζωῆς πρόξενον πᾶσι τοῖς λογικοῖς· φῶς δὲ, οὐ τοιοῦτον αἰσθητὸν, ἀλλὰ νοητὸν, τὴν ψυχὴν φωτίζον αὐτήν. οὐκ εἶπε δὲ, ὅτι Ἰουδαίων μόνων ἐστὶ φῶς, ἀλλὰ πάντων ἀνθρώπων· πάντες γὰρ ἄνθρωποι, καθὸ νοῦν ἐλάβομεν καὶ λόγον παρὰ τοῦ κτίσαντος ἡμᾶς λόγου, κατὰ τοῦτο λεγόμεθα φωτισθῆναι ὑπ᾽ αὐτοῦ· ὁ γὰρ λόγος ὁ δοθεὶς ἡμῖν, δι᾽ οὗ καὶ λογικοὶ καλούμεθα, φῶς ἐστιν ὁδηγοῦν ἡμᾶς εἰς τὰ πρακτέα καὶ τὰ μὴ πρακτέα·

Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν·

Τὸ φῶς ἤγουν ὁ λόγος τοῦ θεοῦ, ἐν τῇ σκοτίᾳ, τουτέστιν, ἐν τῷ θανάτῳ καὶ τῇ πλάνῃ φαίνει. καὶ γὰρ καὶ ἐν τῷ θανάτῳ γενόμενος, οὕτως αὐτοῦ περιεγένετο, ὡς καὶ οὓς ἔφθασε καταπιεῖν, ἀναγκάσαι αὐτὸν ἐξεμέσαι, καὶ ἐν τῇ πλάνῃ τῇ ἑλληνικῇ λάμπει τὸ κήρυγμα, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν· οὔτε γὰρ ὁ θάνατος αὐτοῦ περιεγένετο, οὔτε ἡ πλάνη, ἀκαταγώνιστον γάρ ἐστι τὸ φῶς τοῦτο, ὁ θεὸς λόγος φημί· τινὲς δὲ σκοτίαν ἐνόμισαν τὴν σάρκα, καὶ τὸν βίον, καὶ ἐν σαρκὶ οὖν γενόμενος, καὶ ἐν τῷ βίῳ τούτῳ ὁ λόγος ἔλαμψε, καὶ ἡ σκοτία, ἡ ἀντικειμένη λέγω δύναμις, ἐπείρασε μὲν, καὶ ἐδίωξε τὸ φῶς, ἀλλ᾽ εὗρεν ἀκαταμάχητον καὶ ἀήττητον· σκοτία δὲ λέγεται ἡ σάρξ, οὐχ ὡς κατὰ φύσιν τοιαύτη οὖσα, ἄπαγε, ἀλλ᾽ ὡς διὰ τὴν ἁμαρτίαν. ἡ γὰρ σὰρξ οὐδὲν ὅλως ἔχει κακὸν φυσικῶς κινουμένη, παρὰ φύσιν δὲ κινηθεῖσα, καὶ πρὸς ἁμαρτίαν ὑπηρετήσασα, σκοτία καὶ γίνεται καὶ λέγεται·

Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης·

Μετὰ τὸ διαλεχθῆναι ἡμῖν περὶ τῆς πρὸ αἰώνων ὑπάρξεως τοῦ θεοῦ λόγου, ἐπειδὴ μέλλει καὶ περὶ τῆς τοῦ λόγου σαρκώσεως εἰπεῖν, παρεμβάλλει τὸν τοῦ προδρόμου λόγον. καὶ τί γὰρ ἄλλο, ἢ Πρόδρομος ὢν ὁ Ἰωάννης ἔχει καὶ τὸν περὶ τῆς αὐτοῦ γενέσεως λόγον, προτρέχοντα τῆς τοῦ κυρίου ἐν σαρκὶ γεννήσεως. φησὶν οὖν περὶ τοῦ προδρόμου ὁ εὐαγγελιστὴς, ὅτι ἐγένετο ἀπεσταλμένος παρὰ θεοῦ, ἀντὶ τοῦ ἀπεστάλη παρὰ θεοῦ, οἱ γὰρ ψευδοπροφῆται οὐκ ἐκ θεοῦ· ὅταν δὲ ἀκούσῃς, ὅτι ἀπεστάλη παρὰ θεοῦ, μηδὲν ἴδιον νομίσῃς ἢ ἀνθρώπινον λέγειν, ἀλλὰ πάντα θεῖα· διὰ τοῦτο καὶ ἄγγελος λέγεται, ἀγγέλου δὲ ἀρετὴ μηδὲν ἴδιον λέγειν· ἄγγελον δὲ ἀκούσας, μὴ νόμιζε, ὅτι φύσει ἄγγελος ἦν, ἢ ἐκ τῶν οὐρανῶν κατέβη, ἀλλὰ διὰ τὸ ἔργον καὶ τὴν διακονίαν, ἄγγελος καλεῖται· ἐπεὶ γὰρ ὑπηρέτησε τῷ κηρύγματι, καὶ προήγγειλε τὸν κύριον, τούτου ἕνεκεν ἐκλήθη ἄγγελος· διὸ καὶ ὁ εὐαγγελιστὴς ἀνατρέπων τὴν τῶν πολλῶν ὑπόνοιαν, τῶν ἴσως νομισάντων, ὅτι ἄγγελος ἦν ὁ Ἰωάννης τῇ φύσει, φησὶν, ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ·

Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι᾽ αὐτοῦ·

Οὗτος, φησὶν, ὁ ἀπεσταλμένος παρὰ θεοῦ, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς· εἶτα ἵνα μήτις νομίσῃ, ὅτι ἔχρῃζεν ἄρα τῆς τούτου μαρτυρίας ὁ μονογενὴς ὡς ἐλλιπὴς ὢν, διὰ τοῦτο προστίθησιν, ὅτι ἦλθε μαρτυρήσων περὶ τοῦ υἱοῦ τοῦ θεοῦ, οὐχ ὡς αὐτοῦ τῆς ἐκείνου χρῄζοντος μαρτυρίας, ἀλλ᾽ ἵνα πάντες πιστεύσωσι δι᾽ αὐτοῦ· ἄρα

οὖν καὶ

οὖν καὶ πάντες ἐπίστευσαν δι' αὐτοῦ; οὐχί. πῶς οὖν φησιν ὁ εὐαγγελιστὴς, ἵνα πάντες πιστεύσωσι; πῶς; ὅσον τὸ ἐπ' ἐκείνῳ, διὰ τοῦτο ἐμαρτύρησεν, ἵνα πάντας ἑλκύσῃ, εἰ δὲ ἠπίστησαν τινὲς, οὐκ ἐκεῖνος μεμπτέος· ἐπειδὴ καὶ ὁ ἥλιος ἐπὶ τούτῳ ἀνατέλλει, ἵνα πάντας φωτίσῃ, εἰ δέ τις ἀποκλείσας ἑαυτὸν ἐν ζοφώδει οἰκήματι οὐκ ἀπολαύοι τῆς ἀκτῖνος αὐτοῦ, τί τοῦτο πρὸς τὸν ἥλιον; οὕτω κἀνταῦθα, ἀπεστάλη μὲν ὁ Ἰωάννης, ἵνα πάντες πιστεύσωσιν, εἰ δὲ μὴ τοῦτο ἀπέβη, οὐκ ἐκεῖνος αἴτιος.

Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἐπειδὴ ὡς ἐπὶ πολὺ συμβαίνει τὸν μαρτυροῦντα κρείττονα εἶναι τοῦ μαρτυρουμένου, ἵνα μὴ νομίσῃς, ὅτι καὶ Ἰωάννης μαρτυρῶν περὶ Χριστοῦ κρείττων αὐτοῦ ἦν, τὴν πονηρὰν ταύτην ὑπόνοιαν περιαιρῶν, φησὶν, οὐκ ἦν ἐκεῖνος τὸ φῶς· ἀλλ' εἴποι αὖ τις. ἆρα οὐδὲ τὸν Ἰωάννην, οὔτε τινὰ ἄλλον τῶν ἁγίων εἴποιμεν φῶς; φῶς μὲν εἴποιμεν ἕκαστον τῶν ἁγίων, τὸ φῶς δὲ οὐκ ἂν εἴποιμεν μετὰ τοῦ ἄρθρου· οἷον ἐάν σε ἔροιτό τις, ἆρα ὁ Ἰωάννης φῶς ἐστι; κατάνευσον. εἰ δὲ οὕτως ἐρωτήσει· ἆρα ὁ Ἰωάννης τὸ φῶς ἐστιν; εἰπὲ, οὔ. οὐ γάρ ἐστιν αὐτὸς τὸ φῶς κυρίως. ἀλλὰ φῶς κατὰ μετοχὴν, ἔχων τὴν λάμψιν ἐκ τοῦ ἀληθινοῦ φωτός.

Ἦν τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Μέλλει εἰπεῖν περὶ τῆς ἐν σαρκὶ οἰκονομίας τοῦ μονογενοῦς, ὅτι ἦλθεν εἰς τὰ ἴδια, ὅτι σὰρξ ἐγένετο. ἵνα τοίνυν μὴ νομίσῃ τις, ὅτι πρὸ τοῦ σαρκωθῆναι οὐκ ἦν, τούτου ἕνεκα ἀνάγει τὴν διάνοιαν ἐπὶ τὴν ἐπέκεινα πάσης ἀρχῆς ὕπαρξιν, καί φησιν, ἦν καὶ πρὸ τοῦ σαρκωθῆναι τὸ φῶς τὸ ἀληθινόν. διὰ τούτου δὲ, τὴν Φωτεινοῦ καὶ Παύλου τοῦ Σαμοσατέως αἵρεσιν ἀνατρέπει, τῶν δογματιζόντων τότε ὑπάρξαι τὸν μονογενῆ, ὅτε ἀπὸ Μαρίας ἐγεννήθη, πρὸ τούτου δὲ μὴ εἶναι· ἄκουε καὶ σὺ ὁ ἀρειανὸς, ὁ μὴ λέγων ἀληθινὸν θεὸν τὸν υἱὸν τοῦ θεοῦ, τί φησιν ὁ εὐαγγελιστὴς, τὸ φῶς τὸ ἀληθινόν· καὶ σὺ δὲ ὦ μανιχαῖε ὁ λέγων, ὅτι τοῦ πονηροῦ δημιουργοῦ ἐσμὲν κτίσματα, ἄκουε, ὅτι τὸ φῶς τὸ ἀληθινὸν φωτίζει πάντα ἄνθρωπον· εἰ οὖν ὁ πονηρὸς δημιουργὸς σκότος ἐστὶν, οὐκ ἂν φωτίσῃ τινά, ὥστε τοῦ φωτὸς τοῦ ἀληθινοῦ ἐσμὲν κτίσματα. καὶ πῶς, φησὶ, φωτίζει πάντα ἄνθρωπον, ὅπου γε βλέπομεν τινὰς ἐσκοτισμένους; ὅσον τὸ ἐφ' ἑαυτῷ πάντας φωτίζει· εἰπὲ γάρ μοι. οὐ πάντες λογικοί; οὐ πάντες φύσει γινώσκοντες τὸ καλὸν καὶ τοὐναντίον; οὐκ ἔχοντες δύναμιν ἐννοῆσαι ἀπὸ τῶν κτισμάτων τὸν κτίστην; ὥστε ὁ λόγος ὁ δοθεὶς ἡμῖν, καὶ παιδαγωγῶν ἡμᾶς φύσει, ὃς καὶ φυσικὸς νόμος καλεῖται, οὗτος ἂν κληθείη φῶς, τὸ δοθὲν ἡμῖν παρὰ θεοῦ· εἰ δέ τινες κακῶς τῷ λόγῳ ἐχρήσαντο, ἑαυτοὺς ἐσκότισαν. τινὲς δὲ οὕτω λύουσι τὴν ἔνστασιν ταύτην· φωτίζει, φησὶν, ὁ κύριος πάντα ἄνθρωπον τὸν ἐρχόμενον εἰς τὸν κόσμον, ἤτοι εἰς τάξιν βελτίονα, καὶ σπουδάζοντα κοσμῆσαι τὴν οἰκείαν ψυχὴν, καὶ μὴ ἐᾶσαι ἄκοσμόν τε καὶ ἀκαλλῆ.

Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Ἐν τῷ κόσμῳ ἦν ὡς θεὸς πανταχοῦ παρὼν, ἀλλὰ δὴ καὶ κατὰ προνοητικὸν καὶ συνεκτικὸν λεχθείη ἂν ἐν τῷ κόσμῳ εἶναι. καίτοι τί τοῦτο φησὶ λέγω, ὅτι ἐν τῷ κόσμῳ ἦν, ὅπου γε οὐδὲ ὁ κόσμος ἂν ἦν, εἰ μὴ αὐτὸς αὐτὸν ἐποίησε; πανταχόθεν δὲ δημιουργὸν αὐτὸν δεικνύειν· ἅμα μὲν καὶ τὴν τοῦ Μάνεντος λύσσαν ἀναστέλλων, τοῦ λέγοντος, πονηρὸν δημιουργὸν παραγαγεῖν τὰ σύμπαντα· ἀλλὰ δὴ καὶ τὴν τοῦ Ἀρείου, τοῦ φήσαντος κτίσμα εἶναι τὸν υἱὸν τοῦ θεοῦ· ἅμα δὲ καὶ πάντα ἄνθρωπον ἐνάγων εἰς τὸ ὁμολογῆσαι τὸν ποιητὴν, καὶ μὴ λατρεῦσαι τοῖς κτίσμασιν, ἀλλὰ προσκυνῆσαι τὸν κτίστην· ὁ κόσμος δὲ, φησὶν, αὐτὸν οὐκ ἔγνω, ἀντὶ τοῦ ὁ ἰουδαῖος λαὸς, ὁ τοῖς τοῦ κόσμου προστετηκὼς πράγμασι. τὸ γὰρ κόσμος ὄνομα, σημαίνει μὲν καὶ τὸ σύμπαν τοῦτο, καθὰ ἐνταῦθα εἴρηται, ὅτι ὁ κόσμος δι' αὐτοῦ ἐγένετο· σημαίνει δὲ καὶ τοὺς τὰ κοσμι-

καὶ φρονοῦντας, καθὰ ἐνταῦθα φησὶν, ὅτι ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, ἀντὶ τοῦ οἱ γήϊνοι ἄνθρωποι· ἐπεὶ οἵγε ἅγιοι πάντες καὶ οἱ προφῆται ἐπέγνωσαν·

Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· Ἐνταῦθα φανερώτατα εἰς τὸν περὶ τῆς ἐνσάρκου οἰκονομίας λόγον εἰσβάλλει, καὶ ἔστιν ἡ ὅλη ὑφὴ τοῦ νοήματος τοιαύτη· ἦν μὲν χωρὶς σαρκὸς τὸ φῶς τὸ ἀληθινὸν ἐν τῷ κόσμῳ, καὶ οὐκ ἐπεγινώσκετο, εἶτα, καὶ εἰς τὰ ἴδια ἦλθε μετὰ σαρκός· ἴδια δὲ αὐτοῦ ἢ τὸν ὅλον κόσμον νοήσεις, ἢ τὴν Ἰουδαίαν, ἣν ἐξελέξατο ὡς σχοίνισμα κληρονομίας, καὶ ὡς μερίδα, καὶ ὡς περιουσιασμὸν αὐτοῦ· καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον, ἢ οἱ Ἰουδαῖοι, ἢ καὶ οἱ λοιποὶ ἄνθρωποι οἱ ὑπ' αὐτοῦ κτισθέντες· ὥσπερ οὖν ἀποκλαίεται τὴν ἄνοιαν τῶν ἀνθρώπων, καὶ θαυμάζει τὴν φιλανθρωπίαν τοῦ δεσπότου, ἴδιοι, φησὶν, ὄντες αὐτοῦ οὐ πάντες παρέλαβον αὐτὸν, οὐ γὰρ ἀνάγκῃ τινὰ ἐφέλκεται ὁ κύριος, ἀλλὰ γνώμῃ καὶ προαιρέσει·

Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· Κἂν δοῦλοι, κἂν ἐλεύθεροι, κἂν παῖδες, κἂν γέροντες, κἂν βάρβαροι, κἂν ἕλληνες, ὅσοι ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι· τίνες δέ εἰσιν οὗτοι; οἱ πιστεύοντες εἰς τὸ ὄνομα αὐτοῦ, ὥστε οἱ λαβόντες τὸν λόγον καὶ τὸ φῶς τὸ ἀληθινὸν, διὰ τῆς πίστεως ἔλαβον καὶ ὑπεδέξαντο. τίνος δὲ χάριν οὐκ εἶπεν, ὅτι ἐποίησεν αὐτοὺς τέκνα θεοῦ, ἀλλ' ὅτι ἐξουσίαν ἔδωκεν αὐτοῖς τέκνα θεοῦ γενέσθαι; τίνος ἕνεκεν; ἄκουε, ὅτι οὐκ ἐξαρκεῖ πρὸς τὴν φυλακὴν τῆς καθαρότητος τὸ βαπτισθῆναι, ἀλλὰ καὶ πολλῆς σπουδῆς χρεία, ὥστε τὴν ἐν τῷ βαπτίσματι τυπωθεῖσαν εἰκόνα τῆς υἱοθεσίας ἀκηλίδωτον διαφυλάξαι. διὸ πολλοὶ ἔλαβον μὲν τὴν διὰ τοῦ βαπτίσματος χάριν τῆς υἱοθεσίας, ῥαθυμήσαντες δὲ οὐκ ἐγένοντο τέκνα θεοῦ ἄχρι τέλους. τάχα δ' ἄν τις εἴποι καὶ τοῦτο, ὅτι πολλοὶ λαμβάνουσι μὲν αὐτὸν διὰ τοῦ πιστεῦσαι μόνον, οἷοι εἰσὶν οἱ λεγόμενοι κατηχούμενοι, οὔπω δὲ ἐγένοντο τέκνα θεοῦ, ἐξουσίαν μέντοι γε ἔχουσιν, εἰ βούλοιντο βαπτισθῆναι, καὶ ταύτης καταξιωθῆναι τῆς χάριτος, τῆς υἱοθεσίας φημί· ἐρεῖ δέ τις καὶ τοῦτο, ὅτι εἰ καὶ διὰ τοῦ βαπτίσματος, τῆς υἱοθεσίας τὴν χάριν δεχόμεθα, ἀλλὰ τὸ τέλειον ἐν τῇ ἀναστάσει ἀπολαμβάνομεν, καὶ τὴν ἐντελεστάτην υἱοθεσίαν τότε ἐλπίζομεν ἀπολήψεσθαι, καθὰ δὴ καὶ

Πρὸς Ῥω. η'. Παῦλός φησιν, ὅτι τὴν υἱοθεσίαν ἀπεκδεχόμεθα· διὰ τοῦτο γοῦν καὶ οὗτος ὁ εὐαγγελιστὴς οὐκ εἶπεν, ὅτι ὅσοι ἔλαβον αὐτὸν, ἐποίησεν αὐτοὺς τέκνα θεοῦ, ἀλλ' ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τουτέστιν ἐν τῷ μέλλοντι αἰῶνι ἀπολήψεσθαι ταύτην τὴν χάριν·

Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν· Σύγκρισιν ὥσπερ ποιεῖται τοῦ θείου καὶ τοῦ σαρκικοῦ τόκου, οὐκ ἀπεικότως ἀναμιμνήσκων ἡμᾶς τῶν σαρκικῶν ὠδίνων, ἀλλ' ὅπως διὰ τῆς συγκρίσεως ἐπιγνόντες ἡμεῖς τοῦ σαρκικοῦ τόκου τὸ ἀγεννὲς καὶ ταπεινὸν, πρὸς τὴν θείαν χάριν δράμωμεν. φησὶ γοῦν οἳ οὐκ ἐξ αἱμάτων ἐγεννήθησαν τῶν καταμηνίων δηλαδὴ, ἐκ τούτων γὰρ ἡ τροφὴ καὶ ἡ αὔξησις τῷ ἐμβρύῳ· φασὶ δὲ ὅτι καὶ τὸ σπέρμα πρῶτον ἐξαιματοῦται, εἶτα εἰς σάρκα καὶ τὴν ἄλλην διασκευὴν μεταπλάττεται· ἐπεὶ δὲ εἰκὸς ἦν τινας εἰπεῖν, ὅτι καὶ τοῦ Ἰσαὰκ λοιπὸν ἡ γέννησις τοιαύτη ἦν, οἵαν

Γεν. ιη'. γεννῶνται οἱ πιστεύοντες εἰς Χριστὸν, καὶ γὰρ καὶ ὁ Ἰσαὰκ οὐκ ἐξ αἱμάτων ἐγεννήθη, ἐξέλιπε γὰρ τῇ Σάρρᾳ τὰ καταμήνια· ἐπεὶ τοίνυν ἐνεδέχετο τινὰς ὑπονοῆσαι τοῦτο, ἐπάγει τό· οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρός· καὶ γὰρ τῷ Ἰσαὰκ εἰ οὐκ ἐξ αἱμάτων ἡ γέννησις, ἀλλά γε ἐκ θελήματος ἀνδρὸς, ἤθελε γὰρ δήπου ὁ ἀνὴρ γεννηθῆναι αὐτῷ παιδίον ἐκ τῆς Σάρρας· ἐκ θελήματος δὲ σαρκὸς, ὡς ἐκ τῆς

Ἄννης ὁ Σαμουήλ· εἴποις οὖν τὸν μὲν Ἰσαὰκ ἐκ θελήματος ἀνδρός, τὸν δὲ Σαμουὴλ α΄. Βα. β΄.
ἐκ θελήματος σαρκός, τουτέστι, τῆς ἀνθρωπίνης, ἐδίψα γὰρ τοῦ κτήσασθαι παῖδα
ἡ στεῖρα αὕτη, τάχα δὲ καὶ ἀμφότερα ἐπὶ ἀμφοτέρων· εἰ δέ τι καὶ ἕτερον βούλοιο
μαθεῖν, ἄκουε, ὅτι ἡ κατὰ σάρκα μίξις ἢ ἀπὸ πυρώσεως φυσικῆς γίνεται, πολλάκις
γάρ τις ἔτυχε διαπλάσεως θερμοτέρας, καὶ ἐκ τούτου ἐστὶν εὐκατάφορος πρὸς συνου-
σίαν, τοῦτο γοῦν ὠνόμασε θέλημα σαρκός· ἢ διὰ πονηρὰν συνήθειαν, καὶ ἀκόλαστον
δίαιταν ἡ πρὸς συνουσίαν ὁρμὴ ἄσχετος γίνεται, ἣν θέλημα ἀνδρὸς ἐκάλεσεν, ὡς οὐ
τῆς φυσικῆς διαπλάσεως, ἀλλὰ τῆς τοῦ ἀνδρὸς ἀκολασίας ἔργον οὖσαν· ἴσως δέ,
ἐπεὶ ποτὲ μὲν εὑρίσκεται ἡ γυνὴ πρὸς συνουσίαν εὐκατάφορος, ποτὲ δὲ ὁ ἀνήρ,
διὰ μὲν τοῦ θελήματος τοῦ ἀνδρὸς τὴν τοῦ ἀνδρὸς λαγνείαν ἐδήλωσε, διὰ δὲ τοῦ θελή-
ματος τῆς σαρκὸς τὴν τῆς γυναικός· ταῦτα δὲ πάντα εἴρηται διὰ τοὺς τὰ ἀνόητα
πολλάκις ἐρωτῶντας· ἐπεὶ τό γε κυριώτερον εἰπεῖν, μία διὰ πάντων τούτων ἔννοια
δηλοῦται, φημὶ δὴ ἡ τῆς τοῦ σαρκικοῦ τόκου εὐτελείας ἔμφασις· τί οὖν πλέον ἔχομεν
οἱ εἰς Χριστὸν πιστεύοντες τῶν ἐν τῷ νόμῳ Ἰσραηλιτῶν; καὶ γὰρ κἀκεῖνοι υἱοὶ θεοῦ ἐλέγον- Δευ. λβ΄.
το, πολὺ τὸ διάφορον ἡμῶν κἀκείνων· ἐπεὶ γὰρ ὁ νόμος ἐν πᾶσι σκιὰν εἶχε τῶν μελ- Πρὸς Ἑβρ. ι΄.
λόντων, οὐδὲ τὴν υἱοθεσίαν ἔχειν ἐδίδου τοῖς Ἰσραηλίταις, ἀλλ᾽ ὡς ἐν τύπῳ καὶ σχή-
ματι, ἡμεῖς δὲ κατὰ ἀλήθειαν λαβόντες τὸ πνεῦμα τοῦ θεοῦ διὰ τοῦ βαπτίσματος, Πρὸς Ῥω. η΄.
κράζομεν ἀββᾶ ὁ πατήρ· ἐκείνοις δὲ ὥσπερ τὸ βάπτισμα τυπικὸν ἦν καὶ σκιῶδες,
οὕτω καὶ ἡ υἱοθεσία τὴν ἡμετέραν προτυποῦσα. κἂν οὖν υἱοὶ ἐκαλοῦντο, ἀλλὰ σκιω-
δῶς, καὶ οὐκ αὐτὴν τὴν ἀλήθειαν τῆς υἱοθεσίας εἶχον, ὡς ἡμεῖς νῦν διὰ τοῦ βαπτίσματος·
Καὶ ὁ λόγος σὰρξ ἐγένετο· Εἰπὼν ὅτι τέκνα γινόμεθα θεοῦ, εἰ θέλομεν οἱ πι-
στεύοντες εἰς Χριστόν, ἐπιφέρει καὶ τὴν αἰτίαν τοῦ τηλικούτου ἀγαθοῦ· τί γάρ, φησι,
προεξένησεν ἡμῖν τὴν υἱοθεσίαν ταύτην; βούλει μαθεῖν; τὸ τὸν λόγον σάρκα γενέσθαι.
ὅταν δὲ ἀκούσῃς, ὅτι σὰρξ ἐγένετο, μὴ νομίσῃς ὅτι ἐξέστη τῆς οἰκείας φύσεως, καὶ ἐ-
τράπη εἰς σάρκα, οὐ γὰρ ἂν θεὸς ἦν, εἴπερ ἐτρέπετο, καὶ ἠλλοιοῦτο, ἀλλ᾽ ὅτι μένων ὃ
ἦν, ἐγένετο ὃ οὐκ ἦν· Ἀπολινάριος δὲ ὁ Λαοδικεὺς ἐντεῦθεν αἵρεσιν συνεστήσατο. ἐδο-
γμάτισε γὰρ ὅτι ὁ κύριος καὶ θεὸς ἡμῶν οὐκ ἀνέλαβε τὴν τοῦ ἀνθρώπου φύσιν τε-
λείαν, ἤγουν σῶμα μετὰ ψυχῆς λογικῆς, ἀλλὰ σάρκα μόνην ψυχῆς λογικῆς καὶ νοε-
ρᾶς ἄμοιρον· τί γὰρ ἔχρῃζεν ὁ θεὸς τῆς ψυχῆς, ἔχων τὴν θεότητα κυβερνῶσαν τὸ
σῶμα, ὃν τρόπον ἔχομεν ἡμεῖς τὴν ψυχὴν διεξάγουσαν τὸ ἡμῶν σῶμα; εἶχε δὲ εἰς
ἐπικουρίαν, ὡς ᾤετο, τὸ παρὸν ῥητόν, καὶ ὁ λόγος σὰρξ ἐγένετο· οὐ γάρ, φησιν, εἶπεν
ὅτι ἄνθρωπος ἐγένετο, ἀλλὰ σάρξ, ὥστε οὐκ ἀνέλαβε ψυχὴν νοῦν ἔχουσαν καὶ λόγον,
ἀλλὰ σάρκα ἄνουν καὶ ἄλογον. ἠγνόει δὲ ἄρα ὁ ἐλεεινός, ὅτι ἡ γραφὴ ἀπὸ τοῦ μέ-
ρους πολλάκις ὀνομάζει τὸ ὅλον, οἷον μέλλουσα ἐπιμνησθῆναι ἀνθρώπου ὅλου, ἀπὸ
μέρους, τῆς ψυχῆς λόγῳ ὀνομάζει αὐτόν, οἷον πᾶσα ψυχή, ἥτις οὐ περιτμηθῇ, θανα- Γενε. ιζ΄.
τούσθω. ἰδοὺ γὰρ ἀντὶ τοῦ εἰπεῖν πᾶς ἄνθρωπος, εἶπε τὸ μέρος, τὴν ψυχὴν λέγω· καὶ
πάλιν ἀπὸ τῆς σαρκὸς ὀνομάζει τὸ ὅλον, ὡς ὅταν λέγῃ, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σω- Ἡσαΐ. μ΄.
τήριον τοῦ θεοῦ, πάντα γὰρ ἄνθρωπον μέλλων εἰπεῖν, τῷ τῆς σαρκὸς ὀνόματι προσε- Λουκ. γ΄.
χρήσατο· οὕτως οὖν καὶ ὁ εὐαγγελιστής. ἀντὶ τοῦ εἰπεῖν ὁ λόγος ἄνθρωπος ἐγένετο, εἶ-
πεν ὁ λόγος σὰρξ ἐγένετο, ἀπὸ τοῦ μέρους τὸν ἄνθρωπον ὀνομάζων τὸν ἐκ ψυχῆς καὶ
σώματος συγκείμενον· τάχα δὲ ἐπεὶ ἡ σὰρξ ἀλλότριόν ἐστι τῆς θείας φύσεως, θέλων
ὁ εὐαγγελιστὴς δηλῶσαι τὴν ὑπεράπειρον συγκατάβασιν τοῦ θεοῦ, τῆς σαρκὸς ἐμνή-
σθη. ἵν᾽ ἐκπλαγῶμεν τὴν ἄφατον φιλανθρωπίαν αὐτοῦ, ὅτι διὰ τὴν σωτηρίαν ἡμῶν
τὸ ἀλλότριον τῆς φύσεως αὐτοῦ καὶ ξένον παντάπασι, φημὶ δὴ τὴν σάρκα προσέ-

λαβεν· ἡ μὲν γὰρ ψυχὴ ἔχει τινὰ συγγένειαν πρὸς θεόν, ἡ δὲ σὰρξ παντάπασιν ἀκοινώνητος· διὰ τοῦτο οὖν οἶμαι τὸν εὐαγγελιστὴν ἐνταῦθα μόνῳ τῷ τῆς σαρκὸς ὀνόματι χρήσασθαι, οὐχ ὡς ἀμοιροῦντος ψυχῆς τοῦ προσλήμματος, ἀλλὰ πρὸς ἔνδειξιν πλείω τοῦ θαυμαστοῦ καὶ φρικώδους μυστηρίου· ἐπεὶ ἐὰν οὐ προσελάβετο ψυχὴν ἀνθρωπίνην ὁ λόγος σαρκωθείς, ἀθεράπευτοι ἔτι εἰσὶν αἱ ψυχαὶ ἡμῶν, ὃ γὰρ οὐ προσελάβετο, οὐδὲ ἡγίασε. καὶ τίς ὁ γέλως τῆς ψυχῆς πρώτης παθούσης (ἐκείνη γὰρ ἡ ἐνδοῦσα τοῖς τοῦ ὄφεως λόγοις καὶ ἀπατηθεῖσα ἐν παραδείσῳ, εἶτα καὶ ἡ χεὶρ ἥψατο ἐπακολουθήσασα τῇ κυρίᾳ καὶ δεσποίνῃ τῇ ψυχῇ) τὴν μὲν θεράπαιναν τὴν σάρκα, καὶ προσληφθῆναι, καὶ ἁγιασθῆναι, καὶ θεραπευθῆναι, τὴν δὲ κυρίαν ἐαθῆναι ἀπρόσληπτόν τε καὶ ἀθεράπευτον; ἀλλ' Ἀπολινάριος μὲν ἐρρέτω· ἡμεῖς δὲ ὅταν ἀκούωμεν, ὅτι ὁ λόγος σὰρξ ἐγένετο, πιστεύομεν ὅτι ἄνθρωπος τέλειος, τῆς γραφῆς εἰωθυίας καὶ σάρκα καὶ ψυχὴν μονομερῶς τὸν σύνθετον ἄνθρωπον ὀνομάζειν· ἀνατρέπεται δὲ ἐκ τούτου τοῦ ῥητοῦ καὶ Νεστόριος· ἐκεῖνος γὰρ ἔλεγεν, ὅτι οὐχ ὁ θεὸς ὁ λόγος αὐτὸς ἐκεῖνος ἐγένετο ἄνθρωπος, συλληφθεὶς ἐκ τῶν παναγνῶν αἱμάτων τῆς ἁγίας παρθένου, ἀλλ' ἔτεκεν ἡ παρθένος ἄνθρωπον, οὗτος δὲ ὁ ἄνθρωπος χαριτωθεὶς ἀρετῆς πάσης εἶδει, ἔχει τὸν τοῦ θεοῦ λόγον συνημμένον αὐτῷ, καὶ ἐξουσίαν διδόντα κατὰ πνευμάτων ἀκαθάρτων, καὶ ἐκ τούτου ἐδογμάτιζε δύο υἱούς, ἕνα τὸν τῆς παρθένου τὸν Ἰησοῦν τὸν ἄνθρωπον, καὶ ἕτερον τὸν υἱὸν τοῦ θεοῦ, συνημμένον μὲν τῷ ἀνθρώπῳ, καὶ ἀδιάστατον αὐτῷ ὄντα, ἀλλὰ κατὰ χάριν καὶ σχέσιν καὶ ἀγάπην, οἷα δὴ ἐναρέτου ὄντος τοῦ ἀνθρώπου· ταῦτα ἐκεῖνος ἐθελοκωφῶν πρὸς τὴν ἀλήθειαν, εἰ γὰρ ἠβούλετο, ἤκουσεν ἂν καὶ αὐτὸς τοῦ μακαρίου τούτου εὐαγγελιστοῦ λέγοντος. ὅτι ὁ λόγος σὰρξ ἐγένετο. οὐ προφανῶς γὰρ ἐνταῦθα ἐλέγχεται; αὐτὸς γὰρ ὁ λόγος ἄνθρωπος ἐγένετο. οὐκ εἶπεν εὑρὼν ἄνθρωπον ὁ λόγος, συνήφθη αὐτῷ, ἀλλ' αὐτὸς ἐκεῖνος ἄνθρωπος ἐγένετο. ἀνατρέπεται δὲ καὶ Εὐτυχής, καὶ Οὐαλεντῖνος, καὶ Μάνης, ἐντεῦθεν, οὗτοι γὰρ κατὰ φαντασίαν ἔλεγον φανῆναι τὸν λόγον τοῦ θεοῦ· ἀκουέτωσαν οὖν, ὅτι ὁ λόγος σὰρξ ἐγένετο, οὐκ εἶπεν, ὅτι σὰρξ ἐφαντάσθη, ἢ ἔδοξεν, ἀλλ' ὅτι ἐγένετο ἀληθείᾳ, καὶ οὐσίᾳ, καὶ οὐ φαντασίᾳ. ἄτοπον γὰρ καὶ ἀνόητον πιστεύειν, ὡς ὁ υἱὸς τοῦ θεοῦ ἀλήθεια ὢν καὶ λεγόμενος, ἐψεύσατο τὴν ἐνανθρώπησιν, τοιοῦτον γὰρ ἡ φαντασία ψευδὴς πάντως ἔνδειξις.

Ἰωάν. ιδ'.

» Καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Ἐπειδὴ ἄνω εἶπεν, ὅτι ὁ λόγος σὰρξ ἐγένετο, ἵνα μή τις ὑπολάβῃ, ὅτι μία φύσις λοιπὸν ἐγένετο ὁ Χριστός, διὰ τοῦτο ἐπάγει τό, ἐσκήνωσεν ἐν ἡμῖν, ἵνα δείξῃ τὰς δύο φύσεις, τήν τε ἡμετέραν, καὶ τὴν τοῦ λόγου. ὥσπερ γὰρ ἄλλης φύσεώς ἐστιν ἡ σκηνή, καὶ ἄλλης ὁ κατασκηνῶν ἐν αὐτῇ, οὕτω καὶ ὁ λόγος σκηνῶσαι ἐν ἡμῖν λεγόμενος, τουτέστιν ἐν τῇ ἡμετέρᾳ φύσει, ἄλλης ἂν εἴη φύσεως παρὰ τὴν ἡμετέραν. αἰσχυνέσθωσαν οἱ ἄθλιοι, οἱ μίαν φύσιν πρεσβεύοντες. μανθάνομεν οὖν, διὰ μὲν τοῦ, ὁ λόγος σὰρξ ἐγένετο, ὅτι αὐτὸς ὁ λόγος ἄνθρωπος ἐγένετο, καὶ υἱὸς ὢν τοῦ θεοῦ, γέγονε καὶ γυναικὸς υἱός, ἥτις καὶ κυρίως θεοτόκος καλεῖται, ὡς τὸν θεὸν γεννήσασα ἐν σαρκί, διὰ δὲ τοῦ, ἐσκήνωσεν ἐν ἡμῖν, τοῦτο διδασκόμεθα, τὸ δύο φύσεις πιστεύειν τὸν ἕνα χριστόν· εἰ γὰρ καὶ εἷς κατὰ ὑπόστασιν, ἤγουν τὸ πρόσωπον, ἀλλὰ δύο κατὰ τὰς φύσεις, θεὸς γὰρ καὶ ἄνθρωπος, θεία δὲ φύσις καὶ ἀνθρωπίνη οὐκ ἂν εἶεν ἕν, εἰ καὶ περὶ ἕνα θεωροῖντο, τὸν χριστὸν φημί.

» Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας. Ἐπειδὴ εἶπεν, ὅτι σὰρξ ἐγένετο, ἐπιφέρει λοιπὸν ὅτι ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, ἐν σαρκὶ δηλονότι ὄντος· εἰ γὰρ τὸ πρόσωπον Μωϋσέως

λαμπρυνθὲν ἐκ τῆς πρὸς θεὸν ὁμιλίας οἱ ἰσραηλῖται ἰδεῖν οὐκ ἠδύναντο, πολλῷ Ἐξόδ. λδ'.
μᾶλλον τὴν θεότητα τοῦ μονογενοῦς γυμνὴν οὐκ ἂν ἐχώρησαν οἱ ἀπόστολοι, εἰ μὴ
διὰ τῆς σαρκὸς ἐπεφάνη. ἐθεασάμεθα δὲ τὴν δόξαν οὐ τοιαύτην, οἵαν ἔσχεν ὁ Μωϋ-
σῆς, ἢ μεθ' οἵας δόξης ὤφθησαν τὰ χερουβὶμ, καὶ τὰ σεραφὶμ τῷ προφήτῃ, ἀλλὰ τοιαύ- Ἰεζεκ. ι'.
την δόξαν, οἵαν ἔπρεπεν εἶναι μονογενεῖ υἱῷ, ἐκ τοῦ πατρὸς φυσικῶς αὐτῷ προσοῦσαν.
τὸ γὰρ ὡς ἐνταῦθα οὐχ ὁμοιώσεως ἐστὶν, ἀλλὰ βεβαιώσεως, καὶ ἀναμφισβητήτου διο-
ρισμοῦ. ὥσπερ βασιλέα βλέποντες μετὰ δόξης πολλῆς προερχόμενον, λέγομεν ὅτι ὡς
βασιλεὺς προῆλθεν, ἀντὶ τοῦ ὡς οὕτως καὶ κατὰ ἀλήθειαν βασιλεὺς, οὕτως οὖν κἀν-
ταῦθα τὸ ὡς μονογενοῦς ὀφείλομεν νοῆσαι, ἀντὶ τοῦ ἡ δόξα, ἣν ἐθεασάμεθα, ὡς τῷ ὄν-
τι κατὰ ἀλήθειαν υἱοῦ δόξα ἦν πλήρης χάριτος καὶ ἀληθείας, χάριτος μὲν πλήρης,
καθὸ καὶ ὁ λόγος αὐτοῦ κεχαριτωμένος ἦν, ἵν' οὕτως εἴπω, καθὰ καὶ Δαβὶδ λέγει, ἐ-
ξεχύθη χάρις ἐν χείλεσί σου. καὶ ὁ εὐαγγελιστὴς, ὅτι ἐθαύμαζον πάντες ἐπὶ τοῖς λό- Ψαλ. μδ'.
γοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ. καὶ πᾶσι δὲ τὰς ἰάσεις Λουκ. δ'.
ἐχαρίζετο τοῖς χρήζουσιν αὐτῶν. ἀληθείας δὲ πλήρης ἦν, καθὸ καὶ οἱ προφῆται, καὶ
Μωϋσῆς αὐτὸς, ὅσα ἔλεγον, ἢ ἔπραττον, πάντα τύποι ἦσαν, ὁ δὲ χριστὸς ἃ ἔλεγε, καὶ
ἔπραττεν, ἅπαντα ἀληθείας πλήρη, αὐτόχαρις ὢν καὶ αὐτοαλήθεια, καὶ ἄλλοις ταῦ-
τα χορηγῶν. ποῦ δὲ ἐθεάσαντο τὴν δόξαν; ἴσως μέν τινες ὑπολήψονται, ὅτι ἐν τῷ ὄ- Ματθ. ιζ'.
ρει τῷ θαβώρ. τάχα δὲ καὶ τοῦτο μὲν ἀληθὲς, πλὴν οὐκ ἐν τῷ ὄρει μόνῳ, ἀλλ' ἐν πᾶσιν
οἷς ἔπραττε, καὶ ἔλεγεν, ἔβλεπον τὴν δόξαν αὐτοῦ.

Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων, οὗτος ἦν, ὃν εἶπον, ὁ ὀπίσω
μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Τὴν Ἰωάννου μαρτυρίαν
συνεχῶς παραλαμβάνει ὁ εὐαγγελιστὴς, οὐχὶ τὸν δεσπότην ἀξιόπιστον ἀπὸ τοῦ δούλου
ποιῶν, ἀλλ' ἐπεὶ μεγάλην ὑπόληψιν εἶχον περὶ Ἰωάννου οἱ ὄχλοι, τούτου ἕνεκεν παρα-
λαμβάνει εἰς τὴν περὶ τοῦ χριστοῦ μαρτυρίαν τὸν παρ' ἐκείνοις νομιζόμενον μέγαν Ἰωάν-
νην, καὶ διὰ τοῦτο ὑπὸ ἁπάντων πιστευόμενον. τὸ δὲ κέκραγε, τὴν πολλὴν παῤῥη-
σίαν τοῦ Ἰωάννου δεικνύει, οὐ γὰρ ἐν γωνίᾳ, ἀλλὰ μετὰ πολλῆς τῆς παῤῥησίας ἐβόα
περὶ χριστοῦ. τί δὲ ἔλεγεν; οὗτος ἦν, ὃν εἶπον, καὶ πρὸ τοῦ ἰδεῖν τὸν χριστὸν ὁ Ἰωάννης
ἐμαρτύρει περὶ αὐτοῦ. καὶ τοῦτο θεοῦ πάντως εὐδοκίᾳ, ἵνα μὴ δόξῃ τῷ προσώπῳ χα-
ριζόμενος τοῦ χριστοῦ περὶ αὐτοῦ τὰ χρηστότερα μαρτυρεῖν. διὸ καὶ λέγει, ὃν εἶπον, του-
τέστι, καὶ πρὶν ἰδεῖν αὐτόν. ὁ ὀπίσω μου ἐρχόμενος, κατὰ τοὺς τῆς γεννήσεως δηλα-
δὴ χρόνους, ἓξ γὰρ μῆνας πρότερος ἦν ὁ πρόδρομος τοῦ χριστοῦ, κατὰ τὴν ἐν σαρκὶ
γέννησιν, οὗτος ἔμπροσθέ μου γέγονεν, ἀντὶ τοῦ προτιμότερός μου καὶ ἐνδοξότερος ἐ-
γένετο. διὰ τί; ὅτι καὶ πρῶτός μου ἦν κατὰ τὴν θεότητα. οἱ δὲ ἀρειανοὶ ἀνοήτως
ἡρμήνευσαν τὸ ῥητὸν τοῦτο. θέλοντες γὰρ δεῖξαι, ὅτι ὁ υἱὸς τοῦ θεοῦ οὐκ ἐγεννήθη ἀπὸ
τοῦ πατρὸς, ἀλλὰ γέγονεν ὡς ἓν τῶν κτισμάτων, φασὶν, ὅτι ἰδοὺ ὁ Ἰωάννης μαρτυρεῖ
περὶ αὐτοῦ, τὸ ἔμπροσθέν μου γέγονεν, ἀντὶ τοῦ πρὸ ἐμοῦ γέγονε, καὶ ἐκτίσθη παρὰ τοῦ
θεοῦ, ὡς ἓν τῶν ποιημάτων. ἐλέγχονται δὲ κακῶς νοοῦντες τὸ ῥητὸν ἐκ τοῦ ἐφεξῆς,
ποία γὰρ ἔννοια ἐμφαίνεται ἐν τῷ λέγειν, ὅτι οὗτος, ὁ χριστὸς δηλαδὴ ἔμπροσθέ μου
γέγονεν, ἀντὶ τοῦ πρὸ ἐμοῦ ἐκτίσθη, διότι πρῶτός μου ἦν; ἀνόητον γὰρ παντάπασι τὸ
λέγειν, ὅτι τοῦτον ἔκτισεν ὁ θεὸς πρότερον, διότι πρῶτός μου ἦν. τοὐναντίον γὰρ ὤ-
φειλε μᾶλλον εἰπεῖν, ὅτι οὗτος πρῶτός μου ἐστὶ, διότι ἔμπροσθέ μου γέγονεν, ἤγουν ἐκ-
τίσθη. ταῦτα μὲν τὰ τῶν ἀρειανῶν. ἡμεῖς δὲ ὀρθοδόξως νοοῦμεν, ὅτι ὁ ὀπίσω μου ἐρ-
χόμενος κατὰ τὴν ἐκ παρθένου ἐν σαρκὶ γέννησιν, ἔμπροσθέ μου γέγονεν, ἀντὶ τοῦ ἐν-
δοξότερος καὶ προτιμότερός μου ἐγένετο. ἐκ τῶν περὶ αὐτὸν συμβαινόντων θαυμά-

των, ἐκ τοῦ τόκου, ἐκ τῆς ἀνατροφῆς, ἐκ τῆς σοφίας καὶ εἰκότως τοῦτο. καὶ γὰρ πρῶτός μου ἦν, κατὰ τὴν πρὸ αἰώνων ἐκ πατρὸς γέννησιν, εἰ καὶ ὀπίσω μου ἦλθε κατὰ τὴν ἐν σαρκὶ παρουσίαν.

» Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος.

Καὶ ταῦτα τοῦ προδρόμου εἰσὶ ῥήματα λέγοντος περὶ τοῦ χριστοῦ, ὅτι ἡμεῖς πάντες οἱ προφῆται ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν. οὐ γὰρ τοσαύτην ἔχει τὴν χάριν, ὅσην οἱ πνευματοφόρητοι ἄνθρωποι, ἀλλὰ πηγὴ ὑπάρχων παντὸς ἀγαθοῦ, καὶ πάσης σοφίας, καὶ προφητείας, ὑπερβλύζει αὐτὴν πᾶσι τοῖς ἀξίοις, καὶ ἐν τῷ ὑπερβλύζειν, πλήρης διαμένων, καὶ οὐδέποτε κενούμενος. καὶ χάριν δὲ ἐλάβομεν, τὴν τῆς καινῆς δηλαδὴ διαθήκης, ἀντὶ τῆς χάριτος, τῆς παλαιᾶς νομοθεσίας. ἐπεὶ γὰρ ἐκείνη ἡ διαθήκη ἐγήρασε, καὶ ἐσαθρώθη, ἀντ᾽ ἐκείνης τὴν νέαν ἐλάβομεν. καὶ πῶς φησιν, ὠνόμασε χάριν τὴν παλαιὰν διαθήκην; διότι καὶ ἰουδαῖοι χάριτι υἱοθετήθησαν, καὶ προσεδέχθησαν. φησὶ γὰρ, ὅτι οὐ διὰ τὸ πολυπληθεῖν ὑμᾶς, ἀλλὰ διὰ τοὺς
Δευτε. ζ'. πατέρας ὑμῶν ἐξελεξάμην ὑμᾶς. καὶ οἱ παλαιοὶ τοίνυν χάριτι προσεδέχθησαν, καὶ
Πρὸς Ἐφ. β'. ἡμεῖς δὲ ὁμολογουμένως χάριτι ἐσμὲν σεσωσμένοι.

» Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

Ἑρμηνεύει ἡμῖν, πῶς ἐλάβομεν χάριν μεγίστην ἀντὶ μικρᾶς χάριτος. καί φησιν, ὅτι ὁ μὲν νόμος διὰ Μωσέως ἐδόθη, μεσίτῃ χρησαμένου τοῦ θεοῦ ἀνθρώπῳ, τῷ Μωϋσεῖ φημι. ἡ δὲ καινὴ διαθήκη διὰ Ἰησοῦ χριστοῦ, ἥτις καὶ χάρις ὀνομάζεται, διότι ἐχαρίσατο ἡμῖν ὁ θεὸς οὐ μόνον τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ τὴν υἱοθεσίαν. ἀλήθεια δὲ καλεῖται, καθ᾽ ὅσον ὅσα οἱ πάλαι τυπικῶς ἢ εἶδον, ἢ εἶπον, ταῦτα λαμπρῶς αὕτη ἀνεκήρυξεν. ἡ τοίνυν καινὴ διαθήκη ἡ καὶ χάρις ὀνομαζομένη καὶ ἀλήθεια, οὐκ ἀνθρώπῳ ψιλῷ μεσίτῃ ἐχρήσατο, ἀλλὰ τῷ υἱῷ τοῦ θεοῦ. καὶ ὅρα πῶς ἐπὶ μὲν τῆς παλαιᾶς εἶπε, τὸ, ἐδόθη διὰ Μωσέως, ὑπουργὸς γὰρ καὶ ὑπηρέτης οὗτος ἦν. ἐπὶ δὲ τῆς καινῆς, οὐκ εἶπε τὸ, ἐδόθη, ἀλλὰ τὸ, ἐγένετο, ἵνα δείξῃ ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ ὡς δεσπότου οὐχὶ δούλου γενομένην, καὶ εἰς τέλος προβάσαν καὶ τὴν ἀλήθειαν. νόμος μὲν γὰρ ἐδόθη παρὰ θεοῦ διὰ μέσου τοῦ Μωσέως, ἡ χάρις ἐγένετο, οὐχὶ ἐδόθη, διὰ Ἰησοῦ Χριστοῦ. αὐθεντικὸν μὲν τὸ ἐγένετο, δουλικὸν δὲ τὸ ἐδόθη.

» Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὁ μονογενὴς υἱὸς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς
» ἐκεῖνος ἐξηγήσατο. Ἐπειδὴ εἶπεν, ὅτι ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ χριστοῦ ἐγένετο, τοῦτο θέλων κατασκευάσαι, φησὶν, ὅτι οὐδὲν ἄπιστον εἴρηκα, ὁ μὲν γὰρ Μωϋσῆς οὔτε θεὸν ἑώρακεν, ὥσπερ οὐδ᾽ ἄλλος τίς, οὔτε εἶχεν ἡμῖν ἐξήγησιν τρανεστάτην, καὶ σαφῆ περὶ αὐτοῦ εἰπεῖν, ἀλλὰ δοῦλος ὤν, ὑπηρέτησε μόνον πρὸς τὴν τοῦ νομικοῦ γράμματος διακονίαν. ὁ δὲ χριστὸς υἱὸς ὢν καὶ μονογενὴς, καὶ ἐν τοῖς κόλποις ὢν τοῖς πατρικοῖς, οὐ μόνον αὐτὸν ὁρᾷ, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις ἐξηγεῖται περὶ αὐτοῦ. ὥστε ἐπειδὴ υἱός ἐστι, καὶ τὸν πατέρα ὁρᾷ, οἷα δὴ ἐν τοῖς κόλποις αὐτοῦ ὤν, εἰκότως τὴν χάριν καὶ τὴν ἀλήθειαν ἡμῖν ἔδωκεν. ἀλλ᾽ ἐρεῖ τίς ἴσως, πῶς ἐνταῦθα μὲν μανθάνο-
Ἡσαΐ. ϛ'. μεν, ὅτι οὐδεὶς ἑώρακε τὸν θεὸν, ὁ δὲ προφήτης λέγει εἶδον τὸν κύριον; εἶδε μὲν ὁ προφήτης, ἀλλ᾽ οὐ καὐτὴν τὴν οὐσίαν, ἀλλ᾽ ὁμοίωμά τι καὶ φαντασίαν τινὰ, ὡς ἐχώρει ἰδεῖν. καὶ ἄλλος πάλιν ἐν ἄλλῳ τύπῳ εἶδε, καὶ ἄλλος ἐν ἄλλῳ. ὅθεν δῆλον, ὅτι οὐ καὐτὴν τὴν ἀλήθειαν ἔβλεπον, οὐ γὰρ ἂν ἐν διαφόροις σχήμασιν αὐτὴν ἐθεώρουν ἁπλῆν οὖσαν καὶ ἀσχημάτιστον. ἀλλ᾽ οὐδὲ οἱ ἄγγελοι βλέπουσι θεοῦ οὐσίαν, εἰ καὶ λέγονται τὸ πρόσωπον τοῦ θεοῦ ὁρᾶν, τοῦτο γὰρ ἐνδεικτικόν ἐστι μόνου τοῦ φαντάζεσθαι ἀεὶ θεόν. ὁ υἱὸς οὖν μόνος ὁρᾷ τὸν πατέρα, καὶ ἐξηγεῖται αὐτὸν πᾶσιν ἀνθρώποις. κόλ-

ποις

τοῖς δὲ ἀκούων πατρικοῖς, μηδὲν ὑποπτεύσῃς σωματικὸν ἐπὶ θεοῦ· τὴν γὰρ γνησιότητα, καὶ τὸ ἀχώριστον, καὶ συναΐδιον δεῖξαι βουλόμενος τοῦ υἱοῦ πρὸς τὸν πατέρα, ὁ εὐαγγελιστής, τούτου τοῦ ὀνόματος ἐμνήσθη·

» Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων
» ἱερεῖς καὶ Λευίτας, ἵνα ἐρωτήσωσιν αὐτόν, σὺ τίς εἶ; καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο,
» καὶ ὡμολόγησεν, ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός·

Εἶπεν ἀνωτέρω, ὅτι Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, εἶτα εἰπὼν διὰ μέσου τί ἐμαρτύρησεν ὁ Ἰωάννης περὶ τοῦ Χριστοῦ, ὅτι οὗτος ἔμπροσθέ μου γέγονεν, καὶ ὅτι ἡμεῖς πάντες οἱ προφῆται ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν, ἐπιφέρει, καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου· ποία; ἣν ἀνωτέρω εἶπεν, ὅτι ἔμπροσθέ μου γέγονε, καὶ τὰ λοιπὰ ἀλλὰ καὶ ἃ ἐφεξῆς λέγει, ὅτι οὐκ εἰμὶ ὁ Χριστός, καὶ ταῦτα, μαρτυρία Ἰωάννου εἰσίν. ἀπέστειλαν οὖν οἱ Ἰουδαῖοι πρὸς Ἰωάννην οὓς εἶχον κρείττονας, ἱερεῖς γὰρ καὶ Λευίτας, καὶ τούτοις Ἱεροσολυμίτας. ὡς ἂν οὗτοι οἷα δὴ συνετώτεροι, πείσωσι τὸν Ἰωάννην διὰ κολακείας, ὁμολογῆσαι ἑαυτὸν Χριστόν· ὅρα δὲ τὴν σκαιότητα, οὐκ ἐρωτῶσιν αὐτὸν εὐθέως σὺ εἶ ὁ Χριστός, ἀλλὰ σὺ τίς εἶ; ἐκεῖνος δὲ τὴν κακουργίαν εἰδὼς αὐτῶν, οὐ λέγει τίς ἦν, ἀλλ' ὁμολογεῖ, ὅτι οὐκ εἰμὶ ὁ Χριστός, πρὸς τὸν σκοπὸν αὐτῶν ἀποβλέπων, καὶ πανταχόθεν αὐτοὺς ἐπισπώμενος πρὸς τὸ πιστεῦσαι, ὅτι ἄλλος ἐστὶν ὁ Χριστὸς ὁ παρ' αὐτῶν νομιζόμενος εὐτελής, καὶ εὐτελοῦς πατρός, τέκτονος γάρ, καὶ εὐτελοῦς πατρίδος, Ναζαρὲτ γάρ, ἐξ ἧς οὐδὲν ἀγαθὸν εἶναι ἐπίστευον. περὶ μέντοι αὐτοῦ τοῦ προδρόμου μεγάλην δόξαν εἶχον, πατρός τε γὰρ ἀρχιερέως ἦν, καὶ βίου ἀγγελικοῦ καὶ ἀΰλου σχεδόν· ὅθεν θαυμάσαι δίκαιον, πῶς ἐξ ὧν ᾤοντο ἐκεῖνοι βλάψαι τὴν τοῦ Χριστοῦ δόξαν, ἐκ τούτων συμποδίζονται· ἐρωτῶσι μὲν γὰρ ὡς ἀξιόπιστον τὸν Ἰωάννην, ἵνα τῆς εἰς Χριστὸν ἀπιστίας τὴν ἐκείνου μαρτυρίαν ὑπόθεσιν ἔχωσιν, εἴπερ μὴ ὁμολογήσῃ αὐτὸν Χριστόν. τὸ δὲ εἰς τοὐναντίον περιετράπη αὐτοῖς, ὅνπερ γὰρ οὗ εἶχον ἀξιόπιστον, εὑρίσκουσι μαρτυροῦντα περὶ Χριστοῦ, καὶ μὴ εἰς ἑαυτὸν ἕλκοντα τὴν τιμήν·

» Καὶ ἠρώτησαν αὐτόν, τί οὖν; Ἡλίας εἶ σύ; καὶ λέγει, οὐκ εἰμί. ὁ προφήτης εἶ σύ; καὶ
» ἀπεκρίθη, οὔ· εἶπον οὖν αὐτῷ, τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς; τί
» λέγεις περὶ σεαυτοῦ; ἔφη, ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, εὐθύνατε τὴν ὁδὸν κυρίου;
» καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης· Ἡσαΐ. μ'.

Τὸν Ἡλίαν προσεδόκων ἥξειν, ἀρχαίᾳ παραδόσει πειθόμενοι· διὸ ἐρωτῶσιν αὐτὸν εἰ ἔστιν Ἡλίας· καὶ γάρ τοι καὶ ὁ βίος αὐτοῦ ἐῴκει τῷ τοῦ Ἡλιοῦ. ἀρνεῖται οὖν καὶ τοῦτο· ὁ προφήτης εἶ σύ; ἀρνεῖται καὶ τοῦτο, καίτοι γε προφήτης ἦν· πῶς οὖν ἀρνεῖται; πῶς; ὅτι οὐκ ἠρώτησαν αὐτὸν προφήτης εἶ σύ, ἀλλ' ὁ προφήτης εἶ; μετὰ τοῦ ὁ ἄρθρου ποιησάμενοι τὴν ἐρώτησιν, ἀντὶ τοῦ ἐκεῖνος ὁ προφήτης ὁ προσδοκώμενος, οὗ εἶπε Μωσῆς, ὅτι προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεός· οὐκ ἠρνήσατο οὖν ὁ Ἰωάννης τό, προφήτης εἶναι, ἀλλὰ τό, ὁ προφήτης ἐκεῖνος ὁ προσδοκώμενος· ἐπεὶ γὰρ ἤκουσαν Μωσέως εἰπόντος, ὅτι προφήτης ἀναστήσεται, ἤλπιζον κατά τινας καιροὺς γενήσεσθαι τοῦτον τὸν προφήτην· εἶτα πάλιν ἐπίκεινται, εἰπὲ οὖν ἡμῖν, τίς εἶ; τότε ἀποκρίνεται αὐτοῖς, ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἐγὼ φησίν, εἰμὶ περὶ οὗ γέγραπται, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. εἰ μὴ γὰρ προσθήσεις τὸ περὶ οὗ γέγραπται, ἄτοπός τις φαίνεται ἡ τοῦ λόγου σύνταξις· τί δὲ βοῶντος; εὐθύνατε τὴν ὁδὸν κυρίου· δοῦλος, φησίν, εἰμὶ καὶ προοδοποιῶ τῷ κυρίῳ τὰς καρδίας ὑμῶν, εὐθύνατε οὖν ταύτας οἱ σκολιοὶ καὶ δόλιοι, καὶ ὁμαλίσατε, ὥστε ὁδὸν γενέσθαι τῷ κυρίῳ Χριστῷ δι' ὑμῶν· εἶτα ἐπισάγει τὸν Ἡσαΐαν μάρτυρα, μεγάλα γὰρ εἰπὼν περὶ τοῦ Χριστοῦ, ὅτι κύριος ἐστί, καὶ ὅτι αὐτὸς δούλου καὶ κήρυκος ἔργον μεταχειρίζεται, καταφεύγει ἐπὶ τὸν

Margin notes: Ἰωάν. α'. (beside "τελοῦς πατρός, τέκτονος γάρ") — Δευ. ιη'. (beside "οὐκ ἠρνήσατο οὖν ὁ Ἰωάννης")

προφήτην· τάχα δ' αὖτις τὸ, ἐγὼ φωνὴ βοῶντος, οὕτως ἑρμηνεύσειεν, ὅτι ἐγώ εἰμι φωνὴ τοῦ χριστοῦ τοῦ βοῶντος, τουτέστι, τοῦ τὴν ἀλήθειαν τρανῶς διαγγέλλοντος· οἱ μὲν γὰρ τοῦ νόμου πάντες ἰσχνόφωνοι, οἷα μὴ τῆς ἀληθείας τοῦ εὐαγγελίου καιρὸν ἐχούσης, καὶ τοῦτο ἦν ἄρα τὸ ἰσχνόφωνον τοῦ Μωσέως, τὸ τοῦ νόμου ἀτράνωτον καὶ ἀσαφές, ὁ δὲ χριστὸς οἷα δὴ αὐτοαλήθεια ὤν, καὶ πάντων ἡμῖν ἀπαγγείλας τὰ τοῦ πατρός, βοῶν ἐστιν· ὁ τοίνυν Ἰωάννης φησίν, ἐγώ εἰμι ἡ φωνὴ τοῦ λόγου τοῦ βοῶντος, ἐν τῇ ἐρήμῳ διάγων, εἶτα ἀπ' ἄλλης ἀρχῆς, εὐθύνατε τὴν ὁδὸν τοῦ κυρίου· εἰκότως λέγεται φωνὴ ὁ Ἰωάννης, ὡς πρόδρομος ὢν τοῦ χριστοῦ, ὥσπερ καὶ ἡ φωνὴ προτρέχει τοῦ λόγου· οἷον ἵνα σαφέστερον εἴπω, φωνὴ μέν ἐστιν πνεῦμα ἀδιάρθρωτον, ὃ ἐκ τοῦ θώρακος ἔξεισιν, ὅταν δὲ ὑπὸ τῆς γλώττης διαρθρωθῇ, τότε γίνεται λόγος. πρῶτον οὖν ἡ φωνή, εἶτα ὁ λόγος, πρότερος Ἰωάννης, εἶτα χριστὸς κατὰ τὴν ἐν σαρκὶ παρουσίαν· καὶ τὸ μὲν τοῦ Ἰωάννου βάπτισμα ἀδιάρθρωτον, οὐ γὰρ εἶχε τό, ἐν πνεύματι· τὸ δὲ τοῦ χριστοῦ διηρθρωμένον, καὶ οὐδὲν τοῦ σκιώδους καὶ τυπικοῦ ἔχον, ἐν πνεύματι γάρ.

Ἐξο. λ'.

» Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν φαρισαίων, καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπον αὐτῷ
» τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ χριστός, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης;

Ἐπειδὴ διὰ κολακείας οὐκ ἠδύναντο αὐτὸν ἑλεῖν, διὰ σκληροτέρων καὶ ἐπιπληκτικωτέρων λόγων ἐκφοβοῦσιν, ἵνα εἴπῃ ὃ ἤθελον, καὶ ὁμολογήσῃ ἑαυτὸν χριστόν, τί οὖν βαπτίζεις λέγοντες; τίς τοσαύτην τὴν ἐξουσίαν ἔδωκεν; ὅσον δὲ ἐκ τοῦ λόγου τούτου, δείκνυται, ὅτι ἄλλον εἶναι ἐνόμιζον τὸν χριστόν, καὶ ἄλλον τὸν προσδοκώμενον προφήτην· λέγουσι γάρ, εἰ σὺ οὐκ εἶ ὁ χριστός, οὔτε ὁ προφήτης, ἕτερον νοοῦντες τὸν χριστὸν εἶναι, καὶ ἄλλον τὸν προφήτην, κακῶς εἰδότες, ὁ γὰρ προφήτης αὐτός ἐστιν ὁ χριστὸς καὶ θεὸς ἡμῶν· ταῦτα δὲ πάντα ἔλεγον, ὡς ἔφην, ὡς ἂν καταναγκάσωσιν αὐτὸν ὁμολογῆσαι ἑαυτὸν χριστόν, μᾶλλον δὲ εἰ χρὴ τὸ ἀληθέστερον εἰπεῖν, ὡς βασκαίνοντες αὐτοῦ τῆς δόξης, ἐρωτῶσιν αὐτόν· διὸ οὐδὲ πυνθάνονται, εἰ αὐτός ἐστιν ὁ χριστός, ἀλλὰ σὺ τίς εἶ; ὡσανεὶ λέγοντες, τίς εἶ σὺ ὁ τηλικούτῳ ἔργῳ ἐπιχειρῶν, τῷ βαπτίζειν, καὶ καθαίρειν τοὺς ἐξομολογουμένους; καὶ [illegible] φαίνονται οἱ Ἰουδαῖοι θέλοντες μηδὲ τὸν Ἰωάννην δόξαι παρὰ τοῖς πολλοῖς χριστόν, ἀλλ' ἀπὸ φθόνου καὶ βασκανίας ἐρωτᾶν αὐτὸν σὺ τίς εἶ; καταρατώτατοι τοίνυν οἱ βαπτίζοντα ὑποδεχόμενοι, μεθ' ὃ δὲ βαπτισθῶσιν, ἀγνωμονοῦντες· οὕτως γεννήματα ἐχιδνῶν οἱ Ἰουδαῖοι.

» Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων, ἐγὼ βαπτίζω ἐν ὕδατι, μέσος δὲ ὑμῶν ἕστηκεν
» ὃν ὑμεῖς οὐκ οἴδατε, αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ
» οὐκ εἰμὶ ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.

Ἴδε καὶ τὴν πραότητα τοῦ ἁγίου, καὶ τὴν ἀλήθειαν, τὴν μέν, ὅτι οὐδὲν πρὸς αὐτοὺς τραχὺ φθέγγεται καίτοι ἐπηρεαστὰς ὄντας, τὴν δὲ ἀλήθειαν, ὅτι μάρτυς ἐστὶ τῆς τοῦ χριστοῦ δόξης, εὐπαρρησίαστος, καὶ οὐκ ἀποκρύπτεται τὴν δόξαν τοῦ κυρίου, ἑαυτῷ περιποιούμενος εὔκλειαν, ἀλλ' ὁμολογεῖ, ὅτι ἐγὼ μὲν βαπτίζω εὐτελὲς βάπτισμα, ἐν ὕδατι γὰρ μόνῳ οὐκ ἄφεσιν ἁμαρτιῶν ἔχοντι, ἀλλὰ προπαρασκευάζοντι εἰς τὸ δέξασθαι τὸ πνευματικὸν βάπτισμα, τὸ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν δωρούμενον· μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε, ἀναμεμιγμένος γὰρ τῷ πλήθει ὁ κύριος, ἠγνοεῖτο τίς εἴη καὶ πόθεν· τάχα δ' αὖτις εἴποι, ὅτι καὶ κατ' ἄλλον τρόπον μέσος ἵστατο τῶν φαρισαίων ὁ κύριος, ἀλλ' ἠγνόουν αὐτόν· ἐπεὶ γὰρ αὐτοὶ τὰς γραφὰς ἐδόκουν ἐκμελετᾶν, ἐν δὲ ταύταις κατηγγέλετο ὁ κύριος, μέσος αὐτῶν ἦν, τουτέστιν ἐν ταῖς καρδίαις αὐτῶν, ἀλλ' ἠγνόουν αὐτόν, οἷα μὴ νοοῦντες τὰς γραφάς, εἰ καὶ ἐν ταῖς καρδίαις ταύτας εἶχον· μήποτε δὲ καὶ καθὸ μεσίτης θεοῦ καὶ ἀνθρώπων ἦν ὁ κύριος, μέσος ἵστατο τῶν φαρισαίων.

σιῶν, ἀποκαταλλάξαι θέλων αὐτοὺς τῷ θεῷ, ἀλλ' ἠγνόουν αὐτόν. συνεχῶς δὲ τίθησι
τὸ, ὁ ὀπίσω μου ἐρχόμενος, δεικνύων, ὅτι οὐ τελειωτικόν ἐστι τὸ αὐτοῦ βάπτισμα, ἀλλὰ
προοδοποιητικὸν τοῦ πνευματικοῦ βαπτίσματος. τὸ δὲ ἔμπροσθέ μου γέγονεν, ἀντὶ τοῦ
ἐντιμότερος, ἐνδοξότερος, καὶ τοσοῦτον, ὥστε οὐ δὲ ἐν τοῖς ἐσχάτοις τῶν αὐτοῦ δούλων
καταριθμεῖσθαί με, τὸ γὰρ λύειν τὸ ὑπόδημα τῆς ἐσχάτης διακονίας ἐστίν. οἶδα δὲ
παρά τινι τῶν ἁγίων τοιαύτην ἀναγνοὺς ἐξήγησιν, τὸ ὑπόδημα εἰς τὴν τῶν ἀμαρτωλῶν
σάρκα καὶ τῇ φθορᾷ ὑποκειμένην, λαμβάνεται πανταχοῦ, ὁ δὲ ἱμὰς, ἤτοι ὁ λῶρος,
εἰς τὸν δεσμὸν τῶν ἁμαρτιῶν. ὁ τοίνυν Ἰωάννης ἐν μὲν τοῖς ἄλλοις τοῖς ἐκπορευομένοις
πρὸς αὐτὸν καὶ ἐξομολογουμένοις, ἴσχυε λύειν τὸν ἱμάντα τῶν ἁμαρτιῶν,
σειραῖς γὰρ τῶν οἰκείων ἁμαρτιῶν σφιγγόμενοι ἐξήρχοντο πρὸς αὐτὸν, καὶ διὰ τοῦ εἰς
μετάνοιαν αὐτοὺς παρακαλεῖν. προωδοποίει αὐτοῖς εἰς τὸ καὶ τελείως ἀποβαλέσθαι
τὸν ἱμάντα τοῦτον, καὶ τὸ ἁμαρτωλὸν ὑπόδημα, ἐπὶ δὲ Χριστοῦ ἱμάντα μὴ εὑρίσκων,
ἤτοι σύνδεσμον ἁμαρτίας, εἰκότως οὐ δὲ λύειν αὐτὸν ἠδύνατο. πῶς γὰρ οὗ οὐχ εὕρισκεν;
ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐ δὲ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ δόλος. ὑπόδημα — Ἡσαΐ. νγ'.
μα δὲ ἡ παρουσία τοῦ κυρίου ἡ εἰς ἡμᾶς, ἱμὰς δὲ αὐτῆς, ὁ τρόπος τῆς σαρκώσεως,
καὶ τοῦ πῶς συνεδέθη τῷ σώματι ὁ λόγος τοῦ θεοῦ. τοῦτον οὖν τὸν τρόπον λύειν ἀδύνατον,
τίς γὰρ δύναται λῦσαι πῶς συνεδέθη τῷ σώματι θεός;

Ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων.
Τίνος ἕνεκεν εἶπεν ὅτι ταῦτα ἐν Βηθανίᾳ ἐγένετο; ἵνα δείξῃ τὴν παῤῥησίαν τοῦ μεγάλου
κήρυκος, ὅτι οὐκ ἐν οἰκίᾳ, οὐ δὲ ἐν γωνίᾳ, ἀλλὰ τὸν Ἰορδάνην καταλαβὼν ἐν μέσῳ
πλήθους, ταῦτα περὶ Χριστοῦ ἀνεκήρυττε. χρὴ δὲ γινώσκειν, ὅτι τὰ ἀκριβῆ τῶν ἀντιγράφων
ἐν Βηθαβαρᾷ ἔχει, ἡ γὰρ Βηθανία οὐχὶ πέραν τοῦ Ἰορδάνου, ἀλλ' ἐγγύς που τῶν
Ἱεροσολύμων ἐστίν.

Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει, ἴδε ὁ ἀμνὸς τοῦ
θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Συνεχῶς ὁ κύριος ἔρχεται πρὸς τὸν
πρόδρομον. τίνος ἕνεκεν; ἢ πάντως ἐπειδὴ ὡς εἷς τῶν πολλῶν ἐβαπτίσθη καὶ αὐτὸς
ὑπὸ Ἰωάννου, ἵνα μὴ νομίσωσί τινες, ὅτι ὡς ἁμαρτίαις ἔνοχος ὢν, ἐπίσης τοῖς ἄλλοις
ἐβαπτίσατο, ταύτην τὴν ὑπόνοιαν διορθώσασθαι βουλόμενος ὁ βαπτιστὴς, φησίν. ἴδε ὁ
ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν. ὁ γὰρ οὕτω καθαρὸς, ὥστε καὶ τὰ
τῶν ἄλλων ἁμαρτήματα αἴρειν καὶ ἀφανίζειν, πρόδηλον ὅτι οὐκ ἂν τὸ τῆς ἐξομολογήσεως
βάπτισμα ἐπίσης τοῖς ἄλλοις ἐδέξατο. ἐξέτασον δέ μοι καὶ τὸ ῥητὸν, ἴδε ὁ
ἀμνὸς τοῦ θεοῦ, ὡς πρὸς ἐπιθυμοῦντας καὶ ζητοῦντας ἰδεῖν τὸν ὑπὸ τοῦ Ἡσαΐου κη- — Ἡσαΐ. κϛ'.
ρυττόμενον ἀμνὸν, ὁ λόγος ἐστίν. ἴδε ὁ ἀμνὸς φησὶν, ὁ ζητούμενος ἐκεῖνος ὁ ἀμνὸς ἰδοὺ — νγ'.
πάρεστιν. εἰκὸς γὰρ πολλοὺς τῇ προφητικῇ τοῦ Ἡσαΐου βίβλῳ ἐμμελετήσαντας, ζητεῖν
τίς ἂν εἴη ὁ ἀμνός. ὁ τοίνυν Ἰωάννης ὑποδείκνυσιν αὐτόν. οὐκ εἶπε δὲ ἀμνὸς, ἀλλ' ὁ
ἀμνὸς, πολλοὶ μὲν γὰρ ἀμνοὶ, ὥσπερ καὶ πολλοὶ χριστοὶ, ἀλλ' ὁ ἀληθινὸς ἀμνὸς ὁ πα- — Ἐξο. ιβ'.
ρὰ Μωσῇ τυπούμενος, καὶ παρὰ Ἡσαΐου κηρυττόμενος, οὗτός ἐστι. τοῦ θεοῦ δὲ λέγεται
ἀμνὸς ὁ Χριστὸς, εἴτε τοῦ θεοῦ ὡς προσδεξαμένου τὸν ἐπὶ σωτηρίᾳ ἡμῶν θάνατον τοῦ
Χριστοῦ, εἴτε ὡς τοῦ θεοῦ δόντος αὐτὸν ὑπὲρ ἡμῶν εἰς θάνατον. ὥσπερ εἰώθαμεν λέγειν,
τόδε τὸ θῦμα τοῦ δεῖνος ἐστὶν, ἀντὶ τοῦ ὁ δεῖνα τοῦτο προσήγαγε. οὕτως οὖν καὶ ὁ κύριος
λέγεται ἀμνὸς τοῦ θεοῦ, ὡς τοῦ θεοῦ καὶ πατρὸς διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην δόντος
αὐτὸν εἰς σφαγὴν ὑπὲρ ἡμῶν. οὐκ εἶπε δὲ ὁ ἄρας τὴν ἁμαρτίαν, ἀλλ' ὁ αἴρων, καθεκάστην
γὰρ αἴρει τὰς ἁμαρτίας ἡμῶν, τὰς μὲν διὰ τοῦ βαπτίσματος, τὰς δὲ διὰ μετανοίας.
καὶ οἱ μὲν θυόμενοι ἐν τῇ παλαιᾷ ἀμνοὶ, οὐδενὸς ἁμαρτίας παντελῶς ἐξηφά

νιζον, οὗτος δὲ τοῦ κόσμου παντὸς τὴν ἁμαρτίαν αἴρει, τουτέστιν, ἀφανίζει, ἐκ μέσου ποιεῖ. τίνος δὲ ἕνεκεν οὐκ εἶπεν ἁμαρτίας, ἀλλ' ἁμαρτίαν; τάχα μὲν καὶ διὰ τὸ ἁμαρτίαν εἰπεῖν, καθολικῶς εἶπεν, ὥσπερ εἰώθαμεν, λέγειν, ὅτι ἀπέστη ὁ ἄνθρωπος, ἀντὶ τοῦ πᾶσα ἡ ἀνθρωπότης ἀπὸ θεοῦ, οὕτως οὖν κἀνταῦθα τὴν ἁμαρτίαν εἰπὼν, πάσας τὰς ἁμαρτίας ἐδήλωσεν. τάχα δὲ ἐπεὶ παρακούσας ὁ ἄνθρωπος τοῦ θεοῦ, εἰς τὰ πάθη ἐξετραχηλίσθη, ἡ ἁμαρτία τοῦ κόσμου ἡ παρακοὴ ἦν, ἣν ἐκ μέσου ἦρεν ὁ κύριος. γενόμενος ὑπήκοος μέχρι θανάτου, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ ἰασάμενος.

» Οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον, ὁ ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν,
» ὅτι πρῶτός μου ἦν. Ἄνω μὲν τοῖς ἀπὸ τῶν φαρισαίων ἐλθοῦσιν ὁ Ἰωάννης ἔλεγεν, ὅτι μέσος ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε, ὃς ἔμπροσθέν μου γέγονε, νῦν δὲ καὶ δακτυλοδεικτεῖ αὐτὸν, καὶ ἐμφανίζει τοῖς ἀγνοοῦσιν, οὗτος ἐκεῖνος ἐστι περὶ οὗ ἐμαρτύρουν, φησὶ, πρὸς τοὺς φαρισαίους, ὅτι ἔμπροσθέν μου γέγονεν, ἀντὶ τοῦ ἐπισημότερός μου καὶ ἐντιμότερος. διατί; ὅτι πρῶτός μου ἦν. ἄκουε ἀρειε, οὐκ εἶπεν ὅτι πρῶτός μου ἐκτίσθη, ἀλλ' ὅτι ἦν. ἄκουε καὶ ἡ τοῦ σαμοσατέως φατρία, ὅτι οὐκ ἀπὸ Μαρίας ἤρξατο τοῦ εἶναι ὁ κύριος, ἀλλὰ πρῶτος ἦν τοῦ προδρόμου, κατὰ τὴν προαιώνιον ὕπαρξιν. ἐπεὶ ἐὰν, ὡς ὑμεῖς φλυαρεῖτε, ἀπὸ Μαρίας ἀρχὴν ἔλαβε τοῦ εἶναι ὁ κύριος, πῶς ἦν πρῶτος τοῦ προδρόμου; οὗτος γάρ τοι προδήλως ἓξ μησὶ προτερεῖ τοῦ κυρίου κατὰ τὴν ἐν σαρκὶ γέννησιν. ἀνὴρ δὲ λέγεται ὁ κύριος, τάχα μὲν καὶ διὰ τὸ
Λουκ. γ΄. τῆς ἡλικίας τέλειον, τριακονταετὴς γὰρ ἐβαπτίζετο. τάχα δὲ καὶ ὡς πάσης ψυχῆς
β΄. πρὸς Κοριν. ια΄. ἀνὴρ, καὶ τῆς ἐκκλησίας νυμφίος. ἡρμοσάμην γάρ φησιν ὁ παῦλος ὑμᾶς ἑνὶ ἀνδρὶ παραστῆσαι, τῷ χριστῷ δηλαδή. φησὶν οὖν ὁ πρόδρομος, ὅτι ἐγὼ μὲν εἰμὶ ὁ νυμφαγωγὸς καὶ προξενητὴς, ἔρχεται δὲ ὁ ὀπίσω μου ὁ ἀνὴρ. ἐγὼ γὰρ ἐφέλκομαι τὰς ψυχὰς πρὸς τὴν εἰς χριστὸν πίστιν, αὐτὸς δέ ἐστιν ὁ ἀνὴρ, ὁ ταύταις μέλλων ἁρμοσθῆναι.

» Κἀγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ
» ὕδατι βαπτίζων. καὶ ἐμαρτύρησεν. ὁ Ἰωάννης λέγων, ὅτι τεθέαμαι τὸ πνεῦμα κα-
» ταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτὸν, καὶ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ
» πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖ-
» νον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. κἀγὼ ἑώρακα, καὶ
» μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. Ἐπειδὴ συγγενὴς ἦν τοῦ κυρίου ὁ πρό-
Λουκ. α΄. δρομος, φησὶ γὰρ ὁ ἄγγελος πρὸς τὴν παρθένον. ὅτι ἰδοὺ ἡ συγγενής σου Ἐλισάβετ συνέλαβε, ἵνα μή τις ὑπονοήσῃ, ὡς διὰ τὴν συγγένειαν καταχαρίζεται ὁ πρόδρομος τῷ κυρίῳ, καὶ τοιαῦτα μαρτυρεῖ περὶ αὐτοῦ, τούτου ἕνεκεν φησὶ συνεχῶς, ὅτι κἀγὼ οὐκ ᾔδειν αὐτὸν, τὰς ὑποψίας ἀναιρῶν, ἀλλ' ἵνα φησὶ φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον βαπτίζων, ἵνα φησὶ πάντες ὁδηγηθῶσι πρὸς τὴν εἰς αὐτὸν πίστιν, καὶ ὑποδειχθῇ τοῖς λαοῖς, διὰ τοῦτο ἐγὼ βαπτίζω, ἐμοῦ γὰρ βαπτίζοντος, συντρέχουσιν οἱ λαοὶ, συναγομένοις δὲ, φανεροῦται αὐτοῖς ὁ χριστὸς ὑπ' ἐμοῦ κηρυττόμενος, καὶ παρὼν. παροῦσι δεικνύμενος. εἰ μὴ γὰρ διὰ τὸ βάπτισμα συνέτρεχον, πῶς ἂν ὑπεδείχθη παρὰ τοῦ Ἰωάννου ὁ κύριος; οὐ γὰρ ἂν τὰς οἰκίας περιερχόμενος, καὶ περιάγων ἀπὸ χειρὸς τὸν χριστὸν ἐδείκνυεν ἑκάστῳ. διὰ τοῦτο οὖν φησιν ἦλθον βαπτίζων ἐν ὕδατι, ἵνα διὰ τὸ βάπτισμα συνερχομένοις τοῖς λαοῖς, ὑπ' ἐμοῦ φανερωθῇ. ἐντεῦθεν δὲ μανθάνομεν, ὅτι τὰ λεγόμενα παιδικὰ τοῦ χριστοῦ θαύματα, ψευδῆ εἰσι, καὶ παρὰ τῶν θελόντων διαγελᾶσθαι τὸ μυστήριον, συντεθειμένα. εἰ γὰρ ἦσαν ἀληθῆ, πῶς ἠγνοεῖτο ποιῶν ταῦτα ὁ κύριος; οὐ γὰρ δήπου ἦν εἰκὸς τοιαῦτα θαυματουργοῦντα. μὴ οὐχὶ περιβόητον εἶναι, ἀλλ' οὐκ ἔστι τοῦτο οὐκ ἔστι. πρὸ γὰρ τοῦ βαπτισθῆναι οὔτε σημεῖα ἐποίησεν, οὔτε ἐγνωρίζετο. ἀλλ' ὁ

πέμψας με

πέμψας με βαπτίζειν, ἐκεῖνός μοι εἶπεν, ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, ἐκεῖνός
ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. ἀνύποπτον τὴν περὶ Χριστοῦ μαρτυρίαν, ὡς ἔφην,
ποιούμενος ὁ Ἰωάννης, ἀνάγει τὴν μαρτυρίαν ἐπὶ τὸν θεὸν καὶ πατέρα, ἐγὼ μὲν γάρ
φησιν, οὐκ ᾔδειν αὐτὸν, ὁ δὲ πατήρ μοι ἀπεκάλυψε τοῦτον ἐν τῷ βαπτίσματι. ἀλλ᾽ ἐ-
ρωτήσειεν αὖτις, εἰ οὐκ ᾔδει αὐτὸν Ἰωάννης, πῶς ὁ Ματθαῖος φησὶν, ὅτι διεκώλυεν αὐ- β'.
τὸν λέγων, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι; ἔστιν οὖν εἰπεῖν τοῦτο, τὸ οὐκ ᾔδειν
αὐτὸν, οὕτως νόησον, ὅτι πρὸ πολλοῦ χρόνου καὶ πρὸ τοῦ βαπτίσματος, οὐκ ᾔδει αὐτὸν, ἐν
μέντοι τῷ τοῦ βαπτίσματος καιρῷ τότε ἔγνω αὐτόν. ἢ καὶ ἄλλως ἔστιν εἰπεῖν, ὅτι ᾔδει μὲν
αὐτὸν ὅτι Χριστός ἐστιν, ὅτι δέ γε αὐτὸς ὁ βαπτίσων ἐστὶν ἐν πνεύματι ἁγίῳ, τότε ἔμαθεν,
ὅτε τὸ πνεῦμα ἴδε καταβαῖνον. λέγων οὖν, ὅτι οὐκ ᾔδειν αὐτὸν, τοῦτο δίδωσι νοεῖν, ὅτι οὐκ
ᾔδει, ὡς αὐτός ἐστιν ὁ ἐν πνεύματι ἁγίῳ βαπτίσων, ὅτι μέντοι ὑπὲρ τοὺς πολλούς ἐστιν,
ᾔδει διὸ καὶ κατὰ τὸν Ματθαῖον διεκώλυεν αὐτὸν, ὡς μείζονα πάντως εἰδώς, ἐπεὶ δὲ τὸ
πνεῦμα κατῆλθεν, τότε σαφέστερον ἐπιγνοὺς, καὶ τοῖς ἄλλοις ἐκήρυξεν αὐτόν. τὸ δὲ
πνεῦμα πᾶσιν ὤφθη τοῖς παροῦσιν, καὶ οὐ μόνον Ἰωάννῃ. τί οὖν, φησὶν, οὐκ ἐπίστευσαν;
διότι ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, ἐπεὶ καὶ θαυματουργοῦντα αὐτὸν βλέπον-
τες, οὐκ ἐπίστευσαν. τινὲς δέ φασιν, ὅτι οὐ πάντες εἶδον, ἀλλ᾽ οἱ εὐλαβέστεροι. εἰ γὰρ καὶ
σωματικῶς κατέβη τὸ πνεῦμα, ἀλλ᾽ εἰκός ἐστι μὴ πᾶσιν ὀφθῆναι, ἀλλὰ τοῖς ἀξίοις.
ἐπεὶ καὶ οἱ προφῆται, πολλὰ ἐν αἰσθητῷ εἴδει εἶδον, οἷον ὁ Δανιὴλ, ὁ Ἰεζεκιὴλ, ἀλλ᾽ ὅ-
μως οὐδεὶς ἄλλος ἐθεώρει ταῦτα. κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι αὐτός ἐστιν
ὁ υἱὸς τοῦ θεοῦ. καὶ ποῦ ἐμαρτύρησεν ὁ Ἰωάννης, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ; οὐδα-
μοῦ γὰρ γέγραπται τοῦτο, ἀμνὸν μὲν γὰρ λέγει, υἱὸν δὲ θεοῦ οὐδαμοῦ. ὅθεν εἰκὸς στο-
χάζεσθαι, ὅτι καὶ ἕτερα πλείονα παραλέλειπται, οὐ γὰρ πάντα συνεγράφησαν.

» Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο, καὶ ἐμ-
» βλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει. ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ. καὶ ἤκουσαν αὐτοῦ οἱ
» δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. Διὰ τὴν τῶν ἀκουόντων
ῥαθυμίαν ἀναγκάζεται ὁ Ἰωάννης τὰ αὐτὰ λέγειν, ἵνα τῷ συνεχεῖ γοῦν τῆς μαρτυ-
ρίας κατεργάσηται τι. οὐκοῦν οὐδὲ διεψεύσθη, ἀλλὰ δύο μαθητὰς προσήγαγε τῷ
Χριστῷ, νυμφαγωγὸς γὰρ ὢν τῷ ὄντι, πάντα ἐποίει, ὥστε προσαγαγεῖν τῷ νυμφίῳ τὴν
ἀνθρωπίνην φύσιν. διὸ καὶ ὁ μὲν Χριστὸς σιγᾷ ὡς νυμφίος, ὁ δὲ πρόξενος ἅπαντα
φθέγγεται, καὶ ὡς νυμφίος δὲ παραγίνεται πρὸς τὸ πλῆθος ὁ κύριος. ἐπὶ γὰρ τῶν
γάμων οὐχ ἡ νύμφη πρὸς τὸν νυμφίον, ἀλλ᾽ οὗτος πρὸς ἐκείνην ἄπεισι, κἂν βασιλέως
εἴη υἱός. διὸ καὶ τὴν φύσιν ἡμῶν μέλλων νυμφεύσασθαι ὁ κύριος, κατέβη πρὸς αὐ-
τὴν ἐπὶ τὴν γῆν, καὶ γενομένων τῶν γάμων, ἔλαβεν αὐτὴν, ἀναληφθεὶς εἰς τὸν οἶκον
τὸν πατρικόν. ἐμβλέψας οὖν, φησὶν, τῷ Ἰησοῦ ὁ Ἰωάννης, τουτέστι καὶ τοῖς ὀφθαλμοῖς
ἐνδεικνύμενος τὴν χαρὰν ἣν εἶχεν ἐπὶ τῷ Χριστῷ, καὶ τὸ θαῦμα, ἴδε, φησὶν, ὁ ἀμνός. οἱ
δὲ μαθηταὶ συνεχέσι μαρτυρίαις καταμαλαχθέντες, ἠκολούθησαν τῷ Ἰησοῦ, οὐ
καταφρονήσαντες Ἰωάννου, μᾶλλον δὲ πεισθέντες αὐτῷ μαρτυροῦντι περὶ τοῦ Χριστοῦ
τὰ κρείττονα.

» Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς. τί
» ζητεῖτε; οἱ δὲ εἶπον αὐτῷ ῥαββεὶ, ὃ λέγεται ἑρμηνευόμενον διδάσκαλε, ποῦ μένεις;
» λέγει αὐτοῖς ἔρχεσθε, καὶ ἴδετε. ἦλθον οὖν, καὶ εἶδον ποῦ μένει, καὶ παρ᾽ αὐτῷ ἔμειναν
» τὴν ἡμέραν ἐκείνην, ὥρα δὲ ἦν ὡς δεκάτη. Ὁ μὲν Ματθαῖος περὶ τοῦ βαπτίσμα- γ'.
τος τοῦ κυρίου διηγησάμενος, ἀνάγει αὐτὸν εὐθὺς εἰς τὸ ὄρος πειρασθησόμενον, ὁ δέ γε
παρὼν εὐαγγελιστὴς ὅσα ἐκείνῳ εἴρηται ἐάσας, τὰ μετὰ τὴν ἐκ τοῦ ὄρους κάθοδον διη-

γεῖται. καὶ ἡ τῶν μαθητῶν τοίνυν τοῦ Ἰωάννου ἀκολούθησις καὶ πρὸς τὸν χριστὸν ἔ-
λευσις μετὰ τὸ κατελθεῖν ἐκ τοῦ ὄρους, καὶ πειρασθῆναι γίνεται, δεικνύντος οἶμαι τοῦ λό
γου, ὅτι οὐ χρὴ διδάσκαλον εἶναι καθίστασθαι, εἰ μὴ πρότερον αὐτὸς ἀνελθὼν ἐπὶ τὸ
τῆς ἀρετῆς ἄκρον, τοῦτο γὰρ τὸ ὄρος, καὶ πάντα νικήσας πειρασμὸν, ἀρῇ τὸ τρόπαιον
κατὰ τοῦ πειράζοντος. ἀκολουθοῦσι τοίνυν πρῶτον οἱ μαθηταὶ, καὶ τότε ἐρωτῶσιν αὐ
τὸν ποῦ μένει, οὐ γὰρ δημοσίᾳ πολλῶν παρόντων, ἀλλὰ κατ' ἰδίαν ἐχρῆν διαλεχθῆναι
ὡς περὶ ἀναγκαίων, μᾶλλον δὲ, οὐδὲ αὐτοὶ πρῶτοι ἐρωτῶσιν, ἀλλ' ὁ χριστὸς αὐτοὺς ἐνά
γει εἰς τὸ ἐρωτῆσαι. λέγει γὰρ αὐτοῖς, τί ζητεῖτε; οὐχ ὡς ἀγνοῶν, πῶς γάρ, ὁ εἰδὼς
τὰς καρδίας τῶν ἀνθρώπων; ἀλλ' ἵνα διὰ τῆς ἐρωτήσεως προσκαλέσηται αὐτοὺς εἰς
τὸ εἰπεῖν ὃ βούλονται. εἰκὸς γὰρ αὐτοὺς καὶ ἐρυθριᾶν, καὶ δεδοικέναι αὐτὸν ὡς ὑπὲρ
ἄνθρωπον μαρτυρούμενον παρὰ τοῦ Ἰωάννου. σὺ δέ μοι θαύμασον τὴν εὐγνωμοσύνην
τούτων, οὐ γὰρ μόνον ἠκολούθησαν, ἀλλὰ καὶ ῥαββεὶ αὐτὸν καλοῦσιν, ὅ ἐστι διδάσκα-
λε, καὶ ταῦτα οὔπω οὐδὲν παρ' αὐτοῦ ἀκούσαντες. ἰδίᾳ μέντοι θέλοντές τι παρ' αὐτοῦ
μαθεῖν, ἐρωτῶσι ποῦ μένεις; ἐν ἡσυχίᾳ γὰρ τὸ εἰπεῖν, καὶ ἀκοῦσαι ἁρμοδιώτερον. ὁ
δὲ κύριος οὐ λέγει αὐτοῖς τὰ σημεῖα τῆς οἰκίας, ἀλλ' ἔρχεσθε, φησὶ, καὶ ἴδετε. τοῦτο
δὲ ποιεῖ, ἅμα μὲν ἐπισπώμενος αὐτοὺς πλέον πρὸς τὴν ἀκολούθησιν, ἅμα δὲ γυ-
μνάζων αὐτῶν τὸν πόθον, εἰ μὴ ἀποκάμοιεν πρὸς τὴν ὁδόν. εἰ γὰρ μετὰ ψυχρᾶς γνώ-
Λουκ. θ΄. μης προσῆλθον, οὐδ' ἂν πρὸς τὴν οἰκίαν ἠκολούθησαν. πῶς δὲ ἀλλαχοῦ φησὶν, ὅτι ὁ
υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίναι, ἐνταῦθα δὲ φαίνεται οἰκίαν
ἔχων; οὐκ ἐναντίον ἐστὶν ἐκείνῳ, καὶ γὰρ ὅταν λέγῃ, οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλί
ναι, οὐ τοῦτο λέγει, τὸ μὴ δι' ὅλως ἔχειν καταγώγιον, ἀλλὰ τὸ μὴ ἴδιον ἔχειν, εἰ ἔμενεν
οὖν ἐν οἰκίᾳ, οὐκ ἐν ἰδίᾳ ἔμενεν, ἀλλ' ἐν ἀλλοτρίᾳ. οὐ μάτην δὲ ἐπισημαίνεται ὁ εὐαγγε
λιστὴς τὸν καιρὸν, ὅτι ὥρα ἦν ὡς δεκάτη, ἀλλ' ἵνα καὶ τοὺς διδάσκοντας, καὶ τοὺς μαθη
τιῶντας διδάξῃ, ὅτι οὐ διὰ τὸν καιρὸν ἀναβάλλεσθαι δεῖ, ἀλλὰ καὶ τὸν διδάσκαλον
μὴ ὑπερτίθεσθαι, καὶ λέγειν ὅτι ὀψέ ἐστιν, αὔριον μαθήσῃ, καὶ τὸν μαθητὴν πάντα
καιρὸν γινώσκειν μαθήσεως, καὶ μὴ ἀναβάλλεσθαι τὴν ἀκρόασιν εἰς τὴν αὔριον. καὶ
τοῦτο δὲ μανθάνομεν, ὅτι οὕτως εἶχον ἀβαρῆ τὴν γαστέρα, καὶ ἔνηφον, ὥστε τὸν καιρὸν
ὃν ἄλλοι δαπανῶσιν εἰς ἀνάπαυσιν σώματος, βαρούμενοι δήπου τοῖς βρώμασι, καὶ
μὴ δυνάμενοι σπουδαίῳ ἔργῳ ἐπιχειρῆσαι, τοῦτον αὐτοὶ ἀνήλισκον εἰς ἀκρόασιν, οὕτως
Ἰωάννου τοῦ ἀτρόφου ἦσαν μαθηταί. ὅρα δέ μοι, ὅτι πρὸς τοὺς ἀκολουθοῦντας αὐτῷ
στρέφεται ὁ Ἰησοῦς, καὶ δεικνύει αὐτοῖς τὸ ἑαυτοῦ πρόσωπον. εἰ μὴ γὰρ διὰ τῆς ἀ-
γαθῆς πράξεως ἀκολουθήσῃς τῷ Ἰησοῦ, οὐκ ἂν φθάσῃς εἰς θεωρίαν τοῦ προσώπου
κυρίου, οὐδὲ ἀπελεύσῃ πρὸς τὴν καταμονὴν αὐτοῦ, τουτέστιν οὐ φθάσεις εἰς τὸν τῆς
α. Πρὸς τιμό. ς΄ θείας γνώσεως φωτισμόν. οἰκία γὰρ τοῦ χριστοῦ τὸ φῶς, φῶς γάρ, φησιν, οἰκῶν ἀπρόσι
τον. ὁ γάρτοι μὴ καθάρας ἑαυτὸν, καὶ διὰ τῆς καθάρσεως ἀκολουθήσας, πῶς ἐν γνώ
σει φωτισθήσεται;

» Ἦν δὲ Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων πα-
» ρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ. εὑρίσκει οὗτος πρῶτον τὸν ἀδελφὸν τὸν ἴ-
» διον σίμωνα, καὶ λέγει αὐτῷ, εὑρήκαμεν τὸν μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον χριστὸς,
» καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε. σὺ εἶ σίμων
» ὁ υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Τὸ μὲν τοῦ Ἀνδρέου ὄνο-
μα γνωρίζει ἡμῖν, τὸ δὲ τοῦ ἑτέρου οὐδαμῶς. φασὶ γάρ τινες αὐτὸν εἶναι τὸν Ἰωάννην
τὸν ταῦτα γράφοντα. τινὲς δὲ, ὅτι οὐκ ἦν τῶν ἐπισήμων ἐκεῖνος. ἅμα δὲ οὐδὲ κέρ-
δος ἦν τι ἐκ τοῦ μαθεῖν τὸ ὄνομα. τοῦ μέντοι ἀνδρέου μέμνηται καὶ ὡς ἐπισήμου, καὶ

ὡς τὸν

ὡς τὸν ἴδιον ἀδελφὸν προσαγαγόντος. ὅρα δέ μοι φιλαδελφίαν, πῶς οὐκ ἀπεκρύψατο τὸν ἀδελφὸν τὸ ἀγαθὸν, ἀλλὰ κοινοῦται αὐτῷ τὸν θησαυρὸν, καὶ περιχαρείας φωνὴν ἀφίησιν, εὑρήκαμεν λέγων. ὡς ἔοικε γὰρ ἐκ πολλοῦ ἐπόθουν, καὶ ἐμελέτων τὴν ζήτησιν, καὶ οὐχ ἁπλῶς λέγει μεσίαν, ἀλλὰ τὸν μεσίαν μετὰ τοῦ ἄρθρου, ἐκεῖνον αὐτὸν τὸν κυρίως ὄντα χριστὸν. ὁ γὰρ προσδοκώμενος αὐτοῖς. εἷς ἦν, εἰ καὶ πολλοὶ χριστοὶ καὶ υἱοὶ τοῦ θεοῦ προσηγορεύοντο. ἤγαγε δὲ αὐτὸν πρὸς τὸν Ἰησοῦν, οὐχ ὡς εὔκολον ὄντα τὸ ἦθος, καὶ παντὶ λόγῳ συμπεριφερόμενον, ἀλλ' ὡς ὀξὺν μᾶλλον καὶ θερμὸν, καὶ εὐφυῶς παραδεξάμενον τοὺς λόγους, οὓς αὐτῷ εἴρηκεν ὁ ἀδελφὸς περὶ χριστοῦ. εἰκὸς γὰρ τὸν Ἀνδρέαν πλείω διαλεχθῆναι αὐτῷ, καὶ ἀκριβῶς τὰ περὶ χριστοῦ ἐπαγγεῖλαι, ἅτε παρὰ τῷ χριστῷ μείναντα καὶ διδαχθέντα μυστικώτερά τινα. εἰ δ' ἐπιμείνοι τὶς εὐκολίαν καταγινώσκων τοῦ Πέτρου, μανθανέτω καὶ τοῦτο, ὅτι οὐδὲ γέγραπται, ὅτι ἐπίστευσεν εὐθὺς τῷ Ἀνδρέᾳ, ἀλλ' ὅτι ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν, ὅπερ μᾶλλον στεῤῥᾶς διανοίας καὶ οὐ συμπεριφερομένης ἐστίν. οὐ γὰρ ἁπλῶς παρεδέξατο τοὺς Ἀνδρέου λόγους, ἀλλ' ἠθέλησεν ἰδεῖν καὶ τὸν χριστὸν, ἵνα εἰ μὲν εὕρῃ τι ἀξιόλογον, ἀκολουθήσῃ, εἰ δ' οὐ, ἀναποδίσῃ, ὥστε τὸ ἀχθῆναι πρὸς τὸν Ἰησοῦν, οὐκ εὐηθείας, ἀλλ' ἀκριβείας γνώρισμα. τί οὖν ὁ κύριος; ἀπὸ τοῦ προφητεῦσαι περὶ αὐτοῦ, ἀποκαλύπτειν ἄρχεται αὐτῷ ἑαυτόν. ἐπεὶ γὰρ αἱ προφητεῖαι οὐδὲν ἔλαττον τῶν σημείων, εἰ μὴ καὶ μᾶλλον πείθουσι τοὺς ἀνθρώπους, προφητεύει περὶ τοῦ Πέτρου. σὺ γὰρ, φησὶν, εἶ σίμων υἱὸς Ἰωνᾶ, εἶτα καὶ τὸ μέλλον, σὺ κληθήσῃ κηφᾶς. ἀπὸ γὰρ τοῦ τὸ παρὸν εἰπεῖν, καὶ τὸ μέλλον πιστοῦται. οὐκ εἶπε δὲ, ὅτι καλέσω σε ἐγὼ πέτρον, ἀλλὰ κληθήσῃ, οὐ γὰρ ἠβούλετο ἐξ ἀρχῆς τὰ τῆς αὐθεντίας ἐπιδείκνυσθαι, ἐπεὶ οὐδὲ εἶχον πίστιν βεβαίαν περὶ αὐτοῦ. τίνος δὲ ἕνεκεν τοῦτον μὲν πέτρον ἐπονομάζει, τοὺς δὲ τοῦ ζεβεδαίου υἱοὺς βροντῆς; ἵνα δείξῃ, ὅτι καὶ τὴν παλαιὰν αὐτός ἐστιν ὁ δεδωκὼς, ὁ καὶ τὰ ὀνόματα, ὥσπερ τότε, καὶ νῦν μετατιθείς. τόν τε Ἄβραμ Ἀβραὰμ, καὶ τὴν σάραν σάῤῥαν καλέσας. ἴσθι δὲ ὅτι σίμων ἑρμηνεύεται ὑπακοὴ, ἰωνᾶς δὲ περιστερὰ, τέκνον οὖν τῆς πραότητος, ἥτις διὰ τῆς περιστερᾶς δηλοῦται, ἡ ὑπακοή. ὁ δὲ τὴν ὑπακοὴν ἔχων, καὶ πέτρος γίνεται, εἰς τὴν στεῤῥότητα τοῦ καλοῦ διὰ τῆς ὑπακοῆς προβιβαζόμενος. Γενε. ιζ'.

» Τῇ δὲ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει φί-
» λιππον, καὶ λέγει αὐτῷ ἀκολούθει μοι. ἦν δὲ ὁ φίλιππος ἀπὸ Βηθσαϊδὰ ἐκ τῆς πό-
» λεως Ἀνδρέου καὶ Πέτρου. εὑρίσκει φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ, ὃν ἔ-
» γραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ
» Ναζαρέτ.

Ὁ μὲν Ἀνδρέας τοῦ προδρόμου ἀκούσας, καὶ ὁ Πέτρος τοῦ Ἀνδρέου, ἠκολούθησαν τῷ Ἰησοῦ, ὁ δὲ φίλιππος φαίνεται μηδὲν ἀκούσας, καὶ ὅμως ἀκολουθήσας τῷ κυρίῳ εὐθὺς, εἰπόντι πρὸς αὐτὸν τὸ, ἀκολούθει μοι. πόθεν οὖν οὕτως εὐθέως ἐπείσθη; δοκεῖ τοίνυν πρῶτον μὲν ἡ τοῦ κυρίου φωνὴ ἐν τῇ ψυχῇ αὐτοῦ ἐργάσασθαί τι κέντρον ἀγάπης. οὐ γὰρ ἁπλῶς ἡ τοῦ σωτῆρος φωνὴ ἐλέγετο, ἀλλὰ τοῖς ἀξίοις εὐθὺς διέκαιε τὰ ἐντὸς πρὸς τὴν ἀγάπησιν αὐτοῦ, ὥσπερ καὶ οἱ περὶ τὸν Κλεόπαν φασὶ, οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ; ἔπειτα δὲ καὶ διὰ Λου. κδ'. τὸ μεμεριμνημένην καρδίαν ἔχειν τὸν φίλιππον, καὶ συνεχῶς μελετᾶν τὰ μωσέως, καὶ προσδοκᾶν ἀεὶ τὸν Χριστὸν, εὐθέως ὅτε εἶδεν ἐπείσθη, διὸ καὶ φησὶν, εὑρήκαμεν Ἰησοῦν, ὃ δεικνύων ὡς ἐζήτει αὐτόν. μή ποτε δὲ παρὰ τοῦ ἀνδρέου καὶ τοῦ Πέτρου ἔμαθε περὶ τοῦ Χριστοῦ, καὶ γὰρ ἐκ τῆς αὐτῆς πατρίδος ὄντι, εἰκὸς συνομιλήσαντας τούτοις ἀφηγήσασθαι περὶ τοῦ κυρίου, ὃ καὶ ὁ εὐαγγελιστὴς δοκεῖ παραινίττεσθαι διὰ τοῦ λέγειν, ἦν δὲ ὁ φίλιππος ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. μακρὰ δέ τις ἦν αὐ-

τη ἡ πόλις, καὶ κώμη μᾶλλον ἁρμόδιος λέγεσθαι. ὅθεν καὶ θαυμάσαι ἄξιον τὴν τοῦ Χριστοῦ δύναμιν, ὅτι ἀπὸ τῶν οὐδένα καρπὸν φερόντων, τοὺς ἐκκρίτους τῶν μαθητῶν ἐξελέξατο. οὐ τοίνυν οὐδὲ Φίλιππος παρ' ἑαυτῷ κατέχει τὸ ἀγαθὸν, ἀλλὰ μεταδίδωσι καὶ τῷ Ναθαναήλ. καὶ ἐπειδὴ νομομαθὴς ἦν ὁ Ναθαναήλ, ἐπὶ τὸν νόμον καὶ τοὺς προφήτας αὐτὸν παραπέμπει Φίλιππος, καὶ γὰρ ἀκριβὴς καὶ διεσκεμμένος ἦν τὰ νομικά. υἱὸν δὲ τοῦ Ἰωσὴφ λέγει τὸν κύριον, ἐπειδὴ τούτου παῖς ἐνομίζετο. καὶ ἀπὸ Ναζαρὲτ αὐτὸν ὀνομάζει, εἰ καὶ κυρίως ἀπὸ Βηθλεὲμ ἦν, ἐν ἐκείνῃ γὰρ ἐγεννήθη, ἐν δὲ Ναζαρὲτ ἀνετράφη, ἀλλ' ὅμως ἐπεὶ ἡ μὲν γέννησις αὐτοῦ τοῖς πολλοῖς ἄδηλος ἦν, ἡ δὲ ἀνατροφὴ δήλη, ἀπὸ Ναζαρὲτ τοῦτον ὀνομάζουσιν, ὡς ἐν ταύτῃ τραφέντα.

Καὶ εἶπεν αὐτῷ Ναθαναήλ, ἐκ Ναζαρὲτ, δύναταί τι ἀγαθὸν εἶναι. λέγει αὐτῷ Φίλιππος, ἔρχου καὶ ἴδε. εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ, ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. λέγει αὐτῷ Ναθαναήλ, πόθεν με γινώσκεις; ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ, πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. Ὁ μὲν Φίλιππος ἐκ Ναζαρὲτ τὸν Χριστὸν εἶπεν, ὁ δὲ Ναθαναὴλ οἷα δὴ ἀκριβέστερος ὢν, ἐγίνωσκεν ἀπὸ τῶν γραφῶν, ὅτι ἀπὸ Βηθλεὲμ δεῖ ἐλθεῖν τὸν Χριστὸν, καὶ διὰ τοῦτό φησιν, ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; ὁ δὲ Φίλιππος ἔρχου καὶ ἴδε φησὶν, εἰδὼς ὅτι ἐὰν γεύσηται τῶν ῥημάτων τοῦ Χριστοῦ, οὐκ ἀποστήσεται. ἐπαινεῖται δὲ Ναθαναὴλ παρὰ Χριστοῦ, ὡς ἀληθῶς Ἰσραηλίτης, ἐπειδὴ οὐδὲν πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν εἶπεν, οὐ γὰρ ἀπιστίας ἦσαν τὰ ῥήματα, ἀλλὰ ἀκριβείας, καὶ νομομαθοῦς διανοίας γινωσκούσης, ὅτι ὁ Χριστὸς οὐκ ἀπὸ Ναζαρὲτ, ἀλλ' ἐκ Βηθλεὲμ ἔρχεται. τί τοίνυν ὁ Ναθαναήλ; ἆρα ἐχαυνώθη τῷ ἐπαίνῳ; οὐκοῦν, ἀλλ' ἐπιμένει, σαφέστερον καὶ ἀκριβέστερόν τι βουλόμενος μαθεῖν, διὸ καὶ ἐρωτᾷ, πόθεν με γινώσκεις; ὁ δὲ κύριος διὰ τοῦ εἰπεῖν αὐτῷ, ἃ οὐδεὶς ἐγίνωσκε πλὴν αὐτοῦ καὶ Φιλίππου, ὡς καταμόνας λαληθέντα καὶ πραχθέντα, ἀποκαλύπτει τὴν οἰκείαν θεότητα. ὁ γάρ τοι Φίλιππος καταμόνας καὶ οὐδενὸς παρόντος ὑπὸ τὴν συκῆν ὡμίλησεν τῷ Ναθαναήλ, ἃ δὴ πάντα ὁ Χριστὸς καὶ μὴ παρὼν ἐγίνωσκε, διὸ καὶ φησὶν, ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. πρὸ τοῦ πλησιάσαι δὲ τὸν Φίλιππον εἶπεν ὁ κύριος περὶ τοῦ Ναθαναήλ, ἵνα μή τις ὑποπτεύσῃ, ὅτι ὁ Φίλιππος εἶπε τὸ περὶ τῆς συκῆς καὶ τῶν ἄλλων, ἃ διελέχθη τῷ Ναθαναήλ. ὅθεν ὁ Ναθαναὴλ ἐπιγνοὺς τὸν κύριον, ὡμολόγησεν αὐτὸν υἱὸν θεοῦ. ἄκουε γάρ τί φησιν.

Ἀπεκρίθη Ναθαναήλ, καὶ λέγει αὐτῷ, ῥαββεὶ σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ, ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς πιστεύεις, μείζω τούτων ὄψει. καὶ λέγει αὐτῷ, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀπάρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας, καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. Τὰ μέγιστα δύναται ἡ προφητεία εἰς τὸ ἐφελκύσασθαί τινας εἰς πίστιν, καὶ πλείονα δὲ τῶν θαυμάτων δύναμιν ἔχει. τὰ μὲν γὰρ θαύματα δύνανται φαντασιωδῶς καὶ οἱ δαίμονες ὑποκρίνεσθαι, τὴν δὲ πρόγνωσιν τῶν μελλόντων καὶ προαγόρευσιν οὐδεὶς ἀκριβῶς ἔχει, οὔτε ἄγγελος, οὔτε πολλῷ μᾶλλον δαίμονες. διὸ καὶ τὸν Ναθαναὴλ ὁ κύριος ἐπεσπάσατο, εἰπὼν αὐτῷ τόν τε τόπον, καὶ ὅτι ἐφώνησεν αὐτὸν ὁ Φίλιππος, καὶ ὅτι ἀληθῶς ἐστιν Ἰσραηλίτης. ἀκούσας οὖν ταῦτα Ναθαναήλ, ἐν συναισθήσει γίνεται τῆς τοῦ κυρίου μεγαλειότητος, καθόσον τέως ἐνῆν, καὶ ὁμολογεῖ αὐτὸν υἱὸν θεοῦ. πλὴν εἰ καὶ υἱὸν θεοῦ ὁμολογεῖ, ἀλλ' οὖν οὐχ ὡς ὁ Πέτρος. ὁ μὲν γὰρ Πέτρος υἱὸν θεοῦ ἀνωμολόγησεν, ὡς θεὸν
Ματθ. ις'. ἀληθῆ, διὸ καὶ μακαρίζεται, καὶ τὴν ἐκκλησίαν πιστεύεται. ὁ δὲ Ναθαναὴλ ὡς ἀν-

θρωπον ψιλὸν αὐτὸν ὡμολόγησε, χάριν δὲ τὴν ἀρετὴν υἱοθετηθέντα τῷ θεῷ, καὶ τοῦτο δῆλον ἐκ τοῦ ἐπαγαγεῖν, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. ὁρᾷς, ὅτι οὔπω ἔφθασεν εἰς τὴν τελείαν γνῶσιν τῆς ἀληθοῦς θεότητος τοῦ μονογενοῦς; ὡς ἄνθρωπον γὰρ θεοφιλῆ, καὶ ὡς βασιλέα τοῦ ἰσραὴλ αὐτὸν πιστεύει εἶναι. εἰ δὲ ἀληθῶς θεὸν ὡμολόγησεν, οὐκ ἂν εἶπεν αὐτὸν βασιλέα τοῦ ἰσραήλ, ἀλλὰ βασιλέα τοῦ παντὸς, διὸ οὐδὲ μακαρίζεται ὡς ὁ Πέτρος. ὅθεν καὶ ὁ κύριος διορθούμενος αὐτὸν, καὶ ἀνάγων εἰς τὸ νοῆσαί τι ἄξιον τῆς αὐτοῦ θεότητος, ὄψεσθε, φησὶ, τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας. καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, μὴ γάρ με, φησὶν, ὑπολάμβανε ψιλὸν ἄνθρωπον, ἀλλὰ δεσπότην τῶν ἀγγέλων, ᾧ γὰρ ἄγγελοι διακονοῦσιν, οὐκ ἂν εἴη ἄνθρωπος ψιλὸς, ἀλλὰ θεὸς ἀληθής. ἐπὶ δὲ τοῦ σταυροῦ καὶ τῆς ἀναλήψεως ταῦτα ἐξέβησαν, καὶ γὰρ καὶ πρὸς τῷ καιρῷ τοῦ πάθους ἄγγελος ἀπ' οὐρανοῦ ἐνίσχυσεν αὐτόν. καὶ ἐν τῷ τάφῳ, ἄγγελος, καὶ ἐν τῇ ἀναλήψει, ὡς ὁ Λουκᾶς ἱστορεῖ. (Λου. κγ΄. κδ΄. Πρά. α΄.) τινὲς δὲ συκῆν ἐνόησαν τὸν νόμον, ὡς καρπὸν ἔχοντα πρὸς καιρὸν γλυκαίνοντα, τῇ τραχύτητι δὲ τῶν νομικῶν παρατηρημάτων, καὶ τῷ δυσκατεργάστῳ τῶν ἐντολῶν, ὥσπερ φύλλοις σκεπόμενον. φασὶν οὖν, ὅτι τὸν Ναθαναὴλ εἶδεν ὁ κύριος, ἀντὶ τοῦ ἱλαρῶς ἐπέβλεψε, καὶ τὴν σύνεσιν αὐτοῦ κατενόησεν, καὶ ἔτι ὑπὸ τὸν νόμον ὄντος. σὺ δέ μοι καὶ τούτῳ τὸν νοῦν ἐπίστησον, εἴγε θέλῃς τοῖς τοιούτοις, ὅτι τὸν ναθαναὴλ ὁ κύριος εἶδεν ὑπὸ τὴν συκῆν, ἤτοι ὑπὸ τὸν νόμον, τουτέστιν, ἐντὸς τοῦ νόμου, καὶ τὰ βάθη αὐτοῦ ἐρευνῶντα, εἰ γὰρ μὴ τὰ βάθη τοῦ νόμου ἠρεύνα, οὐκ ἂν αὐτὸν εἶδεν ὁ κύριος. ἴσθι δὲ καὶ τοῦτο, ὅτι γαλιλαία ἑρμηνεύεται, κατακυλιστή. ἐξῆλθεν οὖν ὁ κύριος εἰς τὴν κατακυλιστὴν τούτου τοῦ κόσμου χώραν, ἢ καὶ τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ ὄντας ἡμᾶς ὑπὸ τὴν συκῆν, τουτέστι τὴν ἐνήδονον ἁμαρτίαν, ἣ καὶ δριμύτης οὐκ ὀλίγη σύνεστι διὰ τὴν μεταμέλειαν, καὶ τὰ ἐκεῖ δικαιωτήρια, ὡς φιλάνθρωπος εἶδε, καὶ ἐξελέξατο ὁμολογοῦντας αὐτὸν υἱὸν θεοῦ, καὶ βασιλέα τοῦ Ἰσραὴλ τοῦ ὁρῶντος θεόν. εἰ δέγε ἐπιτείνοιμεν τὴν σπουδὴν, καὶ μειζόνων καταξιώσει ἡμᾶς θεαμάτων, καὶ ὀψόμεθα τοὺς ἀγγέλοις ἀναβαίνοντας μὲν πρὸς τὸ ὕψος τῆς αὐτοῦ θείας γνώσεως, καταβαίνοντας δὲ πάλιν, διὰ τὸ μὴ φθάνειν κατανοῆσαι τὴν ἄγνωστον οὐσίαν. καὶ ἄλλως δὲ ἀναβαίνει τίς, ὅτε τοῖς περὶ τῆς θεότητος τοῦ μονογενοῦς λόγοις ἐνδιατρίβει, καταβαίνει δὲ, ὅτε τοῖς περὶ σαρκὸς, καὶ τῆς ἐν τῷ ᾅδῃ καταβάσεως ἐμφιλοχωρεῖ.

Κεφάλαιον δεύτερον.

» Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς γαλιλαίας, καὶ ἦν ἡ μήτηρ
» τοῦ Ἰησοῦ ἐκεῖ. ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. καὶ ὑστερή-
» σαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτὸν, οἶνον οὐκ ἔχουσι, λέγει αὐτῇ ὁ ἰησοῦς.
» τί ἐμοὶ καὶ σοὶ γύναι; οὔπω ἥκει ἡ ὥρα μου. Καλοῦσιν εἰς τὸν γάμον τὸν κύριον, οὐχ ὡς θαύματα ἰδόντες, οὐδ' ὡς μέγαν τινὰ, ἀλλ' ἁπλῶς καὶ ὡς γνώριμον. ὅθεν τοῦτο σημαίνων ὁ εὐαγγελιστής φησιν, ἦν δὲ ἡ μήτηρ τοῦ Ἰησοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐκεῖ. ὥσπερ οὖν ἐκείνην, καὶ τοὺς ἀδελφοὺς, οὕτω καὶ τὸν κύριον ἐκάλεσαν. ὁ δὲ κύριος παραγίνεται καὶ οὐκ ἀπαξιοῖ τὴν κλῆσιν, ὅτι μὴ εἰς τὴν οἰκείαν ἀξίαν ἑώρα, ἀλλὰ πρὸς τὴν ὠφέλειαν καὶ εὐεργεσίαν ἡμῶν. ὁ γὰρ μὴ ἀπαξιώσας γενέσθαι ἐν δούλοις, πολλῷ μᾶλλον οὐκ ἂν ἀπηξίωσεν εἰς γάμον ἐλθεῖν. παρακαλεῖ δὲ αὐτὸν ἡ μήτηρ εἰς θαυματουργίαν, μεγάλην περὶ τῆς αὐτοῦ δυνάμεως λαβοῦσα ὑπόληψιν ἀπό τε τῆς συλλήψεως, ἀπό τε τοῦ τόκου, πάντα γὰρ συνετήρει ἐν τῇ καρδίᾳ αὐτῆς, (Λουκ. β΄.) καὶ ἐκ τούτων ἐλογίζετο τὸν υἱὸν ὑπὲρ ἄνθρωπον δύνασθαι. οὐ γὰρ δὴ ἀπὸ τοῦ καὶ ἄλλα θαύματα ποιῆσαι τὸν Ἰησοῦν, παρακαλέσαι αὐτὸν προήχθη ἡ μήτηρ εἰς τοῦτο, παῖς γὰρ

ὧν οὐδὲν ἐθαυματούργησεν, ἢ γὰρ ἂν ἐπίσημος πᾶσιν ἦν· ἅμα δὲ ἡ μήτηρ καὶ τῶν μαρτυριῶν Ἰωάννου ἐμέμνητο, ἃς περὶ αὐτοῦ ἐμαρτύρησεν, ἔβλεπέ τε ἤδη καὶ μαθητὰς αὐτῷ ἀκολουθοῦντας, καὶ ἐκ τούτων πάντων ἐτεκμαίρετο τὴν δύναμιν τοῦ παιδός. ὁ δὲ ἐπιτιμᾷ αὐτῇ οὐκ ἀλόγως, εἰ γάρ φησιν, οὐκ ἔστιν οἶνος, ἔδει αὐτοὺς ἐκείνους τοὺς μὴ ἔχοντας προσελθεῖν, καὶ ἀξιῶσαι, οὐχὶ σὲ τὴν μητέρα. ἡ γὰρ περὶ τῶν οἰκείων παράκλησις, σκάνδαλον γίνεται τοῖς ὁρῶσιν, ὅταν δὲ οἱ χρείαν ἔχοντες αὐτοὶ δέωνται, ἀνύποπτον τὸ πρᾶγμα γίνεται. τὸ δὲ οὔπω ἥκει ἡ ὥρα μου, φησὶν, οὐχ ὡς ὑποκείμενος ἀνάγκαις καιρῶν, ἢ ὥρας παρατηρούμενος, πῶς γὰρ ὁ ποιητὴς τῶν χρόνων καὶ τῶν αἰώνων; ἀλλ᾽ ὅτι πάντα μετὰ τοῦ καιροῦ τοῦ προσήκοντος ἐργάζεται. ἐπεὶ οὖν ἄδηλος ἦν ἔτι, καὶ ἄγνωστος τοῖς πολλοῖς, καὶ οὐδὲ τοὺς μαθητὰς πάντας εἶχεν, ἀλλ᾽ οὐδὲ οἱ ἐν τῷ γάμῳ αὐτὸν ἐγίνωσκον, ἢ γὰρ ἂν αὐτοὶ προσῆλθον, καὶ παρεκάλουν περὶ τοῦ οἴνου, ἐπεὶ οὖν ταῦτα πάντα ἦν, διὰ τοῦτό φησιν, οὔπω ἥκει ἡ ὥρα μου, τουτέστιν, ἐπιτήδειος καιρὸς οὐ πάρεστιν. ἀλλ᾽ ἔτι ἐνίσταται ἡ τοῦ Ἀρείου λύττα, δεῖξαι πειρωμένη τὸν κύριον ὑποκείμενον ὥραις καὶ καιροῖς. μάνθανε τοίνυν ὦ κατάρατε, ὡς εἰ ὑπέκειτο ὥραις, πῶς λοιπὸν ἐποίησε τὸ θαῦμα; ἔδει γὰρ κατὰ τὸν σὸν λόγον, ἐπεὶ δουλεύει ὥραις καὶ καιροῖς, οὔπω δὲ ἧκεν ἡ ὥρα αὐτοῦ, μὴ δυνηθῆναι θαυματουργῆσαι, ἀλλὰ μὴν ἐθαυματούργησεν, οὐκ ἄρα δουλεύει ὥραις, ὅρα δέ μοι πῶς οὐκ ἄχρι τέλους, οὐδὲ διὰ πάντων ἀντιτείνει τῇ μητρὶ, ἀλλ᾽ ἐπιπλήξας μικρὸν, πάλιν τὴν ἀξίωσιν αὐτῆς πληροῖ, τιμῶν αὐτὴν, καὶ ἡμῖν τύπους διδοὺς τῆς πρὸς τοὺς τεκόντας αἰδοῦς·

» Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις, ὅτι ἂν λέγῃ ὑμῖν ποιήσατε. ἦσαν δὲ ἐκεῖ ὑ-
» δρίαι λίθιναι ἓξ κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς
» δύο ἢ τρεῖς. λέγει αὐτοῖς ὁ Ἰησοῦς, γεμίσατε τὰς ὑδρίας ὕδατος, καὶ ἐγέμισαν αὐτὰς
» ἕως ἄνω. καὶ λέγει αὐτοῖς, ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ, καὶ ἤνεγκαν·

Τοῖς διακόνοις λέγει ἡ μήτηρ, ὅ, τι ἂν λέγῃ ὑμῖν ποιήσατε, ὥστε πλείονα γενέσθαι τὴν αἴτησιν, προσελθόντων αὐτῶν καὶ αἰτησαμένων, ὡς ἂν δειχθῇ, ὅτι οὐκ ἀσθενείας ἦν ἡ παραίτησις, ἀλλὰ τοῦ μὴ δόξαι ἐπιτρέχειν ταῖς θαυματουργίαις διὰ ἔνδειξιν, καὶ κενὸν τῦφον· αἱ δὲ ὑδρίαι αἱ λίθιναι εἰς τὸν καθαρισμὸν τῶν Ἰουδαίων ἐχρημάτιζον· οἱ γὰρ Ἰουδαῖοι καθεκάστην σχεδὸν ἀπεπλύνοντο, καὶ οὕτως ἤσθιον· οἷον εἰ λεπροῦ ἥψαντο, εἰ νεκροῦ, εἰ γυναικὶ ὡμίλησαν, ὡς ἀκάθαρτοι λοιπὸν ὄντες ἀπελούοντο· ἐπεὶ οὖν ἡ παλαιστίνη ἄνυδρος ἦν, καὶ οὐκ ἦν πολλαχοῦ πηγὰς εὑρίσκειν, ἐπλήρουν ἀεὶ τὰς ὑδρίας ὕδατος, ὥστε μὴ τρέχειν εἰς ποταμοὺς, εἴποτε ἀκάθαρτοι γένοιντο· οὐχ ἁπλῶς οὖν εἶπεν, ὅτι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, ἀλλ᾽ ἵνα μή τινες τῶν ἀπίστων ὑποπτεύσωσιν, ὅτι τρυγία τις ἦν ἐναπομείνασα, εἶτα τοῦ ὕδατος ἐπιβληθέντος, καὶ κερασθέντος, οἶνος λεπτότατος γέγονε, δείκνυσιν, ὅτι οὐδέποτε ἐκεῖνα γεγόνασιν οἴνου δοχεῖα· ἆρ᾽ οὖν οὐκ ἠδύνατο καὶ χωρὶς τοῦ γεμισθῆναι τὰς ὑδρίας ὕδατος δημιουργῆσαι οἶνον ἐξ οὐκ ὄντων. ἠδύνατο μὲν, ἀλλὰ πολλαχοῦ περικόπτει τὸ μέγεθος τῶν θαυμάτων, ὡς ἂν εὐπαραδεκτότερα γένοιντο· ἅμα δὲ ἵνα καὶ τοὺς διακόνους μάρτυρας ἔχῃ τοῦ θαύματος, τοὺς τὸ ὕδωρ ἐπιφορήσαντας ταῖς ὑδρίαις. ἔτι τε ἵνα μάθωμεν, ὅτι αὐτός ἐστιν, ὁ καὶ τὸ τῆς ἀμπέλου ὑγρὸν ὕδωρ πάντως ὂν, εἰς οἶνον μετασκευάζων. κελεύει οὖν τοῖς διακόνοις, ἵνα τῷ ἀρχιτρικλίνῳ δείξωσι τὸ γεῦμα οὐκ ἀπεικότως, ἀλλ᾽ ἵνα μή τινες ὑποπτεύσωσιν, ὅτι μεθυόντων σύλλογος ἦν, καὶ διέφθαρτο αὐτοῖς ἡ αἴσθησις, καὶ ὡς διεφθαρμένοι τῇ μέθῃ ᾤοντο τὸ ὕδωρ οἶνον. ἵνα τοίνυν μὴ σχῇ χώραν ἡ τοιαύτη ὑπόνοια, τῷ ἀρχιτρικλίνῳ ἐπιτρέπει τὴν γεῦσιν τῷ νήφοντι. καὶ γὰρ ἐν τοῖς τοιούτοις οἱ τήνδε τὴν διακονίαν ἐμπεπιστευμένοι, μάλιστα νήφουσιν, ἵνα εὐτά-

ξει καὶ εὐκοσμίᾳ τὰ πάντα διὰ κελεύσματος αὐτῶν γίνωνται. ἀλλ' εὐξώμεθα ταῦτα τελεσθῆναι καὶ ἐφ' ἡμῶν, νῦν οἷον γάμον μὲν γενέσθαι, ἤτοι συνάφειαν τοῦ θεοῦ πρὸς τὴν ἡμετέραν ψυχὴν, ἕως ἔτι ἐσμὲν ἐν τῇ Κανᾷ τῆς Γαλιλαίας, τῷ χωρίῳ λέγω τοῦ κάτω τούτου καὶ κατακυλιστοῦ κόσμου, τοῦ ἄλλοτε ἄλλως μετακυλιομένου, καὶ μετακυλίοντος. ὁ γάμος δὲ οὗτος ἄνευ τῆς παρουσίας Χριστοῦ, καὶ τῆς αὐτοῦ μητρὸς, καὶ τῶν μαθητῶν οὐ γίνεται. εἰ μὴ γάρ τις πιστεύσει εἰς Χριστὸν τὸν ἐκ Μαρίας γεννηθέντα, καὶ ἐν τοῖς ἀποστόλοις λαλήσαντα, πῶς συναφθήσεται τῷ θεῷ; ἴδωμεν οὖν, τί θαυματουργεῖ ὁ κύριος ἐν τῷ τοιούτῳ γάμῳ, καὶ τῇ τοιαύτῃ συναφείᾳ τοῦ θεοῦ πρὸς τὴν ψυχήν. τὸ ὕδωρ εἰς οἶνον μεταποιεῖ, τὰς ἓξ ὑδρίας ἡμῶν τὰς λιθίνας πληροῖ. ὕδωρ μὲν οὖν νοήσαις ἂν τὸ ὑδαρὲς, καὶ ὑγρὸν, καὶ διαλελυμένον ἡμῶν ἔν τε βίῳ καὶ δόγμασιν, ὑδρίας δὲ ἓξ, τάς τε πέντε αἰσθήσεις, δι' ὧν ἐν ταῖς πράξεσι σφαλλόμεθα, καὶ ἕκτην ὑδρίαν, τὸ λογιστικὸν, δι' οὗ ἐν τοῖς δόγμασι σφαλερῶς διακείμεθα. ὁ τοίνυν κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ λόγος ὁ εὐαγγελικὸς φημὶ, ἰώμενος τὰ ἡμέτερα σφάλματα, τά ἔν τε τῷ πρακτικῷ καὶ τῷ δογματικῷ, ἤτοι θεωρητικῷ, τὸ ἐν τούτοις ὑδαρὲς καὶ εὐδιάλυτον εἰς οἶνον μετατίθησι, τὸν στύφοντα λέγω καὶ εὐφραίνοντα βίον καὶ λόγον, καὶ οὕτως πληροῦνται αἱ ἓξ ὑδρίαι ἡμῶν τούτου τοῦ καλοῦ πόματος, αἵ τε αἰσθήσεις, ἵνα μὴ κατὰ τὸ πρακτικὸν πταίωμεν, καὶ ὁ λογισμὸς, ἵνα μὴ ἐν τοῖς δόγμασι πρὸς πταίωμεν. πρόσχες δὲ ὅτι αἱ λίθιναι ὑδρίαι διὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων ἵσταντο ἐκεῖ. Ἰούδας μὲν λέγεται ἐξομολόγησις, καθαρίζεται δὲ ὁ ἐξομολογούμενος διὰ τῶν πέντε αἰσθήσεων, δι' ὧν πρότερον ἡμάρτανεν. ὁ ὀφθαλμὸς εἶδε κακῶς, ἀλλ' ὀφθαλμὸς πάλιν δακρύει ἐν τῇ ἐξομολογήσει, καὶ οὕτω γίνεται εἰς καθαρισμόν. ἤκουσε τὸ οὖς πορνικὰ ᾄσματα, ἀλλ' αὖθις κλίνεται εἰς ῥήματα στόματος θεοῦ, οὕτω καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων. πάλιν τὸ λογιστικὸν σφάλλεται ἐν τοῖς δόγμασιν, ἀλλ' αὖθις καθαίρει τὴν προτέραν κακίαν εἰς τὸ ὀρθῶς δογματίζειν μεταπεσόν. λίθιναι δὲ ὑδρίαι. ἢ διότι ἀπὸ γῆς ἡμῶν ἡ σύστασις, ἢ διὰ τὸ στερρὰ δεῖν εἶναι τὰ τοῦ τοιούτου οἴνου μέλλοντα ἔσεσθαι δοχεῖα, καὶ δυσκατάλυτα. λίθινος ὑδρία ἦν τοῦ Παύλου τὸ λογιστικὸν,
καὶ ὅταν ἐδίωκε, ζηλωτὴς γὰρ ἦν τῶν πατρικῶν παραδόσεων ὑπὲρ πάντας τοὺς συνη- Πράξ. κβ'.
λικιώτας, καὶ ὅταν ἐκήρυττε, τοσαύτην γὰρ τὴν ἐν τοῖς λόγοις δύναμιν εἶχεν, ὥστε καὶ Πράξ. ιδ'.
τοῖς Λυκεύσιν Ἑρμῆς νομισθῆναι, ὡς τοῦ λόγου ἡγούμενος.

» Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν
» ἐστὶν, οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ, φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλι-
» νος, καὶ λέγει αὐτῷ. πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυ-
» σθῶσι, τότε τὸν ἐλάσσω. σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. Ὁ ἀρχιτρίκλινος οὐχὶ τοὺς διακόνους ἐρωτᾷ, ἀλλὰ τὸν νυμφίον. τίνος ἕνεκεν; κατ' οἰκονομίαν πάντως θείαν. εἰ γὰρ τοὺς διακόνους ἠρώτησε, πάντως ἂν ἀπεκάλυψαν τὸ θαῦμα, οὐδεὶς δὲ ἂν αὐτοῖς ἐπίστευσεν, ἀρχὴ γὰρ ἦν τῶν σημείων, καὶ οὔπω οὐδεὶς εἶχεν ὑπόληψιν μεγάλην περὶ τοῦ Χριστοῦ, ὥστε καὶ τῶν διακόνων ἀφηγουμένων τὸ θαῦμα, οὐδεὶς ἂν ἐπίστευσε. μετὰ ταῦτα μέντοι ὅτε καὶ ἕτερα τὰ σημεῖα ἐπεδείξατο, ἔμελλε καὶ τοῦτο πιστευθήσεσθαι, καὶ κατὰ μικρὸν οἱ διάκονοι πρὸς πάντας ἀφηγούμενοι τοῦτο, ἔδοξαν ἂν πιστοί. διὰ τοῦτο ᾠκονόμησεν ὁ κύριος, μὴ τοὺς διακόνους ἐρωτηθῆναι, ἀλλὰ τὸν νυμφίον. οὐχ ἁπλῶς δὲ οἶνον ἐποίησεν, ἀλλὰ καὶ κάλλιστον. τοιαῦτα γὰρ τὰ τοῦ Χριστοῦ θαύματα, πολλῷ βελτίω τῶν διὰ φύσεως τελουμένων, τοῦ μὲν οὖν τὸ ὕδωρ οἶνον γενέσθαι, μάρτυρες οἱ διάκονοι, οἱ ἠντληκότες τὸ ὕδωρ, τοῦ δὲ κάλλιστον γενέσθαι, ὁ ἀρχιτρίκλινος. ἅπερ πάντα τοῦ χρόνου προϊόντος, ἔμελλον κηρυχθέντα, πιστωθῆναι βε-

βαιότερον τοῖς ἀκούουσι· δύνασαι δὲ νοῆσαι οἶνον μὲν τὸν εὐαγγελικὸν λόγον, ὕδωρ
δὲ πάντα τὰ πρὸ τοῦ εὐαγγελίου, ὑδαρέστερα γὰρ ἦσαν, καὶ πρὸς τὴν τοῦ λόγου τε-
Γενέσ. α'. λείωσιν μὴ φθάνοντα· οἷον τί φημι, δέδωκε νόμους διαφόρους τῷ ἀνθρώπῳ ὁ κύριος,
Νῶε. θ'. ἕνα τὸν ἐν τῷ παραδείσῳ, δεύτερον τὸν ἐπὶ Νῶε, τρίτον τὸν ἐπὶ Ἀβραὰμ τῆς περι-
Ἀβρ. ιζ'. τομῆς, τέταρτον τὸν διὰ τοῦ Μωσέως, πέμπτον τὸν διὰ τῶν προφητῶν· πάντες οὖν οὗτοι
Ἔξοδ. κ'. ὡς πρὸς τὴν τοῦ εὐαγγελίου ἀκρίβειαν καὶ δύναμιν συγκρινόμενοι, ὑδαρεῖς εἰσὶν, εἴτις
ἁπλῶς αὐτοὺς καὶ κατὰ τὸ γράμμα νοεῖ· εἰ δ' ἐμβαθύνας τῷ πνεύματι, κατανοή-
σει τὰ κεκρυμμένα, εὑρήσει τὸ ὕδωρ οἶνον γεγενημένον· τὰ γὰρ ἁπλῶς λεγόμενα καὶ
κατὰ τὸ γράμμα νοούμενα τοῖς πολλοῖς, ὕδωρ ὄντα πάντως ὁ πνευματικῶς ἀνα-
κρίνων, εὑρήσει οἶνον κάλλιστον, ὕστερον πινόμενον, καὶ τηρούμενον παρὰ τοῦ νυμφίου
χριστοῦ· ἐπεὶ καὶ ἐν ἐσχάτοις καιροῖς ἐδείχθη τὸ εὐαγγέλιον·

» Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν κανᾶ τῆς γαλιλαίας, καὶ
» ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ·

Ὅτι μὲν μετὰ τὸ βάπτισμα ἤρξατο τῶν σημείων ὁ κύριος, καὶ πρότερον εἰρήκαμεν. ἔοι-
κε δὲ καὶ πρῶτον σημεῖον τοῦτο ποιῆσαι τὸ τοῦ οἴνου, φησὶ γὰρ, ταύτην ἐποίησε τὴν
ἀρχὴν τῶν σημείων· ἀλλ' ἐρεῖ τὶς, ὅτι εἰ καὶ ἀρχή ἐστι τῶν σημείων αὕτη, ἀλλ' οὐχὶ πάν-
των, ἀλλὰ τῶν ἐν κανᾶ τῆς γαλιλαίας, διάφορα γάρ φησιν, θαύματα ποιήσαντας
ἐν κανᾶ, αὕτη ἐστὶν ἀρχή. ταῦτα μὲν εἴποι τὶς ἄν· ἡμεῖς δὲ καίτοι πολλὰ ἔχοντες πρὸς
τὸ δεῖξαι, ὅτι καὶ πάντων τῶν σημείων ἐστὶν ἀρχὴ, καὶ γὰρ τὸ, ἐφανέρωσε τὴν δόξαν
αὐτοῦ, καὶ τὸ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, ἐνδείκνυνται, ὅτι ἕτερον πρὸ
τούτου θαῦμα οὐκ ἐποίησεν, ἀπ' ἐκείνου γὰρ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ· ὅμως οὐ
διαφερόμεθα, εἴτε τοῦτο πρότερον, εἴτε ἕτερον γέγονε. πῶς δὲ ἄρα ἐφανέρωσε τὴν δό-
ξαν αὐτοῦ; οὐ δὲ γὰρ πολλοὶ προσεῖχον τῷ γενομένῳ, οὐ δὲ ἐνώπιον δήμου γέγονεν·
ἀλλ' εἰ καὶ μὴ τότε, ἀλλ' ὕστερον ἔμελλον τὸ θαῦμα ἀκούσεσθαι πάντες, ὅθεν καὶ μέ-
χρι τοῦ νῦν ᾄδεται, καὶ οὐ διέλαθε· ὅτι δὲ οἱ μαθηταὶ αὐτοῦ ἐπίστευσαν εἰς αὐτὸν, οὕ-
τως νόησον, ἀντὶ τοῦ πίστιν περισσοτέραν καὶ βεβαιοτέραν ἔλαβον εἰς αὐτόν· ἐπεὶ καὶ
πρότερον πάντως ἐπίστευον, ἀλλ' οὐχ οὕτω βεβαίως.

» Μετὰ τοῦτο κατέβη εἰς Καπερναοὺμ αὐτὸς, καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐ-
» τοῦ, καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας· καὶ ἐγγὺς ἦν τὸ πά-
» σχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς ἱεροσόλυμα ὁ Ἰησοῦς, καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πω-
» λοῦντας βόας, καὶ πρόβατα, καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους, καὶ
» ποιήσας φραγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τάτε πρόβατα, καὶ
» τοὺς βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέτρεψε, καὶ
» τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· ἄρατε ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον
» τοῦ πατρός μου, οἶκον ἐμπορίου· ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτοῦ, ὅτι γεγραμμένον
Ψαλ. ξη'. » ἐστιν, ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με· Κατέρχεται εἰς Καπερναοὺμ ὁ κύριος
οὐδεμιᾶς ἄλλης χρείας ἕνεκεν, ἀλλ' ἢ, τοῦ ἀποκαταστῆσαι τὴν μητέρα αὐτοῦ ἐκεῖ, ἵνα
μὴ πανταχοῦ αὐτὴν ἐφέλκηται. ἐπεὶ γὰρ διὰ τὸν γάμον ἦλθον εἰς κανᾶ, τοῦ γάμου
παρελθόντος, ἐπανάγει τὴν μητέρα εἰς τὸν ἐν Καπερναοὺμ οἶκον αὐτῆς· δῆλον δὲ
τοῦτο, ὅτι διὰ ταύτην τὴν αἰτίαν κατέβη εἰς Καπερναοὺμ, ἐκ τοῦ μήτε πολλὰς μεῖναι
ἐκεῖ ἡμέρας, μήτε θαύματα ἐν αὐτῇ ποιῆσαι, ἄπιστως γὰρ εἶχον πρὸς αὐτὸν οἱ τὴν
Ματ. ια'. πόλιν ταύτην οἰκοῦντες, διὸ καὶ ἀλλαχοῦ ὁ κύριος ταλανίζει αὐτήν· διὰ δὲ τοῦ εἰπεῖν
Λου. ι'. ὁ εὐαγγελιστὴς, ὅτι ἦν ἐγγὺς τὸ πάσχα, δείκνυσιν ὅτι οὐ πρὸ πολλῶν ἡμερῶν τοῦ πάσχα
ἐβαπτίζετο· ἀνελθὼν δὲ εἰς ἱεροσόλυμα, ποιεῖ πρᾶγμα πολλῆς αὐθεντίας γέμον,

τοὺς γὰρ πωλοῦντας τὰ πρόβατα, καὶ τοὺς βόας, ἐκβάλλει. εἰ δὲ καὶ ὁ Ματθαῖος φησὶ τοῦτο πεποιηκέναι αὐτὸν, ἀλλ' ἴσθι ὡς οὐχ ἅπαξ τοῦτο ἐποίησεν, ἀλλὰ τὸ μὲν παρὰ τῷ Ματθαίῳ ἐγγὺς τοῦ πάθους ποιεῖ, τὸ δὲ νῦν παρὰ τῷ Ἰωάννῃ τῶν σημείων ἀρχόμενος, διὸ ἐνταῦθα ἀφειμένως εἶπε, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου, οἶκον ἐμπορίου. ἀρχὴ γὰρ τέως ἦν τῶν σημείων, καὶ οὔπω τοσαύτη παρρησία ἦν αὐτῷ ἀπὸ τῆς τῶν σημείων ἀποδείξεως. ἐκεῖ δὲ, παρὰ τῷ Ματθαίῳ φημὶ, μὴ ποιεῖτε φησὶ σπήλαιον λῃστῶν, φανερῶς γὰρ λῃστὰς αὐτοὺς ὠνόμασε, ὡς ἐξ ἀδίκων κερδαίνοντας πόρων. ὅταν γάρ τις τὸ ὀλίγου τιμώμενον πολλοῦ τιμήματος ἀξιοῖ, καὶ ἀπὸ πενήτων τυχὸν καὶ χηρῶν τὸ κέρδος ἐρανίζηται, ὡς ἐπὶ τὸ πολὺ γὰρ οὗτοι οἱ τὰ χρειώδη ἐξωνούμενοι, καὶ ἀπεμπολοῦντες, τί ἄλλο, ἢ ἔργον λῃστοῦ ποιεῖ, ἐκ συμφορῶν ἑτέρων κέρδη πραγματευόμενος; τίνος δὲ ἕνεκεν ὅλως ἐκβάλλει τοὺς τοιούτους ἐκ τοῦ ἱεροῦ; οὐκ ἀλόγως, ἀλλ' ἐπεὶ ἔμελλεν ἐν σαββάτῳ θεραπεύειν, καὶ παραλύειν τὸν νόμον, ἵνα μὴ δόξῃ ἀντίθεος εἶναι, διορθοῦται ἐντεῦθεν τὴν τοιαύτην ὑπόληψιν. οὐ γὰρ ἂν ὁ τοσοῦτον ζῆλον ἐπιδειξάμενος ὑπὲρ τοῦ οἴκου, τὸν τοῦ οἴκου δεσπότην τὸν θεὸν ἠθέτησεν. οὐ γὰρ ἁπλῶς ἐξέβαλεν, ἀλλὰ καὶ φραγελλίῳ πλεκτῷ τύπτων, καὶ ἀνατρέπων τὰς τραπέζας, καὶ τὸ κέρμα, ἤτοι τὸ νόμισμα τῶν κολλυβιστῶν ἐκχέων, καὶ ἔργῳ παρακεκινδυνευμένῳ ἐπιχειρῶν. οὐκ ἂν οὖν ὁ εἰς κίνδυνον ῥίπτων ἑαυτὸν ὑπὲρ τοῦ οἴκου τοῦ θεοῦ, παρέλυε τὸν νόμον τοῦ θεοῦ ὡς ἀντίθεος, ἀλλὰ πάντως ὡς υἱὸς ὢν, καὶ τὴν ἴσην ἐξουσίαν ἔχων τῷ θεῷ καὶ πατρὶ τῷ καὶ τὸν περὶ τοῦ σαββάτου νόμον δόντι. διὸ οὐδὲ εἶπε τὸν οἶκον τοῦ θεοῦ, ἀλλὰ τὸν οἶκον τοῦ πατρός μου, δεικνύων ὅτι ἐξουσιάζει, ὡς υἱὸς, τῶν τοῦ πατρὸς πάντων. κολλυβισταὶ δέ εἰσιν οἱ τὰ λεπτὰ νομίσματα πωλοῦντες, ἤτοι τοὺς νούμμους. κόλλυβος γὰρ λέγεται τὸ λεπτὸν νόμισμα παρ' Ἕλλησιν, ὃ Ῥωμαῖοι νοῦμμον ὀνομάζουσι. πολλοὶ καὶ τῶν ἀρχιερέων ἁμαρτάνουσι τοιαῦτα, οἷα τότε οἱ κάπηλοι, τοὺς βόας πωλοῦντες ἐν τῇ ἐκκλησίᾳ, λέγω δὴ τοὺς ἐν λόγῳ διδασκαλικῷ διαπρέποντας μὴ περιποιούμενοι, ἀλλ' ἐκδιδόντες τοῖς κακουργεῖν βουλομένοις. ἀλλὰ καὶ τὰ πρόβατα, τὸν ἀφελέστερον καὶ κοινὸν λαὸν, καὶ τὰς περιστερὰς, τὰ πνευματικὰ φημὶ χαρίσματα, ἀπεμπολοῦντες, καὶ τοὺς πλείονα διδόντας, τοῖς μείζοσι βαθμοῖς ἐγκατατάττοντες, οὓς ὁ κύριος ἐκβάλλει τοῦ ἱεροῦ, ἀναξίους τῆς ἀρχιερωσύνης κρίνων. ἀλλὰ κἄν τις κέρμα καὶ νόμισμα, ἤτοι δόγμα καὶ λόγον πωλῇ, καὶ τυχὸν διδάσκαλος ὢν, οὐ καταγγέλλει τὸν λόγον, εἰ μὴ κέρδος ἔχει, καὶ τούτου τὴν τράπεζαν ἀνατρέπει ὁ κύριος, τὸν θρόνον λέγω τῆς διδασκαλίας, καὶ τὸν λόγον, οὗ ἐκεῖνος συνέχει διὰ κακίαν, μὴ διδοὺς αὐτὸν πᾶσιν, ὃν ὁ κύριος Ἰησοῦς ἐκχέει διὰ φιλανθρωπίαν, καὶ τοῖς λαοῖς δίδωσιν, ἐκεῖνον μὲν παραλύων τῆς ἀρχῆς, ἄλλον δὲ τὸν ἄξιον ἐπὶ τὸν τῆς διδασκαλίας θρόνον καθίζων. ἐμνήσθησαν δὲ οἱ μαθηταὶ, ὅτι γεγραμμένον ἐστὶν, ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. κατὰ βραχὺ γὰρ τῇ ἐπὶ τὸ κρεῖττον ἐπιδόσει λαμβάνοντες, ἤδη καὶ τῶν γραφῶν ἀναμιμνήσκονται, κἀκεῖθεν τὰς μαρτυρίας λαμβάνοντες, βεβαιοτέραν τὴν περὶ Χριστοῦ γνῶσιν καθιστῶσιν ἑαυτοῖς.

» Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ, τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα
» ποιεῖς; ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν
» ἡμέραις ἐγερῶ αὐτόν. εἶπον οὖν οἱ Ἰουδαῖοι, τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη
» ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ
» τοῦ σώματος αὐτοῦ. ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι τοῦτο
» ἔλεγεν αὐτοῖς, καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς.

Ἐπειδὴ ἔβλεπον τὸν κύριον οἱ Ἰουδαῖοι μετὰ πολλῆς ἐξουσίας ταῦτα ποιοῦντα,

Ματθ. κα΄.

καὶ λέγοντα τὸν οἶκον τοῦ πατρός μου μὴ ποιεῖτε ἐμπόριον, φασί. πεῖσον ἡμᾶς διά τινος σημείου, ὅτι υἱὸς εἶ τοῦ θεοῦ, καὶ ὅτι ἐκεῖθεν ἐπέμφθης· πόθεν γὰρ δῆλον, ὅτι πατήρ σου ἐστὶν ὁ τοῦ οἴκου τούτου κύριος; ὁ δὲ αἰνιγματωδῶς αὐτοῖς ἀποκρίνεται, λύσατε, λέγων, τὸν ναὸν τοῦτον, τὸ σῶμα πάντως λέγων αὐτοῦ, ἐπειδὴ ἐν αὐτῷ κατῴκει πᾶσα ἡ θεότης τοῦ μονογενοῦς. εἰπὼν δὲ λύσατε, οὐ προτρέπει αὐτοὺς εἰς μιαιφονίαν, ἄπαγε, ἀλλ' ἐπεὶ πρὸ ἠπίστατο δράσοντας τοῦτο, ἀνυπερθέτως αὐτοῦ τὸ συμβησόμενον ὑπαινίττεται. ἀκουέτωσαν καὶ ἀρειανοί, πῶς ὁ κύριος καὶ τοῦ θανάτου καταλύτης, φησὶ τὸ ἐγερῶ, οὐ γὰρ εἶπεν, ὅτι ἐγερεῖ ὁ πατήρ, ἀλλ' εἶπεν ὅτι ἐγερῶ ἐγώ, τῇ οἰκείᾳ δυνάμει χρώμενος, καὶ οὐκ ἄλλως ἔξωθεν προσδεόμενος. οἱ δὲ Ἰουδαῖοι περὶ τοῦ ἀψύχου ναοῦ δοκοῦντες αὐτὸν λέγειν, καταγελῶσιν αὐτοῦ· διὰ γὰρ τεσσαράκοντα καὶ ἓξ ἐτῶν οἰκοδομηθέντα. πῶς, φασί, λέγεις αὐτὸν ἐν τρισὶν ἡμέραις ἐγείρειν; Ἰστέον δὲ ὅτι ὅτε

γ'·Βασ·ιϛ'· μὲν πρὸ τοῦ Σολομῶντος ᾠκοδομήθη ὁ ναὸς τὸ πρῶτον, διὰ εἴκοσι ἐτῶν πάντα αὐτοῦ

ζ'.Εσδρ.α·ζ' δεόντως ἀπηρτίσθησαν, ὕστερον δὲ μετὰ τὴν αἰχμαλωσίαν λαβόντες Ἑβραῖοι ἐξουσίαν οἰκοδομῆσαι αὐτόν, ἤρξαντο μὲν ἐπὶ τῆς βασιλείας κύρου ἀνοικοδομεῖν, εἶτα ἐμποδιζόμενοι παρὰ τῶν διαφθονούντων αὐτοῖς, παρέτειναν τὴν οἰκοδομὴν ἄχρι τῆς ἀρταξέρξου βασιλείας· ἐπὶ τούτου δὲ πάσης ἀδείας ἀπολαύσαντες, μετὰ πολλῆς σπουδῆς ἠδυνήθησαν ἐκτελέσαι τὸ ἔργον, ὅτε δὴ καὶ λέγονται τοὺς Ἰουδαίους κτίζοντας, τῇ μὲν

Νεέμ. δ'. ἑτέρᾳ τοῖν χεροῖν δόρυ, θατέρᾳ δὲ οἰκοδομικὸν ἐργαλεῖον κατέχειν, οὕτως ἦσαν ἐν φόβῳ πολλῷ τοὺς πλησιοχώρους δεδοικότες Ἰδουμαίους, οὔτι που τοὺς πέρσας, παρ' ἐκείνων γάρ, ὡς εἴπον, φημὶ δὴ τῶν περσῶν ἄδειαν πᾶσαν ἔλαβον· ταύτην τοίνυν τὴν οἰκοδομὴν τὴν μετὰ τὴν αἰχμαλωσίαν φασὶν ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσι γενέσθαι, ὡς κωλυθέντων τῶν Ἰουδαίων, καὶ διὰ τοῦτο παρατειναντῶν ἀπὸ τῆς κύρου βασιλείας ἄχρι καὶ τῆς ἀρταξέρξου. καὶ οὐ θαυμαστόν, εἴπερ οἱ Ἰουδαῖοι οὐκ ἔγνωσαν, ὅπουγε οὐδὲ οἱ μαθηταί. καὶ γὰρ δύο αὐτοὺς τὰ μέγιστα ἐνεπόδιζον, ἓν μὲν τὸ περὶ τῆς ἀναστάσεως δυσκατάληπτον ὄν, μᾶλλον δὲ παντάπασιν ἄγνωστον αὐτοῖς, ἕτερον δέ, ὅτι θεὸς ἐστὶν ὁ ἐνοικῶν τῷ σώματι. μετὰ μέντοι τὴν ἀνάστασιν ἔγνωσαν οἱ μαθηταί, καὶ ἐπίστευσαν τῇ γραφῇ. ποίᾳ γραφῇ; καὶ πάσῃ μὲν τῇ περὶ τῆς ἀναστάσεως διαλαμ-

Ψαλ·ιέ· βανούσῃ, προδηλότατα δὲ τῇ, οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην. καὶ τῇ,

Ησα·νγ'· κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, καὶ δεῖξαι αὐτῷ φῶς. ἐμφανέστατα γὰρ αὗται αἱ γραφαὶ περὶ τῆς ἀναστάσεως διαλαμβάνουσιν. ἀπολινάριος δὲ ἐντεῦθεν πειρᾶται συνηγορίαν εὑρέσθαι τῆς οἰκείας αἱρέσεως. θέλων γὰρ συστῆσαι, ὅτι ἄψυχος ἦν ἡ τοῦ κυρίου σάρξ, φησίν, ὅτι ἐπειδὴ ναὸς λέγεται ἡ σάρξ, ἄψυχος δὲ ὁ ναός, ἄψυχος ἄρα καὶ αὕτη. ἐμβρόντητε, καὶ πολύτροπε, σὺ δὲ καὶ ξύλα, καὶ λίθοις ποιήσεις τὴν τοῦ κυρίου σάρκα, ἐπειδὴ ἐκ τούτων ὁ ναός· ὅταν δὲ ἀκούσῃς τοῦ κυρίου νῦν ἡ ψυχή μου τετάρακται, καὶ ὅτι ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, πῶς ταῦτα νοεῖς;

Ἰωάν·ιβ'· εἰ δὲ οὐ περὶ τῆς λογικῆς καὶ νοερᾶς ταῦτα ψυχῆς φῂς λέγεσθαι, τό, πάτερ εἰς χεῖ-

Ἰωάν·ί· ράς σου παρατίθημι τὸ πνεῦμά μου, ποῦ θήσεις; οὐ γὰρ δήπου περὶ τῆς ἀλόγου ψυ-

Λουκ·κγ'· χῆς καὶ τοῦτο νοήσεις. τὸ δὲ οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην πῶς δοκεῖ;

Ψαλ·ιέ· ἀλλὰ σὺ μὲν φθείρου μετὰ τῶν σῶν·

Κεφάλαιον, τρίτον·

» Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ
» ὄνομα αὐτοῦ, θεωροῦντες τὰ σημεῖα ἃ ἐποίει. αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυ-
» τὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τὶς μαρτυρήσῃ
» περὶ τοῦ ἀνθρώπου, αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τῷ ἀνθρώπῳ. ἦν δὲ ἄνθρωπος ἐκ τῶν

φαρισαίων,

Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων. οὗτος ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτὸς, καὶ εἶπεν αὐτῷ ῥαββεὶ, οἴδαμεν, ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος, οὐδεὶς γὰρ ταῦτα σημεῖα ταῦτα δύναται ποιεῖν, ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ ·

Ἔδοξαν μὲν πολλοὶ πιστεύειν εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ, ὅτε ἦν ἐν τῇ ἑορτῇ, ἀλλ' οὐ βεβαία ἦν ἡ πίστις αὐτῶν. πρὸς καιρὸν γὰρ προσέχοντες τῷ Χριστῷ οὐχ ὡς θεῷ, ἀλλ' ὡς ἀνθρώπῳ θεοφορουμένῳ· πάλιν καὶ ταύτης αὐτῆς τῆς οὐδαμινῆς πίστεως ἐξέπιπτον· ὅτι δὲ τοιοῦτοι ἦσαν, δῆλον ἐκ τῶν ἑξῆς, αὐτὸς γάρ, φησιν, ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, οὐδὲ ὡς τῷ ὄντι πιστοῖς πάντα τὰ δόγματα ἐνεχείριζεν, ἐμβατεύων ταῖς καρδίαις αὐτῶν, καὶ γινώσκων τί ἦν ἐν αὐταῖς περὶ αὐτοῦ, οὐ γὰρ διελάνθανεν αὐτὸν οἷος ἦν ὁ λογισμὸς ἐν ἑκάστῳ ἀνθρώπῳ τῷ δοκοῦντι πιστεύειν. σχεδὸν δὲ καὶ Νικόδημος τοιοῦτος ἦν· ἐπίστευε μὲν γὰρ καὶ οὗτος τῷ Ἰησοῦ, καὶ φαίνεται πρὸς τοὺς Ἰουδαίους Ἰωάν. ζ'.
ὑπὲρ τοῦ κυρίου λέγων, ὅτι δεῖ μετὰ ἐρεύνης καὶ ἐξετάσεως καταδικάσαι αὐτόν. ἀλλὰ καὶ μετὰ τὸν σταυρὸν πολλὴν ἐπιμέλειαν, καὶ φιλοτιμίαν πρὸς τὸν ἐνταφιασμὸν ἐνδείκνυται, οὐ μέντοιγε, ὡς ἐχρῆν, ἐπίστευσεν, ἀλλ' ἔτι τῆς ἰουδαϊκῆς ἀσθενείας ἐχόμενος, νύκτωρ μὲν ἔρχεται πρὸς τὸν Ἰησοῦν διὰ τὸν φόβον τῶν ἰουδαίων. διδάσκαλον δὲ αὐτὸν ἀποκαλεῖ, ὡς ψιλὸν ἄνθρωπον, τοιαύτην γὰρ ὑπόληψιν εἶχε περὶ αὐτοῦ, διὸ καὶ ἐπάγει, ὅτι οὐδεὶς δύναται ταῦτα ποιεῖν, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ. ὁρᾷς, ὅτι ὡς ἀνθρώπῳ προφήτῃ, καὶ παρὰ τοῦ θεοῦ ἀγαπωμένῳ πρόσεισι τῷ Ἰησοῦ; τί οὖν ὁ κύριος; οὐκ ἐλέγχει αὐτὸν ἐπιπληκτικῶς, οὐ δέ φησι διὰ τί οὖν πρὸς τὸν ἐκ θεοῦ ἀποσταλέντα διδάσκαλον ἔρχῃ νυκτός; διατί μὴ παῤῥησιάζῃ; οὐδὲν τούτων φησὶν, ἀλλ' ἱλαρῶς αὐτῷ περὶ θείων καὶ ὑψηλῶν διαλέγεται. σημείωσαι δὲ, ὅτι πολλὰ θαύματα ποιοῦντος τοῦ χριστοῦ, οὐδὲν τούτων ὁ παρὼν εὐαγγελιστὴς διηγεῖται, ἢ ὡς τοῖς ἄλλοις εὐαγγελισταῖς ῥηθέντων, ἢ ὡς τὴν κατὰ μέρος ἀφήγησιν ὑπερβαινόντων ·

Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ · Δοκεῖ τὰ παρὰ τοῦ σωτῆρος πρὸς τὸν νικόδημον ῥηθέντα, οὐδεμίαν κοινωνίαν ἔχειν πρὸς ἃ εἴρηκεν ὁ νικόδημος, τῷ δὲ προσέχοντι, καὶ πολλὴ κοινωνία ἐμφανήσεται. ἐπεὶ γὰρ ὁ νικόδημος ὑπόληψιν εἶχε περὶ χριστοῦ ταπεινὴν, ὅτι διδάσκαλός ἐστι, καὶ ὅτι θεός ἐστι μετ' αὐτοῦ, φησὶ πρὸς αὐτὸν ὁ κύριος. ὅτι εἰκότως ἔχεις τοιαύτην ὑπόληψιν περὶ ἐμοῦ, οὔπω γὰρ ἐγεννήθης ἄνωθεν, τουτέστιν, ἐκ θεοῦ πνευματικὴν γέννησιν, ἀλλ' ἔτι σαρκικὸς εἶ, καὶ ἡ γνῶσις, ἣν ἔχεις περὶ ἐμοῦ, οὐκ ἔστι πνευματική. ἀλλὰ ψυχικὴ καὶ ἀνθρωπική. ἐγὼ δὲ λέγω σοι, ὅτι καὶ σὺ καὶ ἄλλος, ὁστισοῦν ἐὰν μὴ ἄνωθεν καὶ ἐκ θεοῦ γεννηθέντες τὴν ἀξίαν δόξαν περὶ ἐμοῦ λάβοιτε, ἔξω τῆς βασιλείας ἐστέ. ἡ γὰρ διὰ τοῦ βαπτίσματος γέννησις, φωτισμὸν ἐμποιοῦσα τῇ ψυχῇ, τὴν τοῦ θεοῦ βασιλείαν, ἤτοι τὸν μονογενῆ υἱὸν αὐτοῦ βλέπειν, τουτέστι, νοεῖν δίδωσιν. ὥσπερ γὰρ θεοῦ σοφία ὁ υἱὸς, οὕτω δὴ καὶ βασιλεία θεοῦ αὐτὸς ἂν λέγοιτο. ταύτην δὲ τὴν βασιλείαν οὐκ ἂν ἴδοι τίς, τουτέστι νοήσοι ὦ νικόδημε, εἰ μὴ γεννηθῇ ἐκ τοῦ θεοῦ. ὥστε καὶ σὺ, ἐπεὶ οὐκ ἐγεννήθης οὔπω πνευματικῶς, διὰ τοῦτο οὐ βλέπεις ἐμὲ, τὴν βασιλείαν τοῦ θεοῦ καθὰ δεῖ, ἀλλὰ ταπεινὴν δόξαν ἔχεις περὶ ἐμοῦ ·

Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος, πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι; ἀπεκρίθη Ἰησοῦς, ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν · Ἀκούων ὁ Νικόδημος μείζω ἀνθρωπίνης διδασκαλίας, ἐκπλήττεται, καὶ παθὼν ἀνθρώπινον πάθος, ἐρωτᾷ. πῶς δύνα

ται; ὅπερ ἀπιστίας ἐστὶ σημεῖον, ὅπου γὰρ πίστις οὐκ ἔστιν, ἐκεῖ τὸ, πῶς τόδε; καὶ διατί τόδε; διὸ καὶ καταγέλαστα τὰ τοῦ Νικοδήμου ῥήματα φαίνονται, οὐ γὰρ ἐνενόησε γέννησιν πνευματικὴν, ἀλλὰ γαστρὸς σωματικῆς μέμνηται. ἐπεὶ γὰρ ἤκουσε τὸ, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, ἐνόμισε τὸ ἄνωθεν οὕτω λέγεσθαι, ἀντὶ τοῦ ἐξ ἀρχῆς ἐκ δευτέρου. ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον, ἐὰν μή τις γεννηθῇ ἐξ ἀρχῆς καὶ ἐκ δευτέρου. διὰ τοῦτο οὖν φησὶ, πῶς δύναται γέρων ὢν δεύτερον εἰσελθεῖν εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ; δύο γὰρ ἦσαν τὰ τοιαῦτα αὐτὸν ἀπορεῖν, ἥτε γέννησις ἡ πνευματικὴ, ἥτε βασιλεία, οὐδὲ γὰρ ὄνομα βασιλείας οὐρανῶν ἠκούσθη ποτὲ παρὰ Ἰουδαίοις. τέως δ᾽ οὖν περὶ τῆς γεννήσεως ἀπορεῖ, διὸ καὶ ὁ χριστὸς σαφέστερον αὐτῷ τὸν τῆς γεννήσεως τῆς πνευματικῆς τρόπον ἀποκαλύπτει. ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος λέγων καὶ πνεύματος. διπλοῦς γὰρ ὢν ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος, διπλοῦν ἔχει καὶ τὸν τῆς γεννήσεως τρόπον, τὸ μὲν γὰρ ὕδωρ ὁρατῶς λαμβανόμενον, εἰς τὴν τοῦ σώματος κάθαρσιν νοεῖται, τὸ δὲ πνεῦμα ἀοράτως συντρέχον, εἰς τὴν τῆς ἀοράτου ψυχῆς ἀναγέννησιν. εἰ δὲ ἐρωτᾷς πῶς τὸ ὕδωρ δύναται γεννῆσαι, ἐρωτήσω κἀγὼ, πῶς τὸ σπέρμα ὑδατῶδες ὂν καὶ αὐτὸ, δύναται εἰς ἄνθρωπον διαπλασθῆναι; ὥσπερ οὖν ἐπὶ τοῦ σωματικοῦ σπέρματος τὸ πᾶν τῆς τοῦ θεοῦ χάριτος ἐστὶν, οὕτω καὶ ἐπὶ τοῦ βαπτίσματος ὕδωρ ὑπόκειται. ἀλλὰ τὸ πνεῦμα τὰ πάντα ἐνεργεῖ, καὶ ἡ διὰ τῶν εὐχῶν ἐπίκλησις, τοῦ θεοῦ δὲ μᾶλλον παρουσία. ταφῆς γὰρ καὶ ἀναστάσεως σύμβολα, καὶ εἰκὼν ἐν τῷ ὕδατι τούτῳ τελεῖται. αἱ τρεῖς καταδύσεις τῆς τριημέρου ταφῆς σύμβολα, εἶτα ἀναδύει ὁ ἄνθρωπος ὥσπερ ὁ κύριος, λαμπρότερον καὶ φαιδρότερον τὸ τῆς ἀφθαρσίας ἔνδυμα φορῶν, καὶ τὴν φθορὰν ἐγκαταβυθίσας τῷ ὕδατι.

Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμα ἐστί. μὴ θαυμάσῃς, ὅτι εἶπόν σοι, ὅτι δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει, οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος.

Ἀπάγων τὸν νικόδημον ὁ κύριος ἀπὸ τῆς σαρκικῆς γεννήσεως, φησὶ, τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι, τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμα, τουτέστι, πνευματικός ἐστιν ὁ ἄνθρωπος ὁ γεγεννημένος διὰ τοῦ βαπτίσματος, τὸ γὰρ πνεῦμα, ἀντὶ τοῦ πνευματικὸς ὀφείλεις νοῆσαι. οὐ γὰρ δὴ πνεῦμα θεῖον γίνεται ὁ βαπτισθεὶς, ἀλλὰ τὴν ἐν πνεύματι υἱοθεσίαν καὶ χάριν καὶ τιμὴν λαβὼν, τοῦ πνευματικὸς εἶναι καταξιοῦται. ὁρῶν δὲ τὸν Νικόδημον ἔτι θορυβούμενον, φησὶ, μὴ θαυμάσῃς. εἶτα ἀπὸ αἰσθητοῦ παραδείγματος πειρᾶται διδάσκειν αὐτὸν, τὸ πνεῦμα γάρ, φησιν, ὅπου θέλει πνεῖ. ἀπὸ ἀνέμου, φησὶ, μάνθανε τὰ μείζονα, ὁ γὰρ ἄνεμος, τοῦτον γὰρ ἐνταῦθα φησὶ πνεῦμα, ὅπου θέλει πνεῖ, καὶ τὸν ἦχον αὐτοῦ ἀκούεις, ἀλλ᾽ ὅμως οὐκ οἶδας τὴν φορὰν αὐτοῦ, ἀκάθε[illegible]ος γάρ ἐστι, καὶ ἀκώλυτος, καὶ φυσικῇ ἐξουσίᾳ τὴν ὁποιανδήποτε ὁρμὴν ἔχει. τὸ δὲ ὅπου θέλει πνεῖ, φησὶν, οὐχ ὡς προαιρετικοῦ ὄντος τοῦ ἀνέμου, καὶ θέλησιν ἔχοντος, ἀλλ᾽ ὡς ἔφην, τὴν ἀπὸ φύσεως αὐτῷ προσοῦσαν φορὰν, καὶ ἀκώλυτον ἐξουσίαν δεῖξαι βουλόμενος. εἰ οὖν τὸν ἄνεμον, τοῦτο δὴ τὸ αἰσθήσει ὑποπίπτον πνεῦμα ἀγνοεῖς, πῶς καὶ ποῦ πνεῖ, πῶς τὴν ἀπὸ τοῦ θείου πνεύματος ἀναγέννησιν περιεργάζῃ; εἰ τοῦτο τὸ πνεῦμα οὐ δύναται κατασχεθῆναι, πολλῷ μᾶλλον ἡ τοῦ ἁγίου πνεύματος χάρις νόμοις φύσεως οὐχ ὑπενεχθήσεται. αἰσχυνέσθω μακεδόνιος ὁ πνευματομάχος, καὶ πρὸ τούτου εὐνόμιος, ὁ μὲν δοῦλον ποιῶν τὸ πνεῦμα, καίτοιγε ἤκουσεν ἐνταῦθα, ὅτι ἄνεμος ὅπου θέλει πνεῖ, πολλῷ οὖν μᾶλλον τὸ πνεῦμα αὐτεξουσιωτέραν ἕξει τὴν κίνησιν, καὶ ὅπου θέλει, καὶ ὡς θέλει, ἐνεργήσει. ὁ δὲ εὐνόμιος αὐτάτε ταῦτα πρότερος ἁμαρτῶν, καὶ

κτίσμα

κτίσμα εἰπὼν τὸ πνεῦμα, καὶ προσέτι ἀπαυθαδιαζόμενος, οὕτω γινώσκειν θεὸν, ὡς ἑαυ
τὸν αὐτός. ἀκουέτω οὖν, ὅτι οὐδὲ τοῦ ἀνέμου τὴν φορὰν, καὶ τὴν ὁρμὴν οἶδε. πῶς οὖν θεοῦ
οὐσίας κατατολμᾷς ἀλιτήριε;

» Ἀπεκρίθη Νικόδημος, καὶ εἶπεν αὐτῷ. πῶς δύναται ταῦτα γενέσθαι; ἀπεκρίθη
» Ἰησοῦς, καὶ εἶπεν αὐτῷ. σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; ἀ-
» μὴν ἀμὴν λέγω σοι, ὅτι ὃ οἴδαμεν, λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν, μαρτυροῦμεν, καὶ τὴν
» μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς ἐὰν
» εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσητε; Ἔτι ἐπὶ τῆς ἰουδαϊκῆς εὐτελείας ὁ Νικόδη-
μος ἵσταται, διὰ τοῦτο ἐρωτᾷ πάλιν, πῶς δύναται ταῦτα γενέσθαι; διὸ καὶ ὁ κύριος
δεικνύων αὐτῷ, ὅτι ἀπὸ ἀφελείας ταῦτα φθέγγεται, φησί. σὺ διδάσκαλος ὢν τοῦ ἰ-
σραὴλ. εἰ ἀναμνησθεὶς τὰ ἐν τῇ παλαιᾷ παράδοξα θαύματα ἀπὸ τῆς τοῦ ἀνθρώπου Γενέ. α΄.
πλάσεως καὶ τὰ ἑξῆς, πῶς ἔπλασται, πῶς ἐκ πλευρᾶς ἡ γυνὴ, πῶς τὰ ἐν αἰγύπτῳ Ἐξό. ζ΄. η΄.
τεράστια, πῶς τὰ ἐν ἐρυθρᾷ, πῶς στεῖραι ἔτεκον, καὶ τὰ ὅμοια, εἰ ταῦτα ἀναλογίσῃ, ὡς θ΄.
διδάσκαλος τοῦ ἰσραὴλ, οὐδὲ περὶ ὧν λέγω νῦν ἀπιστήσεις. πλὴν ἐγὼ μὲν ὃ οἶδα Γεν. ιη΄. κε΄.
λέγω, καὶ ὃ ἑώρακα, τουτέστιν, ἀκριβῶς ἔγνωκα. οὐ γὰρ δήπου σωματικὴν ὄψιν, τὸ Κριτ. ιγ΄.
ἑωράκαμεν δηλοῖ, ἀλλὰ γνῶσιν ἀκριβεστάτην, ἀλλ᾽ ὑμεῖς τὴν μαρτυρίαν ἡμῶν, τουτέ- α΄ Βα. α΄.
στιν ἐμοῦ, οὐ λαμβάνετε. ταῦτα δὲ λέγει ὁ κύριος οὐ πρὸς τὸν Νικόδημον, ἀλλὰ πρὸς
τὸ γένος τῶν ἰουδαίων ἀποτεινόμενος τῶν ἀπιστησάντων ἄχρι τέλους. εἰ οὖν τὰ ἐπί-
γεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, τουτέστιν, εἰ περὶ τῆς ἐν τῷ βαπτίσματι γενομένης
ἀναγεννήσεως εἶπον ὑμῖν, καὶ οὐ παρεδέξασθε, ἀλλ᾽ ἠρωτήσατε τὸ, πῶς; ἐπίγειον δὲ
ταύτην τὴν γέννησιν ὀνομάζει, ὡς ἐπὶ γῆς τελουμένην πρὸς εὐεργεσίαν τῶν ἐπὶ γῆς
ἀνθρώπων. εἰ γὰρ καὶ ἐπουράνιός ἐστι κατὰ τὴν χάριν καὶ τὴν τιμὴν, ἀλλ᾽ οὖν ἐπὶ γῆς
ὄντες βαπτιζόμεθα. εἰ τοίνυν περὶ ταύτης τῆς ἐπιγείου γεννήσεως εἰπὼν, εὗρον ὑμᾶς
ἀπιστοῦντας περὶ τῆς ἐπουρανίου γεννήσεως τῆς ἀπορρήτου, ἣν ὁ μονογενὴς υἱὸς ἐ-
γεννήθην ἀπὸ τοῦ πατρὸς, ἀκούσαντες, πῶς πιστεύσετε; τινὲς δὲ ἐπίγειον τὸ τοῦ ἀνέ-
μου παράδειγμα ἐνόησαν, ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον, εἰ τὸ ὑπόδειγμα ἀπὸ τῶν
ἐπιγείων δέδωκα ὑμῖν, καὶ οὐδὲ οὕτως ἐπείσθητε, πῶς δυνήσεσθε τὰ ἀνώτερα μαθεῖν.

» Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ
» ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. Οὐδὲ τοῦτο φαίνεται ἔχειν τινὰ κοινωνίαν πρὸς τὰ πρὸ
αὐτοῦ. εἰ δέ τις ἀκριβῶς ὁρᾷ τὸν νοῦν τοῦ κυρίου, καὶ μάλα φανήσεται τοῖς πρὸ αὐ-
τοῦ κοινωνοῦν, ἐπεὶ γὰρ διδάσκαλον τὸν κύριον, καὶ προφήτην ὠνόμαζεν ὁ νικόδη-
μος, μὴ νόμιζέ με, φησὶν, ὡς προφήτην ἀπὸ γῆς ὄντα, ἐκ παρὰ θεοῦ ἀπεστάλθαι διδά-
ξοντα, ἀλλ᾽ ἄνωθέν με νόμιζε κατελθεῖν, ὡς υἱὸν, οὐκ ἀπὸ γῆς εἶναι. οὐδεὶς οὖν τῶν προφη
τῶν ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ἐγὼ μέλλω μόνος ἀναβῆναι, ὡς καὶ κατῆλθον.
υἱὸν δὲ ἀνθρώπου ἀκούσας καταβῆναι ἐξ οὐρανοῦ, μὴ νομίσῃς, ὅτι ἡ σὰρξ ἐκ τοῦ οὐρα
νοῦ κατέβη. τοῦτο γὰρ ἀπολιναρίου τοῦ δογματίσαντος τὸ σῶμα ἐξ οὐρανοῦ ἔχοντα τὸν
χριστὸν, διὰ τῆς παρθένου ἐλθεῖν ὡς διὰ σωλῆνος. ἀλλ᾽ ἐπεὶ μία ἡ ὑπόστασις, ἤγουν ἓν
πρόσωπον ἦν ὁ χριστὸς ἐκ δύο φύσεων σύνθετος, τὰ τοῦ ἀνθρώπου ὀνόματα λέγον-
ται ἐπὶ τοῦ λόγου, καὶ πάλιν τὰ τοῦ λόγου τῷ ἀνθρώπῳ προστίθενται. οὕτως οὖν κἀν-
ταῦθα ὁ υἱὸς τοῦ ἀνθρώπου λέγεται κατελθεῖν ἐξ οὐρανοῦ, ὡς ἑνὸς ὄντος τοῦ προσώ-
που, καὶ μιᾶς τῆς ὑποστάσεως. εἶτα ἵνα μὴ ἀκούσας, ὅτι κατέβη, νομίσῃς, ὡς κατα-
βὰς οὐκ ἔστι λοιπὸν ἐν οὐρανῷ, φησὶν, ὁ ὢν ἐν τῷ οὐρανῷ. μὴ γὰρ δὴ ἐπειδὴ ἤκουσας,
ὅτι κατέβη, νομίσῃς μὴ εἶναί με καὶ ἐκεῖ, ἀλλὰ κἀνταῦθα πάρειμι σωματικῶς, κἀκεῖ
συγκάθημαι τῷ πατρὶ θεϊκῶς.

Ἀριθ. κα΄. » Καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ
» ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.
Προειπὼν περὶ τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως, λέγει λοιπὸν καὶ περὶ τῆς
διὰ τοῦ σταυροῦ γενομένης ἡμῖν εὐεργεσίας. ὁ γὰρ σταυρὸς καὶ ὁ θάνατος αἴτιος ἡμῖν
τῆς διὰ τοῦ βαπτίσματος χάριτος, εἴγε βαπτιζόμενοι, τὸν θάνατον τοῦ κυρίου εἰκονίζο-
μεν. οὐ λέγει δὲ προφανῶς ὅτι μέλλω σταυρωθῆναι, ἀλλὰ τοῦ ὄφεως μέμνηται, καὶ
τῆς παλαιᾶς ἱστορίας, ἅμα μὲν διδάσκων ἡμᾶς, ὅτι συγγενῆ τὰ παλαιὰ τῆς και-
νῆς, καὶ εἷς καὶ ὁ αὐτός ἐστι νομοθέτης παλαιᾶς τε καὶ νέας διαθήκης, κἂν μαρκίων,
καὶ μάνης, καὶ ὁ λοιπὸς τῶν τοιούτων αἱρετικῶν κατάλογος ἀθετῶσι τὴν παλαιὰν,
τοῦ πονηροῦ δημιουργοῦ λέγοντες αὐτὴν εἶναι νομοθεσίαν, ἅμα δὲ καὶ παιδεύων, ὅτι
εἰ πρὸς εἰκόνα χαλκῆν βλέποντες ὄφεως ἰουδαῖοι τὸν θάνατον ἔφευγον, πολλῷ μᾶλ
λον ἡμεῖς εἰς τὸν ἐσταυρωμένον βλέποντες, καὶ πιστεύοντες, τὸν ψυχικὸν ἐκφευγόμεθα
θάνατον. ὅρα δέ μοι τὸν τύπον πρὸς τὴν ἀλήθειαν. ἐκεῖ ὄφεως ὁμοίωμα, εἶδος μὲν
ἔχον θηρίου, τὸν ἰὸν δὲ οὐκ ἔχον. οὕτω κἀνταῦθα ἄνθρωπος ὁ κύριος, ἀλλ' ἁμαρτίας ἰοῦ
Πρὸς Ῥω. η΄. ἐλεύθερος, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἐλθὼν, τουτέστιν, ἐν ὁμοιώματι σαρκὸς
ἁμαρτίᾳ ὑποκειμένης, ἀλλ' οὐχὶ σὰρξ ἁμαρτίας ὑπάρχων. καὶ τότε μὲν οἱ ὁρῶντες,
σωματικὸν, ἡμεῖς δὲ ψυχικὸν ἐκφευγόμεθα θάνατον. καὶ τότε μὲν, δήγματα ὄφεων
ἰᾶτο ὁ κρεμάμενος, νῦν δὲ τοῦ νοητοῦ δράκοντος τὰς πληγὰς θεραπεύει χριστός. ὑψω-
θῆναι δὲ ἀκούων, νόει τὸ κρεμασθῆναι. ἐφ' ὕψους γὰρ ἐκρεμάσθη, ἵνα καὶ τὸν ἀέρα
ἁγιάσῃ, ὁ τὴν γῆν ἁγιάσας διὰ τοῦ ἐπ' αὐτῆς περιπατῆσαι. νόει δὲ καὶ τὸ δοξασθῆ-
ναι, καὶ γὰρ οὕτως ὕψος καὶ δόξα τοῦ χριστοῦ ὁ σταυρὸς γέγονεν, ἐν ᾧ γὰρ ἐδόκει κατα-
κριθῆναι, ἐν τούτῳ κατέκρινε τὸν ἄρχοντα τοῦ κόσμου τούτου. οἷον τί λέγω, ὁ Ἀδὰμ
δικαίως ἀπέθανεν, ἥμαρτε γὰρ, ὁ κύριος ἀδίκως ἀπέθανεν, οὐχ ἥμαρτε γάρ. μέχρι μὲν
οὖν τῆς τοῦ κυρίου σταυρώσεως, δικαίως κατεκράτει τῶν ἀνθρώπων ὁ θάνατος, ἐπεὶ δὲ
ἀναμάρτητος εὑρέθη ὁ κύριος, τί λοιπὸν δίκαιον ἐπ' αὐτῷ εἶχεν ὁ διάβολος, ἵνα θα-
νατώσῃ αὐτόν; ὥστε ἐπεὶ ἀδίκως ἐθανατώθη, νενίκηκε τὸν θανατώσαντα αὐτὸν, καὶ
οὕτως ἠλευθέρωσε καὶ τὸν Ἀδὰμ ἐκ τοῦ θανάτου, τοῦ δικαίως ἐπαχθέντος αὐτῷ, ὡς ἁ-
μαρτήσαντι. καὶ ἄλλως δὲ, δύο ἦσαν τὰ κρατοῦντα τοῦ ἀνθρωπίνου γένους, ἡδονὴ, καὶ
λύπη, διὰ δὴ τοίνυν τῶν δύο τούτων ἐλθὼν ὁ κύριος, ἀήττητος εὑρέθη. προσέβαλε
μὲν γὰρ αὐτῷ πρότερον ἐν τῷ ὄρει ὁ πειράζων δι' ἡδονῆς, εὑρὼν δὲ ταύτῃ ἀνάλωτον,
ὕστερον τὸ μέγα μηχάνημα, τὴν λύπην προσήγαγεν, ἵνα κἂν διὰ ταύτης γοῦν κρατή-
σῃ αὐτοῦ, καὶ διὰ τοῦτο παρεκίνησε πάντα κατ' αὐτοῦ, τοὺς μαθητὰς ἀρνήσασθαι, τοὺς
στρατιώτας ἐμπαίζειν, τοὺς παραπορευομένους βλασφημεῖν, καὶ ἁπλῶς τοὺς ἰουδαίους
θανατῶσαι, ἀλλὰ καὶ οὕτως εὗρεν αὐτὸν ἀήττητον, οὐ γὰρ ἠδυνήθη ἐν τῷ σταυρῷ λύ-
Λου. κγ΄. πῃ πεῖσαι τὸν κύριον μισῆσαι τοὺς σταυροῦντας, ἀλλὰ γὰρ ἠγάπα πάλιν καὶ ὑπερηύ-
χετο λέγων, μὴ στήσῃς αὐτοῖς πάτερ τὴν ἁμαρτίαν ταύτην. ὁρᾷς πῶς νενίκηκεν ἐν ᾧ
ἐδόκει ἡττᾶσθαι; οὕτως οὖν καὶ ὕψωσις αὐτοῦ, καὶ δόξα γέγονεν ὁ σταυρός.
» Οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵ-
» να πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. οὐ γὰρ ἀπέστει-
» λεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος
» δι' αὐτοῦ. Πολλὴ ἡ τῆς ἀγάπης τοῦ θεοῦ πρὸς τὸν κόσμον ἐπίτασις, καὶ τοσαύτη,
ὥστε οὐκ ἄγγελον, οὐ προφήτην δοῦναι, ἀλλὰ τὸν υἱὸν αὐτοῦ, καὶ τοῦτον μονογενῆ. καὶ
ἄγγελον μὲν γὰρ εἰ ἔδωκεν, οὐδὲν οὕτω μικρὸν ἦν τὸ πρᾶγμα. διατί; διότι ὁ μὲν ἄγ-
γελος, διάκονος αὐτοῦ πιστὸς καὶ ὑπηρέτης, ἡμεῖς δὲ ἐχθροὶ καὶ ἀποστάται, νῦν δὲ υἱὸν
δοὺς,

δοὺς, ποίαν ὑπερβολὴν ἀγάπης παρῆκεν; πάλιν, εἰ πολλοὺς ἔχων υἱοὺς, ἕνα δέδωκε,
καὶ τοῦτο ὑπέρμεγα, νῦν δὲ τὸν μονογενῆ δέδωκεν, ἆρα οὖν ἐστὶν ἀξίως ὑμνῆσαι τὴν ἀ-
γαθότητα; οἱ δὲ ἀρειανοὶ λέγουσιν ὅτι μονογενὴς λέγεται, διότι αὐτὸς μόνος γέγονε,
καὶ ἐκτίσθη ὑπὸ θεοῦ, τὰ δ᾽ ἄλλα πάντα ὑπ᾽ αὐτοῦ, πρὸς οὓς ἁπλοῦς ὁ λόγος, ὅτι
εἰ μὲν μονογενὴς ἐλέγετο χωρὶς τοῦ υἱὸς, εἶχεν ἂν λόγον τὸ κομψὸν ὑμῶν εὕρημα, νῦν
δὲ μετὰ τοῦ μονογενοῦς καὶ τὸ υἱὸς λεγόμενον οὐ δίδωσιν οὕτω νοεῖν τὸν μονογενῆ, ἀλλὰ
τὸν μόνον γεννηθέντα ἐκ τοῦ πατρός. ὅρα δέ μοι, ὅτι ὥσπερ ἄνω εἶπεν, ὅτι ὁ υἱὸς τοῦ ἀν-
θρώπου κατέβη ἐκ τοῦ οὐρανοῦ, καίτοι οὐ κατέβη ἡ σὰρξ ἐκ τοῦ οὐρανοῦ, ἀλλ᾽ ὅμως διὰ
τὸ ἓν πρόσωπον, καὶ τὴν μίαν ὑπόστασιν τὰ τοῦ θεοῦ προσέθηκε τῷ ἀνθρώπῳ, οὕτω
κἀνταῦθα τὸ ἔμπαλιν τὰ τοῦ ἀνθρώπου προστίθησι τῷ θεῷ λόγῳ. ἔδωκε γάρ φησιν,
ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς θάνατον, καίτοι ὁ θεὸς, ἀπαθὴς διέμεινεν, ἀλλ᾽ ἐπεὶ εἷς καὶ ὁ
αὐτὸς καθ᾽ ὑπόστασιν ἦν ὅτε τοῦ θεοῦ λόγος, καὶ ὁ τὰ πάθη ὑφιστάμενος ἄνθρωπος, ὁ
υἱὸς λέγεται δεδόσθαι, ὃς καὶ ἀληθῶς ἔπαθεν οὐ τῇ οἰκείᾳ σαρκί. τί δὲ τὸ κέρδος τοῦ
δοθῆναι τὸν υἱόν; ὡς μέγα καὶ ὑπὲρ ἔννοιαν ἀνθρωπίνην, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν,
δύο ταῦτα κερδάνῃ, ἓν μὲν, τὸ μὴ ἀπολέσθαι, ἕτερον δὲ, τὸ καὶ ζωὴν ἔχειν, καὶ ταύ-
την αἰώνιον. ἡ μὲν γὰρ παλαιὰ τοῖς ἐν ταύτῃ εὐαρεστοῦσι τῷ θεῷ, μακρότητος
ἡμερῶν ἐμπιπλᾶν ὑπισχνεῖτο, τὸ δὲ εὐαγγέλιον. οὐ προσκαίρῳ ζωῇ φιλοτιμεῖται, ἀλ-
λὰ καὶ αἰωνίῳ καὶ ἀκαταλύτῳ. ἐπεὶ δὲ δύο εἰσὶν αἱ Χριστοῦ παρουσίαι, ἥτε ἤδη γεγε-
νημένη, καὶ ἡ μέλλουσα, περὶ τῆς προτέρας λέγει παρουσίας, ὅτι οὐκ ἀπεστάλη ὁ υἱὸς,
ἵνα κατακρίνῃ τὸν κόσμον. ἐπεὶ εἰ ἐπὶ τοῦτο ἦλθε, πάντες ἂν κατεκρίθησαν, πάντες γὰρ
ἥμαρτον, καθὰ καὶ Παῦλός φησιν, ἀλλὰ προηγουμένως ἐπὶ τὸ σῶσαι τὸν κόσμον ἦλθε. Πρὸς ῥω. γ'.
καὶ τοῦτο σκοπὸς ἦν αὐτῷ, κατὰ συμβεβηκὸς δὲ κρίνει τοὺς μὴ πιστεύσαντας. ὁ μέντοι
Μωσαϊκὸς νόμος προηγουμένως εἰς ἔλεγχον τῆς ἁμαρτίας ἦλθε καὶ κατάκρισιν τῶν
παραβαινόντων. οὐδενὶ γὰρ συνεχώρει, ἀλλ᾽ ἅμα τε εὗρεν ἁμαρτάνοντά τι, καὶ ἅμα
τὴν δίκην ἐπῆγεν. ἡ μὲν οὖν πρώτη παρουσία οὐκ εἶχε σκοπὸν τὸ κρίνειν, εἰ μὴ κατὰ
συμβεβηκὸς τοὺς ἀπιστήσαντας, οὗτοι γὰρ ἤδη κέκρινται, ἡ δέ γε δευτέρα παρουσία,
πάντως ἐπὶ τῷ πάντας κρίναι, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, γενήσεται.

» Ὁ πιστεύων εἰς τὸν υἱὸν, οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται. ὅτι μὴ πεπίστευ-
» κεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. Τί ἐστιν ὁ πιστεύων εἰς τὸν υἱὸν οὐ κρίνε-
ται; ἆρα γὰρ ἐὰν ἀκάθαρτον ἔχῃ βίον, οὐ κρίνεται; μάλιστα μὲν τοὺς τοιούτους οὐδὲ
γνησίους πιστοὺς ὁ Παῦλός φησι, θεὸν γάρ φησιν, ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρ- Πρὸς τί. α'.
νοῦνται. πλὴν ἐνταῦθα τοῦτό φησιν, ὅτι κατ᾽ αὐτὸ τοῦτο τὸ πιστεῦσαι, οὐ κρίνεται, τῶν
μέντοι πονηρῶν ἔργων χαλεπωτέρας εὐθύνας δώσει. ἀπιστίας δὲ ἕνεκεν οὐ κολάζε-
ται, ἅπαξ γὰρ ἐπίστευσεν. ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται. πῶς; πρῶτον μὲν, ὅτι καὶ αὕ-
τη ἡ ἀπιστία κατάκρισίς ἐστι, τὸ γὰρ ἐκτὸς εἶναι τοῦ φωτὸς, αὐτὸ μόνον τιμωρία μεγίστη.
ἔπειτα εἰ μὴ καὶ ἐντεῦθεν ἤδη τῇ γεέννῃ δίδοται, ἀλλ᾽ οὖν τὰς ἀφορμὰς τῆς μελλού-
σης τιμωρίας ἐντεῦθεν συνῆξε. καθάπερ καὶ ὁ φονεὺς, κἂν μὴ τῇ ψήφῳ τοῦ κρίνοντος
καταδικασθῇ, τῇ τοῦ πράγματος καταδεδίκασται φύσει. καὶ ὁ Ἀδὰμ δὲ, ᾗ ἡμέρα ἔ- Γενέ. γ'.
φαγεν ἀπὸ τοῦ ξύλου, ἀπέθανε, καίτοι ἔζη, ἀλλὰ τῇ ἀποφάσει καὶ τῇ τοῦ πράγμα-
τος φύσει τεθνηκὼς ἦν. πᾶς οὖν ἄπιστος κατάκριτός ἐστιν ἐντεῦθεν ἤδη, ὡς τῇ κολάσει
πάντως παραδοθησόμενος, καὶ οὐδὲ εἰς κρίσιν ἀχθησόμενος, κατὰ τὸ, οὐκ ἀναστήσον-
ται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ γὰρ λόγου ἀξιοῦνται οἱ ἀσεβεῖς, ὥσπερ οὐδὲ ὁ διάβολος. Ψαλ. α'.
ἐν κρίσει μὲν οὖν οὐκ ἀναστήσονται, ἐν κατακρίσει δέ. οὕτω καὶ ἐν τῷ εὐαγγελίῳ φη-
σὶν ὁ κύριος, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου ἤδη κέκριται, οὐ μόνον ὡς αὐτὸς ἀπιστή- Ἰωάν. ις'.

σας, ἀλλὰ καὶ τὸν Ἰούδαν προδότην ποιήσας, καὶ τοῖς ἄλλοις τῆς ἀπωλείας γεγονὼς πρόξενος. εἰ δὲ ὁ κύριος ἐν παραβολαῖς εἰσάγει τοὺς κολασθησομένους λόγου ἀξιουμένους, μὴ θαυμάσῃς, πρῶτον μὲν ὅτι παραβολαί εἰσι τὰ λεγόμενα, καὶ οὐ δεῖ πάντα τὰ ἐν παραβολαῖς λεγόμενα, ὡς νόμους καὶ κανόνας παραλαμβάνειν, ἐν γὰρ τῇ ἡμέρᾳ ἐκείνῃ ἕκαστος τὸ συνειδὸς ἔχων ἀπαραλόγιστον δικαστὴν, οὐ δεῖται ἑτέρου ἐλέγχου, ἀλλ' ἐγκεχαλινωμένος αὐτὸς ὑφ' ἑαυτοῦ ἄπεισιν. ἔπειτα οὐκ ἀπίστους εἰσάγει ὁ κύριος ἀξιουμένους λόγου, ἀλλὰ πιστοὺς μὲν, ἀσπλάγχνους δὲ καὶ ἀνελεήμονας. ἡμεῖς δὲ περὶ ἀσεβῶν καὶ ἀπίστων λέγομεν, ἕτερον δὲ ἀσεβὴς καὶ ἄπιστος, καὶ ἕτερον ἀνελεήμων, καὶ ἁμαρτωλός.

» Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἦλθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι
» μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς, ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. πᾶς γὰρ ὁ φαῦλα
» πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐ-
» τοῦ. ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα,
» ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα.

Δείκνυσιν ἐνταῦθα πάσης ἀπολογίας ἐστερημένους, τοὺς μὴ πιστεύσαντας, αὕτη γάρ ἐστιν ἡ κατάκρισις, φησὶν, ὅτι ἦλθε πρὸς αὐτοὺς τὸ φῶς, καὶ οὐδὲ οὕτως προσέδραμον αὐτῷ. οὐ γὰρ τοῦτο μόνον ἥμαρτον, ὅτι οὐκ ἐζήτησαν αὐτοὶ τὸ φῶς, ἀλλὰ τὸ χεῖρον τοῦτό ἐστιν, ὅτι ἐκεῖνος ἦλθε πρὸς αὐτοὺς, καὶ ὅμως οὐ παρεδέξαντο. διὰ τοῦτο καὶ κατακεκριμένοι εἰσὶν, εἰ μὲν γὰρ μὴ ἦλθε τὸ φῶς, εἶχον ἂν οἱ ἄνθρωποι ἄγνοιαν τοῦ καλοῦ προβαλέσθαι, ἐπεὶ δὲ ἦλθε μὲν ὁ θεὸς λόγος, δέδωκε δὲ τὸν λόγον αὐτοῦ, ὥστε φωτίζειν, οὐ παρεδέξαντο δὲ, πάσης ἀπολογίας λοιπὸν ἐστέρηνται. ἵνα δὲ μή τις εἴποι, ὅτι οὐδεὶς ἂν τὸ σκότος προτιμήσειε τοῦ φωτὸς, τίθησι καὶ τὴν αἰτίαν, ἀφ' ἧς οἱ ἄνθρωποι τῷ σκότει προσῆλθον, ἦν γάρ φησι, πονηρὰ αὐτῶν τὰ ἔργα. ἐπειδὴ γὰρ ὁ χριστιανισμὸς οὐ μόνον δόγματα ὀρθὰ, ἀλλὰ καὶ πολιτείαν σεμνὴν ἀπαιτεῖ, αὐτοὶ δὲ ἠβούλοντο τῷ βορβόρῳ τῆς ἁμαρτίας ἐγκυλίεσθαι, διὰ τοῦτο οὐκ ἠθέλησαν οἱ τὰ φαῦλα πράσσοντες, πρὸς τὸ φῶς τοῦ χριστιανισμοῦ ἐλθεῖν, καὶ τοῖς ἐμοῖς νόμοις ὑποβαλεῖν ἑαυτούς. ὁ δέ γε ποιῶν τὴν ἀλήθειαν, ὁ πρὸς βίον δηλαδὴ νεύων σεμνὸν καὶ θεάρεστον, προστρέχει τῷ χριστιανισμῷ ὡς φωτὶ, ἵνα μᾶλλον ἐν τῷ ἀγαθῷ προκόψῃ, καὶ φανῇ αὐτοῦ τὰ ἔργα κατὰ θεόν. ὁ γὰρ τοιοῦτος μετὰ τοῦ πιστεύειν ὀρθῶς, καὶ πολιτείαν σεμνὴν κατορθῶν, λάμπει πᾶσιν ἀνθρώποις, καὶ δοξάζεται θεὸς ἐν αὐτῷ, ὥστε τῆς ἀπιστίας αἰτία γέγονε τοῖς ἕλλησιν ἡ ἀκαθαρσία τοῦ βίου. ἀλλ' ἴσως ἐρεῖ τις, τί οὖν, οὐκ εἰσὶ χριστιανοὶ φαῦλοι, καὶ ἕλληνες ἐπαινετοὶ κατὰ βίον; τὸ μὲν οὖν εἶναι φαύλους χριστιανοὺς καὶ αὐτός φημι, τὸ δὲ ἕλληνας ἀγαθοὺς εὑρεθῆναι, οὐκ ἄν ποτε φαίην. ἀπὸ φύσεως μὲν γὰρ ἐπιεικεῖς, καὶ ἀγαθοὶ εὑρεθεῖέν τινες, τοῦτο δὲ οὐκ ἔστιν ἀρετὴ, ἀπὸ ἀσκήσεως δὲ καὶ μελέτης τοῦ ἀγαθοῦ οὐδείς. εἰ δέ τινες ἔδοξαν ἀγαθοὶ, ἀλλὰ πρὸς δόξαν πάντα ἐποίουν, ὁ δὲ δόξης ἕνεκα πράσσων, καὶ οὐ δι' αὐτὸ τὸ καλὸν, ὅταν καιρὸν εὕρῃ, τῇ πονηρᾷ ἐπιθυμίᾳ χαρίσεται. εἰ γὰρ παρ' ἡμῖν καὶ γεέννης ἀπειλὴ, καὶ ἄλλη πᾶσα ἐπιμέλεια, καὶ βίοι ἀναριθμήτων ἁγίων, μόλις κατέχουσι τοὺς ἀνθρώπους ἐν ἀρετῇ, σχολῇ γε αἱ παρ' ἕλλησι φλυαρίαι, καὶ μωρίαι τοὺς παρ' ἐκείνοις ἐν τῷ καλῷ καθέξουσι, μέγα μὲν οὖν, εἰ καὶ μὴ παγκάκους εἰργάσαντο.

» Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ
» διέτριβε μετ' αὐτῶν, καὶ ἐβάπτιζεν. ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν αἰνὼν ἐγγὺς τοῦ
» σαλὴμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ. καὶ παρεγένοντο καὶ ἐβαπτίζοντο, οὔπω γὰρ ἦν βε-
» βλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης.

Μέχρι μὲν ἡ ἑορτὴ τοῦ πάσχα συνίστατο,

ἐν ἱεροσολύμοις ἦν ὁ Ἰησοῦς. ἐπεὶ δὲ παρῆλθεν αὕτη, ἐξῆλθεν ἐπὶ τὴν Ἰουδαίαν γῆν, καὶ πλησίον τοῦ ἰορδάνου διέτριβεν, ἔνθα πολλοὶ συνέτρεχον· οὐκ ἐζήτει δὲ τοὺς πολυοχλοῦντας τόπους διὰ φιλοτιμίαν κενὴν, ἢ ἐπίδειξιν, ἀλλὰ πλείοσι τὴν ὠφέλειαν καὶ τὸ ἀγαθὸν κοινοῦσθαι θέλων. ἐπεὶ καὶ εἰς τὰς ἑορτὰς ἀνέβαινε, δι᾽ αὐτὸ τοῦτο, ὡς πλείονας ὠφελήσων καὶ λόγῳ, καὶ θαυμάτων ἐπιδείξεσιν· ἀκούων δὲ ὅτι ἐβάπτιζε, μὴ αὐτὸν ἐκεῖνον νόμιζε βαπτίζειν, ἀλλὰ τοὺς αὐτοῦ μαθητὰς, τὸ δὲ τῶν μαθητῶν ἔργον εἰς τὸν διδάσκαλον ἀναφέρει ὁ εὐαγγελιστής· ἐπεί τοι γε προϊὼν αὐτὸς οὗτος ὁ εὐαγγελιστὴς, φησὶν, ὅτι Ἰησοῦς οὐκ ἐβάπτιζεν, ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ· ἐρωτᾷς δὲ τίνος ἕνεκεν αὐτὸς οὐκ ἐβάπτιζε; μάνθανε, προλαβὼν εἶπεν ὁ Ἰωάννης, ὅτι αὐτὸς ὑμᾶς Ματθ. γ.
βαπτίσει ἐν πνεύματι ἁγίῳ, πνεῦμα δὲ ἅγιον οὔπω ἦν δεδωκὼς, διότι οὐδὲ καιρὸς ἦν. εἰ τοίνυν ἐβάπτιζεν, ἢ χωρὶς πνεύματος ἐβάπτιζεν ἂν, καὶ τί λοιπὸν διέφερε τοῦ Ἰωάννου; ἢ ἐδίδου ἂν πνεῦμα καὶ πρὸ καιροῦ, ὅπερ ἀνάξιον τοῦ πάντα ἐν καιρῷ ποιοῦντος θεοῦ· τίς δὲ ἦν ὁ καιρὸς τῆς τοῦ πνεύματος δόσεως; ὁ μετὰ τὴν ἀνάληψιν. ἔδει γὰρ ἐμφανισθῆναι τὴν ἀνθρωπίνην φύσιν τῷ πατρὶ ἀναμάρτητον ἐν Χριστῷ Ἰησοῦ, καὶ οὕτω διαλλαγέντος τοῦ θεοῦ πρὸς ἡμᾶς, τὸ πνεῦμα ὡς πλοῦτον καὶ φιλοτιμίαν ἐπιπεμφθῆναι· οἱ τοίνυν μαθηταὶ τοῦ Ἰησοῦ ἐβάπτιζον, ἵνα πλείους τῇ σωτηριώδει διδασκαλίᾳ προσάξωσι· τούτων δὲ βαπτιζόντων, καὶ ὁ Ἰωάννης ἔτι βαπτίζει, καὶ οὐκ ἐπαύσατο, δύο κατορθῶν ἐν τούτῳ, ἓν μὲν, τὸ τοῖς προστρέχουσιν αὐτῷ περὶ Χριστοῦ λέγειν, καὶ προσάγειν αὐτοὺς αὐτῷ, ἕτερον δὲ, τὸ τοὺς μαθητὰς μὴ εἰς ζῆλον καὶ πλείονα φιλονεικίαν ἐρεθίσαι. εἰ γὰρ ἐπαύσατο τοῦ βαπτίζειν, τί οὐκ ἂν ἐποίησαν οἱ μαθηταὶ αὐτοῦ, φθονωτέρον διακείμενοι πρὸς Χριστόν; εἰ γὰρ μυριάκις βοῶν, καὶ τῶν πρωτείων ἀεὶ τῷ χριστῷ παραχωρῶν, οὐκ ἔπεισεν αὐτοὺς αὐτῷ προσδραμεῖν, εἰς πόσον ἂν φθόνον οὐκ ἐκίνησεν αὐτοὺς, εἴγε τοῦ βαπτίζειν ἐπαύσατο; διὸ καὶ ὁ χριστὸς τότε μάλιστα ἤρξατο κηρύττειν, ὅτε Ἰωάννης κατεκλείσθη, διὰ τὸν φθόνον τῶν τοῦ βαπτιστοῦ μαθητῶν, οἶμαι δὲ καὶ τὴν τελευτὴν Ἰωάννου διὰ τοῦτο συγχωρηθῆναι τάχιστα γενέσθαι, ὥστε πᾶσαν τὴν τοῦ πλήθους διάθεσιν ἐπὶ τὸν χριστὸν μετελθεῖν, καὶ μηκέτι ταῖς περὶ ἀμφοτέρων, Ἰωάννου καὶ χριστοῦ σχίζεσθαι γνώμαις· βαπτίζουσι τοίνυν οἱ τοῦ χριστοῦ μαθηταὶ βάπτισμα μηδὲν πλέον ἔχον τοῦ βαπτίσματος Ἰωάννου, ἄμφω γὰρ ἀτελῆ, ὡς τοῦ πνεύματος ἄμοιρα, αἰτία μέντοι ἀμφοτέροις μία, τὸ προσάγειν χριστῷ τοὺς βαπτιζομένους·

" Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίων περὶ καθαρισμοῦ. καὶ
" ἦλθον πρὸς τὸν Ἰωάννην, καὶ εἶπον αὐτῷ, ῥαββεὶ ὃς ἦν μετὰ σοῦ πέραν τοῦ ἰορδάνου,
" ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν· ἀπεκρί-
" θη, καὶ εἶπεν ὁ Ἰωάννης· οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον
" αὐτῷ ἐκ τοῦ οὐρανοῦ· Ἐγένετο ζήτησις περὶ τοῦ βαπτίσματος πρὸς Ἰουδαῖόν τινα φιλονεικούντων τῶν Ἰωάννου μαθητῶν· ὁ μὲν γὰρ Ἰουδαῖος τὸ βάπτισμα τῶν χριστοῦ μαθητῶν προετίθει, οἱ δὲ μαθηταὶ Ἰωάννου τὸ τοῦ διδασκάλου. ζητήσαντες δὲ περὶ τοῦ καθαρισμοῦ, ἤτοι τοῦ βαπτίσματος, προσίασι τῷ αὐτῶν διδασκάλῳ, καὶ ἄρχονται παρακνίζειν αὐτὸν λέγοντες. ῥαββεὶ, ὃς ἦν μετὰ σοῦ, ὃς τάξιν εἶχε μαθητοῦ, ἀρχίσας βαπτίζει, ᾧ σὺ μεμαρτύρηκας, ἀντὶ τοῦ, οὗ σὺ ἐβάπτισας, οὗ σὺ λαμπρὸν ἐποίησας, τοιαῦτα σοι τολμᾷ· ἀλλὰ καὶ ἕτερον, τὸ σοὶ μὲν μὴ προσέχειν τινὰς, αὐτῷ δὲ πάντας, πάντες γάρ φησιν, ἔρχονται πρὸς αὐτὸν, καταφρονήσαντές σου· Ἰωάννης δὲ θέλων αὐτοὺς ἐκφοβῆσαι, καὶ δεῖξαι, ὅτι τῷ θεῷ πολεμοῦσι, κωλύοντες τὸν χριστὸν, καὶ τοῦ δοξάζεσθαι αὐτὸν ἀπείργοντες, φησὶν, οὐ δύναται ἄνθρωπος λαβεῖν ἀφ᾽ ἑαυ-

τοῦ οὐδὲν καὶ τὰ ἑξῆς· εἰ γὰρ μὴ ἄνωθεν, φησὶ, δεδομένον ἦν, οὐκ ἂν ηὔξανεν ὁ παρ᾽ ὑμῶν φθονούμενος· ὥστε δύο ἁμαρτάνετε ἐν τούτῳ, ἓν μὲν, τὸ ἐναντιοῦσθαι τῇ τοῦ θεοῦ βουλῇ, ἕτερον δὲ, τὸ ἀδυνάτοις ἐπιχειρεῖν· ἅμα δὲ καὶ ἠρέμα παραμυθεῖται αὐτοὺς, ὅτι οὐκ ἄνθρωπος ἐστὶν ὁ νικῶν ὑμᾶς, ἀλλὰ θεὸς, ἀλλὰ καὶ ἡμεῖς, φησὶν, ἄνωθεν ἔχομεν ὃ ἔχομεν, οὐκ οἴκοθεν, εἰ δὲ λαμπρότερα τὰ τοῦ χριστοῦ, οὐ χρὴ θαυμάζειν, θεὸς γὰρ βούλεται·

Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ἐμοὶ, ὅτι εἶπον, οὐκ εἰμὶ ἐγὼ ὁ χριστὸς, ἀλλ᾽ ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου· ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστὶν, ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς, καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου· αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται· ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι·

Αὐτοὶ, φησὶν, ὑμεῖς γινώσκετε, ὅτι ἐγὼ μεμαρτύρηκα αὐτῷ, ὅτι μείζων ἐμοῦ ἐστὶν· εἰ οὖν ὅλως τῇ ἐμῇ μαρτυρίᾳ προσέχετε, μάθετε, ὅτι ἐκεῖνος ἐμοῦ προτιμητέος, καὶ τοῦτο ἐστὶν ἡ ἐμὴ χαρὰ, τὸ ἐκείνῳ πάντας προσέρχεσθαι· εἰ μὲν γὰρ μὴ προσήρχετο τῷ νυμφίῳ ἡ νύμφη, τουτέστιν, ὁ λαὸς, τότε ἂν ἤλγησα ἐγὼ ὁ νυμφαγωγὸς, νῦν δὲ τούτου γενομένου, χαρᾷ χαίρω· βλέπω γὰρ τὸν νυμφίον χριστὸν φωνοῦντα τῇ νύμφῃ τῷ λαῷ, καὶ διδάσκοντα αὐτόν· οὐκ ἁπλῶς δὲ εἶπε καὶ τὸ ἑστηκὼς, δείκνυσι γὰρ ὅτι τὰ αὐτοῦ πέπαυται, καὶ ἔστη, οὐκέτι ἐνεργοῦντα, καὶ ὅτι αὐτὸν λοιπὸν ἑστάναι χρὴ, καὶ μόνον ἀκούειν τοῦ χριστοῦ διδάσκοντος, καὶ διαλεγομένου πρὸς τὴν νύμφην. τὸ γὰρ ἐμὸν, φησὶν, ἔργον ἤνυσαι, καὶ παρέδωκα αὐτῷ τὸν λαὸν, χρὴ τοίνυν τὴν ἐμὴν δόξαν ἐλαττοῦσθαι, τὴν δὲ ἐκείνου αὐξάνειν· πῶς δὲ ἄρα ἐλαττοῦται ἡ δόξα τοῦ προδρόμου; ἢ πάντως, ὥσπερ ὁ ἑωσφόρος ὑπὸ τοῦ ἡλίου ἀποκρύπτεται, καὶ δοκεῖ μὲν τοῖς πολλοῖς, ὅτι ἔσβεσται τὸ φῶς, τῇ δὲ ἀληθείᾳ οὐκ ἔσβεσται, ἀλλ᾽ ὑπὸ τοῦ μείζονος κρύπτεται, οὕτω καὶ πρόδρομος ὁ ἑωσφόρος ὑπὸ τοῦ νοητοῦ ἡλίου κρυπτόμενος, ἐλαττοῦσθαι λέγεται· αὔξει δὲ ὁ χριστὸς, καθὸ κατὰ βραχὺ ἐκφαίνει ἑαυτὸν διὰ τῶν θαυμάτων, οὐ κατὰ προκοπὴν τὴν ἐν ἀρετῇ αὔξων, μὴ γένοιτο· τοῦτο γὰρ νεστορίου τὸ παραλήρημα· ἀλλὰ κατὰ τὴν ἔκφανσιν καὶ ἐπίδειξιν τῆς θεότητος, κατ᾽ ὀλίγον γὰρ, ὅτι θεός ἐστιν, ἐξέφαινε καὶ οὐκ ἀθρόως· πεπλήρωται οὖν, φησὶν, ἡ ἐμὴ χαρὰ ἐπὶ τῷ νυμφίῳ· τὸ γὰρ ἔργον, ὃ ἐπιστεύθην ὡς νυμφαγωγὸς, ὁρῶ προχωρῆσαν. πάσης τοίνυν ψυχῆς νυμφίος ὁ κύριος, νυμφὼν δὲ, ἔνθα ἡ συνάφεια γίνεται, ὁ τόπος τοῦ βαπτίσματος, ἤτοι ἡ ἐκκλησία, δίδωσι δὲ ἀρραβῶνα τῇ νύμφῃ ἁμαρτιῶν ἄφεσιν, πνεύματος ἁγίου κοινωνίαν· τὰ δὲ τελειότερα ἐν τῷ μέλλοντι, ὅτε τὰ κρείττω καὶ ὑψηλότερα μυσταγωγήσει τοῖς ἀξίοις· σημείωσαι δὲ, ὅτι οὐδεὶς ἄλλος ἐστὶν νυμφίος, εἰ μὴ μόνος ὁ χριστὸς, πάντες δὲ οἱ διδάσκοντες νυμφαγωγοί εἰσιν, ὥσπερ οὖν καὶ ὁ πρόδρομος· οὐδεὶς γὰρ ἄλλος σωτὴρ ἐστὶ τῶν ἀγαθῶν, εἰ μὴ ὁ κύριος, οἱ δὲ ἄλλοι πάντες μεσῖται, καὶ τῶν παρὰ τοῦ κυρίου δεδομένων ἀγαθῶν διάκονοι·

Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν· ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστὶ, καὶ ἐκ τῆς γῆς λαλεῖ. ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστὶ, καὶ ὃ ἑώρακε, καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει· ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ θεὸς ἀληθής ἐστιν· ὃν γὰρ ἀπέστειλεν ὁ θεὸς, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ, οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ θεὸς τὸ πνεῦμα· Συγκρίνει ἑαυτὸν ὁ πρόδρομος τῷ χριστῷ καὶ φησὶν, ὅτι ἐκεῖνος μὲν ἄνωθεν ἔρχεται ἐκ τοῦ πατρὸς, καὶ ἐπάνω πάντων ἐστὶν, ἐξῃρημένος πάντων, καὶ τὴν πατρῴαν ὑπεροχὴν ἀποσώζων, ἐγὼ δὲ ἐκ γῆς ὢν, γήϊνα λαλῶ, εὐτελῆ καὶ ταπεινὰ, ὡς πρὸς σύγκρισιν τῆς τοῦ χριστοῦ διδασκαλίας· ἐπεί τοι γε καὶ τὰ αὐτοῦ τοῦ προδρόμου θεῖα ἦσαν, ὡς δὲ πρὸς τὰ τοῦ χρι-

τοῦ συγκρινόμενα, πολὺ τὸ χθαμαλὸν ἔχουσιν. ἐκεῖνος, φησὶν, ὃ ἑώρακε καὶ ἤκουσε λαλεῖ, τουτέστιν ἃ παρὰ τοῦ πατρὸς ἤκουσε, καὶ ἃ ἑώρακεν, ἤγουν, ἃ ἀκριβῶς οἶδεν, ἐκεῖνα λαλεῖ καὶ μαρτυρεῖ. ἀλλὰ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς τῶν μὴ τῇ ἀληθείᾳ προσεχόντων λαμβάνει. ὃς δὲ λάβῃ τὴν μαρτυρίαν, ἤτοι τὴν διδασκαλίαν αὐτοῦ, ἐσφράγισεν, ἀντὶ τοῦ ἔδειξεν, ἐβεβαίωσεν, ὅτι ὁ θεὸς ἀληθής ἐστιν. ὁ γὰρ τῷ παρὰ θεοῦ ἀπεσταλμένῳ πιστεύων, τῷ θεῷ πιστεύει, καὶ λοιπὸν σφραγίζει, καὶ ἀποδείκνυσιν, ὅτι ὡς ἀληθεῖ ὄντι ἐπίστευσεν. ὥσπερ οὖν πάλιν ὁ ἀπιστῶν τῷ παρὰ τοῦ θεοῦ ἀπεσταλμένῳ, δείκνυσιν, ὅτι ψεύστης ἐστὶ, καὶ διὰ τοῦτο οὐκ ἐπίστευσεν αὐτῷ, οἷα δὴ ψευδομένῳ. ὥστε ὁ τῷ χριστῷ πιστεύων, δείκνυσι τὸν θεὸν ἀληθῆ, ἐξ αὐτοῦ τούτου πάντως, τοῦ πιστεῦσαι τῷ παρ᾽ αὐτοῦ ἀπεσταλμένῳ, πρόδηλον γὰρ, ὅτι ὡς ἀληθεῖ ὄντι αὐτῷ ἐπίστευσε, καὶ εἰκότως. οἱ μὲν γὰρ ἄλλοι πάντες, φησὶ, μέτρῳ τὴν ἐνέργειαν ἔλαβον τοῦ πνεύματος, αὐτῷ δὲ τῷ χριστῷ οὐκ ἐκ μέρους δέδωκε μίαν τυχὸν ἢ δύο ἐνεργείας, ἀλλ᾽ αὐτὸς τὸ πνεῦμα ὁλόκληρον ἔχει οὐσιωδῶς. τοῖς μὲν οὖν προφήταις ὁ θεὸς καὶ δίδωσι τὸ πνεῦμα, ἤτοι τὴν ἐνέργειαν τοῦ πνεύματος, καὶ ἐν μέτρῳ δίδωσι. χριστῷ δὲ οὔτε ἐν μέτρῳ, οὔτε ὅλως δίδωσιν, ἔχει γὰρ αὐτὸ οὐσιωδῶς ὁ χριστός. ὅταν δὲ ἀκούσῃς, ὅτι ὁ χριστὸς, ἃ ἤκουσε παρὰ τοῦ πατρὸς, ἐκεῖνα λαλεῖ, μὴ νόμιζε αὐτὸν ἐνδεᾶ ὄντα γνώσεως παρὰ τοῦ πατρὸς μανθάνειν, ἀλλ᾽ ἐπεὶ πάντα, ὅσα οἶδεν ὁ υἱὸς φυσικῶς, πάντα ἐκ τοῦ πατρὸς ἔχει ὡς ὁμοούσιος αὐτῷ, τούτου ἕνεκεν λέγεται παρὰ τοῦ πατρὸς ἀκούειν, ὅσα οἶδεν. ὥσπερ εἰ ἴδοις υἱὸν κατὰ πάντα τῷ πατρὶ ἐοικότα, λέγεις ὅτι πάντα ἐκ τοῦ πατρὸς ἔχει, ἀντὶ τοῦ οὐδενὶ ἄλλῳ ὅμοιος ἀπέβη, ἢ τῷ πατρί. ἀκούων δὲ ἀπεστάλθαι, ὡς ἀκτῖνα νόησον ἀπὸ τοῦ ἡλίου τοῦ πατρὸς αὐτὸν ἀποσταλῆναι. ἢ οὐχ οὕτω λέγομεν, ὅτι ἀπέστειλε τὰς ἀκτῖνας ὁ ἥλιος; καὶ ἀφῆκε τὸ φῶς ὁ ἥλιος, ἀντὶ τοῦ ἔπεμψε τῇ γῇ; καὶ οὐδέπου τὴν ἀκτῖνα ἑτέρας οὐσίας λέγομεν εἶναι, ἢ ὑστέραν τοῦ ἡλίου. οὕτως οὖν καὶ τὸν υἱὸν ἀπεστάλθαι τῷ κόσμῳ παρὰ τοῦ νοητοῦ ἡλίου τοῦ πατρὸς, ὡς ἀπαύγασμα καὶ ἀκτῖνα, καὶ φῶς, καὶ ὡς ἂν βούλοιο, καθ᾽ ὅσον ἐγχωρεῖ, καλεῖν αὐτόν. οὐκ ἄκαιρον δὲ εἰπεῖν ἐνταῦθα τοῦ λόγου γενομένου, πῶς ἔχει ὁ υἱὸς τὸ πνεῦμα, καὶ πῶς λέγεται τὸ πνεῦμα τοῦ υἱοῦ. φησὶ γὰρ καὶ ὁ ἀπόστολος, τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ὑμῶν ἀπέστειλε κρᾶζον, ἀββᾶ ὁ πατήρ. καὶ πάλιν, εἰ δέ τις πνεῦμα χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. οἱ γὰρ λατῖνοι κακῶς ταῦτα ἐκδεξάμενοι καὶ παρανοοῦντες φασὶν, ὅτι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ ἐκπορεύεται, ἡμεῖς δὲ πρῶτον μὲν τοῦτο φαμὲν πρὸς αὐτοὺς, ὅτι ἄλλο ἐστὶ τὸ εἶναι ἐκείνου, καὶ ἄλλο τὸ εἶναί τινος, οἷον τὸ πνεῦμα εἶναι μὲν τοῦ υἱοῦ πνεῦμα ἀναμφίβολον, καὶ παρὰ τῆς γραφῆς πάσης βεβαιούμενον, εἶναι δὲ ἐκ τοῦ υἱοῦ οὐδεμία γραφὴ μαρτυρεῖ, ἵνα μὴ δύο τοὺς αἰτίους τοῦ πνεύματος εἰσάξωμεν, τόν τε πατέρα καὶ τὸν υἱόν. καὶ φασιν, ἀλλ᾽ ἐνεφύσησε τοῖς μαθηταῖς καὶ εἶπε, λάβετε πνεῦμα ἅγιον. βαβαὶ τῆς παροινίας, εἰ τότε ἔδωκε τοῖς μαθηταῖς τὸ πνεῦμα, ὅτε ἐνεφύσησε, πῶς λοιπὸν ἔλεγεν αὐτοῖς, ὅτι λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς οὐ μετὰ πολλὰς ταύτας ἡμέρας; ἢ πῶς ἐν τῇ πεντηκοστῇ πιστεύομεν τὴν κάθοδον γενέσθαι τοῦ πνεύματος, εἴγε ἐν τῇ ὀψίᾳ τῆς ἀναστασίμου ἡμέρας ἔδωκεν αὐτό; τότε γὰρ δήπου ἐνεφύσησεν, ἀλλὰ ταῦτα μέν ἐστι πλατὺς γέλως. φανερὸν γὰρ ὡς τότε αὐτοῖς οὐ τὸ ἅγιον πνεῦμα δέδωκεν, ἀλλὰ χάρισμα ἐκ τοῦ τοῦ πνεύματος, τὸ ἀφιέναι τὰς ἁμαρτίας, εὐθὺς γὰρ ἐπάγει, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας. τὸ δὲ πνεῦμα οὐσιωδῶς ἔχει ὁ υἱὸς, ὡς ὁμοούσιος αὐτῷ, οὐχ ὡς ἐνεργούμενος ὑπ᾽ αὐτοῦ, οἱ γὰρ προφῆται ἐνεργοῦνται. λέγεται δὲ τὸ πνεῦμα εἶναι τοῦ υἱοῦ, καθὸ ἀλήθεια μέν ἐστιν ὁ υἱὸς, καὶ δύναμις, καὶ σοφία, τὸ δὲ ἅγιον πνεῦμα καὶ ἀληθείας, καὶ

Πρὸς Γα. δ΄.
Πρὸς Ῥω. η΄.
Ἰωάν. κ΄.
Ἰωάν. κ΄.

ια· ἰσχύος, καὶ σοφίας πνεῦμα παρὰ τοῦ Ἠσαΐου ἀναγέγραπται· καὶ ἄλλως δὲ, ἐπεὶ διὰ
υἱοῦ χορηγεῖται τοῖς ἀνθρώποις, διὰ τοῦτο τοῦ υἱοῦ λέγεται· πίστευε σὺ τὸ πνεῦμα ἐκ τοῦ
πατρὸς μὲν προϊέναι, δι' υἱοῦ δὲ χορηγεῖσθαι τῇ κτίσει, καὶ οὗτος ἔσται σοι κανὼν ὀρ-
θοδοξίας·

» Ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ, ὁ πιστεύων εἰς τὸν
» υἱὸν, ἔχει ζωὴν αἰώνιον, ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μέ
» νει ἐπ' αὐτόν· Εἰπὼν περὶ τοῦ χριστοῦ τὰ ὑψηλὰ, νῦν πάλιν τὰ ταπεινὰ φθέγγε
ται, εὐπαράδεκτον τὸν λόγον τοῖς ἀκροαταῖς ποιῶν· διὰ τοῦτο, φησὶν, ἀγαπᾷ ὁ πα-
τὴρ τὸν υἱὸν, ὡς περὶ ἀνθρώπου τινὸς θαυμαστοῦ διαλεγόμενος, καὶ πάντα δέδωκεν
ἐν τῇ χειρὶ τοῦ υἱοῦ, κατὰ τὸ ἀνθρώπινον· εἰ δὲ καὶ κατὰ τὸ θεϊκὸν, τί τοῦτο; δέδωκεν ὁ
πατὴρ τὰ πάντα τῷ υἱῷ, λόγῳ φύσεως, ἀλλ' οὐ χάριτος· ἐπεὶ γὰρ καὶ τὸ εἶναι ἐκ τοῦ
πατρὸς ἔχει, εἰκότως καὶ πάντα ἐκ τοῦ πατρὸς λέγεται ἔχειν· ἔχει τοίνυν τὰ πάν-
τα ὁ υἱὸς τά τε ἐν οὐρανῷ, τά τε ἐπὶ γῆς, δεσπόζει γὰρ ἁπάντων, κἂν μὴ βούλωνται·
ὕστερον μέντοι, ὅτε κατὰ τὴν δευτέραν παρουσίαν πᾶν γόνυ κάμψει αὐτῷ, τὴν παντε
λῆ δεσποτείαν πάντων λήψεται. ὅτε οὐκέτι ἡ κακία δύναμιν ἔχει, ἀλλ' ἀνενέργητος
μένουσα, δείκνυσι τὴν φύσιν τοῦ ἀγαθοῦ ἐξ ἀρχῆς πᾶσιν ἐνοῦσαν, καὶ τὰ πάντα συνέ
χουσαν· ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει τὴν αἰώνιον ζωὴν ἐν αὐτῷ, αὐτὸν λέγω τὸν χριστὸν,
πράξ· ιζ'· ὃς ζωή ἐστιν ἀληθῶς, ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα· ὁ δὲ ἀπειθῶν, οὐκ ὄψεται τὴν
ζωήν· ὁ γὰρ ἀποστὰς ἑκουσίως τῆς ζωῆς, πῶς ἕξει αὐτὴν, ἥτις ἐστὶ χριστός; ὡς καὶ παῦ-
Κολοσ· γ'· λος φησὶν, ὅταν ὁ χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς οἱ πρὸς τὴν κακίαν
νεκροὶ καὶ ἀκίνητοι γενόμενοι, φανερωθήσεσθε ἐν δόξῃ· ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐ
τόν· οὐκ εἶπεν ὅτι μένει αὐτὸν, ἀλλ' ἐπ' αὐτὸν, δεικνὺς ὅτι οὐδέποτε αὐτοῦ ἀποστήσεται·
ἵνα γὰρ μὴ ἀκούσας θάνατον, πρόσκαιρον τοῦτον νοήσῃς, φησὶν, ὅτι μένει ἐπ' αὐτὸν, ἐπὶ
τὸν ἀπειθήσαντα, καὶ ἀΐδιος ἔσται ἡ κόλασις, διὰ τούτων δὲ πάντων τῶν ῥημάτων
ἐνάγει ὁ βαπτιστὴς καὶ συνωθεῖ τοὺς ἀκούοντας πάντας εἰς τὴν τοῦ χριστοῦ πίστιν· οὐ γὰρ
μάτην ταῦτα φησὶν, ἀλλὰ καὶ τοὺς οἰκείους μαθητὰς καὶ τοὺς ἄλλους πάντας παι-
δεύει μηκέτι φθονεῖν τῷ χριστῷ, ἀλλ' ὡς θεῷ προσέχειν·

Κεφάλαιον Τέταρτον·

» Ὡς οὖν ἔγνω ὁ κύριος, ὅτι ἤκουσαν οἱ φαρισαῖοι, ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ,
» καὶ βαπτίζει, ἢ Ἰωάννης, καίτοι γε αὐτὸς ὁ Ἰησοῦς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐ
» τοῦ, ἀφῆκε τὴν Ἰουδαίαν γῆν, καὶ ἀπῆλθε πάλιν εἰς τὴν γαλιλαίαν, ἔδει δὲ αὐτὸν
» διέρχεσθαι διὰ τῆς σαμαρείας· Ὁ φιλάνθρωπος ἅπαξ δι' ἡμᾶς σαρκωθεὶς,
πάντα πρὸς ἡμετέραν ὠφέλειαν διαπράττεται· ἀμέλει καὶ νῦν ἀκούσας, ὅτι οἱ φαρι
σαῖοι περὶ τῆς δόξης αὐτοῦ ἤκουσαν, καὶ γνοὺς, ὅτι εἰς φθόνον κινηθήσονται τὸν κατ' αὐ
τοῦ, ὑποχωρεῖ εἰς τὴν γαλιλαίαν, δύο ταῦτα διδάσκων ἡμᾶς, ἓν μὲν, τὸ φείδεσθαι τῶν
ἐχθρῶν, καὶ πάντα τρόπον πειρᾶσθαι μὴ διδόναι αὐτοῖς ἀφορμὴν σκανδάλου ἢ φθό
νου, ἕτερον δὲ, τὸ μὴ ἐπιρρίπτειν ἑαυτοὺς τοῖς πειρασμοῖς ἀνοήτως καὶ ἀνονήτως, ἀλ-
λ' ὑποχωρεῖν πρὸς καιρὸν, μέχρις ἂν ἡ μανία ῥαΐσῃ· καίτοι δὲ δυνατὸς ὢν ἐπισχεῖν τοὺς
αὐτῷ φθονοῦντας, κἂν εἰ κατ' αὐτοῦ ὥρμησαν, ὅμως ὑπεξίσταται, ὥστε μὴ φαντασίαν
δόξαι τὴν οἰκονομίαν τῆς σαρκός. εἰ γὰρ συχνάκις διὰ μέσου αὐτῶν διήρχετο, τί οὐκ
ἂν εἶπον οἱ φαντασιοδοκῆται, οἱ περὶ μάνεντα λέγω, καὶ οὐαλεντῖνον, καὶ τὸν κατά
ρατον εὐτυχῆ· αἰνιττόμενος δὲ ὁ εὐαγγελιστὴς τὸ τοῦ φθόνου συκοφαντικὸν, φησὶν, ὅτι
καίτοι γε ὁ Ἰησοῦς οὐκ ἐβάπτιζεν, ἀλλ' ὅμως οἱ φθονοῦντες, βουλόμενοι ὑποκνίζειν τοὺς
φαρισαίους κατὰ χριστοῦ, ἐσυκοφάντουν αὐτὸν ὡς βαπτίζοντα· ἔδει δὲ αὐτὸν διέρχε-

σθαι διὰ

θαι διὰ τῆς σαμαρείας, ὡς πάρεργον γὰρ οὐδὲν ἐποιεῖτο τοὺς σαμαρείτας· ὅρα γὰρ
ὅτι οὐκ εἶπεν ἔδει αὐτὸν ἀπέρχεσθαι εἰς σαμάρειαν, ἀλλὰ διέρχεσθαι διὰ τῆς σαμα
ρείας· ἐβούλετο γὰρ πρόφασιν πᾶσαν κατηγορίας τοῖς Ἰουδαίοις ἐκκόψαι, ὥστε μὴ
ἔχειν αὐτοὺς λέγειν, ὅτι ἀφεὶς αὐτοὺς, εἰς τὰ ἔθνη τὰ βδελυκτὰ μετῆλθεν· ὅταν γὰρ
ἀπήλαυνον αὐτὸν, τότε τοῖς ἐθνικοῖς παρέβαλε, καὶ οὐδὲ τότε προηγουμένως, ἀλ-
λ' ἐκ παρέργου·

Ἔρχεται οὖν εἰς πόλιν τῆς σαμαρείας λεγομένην συχὰρ, πλησίον τοῦ χωρίου, ὃ ἔδω Γεν. μη'.
κεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ· Ἄξιον εἰπεῖν πόθεν οἱ
σαμαρεῖται συνέστησαν, καὶ πόθεν τὴν προσηγορίαν ταύτην ἔλαβον· σομὸρ τὸ ὄρος
ἐκαλεῖτο ἀπὸ τοῦ κτησαμένου αὐτὸ, καθὰ καὶ Ἡσαΐας φησὶν, ἡ κεφαλὴ σομόρων ἐ- Ἡσαΐ. ζ'.
φραίμ. οἱ δὲ ὑπὸ τὸ ὄρος οἰκοῦντες, οὐ σαμαρεῖται τὸ πρῶτον, ἀλλ' Ἰσραηλῖται ἐλέ-
γοντο, προσκρούσαντες δὲ τῷ θεῷ, παρεδόθησαν καὶ διαφόροις καιροῖς τοῖς ἀσσυρίοις·
τέλος δὲ ὁ ἀσσύριος ἐπελθὼν αὐτοῖς, ἀποστασίαν μελετήσασιν, εἷλέ τε αὐτοὺς, καὶ οὐκ δ'. Βα. ιζ'.
ἔτι μένειν κατὰ χώραν ἀφίησιν, ὑποπτεύων τὴν αὖθις ἀποστασίαν· ἀλλὰ τούτους μὲν
εἰς βαβυλωνίους καὶ μήδους μετήγαγεν, ἐκεῖθεν δὲ ἔθνη ἐκ διαφόρων τόπων ἀγαγὼν,
κατῴκισεν ἐν τῇ σαμαρείᾳ· τούτων δὲ γενομένων, βουλόμενος ὁ θεὸς δεῖξαι τοῖς βαρ
βάροις, ὅτι μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἁμαρτίαν παρέδωκε τοὺς Ἰουδαίους αὐτοῖς, ἐπαφίη
σι λέοντας τοῖς μετοικισθεῖσιν ἐν σαμαρείᾳ βαρβάροις, οἵτινες τούτους ἐλυμαίνοντο
ἅπαξ ἅπαντας· ἀπαγγελθέντος δὲ τούτου τῷ βασιλεῖ, μεταστέλλεταί τινας τῶν ἐν
αἰχμαλωσίᾳ γερόντων Ἰουδαίων, καὶ ἐρωτᾷ τί ποιητέον εἴη, ὡς ἂν μηκέτι οἱ λέοντες
λυμαίνωνται τοὺς ἐν τῇ σαμαρείᾳ βαρβάρους· οἱ δὲ ὑφηγοῦνται αὐτῷ, ὅτι ὁ θεὸς τοῦ
Ἰσραὴλ ἐφορᾷ τὸν τόπον ἐκεῖνον, καὶ οὐκ ἀνέχεται κατοικεῖν ἐκεῖ τοὺς μὴ τὰ αὐτοῦ εἰ
δότας νόμιμα· εἴ τι οὖν αὐτῷ μέλει τῶν ἐκεῖ βαρβάρων, στεῖλαι ἱερεῖς Ἰουδαίους, οἳ τὰ
τοῦ θεοῦ νόμιμα τοῖς βαρβάροις παραδώσουσιν, καὶ οὕτως ἐξιλεωθήσεσθαι τὸν θεόν·
πείθεται τούτοις ὁ βασιλεὺς, καὶ πέμπει ἱερέα τινὰ παραδώσοντα τοῖς ἐν σαμαρείᾳ
βαρβάροις τὸν τοῦ θεοῦ νόμον· οἱ δὲ πάντα μὲν τὰ θεῖα βιβλία οὐκ ἐδέξαντο, μόνα
δὲ τὰ πέντε τοῦ Μωσέως, τὴν γένεσιν, τὴν ἔξοδον, τὸ λευιτικὸν, τοὺς ἀριθμοὺς, καὶ τὸ δευ
τερονόμιον· ἀλλ' οὐδὲ τελείως τῆς δυσσεβείας ἀπέστησαν, χρόνοις δὲ ὕστερον τῶν μὲν
εἰδώλων ἀπέστησαν, ἐσέβοντο δὲ τὸν θεόν· οἱ τοίνυν Ἰουδαῖοι ἐκ τῆς αἰχμαλωσίας ἐ-
πανελθόντες, ζηλοτύπως ἀεὶ πρὸς αὐτοὺς εἶχον, ἅτε ἀσσυρίους ὄντας τὸ γένος, καὶ ἀπὸ
τοῦ ὄρους σαμαρείτας αὐτοὺς ἐκάλουν· ἐκεῖνοι δὲ τὸν Ἀβραὰμ καὶ Ἰακὼβ ἑαυτοὺς ἀπο
γόνους ὠνόμαζον, ὅ, τε γὰρ Ἀβραὰμ χαλδαῖος ἦν, ὅ, τε Ἰακὼβ διὰ τὴν ἐκεῖσε πηγὴν
οἰκεῖος αὐτοῖς ἐλογίζετο· οἱ γοῦν Ἰουδαῖοι μετὰ πάντων τῶν ἐθνικῶν καὶ αὐτοὺς ἐβδε-
λύσσοντο, ὅθεν καὶ τῷ κυρίῳ προσονειδίζοντες ἔλεγον, σαμαρείτης εἶ· καὶ αὐτὸ δὲ τοῖς Ἰωάν. η'.
μαθηταῖς ἔλεγε, εἰς πόλιν σαμαρειτῶν μὴ εἰσελθεῖν· τίνος δὲ ἕνεκεν ὁ εὐαγγελιστὴς Ματθ. ι'.
περὶ τοῦ χωρίου τοῦ Ἰακὼβ καὶ τῆς πηγῆς ἀκριβολογεῖται; πρῶτον μὲν, ἵνα ὅταν
ἀκούσῃς τῆς γυναικὸς λεγούσης, ὅτι Ἰακὼβ ὁ πατὴρ ἡμῶν ἔδωκεν ἡμῖν τὴν πηγὴν
ταύτην, μὴ ξενισθῇς· ὁ γὰρ τόπος ἐκεῖνος ἦν τὰ σίκιμα, ἔνθα οἱ υἱοὶ Ἰακὼβ συμεὼν καὶ
λευῒ τὸν χαλεπὸν ἐκεῖνον εἰργάσαντο φόνον, διὰ τὸ τὴν ἀδελφὴν αὐτῶν δείναν βια- Γεν. λδ'.
σθῆναι ὑπὸ τοῦ σικιμητῶν ἄρχοντος. ἔπειτα δὲ καὶ τοῦτο μανθάνομεν. ἀπὸ τοῦ τὸν εὐαγ
γελιστὴν καταλέγειν ἡμῖν τὰ περὶ τοῦ χωρίου καὶ τῆς πηγῆς, ὅτι ἡ τῶν Ἰουδαίων ἀπο-
βολὴ πάλαι ἐγένετο διὰ τὰς ἁμαρτίας αὐτῶν, καὶ προσκρουσάντων αὐτῶν τῷ θεῷ,
οἱ ἐθνικοὶ κατέσχον τοὺς τόπους, καὶ ἃ οἱ πατριάρχαι διὰ τὴν εἰς χριστὸν πίστιν ἐκτή-
σαντο, ταῦτα αὐτοὶ διὰ τὴν δυσσέβειαν ἀπώλεσαν. ὥστε οὐδὲν καινὸν, οὐδὲ νῦν εἰ οἱ

ἐθνικοὶ ἀντὶ τῶν Ἰουδαίων εἰσήχθησαν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. τὸ δὲ χωρίον ὃ ἔδωκεν Ἰακὼβ τῷ Ἰωσὴφ, σίκημα ἐλέγετο, ἐπεὶ γὰρ οἱ παῖδες τοῦ Ἰακὼβ τοὺς σικημίτας ἀποκτείναντες, τὴν πόλιν ἐξηρήμωσαν, ταύτην δὴ τὴν ἐξηρημωθεῖσαν δέδωκεν εἰς κλῆρον τῷ Ἰωσὴφ ὁ πατήρ.

Ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ, ὥρα ἦν ὡσεὶ ἕκτη. ἔρχεται γυνὴ ἐκ τῆς σαμαρείας ἀντλῆσαι ὕδωρ. λέγει αὐτῇ ὁ Ἰησοῦς, δός μοι πιεῖν, οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσιν. Κεκοπιακέναι τὸν κύριον ἐκ τῆς ὁδοιπορίας φάσκων ὁ εὐαγγελιστὴς, δείκνυσιν ἡμῖν, ἅμα μὲν τὸ ἄτυφον αὐτοῦ καὶ ἀπέριττον, οὐδὲ γὰρ ὑποζυγίοις ἐχρᾶτο πρὸς τὴν ὁδοιπορίαν, ἀλλὰ πεζὸς ὥδευε, παιδεύων καὶ ἡμᾶς τὸ μὴ πολλῶν δεῖσθαι, ἅμα δὲ καὶ τὸ συντόνως αὐτὸν ὁδεύειν καὶ μὴ ῥαθύμως. ἐξ οὗ μανθάνομεν καὶ ἡμεῖς τὸ μετὰ συντονίας, καὶ ἐπιμελείας πράττειν τὸ ἔργον τοῦ θεοῦ. τὸ δὲ ἐκαθέζετο οὕτως, σημαίνοι ἂν τὸ ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ ὅτι οὐκ ἐπὶ θρόνου, ἀλλ᾽ οὕτως ἀφελῶς δηλονότι, ἐπὶ ἐδάφοις ἀναπαύων τὸ σῶμα, καὶ παρὰ τῇ πηγῇ ἀναψύχων αὐτό. εἶτα καὶ ἑτέραν αἰτίαν εἰσάγει τοῦ καθῆσθαι αὐτὸν παρὰ τῇ πηγῇ, τὸ εἶναι σταθερὰν μεσημβρίαν, ὥρα γάρ φησιν, ἦν ὡσεὶ ἕκτη. ὥστε καὶ διὰ τὸ τῆς ὥρας θαλπεινὸν ἐδεῖτο ἀναπαύσεώς τε καὶ ἀναψύξεως. καὶ ἄλλως δὲ, ἵνα μήτις αἰτιάσηται τὸν

Ματθ. ι'

κύριον, πῶς τοῖς μαθηταῖς αὐτοῦ ἐγκελευόμενος εἰς ὁδὸν ἐθνῶν μὴ ἀπελθεῖν, αὐτὸς εἰς σαμαρείτας ἔρχεται, διὰ τοῦτό φησιν, ὅτι ἡ ἐπὶ τοῦ τόπου καθέδρα, διὰ τὸν κόπον γέγονε, καὶ ὅτι ἡ πρὸς τὴν γυναῖκα διάλεξις, εὔλογον εἶχεν ἀφορμὴν τὸ δίψος. ἐπεὶ γὰρ ἐδίψα ἀκολούθως κατὰ τὸ ἀνθρώπινον, ἐδεῖτο καὶ ποτοῦ. ζητοῦντι δὲ ὡμιλεῖ τὸ γύναιον ὁμιλίαν ψυχῆς φιλομαθοῦς. τί οὖν λοιπὸν ἔδει ποιῆσαι; ἀπώσασθαι τὴν γυναῖκα οὕτω φιλομαθῶς διακειμένην, καὶ διψῶσαν ἀκοῦσαι τῶν ἐφ᾽ οἷς ἠπόρει; ἄπαγε, οὐ θεοῦ φιλανθρωπίας τοῦτο. ὅρα δέ μοι καὶ ἀπὸ τούτου τὸ ἄτυφον τοῦ κυρίου, μόνος γὰρ καταλιμπάνεται ἐπὶ τῆς ὁδοῦ, τῶν μαθητῶν ἀπελθόντων εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. τοσοῦτον γὰρ ἐν δευτέρῳ τὰ τῆς γαστρὸς ἐτίθεντο, ὥστε ἐν ᾧ καιρῷ πάντες σχεδὸν καὶ ὑπνώττουσι μετὰ τὸ ἀριστῆσαι, οὗτοι τροφὰς ἠγόραζον, ἄρτοις δηλαδὴ μόνοις, ἵνα καὶ ἡμεῖς μάθωμεν τῆς ποικιλίας τῶν ἐδεσμάτων ὀλιγωρεῖν. ὅρα δέ μοι καὶ τὴν ἀκρίβειαν τοῦ εὐαγγελιστοῦ, οὐδὲ γὰρ εἶπεν ἀποφαντικῶς, ὥρα ἦν ἕκτη, ἀλλὰ διὰ τὸ μὴ ἀποπεσεῖν τῆς ἀληθείας, ὡσεὶ ἕκτη ἔφη, τὸ ἀσφαλὲς τῷ λόγῳ προμηθούμενος.

Λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ σαμαρεῖτις, πῶς σὺ ἰουδαῖος ὢν, παρ᾽ ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς σαμαρείτιδος; οὐ γὰρ συγχρῶνται ἰουδαῖοι σαμαρείταις. ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῇ, εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. λέγει αὐτῷ ἡ γυνὴ, κύριε οὔτε ἄντλημα ἔχεις καὶ τὸ φρέαρ ἐστὶ βαθὺ, πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν;

Ἀπὸ τοῦ σχήματος, καὶ τῆς στολῆς ἴσως, καὶ τῆς ἄλλης περὶ τὸ σῶμα διαθέσεως, καὶ αὐτῆς τῆς ὁμιλίας ἐνόμισεν ἡ σαμαρεῖτις ἰουδαῖον εἶναι τὸν κύριον, διὸ καὶ πρὸς αὐτὸν λέγει. πῶς σὺ ἰουδαῖος ὤν; καὶ τὰ ἑξῆς. ὅρα δὲ πῶς διεσκεμμένον ἦν τὸ γύναιον, εἰ γὰρ ἔδει φυλάξασθαι, τὸν κύριον ἔδει οὐκ ἐκείνην. οὐ γὰρ εἶπεν, ὅτι ἰουδαίοις οὐ συγχρῶνται σαμαρεῖται, ἀλλ᾽ ἰουδαῖοι σαμαρείταις οὐ προσίενται. ἀλλ᾽ ὅμως ἡ γυνὴ οὐδὲ οὕτως σιγᾷ, ἀλλ᾽ οἰηθεῖσα τὸν κύριον πρᾶγμα παράνομον ποιεῖν, διορθοῦται τὸ μὴ κατὰ νόμον γινόμενον. ὁ δὲ χριστὸς οὐ πρότερον ἐκκαλύπτει ἑαυτὸν, πρὶν ἡ ἀρετὴ τῆς γυναικὸς δειχθείη. ἐπεὶ γὰρ ἐδείχθη τοῦ γυναίου ἡ ἀρετὴ, καὶ ὅτι οὕτως διεσκεμμένη

σκεμμένη καὶ ἀκριβής ἐστι, τότε ἄρχεται λοιπὸν αὐτῇ ὁμιλεῖν τὰ ὑψηλότερα. εἰ ᾔδεις γάρ φησι, τὴν δωρεὰν τοῦ θεοῦ, τουτέστιν, εἰ ἐγίνωσκες, τί δωρεῖται θεὸς, καὶ ὅτι αἰώνια καὶ ἄφθαρτα, ᾔδεις δὲ καὶ ἐμὲ, ὅτι θεὸς ὢν δύναμαι ταῦτά σοι δοῦναι, σὺ ἂν ἐζήτησας, καὶ ἔλαβες ὕδωρ ζῶν. τὴν χάριν δὲ τοῦ ἁγίου πνεύματος ὕδωρ φησὶν εἶναι, διότι τε καθαίρει, καὶ πολλὴν παραψυχὴν χορηγεῖ τοῖς ὑποδεχομένοις. ὕδωρ δὲ οὐχ ἱστάμενον, οἷα τὰ ἐν λάκκοις καὶ φρέασι σηπεδονώδη καὶ διεφθορότα, ἀλλὰ ζῶν, τουτέστιν, ἀναβλύζον, ἀναπηδῦον, κινούμενον. ἡ γὰρ χάρις τοῦ πνεύματος ἀεικίνητον πρὸς τὸ ἀγαθὸν τὴν ψυχὴν ἐργάζεται, ἀναβάσεις ἀεὶ διατιθεμένην. τοιοῦτον ὕδωρ ἔπιε Παῦλος ζῶν καὶ ἀεικίνητον, τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. (Προς φι·γ'·) λέγει αὐτῷ ἡ γυνὴ κύριε· ὁρᾷς πῶς εὐθὺς τῆς ταπεινῆς ἐννοίας ἀποστᾶσα, πολλὴν τὴν τιμὴν αὐτῷ ἀπονέμει, κύριον, ὀνομάζουσα; οὐ μέντοι εἰς τὸ βάθος τῶν τοῦ Χριστοῦ ῥημάτων ἔφθασεν, ἀλλ᾽ ἄλλως μὲν ἐκεῖνος λέγει, ἄλλως δὲ ἐκείνη νοεῖ τὰ περὶ τοῦ ὕδατος·

» Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ; ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῇ. πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν, ὃς δ᾽ ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ, ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. λέγει πρὸς αὐτὸν ἡ γυνὴ, κύριε δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν·

Πατέρα ἑαυτῆς ποιεῖται τὸν Ἰακώβ, εἰς τὴν ἰουδαϊκὴν εὐγένειαν αὐτὴν συνωθοῦσα. ὅρα δέ μοι τὴν σύνεσιν τῆς γυναικὸς, πῶς εὐθὺς ἀπὸ τῆς τῶν ὑδάτων διαφορᾶς συλλογίζεται καὶ τὴν διαφορὰν τῶν διδόντων· εἰ γάρ φησι, τοιοῦτον ὕδωρ δώσεις, πάντως μείζων εἶ τοῦ τὸ παρὸν ὕδωρ δεδωκότος ἡμῖν Ἰακώβ. τὸ δὲ καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν, ἔπαινός ἐστι τῆς τοῦ ὕδατος ἡδύτητος. τοσοῦτον γάρ φησιν, ἠρέσκετο τῇ πηγῇ ὁ πατριάρχης, ὥστε καὶ αὐτὸς πιεῖν, καὶ οἱ υἱοὶ αὐτοῦ. τὸ δὲ καὶ τὰ θρέμματα αὐτοῦ πιεῖν, ἐνδεικτικόν ἐστι τῆς ἀφθονίας τοῦ ὕδατος. οὐ μόνον γάρ φησιν, ἡδύ ἐστι τὸ ὕδωρ, καὶ οὕτως ἡδὺ, ὡς καὶ τὸν Ἰακὼβ πιεῖν ἐξ αὐτοῦ, ἀλλὰ καὶ δαψιλὲς, καὶ οὕτως, ὥστε καὶ πρὸς τὸ πλῆθος τῶν θρεμμάτων τοῦ πατριάρχου ἀρκέσαι. εἰπούσης δὲ τῆς γυναικὸς, τὸ, μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν; ὁ κύριος φανερῶς μὲν οὐ λέγει, ὅτι ναὶ μείζων εἰμὶ, ἵνα μὴ δόξῃ κομπάζειν, μήπω δοὺς ἀπόδειξιν τῆς οἰκείας δυνάμεως, δι᾽ ὧν δὲ λέγει, τοῦτο κατασκευάζει, ὁ πίνων μὲν γὰρ ἐκ τοῦ ὕδατος τούτου διψήσει, ὁ δὲ ἐκ τοῦ ἐμοῦ πίνων, οὐ μὴ διψήσει. ὥστε εἰ θαυμάζεις τὸν Ἰακὼβ τὸν δόντα τὸ ὕδωρ τοῦτο, πολλῷ μᾶλλον ἐμὲ χρὴ θαυμάσαι, τὸ πολὺ βέλτιον ὕδωρ παρέχοντα. ὃ γὰρ ἐγὼ δίδωμι, πηγὴ γίνεται ὕδατος, ἀεὶ καὶ ἀεὶ πληθυνομένου. οὐ γὰρ ὅσον λάβωσιν οἱ ἅγιοι ἐκ θεοῦ, τοσοῦτον καὶ ἄχρι τέλους τηροῦσιν, ἀλλὰ σπέρματα μὲν καὶ ἀρχὰς τοῦ ἀγαθοῦ δέχονται διὰ τῆς χάριτος, προσδαπανῶσι δὲ καὶ αὐτοὶ καὶ αὔξουσιν, (Ματ·κε'·) ὃ καὶ διὰ τῆς τῶν ταλάντων παραβολῆς σημαίνει ὁ κύριος, καὶ διὰ τοῦ πανδοχέως· (Λουκ·ι'·) καὶ γὰρ ὁ τὰ δύο τάλαντα λαβὼν, ἐκέρδησεν ἄλλα δύο διὰ τῆς ἐπεργασίας. καὶ τῷ πανδοχεῖ δὲ τῷ τὸν τραυματισθέντα ὑπὸ λῃστῶν ὑποδεξαμένῳ, ὑπισχνεῖται ὁ κύριος, ὅτι ὃ ἐὰν προσδαπανήσῃς οἴκοθεν, ἐγὼ δώσω σοι. τοῦτο οὖν κἀνταῦθα αἰνίττεται, δίδωμι μὲν ἐγὼ ὕδωρ τῷ διψῶντι, ἐκεῖνο δὲ, ὅπερ δίδωμι, οὐ μένει τοσοῦτον, ἀλλὰ πλημμυρεῖ, καὶ πηγὴ γίνεται. δέδωκε δὲ τῷ Παύλῳ ὕδωρ βραχὺ ὁ κύριος, τὰς τοῦ Ἀνανίου κατηχήσεις, ἀλλὰ πηγὴν ὁ Παῦλος τὸ βραχὺ ἐκεῖνο τῆς διδασκαλίας ὕδωρ (Πράξ·θ'·) τοῦ Ἀνανίου ἀπέδειξεν, ὥστε ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ φθάσαι τὰ τῆς πη- (Προς ρω·ιε'·)

γῆς ἐκείνης ὁρμήματα. ἡ γυνὴ δὲ πῶς ποτε ἄρα περὶ ταῦτα διάκειται; ταπεινῶς μὲν ἔτι νομίζει γὰρ περὶ ὕδατος αἰσθητοῦ τοὺς λόγους εἶναι, πλὴν ἀλλ' ἐμφαίνει καί τινα προκοπήν. τὸ μὲν γὰρ πρότερον ἠπόρει, λέγουσα πόθεν ἔχεις ὕδωρ ζῶν; νῦν δὲ ἀνενδοιάστως δεξαμένη τὸν λόγον, φησὶ, δός μοι τοῦτο τὸ ὕδωρ. ἔοικεν οὖν αὕτη συνετωτέρα εἶναι τοῦ Νικοδήμου, ἐκεῖνος μὲν γὰρ μυρίων ἀκούσας τοιούτων, ἔλεγε, πῶς ταῦτα γενέσθαι δύναται; αὕτη δὲ ἄρχεται καταφρονεῖν ἤδη καὶ τῆς πηγῆς τοῦ Ἰακώβ. εἰ γάρ φησι, τοιοῦτον ὕδωρ ἔχεις, δός μοι, καὶ οὐκ ἔτι ἐλεύσομαι ὧδε, ὥστε ἀντλεῖν. ὁρᾷς, πῶς προέκρινε τὸν κύριον τοῦ Ἰακώβ.

» Λέγει αὐτῇ ὁ Ἰησοῦς, ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. ἀπεκρίθη
» δὲ ἡ γυνὴ, καὶ εἶπεν αὐτῷ, οὐκ ἔχω ἄνδρα. λέγει αὐτῇ ὁ Ἰησοῦς. καλῶς εἶπας, ὅτι ἄν-
» δρα οὐκ ἔχω, πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν οὓ ἔχεις, οὐκ ἔστι σου ἀνήρ, τοῦτο ἀλη-
» θῶς εἴρηκας, λέγει αὐτῷ ἡ γυνὴ, κύριε θεωρῶ, ὅτι προφήτης εἶ σύ. οἱ πατέρες ἡ-
» μῶν ἐν τούτῳ τῷ ὄρει προσεκύνησαν, καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τό-
» πος, ὅπου δεῖ προσκυνεῖν. λέγει αὐτῇ ὁ Ἰησοῦς, γύναι πίστευσόν μοι, ὅτι ἔρχεται ὥ-
» ρα, ὅτε οὔτε οὐ ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. ὑμεῖς
» προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν.

Ὕπαγε, φώνησόν σου τὸν ἄνδρα. ἐπεὶ γὰρ ἑώρα αὐτὴν ἐπικειμένην, ὥστε λαβεῖν, καὶ ἀναγκάζουσαν αὐτὸν δοῦναί φησι, φώνησόν σου τὸν ἄνδρα, ὡσανεὶ ἐνδεικνύμενος, ὅτι κἀκεῖνον δεῖ κοινωνόν σοι γενέσθαι τῆς δωρεᾶς ταύτης τῆς ἐμῆς. ἐκείνη δὲ ἅμα μὲν λαθεῖν, ἅμα δὲ καὶ λαβεῖν σπεύδουσα, φησὶν, οὐκ ἔχω ἄνδρα. ὁ δὲ κύριος διὰ προφητείας λοιπὸν ἀνακαλύπτων τὴν οἰκείαν δύναμιν, τούς τε προτέρους ἀριθμεῖ, καὶ τὸν νῦν ἐγκρυπτόμενον ἤλεγξεν. ἆρα οὖν ἐδυσχέρανεν ἐκείνη ταῦτα ἀκούσασα; ἢ ἀφεῖσα τοῦτον ἔφυγεν; οὐχὶ, ἀλλὰ θαυμάσασα μᾶλλον, καὶ προσκαρτερήσασα πλέον, λέγει, κύριε θεωρῶ, ὅτι προφήτης εἶ σὺ καὶ περὶ δογμάτων ἐνθέων αὐτὸν ἐρωτᾷ, οὐ περὶ βιωτικῶν, οἷον σώματος ὑγείας, ἢ χρημάτων, οὕτω φιλόσοφον εἶχεν καὶ εὐφυᾶ πρὸς ἀρετὴν τὴν ψυχήν. ἀλλὰ τί; οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν. ταῦτα δὲ λέγει διὰ τὸν περὶ τὸν Ἀβραάμ, καὶ γὰρ ἐκείνῳ φασὶν ὑπ' αὐτοῦ ἀνηνέχθαι τὸν Ἰσαὰκ εἰς θυσίαν. καὶ πῶς φησιν, ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις δεῖ προσκυνεῖν; εἶδες πῶς ὑψηλοτέρα γέγονεν; ἡ γὰρ πρὸ μικροῦ μεριμνῶσα ὑπὲρ τοῦ μὴ σκύλλεσθαι διὰ τοῦ δίψην, περὶ δογμάτων ἐρωτᾷ. διὸ καὶ ὁ Χριστὸς ἰδὼν τὴν αὐτῆς σύνεσιν, τοῦτο μὲν τὸ ἀπόρημα αὐτῆς οὐ λύει, οὐ γὰρ ἦν περισπούδαστον, ἄλλο δὲ μεῖζον δόγμα ἀνακαλύπτει, ὅπερ οὐδὲ Νικοδήμῳ οὐδὲ Ναθαναὴλ ἀπεκάλυψεν. ἔρχεται γάρ φησιν, ὥρα, ὅτε οὔτε ἐν Ἱεροσολύμοις, οὔτε ἐνταῦθα προσκυνηθήσεται ὁ θεός. σὺ μὲν γάρ φησι, σπουδάζεις δεῖξαι τὰ τῶν Σαμαρειτῶν ἐντιμότερα τῶν παρὰ τοῖς Ἰουδαίοις, ἐγὼ δὲ λέγω σοι, ὅτι οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἕξουσι τὸ πρεσβεῖον, ἀλλ' ἑτέρα τις ἔσται κατάστασις, ἀμφοτέρων ἀμείνων. πλὴν καὶ οὕτω τοὺς Ἰουδαίους σεμνοτέρους τῶν Σαμαρειτῶν ὑμῶν ἀποφαίνω. ὑμεῖς γάρ φησι, προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς δὲ οἱ Ἰουδαῖοι ὃ οἴδαμεν, ἑαυτὸν δὲ μετὰ τῶν Ἰουδαίων ἀριθμεῖ. διότι πρὸς τὴν ὑπόνοιαν τῆς γυναικὸς φθέγγεται, ὡς προφήτην γὰρ Ἰουδαῖον αὐτὸν ὑπενόει ἐκείνη, καὶ διὰ τοῦτό φησι, ἡμεῖς προσκυνοῦμεν. πῶς δὲ οὐκ ᾔδεισαν οἱ Σαμαρεῖται ὃ προσεκύνουν; τόπῳ περικλείεσθαι ἐνόμιζον τὸν θεόν. διὸ καὶ πέμψαντες, ὅτε ὑπὸ τῶν λεόντων κατεβιβρώσκοντο, ὡς ἄνω εἴρηται, ἀπήγγειλαν τῷ βασιλεῖ τῶν Ἀσσυρίων, ὅτι ὁ τοῦ τόπου θεὸς αὐτοὺς οὐ παραδέχεται. ἔνθεν τοι καὶ ἔμειναν ἄχρι πολλοῦ καὶ εἴδωλα θεραπεύοντες, καὶ οὐκ αὐτὸν δὲ τὸν θεόν. Ἰουδαῖοι δὲ ταύτης ἦσαν ἀπηλλαγμένοι τῆς ὑπονοίας, καὶ θεὸν τῶν

Γενέ. κβ'.

δ'. Βασιλ. ιζ'.

ἁπάντων

ἁπάντων αὐτὸν ᾔδεισαν, εἰ καὶ μὴ πάντες.

» Ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. Διπλῆν ἔννοιαν τοῦτο δίδωσιν ἡμῖν, ἢ γὰρ ὅτι τῇ οἰκουμένῃ τὰ ἀγαθὰ ἐκ τῶν Ἰουδαίων γέγονε. τὸ γὰρ εἰδέναι θεὸν καὶ καταγινώσκειν εἰδώλων, ἐκεῖθεν τὴν ἀρχὴν ἔσχε, καὶ τὰ ἄλλα πάντα δόγματα, καὶ αὐτὸ δὲ τοῦτο τὸ τῆς προσκυνήσεως παρ' ὑμῖν τοῖς σαμαρείταις, εἰ καὶ μὴ ὀρθῶς, ἀλλὰ γοῦν τῶν ἰουδαίων τὴν ἀρχὴν ἔσχεν. ἢ σωτηρίαν τὴν οἰκείαν παρουσίαν ὀνομάζει, ἥτις ἐκ τῶν ἰουδαίων γέγονεν. ἔστι δὲ καὶ αὐτὸν τὸν κύριον σωτηρίαν νοῆσαι, ὃς ἐγένετο ἐκ τῶν Ἰουδαίων τὸ κατὰ σάρκα.

» Ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πα-
» τρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας
» αὐτόν. πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ
» προσκυνεῖν. Εἰ καὶ πλέον ὑμῶν τῶν σαμαρειτῶν ἔχομεν ἡμεῖς οἱ Ἰουδαῖοι τῷ τρόπῳ τῆς προσκυνήσεως, ἀλλὰ καὶ τὰ τῶν Ἰουδαίων τέλος ἕξει λοιπόν. οὐ γὰρ τὰ τῶν τόπων ἀμειφθήσεται μόνον, ἀλλὰ καὶ τὰ τοῦ τρόπου τῆς λατρείας, καὶ ταῦτα ἐπὶ θύραις ἐφέστηκε, καὶ νῦν ἐστιν, οὐ γὰρ ὡς τὰ παρὰ τῶν προφητῶν εἰρημένα, παράτασιν χρονικὴν λήψονται. ἀληθινοὺς δὲ προσκυνητάς φησι τοὺς κατὰ τὸν αὐτοῦ νόμον πολιτευομένους, οἳ οὐ τόπῳ περικλείουσι τὸν θεόν, ὡς οἱ σαμαρεῖται, ἢ λατρείᾳ θεραπεύουσιν αὐτὸν σωματικῇ ὡς Ἰουδαῖοι, ἀλλ' ἐν πνεύματι καὶ ἀληθείᾳ, τουτέστι, διὰ τῆς ψυχῆς, διὰ τῆς τοῦ νοὸς καθαρότητος. ἐπεὶ γὰρ ὁ θεὸς πνεῦμά ἐστι, τουτέστιν ἀσώματος, δεῖ αὐτὸν προσκυνεῖν ἀσωμάτως, ὅ ἐστι κατὰ ψυχήν. τοῦτο γὰρ διὰ τοῦ ἐν πνεύματι δηλοῖ, καὶ γὰρ καὶ πνεῦμα, καὶ ἀσώματον ἡ ψυχή. ἐπεὶ δὲ πολλοὶ δοκοῦσι μὲν αὐτὸν προσκυνεῖν κατὰ ψυχήν, οὐκ ὀρθὴν δὲ δόξαν περὶ αὐτοῦ ἔχουσιν, ὡς οἱ αἱρετικοί, διὰ τοῦτο προσέθηκε τό, ἐν ἀληθείᾳ, δεῖ γὰρ καὶ κατὰ νοῦν προσκυνεῖν τῷ θεῷ, ἀλλὰ καὶ ἀληθῆ δόξαν περὶ αὐτοῦ ἔχειν. τάχα δέ τις ἐρεῖ, ὅτι τὰ δύο τῆς καθ' ἡμᾶς φιλοσοφίας ἐνταῦθα μέρη αἰνίττεται, πρᾶξιν λέγω καὶ θεωρίαν, διὰ τῶν δύο τούτων, διὰ μὲν τοῦ ἐν πνεύματι, τὸ πρακτικόν. ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, (πρὸς ῥωμ. η.) τὰς πράξεις τοῦ σώματος θανατοῦσι κατὰ τὸν θεῖον ἀπόστολον. καὶ πάλιν ἡ σάρξ, ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. (πρὸς γαλ. ε.) ὥστε τὴν πρακτικὴν αἰνίττεται διὰ τοῦ ἐν πνεύματι, διὰ δὲ τοῦ ἐν ἀληθείᾳ τὸ θεωρητικόν. ταῦτα δὲ καὶ παῦλός φησιν, ὅταν λέγῃ ἐν ἀζύμοις εἰλικρινείας, ἤτοι καθαρότητος βίου, ὅ ἐστι τοῦ (α. πρὸς κο. ε.) πρακτικοῦ, καὶ ἀληθείας, ὅ ἐστι τοῦ θεωρητικοῦ, τὸ γὰρ θεωρητικὸν περὶ τὴν ἀλήθειαν καταγίνεται τοῦ δογματικοῦ λόγου. καὶ ἄλλως, ἐπεὶ τῶν σαμαρειτῶν ἴδιον ἦν τὸ περικλείειν τόπῳ τὸν θεόν, καὶ λέγειν ὅτι ἐν τούτῳ τόπῳ δεῖ προσκυνεῖν, τοῖς δὲ Ἰουδαίοις τυπικῶς πάντα ἐτελεῖτο καὶ σκιωδῶς, τὸ μὲν ἐν πνεύματι πρὸς ἀντιδιαστολὴν τῶν σαμαρειτῶν φησιν, ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον. ὑμεῖς μὲν οἱ σαμαρεῖται τοπικήν τινα λατρείαν προσάγετε τῷ θεῷ, οἱ δὲ ἀληθινοὶ προσκυνηταὶ οὐ τοπικὴν προσάξουσιν, ἐν πνεύματι γὰρ λατρεύσουσιν, ἤτοι τῷ ναῷ καὶ τῇ ψυχῇ. ἀλλ' οὐδὲ κατὰ τοὺς Ἰουδαίους ἐν τύπῳ καὶ σκιᾷ προσκυνήσουσιν, ἀλλ' ἐν ἀληθείᾳ, οἷα τῶν ἰουδαϊκῶν ἐθῶν τε καὶ παρατηρημάτων μελλόντων καταλυθῆναι. τάχα δὲ ἐπεὶ ὁ ἰουδαϊκὸς νόμος κατὰ τὸ γράμμα νοούμενος, τύπος καὶ σκιὰ ἦν, πρὸς ἀντιδιαστολὴν μὲν τοῦ γράμματος κεῖται τὸ ἐν πνεύματι, οὐκ ἔτι γὰρ ὁ τοῦ γράμματος ἐν ἡμῖν πολιτεύεται νόμος, ἀλλ' ὁ τοῦ πνεύματος, τὸ μὲν γὰρ γράμμα ἀποκτένει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. πρὸς ἀντιδιαστολὴν δὲ τοῦ τύπου καὶ τῆς σκιᾶς τὸ ἐν ἀληθείᾳ. (β. πρὸς κο. γ.) ἔρχεται οὖν, φησιν, ὥρα, μᾶλλον δὲ καὶ νῦν ἐστιν, ὁ τῆς ἐμῆς δηλαδὴ σωματικῆς πα-

ρουσίας καιρὸς, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ οὔτε κατὰ σαμαρείτας ἐν τόπῳ ἑνὶ προσ-
κυνήσουσιν, ἀλλ' ἐν παντὶ τόπῳ κατὰ πνεῦμα, καὶ ἀσωμάτως τὴν προσκύνησιν προσ-
Πρὸς ῥω· α· φέροντες, ὥσπερ καὶ παῦλος φησὶν, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, οὔτε κατὰ τοὺς
ἰουδαίους τυπικὴν καὶ σκιώδη, καὶ τῶν μελλόντων ἐμφαντικὴν λατρείαν προσφέρου-
σιν, ἀλλ' ἀληθῆ καὶ μηδὲν σκιῶδες ἔχουσαν. τοιούτους γὰρ ζητεῖ τοὺς προσκυνητὰς ὁ
θεὸς, ἐπειδὴ πνεῦμά ἐστι, πνευματικούς, καὶ ἐπειδὴ ἀλήθειά ἐστιν, ἀληθινούς·

» Λέγει αὐτῷ ἡ γυνὴ, οἶδα ὅτι μεσσίας ἔρχεται ὁ λεγόμενος χριστός. ὅταν ἔλθῃ ἐκεῖ-
» νος, ἀναγγελεῖ ἡμῖν πάντα. λέγει αὐτῇ ὁ ἰησοῦς, ἐγώ εἰμι ὁ λαλῶν σοι, καὶ ἐπὶ τού-
» τῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν, ὅτι μετὰ γυναικὸς ἐλάλει, οὐδεὶς μέν-
» τοι εἶπε, τί ζητεῖς, ἢ τί λαλεῖς μετ' αὐτῆς· Πόθεν ἡ γυνὴ ἠπίστατο, ὅτι μεσσίας ἔρ-
χεται ὁ λεγόμενος χριστός; ἐκ τῶν μωσαϊκῶν γραφῶν· καὶ γὰρ ἔφθημεν εἰπόντες, ὅτι
τὴν πεντάτευχον μωϋσέως οἱ σαμαρεῖται ἐδέξαντο· ἐπεὶ οὖν τὰ μωσαϊκὰ ἐδέξαντο, ἐκ
Γενέ· α· τούτων ᾔδεισαν τὰς περὶ χριστοῦ προφητείας, καὶ ὅτι υἱός ἐστι τοῦ θεοῦ. τό, τε γὰρ ποιή-
Γενέ· ιη· σωμεν ἄνθρωπον, ὡς πρὸς τὸν υἱὸν εἰρῆσθαι παρὰ τοῦ πατρὸς ἐμφαίνει. καὶ τῷ ἀβραὰμ
Γενέ· μθ· δὲ ἐν τῇ σκηνῇ ὁ υἱὸς ἦν ὁ διαλεγόμενος. καὶ ὁ ἰακὼβ περὶ ἑαυτοῦ προφητεύων ἔλε-
Δευτε· ιη· γε, τὸ οὐκ ἐκλείψει ἄρχων ἐξ ἰούδα, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται. καὶ αὐτὸς δὲ μωϋσῆς,
προφήτην ἀναστήσει κύριος ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε, καὶ πολ-
λὰ ἕτερα τὴν τοῦ χριστοῦ παρουσίαν ἀνακηρύττουσι. διὰ τοῦτο οὖν φησιν ἡ γυνὴ, οἶδα ὅτι
ἔρχεται μεσσίας. ὁ δὲ κύριος λοιπὸν ἐκκαλύπτει αὐτῇ ἑαυτὸν, οὔπω τῆς ἀκολουθίας
τοῦ λόγου ἀπαιτησάσης. εἰ δὲ εὐθὺς ἐξ ἀρχῆς εἶπεν, ὅτι ἐγώ εἰμι ὁ χριστὸς, οὔτε τὴν
γυναῖκα ἔπεισεν ἄν, καὶ ἔδοξε φορτικός τις εἶναι καὶ ἀλαζών, νῦν δὲ κατὰ μικρὸν αὐ-
τὴν προσβιβάσας ἐπὶ τὸ ἀναμνησθῆναι τῆς περὶ χριστοῦ προσδοκίας, οὕτως ἤδη ἑαυ-
τὸν ἐκκαλύπτει. τίνος δὲ ἕνεκεν τοῖς μὲν ἰουδαίοις συνεχῶς ἐρωτῶσιν, εἰπὲ ἡμῖν εἰ σὺ
εἶ ὁ χριστὸς, οὐκ ἀπεκάλυψεν ἑαυτὸν, τῇ δὲ γυναικὶ λέγει; ἐκείνοις μὲν οὐδὲν λέγει;
διότι οὐκ ἐπὶ τῷ μαθεῖν ἠρώτων, ἀλλ' ἐπὶ τῷ μᾶλλον συκοφαντῆσαι, ταύτῃ δὲ, διὰ
τὸ εὐγνώμονα εἶναι, φανερῶς ἑαυτὸν ἀποκαλύπτει. καὶ γὰρ ἐξ ἁπλῆς γνώμης καὶ δια-
νοίας, καὶ ποθοῦσα μαθεῖν τὸ ἀληθὲς, ἠρώτα. καὶ δῆλον ἐκ τῶν μετὰ ταῦτα. καὶ γὰρ
ἀκούσασα, οὐ μόνον αὐτὴ ἐπίστευσεν, ἀλλὰ καὶ ἄλλους εἰς πίστιν ἐσαγήνευσεν, καὶ παν-
ταχοῦ ἡ γυνὴ φαίνεται καὶ ἠκριβωμένη καὶ πιστή. ἀπαρτισθείσης δὲ λοιπὸν τῆς πρὸς
τὴν γυναῖκα ὁμιλίας καὶ διδασκαλίας, εὐκαίρως ἀπήντησαν οἱ μαθηταὶ, καὶ ἐθαύ-
μαζον τὸ ἄτυφον αὐτοῦ, ὅτι οὕτως ὢν ἔνδοξος καὶ περιβόητος παρὰ πᾶσιν, ἠνείχετο
μετὰ τοσαύτης συγκαταβάσεως γυναικὶ διαλέγεσθαι πενιχρᾷ καὶ σαμαρείτιδι. θαυ-
μάζοντες δὲ ὅμως, οὐ θαρροῦσιν ἐρωτῆσαι, περὶ τίνος αὐτῇ διαλέγεται, οὕτως ἦσαν
πεπαιδευμένοι, καὶ τὴν μαθηταῖς πρέπουσαν εὐλάβειαν ἐτήρουν πρὸς τὸν διδάσκα-
Ἰωάν· ιγ· λον. εἰ δέ που καὶ φαίνοιντο παρρησιαζόμενοι, ὥσπερ ἰωάννης ἡνίκα ἐπιπίπτει ἐπὶ τὸ στῆ-
Ματθ· ιη· θος, καὶ ὅταν προσιόντες λέγωσιν, τίς μείζων; καὶ ὅταν οἱ τοῦ ζεβεδαίου παρακαλῶ-
Ματθ· κ· σιν, ἵνα εἷς ἐξ εὐωνύμων, καὶ εἷς ἐκ δεξιῶν καθίσωσιν, ἀλλ' ἐκεῖνα ὡς εἰς αὐτοὺς ἀνήκον-
τα, καὶ τέως ἀναγκαῖα αὐτοῖς φαινόμενα, ἐξετάζουσιν. ἐνταῦθα δὲ ἐπεὶ μὴ τοσοῦτον
αὐτοῖς διέφερε τὸ ζητεῖν, ὃ μὴ ἀναγκαῖον ἦν ὅλως, διὰ τοῦτο οὐ χρῶνται τῇ παρρησίᾳ
ὡς μὴ ἐχούσῃ καιρόν·

» Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ, καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς
» ἀνθρώποις· δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα, μήτι οὗτός ἐστιν ὁ
» χριστός; ἐξῆλθον οὖν ἐκ τῆς πόλεως καὶ ἤρχοντο πρὸς αὐτόν· Τοσοῦτον ἀνήφθη
τὴν καρδίαν ἡ γυνὴ ἀπὸ τῶν εἰρημένων, ὥστε καὶ τὴν ὑδρίαν ἀφεῖναι, οὕτως ἄρα

ταχέως

ταχέως προετίμησε τὸ ὕδωρ τοῦ χριστοῦ τῆς τοῦ Ἰακὼβ πηγῆς, καὶ δὴ ἀπόστολος γί-
νεται ὑπὸ τῆς τὴν καρδίαν αὐτῆς περιλαβούσης πίστεως, χειροτονηθεῖσα, καὶ πό-
λιν ὁλόκληρον διδάσκει καὶ ἐφέλκεται. δεῦτε, φησὶν, ἴδετε ἄνθρωπον, ὅς εἶπέ μοι πάν
τα ὅσα ἐποίησα. οὕτως ἐπειδὰν πυρωθῇ ἡ ψυχὴ πυρὶ θείῳ, πρὸς οὐδὲν τῶν ἐν γῇ ὁ-
ρᾷ, οὐ πρὸς αἰσχύνην, οὐ πρὸς ἀτιμίαν. ἰδοὺ οὖν καὶ αὕτη οὐκ αἰσχύνεται καὶ τὰ οἰκεῖα
ἐκπομπεύουσα, ἀλλὰ φησίν. ὅς εἶπέ μοι πάντα, ὅσα ἐποίησα. καίτοιγε ἠδύνατο καὶ
ἑτέρως εἰπεῖν, δεῦτε ἴδετε προφήτην προφητεύοντα, ἀλλ᾽ οὐχ οὕτως, ἀλλὰ καταφρο
νεῖ τῆς οἰκείας δόξης, καὶ πρὸς τὸ κηρύξαι τὴν ἀλήθειαν, ἀποβλέπει μόνον. οὐ λέγει
δὲ, ὅτι οὗτός ἐστιν ὁ χριστὸς ἀποφαντικῶς, ἀλλὰ μήτι οὗτός ἐστιν ὁ χριστός. βουλομένη λοι
πὸν αὐτοὺς ἐκείνοις συμψήφους λαβεῖν, καὶ εὐπαραδεκτότερον ποιοῦσα τὸν λόγον.
εἰ γὰρ ἀπεφήνατο, ὅτι οὗτός ἐστιν ὁ χριστὸς, τυχὸν ἂν καὶ ἀπεδυσπέτησάν τινες, τὴν
ψῆφον αὐτῆς ὡς διαβεβλημένης μὴ παραδεχόμενοι. ἐνόησαν δέ τινες τοὺς πέντε ἄν-
δρας τῆς σαμαρείτιδος εἶναι τὰ πέντε βιβλία, ἃ ἡ σαμαρεῖτις μόνη παρεδέχετο.
ὃν δὲ νῦν ἔχεις, φησὶ, τουτέστιν ὁ λόγος ὁ ἐμὸς, ὃν νῦν ἐξ ἐμοῦ δέχῃ, οὐκ ἔστι σου ἀνὴρ,
οὔπω γὰρ συνεζεύχθης, φησὶ, τῇ ἐμῇ τοῦ Ἰησοῦ διδασκαλίᾳ. εἴποι δ᾽ ἄν τις καὶ εἰς τύ-
πον τῆς ἀνθρωπίνης φύσεως λογίζεσθαι τὴν σαμαρείτιν. ἡ γὰρ φύσις ἡμῶν πάλαι μὲν
ἐν ὄρει κατῴκει, τῷ νοῒ τῷ πλήρει τῆς θείας χάριτος, πρὶν ἢ γὰρ ἁμάρτῃ ὁ Ἀδὰμ,
πᾶσι θείοις ἐκεκόσμητο χαρίσμασι. καὶ γὰρ καὶ προφήτης ἦν, ἐγερθεὶς γὰρ ἀπὸ τοῦ
ὕπνου, περί τε τῆς διαπλάσεως τῆς γυναικὸς, καὶ περὶ τῆς πρὸς αὐτὴν σχέσεως τοῦ
ἀνδρὸς ἀπεφήνατο, ἔφησε γὰρ, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ ὅτι ἀντὶ τού- Γενέ. β.
του καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα. τότε μὲν οὖν ἡ φύσις ἡ-
μῶν ἐν τῷ ὄρει τούτῳ, τῷ ὑψηλῷ νοῒ, ἀλλὰ προσκρούσασα τῷ θεῷ, αἰχμάλωτος ἀ-
πήχθη. καὶ τὸ μὲν σπέρμα τὸ ἅγιον, πᾶσαν ἔννοιαν λέγω θειοτέραν ὁ αἰχμαλωτίσας
ἡμᾶς διάβολος, ἀπήγαγεν εἰς Βαβυλῶνα, τὴν σύγχυσιν φημὶ τοῦδε τοῦ κόσμου. ἀν-
τενῴκισε δὲ καὶ τοὺς βαρβαρικοὺς λογισμοὺς, οὓς οἱ λέοντες, οἱ βασιλεύοντες ἐν ἡμῖν
ἀγαθοὶ λογισμοὶ κατήσθιον, ἄχρις ἂν ἔπεισαν αὐτοὺς παραδέξασθαι τὰ τοῦ θεοῦ λό-
για. ἀλλ᾽ οὐδὲ ταῦτα ὁλοκλήρως, ἡ γὰρ κακία ἅπαξ ἐν τῷ ὄρει, ἡμῶν τῷ νοῒ λέγω,
κατοικήσασα, ἐδέξατο μὲν τὰ μωσέως, οὐχ ὁλοκλήρως δὲ τοῦ καλοῦ ἐγένετο, ἀλλὰ καὶ
ἔτι ὑπὸ κατάραν ἦν. ὁ τοίνυν Ἰησοῦς ὁδοιπορήσας, τουτέστι πολλὰς ὁδοὺς οἰκονομιῶν,
καὶ τρόπους πρὸς ἡμετέραν σωτηρίαν μετελθὼν, καί ποτε μὲν ἀπειλαῖς, ποτὲ δὲ
κακῶν πληγαῖς, ποτὲ δὲ εὐεργεσίαις, ἄλλοτε δὲ ἀγαθῶν ὑποσχέσεσι μεθοδεύων τὴν ἡ-
μετέραν ζωὴν, ἀπέκαμε μὲν, τοιούτοις τρόποις ἐπιχειρῶν ἡμᾶς διορθώσασθαι, εὗρε
δὲ καὶ ἄλλην οἰκονομίαν, ἐν ᾗ καὶ ἐκάθισε, καὶ ἐπανεπαύσατο ἀρεσθεὶς ταύτῃ, ποίαν;
τὴν πηγὴν τοῦ βαπτίσματος, ἐν ᾗ τὴν φύσιν ἡμῶν ὥσπερ τινὰ σαμαρεῖτιν εὐηργέτη-
σεν. ἡ δὲ πηγὴ αὕτη τοῦ βαπτίσματος πηγὴ Ἰακὼβ εἰκότως ἂν λεχθείη, τουτέστι πτερνι-
σοῦ, ἐν αὐτῇ γὰρ τῇ πηγῇ πτερνίζεται τὸν διάβολον. ἐπεὶ καὶ ὁ κύριος ἐν ταύτῃ συνέ-
θλασε τὴν κεφαλὴν τοῦ δράκοντος, οὗ καὶ ἔδωκε βρῶμα λαοῖς τοῖς αἰθίοψι. τῷ γὰρ Ψαλ. ογ'.
δράκοντι τούτῳ οὐκ ἄλλοι τινὲς ἐνευφραίνονται καὶ τρέφονται, εἰ μὴ οἱ ἐζοφωμένοι
καὶ μέλανες τὴν ψυχὴν, καὶ τοῦ θείου φωτὸς ἀμέτοχοι. ταύτῃ δὲ τῇ φύσει ἡμῶν πέν
τε ἄνδρες συνεζύγησαν, οἱ διάφοροι νόμοι, οἱ παρὰ τοῦ θεοῦ δοθέντες αὐτῇ, ὁ ἐν τῷ πα Γενέ. α'.
ραδείσῳ, ὁ ἐπὶ τοῦ Νῶε, ὁ ἐπὶ τοῦ Ἀβραὰμ, ὁ ἐπὶ τοῦ Μωσέως, ὁ διὰ τῶν προφητῶν. ὁ θ'
Νῶε γὰρ μετὰ τὸν κατακλυσμὸν διαταγήν τινα ἐδέξατο, καὶ ὁ Ἀβραὰμ τὴν τῆς πε ιζ'.
ριτομῆς. τούτοις οὖν τοῖς πέντε νόμοις συζυγεῖσα ἡ φύσις, καὶ ἕκτον προσέλαβεν ὕστε Ἔξο. κ'.
ρον ὃν οὐκ εἶχεν ἄνδρα, οὐδὲ συνεζύγη οὐδέπω, τὸν τῆς καινῆς διαθήκης. νοήσειε δ᾽ ἄν

τις ἕκτον νόμον, οὗ ἄνδρα οὐκ εἶχεν ἡ φύσις, τὸν τῆς εἰδωλολατρείας. τοῦτον γὰρ δὴ τὸν νόμον οὐκ εἶχεν ἐκ θεοῦ δοθέντα αὐτῇ σύζυγον, ἀλλ᾽ ὡς μοιχαλὶς ἐμίγνυτο τούτῳ. διὸ καὶ ὁ προφήτης φησὶ, καὶ ἐμοιχῶντο ἐν τῷ ξύλῳ. καὶ πάλιν, ἐξεπόρνευσαν ὀπίσω παντὸς ξύλου, διὰ τὰ γλυπτὰ δηλαδὴ καὶ τὰ δένδρα ἃ ἐτίμων. εἰς τοσοῦτον γὰρ ἀνοησίας ἐξετραχηλίσθη ἡ φύσις, ὥστε καὶ δένδροις ὡραίοις διὰ τὸ κάλλος θύειν, κυπαρίσσοις, καὶ πλατάνοις, καὶ τοῖς τοιούτοις. ὅτε τοίνυν τὸν ἕκτον τοῦτον μοιχὸν ὁ ἄνθρωπος ἔστερξε, καὶ εἰς εἰδωλολατρείας ἐξωλίσθησε, τότε ὁ κύριος ἐλθὼν ἀπαλλάττει ἡμᾶς ταύτης. διὸ καὶ φησὶν, ὃν νῦν ἔχεις, καὶ γὰρ οὕτως κατὰ τοὺς τῆς τοῦ Χριστοῦ παρουσίας χρόνους εἰς ἑλληνισμὸν καὶ Ἰουδαίων οἱ σοφώτεροι ἐξετράπησαν, καὶ δηλοῖ ἡ τῶν φαρισαίων αἵρεσις εἱμαρμένῃ καὶ ἀστρολογίᾳ πιστεύουσα. ἔστι δὲ Σαμαρεῖτις καὶ πᾶσα ψυχὴ, ἡ ταῖς πέντε αἰσθήσεσιν ἀλόγως ὑποζυγεῖσα, εἶτα καὶ τὴν περὶ τὰ δόγματα σφαλερότητα, οἷόν τινα ἕκτον μοιχὸν προσλαβομένη, ἣν ὁ Ἰησοῦς εὐεργετεῖ, εἴτε διὰ τοῦ βαπτίσματος, εἴτε διὰ τῆς πηγῆς τῶν δακρύων. καὶ τὰ δάκρυα γὰρ φρέαρ τοῦ Ἰακὼβ ἂν λεχθείη, τοῦ ἡμετέρου νοῦ, τοῦ πτερνίζοντος τὴν κακίαν. ἐξ οὗ ὕδατος αὐτός τε ὁ νοῦς πίνει, καὶ οἱ υἱοὶ αὐτοῦ οἱ λογισμοὶ, καὶ τὰ θρέμματα αὐτοῦ, τὰ ἄλογα μέρη τῆς ψυχῆς, θυμὸς καὶ ἐπιθυμία, τὰ γὰρ δάκρυα τῷ νῷ, καὶ τοῖς λογισμοῖς, καὶ τοῖς λοιποῖς εἰς ἀνάψυξιν γίνονται.

» Ἐν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες. ῥαββεὶ φάγε, καὶ
» εἶπεν αὐτοῖς, ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. ἔλεγον οὖν οἱ μαθηταὶ
» πρὸς ἀλλήλους, μήτις ἤνεγκεν αὐτῷ φαγεῖν; λέγει αὐτοῖς ὁ Ἰησοῦς, ἐμὸν βρῶμά ἐ-
» στιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον.

Ἠρώτων οἱ μαθηταὶ τὸν κύριον, ἀντὶ τοῦ παρεκάλουν, ὥστε φαγεῖν οὐκ ἐκ προπετοῦς γνώμης, ἀλλ᾽ ἐκ πολλῆς φιλοστοργίας τῆς πρὸς τὸν διδάσκαλον, καὶ γὰρ ἔβλεπον αὐτὸν κεκμηκότα ὑπὸ τῆς ὁδοιπορίας, καὶ τῆς ἐπικειμένης φλογός. ὁ δὲ κύριος γινώσκων, ὅτι ἡ Σαμαρεῖτις μέλλει ἐπισπάσασθαι πᾶσαν σχεδὸν τὴν πόλιν πρὸς αὐτὸν, καὶ ὅτι πιστεύσωσιν αὐτῷ οἱ Σαμαρεῖται, ἐγώ φησι, βρῶσιν ἔχω φαγεῖν, τουτέστι, τὴν σωτηρίαν τῶν ἀνθρώπων, οὕτω γὰρ ταύτης ἐπιθυμῶ, ὡς οὐδεὶς ὑμῶν τῆς αἰσθητῆς βρώσεως. ταύτην δὲ τὴν βρῶσιν, ἣν ἔχω φαγεῖν, ὑμεῖς οἱ μαθηταί μου οὐκ οἴδατε, παχεῖς γὰρ ὄντες ἔτι, καὶ μὴ δυνάμενοι νοῆσαι τὰ αἰνιγματωδῶς ὑπ᾽ ἐμοῦ λεγόμενα, οὐκ οἴδατε ὅτι βρῶσιν ὀνομάζω τὴν τῶν ἀνθρώπων σωτηρίαν, καὶ ἄλλως δὲ, οὐκ οἴδατε ταύτην τὴν βρῶσιν, οὐ γὰρ γινώσκετε, ὅτι πιστεύσουσί μοι οἱ Σαμαρεῖται, καὶ σωθήσονται. τί οὖν οἱ μαθηταί; ἔτι διαποροῦσι, μήτις ἤνεγκεν αὐτῷ φαγεῖν; οὐ τολμῶσι γὰρ, διὰ τὴν συνήθη αὐτοῖς εὐλάβειαν πεῦσιν προσαγαγεῖν αὐτῷ. ἐκεῖνος μέντοι, καίτοι ἐκείνων μὴ ἐρωτησάντων, ἀποκαλύπτει τὸ αἰνιγματωδῶς ῥηθὲν, καί φησιν, ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με, θέλημα γὰρ θεοῦ ἡ τῶν ἀνθρώπων σωτηρία, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. οἱ μὲν γὰρ προφῆται, καὶ ὁ νόμος οὐκ ἠδυνήθησαν τελειῶσαι τὸ τοῦ θεοῦ ἔργον, ἀτελεῖς γὰρ ἦσαν, τύποις καὶ σκιὰς τῶν μελλόντων ἀγαθῶν ἐμφαίνοντες. ὁ δὲ κύριος ἐτελείωσε τὸ τοῦ θεοῦ ἔργον, τὴν ἡμετέραν λέγω σωτηρίαν καὶ ἀνακαίνησιν. τάχα δέ μοι νόει θεοῦ ἔργον τὸν ἄνθρωπον, ὃν ἐτελείωσε μόνος ὁ υἱὸς τοῦ θεοῦ, ἐν ἑαυτῷ ἀναμάρτητον ἀποδείξας τὴν φύσιν ἡμῶν καὶ ἐν παντὶ ἔργῳ ἀγαθῷ διὰ τῆς ἐν σαρκὶ θείας πολιτείας τετελειωμένην, καὶ ἀπηρτισμένην ἀποφήνας, καὶ ἄχρι τέλους νικήσας τὸν κόσμον. καὶ ὁ νόμος δὲ θεοῦ
Ἐξ. λα'. ἔργον ἐστὶ, καθὸ δακτύλῳ θεοῦ ἐγράφη, ὃν νόμον ἐτελείωσεν ὁ κύριος. τέλος γὰρ νό-
Πρὸς ῥω. ι'. μου Χριστὸς, ὡς πάντα τὰ ἐν τῷ νόμῳ τελούμενα καταπαύσας, καὶ ἀπὸ τῆς σωμα-

τικῆς λατρείας ἐπὶ τὴν πνευματικὴν ταῦτα μεταγαγών. αἰνιγματωδῶς δὲ φθέγ-
γεται πολλάκις ὁ κύριος, προσεκτικωτέρους ποιῶν τοὺς ἀκροατάς, καὶ διεγείρων αὐ-
τοὺς εἰς τὸ ἐρωτῆσαι, καὶ μαθεῖν τὸ συγκεκαλυμμένως λεγόμενον. βρῶσιν δὲ ὀνομάζων
τὴν τῶν ἀνθρώπων σωτηρίαν, διδάσκει τοὺς μαθητάς, ἵνα καὶ αὐτοὶ ὅτε δὴ χειροτο-
νηθεῖεν διδάσκαλοι τῆς οἰκουμένης, περὶ ἐλάττονος ποιοῖντο τὴν σωματικὴν βρῶσιν,
ὅλην τὴν ἐπιθυμίαν πρὸς τὸ σώζειν ἀνθρώπους μετενεγκόντες. σημείωσαι δὲ, ὅτι καὶ
τὰ παρά τινων προσφερόμενα βρώματα, ἐδέχετο ὁ κύριος. φασὶ γὰρ οἱ μαθηταί,
μή τις ἤνεγκεν αὐτῷ φαγεῖν; τοῦτο δὲ ἐποίει, οὐχ ὡς χρήζων τῆς παρ' ἑτέρων διακο-
νίας, πῶς γὰρ ὁ διδοὺς τροφὴν πάσῃ σαρκί; ἀλλ' ἵνα οἱ προσφέροντες μισθὸν ἔχωσι, Ψαλ. ρλε'.
καὶ συνεθισθῶσι καὶ ἄλλους τρέφειν, καὶ ἅμα τύπον διδοὺς πᾶσιν ἀνθρώποις, τοῦ
μὴ ἐπαισχύνεσθαι τὴν πτωχείαν, μὴ δὲ βαρὺ νομίζειν, τὸ παρ' ἄλλων τρέφεσθαι. ἴδιον
δὲ τοῖς διδάσκουσι, καὶ ἀναγκαιότατον τοῦτό ἐστι, τὸ ἄλλους ἔχειν τῆς τροφῆς φροντι-
στάς, ἵν' αὐτοὶ ἀπερίσπαστοι ὄντες, διακονῶσι τὴν τοῦ λόγου διακονίαν. διὸ καὶ τοῖς μα-
θηταῖς τοῦτο ἐπέταξε, τὸ παρὰ τῶν μαθητευομένων τρέφεσθαι. Ματθ. ι'.

» Οὐχ ὑμεῖς λέγετε, ὅτι τετράμηνόν ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν, ἐ-
» πάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θε-
» ρισμὸν ἤδη. καὶ ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον,
» ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων. ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ἀληθινός, ὅτι
» ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων. ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς
» κεκοπιάκατε, ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.

Ἄρχεται νῦν σαφέστερον ἀνακαλύπτειν τοῖς μαθηταῖς τὰ αἰνιγματωδῶς προῤ-
ῥηθέντα. ὑμεῖς μὲν γάρ φησι, λέγετε, ἀντὶ τοῦ νομίζετε, ὅτι ὁ θερισμὸς ἐν τῇ τετρα-
μήνῳ ταύτῃ ἔρχεται, ὁ αἰσθητὸς δηλαδή, ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πάρεστιν ὁ νοητὸς θε-
ρισμός. ταῦτα δὲ ἔλεγε διὰ τοὺς σαμαρείτας ἤδη προσερχομένους αὐτῷ. ἐπάρατε
οὖν τοὺς ὀφθαλμοὺς ὑμῶν, εἴτε τοὺς νοητούς, εἴτε τοὺς αἰσθητούς. καὶ θεάσασθε τὸ πλῆθος
τῶν προσερχομένων σαμαρειτῶν, καὶ τὰς εἰς τὴν πίστιν προθύμους καὶ ἑτοίμους ψυ-
χὰς αὐτῶν, αἵτινες ὥσπερ χῶραι λελευκασμέναι δέονται θερισμοῦ. καθάπερ γὰρ οἱ
στάχυες, ὅταν λευκανθῶσιν, ἕτοιμοι εἰς θερισμόν, οὕτω καὶ οὗτοι πρὸς σωτηρίαν εἰσὶ
παρεσκευασμένοι. καὶ ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν
αἰώνιον, ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. οἱ προ-
φῆται ἔσπειραν, ἀλλ' οὐκ ἐθέρισαν, οὐ μὴν διὰ τοῦτο ἀπεστέρηνται τῆς ἡδονῆς, ἀλλὰ
σὺν ἡμῖν χαίρουσιν, εἰ καὶ μὴ σὺν ἡμῖν θερίζουσιν. ὅπερ ἐν τοῖς αἰσθητοῖς θερισμοῖς οὐκ
ἔστιν, ἐκεῖ γὰρ ἐὰν συμβῇ ἄλλον σπεῖραι, καὶ ἄλλον θερίσαι, λύπη τῷ μὴ θερίζοντι.
ἐν δὲ τοῖς πνευματικοῖς οὐχ οὕτως, ἀλλὰ καὶ οἱ προφῆται προκηρύξαντες, καὶ προ-
μαλάξαντες τῶν ἀνθρώπων τὰς γνώμας, χαίρουσι σὺν ὑμῖν τοῖς εἰς σωτηρίαν τοὺς ἀν-
θρώπους ἐφελκύσασι. τὸ δὲ ἐγὼ ὑμᾶς ἀπέστειλα θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκα-
τε, διὰ τοῦτό φησιν ὁ κύριος, ἵν' ὅταν ἀποστέλλῃ τοὺς μαθητὰς ἐπὶ τὸ κήρυγμα, μὴ θορυβη-
θῶσιν, ὡς εἰς πρᾶγμα ἐπίπονον ἀποστελλόμενοι. τὸ γὰρ ἐπιπονώτερόν φησιν, οἱ προφῆ-
ται ἀνεδέξαντο, ὑμεῖς δὲ ἐπὶ τὸ ἕτοιμον πέμπεσθε. λόγον δὲ ἀληθινόν φησι παροι-
μίαν τινὰ περιφερομένην παρὰ τῷ πλήθει, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θε-
ρίζων. ὅρα δὲ, πῶς πάντα δεσποτικῶς λέγει καὶ ἐξουσιαστικῶς, ἐγὼ ἀπέστειλα ὑμᾶς
θερίζειν. ἀκουέτωσαν οἱ περὶ Μαρκίωνα τὸν κατάρατον, καὶ μάνεντα, καὶ τοὺς τοιού-
τοις, οἱ τὴν παλαιὰν διαθήκην ἀπαλλοτριοῦσι τῆς νέας, κἀντεῦθεν γὰρ ἐλέγχονται.
εἰ γὰρ ἀλλοτρία ἦν ἡ παλαιά, πῶς οἱ ἀπόστολοι ἐθέριζον τὰ τῶν προφητῶν; ὥστε

ἔπειτα τῆς παλαιᾶς οἱ ἀπόστολοι ἐθέριζον, οὐκ ἀλλοτρία τῆς καινῆς διαθήκης ἐκείνη, ἀλλ' ἀμφότεραι μία. ἀκουέτωσαν καὶ οἱ περὶ ἄρειον, πῶς ὡς κύριος, καὶ ἐξουσιαστὴς πέμπει τοὺς μαθητάς. πέμπει δὲ, ἵνα ἀπὸ τῶν γηΐνων θερίσωσι, καὶ ἐκτέμωσι τοὺς προσεστηκότας αὐτοῖς καὶ ἕλληνας καὶ ἰουδαίους, καὶ εἰς τὴν ἅλω ἀποκομίζωσιν αὐτοὺς, τὴν ἐκκλησίαν λέγω. ἐν ᾗ γενόμενοι διὰ τοῦ ἀλοᾶσθαι παρὰ τῶν βοῶν, τουτέστι τῶν διδασκάλων, καὶ ὑποκεῖσθαι αὐτοῖς, τρίβονται, καὶ πᾶν ἀχυρῶδες, καὶ σαρκικὸν καὶ τοῦ πυρὸς ὑπέκκαυμα ἀποβαλλόμενοι, καθαροὶ κόκκοι τῇ οὐρανίῳ ἀποθήκῃ ἐναποτίθενται, εἶτα καὶ βρῶμα γίνονται τοῦ θεοῦ τῇ σωτηρίᾳ τούτων εὐφραινομένου. οὕτως ὁ Παῦλος ἐθέριζε τῆς γῆς ἀποτέμνων, καὶ διδάσκων ἡμᾶς, ὅτι
Πρὸς φι. γ'. τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ὑπάρχει. χρῶνται δέ τινες καὶ ἐπὶ τῶν γερόντων χαριέντως τῷ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν, διὰ τὰς πολιὰς δηλαδὴ, καὶ τὸν τοῦ θανάτου θερισμόν.

» Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν σαμαρειτῶν διὰ τὸν
» λόγον τῆς γυναικὸς, μαρτυρούσης, ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. ὡς οὖν ἦλθον
» πρὸς αὐτὸν οἱ σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς, καὶ ἔμεινεν ἐκεῖ δύο ἡ-
» μέρας, καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ, τῇ τε γυναικὶ ἔλεγον, ὅτι
» οὐκ ἔτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν, αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν
» ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ χριστός. Διὰ τὸν λόγον τῆς γυναικὸς πιστεύουσιν

οἱ σαμαρεῖται, ὡς συνετοὶ παρ' ἑαυτοῖς κρίναντες, ὡς οὐκ ἂν τὸν οἰκεῖον βίον ἡ γυνὴ ἐξεπόμπευσεν ὑπὲρ τοῦ χαρίσασθαι ἑτέρῳ, εἰ μὴ ἀληθῶς μέγας τις ἦν καὶ ὑπὲρ τοὺς πολλοὺς ὁ ὑπ' αὐτῆς κηρυττόμενος, διὸ καὶ τὴν πίστιν τοῖς ἔργοις δεικνύντες, παρεκάλουν αὐτὸν δι' ὅλου παρ' ἑαυτοῖς εἶναι, τὸ γὰρ μεῖναι τοῦτο σημαίνει, τὸ κατοικῆσαι τελείως παρ' αὐτοῖς. ὁ δὲ τοῦτο μὲν οὐ πείθεται, δύο δὲ μόνας ἡμέρας μένει, ὅθεν καὶ πολλῷ πλείους αὐτῶν ἐπίστευσαν διὰ τὴν διδασκαλίαν αὐτοῦ. καὶ γὰρ ὁ εὐαγγελιστὴς οὐκ ἐξηγεῖται τὰ κατὰ μέρος θαυμαστὰ τῆς διδασκαλίας αὐτοῦ ῥήματα, ἀλλ' ἡμῖν γε δίδωσι νοεῖν ἐκ τοῦ τέλους τῶν πραγμάτων τὴν δύναμιν τῆς θείας αὐτοῦ διδασκαλίας. πολλὰ γάρ τοι καὶ τῶν μεγάλων παρατρέχουσιν οἱ εὐαγγελισταὶ, ὅτι μὴ πρὸς ἐπίδειξιν, καὶ φιλοτιμίαν γράφουσιν, ἀλλὰ πρὸς ἀλήθειαν. καὶ παρὰ τοῖς σαμαρείταις οὖν γενόμενον τὸν κύριον εἰκὸς θειότερα τινὰ διδάξαι, ὅθεν οὐδὲ σημεῖον οὐδὲν ἰδόντες, πιστεύουσι καὶ παρακαλοῦσι μένειν. Ἰουδαῖοι δὲ καὶ λόγων μυρίων καὶ ση-
Μιχ. ζ'. μείων καταπολαύσαντες, ἔτι ἐδίωκον, οὕτως ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ αὐτοῦ.
Ματθ. ι'. ὅρα δέ μοι πόσον βραχὺ τὸ πλῆθος τὴν διδάξασαν αὐτοὺς ὑπερηκόντισαν. οὐ γὰρ προφήτην αὐτὸν λέγουσιν, οὐδὲ σωτῆρα τοῦ Ἰσραὴλ, ἀλλὰ τοῦ κόσμου, καὶ μετὰ τοῦ ἄρθρου, οὗτός ἐστιν ὁ σωτὴρ, ὁ κυρίως καὶ τῷ ὄντι σώσας πάντας. ἦλθον μὲν γὰρ πολλοὶ σῶσαι, καὶ νόμος, καὶ προφῆται, καὶ ἄγγελοι, ἀλλ' οὗτός ἐστιν ὁ ἀληθινὸς σωτήρ.

Ματθ. ιγ'. » Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ ἀπῆλθεν εἰς τὴν γαλιλαίαν, αὐτὸς
Μαρ. ϛ'. » γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. ὅτε οὖν ἦλ-
» θεν εἰς τὴν γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ γαλιλαῖοι, πάντα ἑωρακότες ὅσα ἐποίησεν
» ἐν ἱεροσολύμοις ἐν τῇ ἑορτῇ, καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν.

Ἐξελθὼν ἀπὸ σαμαρείας ὁ κύριος, εἰς τὴν γαλιλαίαν ἀπέρχεται. εἶτα ἵνα μὴ ἐξετάζῃ τις, καὶ διαφορῇ, τίνος ἕνεκεν οὐκ ἐν τῇ γαλιλαίᾳ ἀεὶ ἦν, ἀλλ' ἐκ διαλείμματος αὐτοῖς ἐπιδημεῖ, καὶ ταῦτα ἐκ τῆς γαλιλαίας εἶναι δοκῶν, φησὶν, ὅτι διὰ τοῦτο οὐκ ἐν τῇ γαλιλαίᾳ παρέμενε, διότι οὐδεμίαν τιμὴν πρὸς αὐτὸν ἐνεδείκνυντο, αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι ἄτιμός ἐστιν. εἰώθαμεν γὰρ οἱ

ἄνθρωποι τῶν ἐν συνηθείᾳ καταφρονεῖν, ἀεὶ τοῖς ξένοις καὶ ἀήθεσι προσέχοντες. τί οὖν
οὐχ ὁρῶμεν πολλοὺς καὶ παρὰ τοῖς οἰκείοις τιμωμένους, μάλιστα μὲν οὖν, σπάνιον τὸ
τοιοῦτον. εἰ δέ που τινὲς εὑρεθεῖεν ἐν τῇ πατρίδι τιμώμενοι, πολλῷ μᾶλλον ἐν τῇ ἀλ-
λοτρίᾳ τιμηθήσονται· ὥστε συγκρινομένη ἡ ἐν τῇ πατρίδι τιμὴ πρὸς τὴν ἐν τῇ ἀλλο-
τρίᾳ, ἀτιμία εὑρεθήσεται. ὁ γάρ τι φθόνος τοῖς συμπατριώταις οὐ συγχωρεῖ τὴν
προσήκουσαν τιμὴν ἀποδιδόναι, ἀλλ' ὑφαιρούμενοι ταύτην ἀποδιδόασιν, αἰσχύνην οἰκίαν
ἡγούμενοι τὴν τοῦ ὁμοφύλου εὐδοκίμησιν. ἐλθόντι οὖν τῷ κυρίῳ εἰς γαλιλαίαν ἐπίστευ-
σαν οἱ γαλιλαῖοι, τὰ σημεῖα ἰδόντες ἃ ἐποίησεν ἐν ἱεροσολύμοις. πλὴν οἱ σαμαρεῖ-
ται δοκιμώτεροι, οἱ καὶ χωρὶς σημείων πιστεύσαντες ἀπὸ τοῦ λόγου τῆς γυναικός. ὅρα
δὲ πανταχοῦ τοὺς ἀποβλήτους μὲν δοκοῦντας, εὐδοκιμοῦντας ἐν τῇ πίστει, σαμαρεί-
τας λέγω καὶ γαλιλαίους. καὶ γὰρ καὶ τούτοις ἐξουθένουν ὡς ἀγροικότερον διακει-
μένοις, διὸ καὶ ἔλεγον, ὅτι προφήτης ἐκ τῆς γαλιλαίας οὐκ ἐγήγερται, τοὺς δὲ ἐκλεκ- Ἰωάν. ζ'.
τοὺς νομιζομένους, ἀποβαλλομένους, οἷοι ἦσαν οἱ ἱεροσολυμῖται Ἰουδαῖοι. εἰκότως ἄρα
καὶ οἱ ἐθνικοὶ παρεδέχθημεν. ἐν γὰρ τῇ οἰκείᾳ πατρίδι τῇ τῶν Ἰουδαίων εἴποι ἄν τις
συναγωγῇ, τιμὴν οὐκ ἔσχεν ὁ προφήτης χριστὸς, καθὰ Μωϋσῆς λέγει, ὅτι προφήτην ἀ- Δευτ. ιη.
ναστήσει κύριος ὑμῖν.

» Ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν εἰς τὴν κανᾶ τῆς γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶ-
» νον. καὶ ἦν τις βασιλικὸς, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ. οὗτος ἀκούσας, ὅτι Ἰησοῦς
» ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν γαλιλαίαν, ἀπῆλθεν πρὸς αὐτὸν, καὶ ἠρώτα αὐτὸν, ἵνα
» καταβῇ, καὶ ἰάσηται αὐτοῦ τὸν υἱὸν, ἔμελλε γὰρ ἀποθνήσκειν. εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐ-
» τὸν, ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. λέγει πρὸς αὐτὸν ὁ βασιλι-
» κὸς, κύριε κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου. λέγει αὐτῷ ὁ Ἰησοῦς, πορεύου, ὁ
» υἱός σου ζῇ. καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐπορεύετο.

Ἀναμιμνήσκει ἡμᾶς ὁ εὐαγγελιστὴς τοῦ ἐν κανᾶ θαύματος, ὅπου ἐγένετο τὸ ὕδωρ οἶ-
νος, ἅμα μὲν διὰ τὸ αὐξῆσαι τῶν σαμαρειτῶν τὸ ἐγκώμιον, οἱ μὲν γὰρ γαλιλαῖοι φη-
σὶ, καὶ ἀπὸ τῶν ἐν ἱεροσολύμοις καὶ ἀπὸ τῶν παρ' αὐτοῖς γενομένων σημείων αὐτὸν ἐδέ-
ξαντο, οἱ δὲ σαμαρεῖται ἀπὸ μόνης τῆς μαρτυρίας τῆς γυναικὸς, καὶ τῆς αὐτοῦ τοῦ
κυρίου διδασκαλίας, ἅμα δὲ καὶ ἵνα δείξῃ ἡμῖν, ὅτι καὶ ὁ βασιλικὸς ἀπὸ τοῦ ἐν κα-
νᾶ θαύματος ἀγαθήν τινα περὶ τοῦ χριστοῦ ὑπόληψιν ἐδέξατο, εἰ καὶ μὴ τὴν ἀξίαν.
βασιλικὸν δὲ τοῦτον καλεῖ, ἢ ὡς ἐκ γένους ὄντα βασιλικοῦ, ἢ ἀξίωμά τι ἀρχῆς ἕτε-
ρον οὕτω καλούμενον ἔχοντα. ἆρα οὖν φησὶ, καὶ αὐτός ἐστιν οὗτος τῷ παρὰ τῷ Ματθαίῳ
ἑκατοντάρχῳ; καὶ γὰρ κἀκεῖνος ἐν Καπερναοὺμ ἦν. οὐκ οἶμαι τοίνυν τοῦτον αὐτὸν εἶναι,
ἀλλ' ἕτερον. ἐκεῖνος μὲν γὰρ καὶ βουλόμενον ἐλθεῖν τὸν χριστὸν, διακωλύει λέγων, οὐκ
εἰμὶ ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, οὗτος δὲ εἰς τὴν οἰκείαν αὐτοῦ ἕλκει τὸν
Ἰησοῦν. κἀκείνου μὲν ὁ παῖς, ἤγουν ὁ δοῦλος παρέσει κατείχετο, τούτου δὲ ὁ υἱὸς πυ-
ρετῷ. κἀκεῖ μὲν ἀπὸ τοῦ ὄρους καταβὰς, εἰς Καπερναοὺμ εἰσῆλθε, νῦν δὲ ἀπὸ τῆς σα-
μαρείας καὶ οὐκ εἰς Καπερναοὺμ, ἀλλ' εἰς κανᾶ. ἐπὶ πᾶσιν ἐκεῖνος μὲν ἑκατόνταρ-
χος, οὗτος δὲ βασιλικὸς τὸ ἀξίωμα. ἀξιοῖ μὲν οὖν ὁ βασιλικὸς τὸν κύριον κατελθεῖν,
ὡς ἰάσηται τὸν υἱὸν, ὁ δὲ κύριος καθαπτόμενος αὐτοῦ, ὡς μὴ τελείαν τὴν πίστιν ἀλλ' ἐκ
μέρους ἔχοντος, καὶ γὰρ τὸ εἰπεῖν, κατάβηθι πρὶν ἀποθανεῖν τὸν υἱόν μου, τὴν ἀσθένειαν
τῆς πίστεως αὐτοῦ ἐμφαίνει, ὡς μὴ πιστεύοντος, ὅτι εἰ καὶ συμβῇ αὐτὸν ἀποθανεῖν, δυ-
νατός ἐστιν ἀναστῆσαι αὐτὸν, διὰ ταῦτα οὖν καθαπτόμενος αὐτοῦ, φησὶν, ἐὰν μὴ σημεῖα καὶ
τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε, ἅμα δὲ καὶ τῶν ἑτέρων πολιτῶν κατηγορῶν τῶν
ἐν τῇ Καπερναούμ. φαίνονται γὰρ πανταχοῦ πολλὴν ἀπιστίαν κατηγορούμενοι. ἐπεὶ

οὖν ἀσθενὴς ἦν ὁ βασιλικὸς τὴν γνώμην, καὶ κατήπειγε τὸν κύριον κατελθεῖν εἰς θερα
πείαν τοῦ παιδὸς, δεικνύων αὐτῷ ὁ σωτὴρ, ὅτι καὶ ἀπὼν δύναται αὐτὸν θεραπεῦσαι,
λέγει, πορεύου, ὁ υἱός σου ζῇ. ἀμέλει τοῦ μὲν παιδὸς τὸν πυρετὸν, τοῦ πατρὸς δὲ τὴν
ἀπιστίαν ἰᾶται· γίνωσκε δὲ, ὡς ἄλλο τέρας, καὶ ἄλλο σημεῖον· τέρας μὲν γὰρ τὸ πα
ρὰ φύσιν, οἷον τὸ διανοῖξαι ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου, καὶ ἐγεῖραι νεκρὸν, ση-
μεῖον δὲ τὸ οὐκ ἔξω τῆς φύσεως, οἷον τὸ ἰᾶσθαι ἄρρωστον· τελέσει δὲ καὶ τοῦτο τὸ θαῦ
μα καὶ νῦν ὁ κύριος ἐπὶ παντὸς τοῦ προσερχομένου· οἷον βασιλικός ἐστι πᾶς ἄνθρωπος,
οὐ μόνον ὡς τοῦ βασιλέως πάντων συγγενὴς διὰ τὴν ψυχὴν, ἀλλὰ καὶ ὡς αὐτὸς βα-
σιλικὴν ἀρχὴν κατὰ πάντων δεξάμενος. εὑρίσκεται δὲ πολλάκις ἔχων τις τὸν νοῦν,
οἷα υἱὸν, περὶ ἡδονῶν ἀτόπων, καὶ ἐπιθυμίαις κακῶς ἔχοντα· εἰ τοίνυν προσέλθῃ τῷ
Ἰησοῦ, καὶ αἰτήσει αὐτὸν καταβῆναι, τουτέστι συγκαταβάσει φιλανθρωπίας χρήσα-
σθαι, καὶ συγχωρῆσαι αὐτῷ τὰς ἁμαρτίας πρὶν ἢ τελείως ἀπὸ τῆς νόσου τῶν ἐπιθυ
ψαλ. ρκθʹ. μιῶν ἀπονεκρωθῇ, εἰ μὴ γὰρ συγκαταβαίη ἡμῖν ὁ θεὸς, ἀλλὰ τὰς ἀνομίας παρατηρή
σαιτο, καὶ κατ᾽ ἐκείνας ἐξετάσει, τίς λοιπὸν ὑποστήσεται; εἰ προσέλθῃ τοίνυν, ὡς εἴρη
ται, τεύξεται τοῦ ζητουμένου, καὶ ἀπολήψεται τὸν νοῦν αὐτοῦ ὑγιᾶ· πλὴν ὅρα, καὶ τί
φησὶν ὁ κύριος πρὸς αὐτὸν, πορεύου, ὁ υἱός σου ζῇ, τουτέστι μὴ ἀκίνητος ἔσο πρὸς τὸ κα
λὸν, ἀλλὰ πορεύου, καὶ κίνησιν ἀκατάπαυστον ἐνδείκνυσο πρὸς τὸ ἀγαθὸν, τότε γὰρ
ὁ υἱός σου ζῇ· εἰ δὲ παύσῃ τοῦ πορεύεσθαι, τεθνήξεταί σου πάντως ὁ νοῦς, τῇ περὶ τὸ
καλὸν ἀκινησίᾳ τὴν νέκρωσιν λαβών·

» Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ, καὶ ἀπήγγειλαν λέ-
» γοντες, ὅτι ὁ υἱός σου ζῇ· ἐπύθετο οὖν παρ᾽ αὐτῶν τὴν ὥραν, ἐν ᾗ κομψότερον ἔσχεν. καὶ
» εἶπον αὐτῷ, ὅτι χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός· ἔγνω οὖν ὁ πατὴρ, ὅτι ἐν
» ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι ὁ υἱός σου ζῇ, καὶ ἐπίστευσεν αὐτὸς, καὶ ἡ οἰ
» κία αὐτοῦ ὅλη· τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας
» εἰς τὴν γαλιλαίαν· Ἐκπλαγέντες οἱ δοῦλοι τὴν ἀθρόαν μεταβολὴν τῆς νόσου,
ἀπαντῶσι τῷ κυρίῳ, εὐαγγελιζόμενοι αὐτῷ τὴν τοῦ υἱοῦ ὑγείαν. οὐ γὰρ ἁπλῶς,
καὶ ὡς ἔτυχεν, ἀλλ᾽ ἀθρόον ἀπηλλάγη τοῦ πυρετοῦ, ὥστε δειχθῆναι μὴ φύσεως ἀκο-
λουθίαν εἶναι τὸ πρᾶγμα, ἀλλὰ τῆς δυνάμεως τοῦ χριστοῦ· μαθὼν δὲ παρὰ τῶν δούλων
τὴν ὥραν, ἐν ᾗ κομψότερον ὁ παῖς ἔσχεν, ἀντὶ τοῦ ἐπὶ τὸ βέλτιον καὶ εὐρωστότερον με-
τῆλθεν ὁ παῖς, τελείως πιστεύει τῷ κυρίῳ, ἡ γὰρ προτέρα πίστις αὐτοῦ ἀτελὴς ἦν· μὴ
γάρ μοι εἴπῃς, ὅτι καὶ μὴν οὐκ ἂν προσῆλθεν, εἰ μὴ ἐπίστευσεν· εἰώθασι γὰρ οἱ πατέρες
ἀπὸ τῆς πρὸς τοὺς παῖδας φιλίας οὐ μόνον οἷς θαρροῦσιν ἰατροῖς προσιέναι, ἀλλὰ καὶ
τοῖς ἀτέχνοις, μηδὲν τῶν δεόντων παραλιπεῖν βουλόμενοι· προσῆλθον μὲν οὖν ἀπὸ πί-
στεως, ἔγε καὶ τοῦτο δώσομεν, ἀλλὰ ψυχρᾶς καὶ ἀτελοῦς, ἣν οὐδὲ πίστιν ἄν τις καλέ-
σειε· τότε δὲ τελείως ἐπίστευσεν, ὅτε καὶ περὶ τῆς ὥρας ἔμαθε· τίνος δὲ ἕνεκεν ὁ εὐαγ
γελιστὴς φησὶν, ὅτι δεύτερον τοῦτο τὸ σημεῖον ἐποίησεν ἐν κανᾷ; ἵνα δείξῃ τοὺς σαμα-
ρείτας πολλῶν ἀξίους ἐγκωμίων, καὶ γάρ φησι, καὶ δευτέρου τούτου τοῦ σημείου γενο
μένου, οὐδέ πω οἱ γαλιλαῖοι πρὸς τὸ ὕψος ἐκείνων ἔφθασαν, τῶν μηδὲν ἰδόντων σημεῖον·

Κεφάλαιον Πέμπτον·

» Μετὰ ταῦτα ἦν ἡ ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς ἱεροσόλυμα. ἔστι δὲ
» ἐν τοῖς ἱεροσολύμοις προβατικὴ κολυμβήθρα ἡ ἐπιλεγομένη ἑβραϊστὶ βηθσαϊδὰ, πέντε
» στοὰς ἔχουσα. ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν,
» ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν· ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν
» τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδα
τος, ὑγιὴς

» τος, ὑγιὴς ἐγένετο, ᾧ δή ποτε κατείχετο νοσήματι. Ἑορτὴ ἦν τῶν Ἰουδαίων, ἡ τῆς πεντηκοστῆς οἶμαι, ἀναβαίνει δὲ ἐν ταύτῃ ὁ κύριος, ἅμα μὲν, ἵνα μὴ δόξῃ ἐναντίος τῷ νόμῳ, ἀλλὰ φαίνηται συνεορτάζων τοῖς πολλοῖς, ἅμα δὲ, ἵνα πλείους διὰ σημείων διδασκαλίας ἐπισπάσηται, καὶ μάλιστα τὸ πλῆθος τὸ ἄδολον. ἐν γὰρ ταῖς ἑορταῖς εἰώθασι συνέρχεσθαι καὶ ἀγρῶται, καὶ ἀστικοὶ χειρώνακτες, τὰς ἄλλας ἡμέρας τοῖς ἔργοις συνασχολούμενοι. προβατικὴ δὲ ἐλέγετο ἡ κολυμβήθρα, διότι τὰ πρὸς θυσίαν πρόβατα ἐκεῖ συνήγετο, καὶ τὰ ἔγκατα αὐτῶν ἐπλύνοντο ἐκεῖ. εἶχον δὲ οἱ πολλοὶ ὑπόληψιν, ὅτι καὶ ἀπὸ μόνου τοῦ πλύνεσθαι τὰ ἐντόσθια τῶν ἱερείων, δύναμίν τινα λαμβάνῃ θειοτέραν τὸ ὕδωρ, διὸ καὶ τὸν ἄγγελον ἐπιφοιτᾶν τούτῳ τῷ ὕδατι ὡς ἐκλεκτῷ, καὶ θαυματουργεῖν. ἔοικεν ἄρα ἡ θεία πρόνοια πόῤῥωθεν ὁδοποιοῦσα τοῖς Ἰουδαίοις πρὸς τὴν εἰς Χριστὸν πίστιν, τὸ τῆς κολυμβήθρας ταύτης θαῦμα προοικονομῆσαι. ἐπεὶ γὰρ ἔμελλε βάπτισμα δίδοσθαι πολλὴν ἔχον δύναμιν, καὶ δωρεὰν μεγίστην, οἷα καθαῖρον ἁμαρτίας, καὶ ζωοποιοῦν τὰς ψυχὰς, προζωγραφεῖ θεὸς τὸ βάπτισμα ἐν τοῖς Ἰουδαϊκοῖς, καὶ δίδωσι μὲν καὶ ὕδωρ αὐτοῖς καθαῖρον μολυσμοὺς οὐ κυρίως ὄντας, ἀλλὰ δοκοῦντας, οἷον τοὺς ἀπὸ τοῦ ἅψασθαι νεκροῦ, ἢ λεπροῦ, καὶ τῶν τοιούτων ἑτέρων, δίδωσι δὲ καὶ τὸ τῆς κολυμβήθρας ταύτης θαῦμα, ὁδηγοῦν αὐτοὺς εἰς τὴν παραδοχὴν τοῦ βαπτίσματος. ἄγγελος γὰρ κατὰ καιρὸν καταβαίνων, διετάρασσε τὸ ὕδωρ, καὶ ἰαματικὴν ἐνετίθει τούτῳ δύναμιν, οὐ γὰρ δήπου ἡ τοῦ ὕδατος φύσις, αὐτὴ καθ' ἑαυτὴν ἰᾶτο, ἢ γὰρ ἂν διὰ παντὸς τοῦτο ἐγίνετο, ἀλλ' ἐπὶ τῇ τοῦ ἀγγέλου ἐνεργείᾳ τὸ πᾶν ἔκειτο. οὕτως οὖν καὶ ἐφ' ἡμῶν τὸ τοῦ βαπτίσματος ὕδωρ, ὕδωρ ἐστὶν ἁπλῶς, δεξάμενον δὲ τὴν τοῦ πνεύματος χάριν διὰ τῶν θείων ἐπικλήσεων, τὰ ψυχικὰ νοσήματα λύει, κἂν τυφλὸς εἴη τις τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς πεπηρωμένος, καὶ μὴ δυνάμενος διακρίναι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, κἂν χωλὸς, ἀκίνητος πρὸς ἐργασίαν καλοῦ, καὶ προκοπὴν τὴν ἐπὶ τὸ κρεῖττον, κἂν ξηρὸς παντάπασι καὶ ἀπεγνωσμένος, καὶ μηδενὸς ἀγαθοῦ μετουσίαν ἔχων, πάντας τὸ ὕδωρ τοῦτο ἰᾶται. καὶ τότε μὲν ἡ ἀσθένεια ἐνεπόδιζε πισὶ πρὸς τὴν θεραπείαν, νῦν δὲ πρὸς τὸ βαπτισθῆναι. οὐδὲν ἔχομεν κώλυμα. οὐ γὰρ ἑνὸς θεραπευομένου, οἱ ἄλλοι ἀθεράπευτοι ἐῶνται, ἀλλὰ κἂν πᾶσα ἡ οἰκουμένη συνέλθῃ, οὐκ ἐλαττοῦται ἡ χάρις.

» Ἦν δέ τις ἄνθρωπος ἐκεῖ, τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ. τοῦτον ἰ-
» δὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς, ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ, θέλεις
» ὑγιὴς γενέσθαι; ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν, κύριε ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταρα-
» χθῇ τὸ ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν, ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ
» καταβαίνει. Ἐκπληκτικὴ ἡ καρτερία τοῦ παραλύτου, ἔτη τριάκοντα καὶ ὀκτὼ εἶχε, καὶ καθ' ἕκαστον ἐνιαυτὸν ἀπαλλαγήσεσθαι τοῦ νοσήματος προσδοκῶν, ἐνεκρούετο ἐμποδιζόμενος ὑπὸ τῶν δυνατωτέρων. καὶ ὅμως οὐκ ἀφίστατο, οὐδὲ ἀπεγίνωσκε, διὸ καὶ ἐρωτᾷ αὐτὸν ὁ κύριος, θέλων δεῖξαι ἡμῖν τὴν καρτερίαν τοῦ ἀνθρώπου. οὐ γὰρ δὴ ὡς μαθησόμενος ἐρωτᾷ, τοῦτο γὰρ οὐ μόνον περιττὸν, ἀλλὰ καὶ ἀνόητον, τὸ ἐρωτᾶν εἰ θέλει ὁ νοσῶν ὑγιᾶναι. ὅπερ οὖν εἶπον, ἵνα δείξῃ ἡμῖν τὴν καρτερίαν τοῦ ἀνθρώπου, διὰ τοῦτο ἐρωτᾷ. τί οὖν ἐκεῖνος; μετὰ πολλῆς ἐπιεικείας ἀποκρίνεται. ναί φησι κύριε, θέλω μὲν, ἀλλ' οὐκ ἔχω ἄνθρωπον τὸν δυνάμενόν με ἐμβαλεῖν τῷ ὕδατι. οὐδὲν βλάσφημον ἀπεκρίνατο, οὐκ ἀπεπέμψατο τὸν Χριστὸν, ὡς ἐρωτήσαντα ἄτοπον ἐρώτημα, οὐ κατηράσατο τὴν ἡμέραν τῆς γεννήσεως, οἷα οἱ μικρόψυχοι ποιοῦμεν, καὶ ταῦτα ἐλαφροτέροις νοσήμασι περιπίπτοντες, ἀλλὰ πρᾴως καὶ δυσωπητικῶς ποιεῖται τὴν ἀπόκρισιν. καίτοι γε μὴ εἰδὼς, ὅστις ποτὲ ἦν ὁ ἐρωτῶν, ἀλλ' ἢ τοῦτο μόνον

ἴσως ἐνόμισε χρησιμεύειν αὐτῷ τὸν χριστὸν, ὥστε ἐμβαλεῖν αὐτὸν εἰς τὸ ὕδωρ, καὶ διὰ τούτων ἐπισπάσασθαι καὶ δυσωπῆσαι τῶν ῥημάτων βούλεται. οὐκ εἶπε δὲ ὁ χριστὸς, θέλεις θεραπεύσω σε, ἵνα μὴ δόξῃ κομπάζειν.

Λέγει αὐτῷ ὁ Ἰησοῦς, ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει. ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἔλεγον οὖν οἱ ἰουδαῖοι τῷ τεθεραπευμένῳ, σάββατόν ἐστιν, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον. Κελεύει ἆραι τὸ κλινίδιον, πιστώσασθαι βουλόμενος τὸ γενόμενον θαῦμα, ὥστε μηδένα νομίσαι φαντασίαν αὐτὸ εἶναι, οὐ γὰρ ἂν εἰ μὴ βεβαίως καὶ σφόδρα συνεπάγη αὐτῷ τὰ μέλη, τὴν κλίνην φέρειν ἠδύνατο. οὐκ ἀπαιτεῖ δὲ αὐτὸν πρὸ τῆς ἰάσεως πίστιν, ὥσπερ ἐπὶ ἄλλων τινῶν, ὅτι οὐδέπω αὐτὸν εἶδεν ὁ ἀσθενῶν σημεῖον πεποιηκότα. καὶ γὰρ κἀκείνους, οἷς ἀπαιτεῖ πίστιν ὁ κύριος, οὐ πρὸ τῶν θαυμάτων, ἀλλὰ μετὰ τὸ ποιῆσαι ἐνώπιον αὐτῶν τὰ θαύματα, ἀπαιτεῖ αὐτοὺς τὴν πίστιν. ὅρα δέ μοι πῶς ἅμα τε ἤκουσε καὶ ἐπίστευσεν. οὐ γὰρ διεκρίθη καθ' ἑαυτὸν, καὶ εἶπεν, οὐ λῆρος οὗτος, ὃς αὐθωρὸν ἐγερθῆναί με ἐγκελεύεται; τριάκοντα ὀκτὼ ἔτη ἔχων, οὐκ ἐπέτυχον ἰάσεως, καὶ οὕτως ἀθρόον ἐγερθήσομαι; οὐδὲν τοιοῦτον, ἀλλὰ πιστεύσας ἠγέρθη. ἐν σαββάτῳ δὲ θεραπεύει, διδάσκων τοὺς ἀνθρώπους ἑτέρως νοεῖν τὰς τοῦ νόμου παρατηρήσεις, καὶ μὴ τῇ σωματικῶς νοουμένῃ ἀργίᾳ δοκεῖν τιμᾶν τὸ σάββατον, ἀλλὰ τῇ τῶν κακῶν ἀργίᾳ. ἐπεὶ τό γε ἀγαθοποιεῖν ἐν σαββάτῳ, οὐκ ἂν ὁ νόμος ἐκώλυε, νόμος ὢν τοῦ θεοῦ τοῦ ἀγαθοποιοῦ ὄντος.

Ἀπεκρίθη αὐτοῖς, ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. ἠρώτησαν οὖν αὐτὸν, τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει; ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν, ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ. Χρὴ θαυμάσαι τὴν τοῦ ἀνθρώπου πρὸς ἰουδαίους παῤῥησίαν, πῶς ἐπικειμένων αὐτῷ καὶ λεγόντων, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατόν σου διὰ τὸ σάββατον, αὐτὸς μετὰ παῤῥησίας ἀνεκήρυττε τὸν εὐεργέτην. ὁ ποιήσας με ὑγιῆ, αὐτός μοι εἶπεν, ὡσανεὶ τοιαῦτα λέγων, ληρεῖτε, καὶ παραπαίετε, κελεύοντες μὴ πείθεσθαι τῷ ἀπὸ μακρᾶς οὕτω καὶ χαλεπῆς με νόσου ἀπαλλάξαντι. οἱ δὲ ἰουδαῖοι οὐκ ἐρωτῶσιν αὐτὸν, τίς ἐστιν ὁ ποιήσας σε ὑγιῆ; ἀλλὰ τίς ἐστιν ὁ εἰπών σοι, ἆρον τὸν κράββατον; οὕτως ἄρα πρὸς μὲν τὸ καλὸν ἐθελοντὶ ἐτυφλώττον, τὴν δὲ δοκοῦσαν παράβασιν τοῦ σαββάτου ἄνω καὶ κάτω περιέφερον. ὁ δὲ Ἰησοῦς ἐξένευσε, πρῶτον μὲν, ἵνα ἀπόντος αὐτοῦ ἀνύποπτος γένηται ἡ μαρτυρία ἡ περὶ τῆς ὑγείας, καὶ μὴ δόξῃ ὁ ἄνθρωπος κατὰ χαρίζεσθαι αὐτῷ, ἀλλὰ τῇ ἀληθείᾳ προσμαρτυρεῖν. ἔπειτα, ἵνα μὴ ἐπιπλεῖον ἀνάψῃ τοῖς Ἰουδαίοις τὸν θυμόν. οἶδε γὰρ καὶ ὄψις μόνη τοῦ διαφθονουμένου, οὐ μικρὸν τοῖς βασκαίνουσιν ἐνιέναι ὑπεκκαυτῆρα φθόνου, διὰ τοῦτο ἀφίησιν αὐτὸ καθ' ἑαυτὸ τὸ ἔργον ἐξετάζεσθαι. οἱ γὰρ ἐγκαλοῦντες ἰουδαῖοι, εἰς ἐξέτασιν καὶ λόγοις τὸ γεγονὸς φέροντες, ἐξακουστότερον αὐτὸ ποιοῦσιν.

Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ. ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ ἀπήγγειλε τοῖς ἰουδαίοις, ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ. καὶ διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ ἰουδαῖοι, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίησεν ἐν σαββάτῳ. Ἐκ τοῦ φάναι τὸν κύριον τῷ παραλύτῳ, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, μανθάνομεν πρῶτον μὲν, ὅτι ἐξ ἁμαρτιῶν ἐτέχθη τῷ ἀνθρώπῳ τὸ νόσημα, δεύτερον δὲ, ὅτι ἀληθὴς ὁ περὶ τῆς γεέννης λόγος, καὶ ὅτι ἀΐδιός ἐστιν ἡ τιμωρία. ποῦ γὰρ νῦν εἰσιν οἱ λέγοντες, ὅτι ἐν μιᾷ ὥρᾳ ἐπόρνευσα, καὶ πῶς ἀθάνατα κολασθήσομαι; ἰδοὺ γὰρ

καὶ οὗτος

καὶ οὗτος οὐκ ἐν τοσούτοις ἥμαρτεν ἔτεσιν, ἐν ὅσοις ἐκολάζετο, ἀλλ᾽ ὁλόκληρον ἀνθρώπου βίον σχεδὸν ἀνάλωσεν ἐν τῷ μήκει τῆς τιμωρίας. οὐ γὰρ χρόνῳ τὰ ἁμαρτήματα κρίνεται, ἀλλ᾽ αὐτῇ τῇ φύσει τῶν πεπλημμελημένων, μετὰ τούτων κἀκεῖνο μανθανόμεν, ὅτι κἂν χαλεπὴν δῶμεν ὑπὲρ τῶν προτέρων ἁμαρτημάτων τὴν δίκην, εἶτα τοῖς αὐτοῖς ἁμαρτήμασι πάλιν ἐμφυρώμεν, χαλεπώτερα πάλιν πεισόμεθα. καὶ μάλα εἰκότως, ὁ γὰρ μηδὲ τῇ προτέρᾳ τιμωρίᾳ βελτιωθεὶς, ἐπὶ μείζονα ἄγεται κολαστήρια, ὡς ἀναίσθητος καὶ καταφρονητής. καὶ τίνος ἕνεκεν, φησὶν, οὐ πάντες οὕτως κολάζονται; καὶ γὰρ πολλοὺς ὁρῶμεν τῶν φαύλων εὐσωματοῦντας, καὶ σφριγῶντας, καὶ εὐημεροῦντας, ἀλλὰ τὸ μηδὲν αὐτοὺς παθεῖν ἐνταῦθα, ἐφόδιον γίνεται μείζονος ἐκεῖ τιμωρίας. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν, ὅτι κρινόμενοι ὑπὸ κυρίου, ἐνταῦ- α. πρὸς κο.
θα δηλονότι, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν, ἐκεῖ δηλαδή. τὰ μὲν ια.
γὰρ ἐνταῦθα νουθεσίας, τὰ δὲ ἐκεῖ τιμωρίας ἐστί. τί οὖν πάντα τὰ νοσήματα ἐξ ἁμαρτημάτων; οὐ πάντα μὲν, ἀλλὰ τὰ πλείονα. τὰ μὲν γὰρ δι᾽ ἁμαρτήματα, ὥσπερ γ. βασι. ι ε.
καὶ τοῦ παραλύτου τούτου, καὶ ἐν ταῖς βασιλείαις δὲ ὁρῶμεν τινα ποδαλγίᾳ περι- β. πα. ις.
πεσόντα δι᾽ ἁμαρτίας. τὰ δὲ δι᾽ εὐδοκίμησιν καὶ ἀνάρρησιν, ὥσπερ ἐπὶ τοῦ Ἰὼβ, ἵνα
δειχθῇ ἡ ἀρετὴ αὐτοῦ. γίνονται δέ τινα καὶ ἀπὸ ῥαθυμίας, οἷον γαστριμαργίας καὶ μέ- α. β΄.
θης. τινὲς δὲ ἀπὸ τοῦ εἰπεῖν τὸν κύριον μηκέτι ἁμάρτανε, στοχαζόμενοι ἀποφαίνονται, ὅτι τοῦτον τὸν παράλυτον ᾔδει ὁ κύριος μέλλοντα ὑποδεῖξαι αὐτὸν, καὶ καταμηνύσαι τοῖς ἰουδαίοις, μεθ᾽ ὃ εὗρεν αὐτὸν ἐν τῷ ἱερῷ, καὶ διὰ τοῦτο φησὶ μηκέτι ἁμάρτανε, ἀλλ᾽ οὐκ ἔστι τοῦτο. φαίνεται γὰρ εὐλαβὴς ὁ ἄνθρωπος, εὑρίσκει γὰρ αὐτὸν, φησὶν, ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ καίτοι εἰ μὴ εὐλαβὴς ἦν, ἀνέσει καὶ τρυφῇ ἂν ἐξέδωκεν ἑαυτὸν, οἴκαδε δραμών. καὶ ἐξέφυγεν ἂν τὴν τῶν ἰουδαίων μανίαν, καὶ τὰς λογοπραγίας. ἀλλ᾽ οὐδὲν τούτων αὐτὸν ἐποίησεν ἀποστῆναι τοῦ ἱεροῦ, ἀλλὰ καὶ μετὰ τὸ ἐπιγνῶναι τὸν Ἰησοῦν, ὅρα πῶς αὐτὸν εὐγνωμόνως ἀνακηρύττει τοῖς ἰουδαίοις. οὐ γὰρ λέγει, ὅτι Ἰησοῦς ἐστιν ὁ εἰπών μοι ἆραι τὸν κράββατον, ὅπερ ἐκεῖνοι ἤθελον ἀκούειν, ἀλλ᾽ ὁ ποιήσας αὐτὸν ὑγιῆ, ὅπερ ἀκούειν οὐκ ἠνείχοντο, ἔγκλημα ποιούμενοι τὴν τοῦ σαββάτου παράλυσιν. εἰ δὲ ἰουδαῖοι ἐδίωκον τὸν κύριον. τί παρὰ τοῦτο ἥμαρτεν ὁ ἄνθρωπος, ὑποδείξας αὐτὸν αὐτοῖς; αὐτὸς μὲν γὰρ ἀπ᾽ εὐγνώμονος διανοίας, ἵνα καὶ τοὺς ἄλλους ἐφελκύσηται πρὸς πίστιν, ἐκήρυττε τὸν θεραπευτὴν, εἰ δὲ ἐκεῖνοι ἐδίωκον τὸν εὐεργέτην, ἐκείνων τὸ ἔγκλημα. νόει δέ μοι προβατικὴν κολυμβήθραν τὴν τοῦ βαπτίσματος χάριν, ἐν ᾗ τὸ ὑπὲρ ἡμῶν τυθὲν πρόβατον Ἰησοῦς ὁ κύριος, ἐπλύθη βαπτιζόμενος ὑπὲρ ἡμῶν. πέντε δὲ στοὰς ἔχει αὕτη ἡ κολυμβήθρα, αἱ γὰρ τέσσαρες ἀρεταὶ, καὶ τὸ θεωρητικὸν καὶ τὸ δογματικὸν τῷ βαπτίσματι συνεμφαίνονται. ἡ τοίνυν ἀνθρωπίνη φύσις, οἷά τις παράλυτος πάσας τὰς ψυχικὰς δυνάμεις παρεθεῖσα, κατέκειτο τριάκοντα καὶ ὀκτὼ ἔτη νοσοῦσα. οὔτε γὰρ ἐν τῇ εἰς τριάδα πίστει ὑγιῶς εἶχεν, οὔτε ὄγδοον αἰῶνα, ἀνάστασιν λέγω καὶ κρίσιν τῶν βεβιωμένων, βεβαίως ἐπίστευε γενήσεσθαι. διὸ καὶ οὐχ εὕρισκε θεραπείαν, οὐδὲ γὰρ εἶχεν ἄνθρωπον τὸν ἐμβαλοῦντα εἰς τὴν κολυμβήθραν, τουτέστιν, οὔπω ἐγεγόνει ἄνθρωπος ὁ υἱὸς τοῦ θεοῦ, ὃς ἔμελλε διὰ τοῦ βαπτίσματος ὑγιάσαι αὐτήν. ὅτε δὲ γέγονεν ἄνθρωπος, τότε ὑγίασε μὲν τὴν φύσιν ἡμῶν, προσέταξε δὲ καὶ τὸ κλινίδιον ἆραι, τουτέστι, καὶ τὸ σῶμα κοῦφον ποιῆσαι, καὶ ἐλαφρὸν, καὶ ἆραι ἀπὸ τῆς γῆς μὴ βαρυνόμενον σαρκὶ, καὶ μερίμναις γηίναις, ἀλλὰ τῆς πρὸς τὸ καλὸν ῥαθυμίας ἐξαναστῆσαι, καὶ περιπατεῖν, ὅ ἐστι κινεῖσθαι πρὸς τὴν τοῦ ἀγαθοῦ ἐργασίαν. τὸ δὲ ταράσσεσθαι τὸ ὕδωρ τῆς κολυμβήθρας, τοῦτο δηλοῖ, τὸ ἐν αὐτῇ θορυβεῖσθαι τὰ πνεύματα τῆς πονηρίας, συντριβόμενα, καὶ συμπνιγόμενα τῇ τοῦ ἁγίου



πνεύματος χάριτι. εἴη δὲ καὶ ἡμᾶς ἐπιτυχεῖν τῆς ὑγιείας, τοὺς παρειμένους μὲν, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀκινητοῦντας, μὴ ἔχοντας δὲ ἄνθρωπον, τουτέστιν, ἀνθρώπινον λογισμὸν οἷα παρασυμβληθέντας τοῖς κτήνεσι τοῖς ἀνοήτοις, ἵνα βάλλῃ ἡμᾶς εἰς τὴν τῶν δακρύων τῆς μετανοίας κολυμβήθραν, εἰς ἣν ὁ πρῶτος ἐμβὰς θεραπεύεται, ὁ γὰρ εἰς τοὺς ὑστέρους καιροὺς ἀναβαλλόμενος, καὶ ὑπερτιθεὶς τὴν μετάνοιαν, καὶ μὴ σπεύδων ἐνταῦθα μετανοῆσαι, ἀλλ᾽ ὑστερῶν, οὐ τυγχάνει τῆς ἰάσεως. πρῶτος οὖν σπούδασον ἐμβῆναι, ἵνα μήποτε προλάβῃ ὁ θάνατος. ταύτην δὲ τὴν κολυμβήθραν τῆς μετανοίας ἄγγελος ταράσσει. ποῖος; ὁ τῆς μεγάλης βουλῆς τοῦ πατρὸς, ὁ χριστὸς καὶ σωτήρ. εἰ γὰρ μὴ ἅψηται τῆς καρδίας ἡμῶν ὁ θεῖος λόγος, καὶ ταραχὴν ἐργάσηται
Ἡσαΐ. θ'. ἐν ταύτῃ διὰ μνήμης τῶν ἐν τῷ μέλλοντι αἰῶνι κολαστηρίων, οὐκ ἄλλως ἐνεργηθήσεται ἡ κολυμβήθρα αὕτη, οὐδὲ ὑγιεία γίνεται τῇ παρειμένῃ ψυχῇ. προβατικὴ δὲ αὖ εἰκότως κληθείη αὕτη, τὰ γὰρ ἐντόσθια, καὶ οἱ λογισμοὶ τῶν εἰς θυσίαν ζώσαν ἁγίαν εὐάρεστον τῷ θεῷ ἑτοιμαζομένων, καὶ ἀκάκων γινομένων, ὡς πρῶτα ἐν ταύτῃ ἀποπλύνον-
πρὸς ῥω. ιά. ται. γένοιτο οὖν ἡμᾶς τῆς ὑγιείας τυχεῖν, καὶ ἐν τῷ ἱερῷ εὑρεθῆναι μετὰ τὴν ὑγιείαν, ἤγουν, μηκέτι ἀνιέροις λογισμοῖς μολυνθῆναι, ἵνα μὴ χεῖρον ὑμῖν ἡ μέλλουσα κόλασις γένηται.

» Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζο-
» μαι. διὰ τοῦτο οὖν μᾶλλον αὐτὸν ἐζήτουν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ
» σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ.

Οἱ μὲν Ἰουδαῖοι ὡς ἐργασαμένῳ ἐν σαββάτῳ τὴν θεραπείαν, ἐγκαλοῦσι τῷ χριστῷ, αὐτὸς δὲ οἷα δὴ ὁμότιμος ὢν τῷ πατρὶ καὶ τῆς αὐτῆς ἐξουσίας, φησὶν, ὅτι ὥσπερ ὁ θεὸς καὶ πατήρ μου ἐργάζεται καὶ ἐν σαββάτῳ, καὶ οὐκ ἐγκαλεῖτε αὐτῷ, οὕτως οὐδὲ ἐμοί. πῶς δὲ ὁ πατὴρ ἐργάζεται ἕως ἄρτι, τοῦ μωσέως λέγοντος, ὅτι κατέ-
γενεσ. β'. παυσεν ὁ θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ; θέλεις μαθεῖν, πῶς ἐργάζεται ἔτι ὁ θεός; ὅρα τὴν οἰκουμένην, καὶ κατάμαθε τὰ τῆς προνοίας ἔργα, ἥλιον ἀνατέλλοντα, δυόμενον, θάλασσαν, πηγὰς, ποταμοὺς, ζῶα πάντα ἁπλῶς δημιουργηθέντα, καὶ ἴδοις ἂν τὴν κτίσιν τὰ ἑαυτῆς ἐνεργοῦσαν, μᾶλλον δὲ ἐνεργουμένην, καὶ κινουμένην τῷ ἀρρήτῳ τῆς προνοίας λόγῳ. πάντως δὲ ἡ πρόνοια καὶ ἐν σαββάτῳ τὰ οἰκεῖα ἐνεργεῖ. ὥστε ἐπεὶ ὁ πατὴρ ἐργάζεται, καὶ ἐν σαββάτῳ τὴν κτίσιν διακυβερνᾷ, εἰκότως κἀγὼ, φησὶν, ὁ υἱὸς αὐτοῦ ἐργάζομαι. οἱ δὲ διατηκόμενοι τῷ φθόνῳ, ἐζήτουν αὐτὸν ἀποκτεῖναι, οὐ μόνον, ὅτι ἔλυε τὸ σάββατον, ἀλλ᾽ ὅτι καὶ πατέρα αὐτοῦ ἔλεγε τὸν θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ. ἐπεὶ γὰρ υἱὸν ἔλεγεν ἑαυτὸν, ἀναγκαίως ἰσότιμον ἐποίει ἑαυτὸν τῷ θεῷ, πᾶς γὰρ υἱὸς τῆς αὐτῆς ἐστι φύσεως τῷ πατρί. ποῦ ἄρειος ἐνταῦθα, οὕτως τετύφλωται περὶ τὸ φῶς. υἱὸν γὰρ ὀνομάζων τὸν χριστὸν τοῦ πατρὸς, οὐκ ἐδίδου αὐτῷ τὸ καὶ τὴν αὐτὴν φύσιν ἔχειν τῷ πατρὶ, ἀλλὰ κτίσμα τὸν τοῦ ἀκτίστου πατρὸς υἱὸν ὡμολόγει. καίτοι ἰουδαίοις γοῦν ἔδει διδασκάλοις παραλαβεῖν, οἳ διὰ τοῦτο ἐδίωκον τὸν κύριον, ὅτι υἱὸν ἑαυτὸν ἔλεγε τοῦ θεοῦ, ἀναγκαίως γὰρ συνήγετο καὶ ἴσος εἶναι θεῷ. ἐπεὶ εἰ μὴ μέγα ἦν τὸ τοῦ υἱοῦ ἀξίωμα, καὶ εἰς ἴσον ἦγεν ἑαυτὸν τῷ θεῷ, τίνος ἕνεκεν ἐδίωκον αὐτόν;

» Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς
» ποιεῖν ἀφ᾽ ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα. ἃ γὰρ ἂν ἐκεῖνος
» ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν, καὶ πάντα δείκνυ-
» σιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζη-
» τε. ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ,

ποιεῖ. Οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, καθὸ οὐδὲν ἀλλότριον, οὐδὲ ξένον τοῦ πατρὸς ἔχει, ἀλλὰ πάντα ἔοικε τῷ πατρὶ, καὶ οὐκ ἄλλην ἔχει οὐσίαν, ἵνα καὶ ἄλλην δύναμιν ἔχῃ, καὶ ἀκολούθως ἄλλην ἐνέργειαν, ἀλλ' ἐπεὶ τὴν αὐτὴν ἔχει οὐσίαν, τὴν αὐτὴν ἔχει καὶ δύναμιν. διὰ τοῦτο δὲ καὶ τὰ αὐτὰ ἐνεργεῖ, καὶ οὐ δύναται ἄλλο τι ποιῆσαι, παρ' ὃ ὁ πατὴρ ποιεῖ, οὐ γὰρ ἄλλην δύναμιν ἔχει ἢ ὑποδεεστέραν, ἢ ὑπερτέραν τῆς πατρικῆς, ἀλλὰ μία οὐσία, μία δύναμις, μία ἐνέργεια πατρὶ καὶ υἱῷ. ναί φησιν, ἀλλ' οἷόν τις διδάσκαλός ἐστιν ὁ πατὴρ τοῦ υἱοῦ, ὑποδεικνύων αὐτῷ, πῶς δεῖ ἐργάζεσθαι, ἐὰν γὰρ μὴ βλέπῃ τὸν πατέρα ὁ υἱὸς ποιοῦντα, οὐδὲν ποιεῖ. οὐκοῦν ἐρωτῶ ἄρειον, καὶ εὐνόμιον τοὺς ταῦτα ληροῦντας, πῶς διδάσκει ὁ πατὴρ τὸν υἱὸν, ἐν σοφίᾳ, ἢ οὔ; πάντως ἐν σοφίᾳ. τίς δὲ ἡ σοφία τοῦ θεοῦ; ἆρ' οὐχὶ ὁ υἱός; ναὶ πάντως. ὁ υἱὸς ἄρα διδάσκει ἑαυτόν; βαβαὶ τῆς ἀνοίας ὑμῶν, οἵγε ὡς παῖδά τινα παραδιδόατε τῷ πατρὶ τὸν υἱὸν μαθησόμενον. ἐγὼ δὲ μετὰ τῆς τοῦ θεοῦ σοφίας ἀποφαίνομαι, ὅτι εἴ τι οἶδεν ὁ πατὴρ, οὐκ ἄνευ τοῦ υἱοῦ οἶδεν, αὐτὸς γάρ ἐστιν ἡ σοφία αὐτοῦ. εἴ τι δύναται ὁ πατὴρ, οὐκ ἄνευ τοῦ υἱοῦ δύναται, αὐτὸς γάρ ἐστιν ἡ δύναμις αὐτοῦ. ὅτι δὲ ταῦτα ἀληθῆ, ἄκουε, ὅ, τι ἂν ὁ πατὴρ ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. εἰ ὁ πατὴρ μετ' ἐξουσίας καὶ δυνάμεως, καὶ ὁ υἱὸς ὁμοίως, οὐκ ἄρα ὑποδεέστερος ὁ υἱὸς τοῦ πατρός. εἰ δὲ ταπεινῶς εἴρηται τὸ, δείκνυσιν αὐτῷ πάντα, καὶ τὸ μείζονα τούτων δείξει, οὐ χρὴ θαυμάζειν, πρὸς γὰρ ἀνθρώποις διαλέγεται φονῶντας κατ' αὐτοῦ, καὶ διαπριομένοις τῷ φθόνῳ. καὶ εἰ μὴ πανταχοῦ παρέπλεκε τὰ ταπεινὰ τοῖς ὑψηλοῖς, τί οὐκ ἂν ἐποίουν, ὅπουγε καὶ οὕτω ταπεινῶς τὰ πλείω φθεγγομένου, λυττῶσι; τί δέ ἐστι, τὸ, καὶ μείζονα τούτων δείξει; ἐπειδὴ παράλυτον ἔσφιγξε, μέλλει δὲ καὶ νεκροὺς ἐγείρειν, διὰ τοῦτο φησὶν, εἰ θαυμάζετε ὅτι παράλυτον ὑγιῆ πεποίηκα, μείζονα τούτων ὄψεσθε. ὅτι δὲ τὸ δεῖξαι ῥῆμα ταπεινὸν ὄν, κατ' οἰκονομίαν εἶπεν, ἵνα τὴν μωρίαν αὐτῶν παραμυθήσηται, ἄκουε τῶν ἐφεξῆς. ὥσπερ γὰρ ὁ πατὴρ, φησὶν, ἐγείρει τοὺς νεκροὺς, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. ἐγείρει μὲν οὖν ὁ υἱὸς, ὥσπερ ὁ πατὴρ, καὶ διὰ τούτου δείκνυσι τὸ τῆς δυνάμεως ἀπαράλλακτον, διὰ δὲ τοῦ οὓς θέλει τῆς ἐξουσίας τὴν ἰσότητα. ταῦτα δὲ πάντα οἱ μὲν ἀρειανοὶ κατὰ τῆς υἱοῦ δόξης ἐκλαμβάνονται, οἱ δὲ ὀρθόδοξοι ὑπὲρ ταύτης νοοῦμεν.

» Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, ἵνα πάν
» τες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα. ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πα-
» τέρα τὸν πέμψαντα αὐτόν. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ τῶν λόγων μου ἀκούων, καὶ
» πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μετα-
» βέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἔδειξεν ἑαυτὸν εὐεργετεῖν δυνάμενον διὰ τῶν πολλῶν σημείων, ὧν ἐποίησεν. ἐπεὶ δὲ οὐκ ἐδυσώπησεν αὐτοὺς, ἢ ἐπεσπάσατο πρὸς τὸ τιμῆσαι αὐτὸν, ὡς ἄξιον ἦν, φησὶν, ὅτι τὴν κρίσιν πᾶσαν ὁ πατὴρ τῷ υἱῷ δέδωκεν, ἵνα κἂν ὁ φόβος τῆς κρίσεως πείσῃ αὐτοὺς τιμὴν πρὸς αὐτὸν ἐνδείξασθαι. εἰώθαμεν γὰρ οἱ ἄνθρωποι, καὶ μάλιστα οἱ ἀλογώτεροι, φόβῳ μᾶλλον ἢ εὐεργεσίαις, τὸ δέον μεταμανθάνειν. τὸ δὲ ἔδωκε τὴν κρίσιν τῷ υἱῷ ὁ πατὴρ, οὕτω νόησον, ὅτι κριτὴν αὐτὸν ἐγέννησεν, ὥσπερ ἀκούεις, καὶ τὸ, ζωὴν ἔδωκεν αὐτῷ, καὶ νοεῖς, ὅτι ζῶντα αὐτὸν ἐγέννησεν. ἐπεὶ γὰρ ὁ πατήρ ἐστιν αἴτιος τῷ υἱῷ τοῦ εἶναι, τὰ πάντα, ὅσα ἔχει ὁ υἱὸς, λέγεται λαβεῖν παρὰ τοῦ πατρὸς, ὡς ἐξ αὐτοῦ φυσικῶς ταῦτα ἔχων. καὶ τὴν κρίσιν οὖν ἔχει ἐκ τοῦ πατρὸς οὕτως, ὡς ἔχει αὐτὴν ὁ πατήρ. ἵνα γὰρ μὴ ἀκούοντες αἴτιον εἶναι τὸν πατέρα τοῦ υἱοῦ, νοήσωμεν ὅτι οὕτως ἐστὶν αἴτιος αὐτοῦ, ὥσπερ καὶ τῶν κτισμάτων, καὶ διὰ τοῦτο τῆς τιμῆς ἐλάττωσιν εἰσαγάγωμεν, φησὶν, ὅτι οὐδεμία πα

ραλλαγὴ τῷ υἱῷ πρὸς τὸν πατέρα. ὁ γὰρ ἐξουσίαν ἔχων κολάζειν, καὶ τιμᾶν ὡς βούλεται, ταυτὰ δύναται τῷ πατρὶ, διὸ καὶ δεῖ αὐτὸν τιμᾶν οὕτως ὡς τὸν πατέρα, ἵνα γάρ φησι, πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα. οἱ γοῦν περὶ τὸν ἄρειον, ἐπειδὴ ὡς κτίσμα τιμᾶν οἴονται τὸν υἱὸν, καὶ τὸν πατέρα λοιπὸν ὡς κτίσμα τιμῶντες ἐλέγχονται. ἢ γὰρ οὐ τιμῶσιν ὅλως τὸν υἱὸν, καὶ μετὰ τῶν Ἰουδαίων τατ[τ]έσθωσαν, ἢ ὑπερτιμῶσι μὲν αὐτὸν, ὡς κτίσμα δὲ, πρέπει δὲ τιμᾶν αὐτὸν ὥσπερ καὶ τὸν πατέρα, ἐλέγχονται πάντως καὶ τὸν πατέρα ὡς κτίσμα τιμῶντες. καὶ ἄλλως δὲ, κατὰ τὸ ἐπαγόμενον, πῶς τιμῶσι τὸν πατέρα, οἱ μὴ τιμῶντες τὸν υἱόν; ἐπάγει γὰρ, ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα· ὁ μὴ τιμῶν φησιν, οὕτως ὡς εἶπον καθὼς καὶ τὸν πατέρα, ἐπεὶ εἴ τις λέγει, ὅτι κτίσμα μὲν ὁ υἱὸς, ὑπερέχων δὲ πάντων τῶν κτισμάτων, καὶ δοκοίη χαρίζεσθαι τῷ υἱῷ τὴν ψευδῆ ταύτην καὶ ματαίαν τιμὴν, ἀτιμάζει πάντως καὶ τὸν πατέρα τὸν πέμψαντα αὐτόν. τὸ δὲ πέμψαντα εἶπεν, ἵνα μὴ ἐκθηριωθῶσι, καθὰ προείπομεν. τὴν γὰρ διδασκαλίαν, ὡς εἴρηται, πλέκει θαυμασίως, ποτὲ μὲν τὰ ὑψηλὰ ἑαυτῷ προσμαρτυρῶν, ὡς ἦν ἄξιον, ποτὲ δὲ διὰ τὴν μανίαν τῶν ἐχθρῶν ἰουδαίων τὰ ταπεινά. εἰ γὰρ καὶ ἀναστάντος ἐκ νεκρῶν, καὶ ἀναβάντος εἰς οὐρανοὺς, καὶ διὰ τῶν ἀποστόλων δείξαντος τὴν οἰκείαν δύναμιν, ἐπανέστησαν ἄρειος καὶ εὐνόμιος τῇ δόξῃ αὐτοῦ, καὶ εἰς κτίσμα αὐτὸν κατήγαγον, οἱ τότε ἰουδαῖοι βλέποντες αὐτὸν ἐν σαρκὶ περιπατοῦντα μετὰ τῶν τελωνῶν, καὶ πορνῶν καὶ τρώγοντα, καὶ πίνοντα ὡς ἕνα τῶν πολλῶν, τί οὐκ ἂν ἐποίησαν, εἰ πάντα ὑψηλὰ περὶ ἑαυτοῦ ἔλεγε, καὶ μὴ συγκατεμίγνυε καὶ τὰ ταπεινά; διὸ καὶ ἐπάγει, ὁ ἀκούων μου τοὺς λόγους, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· τὰς δὲ γνώμας αὐτῶν καὶ διὰ τούτων ἱλαρύνει ἀκουόντων, ὅτι θεῷ μέλλουσι πιστεύειν ἀκούοντες τοὺς λόγους αὐτοῦ. οὐ γὰρ εἶπεν, ὅτι ὁ πιστεύων ἐμοὶ, ἀλλὰ τῷ πέμψαντί με. ὁ τοίνυν πιστεύων ἐκείνῳ, εἰς κρίσιν ἤτοι εἰς κόλασιν οὐκ ἔρχεται, ἀλλὰ ζῇ ἀΐδιον ζωὴν, θάνατον τὸν ψυχικὸν καὶ αἰώνιον μὴ ὑφιστάμενος, εἰ καὶ τὸν φυσικὸν τὸν πρόσκαιρον ὑποσταίη.

» Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκού-
» σονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. ὥσπερ γὰρ ὁ πα-
» τὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ καὶ
» ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν. ὅτι υἱὸς ἀνθρώπου ἐστί· μὴ θαυμάζε-
» τε τοῦτο, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φω-
» νῆς αὐτοῦ, καὶ ἐκπορεύσονται, οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ
» τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. Εἰπὼν ἀνωτέρω, ὅτι ὁ μὴ τιμῶν τὸν

υἱὸν, οὐ τιμᾷ τὸν πατέρα, καὶ ὑψηλά τινα περὶ αὐτοῦ φθεγξάμενος, ἵνα μὴ δόξῃ κόμπος εἶναι ἃ λέγει, καὶ τῦφος διάκενος, παρέχει καὶ τὴν διὰ τῶν ἔργων ἀπόδειξιν λέγων, ὅτι ἔρχεται ὥρα, εἶτα ἵνα μὴ μακρὸν ὑποπτεύσωμεν τὸν χρόνον, φησί· καὶ νῦν ἐστι, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ, τουτέστι νῦν ἐμοῦ μεθ᾽ ὑμῶν διατρίβοντος ταῦτα ἔσται. λέγει δὲ περὶ ὧν ἔμελλεν ἀναστῆσαι νεκρῶν, οἷον τοῦ υἱοῦ τῆς χήρας, τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου, τοῦ λαζάρου. εἶτα καὶ λογισμὸν ἐπάγει τῶν εἰρημένων ἀποδεικτικόν. ὥσπερ γάρ, φησιν, ὁ πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. ἵνα ζωογονῇ τοὺς ἀκούοντας αὐτοῦ τῆς φωνῆς. οὐ μόνον δὲ ἐξουσίαν δέδωκεν αὐτῷ ζωογονεῖν, ἀλλὰ καὶ κρίσιν ποιεῖν, ὥστε κολάζειν καὶ τιμωρεῖσθαι. συνεχῶς δὲ τοὺς περὶ κρίσεως λόγους εἰς τὸ μέσον ἄγει, ἵνα τοὺς ἀκροατὰς ἐπαγάγηται. ὁ γὰρ πεισθεὶς, ὅτι καὶ ἀναστήσεται, καὶ αὐτῷ δώσει τὰς εὐθύνας τῶν πεπλημμελημένων, προσδραμεῖται πάντως αὐτῷ, ἐξιλεούμενος αὐτὸν, ὡς μέλλοντα

αὐτοῦ

αὐτοῦ κριτὴν ἔσεσθαι. μὴ θαυμάζητε δὲ, ὅτι υἱὸς ἀνθρώπου ἐστὶν, εἰ γὰρ καὶ υἱὸς ἀνθρώπου ἐστὶν, ἀλλὰ καὶ θεός ἐστιν, ὥστε τὴν κρίσιν εἰκότως ἔχει, ὡς υἱὸς θεοῦ, εἰ δὲ καὶ ἄνθρωπος φαίνεται, μὴ θαυμάζητε. χρὴ δὲ γινώσκειν, ὅτι παῦλος ὁ σαμοσατεὺς ψιλὸν ἄνθρωπον δογματίζων τὸν κύριον, οὕτως ἀνεγίνωσκε τοῦτο τὸ χωρίον, καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ, καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. ἐνταῦθα δὲ στίζων, ἀπ' ἄλλης ἀρχῆς ἀνεγίνωσκε οὖν, μὴ θαυμάζητε τοῦτο. ἀνόητον δὲ τελέως ἐστὶ τὸ οὕτως ἀναγινώσκειν, τὴν γὰρ κρίσιν δέδωκε τῷ υἱῷ ὁ πατὴρ, οὐχ ὅτι υἱὸς ἀνθρώπου ἐστὶν, ἀλλ' ὅτι θεός. ἐκεῖνος μὲν οὖν μὴ δεχόμενος εἰπεῖν τὸν χριστὸν θεὸν, ἀλλ' υἱὸν ἀνθρώπου, οὕτως οἶδε κριτὴν αὐτὸν εἶναι, οὐχ ὡς θεόν. ἀλλ' ὡς υἱὸν ἀνθρώπου, ἡμεῖς δὲ οὕτως νοοῦμεν, ὡς εἴρηται. εἰπὼν δὲ περὶ τῆς μερικῆς ἀναστάσεως, τοῦ λαζάρου φημὶ καὶ τῶν ἄλλων. οἳ πάλαι δηλαδὴ ἔθανον, νῦν λέγει περὶ τῆς καθόλου, ὅτι ἔρχεται ὥρα ἐν ᾗ οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ θεοῦ, περὶ τῆς καθολικῆς γὰρ ἀναστάσεως ἐνταῦθά φησιν. ἐπειδὴ δὲ εἶπεν ἀνωτέρω, ὅτι ὁ πιστεύων εἰς κρίσιν οὐκ ἔρχεται, ἵνα μὴ νομίσωμεν, ὅτι ἡ πίστις μόνη εἰς σωτηρίαν ἀρκεῖ, φησὶν, ὅτι ἀναστήσονται οἱ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως, οἱ τὰ ἀγαθὰ, εἰς ἀνάστασιν ζωῆς. οὐκ ἄρα ἡ πίστις μόνη χωρὶς ἔργων δικαιοῖ, ἀλλὰ καὶ τὰ ἔργα προσεῖναι δεῖ, τότε γὰρ καὶ κυρίως πίστις ἐστίν. ὅρα δὲ διπλῆν τὴν διδασκαλίαν γινομένην, διὰ φόβου καὶ ἱλαρότητος. τὸ μὲν γὰρ κατακριθῆναι τοὺς φαῦλα πράξαντας, ἐκφοβεῖ, τὸ δὲ εἰς ζωὴν ἀναστῆναι τοὺς τὰ ἀγαθὰ πράξαντας, δι' ἱλαρότητος προτρέπεται.

» Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδὲν, καθὼς ἀκούω, κρίνω, καὶ ἡ κρίσις ἡ ἐ-
» μὴ δικαία ἐστίν. ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με
» πατρός. Καθὰ καὶ ἐν τοῖς ἀνωτέρω λέλεκται, τὴν ἀπαραλλαξίαν τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἐνδείκνυνται ταῦτα τὰ ῥήματα, τὸ, οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ, καὶ ὅσα τοιουτότροπα. οὐδὲν γὰρ ξένον καὶ ἀλλότριον τοῦ πατρὸς δύναμαι ἐγὼ ποιεῖν, οὔτε γὰρ θέλημα ἔχω ἀλλοῖον παρὰ τὸ πατρικὸν, οὔτε δύναμιν, καθὼς δὲ ἀκούω παρὰ τοῦ πατρὸς, οὕτω κρίνω τουτέστιν, ὡς ἂν αὐτὸς ὁ πατὴρ κρίνει, οὕτω κἀγώ. ταῦτα δὲ λέγει διὰ τὸ δεῖξαι, ὡς πολλάκις ἔφημεν, τὸ ἀπαράλλακτον καὶ ἐν ἔργοις, καὶ λόγοις, καὶ κρίσεσιν, ἵνα γὰρ μή τινες ἄνθρωποι ὁρῶντες αὐτὸν, σκανδαλίζονται, πῶς ὁ φαινόμενος ἄνθρωπος δικαίαν κρίσιν ποιήσειεν, τοῦ Δαβὶδ εἰπόντος πᾶς ἄνθρωπος ψεύστης; ἔφθασε μὲν εἰπὼν, ὅτι μὴ θαυμάζητε, διότι υἱὸς ἀνθρώπου εἰμί. λέγει *ψαλ. ριε'.* δὲ καὶ νῦν, ὅτι δικαία ἡ κρίσις μου ἐστὶ, καθὸ κρίνω, ὡς ἀκούω τοῦ πατρός μου κρίνοντος, μὴ γὰρ τὸ ἐμὸν θέλημα ζητῶ, ἀλλὰ οὖν τοῦ πατρός. ὁ μὲν θέλων τὸ ἑαυτοῦ βούλημα κυρῶσαι, ἴσως ἂν ὑποπτευθείη, ὡς παραφθείρων τὸ δίκαιον, ὁ δὲ μὴ τὰ ἑαυτοῦ σκοπῶν, τίνα ἂν ἔχῃ πρόφασιν, τοῦ μὴ τὰ δίκαια ψηφίζεσθαι; ἐγὼ τοίνυν οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, οὐδὲ γὰρ ἔχω ἐμὸν θέλημα, ἀλλ' ὃ θέλει ὁ πατὴρ, ἐκεῖνο κἀγώ.

» Ἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. ἄλλος ἐστὶν ὁ
» μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ. ὑ-
» μεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ. ἐγὼ δὲ παρὰ ἀνθρώ-
» που τὴν μαρτυρίαν οὐ λαμβάνω, ἀλλὰ ταῦτα λέγω, ἵνα ὑμεῖς σωθῆτε. ἐκεῖνος ἦν
» ὁ λύχνος ὁ καιόμενος, καὶ φαίνων, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν
» τῷ φωτὶ αὐτοῦ. Φαίνεται ἐνταῦθα ἐναντία λέγων ὁ κύριος, καὶ γὰρ πολλαχοῦ *Ἰωάν. δ'.* φαίνεται μαρτυρήσας ἑαυτῷ, ὥσπερ τῇ σαμαρείτιδι ἔφη, ἐγώ εἰμι ὁ χριστός. καὶ τῷ τυ- *Ἰωάν. θ'.* φλῷ, καὶ ἑτέρωθι πολλαχοῦ. ἐὰν οὖν ταῦτα ὦσι ψευδῆ, ποία ἡμῖν σωτηρίας ἐλπίς; οὐ τοῦτο δὲ μόνον δοκεῖ ἐναντίωμα, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον. προϊὼν γάρ φη-

σιν, ὅτι κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι, πῶς οὖν συμβιβασθήσονται ταῦτα δοκοῦντα μάχεσθαι; ὁ μὲν λέγει, ὅτι ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθὴς, λέγει ὡς πρὸς τὴν ὑπόληψιν τῶν ἰουδαίων. ἐπεὶ γὰρ ἔμελλον ἐκεῖνοι ἴσως εἰπεῖν αὐτῷ, ὅτι σὺ μαρτυρεῖς περὶ σεαυτοῦ, οὐδεὶς δὲ μαρτυρῶν ἑαυτῷ, ἀξιόπιστός ἐστι, φησὶν ἐνστατικῶς, ὅτι οὐ μαρτυρῶ ἐγὼ περὶ ἐμαυτοῦ, ἢ γὰρ ἂν κατὰ τὴν ὑμετέραν γνώμην οὐκ ἄξιος εἴην πιστεύεσθαι. ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ ὁ Ἰωάννης. ὁ δὲ λέγει, ὅτι κἂν ἐγὼ μαρτυρῶ, ἡ μαρτυρία μου ἀληθής ἐστι, κατὰ συνδρομὴν λέγει, συντρέχων γὰρ τῷ λογισμῷ τῶν ἰουδαίων, φησὶν, ὅτι ἔστω ὅτι ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, κἂν ἐγὼ τοίνυν μαρτυρῶ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, θεὸς γὰρ ὢν, ἀξιόπιστός εἰμι. ὥστε τὸ μὲν πρῶτον ἐνστατικῶς εἶπεν, ὅτι οὐκ ἐγὼ μαρτυρῶ, ἀλλ' ὁ πρόδρομος, τὸ δὲ δεύτερον κατὰ ἀντιπαράστασιν, ἤτοι συνδρομὴν, ὅτι κἂν ἐγὼ μαρτυρῶ, ἀληθής ἐστιν ἡ μαρτυρία μου. τρεῖς οὖν φησιν, ἔχω μάρτυρας, τὸν Ἰωάννην, τὰ ἔργα μου, τὸν πατέρα μου. καὶ πρῶτον τὸν Ἰωάννην τίθησιν, ἵνα μήτις εἴπῃ αὐτῷ, τί οὖν εἰ ἐκεῖνος πρὸς χάριν ἐμαρτύρησέ σοι; φησὶν, ὅτι ὑμεῖς αὐτοὶ ἀπεστείλατε πρὸς Ἰωάννην. πάντως δὲ, οὐκ ἂν ἀπεστείλατε ἐρωτῶντες, εἰ μὴ ἀξιόπιστον αὐτὸν ἐνομίζετε, ὥστε καὶ ὑμεῖς αὐτοὶ μαρτυρεῖτε, ὅτι ἀληθὴς ἦν ὁ Ἰωάννης. καίτοι ἐγὼ μὲν οἷα δὴ θεὸς ὢν, οὐ δέομαι ἀνθρωπίνης μαρτυρίας, τῆς τοῦ δούλου ὁ δεσπότης. ἐπεὶ δὲ ὑμεῖς αὐτὸν ἀξιοπιστότερον ἡγεῖσθε, καὶ αὐτῷ μᾶλλον προσέχετε ἤπερ ἐμοὶ, κἀκείνῳ μὲν προσεδράμετε, ἐμοὶ δὲ οὐδὲ θαυματουργοῦντι πιστεύετε, διὰ τοῦτο ἀναμιμνήσκω τῆς Ἰωάννου μαρτυρίας, καὶ πάντα ποιῶ, καὶ ἀναδέχομαι καὶ τὰ ἀνάξια τῆς ἐμῆς θεότητος, ἵνα ὑμεῖς σωθῆτε. λύχνον δὲ καιόμενον τὸν Ἰωάννην φησὶ, καθὼς καὶ ἐκ γῆς εἶχε τὴν διάπλασιν, καὶ οὐκ οἴκοθεν τὸ φῶς, ἀλλ' ἀπὸ τῆς τοῦ πνεύματος χάριτος καὶ πρόσκαιρον, ἅμα τε γὰρ ἐφάνη ἡ τοῦ κυρίου ἡμέρα, ἤτοι διδασκαλία, καὶ ἀπεκρύβη ὁ λύχνος. ὑμεῖς δὲ πρὸς ὥραν μὲν ἀπεδέξασθε τὰ εἰρημένα παρ' αὐτοῦ, καὶ ἠγαλλιάσθητε ἐν αὐτῷ, εἶτα ἐπιλαθόμενοι ὧν περὶ ἐμοῦ εἶπεν, ἐμείνατε ἐπὶ τῆς προτέρας ἀπιστίας. εἰ γὰρ ἐκείνῳ ἅπαξ βεβαίως ἐπιστεύσατε, ταχέως ἂν ὑμᾶς πρὸς τὴν ἐμὴν ἐχειραγώγησε πίστιν.

» Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου. τὰ γὰρ ἔργα ἃ ἔδωκέ μοι ὁ πα-
» τὴρ, ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πατήρ
» με ἀπέσταλκε, καὶ ὁ πέμψας με πατὴρ, αὐτός με μεμαρτύρηκε περὶ ἐμοῦ, οὔτε φω-
» νὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχε-
» τε μένοντα ἐν ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.

Ἐμαρτύρησε μὲν, φησὶν, Ἰωάννης περὶ ἐμοῦ, Ἰωάννης ὁ πάντων δοκῶν ὑμῖν ἀξιοπιστότατος. ἐπεὶ δὲ εἰκὸς εὑρεθῆναί τινας συκοφάντας, οἳ τυχὸν ἐροῦσι, καὶ τί πρὸς ἡμᾶς; Ἰωάννης ἐχαρίζετό σοι, καὶ διὰ τοῦτο τὰ χρηστότερα ἐπεμαρτύρει, ὑμεῖς, φησὶν, ἐπέμψατε πρὸς Ἰωάννην, καὶ ἠρωτήσατε, ἀληθῆ πάντως αὐτὸν νομίζοντες. πλὴν ἔχω καὶ ἄλλην μαρτυρίαν μείζω τοῦ Ἰωάννου. τὰ ἔργα γὰρ ἃ ἔδωκέ μοι ὁ πατὴρ, τουτέστιν ἀνέθετό μοι ὁ πατὴρ, ἵνα τελειώσω αὐτὰ, μαρτυροῦσι περὶ ἐμοῦ. λέγει δὲ ἔργα, τὰ θαύματα δή που, οἷον τὴν τοῦ παραλύτου ἀνόρθωσιν καὶ τὰ λοιπά. ἐπεὶ δὲ ἐνεκάλουν αὐτῷ, ὅτι ἐν σαββάτῳ ταῦτα ποιεῖ, λέγοντες, ὅτι οὐκ ἔστιν ἐκ τοῦ θεοῦ ὅτι τὸ σάββατον οὐ τηρεῖ, δείκνυσιν αὐτοῖς, ὅτι τὰ τῷ πατρὶ δεδογμένα ποιεῖ, καὶ ὅτι μᾶλλον ἐκ τοῦ θεοῦ ἐστὶ καθὼς τὰ παρὰ τοῦ θεοῦ δεδομένα αὐτῷ ἔργα τελεῖ. τὰ γὰρ ἔργα φησὶν, ἃ ἔδωκέ μοι ὁ πατὴρ, ἵνα τελειώσω αὐτά. ἐπεὶ οὖν ὁ πατὴρ δέδωκε ταῦτα, ὑμεῖς ἐστὲ ἀντίθεοι οἱ ἐναντιούμενοι τοῖς τοιούτοις ἔργοις. καὶ ὁ πέμψας με πατὴρ,

αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ· ποῦ δὲ μεμαρτύρηκε περὶ αὐτοῦ ὁ πατήρ; τινὲς μὲν Ματ· γ'.
λέγουσιν, ὡς ἐπὶ τοῦ βαπτίσματος, ὅταν εἶπεν, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. κρεῖττον
δὲ οἶμαι νοεῖν, ὅτι διὰ πάσης τῆς γραφῆς ἐμαρτύρησε περὶ αὐτοῦ ὁ θεός, διά τε τοῦ
νόμου καὶ τῶν προφητῶν· ἀλλ' ὑμεῖς, φησὶν, οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε, τοῦ πατρὸς
λέγω, οὔτε εἶδος αὐτοῦ ἑωράκατε, ἀλλὰ παντάπασιν ἄγνωστος ὑμῖν ἐστι, διότι καὶ τὸν
λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν, τουτέστι, τὰς γραφὰς τὰς περὶ ἐμοῦ μαρτυρού-
σας οὐκ οἴδατε· εἰ καὶ δοκεῖτε ὅτι οἴδατε, καὶ καυχᾶσθε, ὡς τὰ λόγια τοῦ θεοῦ ἐμπι-
στευθέντες· πόθεν δῆλον, ὅτι οὐκ οἴδατε τὰς γραφάς; ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ
ὑμεῖς οὐ πιστεύετε· ὥσπερ οὖν οὔτε φωνὴν θεοῦ ἠκούσατε, οὐ γὰρ ἔχει φωνὴν ὁ θεὸς
αἰσθητήν, οὔτε εἶδος αὐτοῦ ἑωράκατε, ἀνείδεος γάρ ἐστι καὶ ἀσχημάτιστος, οὕτως οὐδὲ
τὸν λόγον αὐτοῦ, λέγω δὴ τὰς γραφὰς τὰς περὶ ἐμοῦ μαρτυρούσας, ἔχετε ἐν ἑαυτοῖς·
» Ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, καὶ ἐκεῖ-
» ναι εἰσὶν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε.
» δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω, ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ
» ἔχετε ἐν ἑαυτοῖς· Εἶπεν αὐτοῖς, ὅτι ὁ λόγος τοῦ θεοῦ, τουτέστιν αἱ γραφαὶ αἱ πε-
ρὶ ἐμοῦ μαρτυροῦσαι, οὐκ ἔστιν ἐν ὑμῖν· διδάσκων οὖν πῶς δυνήσονται ἔχειν τὸν λόγον τοῦ
θεοῦ, φησὶν, ἐρευνᾶτε τὰς γραφὰς, ἐν αὐταῖς γὰρ δοκεῖτε ὑμεῖς ζωὴν ἔχειν· ὅρα δὲ
πῶς οὐκ εἶπεν ἔχετε ζωὴν, ἀλλ' ὅτι δοκεῖτε, δοκεῖτε δὲ εἶπεν, δεικνὺς ὅτι οὐδὲν κατὰ
ἀλήθειαν ἐκεῖθεν ἐκαρποῦντο, ἀπὸ τῆς ἀναγνώσεως μόνης σώζεσθαι προσδοκῶντες,
πίστεως μὴ προσούσης· ἐκεῖναι μὲν γάρ εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, ἀλλ' ὑμεῖς οὐ
θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε, ὥστε κἀντεῦθεν μανθάνομεν, ὡς ἐκ προαιρέ-
σεως ἦσαν κακοί, οὐκ εἶπε γὰρ ὅτι οὐ δύνασθε ἐλθεῖν, ἀλλ' ὅτι οὐ θέλετε ἐλθεῖν· ἀκουέ-
τωσαν μανιχαῖοι, ὅτι οὐ φύσει τι κακὸν, ἀλλὰ προαιρέσει συνίσταται. ἐπεὶ δὲ ἀνέμνη-
σεν αὐτοὺς τῆς Ἰωάννου μαρτυρίας, καὶ τῆς τοῦ πατρὸς, καὶ τῆς διὰ τῶν ἔργων αὐ-
τοῦ, διὰ τὴν σωτηρίαν αὐτῶν μόνον ταῦτα ποιῶν, εἰκὸς δὲ ἦν πολλοὺς ὑποπτεύειν, ὅτι
δόξης ἔρωτι ταῦτα λέγει, διὰ τοῦτο φησὶν, ὅτι δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω,
τουτέστι, δόξης οὐ δέομαι, οὐ δὲ γὰρ φύσιν ἔχω τοιαύτην, ὥστε δεῖσθαι τῆς παρὰ ἀνθρώ-
πων δόξης· ὑμεῖς δὲ διώκετέ με προφασιζόμενοι, ὅτι δι' ἀγάπην θεοῦ τοῦτο ποιεῖτε, ἀλ-
λ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστι, ἔγνωκα γὰρ ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυ-
τοῖς· κἂν ἄνω καὶ κάτω τοῦτο προβάλλοισθε, τὸ διὰ τὸν θεὸν διώκειν με· εἰκότως οὖν οἱ
Ἰουδαῖοι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ εἶχον, ἐπεὶ ἐδίωκον τὴν αὐτοαγάπην, τὸν υἱὸν τοῦ θεοῦ·
εἰκότως καὶ τὸν λόγον αὐτοῦ οὐκ εἶχον μένοντα ἐν αὐτοῖς, τὸν γὰρ λόγον καὶ θεὸν παρῃτοῦντο·
» Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με, ἐὰν ἄλλος
» ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε· πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν πα-
» ρὰ ἀλλήλων λαμβάνοντες; καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε. μὴ
» δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα, ἔστιν ὁ κατηγορῶν ὑμῶν μωσῆς
» εἰς ὃν ὑμεῖς ἠλπίκατε· εἰ γὰρ ἐπιστεύετε μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί, περὶ γὰρ ἐμοῦ ἐ-
» κεῖνος ἔγραψεν· εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι
» πιστεύσετε; Ἐγὼ μὲν, φησὶν, ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ γὰρ
πανταχοῦ τὸν πατέρα ὑμνεῖ, καὶ παρ' αὐτοῦ, φησὶν, ἀπεστάλθαι, καὶ οὐδὲν δύνασθαι
ποιεῖν ἀφ' ἑαυτοῦ, καὶ ὅλως ταπεινὰ πολλὰ φθέγγεται, πᾶσαν πρόφασιν ἀγνωμο-
σύνης ἐκκόψαι βουλόμενος· ἄλλος δὲ ἐλεύσεται, ὁ ἀντίχριστος δηλονότι, ὃς μέλλει
ἀποδεικνύναι, ὅτι αὐτός ἐστι μόνος θεός. ἐμὲ μὲν οὖν τὸν ἐν ὀνόματι τοῦ πατρὸς ἐλθόν-
τα, τουτέστι, τὸν λέγοντα παρὰ τοῦ πατρὸς ἀπεστάλθαι, οὐ δέχεσθε, ἐκεῖνον δὲ δέξεσθε·

τοῦτο δὲ συμβαίνει ὑμῖν, διότι ἐκεῖνος μὲν τὴν τοῦ βίου δόξαν ὑμῖν ἐπαγγελεῖται, ἣν
ὑμεῖς ζητεῖτε, θέλοντες τὴν παρὰ ἀλλήλων δόξαν λαμβάνειν, καὶ τὴν παρὰ τοῦ μό
νου θεοῦ διαπτύοντες, ἐγὼ δὲ οὐδὲν ἐν βίῳ περίβλεπτον ὑμῖν ἐπαγγέλλομαι, ἀλλὰ
πολλὴν ἐνορᾶτε δυσκολίαν τοῖς ὑπ' ἐμοῦ λεγομένοις· διὰ τοῦτο οὖν, φησὶν, ἐμοὶ οὐ πι-
στεύετε, οὐδὲν γὰρ τερπνὸν βιωτικὸν προσδοκᾶτε ἕξειν ἀπ' ἐμοῦ. καὶ ἄλλως δὲ, οὐ πιστεύε
τέ μοι, ὡς δόξαν τὴν παρὰ ἀλλήλων θέλοντες· ἄρχοντες μὲν γὰρ καὶ διδάσκαλοι
αὐτοὶ μόνοι θέλοντες δοκεῖν παρὰ τῷ πλήθει, οὐ δέχονταί με, ἵνα μὴ ἐλαττωθείη αὐ
τοῖς ἡ δόξα· λαοὶ δὲ τὴν παρὰ τῶν ἀρχόντων ἀγάπην ζητοῦντες, οὐ θέλουσι προσδρα
μεῖν ἐμοὶ, ἵνα μὴ τῆς παρὰ τῶν ἀρχόντων τιμῆς δι' ἐμὲ ἐκπέσωσιν. ἐπεὶ δὲ καὶ τὸν
Μωϋσῆν ἄνω καὶ κάτω προέφερον, φησὶν, ὅτι αὐτὸς κατηγορήσει ὑμῶν, περὶ γὰρ ἐμοῦ
ἐκεῖνος ἔγραψε. ποῦ δὲ ἔγραψε περὶ αὐτοῦ; καὶ ἐν πολλοῖς μὲν ἄλλοις, καὶ γὰρ τὸ
Δευτ. ιη'. προφήτην ὑμῖν ἀναστήσει κύριος, περὶ χριστοῦ ἦν, καὶ ἄλλα πολλὰ, τὰ μὲν ἐν λόγοις,
Ἐξόδ. γ'. τὰ δὲ ἐν σημείοις καὶ συμβόλοις, οἷον τὸ τῆς βάτου θαῦμα. καὶ γὰρ πῦρ μὲν ἡ θεό-
της, βάτος δὲ ἀκανθώδης, ἡ ἁμαρτωλὸς φύσις, ἧς ἐπιλαβόμενον τὸ πῦρ τῆς θεότη-
τος, ἀκατάφλεκτον ταύτην ἐτήρησε, τῷ φωτὶ λαμπρύναν, καὶ τῶν οἰκείων μὲν αὐ-
χημάτων μεταδεδωκὸς, τῶν δὲ ἐκείνης ἐλαττωμάτων μὴ μετειληφός· οὐχ ἥκιστα
Δευτ. ιγ'. δὲ καὶ τοῦτο, Μωσῆς εἴρηκεν, εἰς τὴν τοῦ χριστοῦ πίστιν συμβαλλόμενον, ἐὰν γὰρ, φησι, προ
φήτης ἀναστῇ, σημεῖα ποιῶν, καὶ ἀφιστῶν ἀπὸ θεοῦ, μὴ πιστεύσητε αὐτῷ, οἷος ἐστὶν ὁ ἀν
τίχριστος· ἐὰν δὲ ἀναστῇ προφήτης σημεῖα ποιῶν, καὶ πρὸς τὸν θεὸν καὶ πατέρα ἄγων,
μᾶλλον οὐκ ἀφιστῶν αὐτοῦ, τούτῳ πιστεύσατε· ὁ χριστὸς οὖν ἐν ὀνόματι τοῦ πατρὸς ἐλ
θὼν, καὶ σημεῖα μὲν ποιῶν, μὴ ἀπάγων δὲ αὐτοὺς τῆς θεοσεβείας, αὐτὸς ἦν ὁ παρὰ μω
σεῖ προφητευόμενος· εἰ οὖν τοῖς Μωϋσέως γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥή-
μασι πιστεύσετε; ἐκεῖνος, φησὶν, ἔγραψε, καὶ πάρεισιν ὑμῖν ἀεὶ πρὸ ὀφθαλμῶν τὰ βι
βλία· ὥστε κἂν ἐπιλάθοισθε, ἔχειν πάλιν ῥᾳδίαν τὴν ἀνάμνησιν, καὶ ὅμως οὐ πιστεύε
τε τοῖς γεγραμμένοις, καὶ πῶς πιστεύσετε τοῖς ἐμοῖς ἀγράφοις ῥήμασι; τί οὖν ταῦτα
λέγεις ὦ κύριε, ἐπεὶ οἶδας, ὅτι οὐ πιστεύσουσιν; εἰ καὶ οἶδα, φησὶν, ὅτι παρακούσουσιν,
ἀλλ' ὅμως λέγω, ἵνα μὴ ὕστερον προφασίζωνται, ὅτι εἰ εἶπας, ἐπιστεύσαμεν· ἄλλως τε,
ἐκεῖνοι μὲν οἱ τότε οἷα ἀγνώμονες, οὐκ ἐπίστευον, τοὺς δὲ μετέπειτα μέλλοντας πιστεύειν,
οὐκ ἦν εἰκὸς, οὐ δὲ δίκαιον στερηθῆναι τῆς ἀπὸ τῶν χριστοῦ ῥημάτων ὠφελείας·

Κεφάλαιον ἕκτον.

» Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς γαλιλαίας τῆς τιβε-
» ριάδος, καὶ ἠκολούθησεν αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα, ἃ ἐποίει ἐπὶ
» τῶν ἀσθενούντων. ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθη-
» τῶν αὐτοῦ· ἦν δὲ ἐγγὺς τὸ πάσχα ἡ ἑορτὴ τῶν Ἰουδαίων. Διαλεχθεὶς τοῖς Ἰουδαίοις
σκληρότερον ὁ κύριος, ἐπειδὴ ἐκ τῶν τοιούτων ῥημάτων φθόνον καὶ θυμὸν ἐκίνησεν
ἐν αὐτοῖς, καταπραΰνει αὐτοὺς διὰ τῆς ἀναχωρήσεως, καὶ πέραν τῆς θαλάσσης τῆς
τιβεριάδος ἀπέρχεται· θάλασσαν δὲ λέγει τὴν λίμνην, τὰ γὰρ συστήματα τῶν ὑδά-
Γεν. α'. των θαλάσσας ἐκάλεσεν ἡ θεία γραφή· ἄλλως δὲ, μεταβαίνει ἀπὸ τόπου εἰς τόπον,
δοκιμάζων τὴν τοῦ πλήθους προαίρεσιν, τῶν γὰρ ῥαθυμοτέρων κατὰ χώραν μενόντων,
οἱ σπουδαιότεροι ἠκολούθησαν αὐτῷ· πλὴν ὅρα, ὅτι καὶ οἱ ἀκολουθοῦντες, οὐ διὰ τὴν
διδασκαλίαν, ἀλλὰ διὰ τὴν ἐκ τῶν θαυμάτων σωματικὴν ὠφέλειαν ἠκολούθουν·
διότι γὰρ, φησιν, ἑώρων τὰ σημεῖα, ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων· κρείττονες δέ εἰσιν
Ματθ. ζ'. οἱ παρὰ τῷ Ματθαίῳ καὶ φιλοσοφώτεροι, ἐξεπλήσσοντο γὰρ φησὶν, ἐπὶ τῇ διδαχῇ
αὐτοῦ, ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων. ἄνεισι δὲ εἰς τὸ ὄρος διὰ τὸ μέλλον γίνε-

σθαι σημεῖον, οὐ γὰρ φιλόκομπός τις, καὶ φιλενδείκτης ἦν, ἵνα ἐν μέσαις πόλεσι θαυματουργῇ, ἀλλὰ φεύγων τὴν κενὴν τῶν πολλῶν δόξαν, ἡσυχίαν ζητεῖ, καὶ ἡμᾶς τοῦτο παιδεύων, ἅμα δὲ καὶ τοῖς μαθηταῖς μυστικά τινα θέλων κοινολογήσασθαι, τὸ ὄρος ζητεῖ, ἀεὶ γὰρ τοῦτο ἔθος αὐτῷ ποιεῖν· ἐπειδὴ καὶ δεῖ πάσης ταραχῆς ἀπηλλάχθαι καὶ τόπον ζητεῖν παντὸς θορύβου καθαρὸν, τὸν τοιαῦτα διαλεξόμενον· ἦν δὲ, φησὶν, ἐγγὺς τὸ πάσχα ἡ ἑορτὴ τῶν Ἰουδαίων. καὶ ὅμως οὐκ ἀναβαίνει, ἀλλ᾽ εἰς τὴν Γαλιλαίαν ἀναχωρεῖ, οὐ γὰρ ἔτι τοῖς τοῦ νόμου διατάγμασιν ὑπέκειτο, ἵνα καὶ τὰς νομικὰς τελῇ ἑορτάς· ἄλλως τε, καὶ τῆς Ἰουδαϊκῆς πονηρίας διωκούσης αὐτὸν, ἀφορμὴν λαβὼν, ἠρέμα ὑπεκλύει τὸν νόμον, δεικνύων τοῖς προσέχουσιν, ὅτι πέπαυται ὁ τύπος, τῆς ἀληθείας ἐλθούσης· ὅρα δὲ καὶ τὸ, ἡ ἑορτὴ τῶν Ἰουδαίων, οὐ γὰρ τοῦ Χριστοῦ ἦν ἑορτὴ, πῶς γὰρ τοῦ μὴ ἀναβαίνοντος εἰς αὐτὴν, ἀλλὰ μόνων τῶν Ἰουδαίων;

» Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς, καὶ θεασάμενος, ὅτι πολὺς ὄχλος ἔρχεται
» πρὸς αὐτὸν, λέγει πρὸς τὸν Φίλιππον, πόθεν ἀγοράσωμεν ἄρτους, ἵνα φάγωσιν οὗτοι;
» τοῦτο δὲ ἔλεγε πειράζων αὐτὸν, αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν. ἀπεκρίθη αὐτῷ Φί-
» λιππος, διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν βραχύ τι
» λάβῃ· λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου,
» ἔστι παιδάριον ἓν ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια, ἀλλὰ ταῦτα
» τί ἐστιν εἰς τοσούτους;

Τίνος ἕνεκεν εἴπε, τὸ ἀναβλέψας τοῖς ὀφθαλμοῖς ὁ Ἰησοῦς; ἵνα μάθωμεν, ὅτι οὐκ ἐρέμβετο τοὺς ὀφθαλμοὺς τῇδε κἀκεῖσε, ἀλλ᾽ ἐπὶ συννοίας καθήμενος καὶ προσοχῆς καὶ ἀκριβείας, οἷα δὴ τοῖς μαθηταῖς περί τινων θειοτέρων διαλεγόμενος, τέλος ἀνέβλεψε τοὺς ὀφθαλμοὺς, καὶ ὁρωτᾷ περὶ τοῦ ὄχλου, πόθεν διατραφήσεται· οὐκ ἄλλον δὲ ἐρωτᾷ, ἀλλὰ Φίλιππον, οὗτος γὰρ ἦν ὁ πλείονος δεόμενος διδασκαλίας, ὁ μετὰ ταῦτα λέγων, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν· διὰ τοῦτο πρὸ πολλοῦ αὐτὸν ῥυθμίζει, καὶ διὰ τῆς ἐρωτήσεως ἐνάγει αὐτὸν εἰς τὸ ἀεὶ μνημονεύειν τοῦ θαύματος· εἰ μὲν γὰρ ἁπλῶς τὸ σημεῖον ἐγένετο, οὐκ ἂν τοσοῦτον ἐφάνη τὸ θαῦμα, νυνὶ δὲ πρότερον αὐτὸν ἀναγκάζει ὁμολογῆσαι τὴν σπάνιν, ἵνα ἀκριβέστερον καταμάθῃ τοῦ μέλλοντος γίνεσθαι θαύματος τὸ μέγεθος, καὶ μὴ δυνηθῇ λοιπὸν ἐκβαλεῖν τὴν μνήμην τῶν ὁμολογηθέντων, διὰ τοῦτο φησὶ, πόθεν, ἵνα φάγωσιν οὗτοι; λέγει δὲ ταῦτα πειράζων τὸν Φίλιππον, τουτέστι, θέλων αὐτὸν γνώριμον καταστῆσαι, τίνα πίστιν ἔχει, οὐ γὰρ δὴ ὡς ἀγνοῶν αὐτὸς τὴν τοῦ Φιλίππου γνώμην, ἐρωτᾷ αὐτὸν, ἀλλὰ τοῖς ἄλλοις θέλων δεῖξαι αὐτόν· αὐτὸς γὰρ ὁ κύριος, ᾔδει τί ἔμελλε ποιεῖν· τὸν οὖν Φίλιππον πειράσας εἴ γε πίστιν ἔχει, καὶ εὑρὼν αὐτὸν ἀνθρωπίνως ἔτι διακείμενον, ναὶ μὴν καὶ τὸν Ἀνδρέαν εὑρίσκει τοιοῦτον· εἰ γὰρ καὶ ὑψηλότερόν τι τοῦ Φιλίππου ἐφαντάσθη, ἐκείνου γὰρ εἰπόντος, ὅτι διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν, αὐτὸς πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια ὑποδεικνύει, ἐννοήσας ἴσως καὶ τὰ τῶν προφητῶν θαύματα, ὅπως ὁ Ἐλισσαῖος ἐποίει, τὸ ἐπὶ τῶν ἄρτων σημεῖον, ὅτε ἡ Σαμάρεια εἰς ἔσχατον ἀπωλείας ἦλθεν, ἀλλ᾽ ὅμως καὶ Ἀνδρέας ἐλέγχεται, μηδὲν ἐπάξιον τοῦ κυρίου ἐννοήσας· φησὶν γὰρ, ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; ἐνόμησε γὰρ, ὅτι αὐξήσει μὲν ἴσως ὁ κύριος τοὺς ἄρτους, ἀλλ᾽ ἐὰν ὦσι πλείονες, πλείων ἂν καὶ ἡ αὔξησις ἐγένετο, ἀσφαλῶς πάντως νοῶν· ὁ γὰρ κύριος καὶ ἐκ μὴ ὄντων, ἠδύνατο ἄρτους ποιεῖν τῷ πλήθει ἀρκοῦντας· ὅμως ἵνα μὴ δόξῃ ἡ κτίσις ἀλλοτρία εἶναι τῆς αὐτοῦ σοφίας, αὐτῇ τῇ κτίσει κέχρηται πρὸς τὴν ὑπόθεσιν τῶν θαυμάτων, καὶ ἀφορμὴν λαβὼν τοὺς ἄρτους, ὥσπερ ὕλην τινὰ, οὕτως εἰδοποιεῖ τὸ θαῦμα· αἰσχυνέσθωσαν οἱ Μανιχαῖοι λέγοντες, ὅτι ὁ ἄρτος καὶ πάντα τὰ ἐν τῇ κτίσει τοῦ πονηροῦ θεοῦ εἰσὶ δημιουργή-

Ἰωάν. ιδ΄.

δ΄. Βα. δ΄.

ματα, καὶ διὰ τοῦτο ἐάν τις αὐτοῖς δῷ ἄρτον, μὴ λαμβάνοντες αὐτὸν ἐκ τῶν ἐκείνου χειρῶν, ἀλλὰ πόῤῥωθεν μὲν αὐτὸν ῥίψαι ἐπιτάττοντες, ἱστάμενοι δὲ καὶ καταρώμενοι τῷ δόντι, ὁ πειράσας σε ἀπαρείη, ὁ ἀλήσας σε ἀληθείη τὰς ἐρήμους, καὶ ὅσα τοιουτότροπα· αἰσχυνέσθωσαν οὖν ἀκούοντες, ὅτι ὁ τοῦ ἀγαθοῦ θεοῦ υἱὸς ὁ Χριστὸς, ἄρτους ἐπλήθυνεν. εἰ δὲ κακὸν ἦσαν κτίσμα, οὐκ ἂν ὁ ἀγαθὸς τὸ κακὸν ἐπλήθυνεν, ἵνα μὴ λέγω καὶ αὐτὸς ἄρτους ἤσθιεν· ἀλλ' ἐρωτήσοι ἄν τις, ἆρα τοῦτο τὸ τῶν ἄρτων θαῦμα τὸ
Ματθ. ιδ'. αὐτό ἐστι τὸ παρὰ τῷ Ματθαίῳ; τὸ αὐτό ἐστι· εἰ δὲ ἐκεῖ μὲν προσέρχονται οἱ μαθηταὶ ὑπομιμνήσκοντες περὶ τοῦ ὄχλου, ἵνα ἀπολυθῶσιν, ἐνταῦθα δὲ αὐτὸς ὁ Ἰησοῦς ἐρωτᾷ, πόθεν διατραφεῖεν, οὐ χρὴ θαυμάζειν· εἰκὸς γάρ ἐστιν ἀμφότερα γενέσθαι, καὶ τῶν μαθητῶν πρότερον ὑπομνησάντων τὸν κύριον περὶ τοῦ ἀπολυθῆναι τοὺς ὄχλους, ἐρωτηθῆναι τὸν Φίλιππον ὑπὸ τοῦ κυρίου, πόθεν διατραφήσονται.

» Εἶπε δὲ ὁ Ἰησοῦς, ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν· ἦν δὲ χόρτος πολὺς ἐν τῷ τό
» πῳ. ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰη
» σοῦς, καὶ εὐχαριστήσας, διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις, ὁ-
» μοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς
» αὐτοῦ, συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται· συνήγαγον
» οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ
» ἐπερίσσευσε τοῖς βεβρωκόσιν.

Ὡς ἑτοίμου τῆς τραπέζης οὔσης, ἐκέλευσεν αὐτοὺς εὐθέως ἀναπεσεῖν· οἱ δὲ μαθηταὶ, καίτοι πρότερον ἀπιστοῦντες, ὅμως προθύμως, κατακλίνουσι τοὺς ἀνθρώπους· ἦν δὲ χόρτος ἔαρος ὄντος, ἦν γάρ, φησι, τὸ πάσχα, τοῦτο δὲ
Ἀριθ. κη'. ἐν τῷ πρώτῳ τοῦ ἔαρος μηνὶ ἐτελεῖτο· μόνοι δὲ οἱ ἄνδρες ἀριθμοῦνται παρὰ τοῦ εὐαγ
Δευτε. ιϛ'. γελιστοῦ, τῇ νομικῇ συνηθείᾳ ἀκολουθοῦντος· καὶ γὰρ καὶ Μωσῆς ἀπὸ εἰκοσαετοῦς καὶ
Ἐξ. λα'. λη'. ἀνωτέρω ἠρίθμησε τὸν λαὸν, μηδόλως μνημονεύσας γυναικῶν, δηλοῦντος τοῦ λόγου, ὅτι πᾶν ὅσον ἀνδρῶδες καὶ νεανικὸν τίμιον, καὶ ἄξιον ἀριθμοῦ παρὰ θεῷ· λαβὼν δὲ τοὺς ἄρτους εὐχαριστεῖ, δεικνὺς, ὅτι πρὸ τροφῆς εὐχαριστεῖν δεῖ τῷ θεῷ, ἅμα δὲ καὶ ἐπειδὴ ὄχλος ἦν, διὰ τοῦτο εὐχαριστεῖ ἐνώπιον τοῦ ὄχλου, ἵνα πεισθῶσι πάντες, ὅτι κατὰ γνώμην θεοῦ παρεγένετο, καὶ ὡς οὐκ ἔστιν ἀντίθεος, ἀλλὰ πάντα πρὸς τὸν πατέρα ἀναφέρει· ὅτε μὲν γὰρ κατὰ μόνας ποιεῖ σημεῖα, οὐδὲν τοιοῦτον ποιεῖ, καίτοι μείζω τελῶν· ὅταν δὲ ἐνώπιον πολλῶν θαυματουργῇ, τότε πρὸς τὸν θεὸν ἀναβλέπει· δείκνυσι δὲ, ὅτι οὐκ ἀσθενείᾳ τοῦτο ποιεῖ, ἀλλὰ δι' οἰκονομίαν, ἣν εἴπομεν, ἐκ τοῦ τὰ μείζονα δεσποτικῶς καὶ αὐθεντικῶς ποιεῖν· λέγουσι δέ τινες διὰ τοῦτο αὐτὸν εὐχαριστεῖν, ἵνα λάθῃ τὸν τοῦ κόσμου ἄρχοντα ἄχρι καὶ τοῦ καιροῦ τοῦ πάθους, καὶ μὴ ἐντεῦθεν ἤδη οἰηθείη αὐτὸν θεὸν, ἀλλ' ἀπατηθῇ, καὶ δελεασθῇ, καὶ οὕτω διὰ τοῦ σταυροῦ νεκρωθείη· συγχωρεῖ δὲ ὁ κύριος περισσεῦσαι τοὺς ἄρτους, οὐ δι' ἐπίδειξιν, ἄπαγε, ἀλλ' ὥστε μὴ φαντασίαν νομισθῆναι τὸ κορεσθῆναι τοὺς ἀνθρώπους, ἀλλὰ πᾶσι φανῆναι, ὅτι τοσοῦτον ἀληθῶς ἐκορέσθησαν, ὥστε καὶ ἐπερίσσευσαν τοσαῦτα· διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ τὰ κλάσματα κελεύει συναχθῆναι, ἵνα ὁρῶντες ταῦτα, τοῦ γεγονότος ἀναμιμνήσκωνται θαύματος ἐπὶ πλέον· χρὴ δὲ οὐ μόνον θαυμάσαι, ὅτι ἐπερίσσευσαν, ἀλλὰ καὶ τὴν ἀκρίβειαν τοῦ περισσεύματος, ὅτι οὔτε πλεῖον, οὔτε ἔλαττον, ἀλλ' ἰσαρίθμους τῶν μαθητῶν τοὺς κοφίνους τῶν λειψάνων ἐποίησε περισσεῦσαι, ἵνα πάντες βαστάσωσι, καὶ μηδὲ ὁ Ἰούδας ἄμοιρος καταλειφθείη, ἀλλ' ἔχῃ καὶ τοῦτο τὸ θαῦμα δεικτικὸν τοῦ εἶναι θεὸν τὸν αὐτοῦ διδάσκαλον, καὶ ὠφεληθείη κἀκ τούτου, κἂν διὰ τὴν αὐτοῦ κακίαν εἰς κατάκρισιν μᾶλλον αὐτοῦ τοῦτο γέγονε, τὸν γὰρ τοσαῦτα περισσεύματα ποιήσαντα, ἐξ ὧν καὶ αὐτὸς κόφινον ἐβάστασε, τοῦτον προδέδωκεν· οὐ γὰρ δὴ μάτην τοῖς ἀποστόλοις προσέταξε βαστά

σαι τοὺς

σαι τοὺς κοφίνους, ἀλλ' ἵνα ἀεὶ ἀναμιμνήσκωνται τοῦ θαύματος, ὡς μέλλοντες ἔσεσθαι
διδάσκαλοι τῆς οἰκουμένης. τὸ μὲν γὰρ πλῆθος οὐδὲν μέγα ἔμελλον καρπώσασθαι,
παραυτίκα γὰρ ἐπελάθοντο τοῦ θαύματος, οὕτως ἦσαν ἀνόητοι, οἱ δὲ μαθηταὶ οὐ τὰ
τυχόντα ἔμελλον κερδαίνειν. μανθάνομεν δὲ ἀπὸ τοῦ γεγονότος μὴ μικροψυχεῖν ἐν ταῖς
στενοχωρίαις τῆς πενίας, μηδὲ δειλιᾶν πρὸς φιλοξενίαν καὶ μετάδοσιν, ἀλλὰ πιστεύειν,
ὅτι κἂν ἕνα ἄρτον ἔχωμεν, πληθυνεῖ τοῦτον ὁ τὰ τοσαῦτα περισσεύσαι ποιήσας ἐκ
πέντε ἄρτων. καὶ κατὰ θεωρίαν δέ, ὅτε ἐκπεφοίτηκε τῶν Ἱεροσολύμων ὁ κύριος κα- Ἱερε. ιβ'.
τὰ τὸ ἐν προφήταις εἰρημένον, ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονο-
μίαν μου, τότε δὲ εἰς τὴν Γαλιλαίαν τῶν ἐθνῶν ἄπεισιν, τοὺς ἐθνικοὺς προσλαμβανό-
μενος, καὶ ὄχλος αὐτῷ πολὺς ἀκολουθεῖ, ἄνεισι δὲ εἰς τὸ ὄρος, ἤτοι εἰς τὸν σταυρόν, ἵνα
πάντας ἑλκύσῃ πρὸς ἑαυτόν, ἢ εἰς τὸν οὐρανόν, εἰς τὴν θεοπρεπῆ τιμὴν καὶ δόξαν. ἀνα-
ληφθεὶς γὰρ εἰς οὐρανόν, καὶ ὡς θεὸς παρ' ἡμῶν δοξαζόμενος, καὶ μὴ ψιλὸς ἄνθρω-
πος, εἰς ὄρος ἀνελθεῖν λέγεται, ἡ γὰρ ὑψηλὴ περὶ αὐτοῦ ἔννοια ὄρος. διαδίδωσι δὲ ἡ-
μῖν τοῖς ταῖς πέντε αἰσθήσεσιν ὑποπεπτωκόσι, τοὺς λογικοὺς ἄρτους πέντε καὶ αὐτοὺς
ὄντας, ἑκάστῃ γὰρ αἰσθήσει τὸν πρόσφορον ἄρτον δίδωσι, ἤτοι τὸν λόγον, ὡς καὶ Παῦλος
λέγει, θέλω πέντε λόγους ἐν ἐκκλησίᾳ λαλῆσαι, τοὺς ταῖς πέντε δηλαδὴ αἰσθήσεσιν α'. πρὸς Κο-
ἁρμόζοντας πρὸς διόρθωσιν. οὐ μέντοι δυνάμεθα τούτους τοὺς πέντε λόγους ὅλους κα- ριν. ιδ'.
ταφαγεῖν, ἀλλὰ καὶ περισσεύουσιν. οὐ γάρ τις δύναται ἡμῶν ὅλους τοὺς μυστηρίου τοὺς
λόγους χωρῆσαι, ἀλλὰ τὰ ἡμῖν τοῖς ὑλικωτέροις ἀνέφικτα καὶ ἄβρωτα οἱ ἀπόστο-
λοι βαστάζουσιν, ὥσπερ ἔν τισι κοφίνοις, ταῖς ἑαυτῶν δικαίαις ψυχαῖς. οἱ γὰρ κόφι-
νοι, ἐκ βαΐων φοινικίνων, δίκαιος δὲ ὡς φοῖνιξ ἀνθήσει.

» Οἱ οὖν ἄνθρωποι ἰδόντες τὸ σημεῖον, ὃ ἐποίησεν ὁ Ἰησοῦς, ἔλεγον, ὅτι οὗτός ἐστιν ἀλη-
» θῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον. Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι,
» καὶ ἁρπάζειν αὐτόν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα. ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐ-
» τὸς μόνος. Ὅρα τὴν γαστριμαργίαν τοῦ πλήθους, μυρία θαύματα ποιήσαντος τοῦ
Ἰησοῦ, καὶ θαυμασιώτερα, οὐκ ἐθαύμαζον, καὶ ἰδοὺ διὰ τὴν βρῶσιν, οὗτός φασιν ἐστὶν
ὁ προφήτης. οὐκ ἔτι αὐτῷ περὶ τῆς τοῦ σαββάτου παραβάσεως ἐγκαλοῦσιν, οὐκ ἔτι
τὸν νόμον ἐκδικοῦσιν, ἀλλὰ τοσοῦτον διὰ τοὺς ἄρτους αὐτὸν τιμῶσιν, ὥστε οὐ μόνον
προφήτην ἀναγορεύουσιν, ἀλλὰ καὶ βασιλείας ἄξιον οἴονται. ἀλλ' ἐκεῖνος φεύγει, παι-
δεύων ἡμᾶς τῶν κοσμικῶν καταφρονεῖν ἀξιωμάτων. ἀναχωρεῖ δὲ εἰς τὸ ὄρος αὐτὸς
μόνος, μηδένα τῶν μαθητῶν παραλαβών, ὡς ἂν αὐτῶν τὸν πόθον δοκιμάσῃ, καὶ εἰ
μὴ φέρουσι τὴν αὐτοῦ στέρησιν.

» Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν θάλασσαν, καὶ ἐμβάν-
» τες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ. καὶ σκοτία ἤδη ἐγε-
» γόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς, ἥτε θάλασσα ἀνέμου πνέοντος διηγείρε-
» το. ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπα-
» τοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ πλοίου γενόμενον, καὶ ἐφοβήθησαν. ὁ δὲ λέ-
» γει αὐτοῖς, ἐγώ εἰμι, μὴ φοβεῖσθε. ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ
» πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον. Ὁ μὲν κύριος ἄνεισιν εἰς τὸ ὄρος μό-
νος, ἵνα καθὼς εἴπομεν, δοκιμάσῃ τὸν πόθον τῶν μαθητῶν, εἰ ἐπιζητοῦσιν αὐτόν. οἱ δὲ
περιμένουσι μὲν αὐτὸν ἄχρις ὀψίας, προσδοκῶντες ἥξειν αὐτόν. μὴ ἐλθόντος δέ, οὐκ
ἀνέχονται, ἀλλὰ πρὸς ζήτησιν αὐτοῦ τῷ πόθῳ κεντούμενοι, ἐμβαίνουσιν εἰς τὸ πλοῖον.
οὐ γὰρ ἁπλῶς, καὶ ὡς ἔτυχεν, ὁ εὐαγγελιστὴς τὸν καιρὸν ἐδήλωσεν, ἀλλὰ διὰ τούτου
τὴν σφοδρὰν ἀγάπην αὐτῶν ἐμφαίνων, ὅτι οὐδὲ ἑσπέρα αὐτοὺς κατέσχεν. ἀφίησι δὲ

αὐτοὺς χειμασθῆναι, ἵνα ἐκ τοῦ κλύδωνος γαλήνης ἐπιγενομένης, τῷ γεγονότι μᾶλλον ἐπευφρανθῶσι, καὶ ἀνεπίληστος ἡ μνήμη τούτου ταῖς αὐτῶν καρδίαις ἐνσημανθῇ· ἐφίσταται δὲ αὐτοῖς χειμαζομένοις, καὶ διὰ τοῦ λόγου τόν τε φόβον ἐκβάλλει, καὶ ἅμα γαλήνην τῇ θαλάσσῃ ἐμποιεῖ, καὶ διπλῆν εὐδίαν ἐργάζεται, τῶν τε ψυχῶν αὐτῶν, καὶ τῆς θαλάσσης πραΰνας τὴν ταραχήν· οὐκ ἀνέβη δὲ εἰς τὸ πλοῖον, τὸ θαῦμα μεῖζον ἐργάσαι βουλόμενος· ὅρα γὰρ τρία τὰ θαύματα, ἓν ὅτι περιεπάτει ἐπὶ τῆς θαλάσσης, δεύτερον, ὅτι κατεστόρεσε τὰ κύματα, τρίτον τὸ εὐθέως ποιῆσαι γενέσθαι τὸ πλοῖον ἐπὶ τὴν γῆν, εἰς ἣν ὑπῆγον, καίτοι πολὺ ἀπεῖχε τῆς γῆς, ὅτε τούτῳ ἐπέστη ὁ κύριος· διέβησαν μὲν οὖν καὶ Ἰουδαῖοι τὴν ἐρυθρὰν, Μωσέως ἡγουμένου· ἀλλ' ἐκεῖνος μὲν ὡς δοῦλος πάντα εἰργάζετο καὶ εὐχόμενος, οὗτος δὲ, μετ' ἐξουσίας ἁπάσης· κἀκεῖ μὲν νότου πνεύσαντος, εἶξε τὸ ὕδωρ, ὥστε ἐπὶ ξηρᾶς ποιῆσαι παρελθεῖν, ἐνταῦθα δὲ μεῖζον τὸ θαῦμα ἐγένετο· μένουσα γὰρ ἐπὶ τῆς οἰκείας φύσεως ἡ θάλασσα, οὕτως ἔφερε τὸν δεσπότην ἐπὶ τῶν νώτων, ἵνα πληρωθῇ τὸ προφητικὸν, ὁ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπὶ ἐδάφους. πολλοὶ καὶ νῦν ἐσμὲν ἐν σκότῳ τῷ νοητῷ, καὶ κινδυνεύομεν ἐν τῇ θαλάσσῃ τῇ νοητῇ καταπνίγεσθαι, ἀλλ' ὑποδεξώμεθα Χριστὸν, καὶ πάντως σωθησόμεθα ἀπὸ τῶν κινδύνων, κἂν πολλάκις φόβους ἐπισάγωσιν ἡμῖν τινὲς, πειράζοντες ἡμᾶς ἢ δαίμονες, ἢ ἄνθρωποι, καὶ διὰ τὸν φόβον πειρῶνται ἡμᾶς κατασείειν, ἀκούσωμεν τοῦ Χριστοῦ βοῶντος, μὴ φοβεῖσθε, ἐγώ εἰμι, ὃ δὲ λέγει, τοιοῦτόν ἐστι, τὰ μὲν φοβερὰ παρέρχονται, διὸ μὴ φοβεῖσθε τὰ παρερχόμενα, ἐγὼ δέ εἰμι, τουτέστιν ἀεὶ μένω, καὶ ὡς θεὸς ἐγὼ τυγχάνω ὁ ὤν· ἐπεὶ τοίνυν τὰ μὲν φοβερὰ πρόσκαιρα, καὶ οὐκ ἀληθῶς ὄντα, ἐγὼ δέ εἰμι, ἀντὶ τοῦ μένω, καὶ οὐδέποτε παρέρχομαι, ἀλλ' ἀληθῶς εἰμὶ, μὴ προδῶτε τὴν εἰς ἐμὲ πίστιν διὰ τὰ πρόσκαιρα· ὅρα δέ μοι, πῶς οὐκ ἐναρχῇ τοῦ κινδύνου, ἀλλ' ἐν ἀκμῇ ἐπιφαίνεται Χριστὸς, καὶ λύει τὸν φόβον. ἐᾷ γὰρ ἡμᾶς ἐν μέσοις γενέσθαι τοῖς δεινοῖς, ἵνα παλαίσαντες τῇ θλίψει, καὶ πιεσθέντες, δοκιμώτεροι γενώμεθα, καὶ ἵνα κινήσαντες πᾶσαν τὴν ἡμετέραν δύναμιν καὶ σοφίαν, καὶ εὑρόντες αὐτὴν ἀσθενῆ, πρὸς ἐκεῖνον καταφεύγωμεν μόνον, τὸν ἐξ ἀπροσδοκήτων σώζειν δυνάμενον· ὅτε γὰρ ὁ ἀνθρώπινος ἀπαγορεύσει νοῦς, τότε ἡ ἐκ θεοῦ σωτηρία ἀθρόον ἐπιγενομένη, παρασκευάζει ἡμᾶς πρὸς ἐκεῖνον πεποιθέναι μόνον τὸν σώσαντα, καὶ μὴ ἑαυτοῖς τὴν σωτηρίαν ἐπιγράφεσθαι· ἐθελήσωμεν δὲ καὶ εἰς τὸ πλοῖον ἡμῶν λαβεῖν τὸν Χριστὸν, τουτέστι κατοικίσαι τὸν Χριστὸν ἐν τῇ καρδίᾳ ἡμῶν, εὐθὺς εὑρεθησόμεθα ἐν τῇ γῇ, εἰς ἣν ἀπαγόμεθα· ποία δὲ ἡ γῆ ἐστιν αὕτη; ἢ πάντως ἡ γῆ τῆς ἐπαγγελίας, ὁ οὐρανὸς, ἡ γῆ τῶν πραέων, καὶ ἀπὸ πάσης κακίας εἰρηνευσάντων;

» Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης, εἰδὼν ὅτι πλοιάριον ἄλλο
» οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνεισῆλθε τοῖς
» μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον.
» ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ τῆς Τιβεριάδος ἐγγὺς τοῦ τόπου, ὅπου ἔφαγον τὸν ἄρτον,
» εὐχαριστήσαντος τοῦ κυρίου. ὅτε οὖν εἶδεν ὁ ὄχλος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ, οὐδὲ οἱ μαθη-
» ταὶ αὐτοῦ, ἐνέβησαν καὶ αὐτοὶ εἰς τὰ πλοιάρια καὶ ἦλθον εἰς Καπερναοὺμ, ζητοῦν-
» τες τὸν Ἰησοῦν, καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ, ῥαββεὶ πότε
» ὧδε γέγονας; ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἶπεν, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖ-
» τέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε·

Περαιωθέντος μὲν ὁ Ἰησοῦς ἐπὶ τῆς θαλάσσης, ἀπῆλθεν εἰς τὸ πέραν, οἱ δὲ ὄχλοι τῇ ἐπαύριον ζητοῦντες αὐτὸν, καὶ ἰδόντες, ὅτι πλοῖον ἓν ἦν τὸ τοὺς μαθητὰς ὑποδεξάμενον, εἰς ὃ οὐ συνεισῆλθεν ὁ Ἰησοῦς, εἰς ἔννοιαν ἦλθον τοῦ θαύματος, καὶ ὑπενόουν, ὅτι τὴν θά-

λασσαν

Ἐξοδ. ιδ'.

λῶ ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή ἐστιν, ἀλλ᾽ εἰσί τινες ἐξ ὑμῶν, οἳ οὐ πιστεύουσιν. ᾔδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς, τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν.

Ἐπειδὴ, ὡς πολλάκις εἴπομεν, σαρκικῶς ἐκλαμβάνοντες τὰ λεγόμενα παρὰ τοῦ Χριστοῦ ἐσκανδαλίζοντο, φησὶν, ὅτι τὸ πνευματικῶς νοεῖν τὰ λεγόμενα παρ᾽ ἐμοῦ, τοῦτό ἐστι τὸ ὠφελοῦν, ἡ δὲ σὰρξ, τουτέστι, τὸ σαρκικῶς αὐτὰ ἐκδέχεσθαι, οὐδὲν ὠφελεῖ, ἀλλὰ σκανδάλου ἀφορμὴ γίνεται. οὕτω δὴ αὐτοὶ σαρκικῶς ἀκούοντες τῶν παρὰ Χριστοῦ λεγομένων, ἐσκανδαλίζοντο. ἐπιφέρει οὖν, ὅτι τὰ ῥήματα ἃ ἐγὼ λαλῶ, πνεῦμά ἐστι, τουτέστι, πνευματικά ἐστι, καὶ ζωή ἐστιν, οὐδὲν ἔχοντα σαρκικὸν, καὶ ζωὴν προξενοῦντα αἰώνιον. δεικνύων δὲ τὸ τῆς θεότητος ἀξίωμα, τὸ ἀποκαλύπτειν φημὶ τὰ κεκρυμμένα, φησὶ πρὸς αὐτοὺς, ὅτι εἰσί τινες ἐξ ὑμῶν, οἳ οὐ πιστεύουσιν, εἰπὼν δὲ τινὲς, τοὺς μαθητὰς ὑπεξήγαγε. καὶ ὁ εὐαγγελιστὴς θέλων ἡμῖν δεῖξαι, ὅτι πρὸ καταβολῆς κόσμου πάντα ἐγίνωσκε, φησὶν, ὅτι ἐξ ἀρχῆς ἐγίνωσκεν ὁ Ἰησοῦς, τινὲς εἰσὶν οἱ μὴ πιστεύοντες, ἔτι δὲ καὶ τοῦ προδότου τὴν πονηρίαν, ὅπερ ἦν ἀληθοῦς θεότητος ἔνδειξις. ὁ γὰρ προφήτης περὶ τοῦ θεοῦ φησὶν, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν. Δαν. ιγ΄.

Καὶ ἔλεγε, διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός μου. ἐκ τούτου πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ οὐκ ἔτι μετ᾽ αὐτοῦ περιεπάτουν. εἶπε δὲ ὁ Ἰησοῦς τοῖς δώδεκα, μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;

Πολλάκις εἴπομεν, ὅτι ὅταν ἀκούσῃς, ὡς ὁ πατὴρ δίδωσι τὴν εἰς τὸν υἱὸν πίστιν, μὴ νομίσῃς, ὅτι ἄλλοις μὲν εὐεργετεῖ ὁ πατὴρ κατὰ ἀποκλήρωσιν, ἄλλοις δὲ οὔ, τοῦτο γὰρ ἀδικοῦντός ἐστιν, ἀλλ᾽ ἐκείνοις εὐεργετεῖν νόμιζε τὸν πατέρα, καὶ ἐκείνοις διδόναι τὴν τῆς πίστεως δωρεὰν, ὅσοις ἡ προαίρεσις συνεργεῖ. ὁ γὰρ μὴ ὑπὸ τῆς προαιρέσεως συνεργούμενος, οὐ δὲ ὑπὸ τοῦ θεοῦ προσλαμβανόμενος ὠφελεῖται. οἷόν τι λέγω, πᾶσι δίδωσιν ὁ θεὸς, ἀλλ᾽ οἱ μὲν καὶ λαμβάνουσι, καὶ χρῶνται καλῶς τῷ δεδομένῳ, καὶ φυλάττοντες αὐτὸ, δεικνύουσι τὴν τοῦ θεοῦ δωρεάν. οἱ δὲ λαμβάνουσι μὲν, ἀπολλύντες δὲ τὰ δεδομένα, φαίνονται μηδὲν λαβόντες. ὅταν οὖν λέγῃ ὁ εὐαγγελιστὴς, ὅτι ἐὰν μὴ ᾖ δεδομένον τινὶ ἐκ τοῦ πατρὸς, οὐ δύναται ἐλθεῖν πρὸς τὸν υἱὸν, τοῦτο λέγει, ὅτι ἐκεῖνος ἔρχεται πρὸς τὸν υἱὸν, ᾧ τινι δώσει ὁ πατὴρ, ἤτοι παρ᾽ οὗ φυλαχθείη ἡ γενομένη αὐτῷ παρὰ θεοῦ δωρεά. ἀπῆλθον οὖν πολλοὶ τῶν μαθητῶν εἰς τὰ ὀπίσω, τουτέστιν, ἀποσχίζοντες ἑαυτοὺς τοῦ διδασκάλου, οὐκ εἰς προκοπὴν προῆλθον, ἀλλ᾽ εἰς τὰ ὀπίσω, τουτέστιν, εἰς ἀπιστίαν. τῷ ὄντι γὰρ ὁ ἑαυτὸν ἀποσχίζων τοῦ Χριστοῦ, εἰς τὰ ὀπίσω ἄπεισιν, ὁ δὲ κατὰ Παῦλον κολλώμενος τῷ κυρίῳ, ἀεὶ τοῖς ἔμπροσθεν ἐπεκτείνεται. Φιλ. γ΄. αὐτὸς δὲ δεικνὺς ὅτι οὐ δεῖται τινὸς, οὐ δὲ τῆς παρ᾽ αὐτῶν τούτων διακονίας ἢ θεραπείας, λέγει πρὸς αὐτοὺς, μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; διὰ τί δὲ μᾶλλον οὐκ ἐπῄνεσε τοὺς δώδεκα, ὡς μὴ συναπαχθέντας τοῖς ἄλλοις; ὁμοῦ μὲν τηρῶν τὸ τῷ διδασκάλῳ πρέπον ἀξίωμα, ὁμοῦ δὲ δεικνύων καὶ ἡμῖν, ὅτι διὰ τούτου μᾶλλον ἐφέλκεσθαι τοῦ τρόπου ἔνεστιν. εἰ μὲν γὰρ ἐπῄνεσε, κἂν ἔπαθόν τι ἀνθρώπινον, καὶ ἠλαζονεύσαντο, χαρίζεσθαι αὐτῷ οἰόμενοι διὰ τῆς ἀκολουθήσεως. τὸ δὲ δεικνύναι, ὡς οὐ δεῖται τῆς ἀκολουθήσεως αὐτῶν, μᾶλλον αὐτοὺς ἠδύνατο κατέχειν, ὡς εὐεργετουμένοις μᾶλλον, ἢ εὐεργετοῦντας, καὶ λαμβάνοντας χάριν, ἢ διδόντας. σκόπει δὲ πῶς συνετῶς εἶπεν, οὐκ εἶπε γὰρ ἀπέλθετε, τοῦτο γὰρ ἀπωθουμένου ἦν, ἀλλ᾽ ἐρωτᾷ, μὴ θέλετε ὑπάγειν; ὅπερ ἦν αὐτοὺς ποιοῦντος κυρίους τοῦ ἀκολουθεῖν καὶ μὴ, δεικνῦντος, ὅτι οὐ βούλεται αὐτοὺς αἰδοῖ τῇ πρὸς αὐτὸν ἀκολουθεῖν αὐτῷ, ἀλλὰ μᾶλλον, χάριν εἰδέναι ὑπὲρ τοῦ ἀκολουθεῖν.

Ἀπεκρίθη αὐτῷ Σίμων Πέτρος, κύριε πρός τινα ἀπελευσόμεθα; ῥήματα ζωῆς

αἰωνίου ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν, καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς. οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν; ἔλεγε δὲ τὸν Ἰούδαν Σίμωνος ἰσκαριώτην, οὗτος γὰρ ἔμελλεν αὐτὸν παραδιδόναι, εἷς ὢν ἐκ τῶν δώδεκα· Φιλόστοργος ὢν ὁ Πέτρος καὶ φιλάδελφος, ὑπὲρ παντὸς ἀπολογεῖται τοῦ χοροῦ· οὐ γὰρ εἶπε κύριε πρὸς τίνα ἀπελεύσομαι, καὶ ὅτι ἔγνωκα καὶ πεπίστευκα, ἀλλὰ πρὸς τίνα ἀπελευσόμεθα καὶ τὰ ἑξῆς· ζωῆς δὲ αἰωνίου ῥήματα ἔχειν τὸν κύριον φησὶν, ἐπειδὴ ἤκουσεν αὐτοῦ λέγοντος, ὅτι τὸν πιστεύοντα εἰς ἐμὲ ἀναστήσω, καὶ ἕξει ζωὴν αἰώνιον· ἤδη γὰρ τὴν ἀνάστασιν οὗτοι παρεδέξαντο, καὶ πᾶσαν τὴν διδασκαλίαν· ὥστε οὐ ῥήματα ἦσαν τὰ σκανδαλίζοντα, ἀλλὰ καὶ ἡ ἀπροσεξία καὶ ἡ ῥαθυμία, καὶ ἡ ἀγνωμοσύνη τῶν ἀκουόντων. καὶ γὰρ καὶ οὗτοι οἱ δώδεκα τὰ αὐτὰ ἤκουον, καὶ ὅμως οὐκ ἐσκανδαλίσθησαν, ἀλλ᾽ ἔμειναν· τί οὖν ὁ Χριστὸς; ἆρα ἐπαινεῖ Πέτρον, ὥσπερ ἀλλαχοῦ τοῦτο ἐποίησεν; οὐδαμῶς, ἵνα μὴ δόξῃ, ὅτι κολακεύει διὰ τὸ παραμεῖναι αὐτῷ· ἀλλὰ τί λέγει πρὸς τὸν Πέτρον; ἐγὼ μὲν ὑμᾶς ἐξελεξάμην τοὺς δώδεκα, πλὴν οὐ δὲ ὑμεῖς ἅπαντες ἐστὲ τῆς ἐκλογῆς ἄξιοι, ἀλλ᾽ εἷς ἐξ ὑμῶν διάβολός ἐστι· τοῦτο δὲ διχῶς νοητέον, ἢ γὰρ ὅτι καὶ νῦν πάντα τὰ ἐμὰ διαβάλλει, καὶ οὐδὲν τούτων ἀποδέχεται, ἢ ὅτι μέλλει διαβαλεῖν ἐμέ. καὶ γὰρ οὕτως τοιοῦτος ἀπεφάνθη Ἰούδας, διαβάλλων πρὸς Ἰουδαίους τὸν κύριον, καὶ τὰ μυστήρια αὐτοῦ ἐκφέρων αὐτοῖς, καθὰ καὶ Δαβὶδ περὶ αὐτοῦ φησὶν, ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό· λέγει δὲ ταῦτα πρὸς τὸν Πέτρον ὁ κύριος, διορθούμενος αὐτόν· ἐπεὶ γὰρ εἶπεν ὁ Πέτρος, ὅτι πάντα ἐγνώκαμεν καὶ πεπιστεύκαμεν, μὴ τοῦτο νόμιζε φησὶν, οὐ γὰρ πάντες ἐστὲ πιστοὶ, οὐ δὲ πάντες με ἐγνώκατε· ὅρα δέ μοι τὸν κύριον, πῶς ἔστι πόῤῥωθεν τοῦ προδότου τὴν κακίαν ἀνακρουόμενος, καὶ ἀναχαιτίζων αὐτὴν ταῦτα φησὶν, εἰδὼς μὲν, ὅτι οὐδὲν ὠφελήσει, ὅμως δὲ τὸ ἑαυτοῦ ποιῶν· καὶ οὔτε φανερὸν αὐτὸν ἐποίησεν, οὔτε πάντη λαθεῖν εἴασεν· ἐκεῖνο μὲν, ἵνα μὴ ἀπαναισχυντήσας φιλονεικότερος γένηται, τοῦτο δὲ, ἵνα μὴ ἀδεῶς ἐργάζηται τὸ τόλμημα, οἷα νομίζων λανθάνειν· ἐκ τούτου δὲ καὶ τοῦτο μανθάνομεν, ὅτι οὐκ ἀνάγκῃ καὶ βίᾳ ποιεῖν εἴωθεν ἀγαθοὺς ὁ θεὸς, οὐ δὲ ἡ ἐκλογὴ αὐτοῦ βιάζεται τὴν προαίρεσιν ἡμῶν καὶ κακὴν οὖσαν ἀναγκάζει γενέσθαι ἀγαθήν· ἀλλ᾽ ἡ μὲν ἐκλογὴ γίνεται παρὰ θεοῦ, προτρέποντος ἡμᾶς ἐπὶ τὸ καλὸν, καὶ τὴν αὐτοῦ ἐφαπλοῦντος ἡμῖν ἀγαθότητα· ἐν δὲ τῇ γνώμῃ ἡμῶν καὶ τῇ προαιρέσει κεῖται τὸ σωθῆναι, καὶ ἀξίως τῆς ἐκλογῆς περιπατῆσαι, ἢ τοὐναντίον· θαυμαστὸν δὲ, ὅτι τοσοῦτον ὁ διάβολος πολεμεῖ, ὡς δυνηθῆναι ἕνα τῶν δώδεκα ἀφαρπάσαι, τῶν ἐγειράντων νεκροὺς, καὶ θαύματα ποιησάντων, καὶ τῆς πνευματικῆς τοῦ κυρίου διδασκαλίας καὶ ζωοποιοῦ ἀπολαυσάντων· καὶ ποῦ λοιπὸν σωτηρίας ἐλπὶς ἡμῖν τοῖς ἐθελουσίως ἐκ νεότητος ἑαυτοὺς τῇ κακίᾳ δουλώσασι; διὸ καὶ ὁ εὐαγγελιστὴς ὡς θαυμάζων, εἶπε τὸ, εἷς ὢν ἐκ τῶν δώδεκα· καίτοι γάρ, φησι, τούτου τοῦ ἁγίου χοροῦ ὢν, ὅμως τῇ πονηρᾷ προαιρέσει ἀνάξιος εὑρέθη, οὕτως ἐθελοπρεπὲς ζῶον ὁ ἄνθρωπος· καὶ λοιπὸν ἐῤῥέτωσαν μανιχαῖοι, οὐ γὰρ ἀπὸ φύσεως ἐσμὲν κακοὶ, εἰ γὰρ ἦν, πάντοτε ἐνήργει ἐν ἡμῖν ἡ κακία· νῦν δὲ οὐ πάντοτε ἦν Ἰούδας κακὸς, ἀλλ᾽ ἦν ὅτε ἦν ἅγιος. προαιρέσει ἄρα τὰ κακὰ καὶ τίκτονται καὶ αὐξάνονται·

ψαλ. μ'.

Κεφάλαιον ζ'.

Καὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα ἐν τῇ γαλιλαίᾳ, οὐ γὰρ ἤθελεν ἐν τῇ ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι· ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία· εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ, μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε εἰς Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα ἃ ποιεῖς, οὐδεὶς γὰρ

ἐν κρυπτῷ

» ἐν κρυπτῷ τι ποιεῖ, καὶ ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ εἶναι· εἰ ταῦτα ποιεῖς, φανέρωσον
» σεαυτὸν τῷ κόσμῳ, οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν·

Διὰ τοὺς μιαιφόνους Ἰουδαίους ἀναχωρεῖ, οὐχ ὡς δειλιῶν πρὸς τὸν θάνατον, ἐνῆν γὰρ αὐτὸν καὶ ἐν μέσῳ αὐτῶν περιπατεῖν, καὶ μηδὲν παθεῖν, ἀλλ' εἰ τοιαῦτα πάντοτε ἐποίει, οὐκ ἂν ἐπιστεύθη, ὅτι ἄνθρωπος γέγονεν, ἀλλὰ φαντασία ἔδοξεν ἄν· ὅθεν νῦν μὲν ὑποστέλλεται βεβαιῶν καὶ πιστούμενος τὸ ἀνθρώπινον, καὶ ἐντρέπων πάντας τοὺς κατὰ φαντασίαν αὐτὸν σαρκωθῆναι λέγοντας, μάνεντα, μαρκίωνα, καὶ βασιλείδην, καὶ τοὺς ὁμοίους· ἄλλοτε δὲ πάλιν ἐν μέσῳ ὢν τῶν φονώντων, καὶ κατ' αὐτοῦ λυττώντων, ἀβλαβὴς διαμένει, καὶ δείκνυσι τὰ τῆς θεότητος, καταισχύνων τὸν σαμοσατέα παῦλον, καὶ πείθων πάντας ὅτι οὐ ψιλὸς ἄνθρωπος, ἀλλὰ καὶ θεὸς ἦν· ὑποχωρεῖ τοίνυν εἰς γαλιλαίαν νῦν· ἐπεὶ γὰρ οὔπω ἐνειστήκει ὁ καιρὸς τοῦ πάθους, μάταιον ἦν καὶ περιττὸν ἐν μέσῳ τῶν ἐχθρῶν αὐτοῦ ἀναστρέφεσθαι, καὶ πλείονος ἀεὶ λύπης αὐτοῖς πρόξενον γίνεσθαι· ἦν δέ, φησιν, ἡ σκηνοπηγία· ἄξιον εἰπεῖν περὶ τῶν ἑορτῶν τῶν τελουμένων τοῖς Ἰουδαίοις· τρεῖς γὰρ ἦσαν, μία ἡ τοῦ πάσχα, ἣν ἐτέλουν ὡς ἐκ τῆς αἰγύπτου διαβάντες, ἡ καὶ πρώτη παρ' αὐτοῖς· δευτέρα δὲ ἡ πεντηκοστή, ἣν ἐτέλουν ὡς ῥυσθέντες μὲν τῶν ἐν τῇ ἐρήμῳ κακώσεων, εἰς δὲ τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθόντες, καὶ γευσάμενοι τότε πρώτως καρποῦ σιτηροῦ, διὸ καὶ δράγματα ἐν ταύτῃ τῇ ἑορτῇ, ὡς ἀπαρχὰς προσῆγον· τρίτη ἡ σκηνοπηγία, ἣν ἐτέλουν εὐχαριστήριον ἐπὶ τῇ συγκομιδῇ τῶν καρπῶν κατὰ τὸν σεπτέμβριον παρὰ Ῥωμαίοις μῆνα· τότε γὰρ δὴ εὐχαρίστουν τῷ κυρίῳ, ὡς πάντας τοὺς καρποὺς συγκομισάμενοι. διὸ καὶ σκηνὰς ἤτοι καλύβας ἐπήγνυον, καὶ ὡς ἐν ἀγροῖς διάγοντες, ηὐφραίνοντο· ὅθεν καὶ ψαλμούς τινας δαβιτικούς, ἐπιγραφὴν ἔχοντας ὑπὲρ τῶν ληνῶν, φασί τινες, εἰς ταύτην τὴν ἑορτὴν συντεθῆναι ὑπὸ τοῦ Δαβίδ. τότε γὰρ δὴ τοὺς ληνοὺς αὐτῶν ἐπλήρουν, τρυγῶντες δηλαδὴ καὶ ἐπὶ τούτοις εὐχαριστοῦντες, καὶ ψαλμοῖς ἐχρῶντο, καὶ τοῖς ἄλλοις τοῖς πρὸς εὐχαριστίαν, οἷος ἐστὶν ὁ ὄγδοος ψαλμός. διὸ καὶ ἐν αὐτῷ μέμνηται τῶν παρὰ θεοῦ δοθέντων ἀγαθῶν τῷ ἀνθρώπῳ ὁ προφήτης· ἠνίττετο δὲ καὶ ταῦτα, τὸ μὲν πάσχα τὴν διάβασιν ἡμῶν, τὴν ἐξ ἀπιστίας εἰς πίστιν· ἡ δὲ πεντηκοστὴ τὴν εἰς τὴν ἐκκλησίαν εἰσέλευσιν ὡς γῆν ἄλλην ἐπαγγελίας, ὅτε δηλαδὴ καὶ ἄρτον τρώγομεν, μεταλαμβάνοντες τῶν θείων μυστηρίων· οὐ γὰρ ἅμα τῷ πιστεῦσαι καὶ διαβῆναι ἀπὸ τῆς ἀπιστίας, ἤδη καὶ τοῦ ἄρτου ἐσθίομεν, ἀλλὰ δεῖ πρότερον βαπτισθῆναι, καὶ ἄξιον γενέσθαι τοῦ μετὰ τῶν βεβαπτισμένων ἐν ἐκκλησίᾳ ἵστασθαι, καὶ τότε τοῦ ἄρτου μεταλαβεῖν· ἡ δὲ σκηνοπηγία τὴν ἀνάστασιν, ὅτε πάντες μὲν οἱ καρποὶ τῶν πράξεων ἡμῶν συντελοῦνται. τὰ σκηνώματα δὲ ἡμῶν τὰ διὰ τοῦ θανάτου καταλυθέντα, αὖθις συμπήγνυνται· εἰσὶ δὲ καὶ ἄλλοι λόγοι θειότεροι ἐπὶ ταύταις ταῖς ἑορταῖς, οὓς οὐ νῦν λέγειν καιρός, τὸ τοῖς πολλοῖς γὰρ ὠφελιμώτερον ἀεὶ ἐκλεγόμεθα· οὔσης οὖν ἑορτῆς τοῖς Ἰουδαίοις τῆς καλουμένης σκηνοπηγίας, ἐπεὶ εἶδον αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ μὴ παρασκευαζόμενον ἀναβῆναι, φθονοῦντες αὐτῷ φασί, μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε ἐκεῖ, ἵνα καὶ οἱ μαθηταί σου, τουτέστιν οἱ ὄχλοι οἱ ἀκολουθοῦντες σοι, θεωρήσωσιν ἃ ποιεῖς· οὐ γὰρ περὶ τῶν δώδεκα φησίν, ἀλλὰ περὶ τῶν ἄλλως ἑπομένων αὐτῷ. ἐγκαλοῦσι δὲ αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ, οἱ τοῦ Ἰωσὴφ δηλαδὴ παῖδες, δύο πάθη, δειλίαν, καὶ φιλοδοξίαν· διὸ καὶ φασίν, οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ, ὅπερ ἐστὶ δειλίας, καὶ ζητεῖ αὐτὸς ἐν παῤῥησίᾳ εἶναι, ὅπερ ἐστὶ φιλοδοξίας· εἰ ταῦτα ποιεῖς, φανέρωσον, φασί, σεαυτὸν τῷ κόσμῳ· ἐνταῦθα δὲ αἰνίττονται, ὅτι οὐδὲ ἀγαθὴν ὑπόληψιν ἔχομεν ἐπὶ τοῖς ὑπὸ σοῦ γενομένοις· εἰ γὰρ ταῦτα ποιεῖς ὡς καλά, φανέρωσον σεαυτόν, εἰ δὲ ἀποκρύπτῃ, πρόδηλον ὅτι

κακῶς πράττων ἀπεκρύπτη. τίνος δὲ ἕνεκεν ἐν τοῖς πέντε μησὶν οὐδὲν ἄλλο διηγησάμενος ὁ εὐαγγελιστής, ἀλλ' ἢ τὸ κατὰ τοὺς ἄρτους σημεῖον, καὶ τὴν πρὸς τοὺς φαγόντας, εἶτα ἀγνωμονοῦντας, τοῦ κυρίου διάλεξιν, τἄλλα ὑπερεπήδησεν εἰπὼν, ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία; ὅτι γὰρ διὰ μέσου πέντε μηνῶν ἔργα ἀπεσιώπησε, δῆλον ἐντεῦθεν, ὅτε μὲν γὰρ τὸ θαῦμα ἐτέλεσε τῶν ἄρτων, πάσχα ἦν, ὅπερ κατὰ τὸν παρὰ Ῥωμαίοις μάρτιον μῆνα ἐτελεῖτο, πρῶτον παρ' ἐκείνοις καλούμενον μῆνα. νῦν δὲ ἡ σκηνοπηγία, ἣ συνίσταται κατὰ τὸν παρ' ἡμῖν σεπτέμβριον. διατί οὖν τοῦτο ἐποίησεν ὁ εὐαγγελιστής; διότι οὐκ ἐνῆν ἅπαντα καταλέγειν. ἄλλως τε, ἐκεῖνα λέγειν ἐσπουδάκασιν οἱ εὐαγγελισταὶ, ὑπὲρ ὧν μέμψις, ἢ ἀντιλογία τὶς παρὰ τῶν Ἰουδαίων παρηκολούθησεν. ἄξιον δὲ θαυμάσαι τὸ φιλάληθες αὐτῶν, πῶς οὐκ αἰσχύνονται λέγειν ταῦτα, ἃ δοκεῖ ἀδοξίαν τινὰ ἐπιφέρειν τῷ διδασκάλῳ. πολλὰ οὖν παραδραμὼν καὶ θαύματα καὶ ῥήματα τοῦ κυρίου ὁ εὐαγγελιστὴς, τὴν ἀπιστίαν τῶν ἀδελφῶν διηγεῖται, καὶ ὅσα προσωνείδιζον αὐτῷ. πόθεν δὲ αὐτοῖς ἡ τοσαύτη ἀπιστία; ἀπὸ πονηρίας καὶ φθόνου, τὸ γὰρ συγγενὲς, εἴωθέ πως ἀεὶ διαφθονεῖσθαι. πλὴν σκόπει, ὅτι τοσαύτην ἀπιστίαν ἔχοντες πρὸ τοῦ σταυροῦ εἰς αὐτὸν, ὅτε καὶ ἔνδοξον αὐτὸν ἑώρων, καὶ θαύματα ποιοῦντα, μετὰ τὸν σταυρὸν καὶ τὴν δοκοῦσαν ἀδοξίαν, ὑπὲρ αὐτοῦ ἐμαρτύρησαν, ἀπόστολοι, καὶ κήρυκες, καὶ ἀρχιερεῖς γενόμενοι. ὅθεν ἀναντιῤῥήτως αὐτὸν ἀναστάντα ἑωράκασιν. οὐ γὰρ ἂν ὑπὲρ αὐτοῦ δεδώκασιν ἑαυτοὺς, εἰ μὴ βεβαίαν τὴν περὶ τῆς ἀναστάσεως αὐτοῦ πληροφορίαν ἐδέξαντο.

» Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς, ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν, ὁ δὲ καιρὸς ὁ ὑμέτερος
» πάντοτε ἐστὶν ἕτοιμος. οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς, ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρ-
» τυρῶ περὶ αὐτοῦ, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν. ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύ-
» την, ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρω-
ται.

Οἱ μὲν ἀδελφοὶ τῷ κυρίῳ φθονοῦντες, ἐγκαλοῦσιν αὐτῷ δειλίαν ἅμα καὶ ἀλαζονείαν. ἐκεῖνος δὲ τί φησι πρὸς αὐτούς; ἆρα τραχέως φθέγγεται; οὐμενοῦν, ἀλλὰ πρᾴως. οὐ γὰρ εἶπεν ὑμεῖς τίνες ἐστὲ, οἱ συμβουλεύοντες ταῦτα, καὶ διδάσκοντες; ἀλλὰ τί φησιν; ὁ καιρὸς ὁ ἐμὸς, οὔπω πάρεστιν. τουτέστιν, ὁ τοῦ σταυροῦ καὶ τοῦ θανάτου. ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτε ἐστὶν ἕτοιμος. ὑμεῖς γάρ, φησι, κἂν ἀεὶ συνῆτε τοῖς Ἰουδαίοις, οὐκ ἀναιρήσουσιν ὑμᾶς τὰ αὐτὰ ζηλοῦντας αὐτοῖς, ἐμὲ δὲ εὐθέως βουλήσονται ἀνελεῖν, ἐπὰν ἴδωσιν εἰς τὴν ἑορτὴν ἀφικόμενον. ἢ καὶ ἄλλως νοητέον
Ματθ. ε΄. τοῦτο, ὁ γὰρ μακαρίζων τοὺς πενθοῦντας ἐπὶ τοῦ παρόντος αἰῶνος, ἀκόλουθα καὶ νυνὶ φθέγγεται, καὶ εἰς πάντας τοὺς ἁγίους δυνάμενα διαβαίνειν. οὐκ ἔστι γάρ, φησιν, ἐμοὶ καιρὸς ἑορτῆς, ὅτε ὁρῶ πᾶσαν κακίαν ἐμπολιτευομένην τῷ τῶν Ἰουδαίων πληρώματι. θρήνου γὰρ καὶ πένθους καιρὸς, ἀληθείας μὲν ἀπεληλαμένης, τοῦ δὲ θείου θελήματος οὐ κρατοῦντος. διὰ ταῦτα οὖν ἐμοὶ καιρὸς ἑορτῆς οὐκ ἔστιν, ὑμῖν δέ γε ὡς συμφώνως τοῖς Ἰουδαίοις ἐμπολιτευομένοις, καὶ τῷ κόσμῳ προσκειμένοις οὐκ ἀνοίκειον τὸ συνεορτάζειν τοῖς ὁμοίοις ὑμῖν. καὶ ὑμᾶς μὲν ὁ κόσμος οὐ δύναται μισεῖν, τουτέστιν, οἱ τὰ τοῦ κόσμου φρονοῦντες, οἷα δὴ, καθὰ εἴρηται, ἐοικότας αὐτοῖς, ἐμὲ δὲ μισεῖ, ὅτι ἐλέγχω αὐτοῦ τὰ ἔργα. τοῦτο γὰρ τοῦ μίσους γίνεται αἴτιον, ὁ ἔλεγχος ὁ πεπαῤῥησιασμένος. πέμπει τοίνυν τοὺς ἀδελφοὺς εἰς τὴν ἑορτὴν, δεικνύων, ὅτι οὐκ ἀναγκάζει σὺν αὐτῷ μένειν, εἴγε μὴ βούλονται. σκόπει δὲ ὅτι πρὸς τὰ δύο ἐγκλήματα ἃ ἐπέφερον αὐτῷ ἐκεῖνοι, δειλίαν λέγω καὶ φιλοδοξίαν, δύο καὶ τὰς ἀπολογίας ποιεῖται, πρὸς μὲν τὴν δειλίαν, ἐν τῷ λέγειν, ὅτι ἐλέγχω τὰ ἔργα τοῦ κόσμου ἤγουν τῶν τὰ τοῦ κόσμου φρονούντων. οὐκ ἂν δὲ ἤλεγχον, εἴγε δειλὸς ἤμην, ὡς νομίζετε. πρὸς

δὲ τὴν

δὲ τὴν φιλοδοξίαν, ἐν τῷ μὴ ἀναγκάζειν αὐτοὺς, ὥστε παραμένειν αὐτῷ. εἰ γάρ τοι φιλοδοξίας ἐγκλήματι ἔνοχος ἦν, οὐκ ἂν αὐτοὺς ἀπέπεμπε. ἐπεὶ τοῖς φιλοδόξοις καὶ ἀλαζονικοῖς τὸ πολλοὺς ἔχειν ἀκολούθους μᾶλλον σπουδάζεται. ἐπεὶ οὖν δύο ταῦτα αὐτῷ προσωνείδιζον, εἰκότως πρὸς τὰ δύο ἀντέστη, δεικνὺς σαφῶς τὴν αὐτῶν ὑπόνοιαν. τὸ δὲ ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται, τοῦτο δηλοῖ, ὅτι οὔπω τοῦ θανάτου καὶ τοῦ σταυροῦ καιρός. δεῖ γάρ με ἔτι ἐν σαρκὶ ζῆν πρὸς τὸ καὶ πλείονα σημεῖα ποιῆσαι, καὶ πλείους διδασκαλίας ἐκθέσθαι. ὡς ἂν καὶ πλείοις ὄχλοις πιστεῦσαι παρασκευάσω, καὶ τοὺς μαθητὰς στερροτέρους ποιήσω, διά τε τῆς τῶν πλειόνων σημείων ἐπιδείξεως καὶ τῆς διδασκαλίας. οὔπω οὖν, φησὶν, ἐνέστη ὁ καιρὸς τοῦ θανάτου, ἵνα ἐπιῤῥίψω ἐμαυτὸν τοῖς κατ' ἐμοῦ λυττῶσι, διὸ οὐδὲ ἀναβαίνω εἰς τὴν ἑορτήν.

» Ταῦτα δὲ εἰπὼν αὐτοῖς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ, καὶ ὅτε ἀνέβησαν οἱ ἀδελφοὶ αὐ-
» τοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτὴν, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ.

Τίνος ἕνεκεν εἰπὼν τοῖς ἀδελφοῖς, ὅτι οὐκ ἀναβαίνω εἰς τὴν ἑορτὴν, πάλιν ἀναβαίνει, οὐκ εἶπε καθάπαξ, ὅτι οὐκ ἀναβαίνω, ἀλλὰ νῦν τουτέστι μεθ' ὑμῶν. ἐν ἀρχῇ μὲν ἠρνεῖτο τὴν ἀνάβασιν, ἅτε ζεόντων τῷ θυμῷ τῶν Ἰουδαίων. μετὰ ταῦτα μέντοι μελλούσης τῆς ἑορτῆς λύεσθαι, ἄνεισιν, ὅτε καὶ τὴν μανίαν αὐτῶν εἰκὸς ἦν λωφῆσαι. καὶ ἄλλως δὲ, οὐκ ἐναντία πεποίηκεν ὧν εἶπεν, οὐ γὰρ ἀνέβη ἑορτάσων, ἀλλὰ διδάξων, καὶ οὐ μετὰ ἱλαρότητος ᾗ χρῶνται οἱ πανηγυρίζοντες, ἀλλὰ λάθρα. κρύπτεται δὲ διὰ τὸ βεβαιῶσαι τὸ ἀνθρώπινον. εἰ γὰρ ἐνεφανίσθη, ἐλύττησαν ἂν κατ' αὐτοῦ, βουλόμενοι αὐτὸν ἀποκτεῖναι. οὐκ ἂν δὲ παρεχώρησεν αὐτοῖς τοῦτο ποιῆσαι, οἷα μήπω τοῦ καιροῦ ἐνστάντος τοῦ πάθους, ἀλλὰ μέσον αὐτῶν ὢν, διέφυγεν ἂν τὸ πάθος, καὶ ἔδοξεν ἂν φαντασίᾳ σαρκωθῆναι, διὰ τοῦτο φεύγει καὶ ἀναχωρεῖ ὡς ἄνθρωπος, οἰκονομῶν τὰ οἰκεῖα.

» Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ, καὶ ἔλεγον, ποῦ ἐστιν ἐκεῖνος; καὶ γογγυσ-
» μὸς πολὺς περὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις. οἱ μὲν ἔλεγον, ὅτι ἀγαθός ἐστιν, ἄλλοι δὲ ἔλε-
» γον, οὔ, ἀλλὰ πλανᾷ τὸν ὄχλον. οὐδεὶς μέντοι παῤῥησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φό-
» βον τῶν Ἰουδαίων. Ἀπὸ πολλοῦ μίσους οἱ Ἰουδαῖοι οὐδὲ τοῦ ὀνόματος αὐτοῦ μέμνηνται. οὐ γὰρ λέγουσι ποῦ ἐστιν ὁ Ἰησοῦς, ἀλλὰ ποῦ ἐστιν ἐκεῖνος; οὕτω καὶ τῷ ὀνόματι αὐτοῦ ψιλῷ ἀπηχθάνοντο. σκόπει δέ μοι καὶ τὴν μιαιφονίαν αὐτῶν, πῶς οὐδὲ τοῦ καιροῦ τῆς ἑορτῆς ἐφείδοντο, ἀλλὰ θηρεῦσαι κατὰ ταύτην αὐτὸν ἐβούλοντο. διὸ καὶ ἐζήτουν, οὕτω πολλὴν εὐλάβειαν καὶ αἰδῶ ἐτήρουν περὶ τὰς ἑορτάς. καὶ τοιαῦτα ἦν αὐτῶν τὰ κατορθώματα. γογγυσμὸς δὲ περὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις, ἐπειδὴ διάφοροι περὶ αὐτοῦ ἦσαν γνῶμαι, τῶν μὲν ἀρχόντων λεγόντων, ὅτι πλανᾷ τὸν ὄχλον, πολλῶν δὲ λεγόντων, ὅτι ἀγαθός ἐστιν. οὗτοι δὲ ἄρα οἱ λέγοντες αὐτὸν ἀγαθὸν, ἐκ τοῦ ὄχλου ἦσαν. ὅτι δὲ τοῦτο ἀληθὲς, δῆλον ἐκ τοῦ εἰπεῖν τὸν εὐαγγελιστὴν, ὡς οὐδεὶς ἐτόλμα παῤῥησιασθῆναι διὰ τὸν φόβον τῶν Ἰουδαίων. πρόδηλον γὰρ, ὅτι ἐκ τοῦ ὄχλου ἦσαν οἱ μὴ τολμῶντες παῤῥησίᾳ περὶ αὐτοῦ λαλῆσαι, καὶ ἐσιώπων δεδοικότες τοὺς ἄρχοντας Ἰουδαίους. ἀλλὰ καὶ τὸ λέγειν, ὅτι πλανᾷ τὸν ὄχλον, τεκμήριόν ἐστι τοῦ ἐκ τῶν ἀρχόντων εἶναι τοὺς διαβάλλοντας αὐτόν. εἰ γὰρ ἦσαν ἐκ τοῦ ὄχλου, ἔλεγον ἂν, ὅτι πλανᾷ ἡμᾶς. νῦν δὲ λέγοντες ὅτι πλανᾷ τὸν ὄχλον, δεικνύουσιν ὅτι οὐκ ἐκ τοῦ ὄχλου, ἀλλ' ἐκ τῶν ἀρχόντων εἰσὶν οἱ ταῦτα λέγοντες. ὅρα δέ μοι πανταχοῦ τὸ μὲν ἀρχικὸν διεφθαρμένον, τοὺς δὲ ἀρχομένους ἀδιαφθόρους μένοντας, πλὴν διὰ τὸ μὴ ἔχειν ἀνδρειοτέραν τὴν γνώμην, ἀλλ' ἔτι ἀτελεῖς εἶναι, ἀπαῤῥησιάστους ὄντας.

» Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε, καὶ ἐθαύμα-

» ζον οἱ ἰουδαῖοι λέγοντες, πῶς οὗτος γράμματα οἶδε μὴ μεμαθηκώς; ἀπεκρίθη οὖν
» αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἶπεν, ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με·

Διατί τῆς ἑορτῆς μεσούσης ἀνῆλθεν; ἵνα χαυνώσῃ αὐτῶν τὸν θυμὸν, ἅμα δὲ καὶ ἵνα μετὰ σχολῆς ἀκούσωσι καὶ προσοχῆς τῶν παρ᾽ αὐτοῦ λεγομένων, μηκέτι τῆς ἑορτῆς ἐμφραττούσης τὰ ὦτα αὐτῶν. ἐν γὰρ τῇ ἀρχῇ τῆς ἑορτῆς εἰκὸς ἦν αὐτοὺς περισπᾶσθαι περὶ τὰ τῆς ἑορτῆς, ἄφνω οὖν αὐτοῖς ἐπιφανέντος, ἤκουον ἁπλῶς πάντες, οἵτε ἀγαθὸν αὐτὸν, οἵτε πλάνον λέγοντες, οἱ μὲν πρὸς τὸ κερδῆσαί τι καὶ θαυμάσαι, οἱ δὲ πρὸς τὸ ἐπιλαβέσθαι αὐτοῦ, καὶ συλλαβεῖν αὐτὸν ὡς πλάνον. τί μὲν οὖν ἐδίδαξεν, οὐκ εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι δὲ θαυμάσιά τινα εἶπεν, δι᾽ ὧν κατέσχεν αὐτοὺς, καὶ μετέβαλλε τὰς γνώμας εἰς θαῦμα, ἐδήλωσε διὰ τοῦ εἰπεῖν, ὅτι ἐθαύμαζον, πῶς γράμματα οἶδε μὴ μεμαθηκώς. πλὴν εἰ καὶ ἐθαύμαζον, ἀλλ᾽ οὐδὲ οὕτως ἀπήλλακται ἡ γνώμη αὐτῶν πονηρίας, οὐ γὰρ τὴν διδασκαλίαν ἐθαύμαζον, οὐδὲ τὰ λεγόμενα ἐδέχοντο, ἀλλ᾽ ἐθαύμαζον πῶς οἶδε γράμματα, τουτέστι, διηπόρουν, ἐξεπλήττοντο, ὅπερ εἰώθασιν οἱ βασκαίνοντες πάσχειν. οἷον ὡς ἐπὶ παραδείγματος, ἔστι τινὶ γείτων πένης, εἶτα τυχὸν πολλάκις εὐπορεῖ ἱματίου πολυτελεστέρου, ἰδὼν οὖν τοῦτον ὁ βάσκανος γείτων λέγει, πῶς οὗτος ἐνδέδυται πολυτελῶς πενέστατος ὤν; πόθεν τούτῳ τὸ τοιοῦτον ἱμάτιον; ταῦτα δὲ λέγει, οὐχ ὡς θαυμάζων τῷ ὄντι, ἀλλὰ τῷ φθόνῳ διακαιόμενος, καὶ πρὸς διαβολὴν τοῦ γείτονος τοιούτοις λόγοις χρώμενος. πάντως γάρ φησιν, ἔκλεψε τὴν ἐσθῆτα. οὕτως οὖν καὶ οἱ Ἰουδαῖοι, πῶς οὗτος οἶδε γράμματα; πάντως ἐν τῷ βεελζεβοὺλ. καίτοι ἐχρῆν αὐτοὺς ἀπὸ τούτου μᾶλλον ἐννοῆσαι, ὅτι οὐδὲν ἀνθρώπινον ἦν αὐτῷ. ἀλλ᾽ ἐπειδὴ τοῦτο αὐτοὶ οὐκ ἤθελον ὁμολογῆσαι, αὐτὸς ἀποκρίνεται αὐτοῖς ἀναδιδάσκων, ὅτι ἀπὸ τοῦ πατρὸς καὶ θεοῦ ἐστιν ἡ διδασκαλία, οὐδὲν γὰρ ἐμόν ἐστι, φησὶν, οὐδὲν ἀπ᾽ ἐμαυτοῦ, ὡς ἀντίθεος φθέγγομαι, ἀλλ᾽ ἅπερ ἂν εἴη τοῦ πατρὸς, ταῦτα καὶ ἐμά ἐστι ῥήματα·

» Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον
» ἐκ τοῦ θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ᾽ ἐμαυτοῦ λαλῶ. ὁ ἀφ᾽ ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν
» ζητεῖ, ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία οὐκ
» ἔστιν ἐν αὐτῷ· Εἰπὼν, ὅτι ἡ ἐμὴ διδαχὴ, οὐκ ἔστιν ἐμὴ, τουτέστιν ἐναντία θεῷ, ἀλλὰ τοῦ πατρός μου ἐστὶν, φησὶν, ὅτι ἐάν τις τὸ θέλημα τοῦ θεοῦ ποιῇ, τουτέστιν ἐάν τις ἀρετῆς ἀντιποιῆται, καὶ οὐ φθόνῳ δουλεύῃ, οὐδὲ τῷ πρός με ματαίῳ φθόνῳ ἐπισκοτῆται, γνώσεται τῶν ἐμῶν λόγων τὴν δύναμιν, ἐάν τε τὰ τοῦ πατρὸς λαλῶ, ἐάν τε ξένα τινὰ, καὶ παρηλλαγμένα. θέλημα δὲ τοῦ θεοῦ ποιεῖ, καὶ ὁ τὰς γραφὰς καὶ τοὺς προφήτας ἐρευνῶν. ὁ γὰρ τοιοῦτος δύναται γνῶναι περὶ τῆς τοῦ κυρίου διδαχῆς, ὅτι ἀπὸ θεοῦ ἐστιν· οἱ προφῆται γὰρ οὐκ ἀντίθεον εἰσάγουσι τὸν κύριον καὶ ἀφ᾽ ἑαυτοῦ λαλοῦντα, ἀλλὰ πάντα τὰ τῷ θεῷ δοκοῦντα, καὶ λέγοντα, καὶ πράττοντα· εἶτα καὶ ἕτερον λογισμὸν ἐπιφέρει λέγων, ὁ ἀφ᾽ ἑαυτοῦ λαλῶν, τουτέστιν ὁ βουλόμενος ἰδίαν στῆσαι διδασκαλίαν, δι᾽ οὐδὲν ἕτερον τοῦτο ποιεῖ, ἢ χάριν τοῦ, δόξαν τινὰ ἐκ τούτου καρπώσασθαι· εἰ δὲ ἐγώ φησιν, οὐ βούλομαι καρπώσασθαι δόξαν ἰδίαν, ἀλλὰ τὴν δόξαν τοῦ πέμψαντός με ζητῶ, τίνος ἕνεκεν βουλοίμην ἂν ἕτερα διδάσκειν; ἀληθὴς οὖν εἰμὶ, καὶ οὐκ ἔστιν ἀδικία ἐν ἐμοὶ, τουτέστιν, οὐ δόξαν ἑτέρῳ ἁρμόζουσαν ἁρπάζω, τοῦτο γὰρ ἀδικία. ὥστε ἡ διδαχή μου καὶ ἀλήθειαν ἔχει, καὶ δικαιοσύνην ἐν ταυτῷ. οὐ γὰρ ἐξ ἀλαζονείας γίνεται, ἵνα καὶ τὸ ψευδὲς ἔχῃ καὶ τὸ ἄδικον. ὁ γὰρ ἀλαζὼν καὶ ψεύδεται, καθὸ περὶ αὐτοῦ τὰ ὑπὲρ τὴν ἀξίαν αὐτοῦ λέγει, καὶ ἀδικεῖ, καθὸ τὴν ἀλλοτρίαν καὶ μηδὲν αὐτῷ προσήκουσαν δόξαν ἁρπάζει. ὁ δὲ κύριος ἐπειδὴ τὰ τοῦ πατρὸς

τρὸς

τρες ἐζήτει, καὶ οὐδὲν περὶ ἑαυτοῦ ἠλαζονεύετο, καὶ ἀληθής ἐστι πάντως καὶ δίκαιος.
πολλαχοῦ δὲ εἴπομεν, καὶ νῦν λέγομεν, ὅτι ὅταν ταπεινά τινα λέγων φαίνηται ὁ
κύριος, οὐ δεῖ νομίζειν, ὅτι ὡς ἐλάττων ὢν τοῦ πατρὸς κατὰ φύσιν, ταῦτα φθέγγεται,
ἀλλὰ διὰ τὸ μὴ ἀντίθεος νομισθῆναι, καὶ διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων, καὶ διὰ
τὸ σάρκα περιβεβλῆσθαι, καὶ διὰ τὸ διδάσκειν ἡμᾶς μετριάζειν, καὶ μηδὲν μέγα λέ
γειν περὶ ἑαυτῶν. ὅταν δέ γε ὑψηλὰ καὶ περὶ τῆς οἰκείας δόξης φθέγγηται, χρὴ πι
στεύειν ἡμᾶς, ὅτι ὡς τῷ ὄντι ἴσος τῷ πατρὶ, ταῦτα τὰ ὑψηλὰ φθέγγεται διὰ τὸ μέ-
γεθος τῆς οἰκείας φύσεως·

» Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; τί με ζητεῖ
» τε ἀποκτεῖναι; ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπε, δαιμόνιον ἔχεις, τίς σε ζητεῖ ἀποκτεῖναι;

Φαίνεται μὲν, ὡς οὐδεμίαν ἀκολουθίαν σώζει πρὸς τὰ πρότερα τοῦτο, ὃ λέγει νῦν
καλῶς δὲ σκοποῦσιν ἡμῖν καὶ λίαν ἀκόλουθα. ἐπειδὴ γὰρ ἐνεκάλουν αὐτῷ, ὅτι τὸ
σάββατον ἔλυε, καὶ τὸν νόμον παρέλυε, πρὸς τοῦτο ἐνίσταται δεικνύων, αὐτοὺς μᾶλ-
λον παραβάτας τοῦ νόμου· ὁ μὲν γὰρ νόμος φησὶ, μὴ φονεύσεις, ὑμεῖς δὲ ζητεῖτε ἀ- Ἔξο· κ΄·
ποκτεῖναι, ὥστε ὑμεῖς παραλύετε τὸν νόμον οὐκ ἐγώ· ἀφέντες οὖν τὸ ἑαυτοὺς καταδι
κάζειν, ἐμοὶ ἐγκαλεῖτε ὡς παραβαίνοντι τὸν νόμον, διότι ἄνθρωπον ἐθεράπευσα ἐν
σαββάτῳ. τὸ δὲ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον εἶπε, διότι πάντες, πρὸς οὓς διελέγε
το, ἐζήτουν αὐτὸν ἀποκτεῖναι. ὅρα δὲ πῶς αὐτὸς μὲν πρᾳείᾳ τῇ φωνῇ αὐτοῖς διαλέ
γεται, ἐκεῖνοι δὲ ὑβριστικῶς καὶ μετὰ θράσους, δαιμόνιον ἔχεις, φασί. διὰ τοῦτο γὰρ ὑβρί
ζουσι, προκαταπλήττειν αὐτὸν, καὶ ἐκφοβεῖν οἰόμενοι. τὸν μωσέα δέ φησι δεδωκέναι τὸν
νόμον, καίτοι αὐτὸς ὢν κύριος Μωϋσέως, καὶ τοῦ νόμου πάροχος, διὰ τὴν ἀσθένειαν καὶ
ἀναισθησίαν τῶν ἰουδαίων. ποῦ γὰρ ἂν ἠνέσχοντο ἀκοῦσαι, ὅτι οὐχ ὁ Μωσῆς δέδωκεν αὐ
τοῖς τὸν νόμον, ἀλλ᾽ αὐτὸς ὁ τοῦ Μωϋσέως δεσπότης καὶ κύριος;

» Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε διὰ Λευι· ιβ΄·
» τοῦτο. μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομὴν, οὐχ ὅτι ἐκ τοῦ μωσέως ἐστὶν, ἀλλ᾽ ἐκ τῶν πα Γεν· ιζ΄· κα΄·
» τέρων, καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον. εἰ περιτομὴν λαμβάνει ὁ ἄνθρωπος
» ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος μωσέως, ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίη
» σα ἐν σαββάτῳ; μὴ κρίνετε κατ᾽ ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε·

Ἀπὸ συλλογισμοῦ τινος δεικνύει αὐτοὺς μάτην κατ᾽ αὐτοῦ λυττῶντας, καί φησιν,
ἓν ἔργον ἐποίησα ἐν σαββάτῳ, τὴν τοῦ παραλύτου ἀνόρθωσιν, καὶ πάντες θαυμάζετε
διὰ τοῦτο, ἀντὶ τοῦ ταράττεσθε, θορυβεῖσθε. καίτοι μωσῆς αὐτὸς ἐκεῖνος ὁ νομοθέτης ἔ-
λυσε τὸ σάββατον, διὰ τὸ κελεῦσαι πᾶσαν ψυχὴν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτέμνεσθαι. Ἔξο· ιβ΄·
συνέβαινε γὰρ πολλάκις τὴν ἡμέραν τὴν ὀγδόην, καθ᾽ ἣν ἀνάγκη ἦν περιτέμνεσθαι,
σάββατον εἶναι. ὥστε εἰ τὸ σάββατον παρελύθη ὑπ᾽ αὐτοῦ τοῦ μωσέως διὰ τὴν περιτο-
μὴν, καὶ οὐδὲν κωλύει ἡ τοῦ σαββάτου ἡμέρα περιτμηθῆναι ἄνθρωπον, ἀλλὰ κἂν σάβ
βατον τύχῃ εἶναι ἡ ὀγδόη ἡμέρα, παραλύεται ὁ περὶ τῆς ἀργίας τοῦ σαββάτου νόμος, Ἔξο· ις΄· λ΄·
ἵνα μὴ λυθῇ ὁ τῆς περιτομῆς. εἰ ταῦτα τοίνυν οὕτως ἔχει, τί ἐμοὶ χολᾶτε, καὶ ὀργί-
ζεσθε, ὅτι ἐν σαββάτῳ ἄνθρωπον ὁλόκληρον ὑγιᾶ ἐποίησα; καίτοι ἡ περιτομὴ οὐ τοῦ μω-
σέως ἦν, ἀλλὰ τῶν πατέρων, ἀλλ᾽ ὅμως αὕτη καίτοι μὴ οὖσα μωσέως, τὸν περὶ τοῦ
σαββάτου νόμον τὸν ὑπὸ τοῦ μωσέως τεθέντα, παρέλυσε. καὶ ἡ μὲν περιτομὴ ὀδύ-
νην ἐμποιοῦσα, οὐ κωλύεται παρὰ τοῦ σαββάτου, ἐγὼ δὲ ὀδύνης ἐλευθερώσας ἄν-
θρωπον, καὶ ὑγιῆ ποιήσας, διαβάλλομαι; μὴ κρίνετε κατ᾽ ὄψιν, ἀντὶ τοῦ δικαίως καὶ
ἀπροσωπολήπτως ψηφίσασθε. μὴ τὸν μὲν μωσέα λύοντα τὸ σάββατον διὰ τῆς πε-
ριτομῆς ἔξω μέμψεως τίθετε, ἐμὲ δὲ κατακρίνετε, καὶ ταῦτα ἐπ᾽ εὐεργεσίᾳ ἀνθρώ-

που τὸ σάββατον καταλύοντα. τὸ γὰρ τὸν μὲν μωσέα ἔξω μέμψεως τιθέναι διὰ τὸ
τοῦ προσώπου ἀξίωμα, ἐμὲ δὲ δοκοῦντα ἄδοξον, κατακρίνειν, προσωποληψία σαφής.
Ἔλεγον οὖν τινες ἐκ τῶν ἱεροσολυμιτῶν, οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; καὶ
ἴδε παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες,
ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ χριστός; ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστὶν, ὁ δὲ χριστὸς ὅταν ἔρχε-
ται, οὐδεὶς γινώσκει πόθεν ἐστίν. Οὐχ ἁπλῶς καὶ μάτην πρόσκειται τὸ, τινὲς τῶν
ἱεροσολυμιτῶν, ἀλλ᾽ ἵνα δείξῃ, ὅτι οἱ μάλιστα τῶν μεγάλων ἀπολαύοντες σημείων,
οὗτοι πάντες ἦσαν ἀθλιώτεροι. πῶς γὰρ οὐκ ἄθλιοι, ὅτι μέγα σημεῖον τῆς αὐτοῦ θεότη-
τος ἰδόντες, ἔτι διεφθαρμένοι εἰσὶ τῇ κρίσει; μέγα μὲν γὰρ σημεῖον ἦν, εἴπερ ἠβού-
λοντο, τὸ ἐν μέσῳ τῶν κατ᾽ αὐτοῦ λυττώντων παῤῥησιάζεσθαι αὐτὸν, καὶ μηδὲν ὑπ᾽ αὐ-
τῶν πάσχειν, ἀλλ᾽ οὐκ ἠβούλοντο ἀπὸ τούτου τοῦ σημείου ἐπιγνῶναι τὴν δύναμιν αὐτοῦ. δι-
στάζουσι δὲ λέγοντες, μήποτε ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ χριστός; καὶ
οὐδὲ ἐπὶ ταύτης τῆς γνώμης μένουσιν, ἀλλὰ συλλογίζονται, ὅτι τὸν μὲν χριστὸν, οὐδεὶς
οἶδε, πόθεν ἔρχεται. τοῦτον δὲ οἴδαμεν, πόθεν ἐστίν. οὐκ ἄρα οὗτός ἐστιν ὁ χριστός. καίτοι
ὅρα τὴν κακίαν, πῶς καὶ ἑαυτῇ ἐναντιοῦται. οἱ ἄρχοντες αὐτῶν ἐρωτώμενοι ὑπὸ
Ματθ. β'. ἡρώδου, ἐν βηθλεὲμ τῆς ἰουδαίας φασὶ γεννᾶσθαι τὸν χριστὸν, οὗτοι δὲ λέγουσιν, ὅτι
οὐδεὶς οἶδε τὸν χριστὸν, πόθεν ἐστίν. ὁρᾷς ἐναντιοφωνίαν; καὶ πάλιν ἀλλαχοῦ μὲν φα-
Ἰωάν. θ'. σιν, ὅτι ἡμεῖς οἴδαμεν, ὅτι μωσεῖ λελάληκεν ὁ θεός. τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐ-
στίν. εἶδες μαινομένων λόγους; οἴδαμεν, καὶ οὐκ οἴδαμεν. τί ταύτης τῆς μανίας ἴσον;
πρὸς μὲν γὰρ ἓν μόνον ἑώρων, τὸ μὴ πεισθῆναι. διὸ ὅταν μὲν αὐτοῖς συνέφερεν, ἔλε-
γον, ὅτι οἴδαμεν, ὅταν δὲ πάλιν οὐ συνέφερε, διετείνοντο, ὡς οὐκ οἴδαμεν. τῆς κακίας
οὖν ἐστιν αὐτῶν ἡ τοσαύτη ἐναντιοφωνία. ζητήσειε δ᾽ ἄν τις, πόθεν κινούμενοι οὗτοι λέ-
γουσιν, ὅτι ὁ χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν. οὐ γὰρ ἂν εἰ μὴ μαρτυ-
ρίαν τινὰ εἶχον ἀπὸ τῶν γραφῶν ἢ παραδόσεις βεβαίας, οὕτω προδήλως ἐναντία ἐ-
Ματθ. β'. φθέγγοντο τοῖς ἐπὶ τοῦ ἡρώδου γραμματεῦσιν, εἰποῦσι προφανῶς, ὅτι ἐν βηθλεὲμ
Ἰωάν. ζ'. τῆς ἰουδαίας γεννᾶται, καὶ πάλιν τοῖς λέγουσιν, ὅτι ἐκ βηθλεὲμ τῆς κώμης ὁ χρι-
στὸς ἔρχεται. τί οὖν ἐστιν εἰπεῖν; ὅτι ἀπὸ τῶν προφητῶν ἀμφότεροι ταῦτα ἔλεγον, οἵτε
γὰρ ἐν βηθλεὲμ αὐτὸν γεννᾶσθαι, καὶ ἐκ τῆς κώμης τοῦ Δαβὶδ εἶναι λέγοντες, προ-
ε'. φανῶς τὸν προφήτην μιχαίαν εἶχον μάρτυρα λέγοντα, ὡς καὶ ὁ Ματθαῖός φησι, καὶ
σὺ βηθλεὲμ γῆ ἰούδα οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν ἰούδα, ἐκ σοῦ γὰρ ἐξελεύ-
σεται ἡγούμενος ὅστις ποιμανεῖ τὸν λαόν μου ἰσραήλ. καὶ οὗτοι δὲ πάλιν οἱ λέγον-
τες, ὅτι τὸν χριστὸν, οὐκ οἶδέ τις πόθεν ἔρχεται, τοὺς προφήτας εἶχον μάρτυρας τῆς
τοιαύτης γνώμης, καὶ αὐτὸν δὲ τὸν μιχαίαν λέγοντα, ὅτι αἱ ἔξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς
ἐξ ἡμερῶν αἰῶνος, ὅπερ ἄγνωστον τὴν αὐτοῦ ἔξοδον ἤτοι τὴν γέννησιν ἐμφαίνει. τὸν γὰρ
ἀπ᾽ ἀρχῆς, καὶ ἐξ ἡμερῶν αἰῶνος τὰς ἐξόδους ἔχοντα, ἤτοι τὴν γέννησιν, οὐκ ἄν τις ἀν-
θρώπων εἰδείη, ἄνθρωπον γὰρ ἐν χρόνῳ, ἐκεῖνος δὲ ἐξ ἡμερῶν αἰῶνος καὶ ἀπ᾽ ἀρχῆς.
νγ'. τὸ δὲ αἰώνιον πῶς ὁ ὑπὸ χρόνον γινώσκει; ἀλλὰ καὶ Ἡσαΐας φησὶ, τὴν δὲ γενεὰν αὐ-
τοῦ τίς διηγήσεται; ἐκ τούτων οὖν πειθόμενοι ἔλεγον, ὅτι τὸν χριστὸν, οὐκ οἶδέ τις, πόθεν
ἐστίν. οὐ γὰρ δὴ ἐνενόουν, ὅτι διπλοῦς ὢν ὁ κύριος ἰησοῦς, κατὰ μὲν τὴν ἐκ παρθένου ἐν
σαρκὶ γέννησιν, ἐγνωρίζετο πόθεν ἐστὶν, ὅτι ἐκ βηθλεὲμ, κατὰ δὲ τὴν ἀσώματον καὶ
ἀποῤῥητοτέραν τὴν ἐκ πατρὸς πρὸ πάντων τῶν αἰώνων, λέγεται γενεὰν ἔχειν ὑπερ-
τέραν πάσης διηγήσεως. οὗτοι τοίνυν οἱ ἱεροσολυμῖται τὴν μὲν ἐν σαρκὶ γέννησιν ὁ-
μολογοῦσιν εἰδέναι, καὶ πόθεν ἐστὶ, τὴν δὲ πρὸ αἰώνων, καθ᾽ ἣν οὐκ οἶδέ τις τὸν χριστὸν,
πόθεν ἐστὶν, οὐχ ὁμολογοῦσιν. διὸ μὴ λογιζόμενοι ὅτι διπλοῦς ὢν, τὸ μέντοι γινώσκεται,

τὸ δ᾽ οὔ,

τὸ δ' οὖ, φασὶν, ὡς οὐκ εἴη ὁ Χριστός.

» Ἔκραξεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς καὶ λέγων, κἀμὲ οἴδατε, καὶ οἴδατε πό
» θεν εἰμὶ, καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ
» οἴδατε, ἐγὼ δὲ οἶδα αὐτὸν, ὅτι παρ' αὐτοῦ εἰμὶ, κἀκεῖνός με ἀπέστειλεν.

Ἐπειδὴ τὸ, ἴδαμεν τοῦτον πόθεν ἐστὶ δι' οὐδὲν ἕτερον ἔλεγον, ἀλλ' ἢ δεῖξαι θέλοντες, ὅτι ἐκ τῆς γῆς ἐστὶ, καὶ ὅτι τέκτονος υἱὸς, διὰ τοῦτο αὐτὸς ἀνάγει αὐτοὺς εἰς τὸν οὐρανὸν λέγων, καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμὶ, τουτέστι, κἂν εἰ διὰ τὴν κακίαν συγκαλύπτητε, ὅμως οἴδατε πόθεν εἰμὶ, ὅτι ἐξ οὐρανοῦ. ἐπεὶ γὰρ ἐκεῖθεν ἐστὶν ὁ πατήρ μου, πρόδηλον, ὅτι καὶ αὐτὸς ἐκεῖθεν εἰμὶ, καὶ ὅτι παρ' ἐκείνου ἀπεστάλην, ὅς ἐστιν ἀληθής. ἐπεὶ δὲ ἐκεῖνος ἀληθὴς, κἀγὼ ἂν εἴην ἀληθὴς, καὶ οὐ πλάνος, οὐ γὰρ ἂν ὁ ἀληθὴς πλάνον καὶ ψευδῆ ἠθέλησεν ἀποστεῖλαι. τοῦτον δὲ τὸν ἀποστείλαντά με, ὑμεῖς μὲν οὐκ οἴδατε, ἀλλ' ἀγνοεῖτε ἄγνοιαν τὴν διὰ τῶν ἔργων. ὡς γὰρ ὁ Παῦλος, φησὶν, ἔστιν ἄγνοια ἐν γνώσει, θεὸν, φησὶν, ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. καὶ ὑμεῖς οὖν οἱ Ἰουδαῖοι οὐκ οἴδατε τὸν πατέρα μου διὰ τὰ ἔργα ὑμῶν τὰ πονηρὰ, καὶ τὴν κακίστην γνώμην, ἐγὼ δὲ οἶδα αὐτόν. οὐ γὰρ ἐμποδίζουσί μοι οὔτε γνώμη πονηρὰ, οὔτε ἔργα ἀπαρέσκοντα ἐκείνῳ, πρὸς τὴν γνῶσιν αὐτοῦ. παρ' αὐτοῦ γάρ εἰμι, τουτέστιν, ἐξ αὐτοῦ, οὐκ ἀπ' ἄλλης οὐσίας, ἢ ἀλλότριος αὐτοῦ. κἀκεῖνός με ἀπέστειλεν. ὅρα δὲ ἐνταῦθα τὰς δύο φύσεις τοῦ Χριστοῦ δηλουμένας, διὰ μὲν τοῦ παρ' αὐτοῦ εἰμὶ, τὴν οὐσίαν τῆς θεότητος, διὰ δὲ τοῦ κἀκεῖνός με ἀπέστειλε, τὸ ἀνθρώπινον, ἀπόστολος γὰρ κατὰ τὸ ἀνθρώπινον, λέγεται, καθὸ καὶ δοῦλος ὁ υἱὸς τοῦ θεοῦ.

Πρὸς Τίτ. α΄
Πρὸς Ἑβ. ε΄.
Ἠσαΐ. μα΄.
μβ΄. μθ΄.
Πρὸς Φι. β΄.

» Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, ὅτι οὔπω
» ἐληλύθει ἡ ὥρα αὐτοῦ. πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτὸν, καὶ ἔλεγον, ὅτι ὁ
» Χριστὸς ὅταν ἔλθῃ, μή τι πλείω σημεῖα τούτων ποιήσει, ὧν οὗτος ἐποίησεν.

Δεικνύων ὁ εὐαγγελιστὴς, ὅτι ἀοράτως κατείχοντο, καὶ ὅτι ἑκὼν ἔπαθε, καὶ οὐκ ἐξ ἀδυναμίας, φησὶν, ὅτι ἐζήτουν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας. τὸ δὲ οὔπω ἦλθεν ἡ ὥρα αὐτοῦ, ἔφη, οὐχ ὅτι καιροῖς ὑπέκειτο, ἀλλ' ὅτι πάντα ἐν ὥρᾳ, καὶ ἐπιτηδείῳ καιρῷ καὶ τῷ προσήκοντι ποιεῖ. ἡνίκα γὰρ τὸ παθεῖν εὔκαιρον ἐλογίζετο, δηλαδὴ κατὰ τὸν ὡραῖον καὶ ἐπιτήδειον χρόνον, τότε δὴ καὶ τοῖς σταυρωταῖς συνεχώρησε. πάντα γὰρ ἐν καιροῖς ὡραίοις καὶ ἐπιτηδείοις ποιεῖ καὶ οἰκονομεῖ, οἷον ἔδει δοθῆναι τὸν νόμον, ἀλλ' ἐν καιρῷ τῷ προσήκοντι. τοὺς προφήτας ὁμοίως, τὸ εὐαγγέλιον. τὸ οὖν τῆς ὥρας ὄνομα τὸ ἀκριβὲς τῆς σοφίας καὶ τῆς προνοίας τοῦ σωτῆρος ἐνδείκνυται. πολλοὶ δὲ ἐπίστευσαν αὐτῷ λέγοντες, μὴ ὁ Χριστὸς πλείω σημεῖα ποιήσει ὧν οὗτος ἐποίησε; λέγουσι δὲ περὶ τοῦ οἴνου τοῦ ἐν Κανᾷ, τοῦ υἱοῦ τοῦ βασιλικοῦ, τοῦ παραλύτου, τῶν ἄρτων, καὶ ἁπλῶς τῶν ἄλλων πάντων, ὧν οὐ δὲ οἱ εὐαγγελισταὶ διὰ τὸ πλῆθος ὀνομαστὶ ἐπιμέμνηνται. πλὴν εἰ καὶ ἀκούεις, ὅτι ἐπίστευσαν πολλοὶ, ἀλλ' οὖν οὐκ ἀκριβὴς ἦν ἡ πίστις αὐτῶν, ἀλλ' οἵαν εἰκὸς εἶναι πλήθους χυδαίου, ἄλλο τε ἄλλως μεταπλαττομένου ταῖς γνώμαις.

Ἰωάν. β΄. δ΄.
ε΄. ς΄.

» Ἤκουσαν οἱ Φαρισαῖοι γογγύζοντος τοῦ ὄχλου περὶ αὐτοῦ ταῦτα, καὶ ἀπέστειλαν ὑ-
» πηρέτας οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς, ἵνα πιάσωσιν αὐτόν. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς,
» ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμὶ, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. ζητήσετέ με,
» καὶ οὐχ εὑρήσετε, καὶ ὅπου ἐγὼ εἰμὶ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. εἶπον οὖν οἱ Ἰουδαῖοι
» πρὸς ἑαυτοὺς, ποῦ οὗτος μέλλει πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; μὴ εἰς τὴν
» διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι, καὶ διδάσκειν τοὺς Ἕλληνας; τίς ἐστιν ὁ λό
» γος οὗτος ὃν εἶπε, ζητήσετέ με, καὶ οὐχ εὑρήσετε, καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνα-



» σθε ἐλθεῖν; Δι᾽ ὧν ἐγόγγυζεν ὁ ὄχλος, ἐνέφηνεν ὡς ἄρα χρηστοτέραν ἔχων διάθεσιν, καὶ μερικήν τινα πίστιν πρὸς τὸν κύριον, καὶ ὡς ἀφορισθῆναι τῶν ἀρχόντων ἠβούλοντο, οὕσπερ ἐκεῖνοι αἰσθόμενοι, ἔπεμψαν συλλαβέσθαι τοῦτον. διὰ τοῦτο μόνον, ὅτι ἐπιστεύετο εἶναι χριστός. ἔπεμψαν δὲ, ἀλλ᾽ οὐκ αὐτοὶ ἦλθον, φοβούμενοι τὸν ὄχλον, μήτι νεωτερίσωσι, διὸ τοὺς ὑπηρέτας στέλλουσιν, ἑαυτοὺς μὲν ὑπεξάγοντες τοῦ ἴσως συμβησομένου κινδύνου, ἐκείνους δὲ τῷ θυμῷ τοῦ ὄχλου ἐνδιδόντες, οὕτω πανταχοῦ τὸ ἑαυτῶν ἐσκόπουν. ὁ δὲ κύριος ταπεινοφροσύνης γέμοντα ῥήματα, φθέγγεται, ἔτι μικρὸν μεθ᾽ ὑμῶν εἰμι. τί, φησι, σπουδάζετέ με ἀπελθεῖν; τί διώκετε; μικρὸν ἀναμείνατε χρόνον, καὶ οὐδὲ θελόντων ὑμῶν κατέχειν με, ἀνέξομαι. ὅρα δὲ καὶ τὸ μεθ᾽ ὑμῶν εἰμι. τουτέστι, κἂν διώκητε, κἂν ἐλαύνητε, ἐγὼ μεθ᾽ ὑμῶν εἰμὶ, ἤγουν τὰ ὑπὲρ ὑμῶν οἰκονομῶ, καὶ τὰ πρὸς σωτηρίαν λέγω, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. ἐνταῦθα καὶ ἐκφοβεῖ αὐτοὺς ὡς μέλλοντας ἐκείνῳ προσκρούειν τῷ πέμψαντι αὐτὸν, οἱ γὰρ τὸν πεμφθέντα ἀτιμάζοντες, εὔδηλον ὅτι τῷ πέμψαντι προσκρούουσιν, ὑπάγω δὲ εἰπὼν, ἐδήλωσε τὸ ἑκούσιον τοῦ θανάτου. δεικνύων δὲ, ὅτι ἡ τελευτὴ αὐτοῦ οὐκ ἔσται τοιαύτη οἵα ἡ κοινὴ, φησὶν, ὅτι ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. εἰ γὰρ κοινὴ καὶ ὁμοία ἦν τοῖς πολλοῖς ἡ τελευτὴ αὐτοῦ, καὶ ἔμελλεν ἐναπομεῖναι τῷ θανάτῳ, οὐκ ἂν εἶπεν, ὅτι ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, πάντες γὰρ εἰς τὸν κοινὸν θάνατον ἄπιμεν. ὅπερ οὖν εἶπον, δεῖξαι βουλόμενος, ὅτι ὁ αὐτοῦ θάνατος οὐκ ἔστι τοιοῦτος, οἷος ὁ κοινὸς, φησὶν, ὅτι ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. καὶ τὸ εἰπεῖν δὲ, ὅτι ζητήσετέ με, καὶ οὐχ εὑρήσετε,
Λουκ. κγ´. δείκνυσιν ὅτι ποθεινὸς αὐτοῖς ἔσται. πότε δὲ ἐζήτησαν αὐτὸν, ὁ Λουκᾶς εἶπεν, ὅτι πολλαὶ γυναῖκες ἐκόπτοντο ἐπ᾽ αὐτῷ, εἰκὸς δὲ καὶ ἄλλοις πολλοῖς τοῦτο παθεῖν. ἀλλὰ καὶ τῆς πόλεως ἁλισκομένης, μεμνῆσθαι τοῦ χριστοῦ, καὶ τῶν θαυμάτων αὐτοῦ, καὶ τὴν παρουσίαν ζητεῖν τὴν αὐτοῦ. ταῦτα δὲ πάντα ἔλεγεν, ἐφελκύσασθαι αὐτοὺς, καὶ κατακάμψαι βουλόμενος. ἐπεὶ γὰρ οἱ ὑπηρέται ἦλθον συλλαβεῖν αὐτὸν βουλόμενοι, δείκνυσιν ὡς οἶδε τῆς ἀφίξεως αὐτῶν τὴν αἰτίαν, καὶ ὅτι φονεῦσαι αὐτὸν βούλονται, διὸ προλέγει αὐτοῖς τὸν ἑαυτοῦ θάνατον, ὅτι μικρὸν, καὶ ὑπάγει πρὸς τὸν πατέρα. καὶ τὸ προειπεῖν δὲ τὸν θάνατον, μέγα καὶ οὐκ ἀνθρώπινον. διὸ καὶ ὁ Δαβὶδ, γνώρισόν μοι, φησὶ, κύριε τὸ πέρας μου. ἔλεγον δὲ οἱ Ἰουδαῖοι, μὴ εἰς τὴν διασπορὰν τῶν ἑλ-
Ψαλ. λη´. λήνων μέλλει ἀπέρχεσθαι; ὅρα πῶς ἔπαθόν τι, καὶ κατεκλάσθησαν πρὸς τὰ λεχθέντα ὑπ᾽ αὐτοῦ. δῆλον δὲ ἀπὸ τοῦ ἐρωτᾶν, μὴ εἰς τὴν διασπορὰν τῶν ἑλλήνων μέλλει πορεύεσθαι; εἰ γὰρ οὐ τοῦτο ἦν, εἶπον ἂν, βούλει ἀπελθεῖν; ἡμεῖς τοῦτο εὐχόμεθα, τοῦτο ἀσμενίζομεν. νῦν δὲ οὐδὲν τοιοῦτον, ἀλλ᾽ ὥσπερ ἀγωνιῶντες μὴ στερηθῶσιν αὐτοῦ, ζητοῦσι, ποῦ μέλλει ἀπελθεῖν. δῆλον δὲ τοῦτο καὶ ἀπὸ τοῦ εἰπεῖν, ὅτι εἰς τοὺς ἕλληνας μέλλει πορεύεσθαι, καὶ διδάσκειν αὐτούς. οὐ γὰρ εἶπον, ὅτι μέλλει πλανᾶν αὐτοὺς, ἀλλὰ διδάσκειν, διασπορὰν δὲ ἐκάλουν τοὺς ἐθνικοὺς, ὡς ἐν παντὶ τόπῳ διεσπαρμένους. αὐτοὶ γὰρ οἱ Ἰουδαῖοι τὸ παλαιὸν οὐκ ἐμίγνυντο, ἀλλ᾽ ἐν ἑνὶ τόπῳ, τῇ παλαιστίνῃ συνηγμένοι, ὠνείδιζον τοὺς ἐθνικοὺς, ὡς πανταχοῦ διεσπαρμένους, ὅπερ εἰς αὐτοὺς περιετράπη ὕστερον, διασπορὰ γὰρ μᾶλλον αὐτοὶ οἱ Ἑβραῖοι γεγόνασιν.

» Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς, εἱστήκει ὁ Ἰησοῦς, καὶ ἔκραζε λέ-
» γων, ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν ἡ γρα-
» φὴ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶντος. Τὴν πρώτην ἡμέ-
Ἔξοδ. λε´. ραν τῆς ἑορτῆς καὶ τὴν ἐσχάτην, ἤτοι τὴν ἑβδόμην, μεγάλας ὠνόμαζον, ἐπεὶ καὶ ὁ νόμος τὴν ἑβδόμην ἡμέραν τῆς ἑορτῆς, κλητὴν ἁγίαν ἐκάλεσε. τούτῳ γοῦν ἑπόμενος καὶ ὁ εὐαγγελιστὴς, τὴν ἐσχάτην ἡμέραν μεγάλην ὀνομάζει. εἰκότως οὖν ἐν τῇ ἐσχά-

τῇ ἡμέρᾳ διαλέγεται τοῖς ὄχλοις, ἐφόδια οἱονεί τινα διδοὺς αὐτοῖς μέλλουσιν ἀπιέναι
οἴκαδε. ταῖς γὰρ ἐν τῷ μέσῳ ἡμέραις εἰς τρυφὴν ἀνειμένοις, ἄκαιρον ἦν προσδιαλέγε-
σθαι, οὐδὲ γὰρ προσεῖχον ἄν. ἔκραξε δὲ ὁ Ἰησοῦς, ἅμα μὲν ἵνα ἐξάκουστος εἴη, ἅμα
δὲ τὴν παῤῥησίαν δεικνύων, καὶ ὡς οὐδένα πτοεῖται. τί οὖν φησιν; ὁ πιστεύων εἰς ἐμὲ
καθὼς εἶπεν ἡ γραφὴ, ἐνταῦθα γὰρ δεῖ στίξαι, εἶτα ἀπ' ἄλλης ἀρχῆς ἀναγνωστέον τὸ,
ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ· ἐπεὶ γὰρ πολλοὶ ἀπὸ τῶν σημείων ἐπίστευον,
δεικνὺς ὅτι οὐκ ἀπὸ τῶν σημείων δεῖ πιστεύειν οὕτως ὡς ἀπὸ τῶν γραφῶν, ἡ γὰρ διωρ
θωμένη πίστις ἀπὸ τῶν γραφῶν ἐστι, τούτου ἕνεκεν φησίν. ὁ πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν
ἡ γραφὴ, τουτέστι, καθὰ μαρτυρεῖ ἡ γραφὴ περὶ ἐμοῦ, ὅτι υἱός εἰμι θεοῦ, ὅτι κτίστης,
ὅτι κύριος τοῦ παντὸς, ὅτι σωτὴρ τοῦ κόσμου, πολλοὶ γὰρ ἔδοξαν πιστεύειν, ἀλλ' οὐχ ὡς
εἶπεν ἡ γραφὴ, ὡς δὲ αὐτοὶ ταῖς αὐτῶν αἱρέσεσιν ἠκολούθησαν, τοιοῦτοι πάντες οἱ
αἱρετικοί. ποταμοὺς δὲ εἶπεν ἐκ τῆς κοιλίας τοῦ οὕτω πιστεύσαντος ῥεῦσαι, κοιλίαν
μὲν τροπικῶς ὀνομάζων τὴν καρδίαν, ὡς καὶ ὁ Δαβὶδ, καὶ τὸν νόμον σου ἐν μέσῳ Ψαλ. λθ'.
τῆς κοιλίας μου τουτέστι τῆς καρδίας μου. ποταμοὺς δὲ ῥεῦσαι ἔφη, καὶ οὐ ποταμὸν
ὕδατος ζῶντος, τὴν τοῦ πνεύματος ἄφθονον χάριν, καὶ τὴν δαψίλειαν αἰνιττόμενος.
τοιοῦτον γάρ ἐστι τὸ πνεῦμα εἰς οἵαν ψυχὴν εἰσέλθοι, καὶ ἐν ᾧ ἐνιδρυνθείη, ποιοῦν αὐ-
τὴν ἀναβλύζειν πάσης πηγῆς ἀφθονώτερον· καὶ μάθοι ἄν τις, πῶς ποταμοὶ ῥεύσου
σιν ἐκ τῆς κοιλίας τοῦ πιστεύοντος κατὰ τὰς γραφὰς, εἴγε τὴν τοῦ Πέτρου γλῶτταν, καὶ
τὴν τοῦ Παύλου ῥύμην, καὶ τὴν τοῦ Στεφάνου σοφίαν κατασκέψαιτο, οἷς οὐδὲν ὑφίστα
το λέγοντας, ἀλλὰ πάντες παρεσύροντο ὥς τινων ποταμῶν, ῥεύμασιν ἀνυποστάτοις
τὴν φοράν·

Τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν.
οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. Ἑρμηνεύων ὁ εὐαγγε-
λιστὴς τίνες εἰσὶν οἱ ποταμοὶ τοῦ ζῶντος ὕδατος, φησὶν, ὅτι τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύ
ματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες. οὔπω γὰρ ἦν, φησι, πνεῦμα ἅγιον, ἀλλ'
ἐνταῦθα ζητήσειεν ἄν τις, πῶς φησιν ὁ εὐαγγελιστὴς, ὅτι οὔπω ἦν πνεῦμα ἅγιον, ἐν-
θεν δηλονότι; καὶ μὴν οἱ προφῆται πνεύματι ἐλάλουν. καὶ οἱ ἀπόστολοι δὲ πῶς ἄρα
τὰς ἰάσεις ἐτέλουν; φαμὲν οὖν ὅτι οἱ προφῆται πνεύματι μὲν ἐλάλουν ὁμολογου-
μένως, ἀλλ' ἡ χάρις αὕτη συνεστάλη καὶ ἀπὸ τῆς γῆς ἀνεχώρησεν. ὥστε εἰ καὶ ἐν τοῖς
χρόνοις τῶν προφητῶν ἐνήργει, ἀλλὰ τότε διὰ τὸ ἀνάξιον τοῦ λαοῦ, ὅτε φημὶ χριστὸς
ἐν σαρκὶ περιεπάτει, οὐκ ἐπεχωρίαζεν ἡ προφητεία, οὐδὲ ἐπώπτευεν αὐτοῦ τὰ ἅγια
καὶ τὸν ναὸν ἡ χάρις. ἐπεὶ οὖν τότε μὲν οὐκ ἦν ἡ τοῦ πνεύματος ἐνέργεια, ἔμελλε δὲ
δοθῆναι, διὰ τοῦτο φησὶν, ὅτι οὐδέπω ἦν πνεῦμα ἅγιον, τουτέστιν ἐμπολιτευόμενον τοῖς
Ἰουδαίοις, καὶ ἐπιφαινόμενον διὰ τῶν ἐνεργειῶν. οἱ δέγε ἀπόστολοι οὐκ ἐν πνεύμα-
τι, ἀλλ' ἐν τῇ τοῦ κυρίου ἐξουσίᾳ τὰ θαύματα ἐτέλουν. ἄκουε γὰρ καὶ τοῦ εὐαγγε- Ματθ. ι'.
λίου τί φησιν, ὅτι μέλλων αὐτοὺς πέμπειν, ἔδωκεν αὐτοῖς ἐξουσίαν, ἀλλ' οὐ πνεῦμα Μαρ. γ'.
ἅγιον. ὥστε ὅσα ἐποίουν θαυμάσια, οὐ πνεύματι, ἀλλ' ἐξουσίᾳ καὶ ὀνόματι κυρίου Λουκ. θ'.
ἐποίουν. ὅτε μέντοι ἐξανέστη τοῦ τάφου, τότε εἶπεν αὐτοῖς. λάβετε πνεῦμα ἅγιον. καὶ Ἰωάν. κ'.
ἐν τῇ πεντηκοστῇ ἦλθεν ἐπ' αὐτοὺς τὸ πνεῦμα τὸ ἅγιον. ἄλλωστε εἰ καὶ ἐν τοῖς προφή Πράξ. β'.
ταις ἦν ἡ τοῦ πνεύματος δύναμις, καὶ ἐν τοῖς ἀποστόλοις πρὸ τοῦ σταυροῦ, ἀλλ' οὐχ οὕ-
τως, ὡς μετὰ τὴν ἀνάληψιν δαψιλὴς δηλαδὴ καὶ ἄφθονος, ὡς καὶ ποταμοῖς παρα-
βάλλεσθαι. ὥστε εἰκότως ὁ εὐαγγελιστὴς εἶπεν, ὅτι οὔπω ἦν πνεῦμα ἅγιον, τουτέστιν
οὕτως ἐκχυθὲν δαψιλῶς ὡς ὕστερον. ἐπεὶ καὶ πρὸ τοῦ σταυροῦ ἦν μὲν, ἀλλ' οὐχ οὕτω
δαψιλῶς. οὐδέπω γὰρ Ἰησοῦς ἐδοξάσθη, δόξαν ἐνταῦθα τὸν σταυρὸν ὀνομάζοντος τοῦ

εὐαγγελιστοῦ, διὰ γὰρ τοῦ σταυροῦ κατέβαλε τὸν τύραννον, καὶ ἐβασίλευσεν. οὔπω οὖν τοῦ σταυροῦ παγέντος, οὐδὲ τῆς ἁμαρτίας καταργηθείσης, οὐδὲ τῆς φύσεως ἡμῶν ἐν χριστῷ νικησάσης τὸν κόσμον, καὶ καταλλαγείσης τῷ θεῷ, εἰκότως οὐκ ἐδόθη ἡ δαψιλὴς τοῦ πνεύματος χάρις. ἔδει γὰρ πρότερον ἡμᾶς γενέσθαι τοῦ θεοῦ φίλους, ὃ διὰ τοῦ σταυροῦ ἐτελέσθη, εἶθ' οὕτως λαβεῖν τὴν δωρεὰν τοῦ θεοῦ. ὥσπερ καὶ ἐν τοῖς κοσμικοῖς, πρότερόν τις γίνεται τοῦ βασιλέως φίλος, εἶτα λαμβάνει τὰς δωρεάς. χάρις οὖν τῷ θεῷ, τῷ τοσαύτην ἡμῖν ἐπιδαψιλευσαμένῳ τὴν χάριν. ὅσην οὐδὲ τοῖς προφήταις. οἱ γὰρ προφῆται χάριν μὲν εἶχον πνεύματος, ἄλλοις δὲ οὐ παρεῖχον, οἱ δὲ ἀπόστολοι μυριάδας ἐνέπλησαν·

» Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον, ἔλεγον, οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης.
» ἄλλοι ἔλεγον, οὗτός ἐστιν ὁ χριστός. ἄλλοι ἔλεγον, μὴ γὰρ ἐκ τῆς γαλιλαίας ὁ χριστὸς
» ἔρχεται; οὐχὶ ἡ γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ καὶ ἀπὸ βηθλεὲμ τῆς
Μιχ· ε΄· » κώμης, ὅπου ἦν Δαβὶδ, ὁ χριστὸς ἔρχεται; σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν·

Τὴν παρρησίαν τῶν ῥημάτων καταδυσωπηθέντες τινὲς ἐκ τοῦ ὄχλου οὐκ ἐκ τῶν ἀρχόντων, οἱ γὰρ ἄρχοντες ἀεὶ διὰ βασκανίαν ἀντέπιπτον, ὁμολογοῦσιν, ὅτι οὗτός ἐστιν ὁ προφήτης ὁ προσδοκώμενος. ἄλλοι δὲ οἷα ὄχλος ὄντες ἀμαθὴς καὶ ἀπερίσκεπτος, ἔλεγον ὅτι ὁ χριστός ἐστιν, οὐ συνιέντες, ὅτι αὐτός ἐστι καὶ οὐκ ἄλλος καὶ ἄλλος ὅ, τε χριστὸς καὶ ὁ προφήτης. οἱ δὲ ἀγνωμονέστεροι μὴ γάρ, φασιν, ὁ χριστὸς ἐκ τῆς γαλιλαίας ἔρχεται; ἀλλ' ἐκ βηθλεὲμ καὶ ἐκ σπέρματος Δαβίδ. τοῦτο δὲ ἔλεγον κακούργῳ γνώμῃ, καὶ οὐ κατὰ τὸν ναθαναήλ. ὁ μὲν γὰρ ὡς νομομαθὴς καὶ ἀκριβὴς ἔλεγεν, ὅτι ἐκ
Ἰωάν· α΄· ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; διὸ καὶ ὁ κύριος ἐπαινεῖ αὐτὸν ὡς οὐ κακούργως, ἀλλὰ κατὰ νομικὴν ἀκρίβειαν τοῦτο λέγοντα. οὗτοι δὲ δολερῶς τοῦτό φασιν, ὅτι οὐκ ἐκ τῆς Γαλιλαίας ὁ χριστὸς ἔρχεται. ἐοίκασι γὰρ γινώσκειν μὲν, ὅτι ἐκ βηθλεὲμ ἐστιν ὁ Ἰησοῦς, εἰ καὶ ἐν τῇ γαλιλαίᾳ ἀνετράφη, ἐκ βασκανίας δὲ μὴ θέλειν ὁμολογεῖν τὴν ἐκ βηθλεὲμ γέννησιν, ἀλλὰ γαλιλαῖον αὐτὸν προσονομάζειν. ἔστω δὲ, ὅτι ἠγνόουν αὐτὸν ἐκ βηθλεὲμ εἶναι, τὸ ἐκ σπέρματος Δαβὶδ πῶς ἀμφέβαλλον; ἢ γὰρ οὐ προδήλως ἐκ Δαβὶδ ἡ Μαρία εἷλκε τὸ γένος; ἐκ τούτου οὖν δῆλον, ὅτι κακούργως ἔλεγον ταῦτα. σχίσμα δὲ ἐγένετο ἐν τῷ ὄχλῳ, οὐκ ἐν τοῖς ἄρχουσιν, οἱ γὰρ ἄρχοντες μιᾶς γνώμης ἦσαν τοῦ μὴ δέχεσθαι αὐτὸν ὡς χριστόν·

» Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν, ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖ-
» ρας. ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖ-
» νοι, διατί οὐκ ἠγάγετε αὐτόν; ἀπεκρίθησαν οἱ ὑπηρέται, οὐδέποτε οὕτως ἐλάλησεν
» ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος· Οἱ μὲν οὖν μετριώτεροι ἐν κακίᾳ ἐν λόγοις μόνοις

ἠναντιοῦντο τῇ δόξῃ τοῦ χριστοῦ, οἱ δὲ ἀναισχυντότεροι καὶ χεῖρας ἤθελον ἐπάγειν, ἀλλ' ὅμως ἀοράτως πεπέδηντο, τῆς θείας αὐτοῦ κατεχούσης δυνάμεως, καὶ οὐδὲ ὑπὸ
Ψαλ· λδ΄· τούτου τοῦ θαύματος κατενύσσοντο. οὕτως ὁ Δαβὶδ περὶ τούτων εἶπε τὸ, διεσχίσθησαν, καὶ οὐ κατενύγησαν. οἱ δὲ ὑπηρέται οἱ σταλέντες ὥστε ἀγαγεῖν αὐτὸν, ἴδωμεν τί ἀποκρίνονται τοῖς φαρισαίοις, ὡς λίαν εὐγνώμονες· οἱ μὲν γὰρ φαρισαῖοι καὶ σοφώτεροι δοκοῦντες εἶναι, καὶ γραφὰς ἀναγινώσκοντες, καὶ θαύματα ὁρῶντες, λυττῶσι κατὰ τοῦ κυρίου, καὶ ἐρωτῶσι ληρικῶς, διατί οὐκ ἠγάγετε αὐτόν; οἱ δὲ καὶ χωρὶς σημείων ἀπὸ διδασκαλίας μόνης ἐπείσθησαν, οὕτως ἦσαν εὐφυεῖς πρὸς τὸ ἀγαθόν. ὅτι δὲ οὐκ ἀπὸ σημείων, ἀλλ' ἀπὸ τῆς διδασκαλίας ἑάλωσαν. ὃ μεῖζόν ἐστι, δῆλον ἐντεῦθεν. οὐ γὰρ εἶπον, ὅτι οὐδέποτε οὕτως ἐθαυματούργησεν ὁ ἄνθρωπος, ἀλλ' οὕτως ἐλάλησεν, οὕτως ἦσαν συγκεκροτημένοι καὶ ὀξεῖς εἰς τὸ παραδέξασθαι λόγον σωτηρίας.

χρὴ δὲ οὐ μόνον τὴν σύνεσιν αὐτῶν θαυμάζειν, ἀλλὰ καὶ τὴν παρρησίαν. οὐ γὰρ ὑπέ
πτηξαν τὸν θυμὸν τῶν Φαρισαίων, οὐδὲ ὡς ὑπηρέται ὑπεστάλησαν, καὶ τὰ ἀρεστὰ τοῖς
ἄρχουσιν αὐτῶν εἶπον, ἀλλὰ μαρτυροῦσι τῇ ἀληθείᾳ, οὓς δεῖ μιμεῖσθαι πάντας τοὺς
τοῖς ἄρχουσι παρεπομένους, καὶ μὴ ὑπακούειν αὐτοῖς ἐφ' οἷς ἂν ἀδίκως προστάξαιεν
ὥσπερ καὶ ἐπὶ τοῦ Σαοὺλ γέγονε. καὶ γὰρ τούτου προστάξαντος τοὺς ἱερεῖς τοῦ θεοῦ πα
ρανόμως ἀναιρεθῆναι, οἱ παρεστῶτες αὐτῷ ποιῆσαι οὐκ ἐπείσθησαν. α΄. Βασι. κα΄.

Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι, μὴ καὶ ὑμεῖς πεπλάνησθε; μήτις ἐκ τῶν
ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, ἢ ἐκ τῶν Φαρισαίων; ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώ-
σκων τὸν νόμον, ἐπικατάρατοί εἰσιν. λέγει Νικόδημος πρὸς αὐτοὺς ὁ ἐλθὼν νυκτὸς πρὸς
αὐτὸν, εἷς ὢν ἐξ αὐτῶν, μὴ ὁ νόμος ὑμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐ- Ἀριθ. λε΄.
τοῦ πρότερον, καὶ γνῷ τί ποιεῖ; Τίνος ἕνεκεν τοῖς ὑπηρέταις οὐκ ὀργίλως, ἀλλὰ Δευτε. ιζ΄.
πρᾴως προσφέρονται οἱ Φαρισαῖοι, ἠπίως οὕτω λέγοντες, μὴ καὶ ὑμεῖς πεπλάνη-
σθε; διότι ἐδεδοίκεσαν, μὴ καὶ αὐτοὶ τέλεον ἀποσχισθῶσι, καὶ προσθῶνται τῷ Χριστῷ.
διὸ ἡμερώτερον αὐτοῖς καὶ κολακευτικώτερον φασὶν, μὴ καὶ ὑμεῖς οἱ δῆθεν τῶν ἄλ
λων σοφώτεροι, καὶ παραμένοντες ἡμῖν τοῖς νομομαθέσι πεπλάνησθε; πειρῶνται δὲ
αὐτοὺς πεῖσαι ἀπὸ τεκμηρίου σφόδρα ἀνοήτως, μὴ γάρ, φασι, τίς τῶν ἀρχόντων ἐπί-
στευσεν εἰς αὐτόν; καὶ μὴν τίνος τὸ ἔγκλημα τοῦ Χριστοῦ, ἢ τῶν μὴ πιστευσάντων; πάν-
τως γὰρ ἐκεῖνοι κατακριτέοι οἱ μὴ πιστεύσαντες. ἐπικατάρατον δὲ τὸν ὄχλον φασὶ,
διότι ἐπίστευσεν, αὐτοὶ μυρίων ὄντες καταρῶν ἄξιοι ὡς ἄπιστοι, καὶ τοῖς ἄλλοις ἀπιστίας
πρόξενοι. τίνος δὲ ἕνεκεν ἐπισημαίνεται ὁ εὐαγγελιστὴς περὶ τοῦ Νικοδήμου, ὅτι ἦλ-
θε νυκτὸς πρὸς τὸν Ἰησοῦν, καὶ ὅτι ἐξ αὐτῶν ἦν; ἵνα δείξῃ αὐτοὺς ψευδομένους. ἐπεὶ
γὰρ εἶπον, μήτις τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, δείκνυσιν ὅτι καὶ ἐν τούτῳ ψεύ-
δονται. ἰδοὺ γὰρ ὁ Νικόδημος ἄρχων ὢν, καὶ εἷς ἐξ αὐτῶν, ἐπίστευσεν εἰς Χριστόν. πῶς
οὖν αὐτοῖς διαλέγεται ὁ Νικόδημος; μὴ ὁ νόμος ὑμῶν, φησὶ, κατακρίνει τὸν ἄνθρωπον,
ἐὰν μὴ πρότερον ἀκούσῃ; δείκνυσιν οὖν ἐντεῦθεν, ὅτι οὐδὲ τὸν νόμον ἀνεγίνωσκον, οὐδὲ
τὰ τοῦ νόμου ἐποίουν, καίτοι ἐπὶ τοῖς νομικοῖς μέγα ἐφρόνουν. εἰ γὰρ ὁ νόμος μὲν κε-
λεύει μηδένα ἀποκτιννύναι ἀκρίτως, οὗτοι δὲ πρὶν ἀκοῦσαι ἐπὶ τοῦτο ὥρμησαν, πα
ραβάται τοῦ νόμου εἰσὶ προφανεῖς. εἰπὼν δὲ τὸ, καὶ γνῷ τί ποιεῖ, ἐνέφηνεν ὅτι οὐ ψι
λῆς ἀκροάσεως, ἀλλὰ καὶ λίαν ἀκριβοῦς δεῖ, ὥστε γνῶναι τί χρὴ ποιῆσαι, καὶ μὴ
ἀγνώστως οὕτως καταδικάζειν.

Κεφάλαιον η΄.

Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύνησον καὶ ἴδε, Hic in pri° deest
ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται. πάλιν οὖν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς, de muliere deprehensa
λέγων· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσει ἐν τῇ in Adulterio
σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. Τοῦ Νικοδήμου συνετώτατα τοὺς Φαρισαίους
ἐλέγξαντος, ὡς παράνομα διαπραττομένους, ἐξαπορηθέντες ἐκεῖνοι ἀγροικότερον,
μᾶλλον δὲ θηριωδέστερον κέχρηνται τῇ ἀποκρίσει, λέγοντες· μὴ καὶ σὺ ἐκ τῆς Γαλι-
λαίας εἶ; ποίαν γὰρ ἀκολουθίαν ἔχει τοῦτο πρὸς τὰ ὑπὸ τοῦ Νικοδήμου ῥηθέντα; ἐκεῖ-
νος εἶπεν, ὅτι οὐ δεῖ ἀνεξετάστως καὶ ἀκρίτως καταδικάζειν τὸν ἄνθρωπον. ἔδει πάν
τως αὐτοὺς πρὸς τοῦτο ἀποκρίνασθαι καὶ δεῖξαι, ὅτι οὐκ ἀκρίτως καταδικάζουσι τὸν
Ἰησοῦν, ἀλλ' ἐννόμως, καὶ τοὺς ὑπηρέτας ἔπεμψαν συλλαβεῖν αὐτὸν, καὶ πάντα κα
τὰ τὸ προσῆκον ποιοῦσιν. οἱ δὲ τί φασι; μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ. ὁρᾷς τὴν
ἀνοησίαν; ὁρᾷς τὸ ἀνακόλουθον τῶν λόγων; εἶτα ὑβρίζοντες αὐτὸν ὡς ἀμαθῆ, φασὶν,
ἐρεύνησον, καὶ ἴδε, ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται; τουτέστιν, ἄπελ-

θε, μάθε, ἐπειδὴ ἄχρι τοῦ νῦν οὐκ ἔμαθες, ὅτι προφήτης ἐκ τῆς γαλιλαίας οὐκ ἐγήγερται. εἰς ἀμαθίαν δὲ αὐτὸν ἐπισκώπτοντες ταῦτά φασι. τί δὲ εἶπεν ὁ νικόδημος ὦ φαρισαῖοι; μὴ γὰρ εἶπεν, ὅτι προφήτης ἐστὶν ὁ Ἰησοῦς; εἶπεν ὅτι ἄκριτον ἀναιρεθῆναι οὐ χρή. πῶς οὖν καὶ ὑμεῖς τοιαῦτα εἰπόντι, οὕτως ἀποκρίνεσθε; ὁ δὲ Χριστὸς ἐπειδὴ ἄνω καὶ κάτω τὴν Γαλιλαίαν αὐτῷ προέφερον, καὶ ὡς περὶ ἑνὸς τῶν προφητῶν ἠμφισβήτουν, δεικνύων αὐτοῖς, ὅτι οὐχ εἷς ἐστὶ τῶν προφητῶν, φησὶν, ὅτι ἐγώ εἰμι τὸ φῶς, τὸ κυρίως φῶς, οὐχὶ φῶς προφητικὸν, μερικὸν δηλαδὴ καὶ μικρὰν τὴν λάμψιν ἔχον, ἀλλὰ τὸ ἀληθινὸν φῶς, οὐδὲ Γαλιλαίας ἢ παλαιστίνης ὅροις περιορι-

Ἠσαΐ. μθ'. ζόμενον, ἀλλὰ τοῦ κόσμου φῶς εἰμι, καὶ πάντων ἀνθρώπων δεσπότης, καὶ περὶ ἐμοῦ ὁ προφήτης εἴρηκε, τὸ ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν. χρήσῃ δὲ κατὰ νεστορίου καὶ τῷ παρόντι ῥητῷ. οὐ γὰρ εἶπεν ὅτι ἐν ἐμοί ἐστι τὸ φῶς τοῦ κόσμου, ἀλλ᾽ ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. αὐτὸς γὰρ ὁ φαινόμενος ἄνθρωπος, ὁ αὐτὸς ἦν καὶ υἱὸς τοῦ θεοῦ καὶ φῶς τοῦ κόσμου. οὐχ ὥσπερ νεστόριος ἐλήρει, ὅτι ἐν τῷ ἀνθρώπῳ τῷ ψιλῷ κατῴκει ὁ υἱὸς τοῦ θεοῦ, ἄπαγε, εἷς γὰρ, ὥσπερ εἴρηται, ὅ τε τῆς Μαρίας καὶ ὁ τοῦ θεοῦ υἱός. ὁ δὲ ἀκολουθῶν φησιν, ἐμοὶ, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτείᾳ, τουτέστιν, οὐ μενεῖ ἐν τῇ πλάνῃ, ἀλλ᾽ ἀπαλλαγήσεται τῆς πλάνης καὶ τοῦ σκότους. ἅμα δὲ καὶ τὸν νικόδημον ἐπαινεῖ, καὶ τοὺς ὑπηρέτας ὡς πεπαῤῥησιασμένους, καὶ διὰ τοῦτο ἐν τῷ φωτὶ ὄντας. αἰνίττεται δὲ καὶ τοὺς φαρισαίους ἐν τῇ πλάνῃ καὶ τῷ σκότει ὄντας, καὶ κρυφῇ τοὺς δόλους πλέκοντας.

Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι, σὺ περὶ σεαυτοῦ μαρτυρεῖς; ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς, κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον, καὶ ποῦ ὑπάγω. ὑμεῖς δὲ οὐκ οἴδατε, πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω.

Ἐπειδὴ εἶπεν, ὅτι ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, αἰτιῶνται αὐτὸν ὡς περὶ ἑαυτοῦ μαρτυροῦντα. ὢ τῆς ἀνοίας, αὐτὸς ἄνω καὶ κάτω τὰς γραφὰς εἷλκε μαρτυρούσας περὶ ἑαυτοῦ, καὶ αὐτοὶ αἰτιῶνται αὐτὸν ὡς περὶ ἑαυτοῦ μαρτυροῦντα. διὸ πρὸς τὴν κακουργίαν αὐτῶν καὶ αὐτὸς αὐτοῖς ἀποκρίνεται, ὅτι ἔστω, αὐτὸς περὶ ἐμαυτοῦ μαρτυρῶ, καίτοι γε μὴ τοῦτο ποιῶν, ἀλλὰ τρεῖς ἔχων μάρτυρας, τὸν πατέρα μου, καὶ τὰ ἔργα, καὶ τὰς γραφὰς, καθὸ δὴ καὶ ἀνωτέρω εἴρηται. ὅμως θῶμεν, ὅτι αὐτὸς περὶ ἐμαυτοῦ μαρτυρῶ. κἂν οὖν ἐγὼ ἐμαυτῷ μαρτυρῶ, ἡ μαρτυρία μου ἀληθής ἐστι, διότι οἶδα, ὅτι τοῦ θεοῦ εἰμι υἱὸς, καὶ οὐκ ἄνθρωπος ψιλὸς, ἀλλ᾽ ἄνωθεν ἐρχόμενος καὶ θεός. πῶς οὖν ψευδὴς ἔσται ἡ μαρτυρία μου θεοῦ ὄντος, καὶ διὰ τοῦτο ἀξίου πιστεύεσθαι; πάντως γὰρ ὁ θεὸς ἀξιόπιστος ἑαυτῷ μάρτυς. ἀλλὰ καὶ πρὸς θεὸν μέλλων ἀπελθεῖν τὸν ἀληθῆ, πῶς ἂν ψευδοίμην πρὸς τὸν ἀληθῆ μέλλων ἀπελθεῖν.

Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ κρίνω οὐδένα, καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν, ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ᾽ ἐγὼ, καὶ ὁ πέμψας με πατήρ.

Ἐγὼ μὲν φησι, θεὸς ὢν, καὶ ἄνωθεν ἐλθὼν, ἀληθῆ περὶ ἐμαυτοῦ μαρτυρῶ, ὑμεῖς δὲ πρὸς τὸ φαινόμενον μόνον ἀποβλέποντες, καὶ διότι ἐν σαρκί εἰμι, σάρκα ψιλήν με ὑπολαμβάνετε, ἀλλ᾽ οὐχὶ καὶ θεὸν, καὶ ἐκ θεοῦ ἐλθόντα. κατὰ σάρκα κρίνετε, τουτέστιν, ἐπισφαλῶς. ὥσπερ γὰρ ὁ ἐν σαρκὶ ζῶν φαύλως λέγεται ζῆν, οὕτω καὶ ὁ κατὰ σάρκα κρίνων, ἀδίκως κρίνων ἂν λεχθείη. εἶτα ὥσπερ τινὸς εἰπόντος, εἰ ἀδίκως κρίνομεν ἡμεῖς οἱ Ἰουδαῖοι, διατί μὴ κολάζεις, διατί μὴ κατακρίνεις, φησὶν, ὅτι οὐκ ἐπὶ τούτῳ ἦλθον ἵνα κρίνω, ἐγὼ γὰρ οὐδένα κρίνω νῦν, καὶ ἐὰν κρίνω δὲ, ἡ κρίσις μου ἀληθής ἐστι, καὶ γὰρ καταδεδικασμένοι ἂν ἦτε, εἴγε ἠθέλησα κρῖναι. νῦν δὲ ἐκφεύγετε τὴν κατάκρισιν οὐ διότι ἀδυνατῶ ὑμᾶς κατακρῖναι, ἀλλὰ διότι,

οὐκ ἔστι νῦν καιρός· τῇ γὰρ δευτέρᾳ παρουσίᾳ ταμιεύομαι τὴν κατάκρισιν ὑμῶν, ὥσπερ καὶ ἀλλαχοῦ φησίν, ὅτι οὐκ ἦλθον κρίναι τὸν κόσμον, ἀλλὰ σῶσαι. ἐπεὶ ὅτι γε Ἰωάν. ιβ'.
αὐτός ἐστιν ὁ πάντων κριτής, ἄκουε τοῦ ἀψευδοῦς στόματος, ὅτι ὁ πατὴρ τὴν κρίσιν Ἰωάν. ε'.
πᾶσαν δέδωκε τῷ υἱῷ. ὥστε ὅταν ἀκούῃς, ὅτι ἐγὼ κρίνω οὐδένα, μὴ περὶ τῆς μελλούσης παρουσίας, ἀλλὰ τῆς προτέρας νόει λέγεσθαι τοῦτο. εἰπὼν δὲ ὅτι οὐκ εἰμὶ μόνος, ἀλλὰ καὶ ὁ πατήρ μου μετ᾽ ἐμοῦ ἐστιν, ἔδειξεν ὅτι οὐκ ἐγὼ μόνος καταδικάζω ὑμᾶς, ἀλλὰ καὶ ὁ πατήρ. οὐ γὰρ ἄλλως μὲν ἐγὼ κρίνω, ἄλλως δὲ ὁ πατήρ, ἀλλ᾽ ὥσπερ ἂν ἐγώ, οὕτω κἀκεῖνος, καὶ ὡς ἐκεῖνος, οὕτω κἀγώ.

» Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής
» ἐστιν. ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ.

Εἰπάτωσαν ἐνταῦθα ἀρειανοί τε καὶ εὐνομιανοί, οἱ λέγοντες μὴ ὁμοούσιον εἶναι τῷ πατρὶ τὸν υἱόν. εἰ μὴ ὁμοούσιος ἦν, πῶς ἂν ἐτόλμησεν εἰπεῖν, ὅτι τῆς αὐτῆς αὐθεντίας καὶ ἀξιοπιστίας εἰμὶ τῷ πατρί; ὥσπερ γὰρ δύο ἀνθρώπων περί τινος μαρτυρούντων, καὶ ἀληθοῦς οὔσης τῆς μαρτυρίας αὐτῶν, πρόδηλον ὅτι καὶ ἡ ἀξιοπιστία ἡ αὐτή, οὕτω κἀνταῦθα οὐδὲν ἔλαττον ἐμφαίνει ἔχειν τὴν ἑαυτοῦ πρὸς τὴν τοῦ πατρὸς μαρτυρίαν. ἄκουε γὰρ αὐθεντικῶς λεγόμενον τὸ ἐφεξῆς, ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ, καὶ ὁ πατήρ. ὁρᾷς τὴν ἴσην αὐθεντίαν; καὶ ὅπως ἑαυτὸν ἀξιόπιστον ποιεῖται, ὥσπερ καὶ τὸν πατέρα; ὅπερ οὐκ ἂν ἐτόλμησεν εἰπεῖν, εἴγε ὑποδεέστερος ἦν τοῦ πατρὸς κατὰ τὴν ἀξίαν, καὶ οὐκ ἴσος αὐτῷ καὶ ὁμοούσιος. εἰ γὰρ ἐβούλετο ὕφεσίν τινα καὶ ἐλάττωσιν ἐνδείξασθαι, οὐκ ἂν ἑαυτὸν συνηρίθμησε τῷ πατρί, καὶ τὴν οἰκείαν μαρτυρίαν τῇ τοῦ πατρὸς συγκατέταττε. ἀλλὰ δοῦλος ὤν, καθὼς οἱ αἱρετικοὶ δυσσεβοῦσιν, εἰς ἕνα τῶν συνδούλων ἀπέβλεψεν ἄν, κἀκεῖνον συμμάρτυρα ἐποιήσατο, οἷον τὸν Ἰωάννην λέγω, ἢ τοὺς προφήτας, ἢ ἁπλῶς εἴγε τοιαύτας ἤθελε μαρτυρίας, μυρίας ἂν εὗρε. νῦν δὲ τὴν ὁμοουσιότητα θέλων δεῖξαι, ἣν ἔχει πρὸς τὸν πατέρα, τῷ πατρὶ συναριθμεῖ ἑαυτόν. μὴ θαυμάσῃς δέ, εἰ ἀλλαχοῦ καὶ Ἰωάννην, καὶ Μωσῆν, καὶ τοὺς προφήτας παράγει περὶ αὐτοῦ μαρτυροῦντας, πρὸς γὰρ
τὴν τῶν ἀκροατῶν ὑπόληψιν τοῦτο ποιεῖ, καὶ ἐπειδὴ ἐκεῖνοι τὸν Ἰωάννην καὶ τὸν Μω- Ἰωάν. ε'.
σῆν αὐτοῦ προετίθεσαν, τούτου ἕνεκεν τοὺς νομιζομένους παρ᾽ αὐτοῖς ἐνδόξους καὶ μεγάλους εἰς μαρτυρίαν ἕλκει. ὥστε ἐπεὶ καὶ περὶ τοῦ θεοῦ καὶ πατρὸς μεγάλην ὑπόληψιν εἶχον, καὶ τί γὰρ ἄλλο, ἢ ὡς θεὸν ἐδόξαζον; παράγει νῦν καὶ αὐτὸν ἐκεῖνον τὸν τῶν πάντων θεὸν μάρτυρα. ἐπεὶ δὲ καὶ ἑαυτὸν τῷ τοιούτῳ μάρτυρι τῷ ἀπαραγράπτῳ καὶ ἀψευδεστάτῳ συντάττει, προδηλότατον ἄρα, ὅτι τῆς αὐτῆς τῷ πατρὶ αὐθεντίας καὶ ἐξουσίας ἐστί. καὶ αἰσχυνέσθωσαν οἱ δοῦλον αὐτὸν καὶ ἐλάττω κατὰ πάντα τοῦ πατρὸς λέγοντες.

» Ἔλεγον οὖν αὐτῷ, ποῦ ἐστιν ὁ πατήρ σου; ἀπεκρίθη ὁ Ἰησοῦς, οὔτε ἐμὲ οἴδατε, οὔτε
» τὸν πατέρα μου. εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν. ταῦτα τὰ ῥήματα
» ἐλάλησεν ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ· καὶ οὐδεὶς ἐπίασεν αὐ-
» τόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. Ἐπειδὴ ὡς πειράζοντες αὐτὸν ἠρώτων περὶ τοῦ πατρός, καὶ οὐχὶ τοῦ μαθεῖν ἕνεκεν, διὰ τοῦτο οὐδὲ ἀποκρίσεως αὐτοὺς ἀξιοῖ, ἀλλά φησιν· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου, τουτέστιν, οὐ δύνασθε γνῶναι τὸν πατέρα μου χωρὶς ἐμοῦ· ὥστε κἂν δοκῆτε τιμᾶν τὸν θεόν, οὐ πιστεύητε δὲ αὐτὸν πατέρα εἶναι ἐμοῦ τοῦ ἀληθινοῦ υἱοῦ, οὐδὲν ὠφελεῖσθε. οὐδὲ οἴδατε αὐτόν, καθὼς δεῖ γνῶναι, ἐπεὶ ἐγινώσκετε ἂν καὶ ἐτιμᾶτε κἀμέ. νῦν δὲ ἐπεὶ ἐμὲ οὐκ οἴδατε, οὐδὲ τιμᾶτε, οὐδὲ ἐκεῖνον οἴδατε, οὐδὲ τιμὴν αὐτῷ προσάγετε, κἂν δοκῆτε. τὸ δὲ μὴ εἰδέναι με, οὐκ ἄλλος ὑμῖν αἴ-

πος, ἀλλ' αὐτοὶ ἑαυτοῖς· ἀκούεις ὁ τὸν υἱὸν ὑποβιβάζων ἀσεβῶς τῷ πατρὶ εἰ μὴ ὁμοούσιος ἦν τῷ πατρὶ, πῶς ἂν εἶπεν, ὅτι εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα ᾔδειτε ἄν; εἰ γὰρ καθ' ὑμᾶς κτίσμα ἐστὶν ὁ υἱὸς, πῶς ὁ εἰδὼς τὸ κτίσμα, οἶδε καὶ τὸν θεόν; οὐ γὰρ δήπου ὁ εἰδὼς, τὴν οὐσίαν τοῦ ἀγγέλου, οἶδε καὶ τὴν τοῦ θεοῦ· ἐπεὶ οὖν ὁ τὸν υἱὸν εἰδὼς, καὶ τὸν πατέρα οἶδε, τῆς αὐτῆς ἄρα οὐσίας τῷ πατρὶ ὁ υἱός. ναί φησιν, ἀλλ' ὁ τὴν κτίσιν εἰδὼς, οἶδε καὶ τὸν θεόν. οὐδαμῶς, πολλοὶ γὰρ, μᾶλλον δὲ ἅπαντες τὴν κτίσιν μὲν καὶ ὁρῶσι, καὶ οἴδασι, θεὸν δὲ οὔτε ὁρᾷ τὶς, οὔτε οἶδε. ταῦτα δὲ ἐλάλει ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ. ἐν μέσῳ τοῦ ἱεροῦ. καὶ οὕτως ἐπαῤῥησιάζετο. καὶ ὅμως φονῶντες κατ' αὐτοῦ, καὶ ἐν χερσὶν αὐτὸν ἔχοντες, οὐκ ἐτόλμων πιάσαι αὐτόν. οὐδὲ οὕτω συνίεσαν, ὅτι θείας τῷ ὄντι δυνάμεως ἔργον ἐστὶ, τὸ ἐν μέσῳ τῶν ἐχθρῶν περιειλημμένον ἀβλαβῆ διατηρεῖσθαι, καὶ ἀνεπηρέαστον, καὶ ταῦτα ζητούντων αὐτὸν πρὸ τοῦ πολλὰ καὶ ἐνεδρευόντων. οὐ γοῦν μὴ οὕτω ἐζήτουν, καὶ καθ' οὗ ἠγρίαινον καὶ ἀπόντος, τοῦτον ἐν μέσοις τοῖς δικτύοις ἔχοντες, εἶτα μὴ δυνάμενοι ἑλεῖν, οὐδὲ οὕτως ἐπεγίνωσκον τὴν αὐτοῦ δύναμιν. ὅτι οὔπω, φησὶν, ἐληλύθει ἡ ὥρα αὐτοῦ, τουτέστιν, ὁ ἐπιτήδειος καιρὸς τοῦ θανάτου αὐτοῦ οὔπω ἐνειστήκει, καθ' ὃν ἔμελλεν ἑαυτὸν δοῦναι. καὶ γὰρ καὶ τότε οὐκ ἂν ἴσχυσαν κατ' αὐτοῦ, εἰ μὴ ἦν καιρὸς ὁ προσήκων, ὃν αὐτὸς ἑαυτῷ ἐταμιεύσατο· οὐ γὰρ ἀδυναμίας ἦν τὸ σταυρωθῆναι, ἀλλὰ συγχωρήσεως, συνεχώρησε γὰρ, ὅταν ἠβούλετο. ἐπεὶ ἐκεῖνοί γε ἔκπαλαι ἐπεθύμουν τοῦ θανατῶσαι αὐτὸν, ἀλλὰ κατείχοντο τοῖς ἀοράτοις δεσμοῖς τῆς ἰσχύος αὐτοῦ. ἔδει γὰρ αὐτὸν ἐπὶ πλεῖον ἐνδιατρῖψαι τῇ κατὰ σάρκα ζωῇ, ἵνα πλείονος ὠφελείας τοῖς ἀνθρώποις γένηται πρόξενος διά τε σημείων πλειόνων ἐπιδείξεως, καὶ λόγων διδασκαλίας. τινὲς δὲ τὸ, ποῦ ἐστὶν ὁ πατήρ σου; οὕτως νοοῦσιν εἰρῆσθαι παρὰ τῶν Ἰουδαίων πρὸς τὸν κύριον, ὡς ἐφ' ὕβρει καὶ ὀνείδει. ὑβρίζοντες γὰρ αὐτὸν ὡς ἐκ πορνείας γεγονότα, καὶ μὴ γινώσκοντα τὸν πατέρα αὐτοῦ, ταῦτα φασὶν, ἢ καὶ ὡς εὐτελοῦς ὄντος τοῦ νομιζομένου πατρὸς αὐτοῦ τοῦ Ἰωσὴφ, τοῦτο λέγουσι, ποῦ ἐστὶν ὁ πατήρ σου; ὡσανεὶ λέγοντες, ἀφανής ἐστι καὶ δυσγενὴς ὁ πατήρ σου, τί αὐτὸν ἡμῖν ἄνω καὶ κάτω φέρεις;

» Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς, ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με καὶ οὐχ εὑρήσετε,
» καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε. ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. ἔλε-
» γον οὖν οἱ Ἰουδαῖοι, μή τι ἀποκτενεῖ ἑαυτὸν, ὅτι λέγει, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνα-
» σθε ἐλθεῖν; καὶ εἶπεν αὐτοῖς ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί. ὑμεῖς ἐκ τοῦ
» κόσμου ἐστὲ, ἐγὼ ἐκ τοῦ κόσμου τούτου οὐκ εἰμί. εἶπον οὖν ὑμῖν, ὅτι ἀποθανεῖσθε ἐν ταῖς
» ἁμαρτίαις ὑμῶν. ἐὰν γὰρ μὴ πιστεύσητε, ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις
» ὑμῶν·

Τίνος ἕνεκεν συχνάκις αὐτοῖς λέγει τὸ, ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με; ὥστε κατασεῖσαι αὐτῶν, καὶ ἐκφοβῆσαι τὰς ψυχάς. ὅρα γὰρ πῶς εἰς φροντίδα εὐθὺς ἐνέπεσον, οἱ διαποροῦντες ἔλεγον, μή τι ἀποκτενεῖ ἑαυτόν; καίτοι ἐπιθυμοῦντες ἀπαλλαγῆναι αὐτοῦ, καὶ ἐκ μέσου αὐτῶν γενέσθαι εὐχόμενοι, καί που καὶ ἀνελεῖν βουλόμενοι, ὅμως οὕτω τι μέγα περὶ τοῦ πράγματος ἐφαντάσθησαν, ὥστε διαπορεῖν περὶ αὐτοῦ. ἅμα δὲ συχνάκις λέγει τὸ, ἐγὼ ὑπάγω, δεικνὺς ὅτι προγινώσκει τὸν οἰκεῖον θάνατον, καὶ ὡς οὐ τῆς αὐτῶν δυνάμεως ἔργον ὁ σταυρὸς, ἀλλὰ τῆς αὐτοῦ βουλήσεως. ὑπάγω γάρ, φησιν, οὐχ ὑμεῖς με ἄγετε, ἀλλ' ἐγὼ ἐθελοντὴς πορεύομαι. ἐν δὲ τῷ εἰπεῖν, ὅτι ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ὅπου ἐγὼ ὑπάγω, δείκνυσιν, ὡς ἄρα ἀναστήσεται μὲν αὐτὸς ἐν δόξῃ καὶ καθιεῖται ἐκ δεξιῶν τοῦ θεοῦ, αὐτοὶ δὲ ἐν ταῖς ἁμαρτίαις αὐτῶν ἀποθανοῦνται· ἐκεῖνοι τοίνυν τί πρὸς ταῦτα φασίν; μή τι ἀποκτενεῖ ἑαυτόν; ὁ δὲ κύριος ἀναιρῶν ταύτην αὐτῶν τὴν ὑπόνοιαν, καὶ δεικνὺς ὅτι οὐκ ἔστιν ἐκτὸς κατα-

κρίσεως

κτίσεως τὸ ἀποκτεννύναι ἑαυτόν, φησίν, ὑμεῖς ἐκ τῶν κάτω ὄντες, καὶ μηδὲν θεῖον ἐν
νοῆσαι δυνάμενοι, ἀκολούθως τοιαῦτα νοεῖτε, ἐγὼ δὲ μὴ ὢν ἐκ τοῦ κόσμου τούτου, του
τέστι μηδὲν κοσμικὸν καὶ περίγειον φρονῶν, οὐκ ἄν ποτε εἰς τοσαύτην μανίαν ἔλθοιμι, ὥς
τε ἑαυτὸν ἀποκτεῖναι, τοῦτο γὰρ δαιμονιῶδες καὶ οὐ θεῖον. ἀλλ' ἐνταῦθα ἀπολινάριος
δραξάμενος τοῦ ῥητοῦ, φησὶ τοῖς μανιχαίοις πάντως ἑπόμενος, ὅτι ὁρᾷς, οὐκ ἦν ἐκ τοῦ
κόσμου τούτου τὸ σῶμα τοῦ κυρίου, ἀλλ' ἄνωθεν ἐξ οὐρανοῦ, ὡς καὶ Παῦλος λέγει, ὅτι α'. Πρὸς Κο-
ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ. τί τοίνυν ἐστὶν εἰπεῖν; ἢ πάντως ἐρωτητέον ρινθ. ιε'.
αὐτόν, πῶς νοεῖ τὸ πρὸς τοὺς ἀποστόλους παρὰ τοῦ κυρίου λεγόμενον, ὅτι ὑμεῖς οὐκ ἐστὲ
ἐκ τοῦ κόσμου; ἆρα ὡς καὶ αὐτῶν τὰ σώματα ἐκ τοῦ οὐρανοῦ ἐχόντων, ἀλλ' οὐκ ἐκ
ταύτης τῆς κτίσεως, ἢ ὡς μὴ τὰ τοῦ κόσμου φρονούντων, εἶπε τοῦτο ὁ κύριος; πρόδη- Ἰωάν. ιε'.
λον πάντως, ὅτι ἐπεὶ μὴ τὰ τοῦ κόσμου ἐφρόνουν, τούτου ἕνεκεν τοῦτο πρὸς αὐτοὺς εἶ-
πεν. οὕτως οὖν νοητέον καὶ τὸ ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου, τουτέστιν, οὐκ εἰμὶ ὡς εἷς ὑμῶν
τῶν τὰ τοῦ κόσμου φρονούντων. ὡς καὶ ὁ Παῦλος πρός τινας λέγει, οὐκ ἐστὲ ἐν σαρ- Πρὸς Ῥω. η'.
κί, οὐκ ἀσωμάτους αὐτοὺς εἶναι λέγων, ἀλλὰ φιλοσοφίαν αὐτοῖς, καὶ σαρκικῶν παθῶν
ἀπαλλαγὴν προσμαρτυρεῖ. τί οὖν πάλιν αὐτοῖς ὁ κύριος; ἐὰν μὴ πιστεύσητε, φησιν,
ἐμοί, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε· εἰ γὰρ διὰ τοῦτο ἦλθεν, ἵνα ἄρῃ τὴν ἁμαρ-
τίαν τοῦ κόσμου, καὶ οὐκ ἔστιν ἄλλως ἄφεσιν ἁμαρτιῶν λαβεῖν εἰ μὴ διὰ τοῦ βαπτί-
σματος, βαπτισθῆναι δὲ τὸν μὴ πιστεύοντα ἀδύνατον, ἀνάγκη πᾶσα λοιπὸν ἐν τῇ οἰ
κείᾳ ἁμαρτίᾳ ἀποθανεῖν τὸν ἄπιστον. οὐ γὰρ ἐξεδύσατο τὸν παλαιὸν ἄνθρωπον, ὅτι μὴ
ἐβαπτίσατο. διὸ καὶ ἀλλαχοῦ φησιν ὁ κύριος, ὅτι ὁ μὴ πιστεύων ἤδη κέκριται, οὐ κατὰ
τοῦτο μόνον τὸ μὴ πιστεῦσαι, ἀλλ' ὅτι καὶ τὰ πρότερον ἁμαρτήματα ἔχων ἄπεισιν· Ἰωάν. γ'.

» Ἔλεγον οὖν αὐτῷ, σὺ τίς εἶ; καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, τὴν ἀρχὴν ὅ, τι καὶ λαλῶ
» ὑμῖν. πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν, ἀλλ' ὁ πέμψας με, ἀληθής ἐστι. κἀ-
» γὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον· οὐκ ἔγνωσαν δέ, ὅτι τὸν πατέ-
» ρα αὐτοῖς ἔλεγε. Μετὰ τοσοῦτον χρόνον, μετὰ τοσούτων σημείων ἐπίδειξιν, ἐρω-
τῶσιν αὐτόν, σὺ τίς εἶ; οὕτως ἦσαν ἀνόητοι, ὑβρισταί τε καὶ χλευασταί· ὁ δὲ κύριος τὴν
ἀρχήν, φησίν, ὅτι καὶ λαλῶ ὑμῖν. ὑμεῖς, φησι, καὶ τοῦ ὅλως ἀκούειν τῶν παρ' ἐμοῦ λό
γων, ἀνάξιοι ἐστέ, μήτι γε καὶ μανθάνειν τίς εἰμι, πάντα γὰρ πειράζοντες λέγετε, καὶ
οὐδενὶ τῶν παρ' ἐμοῦ προσέχειν θέλοντες. ἐγὼ δὲ ἠδυνάμην καὶ ὑμᾶς ἐλέγχειν, καὶ
μὴ μόνον ἐλέγχειν, ἀλλὰ καὶ κολάζειν. ταῦτα γὰρ τὰ δύο αἰνίττεται εἰπών, ὅτι πολ
λὰ ἔχω λέγειν ὑμῖν, λαλεῖν καὶ κρίνειν. διὰ μὲν τοῦ λαλεῖν, τὸ ἐλέγχειν παραδηλῶν,
διὰ δὲ τοῦ κρίνειν, τὸ κατακρίνειν καὶ καταδικάζειν. ἀλλ' ὁ πέμψας με, φησίν, οὐκ ἐπὶ
τούτῳ ἔπεμψέ με, ἐφ' ᾧ κρίνειν καὶ ἐλέγχειν, οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ,
ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον· ἐπεὶ τοίνυν ὁ πατήρ μου εἰς τὸ σώ-
σειν με ἀπέστειλεν, ἀληθὴς δέ ἐστιν, εἰκότως οὐδένα κρίνω νῦν, ἀλλὰ μόνον λαλῶ ἃ ἤ-
κουσα παρὰ τοῦ πατρός μου, τὰ πρὸς σωτηρίαν δηλαδή, οὐ τὰ πρὸς ἔλεγχον. ταῦτα
δὲ ἔλεγεν, ἵνα μὴ νομίσωσιν, ὅτι ὡς ἀδύνατος οὐ κολάζει αὐτούς, δείκνυσιν οὖν ὅτι οὐχ
ὡς ἀδύνατος, ἀλλ' ὡς οὐ θέλων κολάσαι αὐτούς, ἅτε δὴ μὴ ἐπὶ τῷ κολάσαι, ἀλλ' ἐπὶ
τῷ σῶσαι ἐλθών. ταῦτα δὲ αὐτοῦ λέγοντος, οὕτως ἦσαν ἀνόητοι, ὥστε οὐκ ἔγνωσαν, φη
σίν, ὅτι τὸν πατέρα αὐτοῦ αὐτοῖς λέγει. καίτοι πόσα περὶ τοῦ πατρὸς αὐτοῖς διηλέ-
χθη; ἀλλ' οὕτως ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· τινὲς δὲ οὕτω νοοῦσι τό, ἀλλ' ὁ
πέμψας με ἀληθής ἐστιν, ἠδυνάμην, φησί, καὶ νῦν κρῖναι ὑμᾶς, ἀλλὰ τῷ μέλλοντι αἰῶ
νι τοῦτο τηρῶ. ἀπιστεῖτε δέ, καὶ οὖν τῆς καὶ ἀνταποδόσεως καιρὸν οὐχ ὑπολογίζεσθε. ἀλ
λ' εἰ καὶ ὑμεῖς ἀπιστεῖτε, ὁ γοῦν πατήρ μου ἀληθής ἐστιν, ὃς ἔστησεν ἡμέραν καθ' ἣν ἀντα-

ἀποδοθήσεται ὑμῖν, ὅς καὶ ἀπέστειλέ με κηρύξαι ταῦτα καὶ φανερῶσαι τῷ κόσμῳ τὴν αὐτοῦ δικαιοσύνην καὶ δύναμιν·

» Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι
» ἐγώ εἰμι, καὶ ἀπ᾽ ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ πατήρ μου, ταῦτα
» λαλῶ, καὶ ὁ πέμψας με, μετ᾽ ἐμοῦ ἐστιν. οὐκ ἀφῆκέ με μόνον ὁ πατὴρ, ὅτι ἐγὼ τὰ ἀ-
» ρεστὰ αὐτῷ ποιῶ πάντοτε· Ἐπειδὴ πολλὰ σημεῖα ποιήσας οὐκ ἐπεσπάσατο τούτοις, περὶ τοῦ σταυροῦ αὐτοῖς διαλέγεται. ὑμεῖς μὲν γάρ, φησι, τότε δόξετε ἐν παντελεῖ ἀμεριμνίᾳ εἶναι, καὶ ἀπαλλαγῆναι μου, ὅτε δηλαδή με σταυρώσετε. ἐγὼ δὲ λέγω, ὅτι γνώσεσθε, ὅτι ἐγώ εἰμι, τουτέστιν, ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ὁ τὰ πάντα φέρων καὶ ἄγων, καὶ ὅτι οὐκ ἐναντίος εἰμὶ τῷ πατρὶ, οὐδὲ ἀπ᾽ ἐμαυτοῦ ποιῶ, ἢ λαλῶ, οὐ γὰρ ἔχω ἴδιον θέλημα κεχωρισμένον τοῦ πατρικοῦ. πῶς δὲ ἔμελλον γνῶναι αὐτὸν ἐν τῷ σταυρῷ; ἀπὸ τῶν σημείων τῶν τηνικαῦτα, ἀπὸ τῆς ἀναστάσεως καὶ τῆς ἁλώσεως. ταῦτα γὰρ πάντα ἱκανὰ ἦν ἐμφῆναι τὴν ἰσχὺν αὐτοῦ. ἀμφότερα τοίνυν γνώσεσθε καὶ τὴν ἰσχὺν τὴν ἐμὴν, ὅταν σταυρώσητέ με, καὶ τὴν ὁμόνοιαν τὴν πρὸς τὸν πατέρα· οὐ γὰρ ἂν ὁ πατὴρ ἢ ἐξεδίκησέ με, παραδοὺς τὴν πόλιν ὑμῶν τοῖς Ῥωμαίοις, ἢ σημεῖα ἐν τῷ σταυρῷ ἐπετέλει, εἰ μὴ υἱὸς, ἤμην αὐτοῦ, καὶ ὁμογνώμων ἀλλ᾽ οὐκ ἀντίθεος. τότε οὖν εἴσεσθε. ὅτι ὅσα διδάσκω καὶ λέγω, ἀπ᾽ ἐκείνου εἰσὶ, θεῖα πάντως καὶ θεοῦ ῥήματα, καὶ οὐκ ἐμὰ, ἀλλὰ τοῦ πέμψαντός με. εἶτα ἵνα μὴ νομίσωσιν, ὅτι τὸ πεμφθῆναι καὶ ἀποσταλῆναι ὕφεσιν δηλοῖ, φησὶν, ὅτι ὁ πατήρ μου μετ᾽ ἐμοῦ ἐστιν. εἰ γὰρ καὶ ἀπέστειλέ με ὡς ἄνθρωπον, ἀλλ᾽ οὖν οὐκ ἐχωρίσθην αὐτοῦ, ἀλλὰ μετ᾽ ἐμοῦ ἐστιν ὡς θεὸς θεῷ συνών. ἐπὶ τὸ ταπεινότερον δὲ πάλιν τὸν λόγον κατάγων, φησὶ, καὶ οὐκ ἀφῆκέ με μόνον, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ διὰ τοὺς Ἰουδαίους δὲ ταῦτα τὰ ταπεινὰ φθέγγεται. ἐπεὶ γὰρ ἔλεγον ἐκεῖνοι, ὅτι οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. φησὶν ὅτι τὰ ἀρεστὰ αὐτῷ ποιῶ. ὥστε κἂν τὸ σάββατον λύω, ἀρεστὸν αὐτῷ τοῦτο. ἐκ τούτων δὲ τῶν ταπεινῶν ῥημάτων αὐτὸς μὲν οὐδὲν ἐλυμαίνετο τῇ οἰκείᾳ δόξῃ, τοῖς δὲ ἀκούουσιν ὠφέλειαν ἐποίει, μᾶλλον δὲ καὶ τὴν δόξαν αὐτοῦ συνίστα διὰ τούτου. οἱ γὰρ ἀκούοντες αὐτοῦ πάντα εἰς τὸν πατέρα ἀναφέροντος, μᾶλλον αὐτῷ προσετίθεντο, καὶ ἐπίστευον εἰς αὐτὸν, ὥστε τὰ ταπεινὰ μᾶλλον ὕψου αὐτόν. ὁρᾷς τὰ κατορθώματα τῆς μακαρίας ταπεινώσεως; ὅτι δὲ ταῦτα, οὕτως ἔχει, ἄκουε τῶν ἐφεξῆς·

» Ταῦτα αὐτοῦ λαλοῦντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν. ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς
» τοὺς πεπιστευκότας αὐτῷ ἰουδαίους, ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς
» μαθηταί μου ἐστὲ, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς·

Ὅ πρὶν εἴπον, ὅτι διὰ τῶν ταπεινοτέρων ῥημάτων μᾶλλον ὑπήγοντο οἱ ἀκροαταὶ, τοῦτο καὶ ὁ εὐαγγελιστὴς ἐπισημαίνεται· ταῦτα γάρ, φησιν, αὐτοῦ λαλοῦντος, πολλοὶ ἐπίστευσαν, ταῦτα τὰ ταπεινὰ ῥήματα, καὶ ἀνάξια δῆθεν τῆς δόξης αὐτοῦ. ὥστε πανταχοῦ, ὅταν ἀκούῃς αὐτοῦ μικρά τινα καὶ εὐτελῆ περὶ ἑαυτοῦ λέγοντος, μὴ θορυβοῦ. διὰ γὰρ τοὺς ἀκροατὰς ταῦτα φθέγγεται, μὴ δυναμένοις ὑψηλότερόν τι νοῆσαι, ἀλλ᾽ εὐθὺς ἀγριαίνοντας. τί δὲ οὐκ ἔμελλον τοῦτο πάσχειν, μὴ δυνάμενοι εἰς τὸ βάθος τοῦ θεολογικοῦ μυστηρίου φθάσαι, ὅπου δὲ καὶ χριστιανοῖς τὴν αὐτοῦ δύναμιν ἐγνωκόσι, καὶ δι᾽ αὐτοῦ σωθεῖσι, τὸ ὕψος τῆς αὐτοῦ δόξης ἀνέφικτον ἐγένετο; ἀκούων δὲ, ὅτι πολλοὶ ἐπίστευσαν, οὕτω νόει τούτοις πιστεύσαντας, ἁπλῶς, καὶ ὡς ἔτυχεν, οὐχ ὡς ἐχρῆν, ἀλλ᾽ ὥσπερ εἰ ἀρεσθέντας, καὶ ἀναπαυσαμένοις ἐπὶ τῇ τῶν λόγων ταπεινότητι. ὅτι δὲ οὐκ ἦσαν τοιοῦτοι πιστοὶ, ἀκριβεῖς δηλαδὴ, δῆλον. ἔλεγε γάρ, φησι, πρὸς τοὺς πεπιστευκότας Ἰουδαίους, ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ. αἰνίττεται γὰρ αὐ-

τοὺς

τοὺς πιστεύσαντας μὲν, ἐπιπολέως δὲ, καὶ διὰ τοῦτο μὴ δὲ παραμένοντας ἐν τῇ πί-
στει. ἐλέγχων δὲ αὐτοὺς οὕτως ἔχοντας, δείκνυσιν, ὡς οἶδε τὰς καρδίας αὐτῶν, καὶ θεός
ἐστιν. ἐπεὶ δὲ καί τινες ἀνεχώρησαν, πρώην δοκοῦντες αὐτοῦ μαθηταὶ εἶναι, διὰ τοῦτο
πρὸς τοὺς νῦν πιστεύσαντας φησὶν, ὅτι ἐκεῖνοι μὲν ἀνεχώρησαν, ἐὰν δὲ ὑμεῖς μείνητε ἐν
τῷ λόγῳ τῷ ἐμῷ καὶ τῇ πίστει, ἐπιγνώσεσθε τὴν ἀλήθειαν, τουτέστιν, ἐμὲ, ἐγὼ γάρ εἰμι
ἡ ἀλήθεια. ὡς νῦν γε οὐκ ἐπιγινώσκετε τὴν ἀλήθειαν, οὐ γὰρ ἀλήθεια, ἀλλὰ τύποι
καὶ σκιὰ πάντα τὰ τοῦ νόμου, οὓ ὑμεῖς δοκεῖτε τηρεῖν. ἀλλ' ἐὰν ἐμὲ ἐπιγνῶτε τὸν ἀλη-
θῆ ὄντα, ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς, τουτέστιν, ἐγὼ δηλαδὴ ἀπὸ τῶν ἁμαρτιῶν. ὁ γὰρ
πιστεύων εἰς τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, πάντως ἀπήλλακται τῶν ἁμαρ-
τιῶν. ὥσπερ οὖν τοῖς ἀπιστοῦσιν εἶπεν, ὅτι ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε, οὕτως
τοῖς παραμένουσιν ἐν τῇ πίστει, ἐπαγγέλεται τὴν ἐλευθερίαν τῶν ἁμαρτιῶν. αἱ μὲν
γὰρ νομικαὶ θυσίαι καὶ οἱ ῥαντισμοὶ οὐκ ἀπήλλαττον ἁμαρτιῶν, τύποι γὰρ ἦσαν. ἡ δὲ
πνευματικὴ θυσία αὕτη καὶ ἀληθινὴ διὰ τῆς πίστεως καὶ ἐπιγνώσεως ἐλευθεροῖ οὐκ
ἔτι δούλους ἡμᾶς ὄντας, ἀλλ' υἱοὺς γινομένους θεοῦ·

· Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώ-
· ποτε, πῶς σὺ λέγεις, ὅτι ἐλεύθεροι γενήσεσθε; ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, ἀμὴν ἀμὴν
· λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ
· μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώ-
· σῃ, ὄντως ἐλεύθεροι ἐστέ· Πάλιν οἱ ἀλαζόνες πρὸς τὴν ἄδοξον αὐτῶν εὐγένειαν ἀφο-
ρῶντες, ἀγριαίνουσι, σπέρμα Ἀβραάμ ἐσμεν λέγοντες καίτοι ἐχρῆν αὐτοὺς ἐπ' ἄλλῳ
ἀγανακτῆσαι, εἴ γε ἔδει ἀγανακτεῖν· εἶπε γὰρ αὐτοῖς, ὅτι τὴν ἀλήθειαν γνώσεσθε. ἐχρῆν
οὖν εἰπεῖν, τί δὲ νῦν τὴν ἀλήθειαν οὐκ ἴσμεν; ἀλλὰ ψεῦδος ἅπαντα τὰ τοῦ νόμου, καὶ
ἡ γνῶσις ἡ ἡμετέρα; ἀλλ' οὐδενὸς τούτων αὐτοῖς ἔμελλεν, ἀλλ' ἐπὶ κοσμικοῖς πρά-
γμασιν ἀλγοῦσι, δουλείαν ὀνειδισθῆναι τοιαύτην καὶ δυσγένειαν ὑπολαβόντες, σπέρ-
μα ἀβραάμ ἐσμεν, οὐδαμοῦ τῶν οἰκείων κατορθωμάτων μέμνηνται, ἀλλ' ἐπὶ τοὺς
πατέρας ἀνατρέχουσι, διὸ καὶ ὁ Ἰωάννης πρὸς αὐτούς. μὴ ἄρξησθε, φησὶ, λέγειν πα-
τέρα ἔχομεν τὸν ἀβραάμ. καίτοι προφανῶς ἐψεύδοντο, λέγοντες οὐδενὶ δεδουλευκέ- ·Ματθ·β'·
ναι, ἐδούλευσαν γὰρ ὁσάκις ᾐχμαλωτίσθησαν, αἰγυπτίοις καὶ βαβυλωνίοις καὶ ἑτέ-
ροις πολλοῖς. οὐκ ἐλέγχει δὲ ὁ κύριος αὐτοὺς ψευδομένους, ἐπεὶ μὴ ἐσπούδαζεν αὐ-
τοὺς δεῖξαι δούλους ἀνθρώπων, ἀλλὰ ἁμαρτίας, ἥτις καὶ χαλεπωτάτη δουλεία ἐστὶν, ἧς
μόνος θεὸς ἀπαλλάξαι δύναται· τὸ γὰρ ἀφεῖναι ἁμαρτίας, θεοῦ μόνου. διό φησι, πᾶς
ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας, καὶ ὑμεῖς οὖν δοῦλοι ἐστὲ, καθὸ ἁμαρ-
τωλοί. εἶτα ἐπεὶ εἰκὸς ἦν ἐκείνοις εἰπεῖν, ὅτι εἰ καὶ τοιαύτῃ δουλείᾳ ὑποκείμεθα, ἀλ-
λὰ θυσίας ἔχομεν, ἀλλ' ἱερεῖς, οἳ καθαρίσουσιν ἡμᾶς ἐκ τῶν ἁμαρτιῶν, φησὶν, ὅτι καὶ
ἐκεῖνοι δοῦλοι εἰσί. πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ. καὶ λοι- πρὸς ῥω·γ'
πὸν δοῦλοι κἀκεῖνοι ὄντες οἱ ἱερεῖς ὑμῶν, οὐκ ἔχουσιν ἐξουσίαν ἀφιέναι ἄλλοις ἁμαρ-
τίας. ὃ καὶ αὐτὸς ὁ παῦλος σαφέστερον φησὶν, ὅτι ὀφείλει ὁ ἱερεὺς ὑπὲρ ἑαυτοῦ προσ- πρὸς Ἑβρ·ε'
φέρειν, καθὰ καὶ ὑπὲρ τοῦ λαοῦ, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν. ὁ δοῦλος, φη-
σὶν, οὐ μένει ἐν τῇ οἰκίᾳ, τουτέστιν, οὐκ ἔχει ἐξουσίαν χαρίζεσθαι, ἅτε μὴ ὢν οἰκοδεσπό-
της, ὁ δὲ υἱὸς οἰκοδεσπότης ἐστὶ, καὶ μένει ἐν τῇ οἰκίᾳ, οἰκίαν δὲ λέγει τὴν ἐξουσίαν, κα- Ἰωάν·ιδ'·
θὰ καὶ ἀλλαχοῦ τὴν ἀρχὴν οὕτως ὀνομάζει, ἐν τῇ οἰκίᾳ λέγων τοῦ πατρός μου πολ-
λαὶ μοναί εἰσιν. ἐκεῖνοι μὲν οὖν οἱ ἱερεῖς οἱ ὑμέτεροι δοῦλοι ὄντες, οὐκ ἔχουσιν ἐξουσίαν ἀφιέ-
ναι, ὁ δὲ υἱὸς ἐγὼ μένων ἐν τῇ οἰκίᾳ, τῇ ἐξουσίᾳ φημὶ, καὶ τῇ ἀρχικῇ αὐθεντίᾳ, καὶ οἰκο-
δεσπότης ὤν, ἐλευθερίαν ὑμῖν χαρίζομαι, πάντα γὰρ ἐμά ἐστι, καὶ ὁμοούσιός εἰμι,

καὶ ὁμοεξούσιος τῷ πατρί. καὶ ἐὰν ἐγὼ ἐλευθερώσω, τότε τῇ ἀληθεῖ ἐλευθερίᾳ τιμηθήσεσθε, ὡς νῦν γε ψευδῆ ἐλευθερίαν ἑαυτοῖς ἐπιφημίζετε. οὕτως δὲ καὶ ἀληθῶς ἐλεύθεροι παρ' ἐμοῦ ἔσεσθε.

» Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε, ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς
» οὐ χωρεῖ ἐν ὑμῖν. ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου λαλῶ, καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε
» παρὰ τῷ πατρὶ ὑμῶν ποιεῖτε. Ὑμεῖς μέν φησιν, ἑαυτοὺς σπέρμα Ἀβραὰμ ποιεῖτε, κἀγὼ δὲ τοῦτο σύμφημι, ὅτι τὴν σαρκικὴν συγγένειαν πρὸς τὸν ἅγιον ἐκεῖνον σώζετε, πλὴν ἡ κατὰ πνεῦμα συγγένεια ἄπεστιν ὑμῶν. ἐκεῖνος δίκαιος καὶ φιλάνθρωπος καὶ φιλόξενος, ὑμεῖς δέ, ἵνα τὸν μὲν ἄλλον βίον ὑμῶν παραδράμω, αὐτὸ δὲ τὸ προφανὲς ἐξετάσω ὃ νῦν πράττετε, μιαιφόνοι καὶ ἀφιλάνθρωποι. ζητεῖτε γάρ με ἀποκτεῖναι, καὶ φονᾶτε κατ' ἐμοῦ. πῶς οὖν ἐκείνου υἱοὶ οὕτως ἐστέ, οὕτω τῶν πατρικῶν χαρακτήρων ἀπολειπόμενοι; εἰ τοίνυν τὴν συγγένειαν αὐχεῖτε, ὀφείλετε καὶ τὴν ἀρετὴν ἐκείνου μιμεῖσθαι. εἶτα ἵνα μὴ ἔχωσι λέγειν, ὅτι δικαίως σε ζητοῦμεν ἀποκτεῖναι, τίθησι τὴν αἰτίαν. οὐ γὰρ δι' ἄλλο, φησί, λυσσᾶτε κατ' ἐμοῦ, εἰ μὴ διὰ τὸ τὸν λόγον τὸν ἐμὸν ὑψηλότερον εἶναι τῆς ὑμῶν διανοίας, καὶ μὴ χωρητὸν ὑμῖν. καίτοι οὐ διὰ τοῦτο ἔχρην ἀναιρεῖν, ἀλλὰ μᾶλλον ἀξιοῦν, ὥστε διδάξαι τὸ τῶν δογμάτων ὕψος, καὶ τιμᾶν, καὶ θεραπεύειν. εἶτα ἵνα μὴ εἴπωσιν αὐτῷ, ὅτι καὶ εἰκότως σε μισοῦμεν διὰ τὸν λόγον σου, οὐ γὰρ λέγεις ἡμῖν ἀπὸ θεοῦ, ἀλλ' ἀπὸ σαυτοῦ, καὶ διὰ τοῦτο οὔτε δυνάμεθα χωρῆσαι τὴν διδασκαλίαν σου, φησίν, ὅτι οὐκ ἀπ' ἐμαυτοῦ λαλῶ, ἀλλ' ἃ ἑώρακα παρὰ τῷ πατρί μου, ταῦτα λαλῶ, καὶ ὑμεῖς δὲ ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν, ποιεῖτε. ἐγὼ μὲν γάρ φησι, θεῖα καὶ οὐράνια φθέγγομαι, καὶ διὰ τούτων ἐκφαίνω τὸν πατέρα μου, καὶ ὑμεῖς δὲ τὸν ὑμέτερον πατέρα, δι' ὧν πράττετε, εἰκονίζετε, τὸν διάβολον πάντως. ὅταν δὲ ἀκούῃς λέγοντος, ὅτι ὃ ἑώρακα, λαλῶ, μὴ σωματικὴν ὅρασιν νόει, ἀλλὰ φυσικὴν γνῶσιν, καὶ ἀληθῆ καὶ πεπιστευμένην. ὡς γὰρ ὀφθαλμοὶ ὁρῶντες ὑγιῶς τὸ ὄν, καὶ ἀληθές, ἀληθῶς ὁρῶσι καὶ οὐ διαψεύδονται, οὕτω κἀγὼ ἀληθῶς ἐκεῖνα λαλῶ, ἃ ἔγνωκα παρὰ τῷ πατρί.

» Ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ, ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι. λέγει αὐτοῖς ὁ Ἰη-
» σοῦς, εἰ τέκνα ἦτε τοῦ Ἀβραάμ, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. νῦν δὲ ζητεῖτέ με
» ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ.
» τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. εἶπον οὖν αὐ-
» τῷ, ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα, ἕνα πατέρα ἔχομεν τὸν θεόν.

Αὐτὸς μὲν πατέρα αὐτοῖς ἐπιγράφει τὸν διάβολον, τούτῳ γὰρ ἐοικότας αὐτοὺς ἀπὸ τῶν ἔργων ὁρᾷ. αὐτοὶ δὲ ἄνω καὶ κάτω τὸν Ἀβραὰμ προσφέρουσι. συνεχῶς δὲ ὁ κύριος τῆς φονικῆς αὐτῶν ἐπιμέμνηται προαιρέσεως, καὶ ἀπάγει τῆς συγγενείας τοῦ δικαίου, ἵνα τό, τε περιττὸν καύχημα αὐτῶν περικόψῃ, καὶ πείσῃ μὴ ἐν τούτῳ τῷ ματαίῳ ἐπὶ τῇ σαρκὶ συγγενείᾳ φρυάγματι ἔχειν τὰς ἐλπίδας, ἀλλ' ἐν τῇ κατὰ προαίρεσιν ὁμοιότητι. ὄντως γὰρ ὡς ἰατρός, τῶν ψυχῶν καταστέλλει τὴν ἐκ τῆς οἰήσεως τῆς ἐπὶ τῇ τοῦ Ἀβραὰμ συγγενείᾳ φλεγμονήν, δι' ἣν ἐκωλύοντο προσελθεῖν τῷ χριστῷ, ἀρκεῖν αὐτοῖς ἡγούμενοι πρὸς σωτηρίαν τὴν τοιαύτην συγγένειαν. οὐ τοίνυν ἐστὲ τέκνα τοῦ Ἀβραάμ. μιαιφόνοι ὄντες, καὶ ζητοῦντές με ἀποκτεῖναι. εἶτα ἵνα μή τις εἴπῃ, δικαίως σε ζητοῦσιν ἀποκτεῖναι, φησίν, ἄνθρωπον οὐκ ἀντίθεον, οὐδὲ τὴν οἰκείαν συνιστῶντα δόξαν, ἀλλ' ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ταῦτα λέγοντα, καὶ τὴν ἀλήθειαν κηρύττοντα. ποία δὲ ἦν ἡ ἀλήθεια αὕτη; ἢ ὅτι ἴσος ἐστὶ τῷ πατρί, καὶ οὐ δοῦλος, ὡς εἷς τῶν προφητῶν, ἀλλ' υἱὸς οὐδὲν ἴδιον ποιῶν ἢ λέγων, ἀλλὰ πάντα τὰ τοῦ πατρός;

τρός; διὰ γὰρ ταῦτα ἐζήτουν αὐτὸν ἀποκτεῖναι. οἱ δὲ πάλιν ἡμεῖς, φασὶν, ἐκ πορνείας
οὐ γεγεννήμεθα, ἕνα πατέρα ἔχομεν τὸν θεόν· ὅρα ἀνόητον φύσημα. ὁ κύριος καὶ
τῆς τοῦ Ἀβραὰμ συγγενείας ἐκβάλλει αὐτοὺς, οἱ δὲ οὕτως ἀλαζονεύονται, ὥστε υἱοὺς
ἑαυτοὺς ἐξ ἀγνοίας καὶ αὐτοῦ τοῦ θεοῦ ποιοῦνται. ἐπεὶ γὰρ ἤκουσαν, ὅτι υἱὸς πρωτό-
τοκός μου Ἰσραὴλ, αὐχοῦσι τὴν θείαν υἱοθεσίαν. καίτοι ἔδει αὐτοὺς ἀκοῦσαι ἀλλαχοῦ Ἔξο. δ΄.
πάλιν τοῦ θεοῦ λέγοντος, υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. καί τοι δὲ Ἠσα. α΄.
δυνάμενος ὁ κύριος ἐλέγξαι αὐτοὺς, ὅτι ἐκ πορνείας πολλοὶ αὐτῶν ἐγεννήθησαν, καὶ
γὰρ ἐπεμίγνυντο παρὰ τὸν νόμον ἐθνικοῖς Ἑβραῖαι γυναῖκες, καὶ Ἰουδαίοις ἐθνικαὶ, ὅ- Ἔσδ. ι΄.
μως οὐ ποιεῖ τοῦτο. οὐ γὰρ τοῦτο ἐσπούδαζεν αὐτῶν ἐλέγχειν τὴν σωματικὴν δυσ- Νεεμ. ιγ΄.
γένειαν, ἀλλὰ τὸ πᾶν αὐτῷ σπούδασμα δυσγενεῖς αὐτοὺς κατὰ πνεῦμα δεῖξαι.

Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμὲ, ἐγὼ γὰρ ἐκ τοῦ
θεοῦ ἐξῆλθον, καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν. δια-
τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.

Ἐπειδὴ ἐξέβαλεν αὐτοὺς τῆς πρὸς τὸν Ἀβραὰμ οἰκειότητος, αὐτοὶ ἐπὶ τὸ μεῖζον ἀνέβησαν, τὸν θεὸν ποιούμενοι πατέρα. ὡς γὰρ ὠνείδισεν αὐτοῖς, ὅτι μιαιφόνοι εἰσὶν, αὐτοὶ ὥσπερ ὑπεραπολογούμενοι ὅτι τὸν θεὸν ἐκδικοῦσι, καὶ διὰ τοῦτο βουλεύονται κατ' αὐτοῦ, τοιαῦτα λέγουσι. διὸ καὶ ὁ κύριος δεικνύων, ὡς ἄρα οὐ τὸν θεὸν ἐκδικοῦσιν, οὐδὲ τέκνα εἰσὶ τοῦ θεοῦ, δι' αὐτὸ τοῦτο τὸ μελετᾷν κατ' αὐτοῦ φόνον ὡς ἐκεῖνοι ᾤοντο, ἀλλὰ μᾶλλον ἐναντιοῦνται τῷ θεῷ φησιν, ὅτι εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ. ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον εἰς τὸν κόσμον, δηλονότι κατὰ τὴν ἐν σαρκὶ παρουσίαν. μὴ γὰρ ἀντίθεός εἰμι; ἀπ' ἐκείνου ἦλθον, ὥστε ἐκείνου ἐστὲ ἐχθροὶ, ἐμοὶ πολεμοῦντες. διατὶ τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε, οὐδὲ συνίετε καὶ νοεῖτε ἃ λέγω; ἢ πάντως δι' οὐδὲν ἄλλο, ἢ τὸ μὴ δύνασθαι ἀκούειν τὸν λόγον μου, τουτέστι, τὸ μὴ θέλειν; τὸ γὰρ μὴ δύνασθαι, ἀντὶ τοῦ μὴ θέλειν κεῖται. ἕως γὰρ φθόνος ἐν ὑμῖν πολιτεύεται, καὶ φονῶσα γνώμη, πῶς δυνήσεσθε ἀκούειν ἃ λέγω;

Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέ-
λετε ποιεῖν. ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι
οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ. ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐ-
στὶ καὶ ὁ πατὴρ αὐτοῦ. ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι.

Εἶπεν ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον μου, ἀντὶ τοῦ, οὐ βούλεσθε. εἶτα ἐπάγει καὶ τὴν αἰτίαν διατὶ οὐκ ἠβούλοντο, διότι ἐκ τοῦ πατρὸς τοῦ οἰκείου ὑμῶν ἐστὲ, ποίου λέγω; τοῦ διαβόλου. ὑμεῖς μὲν γὰρ τὸν θεὸν ἑαυτοῖς πατέρα ἀπονενοημένοι ἐπιγράφεσθε, τὰ δὲ ἔργα ὑμῶν τὸν διάβολον ὑμῖν προσμαρτυρεῖ πατέρα γνησιώτερον. τούτου γὰρ τὰς ἐπιθυμίας θέλετε ποιεῖν, καὶ οὐκ εἶπε τὰ ἔργα, ἀλλὰ τὰς ἐπιθυμίας, δεικνὺς ὅτι σφόδρα ἐπιθυμητικῶς διέκειντο περί τε τὸ ψεῦδος καὶ τὸν φόνον, ἃ ἰδιαίτατα κακὰ τοῦ διαβόλου. ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, ὥστε καὶ ὑμεῖς ζητοῦντές με ἀποκτεῖναι, ἐκείνῳ ἐοίκατε τῷ τὸν Ἀδὰμ θανατώσαντι. ἀλλὰ καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν ἐκεῖνος, ἀλλὰ τοῦ ψεύδους ἐστὶ πατὴρ, καὶ ὑμεῖς οὖν καταψευδόμενοί μου, καὶ λέγοντες ὅτι οὐκ εἰμὶ ἐκ τοῦ θεοῦ, καὶ μὴ ἱστάμενοι ἐν τῇ ἀληθείᾳ, μηδὲ ἐμμένοντες τῷ ἐμῷ λόγῳ, ἐκείνου τέκνα ἐστὲ, τοῦ τὸ ψεῦδος τεκόντος. ἐκεῖνος γὰρ καὶ τὸν θεὸν πρὸς τοὺς Γενέ. γ΄.
ἀνθρώπους διέβαλε, πρὸς τὴν Εὔαν εἰπὼν, ὅτι φθονῶν ὑμῖν ἀπεῖρξεν ὑμᾶς τοῦ ξύλου. α΄.
καὶ πρὸς τὸν θεὸν πάλιν τοὺς ἀνθρώπους διέβαλεν, ὡς τὸν Ἰὼβ, λέγων μὴ δωρεὰν Ἰὼβ σέβεται τὸν θεὸν, ὅταν οὖν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, τουτέστιν, ἄνθρωποι μὲν τῷ ψεύδει χρώμενοι, ὡς ἀλλοτρίῳ χρῶνται τούτῳ. ὁ διάβολος δὲ ὡς ἰδίῳ

αὐτοῦ κέχρηται τῷ ψεύδει, αὐτοῦ γάρ ἐστι γέννημα, καὶ αὐτός ἐστιν ὁ κυρίως ψεύστης,
καὶ ὁ πατὴρ αὐτοῦ, τουτέστι τοῦ ψεύδους, αὐτός ἐστιν. εἶπε γὰρ πρὸς τὴν εὔαν, ὅτι ᾗ ἂν
Γενέ. γ΄. ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς θεοί, οἱ δὲ θάνατον μᾶλλον ἐτρύγησαν. ἐγὼ δέ φησιν, ὅτι
τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι. οὐδὲν γὰρ ἄλλο ἔχοντες ἐγκαλεῖν, εἰ μὴ μόνον
τὴν ἀλήθειαν, διὰ τοῦτο λυσσᾶτε κατ᾽ ἐμοῦ, ὡς υἱοὶ τοῦ πατρὸς τοῦ ψεύδους.
» Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ δὲ ἀλήθειαν λέγω, διατί ὑμεῖς οὐ πι-
» στεύετέ μοι; ὁ ὢν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ ἀκούει. διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούε-
» τε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ. ἀπεκρίθησαν οἱ ἰουδαῖοι, καὶ εἶπον αὐτῷ, οὐ καλῶς λέ-
» γομεν ἡμεῖς, ὅτι σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις; ἀπεκρίθη ἰησοῦς, ἐγὼ δαιμό-
» νιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. ἐγὼ δὲ οὐ ζητῶ
» τὴν δόξαν μου, ἔστιν ὁ ζητῶν καὶ κρίνων. Ἐπειδὴ τοῦ θεοῦ υἱοὺς ἑαυτοὺς ὠνόμαζον,
φησίν. ὅτι εἰ τοῦ θεοῦ υἱοί ἐστε, πάντως τὸν ἁμαρτάνοντα ὀφείλετε μισεῖν. εἰ τοίνυν καὶ
ἐμὲ, οὐ μισεῖτε, δύνασθε ἐλέγξαι ἁμαρτάνοντα, πρόδηλον ὅτι δικαίως μισεῖτε, εἰ δὲ
οὐκ ἔχει τίς ἐλέγξαι, φανερὸν ὅτι διὰ τὴν ἀλήθειάν με μισεῖτε. ποίαν δὲ ἀλήθειαν; ἢ
πάντως ὅτι ἔλεγεν ἑαυτὸν υἱὸν θεοῦ, ὅπερ παναληθές ἐστιν; ὁ ὢν δὲ ἐκ τοῦ θεοῦ, τὰ ῥή-
ματα τοῦ θεοῦ ἀκούει, ὥστε καὶ ὑμεῖς εἰ τοῦ θεοῦ τέκνα ἦτε, οὐκ ἂν ἐμοῦ παρηκούε-
τε, οὐδ᾽ ἂν ἐφονᾶτε κατὰ τοῦ ἄνωθεν ἐλθόντος υἱοῦ τοῦ θεοῦ, καὶ τὰ τοῦ θεοῦ φθεγγο-
μένου. ὁ μὲν οὖν κύριος οὕτω πρᾴως, οἱ δὲ εἰς ὕβρεις χωροῦσιν. οὐ καλῶς γάρ φασιν, ἐ-
λέγομεν, ὅτι σαμαρείτης εἶ, καὶ δαιμόνιον ἔχεις; σαμαρείτην μὲν οὖν αὐτὸν ἔλεγον, ὡς
τὰ ἰουδαϊκὰ ἔθη παραλύοντα, οἷον τὸ τοῦ σαββάτου, οἱ γὰρ σαμαρεῖται οὐκ ἀκριβῶς
ἰουδάϊζον. δαιμονῶντα δὲ καλοῦσιν αὐτὸν, τάχα μὲν καὶ κατ᾽ ἐκεῖνον τὸν τρόπον, κα-
θὸ καὶ ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια ἔλεγον. πάντες
Ματθ. ιβ΄. γὰρ οἱ συκοφαντοῦντες αὐτὸν ἐν βεελζεβοὺλ ἐκβάλλειν τοὺς δαίμονας, δαιμόνιον ἔ-
Λουκ. ια΄. χειν τὸν τοῦ βεελζεβοὺλ, ἐν ᾧ ἐτέλει τὰ θαύματα, ἔλεγον. τάχα δὲ καὶ καθὸ ἀνεκά-
λυπτεν αὐτῶν τὰ διανοήματα καὶ τὰ ἐνθυμήματα, δαιμόνιον αὐτὸν ἔχειν ἐνόμιζον
οἰόμενοι παρὰ δαιμόνων αὐτῷ τὰ κρυπτὰ τῆς καρδίας αὐτῶν ἐπιγινώσκεσθαι. πότε
δὲ εἶπον αὐτὸν σαμαρείτην, οὐδαμοῦ ὁ εὐαγγελιστὴς τοῦτο εἴρηκεν. ἐκ τούτου οὖν δῆλον
ὅτι πολλὰ παρέλειψαν οἱ εὐαγγελισταὶ, καὶ οὐχ ἅπαντα συνεγράψαντο, καθὰ καὶ
ἀλλαχοῦ ἐπεσημηνάμεθα τοῦτο αὐτό. ἐκεῖνοι μὲν οὖν τοιαῦτα ὑβρίζουσιν, αὐτὸς δ᾽ ἀνε-
ξικάκως τὰς εἰς αὐτὸν ὕβρεις δέχεται. ὅτε μὲν γὰρ ἑαυτοὺς υἱοὺς θεοῦ ἔλεγον, σφοδρῶς
αὐτοὺς ἐλέγχει, τὴν ἀλήθειαν ἐκδικῶν, ὅτε δὲ αὐτὸν ὑβρίζουσιν, οὐκ ἀμύνεται, διδά-
σκων καὶ ἡμᾶς τὰ μὲν εἰς θεὸν ἐκδικεῖν, τὰ δὲ εἰς ἡμᾶς αὐτοὺς πρᾴως φέρειν. ὥσπερ
οὖν καὶ αὐτὸς ἡμέρως ἐγώ φησι, δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου. πῶς
δὲ ἐτίμα τὸν πατέρα; ἐκδικῶν αὐτὸν, καὶ οὐκ ἀνεχόμενος αὐτοὺς τοὺς μιαιφόνους καὶ
ψεύστας τοῦ σωτῆρος καὶ ἀληθοῦς υἱοὺς ὀνομάζεσθαι. ὑμεῖς οὖν φησι, διότι τὸν πα-
τέρα μου τιμῶ ὑβριζόμενον παρ᾽ ὑμῶν, συκοφαντούντων αὐτὸν πατέρα ὑμέτερον
εἶναι, διὰ τοῦτό με ἀτιμάζετε. ἀλλ᾽ εἰ κἀγὼ ἐμαυτὸν οὐκ ἐκδικῶ, ἀνέχομαι δὲ ὑβριζό-
μενος, μὴ νομίζητε ἀνεκδίκητον ἐασθήσεσθαι τὴν ὕβριν ταύτην. ἔστι γὰρ ὁ πατὴρ, ὃς ἐ-
μὲ ἐκδικήσει τὸν διὰ τοῦτο ὑβριζόμενον, ὅτι αὐτὸν ἐκδικῶ, καὶ οὐκ ἀνέχομαι ὑμῶν ποι-
ούντων ἑαυτοὺς υἱοὺς ἐκείνου. ἔστιν οὖν ὁ ζητῶν τὴν ἐμὴν δόξαν, καὶ μὴ μόνον ζητῶν, ἀλ-
λὰ καὶ δυνάμενος κρίναι, καὶ καταδικάσαι τοὺς ἀλόγως ὑβρίζοντάς με, πολλάκις
γάρ τις ζητεῖ μὲν ἐκδικηθῆναι τὴν ὕβριν, οὐ δύναται δὲ αὐτὸς κρίναι. ὁ γοῦν πα-
τὴρ, καὶ ζητεῖ τὴν τοῦ υἱοῦ δόξαν, καὶ δύναται κρίναι, διὰ τοῦτο οὖν εἶπεν, ἔστιν ὁ ζη-
τῶν καὶ κρίνων.

» Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ
» εἰς τὸν αἰῶνα. εἶπον οὖν αὐτῷ οἱ ἰουδαῖοι, νῦν ἐγνώκαμεν, ὅτι δαιμόνιον ἔχεις, Ἀβραὰμ
» ἀπέθανε, καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύση
» ται θανάτου εἰς τὸν αἰῶνα· Ὢ τῆς φιλανθρωπίας, ἐκεῖνοι μὲν ὑβρίζουσιν, αὐτὸς
δὲ τὴν περὶ τῆς δόξης αὐτοῦ ζήτησιν καὶ ἐκδίκησιν τῷ πατρὶ ἀνατιθεὶς, εἰς παραί
νεσιν καὶ διδασκαλίαν τρέπεται, εὐεργετῶν τοὺς ὑβρίζοντας, οὕτω δεῖ καὶ ἡμᾶς ἀ-
μύνεσθαι τοὺς ἐχθρούς. τί οὖν αὐτοῖς εἶπεν; ἐάν τις τὸν λόγον μου τηρήσῃ, τουτέστιν ἐὰν
μετὰ τοῦ πιστεῦσαι, καὶ βίον ἔχῃ καθαρόν. τότε γὰρ τηρεῖ τίς ἀληθῶς τὴν τοῦ κυρίου δι
δασκαλίαν, ὅτε καὶ καθαρὸν ἔχει βίον. ὁ τοιοῦτος οὖν οὐκ ὄψεται θάνατον, οὗ οἱ ἁμαρ-
τωλοὶ θνήσκουσιν, εἰς τὸν αἰῶνα τὸν μέλλοντα ἀθανάτῳ κολάσει παραδιδόμενοι, καὶ
τῆς ὄντως ζωῆς ἀποπίπτοντες. ἅμα δὲ καὶ αἰνίττεται αὐτοῖς. ὅτι ἐὰν ὁ τὸν λόγον μου
τηρῶν οὐκ ἀποθνήσκῃ, πολλοῦ γε δὴ ἐγώ. τί οὖν φονᾶτε κατ' ἐμοῦ τοῦ τοσοῦτον μὴ δυ-
ναμένου κρατηθῆναι θανάτῳ, ὥστε καὶ ἄλλοις μᾶλλον χαρίζεσθαι τὴν ὄντως ζωήν; οἱ
γὰρ πιστεύοντες, κἂν ἀποθάνωσι φυσικῶς, ὅμως ἐν θεῷ ζῶσιν. ἀλλ' οἱ ἰουδαῖοι τί πρὸς
ταῦτά φασι; δαιμονᾶν αὐτὸν οἴονται ὡς ἀλλόκοτά τινα ἐκ φρενοβλαβείας λέγοντα.
οἱ γὰρ τοῖς λόγοις τοῦ θεοῦ ἐνωτιζόμενοι ἀπέθανον, ἀβραὰμ καὶ οἱ προφῆται, καὶ οἱ
τοῖς σοῖς ἐνωτιζόμενοι, οὐ θανοῦνται; ὄντως νῦν φασιν, ἐγνώκαμεν πεπληροφορημένως
καὶ βεβαίως, ὅτι δαιμονᾷς τοιαῦτα λέγων.

» Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραὰμ, ὅστις ἀπέθανε, καὶ οἱ προφῆται ἀπέ
» θανον; τίνα σεαυτὸν ποιεῖς; ἀπεκρίθη ὁ Ἰησοῦς, ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, ἡ δόξα μου
» οὐδέν ἐστιν. ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε, ὅτι θεὸς ὑμῶν ἐστι, καὶ οὐκ
» ἐγνώκατε αὐτὸν, ἐγὼ δὲ οἶδα αὐτὸν, καὶ ἐὰν εἴπω, ὅτι οὐκ οἶδα αὐτὸν, ἔσομαι ὅμοιος
» ὑμῖν ψεύστης. ἀλλ' οἶδα αὐτὸν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ· Μὴ συνιέντες οἱ ἀσύνετοι
ποῖον θάνατον ὁ κύριος ἔλεγε μὴ ἅπτεσθαι τῶν εἰς αὐτὸν πιστευόντων, φθέγγονται
πρὸς αὐτὸν ἀλόγιστά τινα καὶ ἀνόητα. ὅρα γὰρ πῶς ἀποκρίνονται, μὴ σὺ μείζων εἶ
τοῦ πατρὸς ἡμῶν Ἀβραάμ; καὶ μὴν οὕτως ἔδει αὐτοὺς εἰπεῖν, μὴ σὺ μείζων εἶ τοῦ θεοῦ;
οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούσαντες ἀπέθανον, καὶ οἱ τὸν σὸν ἀκούοντες οὐκ ἀποθανοῦ-
νται; ἀλλ' οὐχ οὕτως, ἀλλὰ τί φασι; βουλόμενοι δεῖξαι αὐτὸν καὶ τοῦ Ἀβραὰμ ἐλάτ
τονα, μὴ σὺ μείζων εἶ λέγουσι τοῦ πατρὸς ἡμῶν Ἀβραάμ; αὐτὸς δὲ ὁ κύριος περὶ μὲν
ποίου θανάτου εἴρηκεν, οὐκ ἀποκαλύπτει αὐτοῖς. ὅτι δὲ τοῦ Ἀβραὰμ κρείττων ἐστί, πεί-
θει αὐτοὺς μικρὸν ὑποκατιών· τὸ δὲ τίνα σὺ σεαυτὸν ποιεῖς; ὑβριστικῶς λέγουσι· σὺ ὁ
μηδενὸς ἄξιος λόγου, ὁ τοῦ τέκτονος υἱὸς, ὁ ἐκ γαλιλαίας, τίνα σεαυτὸν ποιεῖς; οὐ τὰ
ἔργα, οὐδὲ ἡ ἀλήθεια, οὐδὲ αἱ γραφαὶ, ἀλλὰ σὺ τίνα ποιεῖς σεαυτόν; ἁρπάζεις γὰρ τὴν
δόξαν. ὁ δὲ κύριος, ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, ἡ δόξα μου οὐδέν ἐστιν, ὡς ὑμεῖς δοκεῖτε,
νῦν δὲ ἔστιν ἄλλος ὁ δοξάζων με, ὁ πατήρ μου· ἐδόξαζε γὰρ αὐτὸν διαπαντὸς, ποτὲ μὲν
διὰ τῶν περὶ αὐτοῦ προφητειῶν, ποτὲ δὲ καὶ διὰ τῆς ἐξ οὐρανῶν μαρτυρίας, ποτὲ
δὲ διὰ τῶν μυρίων καὶ ἀπείρων θαυμάτων. τοῦτον δὲ τὸν πατέρα ὑμεῖς φησι, λέγε- Ματ·γ·ιζ'·
τε, ὅτι θεὸς ὑμῶν ἐστιν, ἀλλ' οὔτε ὡς πατέρα ἐμὸν αὐτὸν ἐπιγινώσκετε, οὔτε ὡς θεὸν
ὑμῶν. εἰ γὰρ ὡς πατέρα αὐτὸν ἐπιγινώσκετε, ἐτιμήσατε ἂν τὸν υἱὸν αὐτοῦ, νῦν δὲ τὸν
υἱὸν μὴ τιμῶντες, εὔδηλον, ὅτι οὐ γινώσκετε αὐτὸν ὡς πατέρα ἐμόν. ἀλλ' οὐδὲ ὡς θεὸν
ἁπλῶς ἐπιγινώσκετε αὐτὸν, ἢ γὰρ ἂν ἐτρέμετε τοὺς λόγους αὐτοῦ ὡς θεοῦ. νῦν δὲ το-
σοῦτον καταφρονεῖτε αὐτοῦ, ὥστε μὴ φονεύσης, ἐκείνου νομοθετήσαντος, ὑμεῖς φονᾶ-
τε κατ' ἐμοῦ, καὶ ταῦτα, μὴ ἔχοντές με ἐλέγχειν περὶ ἁμαρτίας. ἐκ τούτων οὖν δῆλον,
ὅτι ἀγνοεῖτε αὐτὸν παντάπασιν. ἐγὼ δὲ οἶδα αὐτὸν φυσικῶς, πάντως τὴν αὐτοῦ γνῶσιν

ἔχων, οἷος γὰρ εἰμὶ ἐγὼ, τοιοῦτος καὶ ὁ πατήρ. ἐπεὶ οὖν οἶδα ἐμαυτὸν, κἀκεῖνον οἶδα. ἐὰν δὲ εἴπω, ὅτι οὐκ οἶδα αὐτὸν, ἔσομαι ὅμοιος ὑμῶν ψεύστης. ὑμεῖς μὲν γὰρ εἰδέναι αὐτὸν ἀλαζονευόμενοι ψεύδεσθε, ἐγὼ δὲ εἰδὼς αὐτὸν, εἰ εἴπω μὴ εἰδέναι, ἀρνοῦμαι τὴν ἀλήθειαν· τί οὖν τεκμήριον δίδως τοῦ εἰδέναι αὐτόν; ὅτι, φησὶ, τὸν λόγον αὐτοῦ τηρῶ, λόγον λέγων τὰς ἐντολὰς αὐτοῦ· οὔτε γὰρ ἐναντιοῦμαι ἐκείνῳ, ἢ ὡς ἀντίθεος ἀλαζονεύομαι, οὔτε τὰς ἐντολὰς αὐτοῦ παραλύω. ὑμεῖς δὲ ἐπεὶ τῶν ἐντολῶν αὐτοῦ παραβάται ἁλίσκεσθε, ἐπιθυμίαις τε πονηραῖς ἐνεχόμενοι, καὶ φόνον διψῶντες, καὶ τἄλλα ἐπιθυμητικῶς τὰ ἐν τῷ νόμῳ ἀπειρημένα τελοῦντες, φανερῶς γνωρίζεσθε ἀγνοοῦντες αὐτόν. εἰ γὰρ ἐγινώσκετε, ἐτηρεῖτε ἂν τὸν λόγον αὐτοῦ, τουτέστι, τὰς ἐντολάς. τινὲς δὲ οὕτω νοοῦσι, τὸ τηρῶ τὸν λόγον αὐτοῦ, τουτέστι, διὰ τοῦτο οἶδα αὐτὸν, ὅτι ἔχω ἐν ἐμαυτῷ ἀπαράλλακτον τὸν λόγον τῆς οὐσίας αὐτοῦ, τουτέστι, τὸν ὁρισμὸν, καὶ ὃν ἂν λόγον φύσεως ὁ πατὴρ ἔχῃ, τοιοῦτον τὸν λόγον καὶ αὐτὸς ἔχω. ἡ αὐτὴ γάρ ἐστι φύσις, καὶ ὁ αὐτὸς λόγος τῆς οὐσίας πατρί τε καὶ υἱῷ. ὥστε οἶδα τὸν πατέρα, καὶ γὰρ τὸν λόγον αὐτοῦ τῆς οὐσίας ἀποσώζω ἀπαράλλακτον. τὸ δὲ σχῆμα τοῦτο τοῦ λόγου σύνηθες παρὰ

ψαλ· νθ΄· τῇ γραφῇ, ὡς τὸ, δὸς ὑμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. ἐνταῦθα γὰρ τὸ καί ἀντὶ τοῦ γάρ κεῖται, ὥστε εἶναι τὸν λεγόμενον τοιοῦτον, δὸς ἡμῖν βοήθειαν, ματαία γὰρ σωτηρία ἀνθρώπου. οὕτω κἀνταῦθα, οἶδα αὐτὸν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ, τὸ γὰρ καί ἀντὶ τοῦ γάρ κεῖται, τὸν γὰρ λόγον αὐτοῦ φησὶ τηρῶ·

» Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε, καὶ
» ἐχάρη. εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτὸν, πεντήκοντα οὔπω ἔχεις ἔτη, καὶ Ἀβραὰμ ἑώ-
» ρακας; εἶπεν οὖν αὐτοῖς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι.
» ἦραν οὖν λίθους, ἵνα βάλλωσιν ἐπ᾽ αὐτόν. Ἰησοῦς δὲ ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ,
» διελθὼν διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτως· Ἐνταῦθα κατασκευάζει, ὅτι μεί-

ζων ἐστὶ τοῦ Ἀβραάμ. ἐπεὶ γὰρ ἐκεῖνοι προέφερον αὐτῷ, μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, φησὶν ἐνταῦθα, ὅτι καὶ μείζων εἰμί. ἐκεῖνος γάρ τοι ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, τουτέστι, περισπούδαστον καὶ εὐκταίαν εἶχε ταύτην καὶ χαρᾶς πρόξενον, δηλονότι πάντως ἐπ᾽ εὐεργεσίᾳ γενομένην, ὡς καὶ οὐ μικροῦ τινος, οὐδὲ τυχόντος οὖσαν ἡμέραν, ἀλλὰ μείζονος. ἡμέραν δὲ λέγει τὸν σταυρὸν, τοῦτον γὰρ προε-

Γεν. κβ΄. τύπου ὁ Ἀβραὰμ ἐν τῇ τοῦ Ἰσαὰκ προσαγωγῇ, καὶ τῇ τοῦ κριοῦ θυσίᾳ. ὡς γὰρ ἐκεῖνος τὰ ξύλα, οὕτως ὁ κύριος τὸν σταυρὸν ἐβάστασε, καὶ ὡς ἀφείθη μὲν Ἰσαὰκ, ἐτύθη δὲ ὁ κριός, οὕτως ὁ μὲν θεὸς ἐκτὸς πάθους, τῷ δὲ ἀνθρωπίνῳ καὶ τῇ σαρκὶ ἔπαθε. ταύτην τὴν ἡμέραν τὴν τοῦ σταυροῦ Ἀβραὰμ προϊδὼν ἐχάρη, ὡς κοσμικῆς γενησομένης σωτηρίας. ἅμα δὲ δείκνυσιν ἐνταῦθα αὐτοὺς ἀλλοτρίους τοῦ Ἀβραάμ, εἴγε ἐφ᾽ οἷς ἐκεῖνος ἔχαιρεν, οὗτοι λυποῦνται καὶ μαίνονται. δηλοῖ δὲ, ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται, εἴγε ἐπαινεῖ τὸν ἡσθέντα ἐπὶ τῷ σταυρῷ, τοῦτο γὰρ ὡς εἴρηται, σωτηρία τῆς οἰκουμένης. ἄλλοι δὲ ἡμέραν τὸν ἅπαντα καιρὸν νοοῦσι τῆς τοῦ Χριστοῦ παρουσίας, ἣν ὁ Ἀβραὰμ προειδὼς ἐχάρη, ὅτι ἐξ αὐτοῦ καὶ τοῦ σπέρματος αὐτοῦ, ἀναστήσεται ὁ σωτήρ.

ψαλ. ριζ΄. καὶ τάχα οὐ μόνος ὁ Ἀβραὰμ ἐχάρη, ἀλλὰ καὶ πάντες, ὡς Δαβὶδ λέγει, αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. αὐτὸς μὲν οὖν ταῦτα. οἱ δὲ μὴ δυνάμενοι φθάσαι εἰς τὸ ὕψος τῶν λεγομένων, οὔτε ἀνέχονται ἐρωτῆσαι καὶ μαθεῖν, τίνα φησὶν ἡμέραν, ἣν εἶδεν Ἀβραάμ, ἀλλὰ καὶ μᾶλλον διαχλευάζουσιν, ὡς μανιώδη τινὰ φθεγγόμενον. πεντήκοντα γάρ, φησιν, ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; τοῦτο δὲ εἶπον, νομίζοντες τὸν κύριον ἐγγὺς εἶναι τῶν πεντήκοντα, καίτοι περίπου τριάκοντα καὶ τρία ἔτη τότε γεγονότα. τίνος δὲ ἕνεκεν οὐκ εἶπον τεσ-

σαράκοντα ἔτη οὔπω ἔχεις, ἀλλὰ πεντήκοντα; περιττὸν μὲν τὸ τοιοῦτον ἐρώτημα,
ἁπλῶς γὰρ οὕτως ἐπῆλθον αὐτοῖς, ἐμνήσθησαν τῶν πεντήκοντα ἐτῶν. πλὴν φασί
τινες, ὅτι διὰ τὸ πεντηκοστὸν ἔτος αὐτοῖς διὰ τιμῆς ἄγεσθαι, τὸν ἰωβηλαῖον φημὶ ἐνιαυ Λευιτ. κε΄.
τὸν, καθ' οὗ καὶ δούλοις ἐλευθερίαν, καὶ κτήσεων ὠνητῶν παρεχώρουν, καὶ τ' ἄλλα κζ΄.
πάντα ἐτέλουν, ὅσα εἰς τιμὴν ἔφερεν. ὁ δὲ κύριος τί φησι; πρὶν Ἀβραὰμ γενέσθαι,
ἐγώ εἰμι, ὅρα οὐκ εἶπε πρὶν Ἀβραὰμ γενέσθαι, ἤμην, ἀλλ' εἰμὶ, αὕτη γὰρ ἡ λέξις τὸ
εἰμὶ ἐπὶ θεοῦ κυριωτέρα, ἅτε τοῦ διηνεκῶς εἶναι καὶ ἀεὶ σημαντικὴ, ὥσπερ οὖν καὶ ὁ πα
τὴρ αὐτοῦ ἐν τῇ παλαιᾷ ταύτῃ κέχρηται, ἐγώ εἰμι ὁ ὤν. ἐπὶ δὲ τοῦ Ἀβραὰμ εἶπε τὸ Ἐξό. γ΄.
γενέσθαι, εἰκότως ὡς φθαρτοῦ, τὸ γὰρ γεγονὸς καὶ φθείρεται· τὸ δὲ εἰμὶ πάσης φθο-
ρᾶς ἀμεθεξίαν καὶ ἀϊδιότητα θείαν ἐμφαίνει. διὸ καὶ αὐτοὶ βλάσφημον τὸ ῥῆμα νο
μίσαντες, θεῷ γὰρ μόνῳ ἁρμόζει, ἦραν λίθους ἐπ' αὐτὸν, αὐτὸς δὲ κρύπτεται πάλιν
συστελλόμενος, ἵνα μὴ πρὸ καιροῦ ἀποθάνῃ. πῶς δὲ ἄρα κρύπτεται; οὐκ εἰς γωνίαν τοῦ
ἱεροῦ δεδυκὼς, οὐδ' εἰς οἰκίσκον καταφυγὼν, ἢ ὀπίσω τείχου καὶ στύλου περικάμψας,
ἀλλ' ἐξουσίᾳ θεϊκῇ ἀόρατον ἑαυτὸν τοῖς ἐπιβουλεύουσι καταστήσας, καίτοι διαμέσου
αὐτῶν διιών. καὶ παρῆγεν οὕτως, τουτέστι, διήρχετο ἁπλῶς οὕτως καὶ ἀπράκτως ἐν
τῷ τέως. ὅρα δέ μοι, πῶς αὐτὸς μὲν πάντα τὰ ἑαυτοῦ πεπλήρωκεν, ἱκανῶς τε γὰρ αὐ-
τοὺς ἐδίδαξε, καὶ περὶ ἑαυτοῦ καὶ τοῦ πατρὸς, καὶ τὴν οὕτως εὐγένειαν καὶ ἐλευθε-
ρίαν τὴν ἀπὸ τῶν ἁμαρτιῶν ὑπέδειξε. καὶ ὅτι μόνη δουλία αἰσχρὰ ἡ τῆς ἁμαρτίας, καὶ
ἁπλῶς, οὐδὲν τῶν δεόντων ἐνέλειψεν, αὐτοὶ δὲ καὶ λιθοβολοῦσιν αὐτόν. διὸ καὶ ἀφίη
σιν αὐτοὺς, ὡς μηκέτι δεχομένοις διόρθωσιν. ἐπισήμηνε δὲ, ὅτι οὗτοι οἱ λιθοβολοῦντες
αὐτὸν, αὐτοὶ ἦσαν οἷς εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι ἐπίστευσαν εἰς αὐτόν. οὕτως ἄρα ἡ πί-
στις αὐτῶν οὐ πίστις ἦν, ἀλλὰ πρόσκαιρός τις καὶ ψυχρὰ συνδιάθεσις ἐπὶ τοῖς ὑπὸ
Χριστοῦ λεγομένοις·

Κεφάλαιον θ΄·

Καὶ παράγων, εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς, καὶ ἠρώτησαν αὐτὸν οἱ μαθη-
ταὶ αὐτοῦ λέγοντες, ῥαββεὶ τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;
ἀπεκρίθη ὁ Ἰησοῦς οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ·
Ἔξεισι μὲν ἐκ τοῦ ἱεροῦ ὁ κύριος, τῷ θυμῷ τῶν Ἰουδαίων παραψυχήν τινα μηχανώμε
νος, ἐπὶ θεραπείαν δὲ τοῦ τυφλοῦ τρέπεται, διὰ τοῦ σημείου τούτου τὸ σκληρὸν αὐ-
τῶν καὶ ἀπειθὲς μαλάσσων, εἰ καὶ μηδὲν ὠφελοῦντο, ἅμα δὲ δεικνὺς αὐτοῖς, ὅτι
οὐ μάτην οὐδὲ κομπάζων, εἶπε τὸ πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι. ἰδοὺ γὰρ θαῦ-
μα τελεῖ, οἷον οὐδεὶς πώποτε πρότερον. εἰ γὰρ καὶ τυφλοῦ ὀφθαλμοὺς ἀνέῳξέ τις, ἀλ
λ' οὐ γεγεννημένου τυφλοῦ, προφανὲς οὖν, ὅτι ὡς θεὸς καὶ πρὸ τοῦ Ἀβραὰμ ὢν, τελεῖ
τοῦτο τὸ μήπω ἐξ αἰῶνος τελεσθέν. ἐπίτηδες καὶ ἐπὶ τὸν τυφλὸν ἦλθεν, οὐκ ἐκεῖνος
πρὸς αὐτόν. οὕτω γοῦν καὶ οἱ μαθηταὶ ἰδόντες αὐτὸν προσεκτικῶς ἐμβλέψαντα
τῷ τυφλῷ, ἐρωτῶσι, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; φαίνε
ται μὲν οὖν ἡ ἐρώτησις ἐσφαλμένη, πῶς γὰρ ἂν ἥμαρτεν οὗτος πρὶν γεννηθῆναι; οὐ
γὰρ δήπου παρεδέξαντο οἱ ἀπόστολοι τὰς ἑλληνικὰς φλυαρίας, ὅτι ἡ ψυχὴ πρὸ τοῦ σώ
ματος ἐν ἄλλῳ κόσμῳ διάγουσα, ἁμαρτάνει, εἶθ' οὕτως κόλασίν τινα ταύτην ἀποτιν-
νύει τὴν ἐπὶ τὸ σῶμα κάθοδον. ἁλιεῖς γὰρ ὄντες, οὐδὲ ἤκουσαν ἂν τοιοῦτόν τι, ἐπεί τοι
ταῦτα τῶν φιλοσόφων τὰ δόγματα. φαίνεται τοίνυν ἀνόητος ἡ ἐρώτησις, ἀλλ' οὐ τῷ
γε προσέχοντι. μάνθανε γὰρ, οἱ ἀπόστολοι ἀκούοντες τοῦ Χριστοῦ πρὸς τὸν παράλυτον
εἰπόντος, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. ἐπεὶ τὸν Ἰωάν. ε΄.
τυφλὸν εἶδον ἀποροῦσι, καὶ ὥσπερ εἰ τοιαῦτα φασὶν, ἔσω ἐκεῖνος δι' ἁμαρτήματα πα

ρελύθη, περὶ τούτου τί ἂν εἴποις; αὐτὸς ἥμαρτεν; ἀλλ' οὐκ ἔστιν εἰπεῖν, ἐκ γενετῆς
γὰρ ἦν τυφλός. ἀλλ' οἱ γονεῖς αὐτοῦ; ἀλλ' οὐδὲ τοῦτο, παῖς γὰρ ὑπὲρ πατρὸς οὐ κολά-
ζεται. οὐ τοσοῦτον οὖν ἐρωτῶντες, ὅσον διαποροῦντες, ταῦτα λέγουσιν. ὁ τοίνυν κύριος
λύων αὐτοῖς τὴν ἀπορίαν, φησὶν, οὔτε οὗτος ἥμαρτεν, πῶς γὰρ πρὶν ἢ γεννηθῆναι; οὔ-
τε οἱ γονεῖς αὐτοῦ οὐκ ἀπαλλάττων δὲ αὐτοὺς ἁμαρτημάτων, τοῦτο φησὶν, οὐ γὰρ ἁ-
πλῶς εἶπεν, ὅτι οὐχ ἥμαρτον οἱ γονεῖς, ἀλλὰ προσέθηκεν, ἵνα τυφλὸς γεννηθῇ. ἥμαρ-
τον μὲν γὰρ οἱ γονεῖς αὐτοῦ, ἀλλ' οὐκ ἐντεῦθεν ἡ πήρωσις τούτῳ. οὐ γὰρ ἁμαρτίας πα-
τέρων δίκαιόν ἐστι παισὶ μηδὲν ἀδικοῦσιν ἐπιτίθεσθαι. καὶ τοῦτο ὁ θεὸς διδάσκει μὲν,
Ἰεζε. ιη'. διὰ Ἰεζεκιὴλ οὕτω λέγων, οὐκ ἔσται ἡ παραβολὴ αὕτη ἔτι ἡ λεγομένη, οἱ πατέρες ἔ-
Δευ. κδ'. φαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἡμωδίασαν. νομοθετεῖ δὲ καὶ διὰ Μωσέως,
Ἐξόδ. κ'. οὐκ ἀποθανεῖται πατὴρ ὑπὲρ τέκνου. ἀλλὰ καὶ πῶς, φησι, γέγραπται, ἀποδιδοὺς ἁ-
μαρτίας γονέων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεάν; ἔστιν οὖν εἰπεῖν, ὅτι πρῶ-
τον μὲν, οὐδὲ καθολική ἐστιν αὕτη ἡ ἀπόφασις, οὐδὲ κατὰ πάντων ῥηθεῖσα, ἀλλὰ μό-
νων τῶν ἐξ Αἰγύπτου ἐξελθόντων. ἔπειτα σκόπει μοι καὶ τὸν νοῦν τῆς ἀποφάσεως,
οὐ γὰρ τοῦτο φησὶν, ὅτι ὑπὲρ ὧν ἥμαρτον οἱ πατέρες, κολάζονται οἱ παῖδες, ἀλλ' ὅτι
αἱ ἁμαρτίαι τῶν πατέρων, τουτέστιν αἱ ὑπὲρ τῶν ἁμαρτημάτων κολάσεις ἀποδοθή-
σονται καὶ τοῖς παισὶν αὐτῶν, ὡς τὰ ὅμοια πεπλημμεληκόσιν. ἵνα γὰρ μὴ νομίζωσιν
οἱ ἐξ Αἰγύπτου ἐξελθόντες, ὅτι εἰ καὶ χείρω τῶν πατέρων ἁμαρτήσουσιν, οὐ τοῖς αὐ-
τοῖς τιμωρηθήσονται, φησὶν, ὅτι οὐχ οὕτως ἔσται, ἀλλ' αἱ ἁμαρτίαι τῶν πατέρων, ἤ-
τοι αἱ ποιναὶ καὶ ἐφ' ὑμᾶς ἐλεύσονται, ὅτι μὴ βελτίους ἐγένεσθε, ἀλλὰ τὰ αὐτὰ,
ἢ καὶ χείρω πεπλημμελήκατε. εἰ δὲ βλέπεις πολλάκις καὶ νήπια ἁρπαζόμενα, διὰ
τιμωρίαν δῆθεν γονέων, ἀλλ' σὺ ἴσθι, ὅτι διὰ φιλανθρωπίαν ὁ θεὸς προαρπάζει ταῦ-
τα τοῦ βίου, ἵνα μὴ ζήσαντα, χείρω τῶν γονέων γένωνται, καὶ ἐπὶ κακῷ τῆς ἑαυτῶν
ψυχῆς ἢ καὶ ἄλλων πολλῶν βιώσωσιν. ἀλλὰ ταῦτα μὲν ἡ τῶν θείων κριμάτων ἄ-
βυσσος παρ' ἑαυτῇ ἔχει καλύψασα, ἡμεῖς δὲ ἐπὶ τὰ ἑξῆς ἴωμεν.

» Ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ. ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ
» πέμψαντός με, ἕως ἡμέρα ἐστίν. ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάσασθαι. ὅταν
» ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου. Ἰδοὺ πάλιν ἄπορον ἄλλο, ζητήσειε γὰρ
ἄν τις, πῶς τοῦτο εἴρηκεν, ἠδικήθη γὰρ ὁ ἄνθρωπος στερηθεὶς τοῦ φωτὸς, ἵνα φανερωθῇ τὰ
ἔργα τοῦ θεοῦ; ἄλλως δὲ, οὐκ ἐνῆν φανερωθῆναι ταῦτα; ποίαν ἀδικίαν ἠδικήθης ἄν-
θρωπε; τοῦ φωτός, φησι, στερούμενος. καὶ ποία βλάβη ἐκ τοῦ στερεῖσθαι τοῦ αἰσθητοῦ
φωτὸς; τοὐναντίον οὖν μᾶλλον εὐηργέτηται. ἅμα γὰρ τῇ σωματικῇ ὁράσει καὶ τοὺς
τῆς ψυχῆς ὀφθαλμοὺς ἐφωτίσθη. ὥστε πρὸς καλοῦ αὐτῷ ἡ πήρωσις ἀπέβη, διὰ τῆς
ἰάσεως ἐπιγνόντι τὸν ἀληθῆ τῆς δικαιοσύνης ἥλιον. οὐκοῦν ἠδίκηται, ἀλλ' εὐηργέτηται
ὁ τυφλός. ἔπειτα καὶ τοῦτο γίνωσκε πᾶς ὁ τῶν θείων ἐξεταστὴς, ὅτι τὸ, ἵνα καὶ τὸ ὅ-
πως παρὰ τῇ γραφῇ πολλαχοῦ οὐκ αἰτιολογικῶς, ἀλλ' ἐκβατικῶς κεῖνται; ὡς πε-
ψαλ. ν'. ρεὶ τὸ παρὰ Δαβίδ, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου. οὐ γὰρ διὰ τοῦτο ἥμαρτεν
ὁ Δαβὶδ, ἵνα δικαιωθῇ ὁ θεὸς, ἀλλ' ὡς ἐξ ἀποτελέσματος ἁμαρτόντος τοῦ Δαβὶδ,
ἐκβαίνει τὸ δικαιωθῆναι τὸν θεὸν, ὅταν γὰρ ὁ θεὸς μὲν. τοσαῦτα αὐτῷ δέδωκεν, ὅσα
οὐκ ἦν ἄξιος λαβεῖν, αὐτὸς δὲ παρέβη τὴν ἐντολὴν τοῦ θεοῦ, καὶ φόνον εἰργάσατο ἐπὶ
τῇ μοιχείᾳ, καὶ τῇ βασιλείᾳ ἀπεχρήσατο εἰς ἀθέτησιν τοῦ θεοῦ, τί ἄλλο ἐξ ἀποτελέ-
σματος συμβαίνει, ἢ πάντως τὸ, κρινόμενον τὸν θεὸν καὶ διαλεγόμενον πρὸς τὸν Δα-
βὶδ, δικαιωθῆναι, καὶ τὴν νίκην ἀπενέγκασθαι κατακρινομένου τοῦ βασιλέως; ὅτι
παρ' οὗ τὴν βασιλείαν ἔλαβε, τούτου τοὺς νόμους ἠθέτησε. δι' αὐτὸ τοῦτο, ὅτι βασιλεὺς
ἦν,

ἦν, ἰδιώτης γὰρ ὤν, οὐκ ἂν ἠδυνήθη τοιαῦτα δύο κακὰ οὕτω ῥᾳδίως κατεργάσασθαι.
ὁρᾷς, ὅτι τὸ ὅπως ἂν δικαιωθῇς οὐκ αἰτιολογικῶς κεῖται, ἀλλὰ κατὰ ἀπόβασιν; καὶ
μυρία τοιαῦτα καὶ παρὰ τῷ ἀποστόλῳ εὑρήσεις, οἷον καὶ τὸ ἐν τῇ πρὸς Ῥωμαίους, τὸ α΄·
γὰρ γνωστὸν τοῦ θεοῦ, φανερόν ἐστιν ἐν τοῖς Ἕλλησιν εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους καί
τοι, οὐ διὰ τοῦτο ὁ θεὸς ἔδωκε τοῖς Ἕλλησι τὴν γνῶσιν, ἵνα ὦσιν ἀναπολόγητοι πταίον-
τες, αὐτὸς μὲν γὰρ ἔδωκεν, ἵνα μὴ πταίωσιν, εἶτα ἐπειδὴ ἔπταισαν, ἐξ ἀποτελέσμα-
τος ἡ γνῶσις αὐτοῖς ἀπέβη εἰς τὸ εἶναι ἀναπολογήτοις. καὶ πάλιν, νόμος δὲ παρεισῆλ πρὸς ῥω· ε΄·
θεν, ἵνα πλεονάσῃ τὸ κατάκριμα, καίτοι οὐ διὰ τοῦτο ἐδόθη, ἀλλ᾽ ἵνα μᾶλλον ἀνασταλῇ
λῇ ἡ ἁμαρτία. ἐπεὶ δὲ οὐκ ἠθέλησαν ἀναστεῖλαι ταύτην οἱ τὸν νόμον δεξάμενοι, ἐγένε
το αὐτοῖς ὁ νόμος εἰς πλεονασμὸν ἁμαρτίας, πλείων γὰρ ἐλογίσθη αὐτοῖς καὶ μεί-
ζων ἡ ἁμαρτία, ὅτι καὶ νόμον ἔχοντες ἡμάρτανον. οὕτως οὖν κἀνταῦθα τὸ, ἵνα φα-
νερωθῇ τὰ ἔργα τοῦ θεοῦ, οὐκ αἰτιολογικῶς κεῖται, ἀλλ᾽ ἀποβατικῶς· ἀπέβη γὰρ
ἐκ τοῦ τὸν τυφλὸν θεραπευθῆναι, τὸ δοξασθῆναι τὸν θεόν. ὥσπερ γὰρ πολλά-
κις οἰκοδόμος τις οἰκίας, τὸ μὲν εἰργάσατο, τὸ δὲ ἀφῆκεν ἀτέλεστον, ἵνα εἴποτε
ἀπιστοίη τις αὐτῷ, ὅτι οὐκ ἔστιν αὐτὸς ὁ τὸ μέρος οἰκοδομήσας, ἔχῃ διὰ τοῦ δημιουρ-
γῆσαι καὶ τὸ ἀτελὲς ἐκεῖνο, δεικνύειν, ὅτι καὶ τοῦ ᾠκοδομημένου αὐτὸς τεχνίτης
ἐστίν. οὕτω καὶ ὁ θεὸς ἡμῶν Ἰησοῦς τὰ πεπηρωμένα μέλη ἰώμενος, καὶ ἀποκαθιστῶν εἰς
τὸ κατὰ φύσιν, δείκνυσιν, ὡς ἄρα αὐτός ἐστιν ὁ καὶ τῶν ἄλλων μελῶν δημιουργός.
εἰπὼν δὲ, ἵνα φανερωθῇ ἡ δόξα τοῦ θεοῦ, περὶ ἑαυτοῦ φησιν, οὐ περὶ τοῦ πατρός. ἐκεί-
νου γὰρ ἡ δόξα φανερὰ ἦν, τὴν δὲ αὐτοῦ ἔδει φανερωθῆναι, καὶ ὅτι αὐτός ἐστιν ὁ ἐξ ἀρ-
χῆς πλάσας τὸν ἄνθρωπον. οὐ μικρὰ δὲ πάντως δόξα τὸ, φανερωθῆναι, ὅτι αὐτὸς ὁ
νῦν φανεὶς ἄνθρωπος, ἐδημιούργησεν ἐν ἀρχῇ ὡς θεὸς τὸν ἄνθρωπον. ὅτι δὲ περὶ
ἑαυτοῦ τοῦτο λέγει, ἄκουε τῶν ἑξῆς. ἐπιφέρει γὰρ, ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ
πέμψαντός με. ἐμέ, φησι, δεῖ φανερῶσαι ἐμαυτὸν, καὶ ποιῆσαι ἔργα τὰ δυνάμε-
νά με ἀποδεῖξαι ταυτὰ τῷ πατρὶ ποιοῦντα. ὅρα πῶς οὐκ εἶπεν, ὅτι τοιαῦτα ἔργα
οἷα ποιεῖ ὁ πατὴρ δεῖ κἀμὲ ἐργάζεσθαι, ἀλλ᾽ αὐτὰ ἐκεῖνα ἃ ποιεῖ ὁ πατήρ. δεῖ γάρ
με, φησὶν, ἐργάζεσθαι τὰ ἔργα ἐκεῖνα αὐτὰ, ἃ ὁ πέμψας με ποιεῖ. ταῦτα δὲ δεῖ με
ἐργάζεσθαι ἕως ἡμέρα ἐστὶ, τουτέστιν, ἕως ὁ παρὼν βίος ἐνέστηκεν, καὶ δύνανται πιστεύειν
εἰς ἐμὲ οἱ ἄνθρωποι. ἐπείτοιγε ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάσασθαι, τουτέστι
πιστεῦσαι, ἔργον γὰρ τὴν πίστιν ὀνομάζει. ἐν τῷ μέλλοντι οὖν αἰῶνι οὐδεὶς δύναται πι
στεῦσαι. ἡμέρα μὲν γὰρ ὁ παρὼν βίος, διότι δυνάμεθα ὡς ἐν ἡμέρᾳ ἐργάσασθαι. εἰ
καὶ ὁ Παῦλος νύκτα τοῦτον ὀνομάζει, διά τε τὸ ἀγνοεῖσθαι ἐνταῦθα τοὺς ἢ ἀρετὴν ἢ πρὸς ῥω. ιγ΄
κακίαν μετιόντας, καὶ ὡς πρὸς σύγκρισιν τοῦ μέλλοντος φωτὸς περιλάμψαι τοὺς δι-
καίοις. νὺξ δὲ ὁ μέλλων, διότι ἐκεῖ οὐδεὶς δύναται ἐργάσασθαι, εἰ καὶ ὁ Παῦλος ἡμέ
ραν τοῦτον καλεῖ, διὰ τὴν φωτοφάνειαν τῶν δικαίων καὶ φανέρωσιν τῶν ἑκάστῳ βεβιω
μένων. ἐν τῷ μέλλοντι οὖν αἰῶνι πίστις οὐκ ἔστιν, ἀλλὰ καὶ ἑκόντες καὶ ἄκοντες ὑπα-
κούσονται. ὅταν οὖν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου, διὰ γὰρ τῆς διδασκαλίας
καὶ τῆς ἐπιδείξεως τῶν θαυμάτων φωτίζω τὰς ψυχάς. ὥστε δεῖ με καὶ νῦν φωτί
σαι πολλῶν ψυχὰς, διὰ τοῦ θεραπεῦσαι τὸν τυφλὸν, καὶ φωτίσαι αὐτοῦ τὰς κόρας
τῶν ὀμμάτων, ἐπεὶ γὰρ φῶς εἰμι, δεῖ με καὶ αἰσθητῶς καὶ πνευματικῶς φωτίζειν·
» Ταῦτα εἰπὼν, ἔπτυσε χαμαὶ, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε
» τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, καὶ εἶπεν αὐτῷ, ὕπαγε νίψαι εἰς τὴν κο-
» λυμβήθραν τοῦ σιλωὰμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο καὶ
» ἦλθε βλέπων· Εἰπών, φησι, ταῦτα ὁ Ἰησοῦς, οὐκ ἄχρι τῶν ῥημάτων ἔστη, ἀλλὰ

καὶ τὸ ἔργον ἐπέθηκεν. ἔπτυσε γὰρ χαμαὶ, καὶ πηλὸν ποιήσας ἐπέχρισε τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, δεικνύων διὰ τοῦ πηλοῦ, ὅτι αὐτός ἐστιν ὁ καὶ τὸν Ἀδὰμ ἀπὸ πηλοῦ πλάσας. τὸ μὲν γὰρ εἰπεῖν, ὅτι ἐγώ εἰμι ὁ τὸν Ἀδὰμ πλάσας, προσκόπτειν ἐδόκει τοῖς ἀκούουσι, διὰ δὲ τοῦ ἔργου δεικνύμενον, οὐκ ἔτι λοιπὸν προσίστατο. διὰ τοῦτο καὶ ἀπὸ πηλοῦ τὰ ὄμματα δημιουργεῖ, ἐκείνῳ τῷ τρόπῳ τῆς δημιουργίας, ᾧ καὶ τὸν Ἀδὰμ ἐδημιούργησεν. οὐκ ἔπλασε δὲ μόνον τοὺς ὀφθαλμοὺς, οὐδὲ ἀνέῳξε μόνον, ἀλλὰ καὶ τὸ ὁρᾷν ἐχαρίσατο, ὅπερ τεκμήριόν ἐστι τοῦ καὶ τὴν ψυχὴν αὐτὸν ἐμφυσῆσαι τῷ Ἀδάμ. ἐκείνης γὰρ μὴ συνεργούσης, ὀφθαλμὸς κἂν ἀπηρτισμένος ᾖ, οὐκ ἂν ἴδοι ποτέ. πτύσματι δὲ κέχρηται εἰς τὴν ἀνάβλεψιν. ἐπεὶ γὰρ αὐτὸν ἔμελλε πέμπειν ἐπὶ τὸν σιλωάμ, ἵνα μὴ τῷ ὕδατι τῆς πηγῆς ἐπιγραφῇ τὸ θαῦμα, ἀλλὰ μάθωμεν, ὅτι ἡ ἐκ τοῦ στόματος αὐτοῦ ἐξελθοῦσα. δύναμις, αὐτὴ καὶ διέπλασε καὶ ἀνέῳξε τοὺς ὀφθαλμοὺς αὐτοῦ, διὰ τοῦτο ἔπτυσε χαμαὶ, καὶ ἐκ τοῦ στόματος ἐποίησε πηλόν· εἶτα ἵνα μὴ νομίσῃς, ὅτι τῆς γῆς ἦν τὸ θαῦμα, κελεύει νίψασθαι, ἵνα πάντως ἀποθῆται τὸν πηλόν. τινὲς δέ φασιν, ὅτι ὁ πηλὸς οὐκ ἀπετέθη, ἀλλ᾽ εἰς ὀφθαλμοὺς ἐδημιουργήθη. κελεύει δὲ αὐτὸν ἐπὶ τὸν σιλωὰμ ἀπελθεῖν, ἅμα μὲν ἵνα μάθωμεν τοῦ τυφλοῦ τὴν πίστιν, καὶ πῶς ὑπήκοος ἦν, οὐ γὰρ διελογίσατο, εἰ ὅλως ὁ πηλός ἐστι, καὶ τὸ πτύσμα τὸ παρέχον μοι τοὺς ὀφθαλμοὺς, τίς μοι χρεία τοῦ σιλωὰμ, ἢ τοῦ νίψασθαι; ἀλλ᾽ ἐπείσθη τῷ κελεύοντι. ἅμα δὲ καὶ ἵνα ἐπιστομίσῃ τῶν ἰουδαίων τὴν ἀγνωμοσύνην. εἰκὸς γὰρ ἦν πολλοὺς θεάσασθαι αὐτὸν τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς κεχρισμένον, καὶ προσέχειν ἂν αὐτῷ μετὰ ἀκριβείας, ὥστε μὴ ἔχειν λέγειν ὕστερον, οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος, καὶ τρίτον δεικνύων ἑαυτὸν, ὅτι οὐκ ἀλλότριός ἐστι τοῦ νόμου καὶ τῆς παλαιᾶς, πέμπων εἰς τὸν σιλωάμ. διατί δὲ ὁ εὐαγγελιστὴς καὶ τὴν ἑρμηνείαν τοῦ σιλωὰμ προσέθηκεν; ἵνα μάθῃς, ὅτι

α. πρὸς κο. ι. κἀκεῖ αὐτὸν ὁ χριστὸς ἐθεράπευσε, καὶ ὅτι ὁ σιλωὰμ τύπος τοῦ χριστοῦ. ὥσπερ γὰρ πνευματικὴ πέτρα ὁ χριστὸς, οὕτω καὶ σιλωὰμ πνευματικός ἐστι, καὶ ὥσπερ ὁ χείμαῤῥος

Ἡσα. η. οὗτος τοῦ σιλωὰμ ἀθρόον καὶ ἐκπληκτικώτερον ἐφαίνετο φοβερῷ τινὶ ῥεύματι, οὕτω καὶ ἡ τοῦ κυρίου παρουσία κρυφία καὶ ἀγγέλοις ἄγνωστος, πᾶσαν τὴν ἁμαρτίαν τῇ δυνάμει κατακλύζουσα.

» Οἱ οὖν γείτονες οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον, ὅτι τυφλὸς ἦν, ἔλεγον. οὐχ οὗτός
» ἐστιν ὁ καθήμενος, καὶ προσαιτῶν; ἄλλοι ἔλεγον, ὅτι οὗτός ἐστιν. ἄλλοι δὲ, ὅτι ὅμοιος αὐ-
» τῷ ἐστιν. ἐκεῖνος δὲ ἔλεγεν, ὅτι ἐγώ εἰμι. ἔλεγον οὖν αὐτῷ, πῶς ἀνεῴχθησάν σου οἱ ὀ-
» φθαλμοί; ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν, ἄνθρωπος λεγόμενος Ἰησοῦς, πηλὸν ἐποίησε,
» καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ εἶπέ μοι. ὕπαγε εἰς τὴν κολυμβήθραν τοῦ σι-
» λωὰμ, καὶ νίψαι. ἀπελθὼν δὲ καὶ νιψάμενος, ἀνέβλεψα.

Ἐπὶ τῷ παραδόξῳ τοῦ θαύματος ἐκπληττόμενοι οἱ γείτονες, διαπιστοῦντες ἦσαν. καίτοι ἡ ἐπὶ τὸν σιλωὰμ ἄφιξις αὐτοῦ κεχρισμένους τοὺς ὀφθαλμοὺς πηλῷ, ἐπὶ τούτῳ ἐγένετο, ἵνα πολλοὶ αὐτὸν ἴδωσι, καὶ μὴ ὕστερον ἀρνῶνται, ὡς ἀγνοοῦντες δῆθεν. ἀλλ᾽ ὅμως καὶ ἔτι ἀπιστοῦσιν. οὐχ ἁπλῶς δὲ ἐπισημαίνεται ὁ εὐαγγελιστὴς, ὅτι προσαίτης ἦν, ἀλλ᾽ ἵνα δείξῃ τὸ ἄφατον τῆς φιλανθρωπίας τοῦ κυρίου, ὅπως καὶ ἄχρι τῶν εὐτελῶν συγκατέβαινεν, ὡς καὶ προσαίτας θεραπεύειν μετὰ πολλῆς τῆς κηδεμονίας, καὶ ἵνα ἐκ τούτου καὶ αὐτοὶ μαθόντες, μὴ καταφρονῶμεν τῶν ἐλαχίστων. ὁ δὲ τυφλὸς μήτε τὴν προτέραν αἰσχυνόμενος πήρωσιν, μήτε τὸν δῆμον φοβούμενος, ὁμολογεῖ, ὅτι ἐγώ εἰμι, ἀνακηρύττων τὸν εὐεργέτην, καὶ φησὶν, ἄνθρωπός τις Ἰησοῦς λεγόμενος. ἄνθρωπον τὸν κύριον καλεῖ, ἐπειδὴ οὐδὲν οὐδέπω περὶ αὐτοῦ ἐγίνωσκεν, ὃ δὲ τέως ἐγίνωσκε, τοῦτο ὁμολογεῖ. πόθεν δὲ ἐπεγίνωσκεν αὐτὸν, ὅτι Ἰησοῦς ἐστιν; ἀπὸ τῆς πρὸς τοὺς μαθητὰς διαλέξεως.

ἐπεὶ

ἐπεὶ γὰρ ἠρώτησαν μὲν οἱ μαθηταὶ περὶ αὐτοῦ τὸν κύριον, ὁ δὲ πλείω διελέχθη αὐτοῖς, ὅτι τε δεῖ με ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με, καὶ ὅτι φῶς εἰμὶ τοῦ κόσμου, τοιαῦτα δὲ οὐδεὶς ἄλλος ἐδίδασκεν, εἰ μὴ μόνος ὁ Ἰησοῦς, καὶ τούτοις τοῖς ῥήμασι συχνάκις ἐκέχρητο, ἐκ τούτων ἐπέγνω ὁ τυφλὸς, ὅτι Ἰησοῦς ἐστι. τὸ μὲν οὖν ποιῆσαι πηλὸν, καὶ ἐπιχρίσαι τοὺς ὀφθαλμοὺς, ἐκ τῆς ἁφῆς ἐπιγνοὺς εἶπε. τὸ δὲ πτύσαι οὐκέτι, οὐ γὰρ οἶδε. διόπερ οὐκ ἐπέγνω, οὐδὲ προστίθησιν, οὕτως ἦν ἀληθὴς ὁ ἄνθρωπος.

» Εἶπον οὖν αὐτῷ, ποῦ ἐστιν ἐκεῖνος; λέγει, οὐκ οἶδα. ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους
» τόν ποτε τυφλόν. ἦν δὲ σάββατον ὅτε τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς, καὶ ἀνέωξεν αὐτοῦ
» τοὺς ὀφθαλμούς. πάλιν οὖν ἠρώτων αὐτὸν οἱ Φαρισαῖοι πῶς ἀνέβλεψεν. ὁ δὲ εἶπεν αὐ-
» τοῖς, πηλὸν ἐπέθηκεν ἐπὶ τοὺς ὀφθαλμούς μου, καὶ ἐνιψάμην, καὶ βλέπω. ἔλεγον οὖν
» ἐκ τῶν Φαρισαίων τινές. οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ θεοῦ, ὅτι τὸ σάββατον οὐ
» τηρεῖ. ἄλλοι ἔλεγον, πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν;
» καὶ σχίσμα ἦν ἐν αὐτοῖς.

Ἐπειδὴ ὁ κύριος θεραπεύων, καὶ θαῦμα ποιῶν εἴωθεν ἐκνεύειν διὰ τὸ ἀκόμπαστον, ἐρωτηθεὶς ὁ τυφλὸς ποῦ ἐστιν ἐκεῖνος, λέγει οὐκ οἶδα, ἀληθεύων πάντως καὶ τούτῳ. ἄγουσι δὲ αὐτὸν πρὸς τοὺς Φαρισαίους, διὰ τὸ σφοδροτέρας ἐρωτήσεως καὶ δριμυτέρας ἀξιωθῆναι. ἐπισημαίνεται δὲ ὁ εὐαγγελιστὴς, ὅτι σάββατον ἦν, ἵνα ἐνδείξηται τὴν πονηρίαν αὐτῶν, ὡς δρασσομένων προφάσεις κατὰ Χριστοῦ, καὶ ἐγκαλούντων αὐτῷ τὴν τοῦ σαββάτου παράβασιν, καὶ διὰ ταύτην συσκιάζειν πειρωμένων τὸ θαῦμα. διὸ οὐδὲ ἐρωτῶσιν αὐτὸν πῶς ἀνέβλεψας; ἀλλὰ πῶς ἀνέωξέ σου τοὺς ὀφθαλμούς; τὸ ὅλον διαβάλλοντες τὸν κύριον, ὡς ἐν τῷ σαββάτῳ εἰργασμένον, ἀναγκάζοντες αὐτὸν τὸν τυφλὸν ἐπιμνησθῆναι, ὅτι πηλὸν ἐποίησεν ἐν τῷ σαββάτῳ δηλαδή. αὐτὸς δὲ ὡς πρὸς ἀκηκοότας ἤδη διαλεγόμενος, οὔτε τοῦ ὀνόματος τοῦ Ἰησοῦ μνημονεύει, οὔτε τι πρὸς αὐτὸν ὁ κύριος ἐλάλησεν, ἀλλ᾽ ἢ μόνον ὅτι πηλὸν ἐπέθηκεν ἐπὶ τοὺς ὀφθαλμούς μου, καὶ ἐνιψάμην, καὶ βλέπω. εἰκὸς γὰρ ἦν προακηκοέναι τοὺς Φαρισαίους παρὰ τῶν καὶ τὸν τυφλὸν ἀγαγόντων πρὸς αὐτοὺς, διαβαλλόντων ἴσως τὸν κύριον καὶ εἰπόντων αὐ᾽, ἴδε οἷα ποιεῖ ἐν σαββάτῳ ὁ Ἰησοῦς. ἄξιον δὲ ἰδεῖν τὴν παῤῥησίαν τοῦ τυφλοῦ, ὅπως καὶ τοῖς Φαρισαίοις ἀνεκπλήκτως διαλέγεται. αὐτοὶ μὲν ἤνεγκαν αὐτὸν, ἵνα τῷ φόβῳ καταπλαγεὶς, ἀρνήσηται τὴν θεραπείαν, ὁ δὲ τρανώτερον ἐκβοᾷ, ὅτι βλέπω. ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων τινὲς, ἀλλ᾽ οὐχὶ πάντες, ἀλλὰ οἱ ἰταμώτεροι, οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἐκ τοῦ θεοῦ. ἄλλοι δὲ ἔλεγον, ὅτι πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα ποιεῖν; ὁρᾷς τοὺς πολλοὺς ἀπὸ τῶν σημείων μαλαττομένους; ἰδοὺ οὗτοι Φαρισαῖοι καὶ ἄρχοντες, ὅμως ἀπὸ τοῦ σημείου καταδυσωποῦνται, καὶ ὑπεραπολογοῦνται, καὶ σχίσμα ἦν ἐν αὐτοῖς. τοῦτο τὸ σχίσμα πρότερον μὲν ἐν τῷ ὄχλῳ ἐφύει, οἱ μὲν γὰρ ἔλεγον, ὅτι πλανᾷ τὸν ὄχλον, οἱ δὲ ὅτι οὔ. νῦν δὲ καὶ ἄρχουσι φύεται, καὶ ἰδοὺ πολλοὶ τῶν Φαρισαίων ἀποσχισθέντες τῶν ἄλλων, συνηγοροῦσι τῷ θαύματι. πλὴν εἰ καὶ ἀπεσχίσθησαν, ἀλλὰ μαλακώτερον ἐνίσταντο ὑπὲρ τοῦ Χριστοῦ, καὶ ἀμφιβόλως μᾶλλον καὶ διψύχως, ἢ βεβαίως. ἄκουε γὰρ τί φασι, πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα ποιεῖν; ὁρᾷς τὸ μαλακὸν τῆς ἐνστάσεως; ὅρα καὶ τὴν κακουργίαν τῶν διαβαλλόντων. οὐ γὰρ λέγουσιν ὅτι οὗτος οὐκ ἔστιν ἐκ θεοῦ, ὅτι ἐν σαββάτῳ θεραπεύει, ἀλλ᾽ ὅτι τὸ σάββατον οὐ τηρεῖ, ἄνω καὶ κάτω οὐ τὴν εὐεργεσίαν, ἀλλὰ τὴν παράλυσιν τῆς ἡμέρας προφέροντες. σημείωσαι δὲ καὶ τοῦτο, ὅπως οἱ ἄρχοντες νωθρότεροι τοῦ ὄχλου εἰσὶ περὶ τὸ καλόν. ἰδοὺ γὰρ ὁ μὲν ὄχλος πρότερον ἐσχίσθησαν ταῖς γνώμαις, καὶ οὐχὶ πάντες ὡμοφώνουν κατὰ τοῦ Χριστοῦ, οἱ δὲ ἄρχοντες ὕστερον τοῦτο τὸ ἐπαινετὸν σχίσμα πεπόνθασι. ἔστι γὰρ καὶ καλῶς

Ματθ. ι'. διαιρεθῆναι καθὰ καὶ ὁ κύριός φησι, μάχαιραν ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, τὴν ἐπὶ καλῷ πάντως καὶ εὐσεβείᾳ διχογνωμοσύνην.

» Λέγουσι τῷ τυφλῷ πάλιν, σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ὁ δὲ εἶπεν, ὅτι προφήτης ἐστίν. οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν, καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος, καὶ ἠρώτησαν αὐτοὺς λέγοντες, οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε, ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν ἄρτι βλέπει. Τίνες ἦσαν οἱ ἐρωτῶντες τὸν τυφλὸν, σὺ τί λέγεις περὶ αὐτοῦ; τῆς τῶν εὐγνωμόνων μοίρας ἦσαν· ἐπεὶ γὰρ εἶπον, ὅτι πῶς δύναται ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν, ἵνα μὴ δόξωσιν αὐτοὶ μάτην συνηγορεῖν, τὸν λαβόντα τὴν εὐεργεσίαν αὐτὸν παράγουσι μάρτυρα, ὡς αἰσθόμενον τῆς δυνάμεως, ὡς ἂν ἐπιστομίσωσι τὰς διαβολάς. ὅρα γὰρ πῶς εὐγνωμόνως ἐρωτῶσιν, οὐ γὰρ εἶπον σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι πηλὸν ἐποίησεν, ὅτι τὸ σάββατον οὐκ ἐτήρησεν; ἀλλὰ τοῦ θαύματος μνημονεύουσιν, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς. μονονουχὶ καὶ τὸν θεραπευθέντα παραθήγοντες εἰς τὸ ὑπὲρ χριστοῦ τὰ εἰκότα εἰπεῖν. ἀναμιμνήσκουσι γὰρ αὐτὸν, καὶ νύττουσιν αὐτὸν, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς· εὐηργέτησέ σε φασιν, ὥστε ὀφείλεις ἀνακηρύξαι αὐτόν. διὸ καὶ ὁ τυφλὸς ὁμολογεῖ τέως ὅπερ ἠδύνατο, ὅτι οὐκ ἔστιν ἁμαρτωλὸς, ἀλλ' ἐκ τοῦ θεοῦ, προφήτης γάρ ἐστι κἂν ἕτεροι λέγωσιν ὅτι οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, διότι τὸ σάββατον οὐ τηρεῖ. καίτοι ὁ μὲν χριστὸς ἐν δακτύλῳ τὸν πηλὸν ἐπιχρίσας, παραλύειν ἐδόκει τὸ σάββατον, αὐτοὶ δὲ ὅλῃ χειρὶ λύοντες τῷ σαββάτῳ τὰ ζῶα πρὸς τὸν ποτισμὸν, ἐδόκουν εὐσεβεῖν. Φωνοῦσιν οὖν οἱ σκληροὶ καὶ ἀπειθεῖς τοὺς γονεῖς αὐτοῦ, εἰς ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν βουλόμενοι, καὶ διὰ ταύτης εἰς ἄρνησιν τῆς πηρώσεως τοῦ παιδός. ἐπεὶ γὰρ ἐκεῖνοι οὐκ ἠδυνήθησαν τὸ εὐγνῶμον στόμα ἐμφράξαι, τοὺς γονεῖς ἐκδειδίττονται, τιτρώσκειν οὕτως τὸ θαῦμα προσδοκῶντες. ἱστῶσιν οὖν αὐτοὺς ἐν τῷ μέσῳ, καὶ μετὰ πολλοῦ θυμοῦ τὴν ἐρώτησιν ποιοῦνται, μᾶλλον δὲ μετὰ πολλῆς κακουργίας. οὐ γὰρ εἶπον, οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν ὁ ποτὲ τυφλὸς, ἀλλ' ὃν ὑμεῖς λέγετε; μονονουχὶ τοῦτο λέγοντες, ὃν ὑμεῖς ἐποιήσατε τυφλὸν, καὶ πανταχοῦ διεφημίσατε τὸν λόγον, πλασάμενοι πάντως καὶ καταψευσάμενοι. ἀλλ' ὦ μιαροὶ φαρισαῖοι, τίς ἂν πατὴρ ἀνάσχοιτο τοιαῦτα καταψεύσασθαι παιδὸς οἰκείου; δυσὶ δὲ τούτοις στενοχωροῦσιν αὐτοὺς, καὶ βιάζονται ἀρνήσασθαι τὸν υἱὸν, τῷ τε εἰπεῖν, ὃν ὑμεῖς λέγετε, καὶ τῷ, πῶς οὖν ἄρτι βλέπει; ὁρᾷς ὅτι ὡς ψευδομένων αὐτῶν τὸ πρότερον, φημὶ δὴ τὸ, τυφλὸν εἶναι τὸν παῖδα, σημεῖον προφέρουσι τοῦτο τὸ ὕστερον αὐτὸν βλέπειν, ἢ γὰρ τοῦτό φασι ψευδὲς, τὸ βλέπειν αὐτὸν νῦν, ἢ ἐκεῖνο, τὸ τυφλὸν εἶναι. ἀλλὰ μὴν τοῦτο ἀληθὲς, βλέπει γὰρ, ψεῦδος ἄρα ὃ ὑμεῖς ἐκηρύξατε τὸ τυφλὸν εἶναι τὸ πρότερον.

» Ἀπεκρίθησαν αὐτοῖς οἱ γονεῖς αὐτοῦ, καὶ εἶπον, οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη, πῶς δὲ νῦν βλέπει οὐκ οἴδαμεν ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἡμεῖς οὐκ οἴδαμεν. αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε, αὐτὸς περὶ ἑαυτοῦ λαλήσει. ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους. ἤδη γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ χριστὸν, ἀποσυνάγωγος γένηται. διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον, ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε. Τρεῖς ἐρωτήσεις οἱ φαρισαῖοι προσήνεγκαν τοῖς γονεῦσι τοῦ τυφλοῦ, εἰ υἱὸς αὐτῶν ἦν, εἰ τυφλὸς ἐγεννήθη, καὶ πῶς ἀνέβλεψεν. οἱ δὲ τὰς μὲν δύο, ὅτι τε υἱὸς αὐτῶν ἐστι, καὶ ὅτι τυφλὸς ἦν, ὁμολογοῦσι. τὸν δὲ τρόπον τῆς θεραπείας ἀγνοοῦντες, οὐ προστιθέασι. καὶ τοῦτο δὲ πάντως ὑπὲρ τοῦ τὴν ἀλήθειαν ὁμολογηθῆναι βεβαιότερον γίνεται, ὥστε αὐτὸν τὸν τῆς εὐεργεσίας ἀπολαύσαντα, τὸν καὶ ἀξιοπιστότερον ὄντα, μαρτυρῆσαι ταῦτα.

καθὰ

καθὰ καὶ οἱ γονεῖς αὐτοῦ φασιν, αὐτὸς ἡλικίαν ἔχει, μὴ γὰρ νήπιός ἐστιν ἢ ἀτελὴς, ὥστε
μὴ συνιέναι πῶς τεθεράπευται; τοιαῦτα δὲ εἶπον οἱ γονεῖς αὐτοῦ, φοβούμενοι τοὺς
φαρισαίους, οὕτως ἔτι ἦσαν ἀτελεῖς καὶ ἀγενέστεροι τοῦ παιδός. ἐκεῖνος γάρ τοι μάρ
τυς ἀνέκπληκτος ἵσταται τῆς ἀληθείας, οὕτως ἐφωτίσθη καὶ τοὺς νοεροὺς ὀφθαλμούς.
Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον, ὃς ἦν τυφλὸς, καὶ εἶπον αὐτῷ, δὸς δό-
ξαν τῷ θεῷ. ἡμεῖς οἴδαμεν, ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. ἀπεκρίθη οὖν ἐ-
κεῖνος. καὶ εἶπεν, εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα. ἓν οἶδα, ὅτι τυφλὸς ὢν, ἄρτι βλέπω.
εἶπον δὲ αὐτῷ πάλιν, τί ἐποίησέ σοι, πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ἀπεκρίθη αὐ-
τοῖς. εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε, τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς μα-
θηταὶ αὐτοῦ θέλετε γενέσθαι; ἐλοιδόρησαν οὖν αὐτὸν, καὶ εἶπον. σὺ εἶ μαθητὴς ἐκεί
νου, ἡμεῖς δὲ μωσέως ἐσμὲν μαθηταί. ἡμεῖς οἴδαμεν, ὅτι μωσεῖ λελάληκεν ὁ θεὸς,
τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. Ἐπειδὴ οἱ γονεῖς τὸν υἱὸν αὐτῶν δεῖν ἐρωτηθῆναι
διενέστησαν, τοῦτο ποιοῦσιν οἱ ἐπηρεασταὶ, καὶ δὴ παράγουσιν αὐτὸν, οὐχ ὥστε ἐρωτῆσαι,
ἀλλ' ὥστε ὑποβαλεῖν αὐτῷ κατηγορῆσαι τοῦ θεραπευτοῦ, τὸ γὰρ δὸς δόξαν τῷ θεῷ,
τοῦτο σημαίνει. ὁμολόγησον, φησὶν, ὅτι Ἰησοῦς οὐδὲν εἰργάσατο εἰς ἐμὲ, τοῦτο γὰρ εἶναι δό-
ξαν θεοῦ, τὸ, τῷ Ἰησοῦ μηδὲν ἀγαθὸν προσμαρτυρεῖσθαι, ἡμεῖς γὰρ οἴδαμεν, φασὶν,
ὅτι ἁμαρτωλός ἐστι. πῶς οὖν οὐκ ἠλέγχετε αὐτὸν, ὅταν προεκαλεῖτο ὑμᾶς λέγων, τίς
ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; ὁ δὲ τυφλὸς, εἰ μὲν ἁμαρτωλός φησιν, ἐστὶν Ἰωάν. η΄.
οὐκ οἶδα, τουτέστιν, οὐ νῦν ἐξετάζω τοῦτο, οὐδὲ ἀποφαίνομαι. ἐκεῖνο μέντοι οἶδα σαφῶς,
ὅτι θαῦμα ἐπ' ἐμοὶ ἐτέλεσε. τὸ τοίνυν πρᾶγμα αὐτὸ καθ' αὐτὸ σκοπείσθω, καὶ τὴν
ψῆφον περὶ αὐτοῦ ἐκφερέτω. εἶτα ἐπειδὴ πάλιν ἠρώτων αὐτὸν, τί ἐποίησέ σοι, διὰ
τὴν ἐν τῷ σαββάτῳ πάντως γενομένην ἐπίχρισιν τοῦ πηλοῦ ἐπηρεάζοντες τῷ σω-
τῆρι, ᾔσθετο δὲ ὁ ἄνθρωπος αὐτοὺς, οὐχ ὥστε μαθεῖν, ἀλλ' ὥστε ἐπηρεάσαι, τὴν ἐρώτη
σιν ποιουμένους, πληκτικώτερον αὐτοῖς ἀποκρίνεται. οὐδὲ λόγου, φησὶν, ἔτι ὑμᾶς
ἀξιῶ, πολλάκις γὰρ εἰπόντος οὐ προσεσχήκατε. εἶτα τὸ μάλιστα δυνάμενον αὐτοὺς πλῆ
ξαι, ἐπάγει, μὴ καὶ ὑμεῖς βούλεσθε μαθηταὶ αὐτοῦ γενέσθαι; ἐμφαίνει γοῦν, ὅτι αὐ
τὸς μαθητὴς αὐτοῦ εἶναι βούλεται, παίζων δὲ αὐτοὺς καὶ κωμῳδῶν, ἠρέμα ταῦτά φη
σιν, ὁ ψυχῆς ἐστι πεπαῤῥησιασμένης καὶ ἀκαταπλήκτου, καὶ μὴ πτοουμένης τὴν μα
νίαν αὐτῶν. ἐκεῖνοι δὲ πρὸς ὕβριν αὐτοῦ φασι. σὺ εἶ μαθητὴς ἐκείνου, ἡμεῖς δὲ τοῦ μω
σέως ἐσμὲν μαθηταί. φαίνονται δὲ ἐν τούτῳ ψευδόμενοι, εἰ γὰρ ἦσαν τοῦ μωσέως μα
θηταὶ, καὶ τοῦ χριστοῦ ἂν ἦσαν, καθὰ καὶ αὐτὸς ἔλεγεν αὐτοῖς, εἰ ἐπιστεύετε μωσεῖ, ἐ- Ἰωάν. ε΄.
πιστεύετε ἂν ἐμοί. οὐκ εἶπον δὲ, ὅτι ἡμεῖς ἠκούσαμεν, ἀλλ' ὅτι ἡμεῖς οἴδαμεν, ὅτι μω-
σεῖ λελάληκεν ὁ θεὸς, καίτοι τῶν προγόνων αὐτοῖς ἀπαγγειλάντων, ἀκριβῆ γνῶ-
σιν ἔχειν λέγουσιν, ὧν ἐξ ἀκοῆς παρειλήφεισαν, οὗ δὲ τοῖς ὀφθαλμοῖς ἔβλεπον θαυ-
ματουργοῦντα, καὶ οὗ ἤκουον θεῖα καὶ ἄνωθεν φθεγγομένου, τοῦτον πλάνον ἐκάλουν.
ὁρᾷς ἀνοησίαν ἀπὸ κακίας δεδημιουργημένην;
Ἀπεκρίθη ὁ ἄνθρωπος, καὶ εἶπεν αὐτοῖς. ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς
οὐκ οἴδατε πόθεν ἐστὶ, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλμούς. οἴδαμεν δὲ, ὅτι ἁμαρτωλῶν
ὁ θεὸς οὐκ ἀκούει. ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει.
ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. εἰ μὴ ἦν
οὗτος παρὰ θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. Ὑμεῖς φησιν, ὦ ἰουδαῖοι ἀποβάλλεσθε
οὖν θεραπεύσαντά με. ὡς μὴ εἰδότες αὐτὸν, πόθεν ἐστίν. ἐγὼ δέ φημι, ὅτι διὰ τοῦτο
μᾶλλόν ἐστι θαυμαστὸς, ὅτι ἄνθρωπος οὐ τῶν ἐπισήμων παρ' ὑμῖν ὢν, οὐδὲ τῶν δεδο-
ξασμένων, τοιαῦτα δύναται, ὥστε εἶναι δῆλον πάντοθεν, ὡς ἐστι κρείττονός τινος δυνά-

μένως, οὐδεμιᾶς ἀνθρωπίνης βοηθείας δεόμενος. εἶτα καὶ ἐπειδὴ προλαβόντες, εἶπόν τινες ἐξ αὐτῶν, πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς σημεῖα τοιαῦτα ποιεῖν; λοιπὸν καὶ τὴν ἐκείνων παραλαμβάνει κρίσιν, καὶ τῶν οἰκείων αὐτοῦ ὑπομιμνήσκει ῥημάτων. οἴδαμεν γάρ φησι, πάντες, ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει. σκόπει μοι ἐντεῦθεν, πῶς οὐ μόνον ἁμαρτιῶν ἀπήλλαξε τὸν κύριον, ἀλλὰ καὶ σφόδρα αὐτὸν ἀρέσκοντα τῷ θεῷ δείκνυσι, καὶ τὰ ἐκείνου πάντα πράττοντα, ἐν τῷ εἰπεῖν, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ. εἶτα ἐπεὶ ἐγίνωσκεν αὐτοὺς συσκιάζειν βουλομένους τὸ θαῦμα, αὐτὸς πολλῆς συνέσεως γέμων, τὴν εὐεργεσίαν ἀνακηρύττει. εἰ μὴ γὰρ ἦν οὗτος ἀπὸ θεοῦ, οὐκ ἂν θαῦμα τηλικοῦτον εἰργάζετο, οἷον οὐδεὶς τῶν ἀπ' αἰῶνος. ἠνοίγησαν μὲν γὰρ ὀφθαλμοὶ τυφλῶν τυχὸν, ἀλλ' οὐκ ἀπὸ γενετῆς πεπηρωμένοι, ἀπὸ νόσου δὲ πάθους, τοῦτο δέ ἐστι τὸ ξένον ὃ νῦν ἐγένετο. πρόδηλον οὖν, ὅτι μείζων ἢ κατὰ ἄνθρωπόν ἐστιν ὁ τηλικοῦτο θαῦμα τελέσας. ἀλλ' ἀπορροῦσί τινες ψυχρὰν καὶ σοφιστικὴν ἀκριβείαν, πῶς φασιν, εἶπεν ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει; καὶ μὴν εὐχομένων συγχωρηθῆναι τὰς ἁμαρτίας ἐπακούει, φιλάνθρωπος γὰρ ἐστι. τί οὖν ἐστι, φασὶν, ὃ ἐνταῦθα λέγει, ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει; ἔδει μὲν πρὸς τὰ τοιαῦτα μηδὲ ἀποκρίνεσθαι. ὅμως ῥητέον ὅτι τὸ ἁμαρτωλῶν μὴ ἀκούειν τὸν θεὸν, τοῦτο σημαίνει, ὅτι ὁ θεὸς σημεῖα ἐργάζεσθαι, τοῖς ἁμαρτωλοῖς οὐ δίδωσιν. οὐ γὰρ ἐνοικήσει τὸ πνεῦμα τοῦ θεοῦ ἐν σώματι

σοφί· ά· κατάχρεῳ ἁμαρτίαις. αἰτουμένων μέντοι ἄφεσιν ἁμαρτιῶν ἀληθῶς καὶ ἀπὸ καρδίας, εἰσακούει, οὐχ ὡς ἁμαρτωλῶν, ἀλλ' ὡς μετανοούντων. ὁμοῦ τε γὰρ αἰτοῦνται τὴν ἄφεσιν, καὶ μετέστησαν ἀπὸ τῆς τῶν ἁμαρτωλῶν τάξεως εἰς τὴν τῶν μετανοούντων. εἰκότως οὖν εἴρηται, ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει. οὔτε γὰρ ἁμαρτωλοῖς δίδωσι τὴν χάριν τῶν σημείων. πῶς γὰρ, ὅσω καὶ ἐὰν αἰτήσωνται ποτὲ περί τινος βιοτικοῦ, μισεῖ ὡς τὰ μηδὲν αὐτοῖς προσήκοντα σφετεριζομένοις, καὶ ἐὰν ἀκούῃ δὲ αἰτουμένων ἄφεσιν, οὐχ ὡς ἁμαρτωλῶν, ἀλλ' ὡς μετανοούντων ἀκούει; σκόπει δὲ πῶς εἶπεν, ὅτι ἐάν τις θεοσεβὴς ᾖ, καὶ προσέθηκε καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, πολλοὶ γὰρ θεοσεβεῖς μέν εἰσι, τὸ θέλημα δὲ τοῦ θεοῦ οὐ ποιοῦσι. δεῖ δὲ ἀμφότερα προσεῖναι, καὶ

ά· πρὸς Τιμόθ· ά· θεοσέβειαν, καὶ θελήματος θεοῦ ἐκπλήρωσιν, ἤτοι πίστιν καὶ ἔργα, ἢ ὡς ὁ παῦλος ὀνομάζει, πίστιν καὶ ἀγαθὴν συνείδησιν, κεφαλαιωδέστερον δὲ εἰπεῖν, θεωρίαν καὶ πρᾶ-

Ἰακώ· β· ξιν. τότε γὰρ οὕτως ζῇ ἡ πίστις, ὅτε καὶ τὰ ἔργα ἔχει τὰ θεαρέστα, ἐξ ὧν ἡ ἀγαθὴ συνείδησις περιγίνεται, ὥσπερ ἀπὸ τῶν πονηρῶν ἔργων ἡ πονηρὰ συνείδησις. καὶ αὖ τὰ ἔργα τότε ζῇ, ὅτε καὶ πίστιν ἔχει, χωρισθέντα δὲ ἀπ' ἀλλήλων, νεκρά ἐστι, καθὰ εἴρηται, πίστις χωρὶς ἔργων νεκρὰ, καὶ ἔργα δίχα πίστεως. ὅρα δέ μοι καὶ πῶς ἡ ἀλήθεια παῤῥησιάζεσθαι δίδωσι τῷ ἐπαίτῃ. τῷ οὐδενὸς λόγου ἀξίῳ, καὶ ἐλέγχει τοὺς παρὰ τοῖς Ἰουδαίοις μεγάλοις καὶ ἐντίμοις, οὕτω μεγάλη ταύτης ἡ δύναμις, ὥσπερ καὶ τοῦ ψεύδους ἡ συστολὴ καὶ τὸ ἀπαῤῥησίαστον.

» Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις
» ἡμᾶς; καὶ ἐξέβαλον αὐτὸν ἔξω. ἤκουσεν ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν
» αὐτὸν εἶπεν αὐτῷ, σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε, καὶ τίς
» ἐστι κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς, καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ὁ δὲ ἔφη, πιστεύω κύριε, καὶ προσεκύνησεν αὐτόν.

Ἕως μὲν προσεδόκων τὸν ἄνθρωπον κεχαρισμένα αὐτοῖς φθέγξασθαι, προσεκαλοῦντο αὐτὸν καὶ ἠρώτων, καὶ οὐχ ἅπαξ τοῦτο, ἐπεὶ δὲ ἔγνων αὐτὸν ἐκ τῶν ἀποκρίσεων μὴ τὰ αὐτῶν φρονοῦντα, ἀλλὰ τῇ ἀληθείᾳ χαριζόμενον, ἐξουθενοῦσι μὲν αὐτὸν, ὡς

ἐν ἁμαρτίαις

ἐν ἁμαρτίαις γεννηθέντα. ἀνοήτως πάντως τὴν τύφλωσιν αὐτῷ προσφέροντες, καὶ
νομίζοντες ὅτι ὡς κατακεκριμένος καὶ πρὸ γενέσεως κατεδικάσθη τυφλὸς γεννηθῆ
ναι, ὅπερ λόγον οὐκ εἶχεν. ἐκβάλλουσι δὲ αὐτὸν ἔξω τοῦ ἱεροῦ ὡς ὁμολογητὴν τῆς ἀλη
θείας οἱ τοῦ ψεύδους υἱοί. ἀλλ' ὅρα τὸ κέρδος, ἐξεβλήθη ἀπὸ τοῦ ἱεροῦ, καὶ εὐθὺς εὕρεν
αὐτὸν ὁ δεσπότης τοῦ ἱεροῦ. ἠτιμάσθη τῷ δοκεῖν διὰ Χριστὸν, καὶ ἐτιμήθη τῇ ἐπιγνώσει
τοῦ υἱοῦ τοῦ θεοῦ. εὗρε γάρ, φησιν, αὐτὸν ὁ Ἰησοῦς, ὥσπερ ἐπίτηδες ἐπὶ τούτῳ ἐλθὼν, ἵνα
αὐτὸν παραμυθήσηται, καθάπερ τις ἀγωνοθέτης ἀθλητὴν πολλὰ καμόντα καὶ στε
φανωθέντα δεξάμενος. καὶ τί φησι; πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; τί τοῦτο; μετὰ τοσαύ
την ἀντίῤῥησιν τὴν πρὸς τοὺς Ἰουδαίους, μετὰ τοσαῦτα ῥήματα ἐρωτᾷ, εἰ πιστεύεις;
οὐκ ἀγνοῶν τοῦτο ποιεῖ, ἀλλὰ βουλόμενος τῷ τυφλῷ ἑαυτὸν γνωρίσαι. ἐπειδὴ γὰρ
οὐδ' ὅλως εἶδεν αὐτὸν οὐδὲ μετὰ τὴν ἴασιν, πῶς γὰρ ὑπὸ τῶν κακίστων κυνῶν τῶν Ἰου
δαίων περιειλημμένος; τούτου ἕνεκεν ἐρωτᾷ αὐτὸν νῦν, ἵνα ἐκείνου ἐρωτήσαντος, καὶ
τίς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ἀκολούθως ἑαυτὸν ἐπιδείξῃ. ἅμα δὲ καὶ δεικνύων αὐτῷ, ὅτι
τὴν αὐτοῦ πίστιν πολλοῦ τιμᾶται, ὡσανεὶ τοιαῦτα λέγων, ὕβρισέ με δῆμος τοσοῦτος,
ἀλλ' οὐδεὶς ἐμοὶ λόγος ἐκείνων, ἑνός μοι μέλει τοῦ πιστεῦσαι. ὁ δὲ καὶ τίς ἐστι κύριε ὁ υἱὸς
τοῦ θεοῦ; ποθούσης ψυχῆς ῥῆμα ἐφθέγξατο. ὁ δὲ καὶ ἑώρακας, φησὶν, αὐτὸν, καὶ ὁ λα
λῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. οὐκ εἶπεν, ὅτι ἐγώ εἰμι ὅ τε θεραπευκώς σε, ὁ εἰπών σοι, ὕπα
γε, νίψαι, ἀλλ' ὑπεσταλμένως μὲν πρῶτον καὶ ἀσαφῶς, καὶ ἑώρακας, φησὶν, αὐτόν. εἶ-
τα καὶ φανερώτερον, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. ἔοικε δὲ ὁ κύριος ἐπίτηδες
εἰπεῖν, τὸ, ἑώρακας αὐτὸν, ἵνα πάντως εἰς ἀνάμνησιν αὐτὸν ἀγάγῃ τῆς θεραπείας, καὶ
ὅτι ὑπ' αὐτοῦ τὴν τοῦ ὁρᾶν ἔλαβε δύναμιν. καὶ ὡς εὐθύς τε πιστεύει, καὶ θερμῆς ἔργον
καὶ ἀληθοῦς πίστεως ἐπιδείκνυται, προσκυνῶν καὶ πιστούμενος τὸν λόγον τῷ ἔργῳ,
καὶ ὅτι ὡς θεὸν δοξάζει αὐτὸν, μόνῳ γὰρ δήπου θεῷ τὴν προσκύνησιν ἀπονέμειν νενό-
μισται. λάμβανε δέ μοι τὸ θαῦμα τοῦτο καὶ νοητῶς ἐπιτελεσθέν. τυφλὸς μὲν γὰρ ἦν
εἴτε ἁπλῶς πᾶς ἄνθρωπος ἐκ γενετῆς, τουτέστιν, ἐκ τοῦ ὑπὸ γένεσιν εἶναι, ᾗ πάντως καὶ
ἡ φθορὰ συνέζευκται, ἀφ' οὗ γὰρ θνητότητος κατεδικάσθημεν, καὶ διὰ τῆς ἐμπαθοῦς
γενέσεως αὐξάνεσθαι κατεκρίθημεν, ἔκτοτε παχύ τι νέφος καὶ δερμάτινος τάχα χι Γενέ. γ'.
τὼν, ὥς φασι τὰ ἱερὰ λόγια, ἐπεχύθη τοῖς νοεροῖς ἡμῶν ὀφθαλμοῖς, εἴτε καὶ ὁ τῶν
ἐθνῶν λαός. καὶ οὗτος γὰρ ἐκ γενετῆς τυφλὸς, οἷοι οἱ Ἕλληνες. ἐκ τοῦ τὰ ὑπὸ γένε
σιν καὶ φθορὰν θεοποιῆσαι, τυφλωθέντες, κατὰ τὸ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρ Πρὸς Ῥω. α'.
δία. τοιοῦτοι καὶ οἱ παρὰ Πέρσαις μάγοι γενέσει καὶ γενεθλιαλογίᾳ προσδαπανή-
σαντες τὴν αὐτῶν ζωήν. τοῦτον οὖν τὸν τυφλὸν εἴτε ἁπλῶς πάντα ἄνθρωπον, εἴτε τὸν ἐθνι
κὸν λαὸν εἶδεν ὁ Ἰησοῦς. ἐπεὶ γὰρ ἐκεῖνος οὐκ ἠδύνατο τὸν δημιουργὸν ἰδεῖν, αὐτὸς διὰ
σπλάγχνα ἐλέους ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους. πῶς δὲ εἶδε; παράγων, του Λουκ. α'.
τέστι, μὴ ἐν τῷ οὐρανῷ ὤν, ἀλλὰ παρελθὼν κενώσεως λόγοις, καὶ ἐκ τοῦ οὐρανοῦ κατὰ
τὸν προφήτην διακύψας, καὶ ἰδὼν πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ ἄλλως δὲ πα-
ράγων, ἴδε τὸν ἐθνικὸν λαὸν, τουτέστιν, οὐ προηγουμένως ἐπ' αὐτὸν ἐλθὼν, εἰς γὰρ τὰ ἀπο Ἡσα. λβ'.
λωλότα πρόβατα οἴκου Ἰσραὴλ ἦλθεν. εἶτα ὥσπερ ὁδοῦ πάρεργον ἐποιήσατο τὴν Ματθ. οα'.
ἐπίσκεψιν τοῦ ἐν τῷ σκότει καθημένου τῆς παντελοῦς ἀγνωσίας λαοῦ. πῶς δὲ θερα
πεύει τὴν τύφλωσιν; πτύσας χαμαὶ, καὶ πηλὸν ποιήσας. ὡς γὰρ ἂν πιστεύσειεν, ὅτι
ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν, καταβέβηκεν ἐπὶ τὴν ἁγίαν παρθένον ὁ λόγος; Ἡσα. οα'.
οὗτος χρίεται τοὺς νοεροὺς ὀφθαλμοὺς τῷ ἐκ τοῦ πτύσματος καὶ τῆς γῆς πηλῷ, ἤγουν
τῷ ἐν Χριστῷ τῷ ἐκ θεότητος, ἧς σύμβολον ἡ σταγὼν καὶ τὸ πτύσμα, καὶ ἀνθρωπότη
τος, ἧς σύμβολον ἡ γῆ, ἐξ ἧς τὸ τοῦ κυρίου σῶμα. ἄρ' οὖν ἄχρι τοῦ πιστεῦσαι τὴν θερα-

πείαν στήσεται; οὐ μόνον, ἀλλὰ δεῖ καὶ ἐπὶ τὸν Σιλωὰμ ἐλθεῖν, τὴν πηγὴν τοῦ βαπτίσματος, καὶ βαπτισθῆναι εἰς τὸν ἀπεσταλμένον. τουτέστι, Χριστόν, ὅσοι γὰρ ἐβαπτίσθημεν πνευματικῶς, εἰς Χριστὸν ἐβαπτίσθημεν. (Πρὸς Ῥω. ϛ'.) μεθ' ὃ δὲ καὶ βαπτισθείη τις, καὶ πειρασμοῖς περιπεσεῖται, ἀχθήσεται γὰρ τάχα ἐπὶ βασιλεῖς, καὶ ἡγεμόνας ἕνεκεν τοῦ θεραπεύσαντος αὐτὸν Χριστοῦ. δεῖ τοίνυν βεβαίως ἔχειν καὶ ἵστασθαι ἐπὶ τῆς ὁμολογίας ἀκλινῶς, μὴ διὰ φόβον ἀρνούμενον, ἀλλὰ κἂν δεήσῃ ἐκκήρυκτον καὶ ἀποσυνάγωγον γινόμενον, (Ματθ. ι'.) κατὰ τὸ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου, καὶ ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς. κἂν ἐκβάλλωσι δὲ τὸν ὁμολογητὴν οἱ ἄνθρωποι τῇ ἀληθείᾳ ἐχθραίνοντες, καὶ διώξωσιν ἀπὸ τῶν παρ' αὐτοῖς ἱερῶν καὶ τιμίων, πλούτου λέγω καὶ δόξης, εὑρήσει αὐτὸν ὁ Ἰησοῦς, καὶ τότε μᾶλλον, ὅτε παρὰ τῶν ἐχθρῶν ἀτιμασθείη, παρὰ Χριστοῦ τιμηθήσεται, τῇ ἐπιγνώσει καὶ τῇ ἀκριβεστέρᾳ πίστει. προσκυνήσει γὰρ τότε μᾶλλον τὸν Χριστόν, ὡς ἄνθρωπον μὲν φαινόμενον, ὄντα δὲ καὶ υἱὸν τοῦ θεοῦ. οὐ γὰρ ἄλλος ὁ υἱὸς τοῦ θεοῦ, καὶ ἄλλος ὁ ἐκ Μαρίας, τοῦτο γὰρ Νεστορίου τὸ ἀσέβημα, ἀλλ' εἷς καὶ ὁ αὐτὸς υἱὸς θεοῦ καὶ ἀνθρώπου. ὅρα γὰρ πῶς ὁ κύριος, εἰπόντος τοῦ ποτὲ τυφλοῦ; καὶ τίς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ἵνα πιστεύσω εἰς αὐτόν, καὶ ἑώρακας, φησίν, αὐτόν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. τίς οὖν ἦν ὁ λαλῶν, ἢ πάντως ὁ ἐκ Μαρίας γεννηθείς; ὁ αὐτὸς δὲ καὶ υἱὸς θεοῦ, οὐκ ἄλλος ἄρα καὶ ἄλλος. ὅθεν καὶ κυρίως θεοτόκος ἡ ἁγία Μαρία, ὡς τὸν υἱὸν τοῦ θεοῦ σάρκα γεγονότα γεννήσασα, ἀδιαίρετον ὄντα, καὶ ἕνα τὸν διπλοῦν, ὅς ἐστι Χριστὸς κύριος.

» Καὶ εἶπεν ὁ Ἰησοῦς, εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες
» βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦ-
» τα, οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ, μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; εἶπεν αὐτοῖς ὁ
» Ἰησοῦς, εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν, νῦν δὲ λέγετε, ὅτι βλέπομεν ἡ οὖν ἁ-
» μαρτία ὑμῶν μένει.

Ἐπειδὴ εἶδεν ὁ κύριος τοὺς Φαρισαίους βλαβέντας μᾶλλον, οὐκ ὠφεληθέντας ἐκ τοῦ θαύματος, καὶ διὰ τοῦτο καὶ μείζονος κατακρίσεως ἀξίους, φησίν, ὅτι ὡς ἔοικε, καὶ ὡς ἀποβαίνει τὰ πράγματα, εἰς κρῖμα ἦλθον ἐγώ, ἀντὶ τοῦ, εἰς μείζονα κόλασιν καὶ κατάκρισιν, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες οἷοι οἱ Φαρισαῖοι, τυφλοὶ τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς γένωνται. ἰδοὺ γὰρ ὁ μὲν ἐκ γενετῆς μὴ βλέπων βλέπει, καὶ ψυχῇ καὶ σώματι, οἱ δὲ δοκοῦντες βλέπειν, ἐτυφλώθησαν κατὰ νοῦν. δύο γὰρ ἀναβλέψεις ἐνταῦθα λέγει, καὶ δύο τυφλότητας. οἱ δὲ πρὸς τὰ αἰσθητὰ ἀεὶ κεχηνότες Φαρισαῖοι, νομίσαντες περὶ αἰσθητῆς λέγειν αὐτὸν πηρώσεως, μὴ καὶ ἡμεῖς, φασί, τυφλοί ἐσμεν; ταύτην μόνην τὴν σωματικὴν αἰσχυνόμενοι τύφλωσιν. ὁ δὲ κύριος δεῖξαι αὐτοῖς βουλόμενος, ὅτι βέλτιον τυφλοὺς εἶναι σώματι καὶ μὴ ἀπίστους, φησίν, εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν. εἰ γὰρ κατ' ἀνάγκην ἐκ φύσεως ἐπεπήρωσθε, ἐδίδοτο ἄν τις συγγνώμη ἀπιστίαν νοσοῦσι. νῦν δὲ λέγοντες βλέπειν καὶ μέντοι καὶ αὐτόπται τοῦ ἐπὶ τῷ τυφλῷ γενόμενοι θαύματος, εἶτα ἀπιστίαν νοσοῦντες ἔτι, οὐκ ἄξιοί ἐστε συγγνώμης. ἡ γὰρ ἁμαρτία ὑμῶν ἀνεξάλειπτος μένει, καὶ μειζόνως κολασθήσεσθε, ἅτε μὴ δι' ὧν ὁρᾶτε θαυμασίων εἰς πίστιν ἐρχόμενοι. τάχα δ' ἄν τις καὶ οὕτω νοήσειε τό, εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν. ὑμεῖς μὲν γάρ, φησι, περὶ σωματικῆς ἐρωτᾶτε τυφλότητος, ὡς μόνην ταύτην ἐπαισχυνόμενοι. ἐγὼ δὲ περὶ τῆς ψυχικῆς ὑμῶν λέγω τυφλώσεως, ὅτι ἐὰν ἦτε τυφλοί, τουτέστιν ἀμαθεῖς τῶν γραφῶν, οὐκ ἂν ἁμαρτίαν εἴχετε τηλικαύτην, ὡς ἐν ἀγνοίᾳ ἁμαρτάνοντες. νῦν δὲ λέγετε, ὅτι βλέπετε, καὶ φρονίμους ἑαυτοὺς καὶ νομομαθεῖς ποιεῖσθε, ὥστε αὐτοκατάκριτοί ἐστε, καὶ μείζονα τὴν ἁμαρτίαν ἔχετε, ὡς ἐν γνώσει ἁ-

μαρτάνοντες.

Κεφάλαιον ι.

» Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προ
» βάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής, ὁ δὲ εἰσερχόμενος
» διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα
» τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά.
» καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβα-
» τα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσω-
» σιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.

Ἐπειδὴ ἀπιστίαν αὐτοῖς ὠνείδισεν εἰπών, ὅτι τυφλοὶ οὕτως ἐστὲ κατὰ ψυχὴν διὰ τοῦτο αὐτὸ τὸ τῆς ἀπιστίας πάθος, ἵνα μὴ ἔχωσι λέγειν, ὅτι οὐ διὰ τὸ εἶναι τυφλοί, ἀλλ' ὡς πλάνον φεύγοντες ἀποστρεφόμεθα, ὑπὲρ τούτου λοιπὸν πολλὴν ποιεῖται τὸν λόγον. καὶ τί ποιεῖ; τὰ γνωρίσματα τίθησι τοῦ τε ἀληθινοῦ ποιμένος, καὶ τοῦ λύκου καὶ λυμεῶνος, καὶ οὕτως ἑαυτὸν ἀποδείκνυσι τῆς ἀγαθῆς ὄντα μοίρας. ἀπὸ τῶν πραγμάτων τὴν μαρτυρίαν ποιούμενος, καὶ πρότερον τὰ χαρακτηριστικὰ τοῦ λυμεῶνος τίθησιν. ἐκεῖνος γάρ, φησιν, οὐκ εἰσέρχεται διὰ τῆς θύρας, τουτέστι διὰ τῶν γραφῶν, οὐ γὰρ χρῆται ταῖς γραφαῖς μάρτυσιν, οὐδὲ τοῖς προφήταις. τῷ ὄντι γὰρ θύρα αἱ γραφαί, δι' αὐτῶν γὰρ προσαγόμεθα τῷ θεῷ. αὗται τοὺς λύκους οὐκ ἀφιᾶσιν εἰσελθεῖν, ἀπείργουσι γὰρ τοὺς αἱρετικούς, ἐν ἀσφαλείᾳ ἡμᾶς καθιστῶσι, καὶ γνώμας διδοῦσι περὶ ὧν ἂν βουλοίμεθα πάντων. κλέπτης οὖν ὁ μὴ διὰ τῶν γραφῶν εἰσερχόμενος εἰς τὴν αὐλὴν τῶν προβάτων, ὥστε προνοεῖσθαι αὐτῶν, ἀλλ' ἀναβαίνων ἄλλοθεν, τουτέστιν, ἑτέραν ἑαυτῷ ὁδὸν τέμνων καὶ ἀσυνήθη, ὥσπερ ὁ Θευδᾶς καὶ Ἰούδας, οἱ πρὸ τοῦ Χρι- Πράξ. ε. στοῦ πλανήσαντες τὸν λαόν, διέφθειράν τε καὶ διεφθάρησαν, οἷος ἔσται καὶ ὁ μιαρὸς ἀντίχριστος, οὐ γὰρ ἐκ τῶν γραφῶν τούτοις ἡ μαρτυρία. ἀλλὰ γὰρ καὶ τοὺς γραμματεῖς αἰνίττεται, οἱ τῶν μὲν νομικῶν ἐνταλμάτων οὐδένα λόγον ἐποίουν, ἐντάλματα δὲ ἀνθρώπων καὶ παραδόσεις ἐδίδασκον. προσφυῶς δὲ εἶπε τό, ἀναβαίνων, ὃ κλέπτου ἐστὶ φραγμὸν ὑπερπηδῶντος, καὶ πάντα ἐπικινδύνως πράττοντος. εἶδες τὰ γνωρίσματα τοῦ λῃστοῦ; ὅρα καὶ τὰ τοῦ ποιμένος. ὁ γὰρ ποιμὴν διὰ τῶν γραφῶν εἰσέρχεται, καὶ τούτῳ ὁ θυρωρὸς ἀνοίγει. θυρωρὸν δὲ ἢ τὸν Μωσέα μοι νόει, οὗτος γὰρ τὰ τοῦ θεοῦ ἐπιστεύθη λόγια, ἤνοιξε δὲ ὁ Μωϋσῆς τῷ κυρίῳ περὶ αὐτοῦ πάντως εἰπών, ὡς καὶ ὁ κύ- Ἰωάν. ε. ριος αὐτός φησιν, ὅτι εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί, ἢ καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐστὶν ὁ θυρωρός. ἐπεὶ γὰρ ἐν πνεύματι ἁγίῳ νοούμεναι καὶ ἀνοιγόμεναι αἱ γραφαί, δεικνύουσιν ἡμῖν τὸν Χριστόν, εἰκότως θυρωρὸς τὸ πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ὡς πνεύματι σοφίας καὶ γνώσεως αἱ γραφαὶ διανοίγονται, δι' ὧν εἰσέρχεται ὁ κύριος εἰς τὴν ἡμῶν κηδεμονίαν, καὶ δι' ὧν ἀποδείκνυται ποιμήν, καὶ τὴν φωνὴν δὲ τοῦ ποιμένος ἀκούει τὰ πρόβατα. ἐπεὶ γὰρ ἐκεῖνοι ἄνω καὶ κάτω ἔλεγον αὐτὸν ἀπατεῶνα, καὶ τοῦτο ἐκ τῆς ἑαυτῶν ἀπιστίας ἐβεβαίουν λέγοντες, μὴ τῶν ἀρχόντων τίς ἐπίστευσεν εἰς αὐτόν; δείκνυσιν ὁ κύριος, ὅτι οὐκ αὐτὸν χρὴ νομίζειν λυμεῶνα, διότι ἐκεῖνοι ἀπιστοῦσιν, ἀλλ' αὐτοὺς ἐκβλη- Ἰωάν. ζ. θῆναι τῆς τῶν προβάτων τάξεως. ἐγὼ μὲν γάρ, φησι, διὰ τῆς θύρας εἰσερχόμενος, πρόδηλον, ὡς ἀληθῶς εἰμὶ ποιμήν, ὑμεῖς δὲ οἱ μὴ ἀκολουθήσαντες, ἐοίκατε μὴ εἶναι πρόβατα. πόθεν δὲ ἐξάγει τὰ ἴδια πρόβατα; ἢ ἐκ μέσου τῶν ἀπίστων, ὥσπερ καὶ τὸν τυφλὸν ἐκ μέσου τῶν Ἰουδαίων, ὃς καὶ ἤκουσεν αὐτοῦ, καὶ ἐπέγνω αὐτόν; καὶ ἔμπροσθεν δὲ τῶν προβάτων πορεύεται, καίτοι τοὐναντίον ἐπὶ τῶν σωματικῶν ποιμένων γίνεται, ὄπισθεν γὰρ πορεύονται. ἀλλ' ἐνταῦθα δείκνυσιν, ὅτι πάντας ὁδηγήσει

πρὸς τὴν ἀλήθειαν, ἐπεὶ καὶ τοὺς μαθητὰς ὡς πρόβατα ἐν μέσῳ λύκων πέμπει, οὕτως ἄρα καινοτέρα ἡ τοῦ χριστοῦ ποιμαντική. ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, οὐ γὰρ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. κἀνταῦθα δὲ πάντως τοὺς περὶ θευδᾶν καὶ
πράξ. ε΄. ἰούδαν αἰνίττεται, οἷς οὐκ ἠκολούθησαν τὰ πρόβατα, ὀλίγοι γάρ τινες ὑποκλαπέντες, καὶ οὗτοι μετὰ θάνατον αὐτῶν ἀπέστησαν. χριστῷ δὲ καὶ ζῶντι καὶ τελευτήσαντι μάλιστα ὁ κόσμος ὅλος ὀπίσω ἀπῆλθεν αὐτοῦ. αἰνίττεται δὲ καὶ τὸν ἀντίχριστον, καὶ αὐτὸς γὰρ πρὸς ὀλίγον πλανήσας, οὐχ ἕξει τοὺς ἀκολουθήσαντας μετὰ τὴν αὐτοῦ ἀπώλειαν, τὸ γὰρ οὐ μὴ ἀκολουθήσωσι, τοῦτο δηλοῖ, ὅτι μετὰ τὴν τελευτὴν τῶν πλανώντων, οὐκ ἔσται τὶς αὐτοῖς προσέχων, ἢ ἀκολουθῶν. θύρα μὲν οὖν αἱ γραφαί, ἐξάγει δὲ ἐπὶ νομὴν τὰ πρόβατα ὁ κύριος διὰ τῆς θύρας ταύτης. τίς δὲ ἡ νομή; ἡ μέλλουσα τροφὴ καὶ ἀνάπαυσις, εἰς ἣν ἡμᾶς εἰσάγει ὁ κύριος. εἰ δὲ ἀλλαχοῦ καὶ θύραν ἑαυτὸν ὀνομάζει, οὐ χρὴ θαυμάζειν. ὅταν μὲν γὰρ τὴν κηδεμονίαν ἐμφῆναι βούληται τὴν περὶ ἡμᾶς, ποιμένα ἑαυτὸν ὀνομάζει· ὅταν δὲ θέλῃ δεῖξαι, ὅτι αὐτός ἐστιν ὁ προσάγων τῷ πατρὶ, τότε θύραν ἑαυτὸν λέγει. ἐπεὶ ὁ αὐτὸς καὶ κατ' ἄλλην καὶ ἄλλην ἔννοιαν καὶ πρόβατόν ἐστι καὶ ποιμήν. ἔπειτα εἴπερ εἰσὶ θύρα οἱ λόγοι τῶν θείων γραφῶν, καὶ αὐτὸς δὲ ὁ κύριος λόγος ἐστὶ, καὶ καλεῖται, εἰκότως ἂν κληθείη θύρα.

» Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν, τίνα ἦν ἃ ἐ-
» λάλει αὐτοῖς. εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ
» θύρα τῶν προβάτων. πάντες, ὅσοι ἦλθον, κλέπται εἰσὶ καὶ λησταί, ἀλλ' οὐκ ἤκουσαν
» αὐτῶν τὰ πρόβατα.

Ταύτην, φησὶ, τὴν παροιμίαν, ἤτοι τὴν παραβολὴν, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ἀσαφῶς αὐτοῖς φθεγγόμενος, ἵνα προσεκτικωτέρους ποιήσῃ. ἐπεὶ οὖν τοῦτο κατεσκεύασε, λύει λοιπὸν τὴν ἀσάφειαν, οὕτω λέγων, ἐγώ εἰμι ἡ θύρα. τὸ δὲ πάντες ὅσοι ἦλθον, οὐ περὶ τῶν προφητῶν λέγει, ὡς οἱ μανιχαῖοι παρανοοῦσιν. ἐκεῖνοι γὰρ δεῖξαι βουλόμενοι τὴν παλαιὰν διαθήκην ἀλλοτρίαν οὖσαν τοῦ θεοῦ, καὶ τοὺς προφήτας μὴ ἐκ θεοῦ ἀπεστάλθαι, χρῶνται τῷ ῥητῷ τούτῳ. ἰδοὺ γάρ, φησιν, ὁ κύριος εἶπεν ὅτι πάντες ὅσοι ἦλθον, κλέπται εἰσὶ καὶ λησταί, οὔκουν περὶ τῶν προφητῶν τοῦτό φησι, ἀλλὰ περὶ θευδᾶ καὶ ἰούδα, καὶ τῶν ἄλλων στασιαστῶν. ὅτι δὲ περὶ τούτων λέγει, δῆλον. οὐκ ἤκουσαν γάρ, φησιν, αὐτῶν τὰ πρόβατα. τῶν γὰρ στασιαστῶν τούτων οὐκ ἤκουσαν τὰ πρόβατα, τῶν δὲ προφητῶν καὶ ἤκουσαν, καὶ δι' ἐκείνων ἐπίστευσαν, ὅσοι καὶ ἐπίστευσαν τῷ χριστῷ. ἄλλως τε τὸ, οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα, ἐπαινῶν εἶπεν, οὐδαμοῦ δὲ ἐπαινῶν φαίνεται τοὺς παρακούσαντας τῶν προφητῶν, ἀλλὰ τοὐναντίον κακίζων καὶ διαβάλλων σφοδρῶς. ἔπειτα πρόσχες καὶ τῇ ἀκριβείᾳ τῆς λέξεως, ὅσοι ἦλθον, φησὶν, ἀλλ' οὐχ ὅσοι ἀπεστάλησαν, οἱ μὲν γὰρ προφῆται ἀποσταλέντες παρεγίνοντο· οἱ δὲ ψευδοπροφῆται οἷοι καὶ οἱ ῥηθέντες στασιασταί, μηδενὸς ἀποστείλαντος, ἤρχοντο ἐπὶ διαστροφῇ τῶν ἀπατωμένων, ὥσπερ καὶ ὁ θεός φη-
ἱερεμ. κγ΄. σιν, ἐγὼ οὐκ ἀπέστελλον αὐτούς, κἀκεῖνοι ἔτρεχον.

» Ἐγώ εἰμι ἡ θύρα, δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύ-
» σεται, καὶ νομὴν εὑρήσει.

Ὁ εἰσελθών, φησι, δι' ἐμοῦ τῆς θύρας, καὶ προσαχθεὶς τῷ πατρὶ, καὶ πρόβατον ἐκείνου γεγονὼς σωθήσεται, καὶ οὐ μόνον σωθήσεται, ἀλλὰ καὶ ὡς κύριος, καὶ δεσπότης, πολλὴν ἕξει τὴν ἀφοβίαν. τοῦτο γὰρ σημαίνει διὰ τοῦ εἰπεῖν, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται. ὥσπερ καὶ οἱ ἀπόστολοι εἰσήεσαν, καὶ ἐξήεσαν ἐναντίον τυράννων παρρησιαζόμενοι, καὶ ἐξιόντες χαίροντες καὶ ἀήττητοι. καὶ νο-
β΄. πρὸς κο. δ΄. μὴν, φησιν, εὑρήσει, τουτέστι, τροφὴν πολλήν. καὶ ἄλλως δὲ, ἐπεὶ διπλοῦς ἐστιν ἡμῖν ὁ ἄνθρωπος, ἔσω τε καὶ ἔξω λεγόμενος παρὰ τοῦ παύλου, εἰσέρχεσθαι μὲν ἐκεῖνος ἂν

λέγοιτο ὁ ἐπιμέλειαν ποιούμενος τοῦ ἔσω ἀνθρώπου, ἐξέρχεσθαι δὲ πάλιν, ὁ νεκρῶν
τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ τὰς πράξεις τοῦ σώματος ἐν χριστῷ θανατῶν. ὁ τοιοῦ- Προς Κολ. γ΄
τος οὖν καὶ νομὴν εὑρήσει ἐν τῷ μέλλοντι αἰῶνι, κατὰ τὸ, κύριος ποιμαίνει με, καὶ οὐ- Γαλ. κδ΄.
δέν με ὑστερήσει, καὶ τὰ ἑξῆς.

Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ. ἐγὼ ἦλθον, ἵνα
ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν
ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων, ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ
εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύ-
γει, καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει,
ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐπειδὴ οἱ τῷ Θευδᾷ
καὶ Ἰούδᾳ καὶ τοῖς λοιποῖς ἀποστάταις συναπαχθέντες ἐσφάγησαν καὶ ἀπώλοντο,
διὰ τοῦτο ἐπήγαγε λέγων, ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ καὶ ἀπο-
λέσῃ, ἐκείνους καὶ τοὺς ὁμοίους αὐτοῖς κλέπτας καλῶν. ἐγὼ δέ φησιν, ἦλθον, ἵνα ζωὴν
ἔχωσιν. ἐκεῖνοι ἔσφαττον, καὶ ἀπώλλυον τοὺς ἀκολουθοῦντας αὐτοῖς, ἐγὼ ἦλθον, ἵνα ζή-
σωσι, καί τι καὶ περισσὸν ἔχωσι, τὴν τοῦ ἁγίου πνεύματος μετοχὴν, ἢν καὶ βασιλείαν
οὐρανῶν χρὴ νοεῖν. ἕξουσιν οὖν ἅπαντες τὴν ζωὴν ἐν χριστῷ, πάντες γὰρ ἀναστήσονται
καὶ ζήσουσιν. ἀλλ᾽ οἱ δίκαιοι, ἕξουσι καί τι περισσὸν τὴν βασιλείαν τῶν οὐρανῶν. εἶτα
καὶ περὶ τοῦ πάθους διαλέγεται, καί φησιν, ὅτι τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προ-
βάτων, ἐμφαίνων, ὅτι οὐκ ἄκων, ἀλλ᾽ ἑκὼν ἐπὶ τὸ πάθος ἔρχεται. τὸ γὰρ τίθημι τοῦ-
το δηλοῖ, ὅτι οὐχ ἁρπάζει τίς ἐξ ἐμοῦ ταύτην, ἀλλ᾽ ἐγὼ αὐτὸς ἀποτίθημι αὐτήν. αἰ-
νίττεται δὲ καὶ τοὺς πολλάκις ῥηθέντας στασιαστὰς, ἐκεῖνοι μὲν γάρ φησιν, οὐκ ἔθηκαν
τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ἀλλ᾽ ἀφῆκαν τοὺς ἀκολουθήσαντας αὐτοῖς, μισθω-
τοὶ γὰρ ἦσαν. αὐτὸς δὲ ὁ κύριος τοὐναντίον. ἡνίκα συνελήφθη, φησὶν, εἰ οὖν ἐμὲ ζητεῖτε,
ἄφετε τούτους ὑπάγειν, ἵνα πληρωθῇ ὁ λόγος, ὅτι οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο. καὶ ταῦ- Ἰωάν. ιή.
τα οὕτως ἐπιθεμένων τῶν ἰουδαίων, ὡς οὐδ᾽ ἂν λύκοι προβάτοις, μετὰ μαχαιρῶν γάρ
φησι, καὶ ξύλων ἦλθον συλλαβεῖν αὐτόν. ἔστι δὲ λύκον ἐνταῦθα νοῆσαι τὸν νοητὸν ἐχθρὸν, Ἰωάν. ιή.
ὃν καὶ λέοντα ὀνομάζει ἡ γραφὴ καὶ σκορπίον καὶ ὄφιν, ὃς ἁρπάζειν μὲν πρόβα-
τον λέγεται, ὅταν τινὰ διὰ τῆς πονηρᾶς πράξεως κατάβρωμα ποιῆται, σκορπίζειν α. Πέτρ. έ.
δὲ ὅταν διὰ τῶν πονηρῶν λογισμῶν συγχέῃ τὴν ψυχὴν, ὃς καὶ κλέπτης εἰκότως ἂν Λουκ. ί.
ῥηθείη κλέπτων διὰ τῶν πονηρῶν λογισμῶν, θύων διὰ τῆς συγκαταθέσεως, ἀπολλύων
διὰ τῆς πράξεως. προσβάλλει μὲν γάρ τινι τυχὸν, ὁ τῆς πονηρίας λογισμὸς, τοῦτό ἐστι
κλοπὴ, ἐὰν δὲ καὶ συγκατάθηται τῷ πονηρῷ ἐνθυμήματι ὁ ἄνθρωπος, τότε θύεσθαι λέ-
γεται παρὰ τοῦ διαβόλου. ὅταν δὲ καὶ πράξῃ τὸ κακὸν, τότε ἀπόλλυται. καὶ τοῦτό ἐστιν
ἴσως, τὸ, ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ. τούτῳ οὖν
τῷ κλέπτῃ τἀναντία ὁ κύριος διαπραττόμενος, τήν τε θείαν ζωὴν δίδωσιν, ἁγιάζων
ἡμῶν καὶ τοὺς λογισμοὺς διὰ τῆς τῶν ἀγαθῶν ἐνθυμημάτων παρουσίας, καὶ τὰ σώ-
ματα διὰ τῶν ἀγαθῶν πράξεων. καί τι καὶ περισσὸν δίδωσι, τὸ, καὶ ἄλλους δηλαδὴ
ὠφελεῖν δύνασθαι διὰ διδασκαλικοῦ χαρίσματος, ναὶ μὴν καὶ τὴν βασιλείαν τῶν
οὐρανῶν, ὡς περιττήν τινα φιλοτιμίαν ἐπιβραβεύων ἡμῖν. οὗτος ἄρα ἐστὶ ποιμὴν κα-
λὸς, ἀλλ᾽ οὐ μισθωτὸς, ὡς οἱ τῶν ἰουδαίων ἄρχοντες ἀμελοῦντες δηλαδὴ τοῦ λαοῦ,
καὶ πρὸς μόνον τὸ, μισθοὺς λαβεῖν ἐξ αὐτοῦ βλέποντες, οὐ γὰρ ἐζήτουν τοῦ λαοῦ τὴν
ὠφέλειαν, ἀλλὰ τὴν ἐκ τοῦ λαοῦ αἰσχροκέρδειαν.

Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐ-
μῶν, καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα. καὶ τὴν ψυχήν μου τί-

» θημι ὑπὲρ τῶν προβάτων, καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύ-
» της, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσωσι, καὶ γενήσεται μία ποί-
» μνη, εἷς ποιμήν. Κἀντεῦθεν οὖν ἐπιγνοίης τὸ διάφορον τοῦ ποιμένος καὶ τοῦ μισθωτοῦ. ὁ μὲν γὰρ μισθωτὸς ἀγνοεῖ τὰ πρόβατα, ὃ συμβαίνει ἐκ τοῦ μὴ συγχνάκις αὐτὰ ἐπισκέπτεσθαι. εἰ γὰρ συγχνάκις ἐπεσκέπτετο, ἐγίνωσκεν ἂν ταῦτα. ὁ δὲ ποιμὴν οἷος ὁ κύριος γινώσκει τὰ αὐτοῦ πρόβατα, ὡς ἐπιμελούμενος αὐτῶν, καὶ αὖ γινώσκεται ὑπ᾽ αὐτῶν, ὡς ἐπισκοπῆς ἀξιουμένων, καὶ διὰ τῆς συνηθείας γνωριζόντων τὸν αὐτῶν κηδεμόνα. ὅρα δὲ, ὅτι πρῶτον ἐκεῖνος γνωρίζει ἡμᾶς, εἶθ᾽ οὕτως ἡμεῖς ἐκεῖνον, καὶ οὐκ ἄλλως δυνατόν ἐστι γνῶναι θεὸν, εἰ μὴ γνωρισθείημεν ὑπ᾽ ἐκείνου. καὶ γὰρ πρῶτον αὐτὸς ᾠκειώθη ἡμῖν σαρκὶ, γεγονὼς ἄνθρωπος, εἶθ᾽ οὕτως αὐτῷ ἡμεῖς ᾠκειώθημεν, θεόθεν εἰληφότες χάρισμα. θέλων δὲ δεῖξαι, ὅτι οἱ ἀπιστήσαντες, ἀνάξιοί εἰσι τοῦ γινώσκεσθαι ὑπὸ τοῦ θεοῦ, καὶ οὐδὲ πρόβατά εἰσιν, εἶπε. καὶ γινώσκω τὰ ἐμὰ, καὶ

Ἀριθ. ιϛʹ. βʹ. Πρὸς τι. βʹ

γινώσκομαι ὑπὸ τῶν ἐμῶν, κατὰ τὸ, ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ. ἵνα δὲ μήτις νομίσῃ, ὅτι ὡς ἄνθρωπος οὗτος ἐγίνωσκεν, ἐπήγαγε λέγων, καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα. οὕτως γάρ φησιν, ἐπίσταμαι αὐτὸν ἀκριβῶς, ὡς αὐτὸς ἐμὲ. συνεχῶς δὲ τίθησι, τὸ, τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων, δηλῶν, ὅτι οὐκ ἔστι πλάνος. τὸ μὲν γὰρ λέγειν, ὅτι φῶς εἰμι καὶ ζωὴ, τύφου ἐδόκει εἶναι παρὰ τοῖς ἀνοήτοις, τὸ δὲ λέγειν, ὅτι ἀποθανεῖν βούλομαι, οὐδεμίαν βασκανίαν ἔχει, ἀλλὰ καὶ πολλὴν μᾶλλον κηδεμονίαν ἐμφαίνει, εἴγε ὑπὲρ τῶν λιθαζόντων, ἑαυτὸν ἠβούλετο ἐπιδοῦναι. εἰπὼν δὲ καὶ ἄλλα πρόβατα ἔχω, περὶ τῶν ἐθνῶν λέγει. οὐκ εἰσὶ δὲ ἐκ τῆς αὐλῆς ταύτης τῆς ὑπὸ τὸν νόμον, οὐ γὰρ δὴ τὰ ἔθνη τῷ νόμῳ περικλείονται. κἀκεῖνα οὖν δεῖ με ἀγαγεῖν, ἐσκορπισμένα γάρ εἰσι καὶ ταῦτα, κἀκεῖνα μὴ ἔχοντα ποιμένας. καὶ γὰρ καὶ ἰουδαίων οἱ εὐγνώμονες, καὶ πρὸς τὸ πιστεῦσαι ἐπιτηδειότεροι, ἀποίμαντοι ἦσαν, καὶ πολλῷ μᾶλλον οἱ ἐθνικοί. δεῖ οὖν κἀκεῖνα τὰ τῶν ἐθνικῶν συναγαγεῖν, ὥσπερ καὶ τὰ τῶν ἰουδαίων. τὸ δὲ δεῖ ἐνταῦθα οὐκ ἀνάγκης ἐστὶν, ἀλλὰ τοῦ πάντως ἐκβησομένου σημαντικόν. καὶ γενήσεται μία ποίμνη, εἷς ποιμὴν, ἐν γὰρ χριστῷ

Πρὸς γαλ. γʹ.

Ἰησοῦ οὐκ ἔνι ἕλλην καὶ ἰουδαῖος, οὐδὲ διαφορά τις, εἷς γὰρ χαρακτὴρ ἅπασι, μία σφραγὶς ἡ τοῦ βαπτίσματος, εἷς ποιμὴν, ὁ λόγος τοῦ θεοῦ καὶ θεός. καὶ αἰσχυνέσθωσαν μανιχαῖοι τὴν παλαιὰν διαθήκην ἀποβάλλοντες, ἀκουέτωσαν, ὅτι μία ποίμνη, εἷς ποιμὴν, ὁ γὰρ αὐτὸς θεὸς παλαιᾶς τε καὶ νέας.

» Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω
» αὐτήν. οὐδεὶς αἴρει αὐτὴν ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἐγὼ τίθημι αὐτὴν ἀπ᾽ ἐμαυτοῦ. ἐξουσίαν
» ἔχω θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ταύτην τὴν ἐντολὴν ἔλα-
» βον παρὰ τοῦ πατρός μου. σχίσμα οὖν πάλιν ἐγένετο ἐν τοῖς ἰουδαίοις διὰ τοὺς λόγους
» τούτους. ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν, ὅτι δαιμόνιον ἔχει, καὶ μαίνεται, τί αὐτοῦ ἀκούε-
» τε; ἄλλοι ἔλεγον, ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου. μὴ δαιμόνιον δύναται
» τυφλῶν ὀφθαλμοὺς ἀνοίγειν; Ἐπειδὴ ἀλλότριον αὐτὸν τοῦ πατρὸς ἔλεγον καὶ πλάνον καὶ λυμεῶνα, οὐχὶ σωτῆρα ψυχῶν, δείκνυσι δι᾽ ὧν φησιν, ὅτι οὐκ εἰμὶ ὑμῶν λυμεών. ἀλλὰ πάντα ὑπὲρ ὑμῶν ἕτοιμος δέξασθαι. εἰ δὲ καὶ διὰ μηδὲν ἄλλο, ἀλλ᾽ οὖν διότι τοσοῦτον ὑμᾶς ἀγαπᾷ ὁ θεὸς, ὥστε κἀμὲ διὰ τοῦτο ἀγαπᾶσθαι παρ᾽ αὐτοῦ, ἐπειδὴ ὑπὲρ ὑμῶν ἀποθνήσκω. πῶς οὖν πλανήσω ὑμᾶς, οὓς οἶδα ἀγαπητοὺς τῷ θεῷ, ἀλλ᾽ οὐχὶ μᾶλλον σπουδάσω ὑπὲρ ὑμῶν ἀποθανεῖν, ὡς εἰ καὶ διὰ μηδὲν ἄλλο, διὰ τοῦτο γοῦν ἀγαπηθησόμενος πλέον ὑπὸ τοῦ πατρός μου; ταῦτα δὲ λέγει τὰ οὕτω ταπεινὰ, συγκαταβαίνων, διὰ τὸ, τοὺς ἀκούοντας μὴ παραδέχεσθαι αὐτὸν τὰ ὑψηλὰ πε-

ρὶ ἑαυτοῦ

ἐν ἑαυτῷ λέγοντα. ἐπεὶ ἄλλως γε σκοπούμενον τὸ ῥητὸν, ἄτοπον δόξει, τί γὰρ τὸν ἔμπροσθεν χρόνον οὐκ ἠγαπᾶτο, ἀλλὰ νῦν τῆς ἀγάπης ἤρξατο ὁ πατὴρ, καὶ ὁ ὑπὲρ ἡμῶν θάνατος γέγονεν αὐτῷ ταύτης αἴτιος; οὐκ ἔστι τοῦτο, ἀλλ᾽ ὅπερ εἶπον, συγκαταβαίνων ταῦτά φησιν. εἴποι δ᾽ ἄν τις καὶ τοῦτο, ὅτι ἐπειδὴ ἡ περὶ ἡμᾶς ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς ὁμολογουμένη ἦν, εἶδε δὲ ὁ θεὸς πατὴρ καὶ τὸν υἱὸν αὐτοῦ τὴν αὐτὴν χρηστότητα περὶ ἡμᾶς ἐνδειξάμενον, ὥστε καὶ ὑπὲρ ἀποθανεῖν ἐθελῆσαι, καὶ τῆς τοῦ πατρὸς ἀγαθότητος τοὺς χαρακτῆρας ἀκριβεῖς ἀποσώζοντα, ἠγάπησεν εἰκότως, οὐ μισθὸν ὥσπερ τινὰ τοῦ ὑπὲρ ἡμῶν θανάτου τὴν ἀγάπην δωρούμενος τῷ υἱῷ, ἀλλὰ τῆς οὐσίας τῆς ἑαυτοῦ τὸ γνήσιον ἐν υἱῷ θεωρῶν, καὶ ὥσπερ τισὶ φύσεως θεσμοῖς ἀναγκαίοις καὶ ἀπαραιτήτοις πρὸς τοῦτο καλούμενος. ἢ γὰρ οὐ μεγάλης ἀγάπης ἔργον εἰς ἡμᾶς ὁ υἱὸς ἐνεδείξατο, ἀδόξως θανὼν ὑπὲρ ἡμῶν, καὶ οὐ μόνον θανὼν, ἀλλὰ καὶ πάλιν λαβὼν τὴν ψυχὴν, ἵνα νεκρώσῃ τὸν θάνατον, καὶ ἡμῖν τὴν ἀθανασίαν διὰ τῆς ἀναστάσεως κατεργάσηται; τοῦτο οὖν δηλοῖ, ὅταν λέγῃ, ὅτι ὁ πατὴρ ἀγαπᾷ με, διότι ἀποθνήσκω ὑπὲρ ἡμῶν, τὸ ὡσανεὶ γάννυσθαι καὶ χαίρειν τὸν πατέρα, ὅτι ὁ υἱὸς αὐτῷ ἔοικε, καὶ τῆς πρὸς ἀνθρώπους ἀγάπης αὐτοῦ τοὺς χαρακτῆρας ἀποσώζει. τὸ δὲ οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ, διὰ τοὺς κατ᾽ αὐτοῦ φονῶντάς φησιν. ὑμεῖς γάρ φησι, διψᾶτε τοῦ ἐμοῦ αἵματος, ἀλλ᾽ εὖ ἴστε ὡς ἄκοντος ἐμοῦ, οὐδεὶς κατισχύσει. ἔτι δὲ, ἵνα μὴ νομίσῃ τις, ὅτι ὡς ὑπηρέτης καὶ ὑπουργὸς ἀποθνήσκει, ὑπ᾽ ἄλλου κελευόμενος, καὶ ἐκείνῳ ὑπείκων, φησὶ, τὴν ἐξουσίαν τοῦ θανάτου τοῦ ἐμοῦ αὐτὸς ἔχω, ὡς δεσπότης τοῦ θανάτου. διὰ τοῦτο οὖν φησιν, ὅτι ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, εἰ δὲ ἕκαστος ὑμῶν ἐξουσίαν ἔχει τὴν ψυχὴν αὐτοῦ θεῖναι, ἑκάστῳ γὰρ βουλομένῳ δυνατὸν ἑαυτὸν ἀνελεῖν, ἀλλ᾽ οὐ περὶ τοῦ τοιούτου τρόπου φησὶν ὁ κύριος, ἀλλ᾽ ὅτι ἄκοντός μου, οὐδεὶς ἂν δυνηθείη τοῦτο ποιεῖν· ὅπερ ἐπὶ τῶν ἀνθρώπων οὐ γίνεται, καὶ γὰρ καὶ ἄκοντες ἀναιρούμεθα ὑπ᾽ ἄλλων, ὁ δὲ Χριστὸς οὐκ ἄν ποτε ἄκων ἔπαθεν· διὸ ὡς μὴ ἄλλως θανάτῳ ὑποκείμενος, εἰ μὴ μόνον ἑκὼν, ἔχει καὶ τὸ μεῖζον, τὸ λαβεῖν τὴν ψυχὴν πάλιν. ταύτην τε τὴν ἐντολήν φησι λαβεῖν παρὰ τοῦ πατρὸς, τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κόσμου, τοσοῦτον γὰρ, φησὶν, οὐκ εἰμὶ ἀντίθεος, ὥστε καὶ αὐτὸ τοῦτο τὸ ἀποθανεῖν παρὰ τοῦ πατρὸς ἐντέταλμαι· εἰπὼν δὲ πρότερον τὸ ὑψηλὸν, τὸ, ἐξουσίαν ἔχω λαβεῖν τὴν ψυχήν μου, δεσπότην γὰρ αὐτὸν τοῦ θανάτου τοῦτο δείκνυσι καὶ τῆς ζωῆς ἀρχηγὸν, πάλιν τὸ ταπεινὸν τίθησι, τὸ, ἐντολὴν ταύτην ἔλαβον παρὰ τοῦ πατρός μου. οὕτω πλέκει θαυμασίως ἀμφότερα, καὶ τὸ μὴ ἐλάττω νομισθῆναι, καὶ δοῦλος τοῦ πατρὸς, καὶ τὸ μὴ ἀντίθεος, ἀλλ᾽ ὁμοδύναμος ἅμα καὶ ὁμόβουλος. αὐτίκα γοῦν οὕτως ὠφέλησε τοὺς πολλοὺς τῶν ἀκουόντων διὰ τὸ τοιαῦτα λέγειν, ὥστε καὶ σχίσμα γενέσθαι· τινὲς μὲν γὰρ ἐπειδὴ τὰ ῥήματα ἐδόκουν αἰνιγματώδη αὐτοῖς, δαιμονᾶν αὐτὸν ἐδόκουν ἀσύνετα φθεγγόμενον. οἱ δέ γε μετρίως συνιέντες ἔλεγόν φησι, ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου. εἶτα ἐπεὶ ἀπὸ τῶν ῥημάτων οὐκ ἠδύνατο ἐπιστομίζειν αὐτοὺς, οὔτε γὰρ αὐτοὶ οἱ εὐγνώμονες δῆθεν ἀκριβῶς ἂν παρηκολούθουν τοῖς ὑπὸ τοῦ κυρίου λεγομένοις, οὔτε ἐκείνους ἂν ἔπεισαν, ἀπὸ τῶν πραγμάτων πειρῶνται συνηγορεῖν τῷ Χριστῷ, καί φασιν, ὅτι ταῦτα τὰ ῥήματα οὐκ εἰσὶ δαιμονιζομένου· πόθεν δὲ δῆλον τοῦτο; ἀπὸ τῶν ἔργων· μὴ δαιμόνιον δύναται ὀφθαλμοὺς τυφλῶν ἀνοίγειν; ἐπεὶ οὖν τὸ ἔργον θεῖον, καὶ τὰ ῥήματα ἄρα τοιαῦτα. διατί δὲ ὁ Χριστὸς οὐδὲν ἀποκρίνεται πρὸς τοὺς λέγοντας αὐτὸν δαιμονᾶν; διότι ἱκανοὶ ἦσαν ἐπιστομίζειν αὐτοὺς, καὶ ἀξιοπιστότεροι οἱ ἐναντιούμενοι αὐτοῖς, καὶ ὑπὲρ αὐτοῦ ἀπολογούμενοι, ἐπεὶ οὖν κατ᾽ ἀλλήλων ἵσταντο διαιρεθέντες, τί ἔτι ἔδει λοιπὸν καὶ αὐτὸν ἀντιλέγειν τοῖς διαβάλλουσιν, καὶ ταῦτα μα-

δὲ τοσοῦτον ἀξιόπιστον ἐσόμενον;

Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν τοῖς ἱεροσολύμοις, καὶ χειμὼν ἦν, καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ τοῦ σολομῶντος· ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ, ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ, ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε. τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ, ἀλλ᾽ ὑμεῖς οὐ πιστεύετε, οὐ γάρ ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς εἶπον ὑμῖν·

Ποῖα ἐγκαίνια ἐγένετο ἐν ἱεροσολύμοις; τινὲς μέν φασιν, ὅτι καθ᾽ ἣν ἡμέραν ᾠκοδομήθη ὁ ναὸς ὑπὸ τοῦ σολομῶντος, κατ᾽ αὐτὴν ἑόρταζον τὰ ἐγκαίνια. ἄλλοι δὲ οὐ τοῦτό φασιν, ἀλλὰ τῆς μετὰ τὴν αἰχμαλωσίαν οἰκοδομῆς τοῦ ναοῦ τὰ ἐγκαίνια νῦν λέγειν τὸν εὐαγγελιστήν· λαμπρὰν δὲ ἦγον τὴν ἑορτὴν, καὶ δημοτελῆ. ὡς γὰρ τὸν οἰκεῖον κόσμον ἀπολαβούσης τῆς πόλεως μετὰ τὴν μακρὰν ἐκείνην αἰχμαλωσίαν, χαρμονῆς ἡμέραν τὴν τῶν ἐγκαινίων ἐποιοῦντο. ἐν ταύτῃ οὖν τῇ ἑορτῇ παρῆν καὶ ὁ Ἰησοῦς, λοιπὸν γὰρ τῇ ἰουδαίᾳ συνεχῶς ἐπεχωρίαζεν. ἐπειδὴ τὸ πάθος ἐπὶ θύραις ἦν. χειμὼν γὰρ ἐνειστήκει, μεθ᾽ ὃν χειμῶνα ἐν τῷ πρώτῳ τοῦ ἔαρος μηνὶ ἔπαθεν ὁ κύριος. διὸ καὶ ὁ εὐαγγελιστὴς ἐπεσημήνατο τὸν καιρὸν, δεικνύων ὅτι ἐγγὺς ἦν ὁ καιρὸς τοῦ πάθους, καὶ διὰ τοῦτο τοῖς ἱεροσολύμοις ἐπεχωρίαζεν ὁ κύριος. ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ τῷ μὲν δοκεῖν, ἐκ πόθου τινὸς καὶ φιλομαθίας ἐρωτῶσιν εἰπεῖν αὐτοῖς, εἰ αὐτός ἐστιν ὁ χριστὸς, τῇ δὲ ἀληθείᾳ ἐκ πονηροῦ καὶ διεφθαρμένης γνώμης ἡ ἐρώτησις. τῶν γὰρ ἔργων κηρυττόντων αὐτὸν εἶναι τὸν χριστὸν, ἐκεῖνοι ἀπὸ ῥημάτων ἐζήτουν μαθεῖν, ὃ παιζόντων μᾶλλον ἐστὶ, καὶ ἐπεγγελώντων. ὅμως δὲ ἡ ἐρώτησις πολλῆς ἀγνωμοσύνης γέμουσα καὶ κατειρωνευσαμένη τυγχάνουσα, τὴν μοχθηρίαν αὐτῶν δεικνύει. εἰπὲ γάρ, φησιν, ἡμῖν παῤῥησίᾳ, καὶ μὴν πολλαχοῦ ἔλεγε παῤῥησίᾳ, καὶ ταῖς ἑορταῖς ἐπιχωριάζων καὶ οὐδὲν ἐν τῷ κρυπτῷ λαλῶν, καὶ υἱὸν θεοῦ ἑαυτὸν ὀνομάζων, καὶ φῶς, καὶ ὁδὸν, καὶ θύραν, καὶ τὸν μωσῆν παράγων μάρτυρα. διὸ ἐλέγχων αὐτοὺς ὁ κύριος ὡς ἐκ πονηρᾶς φθεγγομένους γνώμης, εἶπον ὑμῖν, φησι, πολλάκις καὶ οὐ πιστεύετε. ἄλλως τε, τί προσποιεῖσθε τὸ ἀπὸ ψιλοῦ ῥήματος πισθῆναι; τὰ ἔργα, ἃ ἐγὼ ποιῶ οὐχ ὡς ἀντίθεος, ἀλλ᾽ ἐν ὀνόματι τοῦ πατρός μου, οὐ δέχεσθε, καὶ πῶς ψιλῷ λόγῳ πιστεύσετε; πάντως γὰρ τοῖς ἔργοις πλείων πρὸς τὸ πείθειν δύναμις, ἢ τοῖς λόγοις. ὃ καὶ δι᾽ αὐτῶν οἱ εὐγνωμονέστεροι ἔλεγον, μὴ δύναται ἄνθρωπος ἁμαρτωλὸς σημεῖα τοιαῦτα ποιεῖν; διὰ τοῦτο δέ, φησιν, οὐ πιστεύετέ μοι, ὅτι οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν. ἐγὼ μὲν γὰρ ὡς ποιμὴν καλὸς, ἅπερ ἐχρῆν ποιῆσαι, ἐποίησα, εἰ δὲ ὑμεῖς οὐκ ἀκολουθεῖτε, οὐκ ἐγὼ τῆς τοῦ ποιμένος, ἀλλ᾽ ὑμεῖς τῆς τῶν προβάτων ἀνάξιοι ἐστὲ κλήσεως. σπούδαζε δὲ καὶ σὺ, ἐν ὅσῳ χειμών ἐστιν, ὁ παρὼν λέγω βίος, ὁ ἀεὶ ταραχὰς ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας ἔχων, τὰ ἐγκαίνια ἑορτάσαι τοῦ πνευματικοῦ σου ναοῦ, ἀεὶ νέος γινόμενος, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος. τότε γὰρ δή σοι καὶ ὁ Ἰησοῦς παρέσται τὴν τῶν ἐγκαινίων τούτων συνεργαζόμενος ἑορτὴν ἐν τῇ στοᾷ τοῦ σολομῶντος, ἐν τῇ σκέπῃ αὐτοῦ περιφρουρῶν σε, καὶ εἰρηνεύειν σε ποιῶν ἀπὸ τῶν παθῶν. αὐτὸς

ψαλ. π. γὰρ ἔσται ὁ Σολομῶν, ὃς εἰρηνικὸς ἑρμηνεύεται. ὅστις οὖν ἐν τῇ σκέπῃ τοῦ χριστοῦ τοῦ εἰρηνικοῦ αὐλίζεται κατὰ τὸν προφήτην, ἔχει αὐτὸν τὸν κύριον συνεορτάζοντα αὐτῷ τὰ τῆς ψυχῆς ἐγκαίνια, ἐν ὅσῳ ὁ χειμὼν, ὁ βίος οὗτος ἐνίσταται. ἔαρ γὰρ ὁ μέλλων αἰὼν καθ᾽ ὃν τὰ πάντα ἀναζῆ, καὶ παλιγγενεσίαν λαμβάνει, καθ᾽ ὃν οὐδεὶς τὴν ψυχὴν ἐγκαινίσαι δύναται, τῷ γὰρ παρόντι αἰῶνι πάντα τὰ τοιαῦτα συγκλείεται·

Καθὼς εἶπον ὑμῖν, τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτὰ,

» αὐτὰ, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται
» εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάζει τὶς αὐτὰ, ἐκ τῆς χειρός μου. ὁ πατήρ μου ὃς ἔδωκέ-
» μοι, μείζων πάντων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάζειν αὐτὰ ἐκ τῆς χειρὸς τοῦ πα-
» τρός μου. ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. Ἐπειδὴ εἶπεν αὐτοῖς, ὅτι οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν, νῦν προτρέπεται αὐτοὺς, ὥστε γενέσθαι πρόβατα. διὸ καὶ ἐπάγει λέγων, τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, καὶ ἀκολουθοῦσί μοι. εἶτα παρακνίζων αὐτοὺς λέγει, καὶ ὧν ἐπιτεύξονται οἱ αὐτῷ ἀκολουθοῦντες. ζωὴν γάρ, φησιν, αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα καὶ τὰ ἑξῆς. πάντως δὲ διὰ τῶν ῥημάτων τούτων διεγείρει αὐτοὺς, καὶ εἰς ζῆλον καὶ ἐπιθυμίαν ἐμβάλλει τοῦ καὶ αὐτοὺς ἀκολουθῆσαι αὐτῷ, ὡς τοιαῦτα δωρουμένῳ. διὰ τί δέ, φησιν, οὐ μὴ ἀπόλωνται; διότι οὐδεὶς δύναται ἁρπάζειν αὐτὰ ἐκ τῆς χειρός μου, διότι ὁ πατήρ μου, ὅς ἔδωκέ μοι ταῦτα, μείζων πάντων ἐστὶ, καὶ ἀπὸ τῆς χειρὸς τούτου, οὐδεὶς δύναται ἁρπάζειν αὐτὰ, ὥστε οὐ δὲ ἀπὸ τῆς ἐμῆς χειρός. ἡ γὰρ χεὶρ ἡ ἐμὴ καὶ τοῦ πατρὸς μία, ἐγὼ γὰρ καὶ ὁ πατὴρ ἕν ἐσμεν κατὰ τὴν ἐξουσίαν δηλαδὴ καὶ τὴν δύναμιν, χεῖρα γὰρ τὴν ἐξουσίαν καὶ τὴν δύναμιν λέγει. ἐγὼ τοίνυν καὶ ὁ πατὴρ ἕν ἐσμεν κατὰ τὴν φύσιν, καὶ τὴν οὐσίαν, καὶ τὸ κράτος. ὅπερ οὖν καὶ οἱ Ἰουδαῖοι συνιδόντες, ὅτι ὁμοούσιον ἑαυτὸν ποιεῖ διὰ τούτων τῶν ῥημάτων τοῦ θεοῦ, λίθοις ἔβαλλον αὐτὸν, ὡς υἱὸν θεοῦ ἑαυτὸν ποιοῦντα. ἀλλ' ἐρωτήσειεν ἄν τις, πῶς εἶπεν ὁ κύριος, ὅτι οὐδεὶς ἁρπάσει αὐτὰ ἐκ τῆς χειρὸς τοῦ πατρός μου; καίτοι γε πολλοὺς ὁρῶμεν ἀπολλυμένους. ἔστιν οὖν εἰπεῖν, ὅτι ἁρπάσαι μὲν οὐδεὶς δύναται ἐκ τῆς χειρὸς τοῦ πατρὸς, ἀπατῆσαι δὲ πολλοί. βίᾳ μὲν γὰρ καὶ τυραννίδι ἀποσπάσαι οὐδεὶς ἰσχύει ἐκ θεοῦ, ἀπάτῃ δὲ καθεκάστην ὑποσκελιζόμεθα. πῶς δέ φησι τὰ πρόβατά μου ἐμοὶ ἀκολουθοῦσι, καὶ οὐ μὴ ἀπόλωνται; ὁρῶμεν γὰρ, ὅτι Ἰούδας ἀπώλετο, ἀλλὰ διὰ τοῦτο ἀπώλετο, διότι οὐκ ἠκολούθησεν, οὐ δὲ πρόβατον ἔμεινεν ἄχρι τέλους. ὁ δὲ χριστὸς περὶ τῶν ἀκολουθησάντων αὐτῷ καὶ προβάτων ὄντων, φησὶν, ὅτι οὐ μὴ ἀπόλωνται. ἐπεί γε ἐάν τις ἀποπέσῃ τῆς τῶν προβάτων τάξεως, καὶ τοῦ ἀκολουθεῖν τῷ ποιμένι, εὐθὺς ἀπόλλυται. χρήσῃ δὲ καὶ κατὰ τῶν μανιχαίων τῷ περὶ τὸν Ἰούδαν συμβάντι, καὶ γὰρ οὗτος ἅγιος ὢν καὶ πρόβατον θεοῦ, ἀπέπεσεν. ἐθελότρεπτος δηλαδὴ ὢν, καὶ αὐθαιρέτως ἐκπεσών. οὐκ ἄρα φύσει εἰσὶ τὰ κακὰ, ἢ τὰ ἀγαθὰ, ἀλλὰ προαιρέσει καὶ συνίστανται καὶ λύονται.

» Ἐβάστασαν οὖν πάλιν λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν αὐτόν. ἀπεκρίθη αὐτοῖς ὁ
» Ἰησοῦς, πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου, διὰ ποῖον αὐτῶν ἔργον λι-
» θάζετέ με; ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι λέγοντες, περὶ καλοῦ ἔργου οὐ λιθάζομέν
» σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν θεόν. ἀπεκρίθη αὐ- ψαλ. πα'.
» τοῖς ὁ Ἰησοῦς, οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν, ἐγὼ εἶπα θεοί ἐστε; εἰ ἐκείνους εἶ-
» πε θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή, ὃν ὁ
» πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, ὅτι βλασφημεῖς, ὅτι εἶ-
» πον υἱὸς τοῦ θεοῦ εἰμί; Ἐπειδὴ εἶπεν, ὅτι ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν κατὰ τὴν ἐξουσίαν πάντως καὶ τὴν δύναμιν, καὶ ἔδειξε μίαν οὖσαν τὴν χεῖρα τοῦ πατρὸς καὶ τὴν ἑαυτοῦ, βλασφημίαν τὸ πρᾶγμα ἐνόμισαν οἱ Ἰουδαῖοι, καὶ λίθοις βάλλουσιν, ὡς ἴσον ἑαυτὸν ποιοῦντα τῷ θεῷ. ὁ τοίνυν κύριος ἐντρέπων αὐτοὺς, καὶ δεικνύων ὅτι οὐδεμίαν αἰτίαν εὔλογον ἔχουσι τῆς κατ' αὐτοῦ μανίας, ἀλλὰ μάτην λυττῶσιν, ἀναμιμνήσκει αὐτοὺς τῶν παρ' αὐτοῦ γεγενημένων θαυμάτων, καὶ πολλὰ καλὰ ἔργα, φησὶν, ἐνεδειξάμην ὑμῖν, διὰ ποῖον αὐτῶν λιθάζετέ με; οἱ δὲ περὶ βλασφημίας φασὶ λιθάζομέν σε, ὅτι ποιεῖς σεαυτὸν θεόν. αὐτὸς οὖν οὐκ ἀρνεῖται τοῦτο, οὐ δὲ λέγει, ὅτι

οὐ ποιῶ ἐμαυτὸν θεόν, οὐκ εἰμὶ ἴσος τῷ πατρί, ἀλλὰ μᾶλλον ἐπιβεβαιοῖ τὴν ἐκείνων γνώμην, καὶ κατασκευάζει, ὅτι θεός ἐστιν ἀπὸ τῶν ἐν τῷ νόμῳ γεγραμμένων. νόμον δὲ λέγει καὶ τὴν τοῦ Δαβὶδ βίβλον, ὥσπερ καὶ πᾶσαν ἁπλῶς τὴν γραφήν· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, εἰ οἱ χάριν τὴν θέωσιν προσλαβόντες, θεοί εἰσι, καὶ οὐκ ἐγκαλοῦνται, πῶς ἐγὼ δικαίως ἐπιτιμῶμαι, ὑφ' ὑμῶν, ὁ φύσει θεὸς ὤν, οὗ ὁ πατὴρ ἡγίασε, τουτέστιν, ἀφώρισε σφαγιασθῆναι ὑπὲρ τοῦ κόσμου; ἅγια γὰρ τὰ ἀφωρισμένα λέγονται τῷ θεῷ. πρόδηλον γάρ, ὅτι ἐπειδή με ἡγίασεν, καὶ ἀφώρισεν ὁ πατὴρ εἰς τὴν τοῦ κόσμου σωτηρίαν, οὐκ ἴσος τοῖς ἄλλοις εἰμὶ θεοῖς, ἀλλὰ θεὸς ἀληθινός. θεοῦ γὰρ ὄντως ἔργον τὸ σώζειν, ἀλλ' οὐκ ἀνθρώπου χάριτι θεωθέντος. εἰ τοίνυν ἐκεῖνος πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο, τουτέστιν ἐγώ, λόγος γὰρ ἐγὼ τοῦ θεοῦ, καὶ ἐνοικήσας ἐν ἐκείνοις, ἐχαρισάμην αὐτοῖς τὴν υἱοθεσίαν, εἰ οὖν ἐκεῖνοι θεοί, πολλῷ μᾶλλον ἐγὼ πάσης δὴ εἴην αἰτίας ἐκτός, θεὸν ἐμαυτὸν καλῶν ὁ καὶ φύσει ὤν, καὶ τοῖς ἄλλοις τοῦτο χαριζόμενος. αἰσχυνέσθωσαν ἐντεῦθεν ἀρειανοὶ καὶ νεστοριανοί, υἱός τε γὰρ θεοῦ, καὶ θεὸς οὐσία καὶ φύσει ὁ χριστός, ἀλλ' οὐκ κτίσμα, καὶ τοῖς ἄλλοις χαρίζεται τὴν θεότητα, πρὸς οὓς δὴ γένοιτο λόγος ὢν τοῦ θεοῦ, ἀλλ' οὐ χάριτι αὐτὸς θεοῦται. ἀποδιαστέλλει γὰρ προφανῶς ἑαυτὸν ἀπὸ τῶν χάριτι θεουμένων, διὰ τῶν ἐνταῦθα λεγομένων, καὶ δείκνυσιν ὅτι κἀκείνοις αὐτὸς πρόξενος τῆς θεώσεως, λόγος ὢν τοῦ θεοῦ καὶ ἐνοικῶν αὐτοῖς. τοῦτο γὰρ σημαίνει διὰ τοῦ εἰπεῖν πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο, τουτέστι, μεθ' ὧν ἐγένετο, οἷς ἐνῴκησε. πῶς οὖν βλασφημῶ, λέγων υἱὸν θεοῦ ἐμαυτόν; εἰ γὰρ καὶ σάρκα φορῶ, καὶ ἐκ σπέρματος Δαβὶδ εἰμί, ἀλλ' ἀγνοεῖτε τὸ μυστήριον, καὶ ὅτι οὐκ ἄλλως ἠδύνατο ἡ σαρκίνη τῶν ἀνθρώπων φύσις δέξασθαι θεοῦ ὁμιλίαν, εἰ μὴ διὰ σαρκὸς ὡμίλησε ταύτῃ, ὡς ἐν παραπετάσματι·

» Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι, εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πι-
» στεύητε, τοῖς ἔργοις πιστεύσατε, ἵνα γνῶτε καὶ πιστεύσητε, ὅτι ὁ πατὴρ ἐν ἐμοί, κἀγὼ ἐν
» αὐτῷ· Θέλετε, φησί, γνῶναι τὴν πρὸς τὸν πατέρα ἰσότητα; ἀπὸ τῆς οὐσίας οὐ δύνασθε γνῶναι, ἀδύνατον γὰρ γνῶναι οὐσίαν θεοῦ, ἀπὸ τῆς τῶν ἔργων οὖν ἰσότητός τε καὶ ταυτότητος ἀπόδειξιν τῆς κατὰ τὴν δύναμιν ταυτότητος λάβετε, ἀπὸ τούτων γὰρ ἔσται ὑμῖν ἡ τῆς ἐμῆς θεότητος μαρτυρία. καὶ γνώσεσθε, καὶ πιστεύσετε, ὅτι οὐδὲν ἄλλο ἐγώ εἰμι, ἢ ὅπερ ὁ πατήρ, τὴν γὰρ αὐτὴν οὐσίαν ἔχω μόνον υἱός, καὶ τῇ ὑποστάσει διαφέρων, ὡσαύτως καὶ ὁ πατὴρ μόνον πατήρ, καὶ τῇ ὑποστάσει διαφέρων, οὐδὲν ἄλλο ἐστί, ἢ υἱὸς κατὰ τὴν οὐσίαν δηλαδὴ καὶ τὴν φύσιν. εἰ δὲ καὶ ταῖς ὑποστάσεσι διαφέρομεν, ἀλλ' οὐ χωρίζονται αἱ ὑποστάσεις καὶ διΐστανται, ἀλλ' ἐν ἀλλήλοις εἰσὶν ἀσυγχύτως ὁ πατὴρ καὶ ὁ υἱός, οὐ γὰρ ὥσπερ ἐφ' ἡμῶν ὁ πατὴρ κεχώρισται τοῦ υἱοῦ, καὶ τῇ φύσει ἕν ἐστιν, οὕτως ἄρα καὶ ἐπὶ τῶν θείων ὑποστάσεων, ἀλλ' ἐν ἀλλήλοις εἰσὶν ἀσυγχύτως διὸ καὶ ἡμεῖς τρεῖς ἄνθρωποι λεγόμεθα ὡς ταῖς ὑποστάσεσι διϊστάμενοι καὶ οὐχ ἓν κυρίως ὄντες, ἐπὶ δὲ τῆς ἁγίας τριάδος εἷς θεός, ἀλλ' οὐ τρεῖς θεοὶ διὰ τὴν τῶν ὑποστάσεων ἀσύγχυτον ἐν ἀλλήλοις περιχώρησιν. πρόσθες καὶ τὴν ταυτοβουλίαν καὶ τὸ ταυτοθελές·

» Ἐζήτουν οὖν πάλιν αὐτὸν πιάσαι, καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν, καὶ ἀπῆλθε
» πάλιν πέραν τοῦ ἰορδάνου εἰς τὸν τόπον, ὅπου ἦν ἰωάννης τὸ πρῶτον βαπτίζων, καὶ
» ἔμεινεν ἐκεῖ. καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν καὶ ἔλεγον, ὅτι ἰωάννης μὲν σημεῖον ἐποίη-
» σεν οὐδέν, πάντα δὲ ὅσα εἶπεν ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν. καὶ ἐπίστευσαν πολ-
» λοὶ ἐκεῖ εἰς αὐτόν· Ζητοῦσι μὲν πιάσαι τὸν κύριον, μὴ φέροντες αὐτὸν τὴν ὑψηλὴν περὶ αὐτοῦ μαρτυρίαν ποιούμενον, οὐ γὰρ ἠνείχοντο αὐτοῦ τὰ κρείττω θεολογοῦντος. αὐτὸς

τος. αὐτὸς δὲ ὑποχωρεῖ, ἐνδιδοὺς αὐτῶν τῷ θυμῷ, καὶ διὰ τῆς ἀπουσίας λῆξαι αὖθις τὸ πάθος τοῦ θυμοῦ παρασκευάζων. καὶ ἀκόντων δὲ αὐτῶν ὑποχωρεῖ, δεικνὺς ὃ πολλάκις εἴπομεν, ὅτι οὐδ᾽ ἂν ἐν τῷ σταυρῷ συνελήφθη, εἰ μὴ ἑκὼν ἑαυτὸν ἐδίδου. ποῦ δὲ ὑποχωρεῖ; πέραν τοῦ Ἰορδάνου, ὅπου Ἰωάννης ἐβάπτιζεν. οὐκ ἀλόγως ἐκεῖσε ἀναχωρήσας. ἀλλ᾽ ἀναμιμνήσκων τοὺς πολλοὺς τῶν ἐκεῖ γενομένων, καὶ τῶν λεχθέντων παρὰ Ἰωάννου περὶ αὐτοῦ. ὅτι δὲ πολλοὺς ὤνησεν ἡ περὶ τὸν τόπον διατριβὴ, ἐπήγαγεν ὁ εὐαγγελιστὴς λέγων, καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν, καὶ ἀναμνησθέντες τοῦ τόπου, ἔλεγον, φησὶν, ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, εἰ ἐκείνῳ ἐπιστεύσαμεν μηδὲν πεποιηκότι σημεῖον, πολλῷ μᾶλλον τούτῳ τῷ τοσαῦτα θαύματα ἐργασαμένῳ. ἐπεὶ δὲ Ἰωάννης ἐμαρτύρησε μὲν περὶ τοῦ χριστοῦ, οὐδὲν δὲ σημεῖον ἐποίησε, καὶ διὰ τοῦτο ἴσως οὐκ ἀξιόπιστος ἂν ἐνομίσθη, ἐπήγαγε λέγων, πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν, οὐκ ἔτι τοῦτον ἐξ ἐκείνου, ἀλλ᾽ ἐκεῖνον ἀφ᾽ ὧν ὁ χριστὸς ἐποίησεν ἀξιόπιστον ἀποφαίνοντες διὸ πολλοί φησιν, ἐκεῖ ἐπίστευσαν. τὸ δὲ ἐκεῖ δηλοῖ, ὅτι μεγάλως ὁ τόπος ἐκεῖνος αὐτοὺς ὠφέλησεν. ἐπεὶ καὶ τούτου χάριν συνεχῶς ἐξάγει τοὺς ὄχλους ὁ Ἰησοῦς εἰς ἐρήμους τόπους, τῆς τῶν πονηρῶν ἀνθρώπων συνουσίας ἐλευθερῶν πρὸς τὸ καρπώσασθαί τι μέγα, καθάπερ καὶ ἐπὶ τῆς παλαιᾶς ποιήσας φαίνεται, ἐξαγαγὼν μὲν τῆς Αἰγύπτου, ἐν ἐρήμῳ δὲ διαπλάττων τὸν λαὸν καὶ ῥυθμίζων διὰ τοῦ νόμου δοῦναι αὐτῷ. σκόπει δὲ καὶ πνευματικῶς τελουμένην τὴν ὑποχώρησιν τοῦ χριστοῦ. ἀναχωρεῖ μὲν γὰρ ἐκ τῶν Ἱεροσολύμων, τουτέστι τοῦ Ἰουδαϊκοῦ λαοῦ. εἰς τόπον δὲ πηγὰς ἔχοντα μεθίσταται, τὴν ἐξ ἐθνῶν δηλαδὴ ἐκκλησίαν, τὴν τὰς πηγὰς ἔχουσαν τοῦ βαπτίσματος. καὶ δὴ προσέρχονται αὐτῷ πολλοὶ διαπεραιούμενοι τὸν Ἰορδάνην, καὶ διὰ τοῦ βαπτίσματος διερχόμενοι. τὸ γὰρ πέραν τοῦ Ἰορδάνου τοῦτο δηλοῖ, τὴν διὰ τοῦ βαπτίσματος λέγω δίοδον. οὐκ ἄλλως γάρ τις ἔρχεται πρὸς τὸν Ἰησοῦν, καὶ ἀληθῶς πιστὸς γίνεται, εἰ μὴ τὸ βάπτισμα διέλθοι, ὃ διὰ τοῦ Ἰορδάνου δηλοῦται.

Κεφάλαιον ια΄.

» Ἦν δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς
» ἀδελφῆς αὐτῆς. ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν κύριον μύρῳ, καὶ ἐκμάξασα τοὺς πό-
» δας αὐτοῦ ταῖς θριξὶν ἑαυτῆς, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει. ἀπέστειλαν οὖν αἱ ἀδελ-
» φαὶ πρὸς αὐτὸν λέγουσαι, κύριε ἴδε ὃν φιλεῖς ἀσθενεῖ.

Μόνος μὲν Ἰωάννης καὶ ταύτης τῆς ἱστορίας μέμνηται. μέμνηται δὲ διὰ τὸ παιδεῦσαι ἡμᾶς, μὴ δυσχεραίνειν, ἐάν τις ἀσθένεια γένηται περὶ τοὺς σπουδαίους καὶ θεοφιλεῖς ἄνδρας, ἐπεὶ καὶ Λάζαρος ὢν τοῦ Χριστοῦ φίλος, ἠσθένει. Ἰωάν. ιβ΄.
χρὴ δὲ καὶ τοῦτο μὴ ἀγνοεῖν, ὅτι οὐκ ἦν Μαρία αὕτη η΄.
ἡ ἀλείψασα τὸν κύριον μύρῳ, ἡ πόρνη ἡ παρὰ τῷ Λουκᾷ, ἢ ἡ παρὰ τῷ Ματθαίῳ, ἀλ- κη΄.
λ᾽ ἄλλη, οὐχὶ πόρνη, ἀλλὰ σεμνὴ καὶ θεοφιλὴς καὶ σπουδαία. καὶ γὰρ περὶ τὴν ι΄.
ὑποδοχὴν ἐσπούδασε τοῦ χριστοῦ καὶ διηκόνει, ὡς αὐτὸς Ἰωάννης προϊὼν, μαρτυρεῖ. ἀλλὰ καὶ τὴν ἀγαθὴν μερίδα μαρτυρεῖται ἐκλέξασθαι, ὡς ὁ Λουκᾶς φησίν. οὕτω δὲ ἦσαν θαυμασταὶ αἱ ἀδελφαὶ καὶ γνώριμαι, ὥστε καὶ τὸν Λάζαρον ἐξ αὐτῶν μᾶλλον καθίστασθαι γνώριμον, ἦν γάρ, φησιν, ὁ Λάζαρος ἀπὸ Βηθανίας ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας. διατί δὲ πέμπουσι καλοῦσαι τὸν Ἰησοῦν, καὶ οὐκ αὐταὶ προσέρχον- Ματθ. η΄.
ται, ὥσπερ ὁ ἑκατόνταρχος, καὶ ὁ βασιλικός; διότι σφόδρα ἐθάῤῥουν τῷ Χριστῷ, καὶ Λουκ. ζ΄.
ὅτι γυναῖκες ἦσαν, καὶ οὐκ ἔδει αὐτὰς οὕτω ῥᾳδίως προέρχεσθαι τοῦ δωματίου, καὶ Ἰωάν. δ΄.
ὅτι τῷ πένθει κατείχοντο, καὶ ἠσχολοῦντο περὶ τὸν ἀδελφόν. ὅτι γὰρ οὐκ ἀπὸ καταφρονήσεως τοῦτο πεποιήκασι, δῆλον ἐκ τῶν μετὰ ταῦτα, πολλὴν γὰρ τὴν τιμὴν καὶ τὸ

σέβας ἐπιδείκνυνται, καὶ τὴν δέησιν ἐπίμονον. τὸ δὲ ἴδε ὃν φιλεῖς, λέγουσι, πρὸς οἶκτον ἐπισπάσασθαι βουλόμεναι τὸν κύριον, διὰ τοῦ ὑπομνῆσαι αὐτὸν τοῦ τῆς φιλίας ὀνόματος. ἐμφαίνει δέ τινα καὶ πίστιν τοῦτο τὸ ῥῆμα τῶν γυναικῶν. οὕτω γὰρ ᾔδεσαν πολλὴν τῷ κυρίῳ περιεῖναι δύναμιν, ὥστε θαυμάζειν, ὅτι ἥψατο ἀσθένεια ἀνδρὸς φιλουμένου παρ' αὐτοῦ. θαυμαστικὸν γάρ πως εἶναι δοκεῖ, τὸ ἴδε ὃν φιλεῖς ἀσθενεῖ.

Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν, αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ δι' αὐτῆς. ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν, καὶ τὴν ἀδελφὴν αὐτῆς, καὶ τὸν Λάζαρον. ὡς οὖν ἤκουσεν, ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ, δύο ἡμέρας. Ἐπειδὴ ἔμελλεν ἐκεῖ μεῖναι ἡμέρας δύο, τούτου ἕνεκεν φησὶν, ὅτι οὐκ ἔστιν ἡ ἀσθένεια πρὸς θάνατον, καίτοι πρὸς θάνατον γέγονεν. ἀλλ' ὅπερ ἔφην, τέως μετεωρίσαι θέλων τοὺς μηνυτὰς, καὶ οἱονεί τινα παραμυθίαν αὐτοῖς διδοὺς, ὡς ἂν μὴ ἐγκείμενοι ἐνοχλοῖεν, τούτου ἕνεκεν φησὶν, ὅτι οὐκ ἔστι πρὸς θάνατον. ἄλλωστε, εἰ καλῶς σκοπήσεις, οὐδὲ πρὸς θάνατον ἦν ἡ ἀῤῥωστία τοιοῦτον, οἷον θνήσκουσιν οἱ πολλοὶ μακροχρόνιον, ἀλλὰ πρόσκαιρον, καὶ πρὸς τέσσαρας ἡμέρας συστάντα. ἐπεὶ δὲ ἀνέστη τετραήμερος πρὸς τὸ πέρας ὁρῶντες τοῦ πράγματος, λέγομεν μὴ εἶναι πρὸς θάνατον τὴν ἀσθένειαν, ἀλλ' ὑπὲρ τῆς δόξης, φησὶ, τοῦ θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ. ὁρᾷς μίαν τὴν δόξαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ; εἰπὼν γὰρ ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἐπήγαγε, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ. ἀπαράλλακτος γὰρ ἡ τοῦ θεοῦ δόξα, τοῦ πατρὸς δὴ λέγω, πρὸς τὴν τοῦ υἱοῦ. θεὸς ἄρα καὶ ὁ υἱὸς, ὡς ὁ πατὴρ κυρίως καὶ ἀληθῶς, ὧν γὰρ ἡ δόξα μία, καὶ ἡ οὐσία μία. αἰσχυνέσθωσαν τοίνυν κἀντεῦθεν ἀρειανοί. τὸ δὲ ἵνα δοξασθῇ, μὴ αἰτιολογικὸν νοήσῃς, ἀλλὰ τῆς ἐκβάσεως καὶ τοῦ ἀποτελέσματος, ὡς πολλάκις εἴπομεν. οὐ γὰρ ἵνα δοξασθῇ ὁ θεὸς, διὰ τοῦτο ἠσθένησεν ὁ Λάζαρος, ἀλλὰ συνέβη μὲν ἐτορώθεν ἡ ἀῤῥωστία, ἐχρήσατο δὲ ὁ κύριος αὐτῇ εἰς δόξαν θεοῦ. ἔμεινε δὲ ἡμέρας δύο, ἵνα ἀποψύξῃ· καὶ ταφῇ, ἵνα μηδεὶς ἔχῃ λέγειν, ὅτι κάρος ἦν, ὅτι ἔκλυσις ἦν, ὅτι κάτοχος ἐγένετο καὶ οὐκ ἀπέθανε. διὰ τοῦτο καὶ χρόνον τοσοῦτον μένει, ὥστε καὶ φθορὰν γενέσθαι, καὶ εἰπεῖν τὴν ἀδελφὴν, ὅτι ὄζει.

Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς, ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. λέγουσιν αὐτῷ οἱ μαθηταὶ, ῥαββεὶ νῦν ἐζήτουν σε οἱ Ἰουδαῖοι λιθάσαι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; ἀπεκρίθη ὁ Ἰησοῦς, οὐχὶ δώδεκα ὧραι εἰσὶ τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει. ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. Οὐδαμοῦ μὲν ἀλλαχοῦ προεῖπεν, ὅπου μέλλει πορεύεσθαι, ἐνταῦθα δὲ μόνον φαίνεται προλέγων. ἐπειδὴ ἐδεδοίκεισαν σφόδρα οἱ μαθηταὶ τὸ, εἰς τὴν Ἰουδαίαν ἀπελθεῖν. διὰ τοῦτο οὖν προλέγει, ἵνα μὴ τῷ ἀθρόῳ διαταραχθῶσιν, ἐξαίφνης ἀπαγόμενοι εἰς χώραν, ἣν ἐδεδοίκεισαν. ἐπεὶ οὖν ἐφοβοῦντο καὶ ὑπὲρ αὐτοῦ μὲν, οὔπω γὰρ τελείαν τὴν περὶ αὐτοῦ γνῶσιν εἶχον, τὸ δὲ πλέον ὑπὲρ ἑαυτῶν, φασίν. ὅτι νῦν ἐζήτουν σε οἱ Ἰουδαῖοι λιθάσαι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; ὁ δὲ παραθαῤῥύνει αὐτοὺς, καὶ φησὶν, ὅτι ὥσπερ ὁ τὸ φῶς βλέπων οὐ προσπταίει, ὁ δὲ ἐν νυκτὶ περιπατῶν, ἐκεῖνος προσκόπτει, οὕτως ὁ μὲν τὸ ἀγαθὸν ποιῶν, καὶ ἐν φωτεινοῖς ἔργοις περιπατῶν, οὐδὲν πείσεται δεινὸν, ὁ δὲ τὰ φαῦλα πράσσων, πείσεται δεινὸν, ὥστε ὑμᾶς οὐ χρὴ δεδοικέναι, οὐδὲν γὰρ ἄξιον θανάτου ἐπράξαμεν. ἢ καὶ ἄλλως, εἰ ὁ τὸ φῶς, φησὶ, βλέπων τοῦτο, οὐ προσκόπτει, πολλῷ μᾶλλον ὁ μετ' ἐμοῦ ὢν, ἐὰν μὴ ἀποστήσῃ ἑαυτὸν ἐμοῦ, οὐκ ἂν προσκόψει, ὥστε καὶ ὑμεῖς μετ' ἐμοῦ τοῦ φωτὸς ὄντες, μάτην δεδοίκατε. ἄλλοι δὲ ἡμέραν μὲν νοοῦσι τὸν πρὸ τοῦ πάθους καιρὸν, νύκτα δὲ τὸν τοῦ πάθους. ὑμεῖς οὖν, φησὶν, ἕως ἡμέρα ἐστὶν, τουτέστιν ἕως οὔπω ὁ τοῦ

πω ὁ τοῦ πάθους καιρὸς ἐνέστη, οὐ μὴ προσκόψητε, οὐ γὰρ διωχθήσεσθε παρ' Ἰουδαίων,
οὔτε ἄλλο ἀντίξοον ὑμῖν ἀπαντήσεται. ὅταν δὲ ἡ νὺξ ἔλθοι, τὸ πάθος δὴ φημὶ τὸ ἐ-
μὸν, τότε δὴ συσταλήσεσθε μὲν ἐν οἰκίσκῳ ἐνὶ διὰ τὸν φόβον τῶν Ἰουδαίων. ἔκτοτε δὲ
θλίψεις, καὶ ὀδύνας, καὶ πολλὰ προσκόμματα καὶ ἐναντιώματα ἕξετε, ὅτε οὐκ ἔτι
ἐγὼ τὸ φῶς μεθ' ὑμῶν σωματικῶς συνδιάξω, ἀλλὰ νύκτα τὴν τῶν θλίψεων ἕξετε.
» Ταῦτα εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς, λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ
» πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν. εἶπον οὖν οἱ μαθηταὶ αὐτῷ, κύριε εἰ κεκοίμηται, σω
» θήσεται. εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ, ἐκεῖνοι δὲ ἔδοξαν, ὅτι περὶ τῆς
» κοιμήσεως τοῦ ὕπνου λέγει. τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ, λάζαρος ἀπέθα
» νε, καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ. ἀλλ' ἄγωμεν πρὸς αὐτόν. εἶ
» πεν οὖν θωμᾶς ὁ λεγόμενος δίδυμος τοῖς συμμαθηταῖς, ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθά
» νωμεν μετ' αὐτοῦ. Ἐπειδὴ ἐκεῖνοι ἐδεδοίκεσαν τὴν Ἰουδαίαν, φησὶν αὐτοῖς ὁ κύ-
ριος, εἰ καὶ ἐζήτουν με οἱ Ἰουδαῖοι λιθάσαι, ἀλλ' ὡς διαλεγόμενον αὐτοῖς καὶ ἐλέγχον
τα. νῦν δὲ οὐχ ὡς διαλεξόμενος ἄπειμι, ἀλλ' ὡς τὸν φίλον ἐπισκεψόμενος, ὥστε οὐ
χρὴ δεδοικέναι. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἄπειμι ἐφ' οἷς καὶ πρώην, ἵνα καὶ τὸν ἐκ τῶν
Ἰουδαίων φοβηθῶ κίνδυνον, ἀλλ' ἐπὶ φίλου ἐξυπνισμῷ. οἱ δὲ ἐκκόψαι τὴν ἐκεῖ πο-
ρείαν βουλόμενοι, ἀρκετόν φασιν, ἐστιν, εἰ κεκοίμηται, σωθήσεται, οὐκοῦν οὐ δεῖ ἡμᾶς ἀ-
πελθεῖν, οὐ γάρ ἐστιν ἀναγκαῖον. καίτοι αὐτὸς καὶ διὰ τοῦτο προσέθηκε τὸ, ὁ φίλος ἡ-
μῶν, ἵνα δείξῃ ἀναγκαίαν τὴν ἐκεῖ παρουσίαν, ἀλλ' αὐτοὶ οὐκ ἀναγκαίαν ταύτην φα
σὶν, ἤδη ἐκείνου σεσωσμένου διὰ τοῦ ὑπνῶσαι. μᾶλλον δὲ οὐκ ἀναγκαία μόνον ἐστὶν ἡ
παρουσία σου, φασὶν, ἀλλὰ καὶ ἐπιβλαβὴς τῷ φίλῳ. εἰ γὰρ ὁ ὕπνος αὐτῷ εἰς σωτη-
ρίαν, ὡς ἡμεῖς δοκοῦμεν, σὺ δὲ πορευθῆναι μέλλεις, ἵνα ἐξυπνήσῃς, περικόψεις αὐτῷ
τὴν σωτηρίαν. οὔκουν δεῖ ἀπελθεῖν ἐπὶ τῷ ἐξυπνῆσαι, ἐπιβλαβὲς γὰρ τοῦτο. ἐπεὶ οὖν
ἔβλεπεν αὐτοὺς ἔτι ὀκνοῦντας, τότε δὲ παῤῥησίᾳ φησὶν, ὅτι ἀπέθανεν. τίνος δὲ ἕνε-
κεν οὐχὶ καὶ πρότερον οὕτω φανερῶς εἶπεν, ἀλλὰ κεκρυμμένως, ὕπνον ὀνομάσας τὸν
θάνατον; διὰ πολλὰ, ἓν μὲν διὰ τὸ ἀκόμπαστον, οὐ γὰρ ἐβούλετο φαίνεσθαι κομπα-
στὴς, ἀλλὰ κεκρυμμένως τὴν ἀνάστασιν ἐξυπνισμὸν ὠνόμασε. πῶς δ' ἂν ταύτῃ τῇ λέ
ξει ἐχρήσατο, εἰ μὴ τὸν θάνατον ὕπνον ἐκάλεσεν; ὅτι δὲ τοῦτο ἀληθὲς, τὸ διὰ μετριο-
φροσύνην ἐπικεκρυμμένως εἰπεῖν, δῆλον ἐκ τοῦ μετὰ ταῦτα. καὶ γὰρ εἰπὼν, ὅτι ἀ-
πέθανεν, οὐ προσέθηκεν, ὅτι πορεύομαι, ἵνα ἀναστήσω αὐτόν. ὁρᾷς πῶς οὐκ ἐβούλετο
κομπάζειν ἃ διὰ τῶν ἔργων ἔμελλε βεβαιοῦν; ἅμα δὲ καὶ διδάσκων ἡμᾶς, μὴ οὓ-
τως εὐκόλως ὑπισχνεῖσθαι. κἂν γὰρ ἐπὶ τοῦ ἑκατοντάρχου τοῦτο ἐποίησεν, εἶπε γὰρ ὅ- Ματθ. η'.
τι ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. ἀλλ' ἐκεῖ τοῦτο εἶπεν, ἵνα τὴν ἐκείνου πίστιν δείξῃ.
μία μὲν οὖν αὕτη ἡ αἰτία, δι' ἣν τὸν θάνατον ὕπνον ἐκάλεσεν. ἑτέρα δὲ, ἵνα δείξῃ ἡμῖν,
ὅτι καὶ πᾶς θάνατος ὕπνος καὶ ἀνάπαυσις, καὶ τρίτη, ὅτι εἰ καὶ τοῖς ἄλλοις θάνα-
τος ἦν ἡ τοῦ λαζάρου τελευτὴ, ἀλλ' αὐτῷ γε τῷ Ἰησοῦ τῷ ὅσον οὔπω μέλλοντι αὐτὸν
ἀναστῆσαι, ὕπνος ἐλογίζετο. καὶ ὥσπερ ἡμῖν τὸν κοιμώμενον διυπνίσαι ῥᾴδιον, οὕτως ἐ-
κείνῳ, μᾶλλον δὲ, μυριοπλασίως εὐχερέστερον τὸ ἀναστῆσαι τὸν θανόντα. χαίρω δέ φη
σι, δι' ὑμᾶς, ἵνα πιστεύσητέ μοι μᾶλλον νῦν ὡς θεῷ, ὅτι οὐκ ἤμην ἐκεῖ, πόῤῥω δὲ ὢν,
προλέγω ὑμῖν τὸν ἐν Βηθανίᾳ θάνατον, οὐκ ἀκηκοὼς, ἀλλ' ὡς θεὸς, προορῶν τὸ πόῤ-
ῥω συμβάν. ἐνόησαν δέ τινες τοῦτο οὕτω, χαίρω, φησὶν, ὑμῶν ἕνεκεν. τὸ γὰρ μὴ εἶναι με
ἐκεῖ, συντελέσει πρὸς πλείω πίστιν ὑμῖν. ἐπεὶ περ εἰ μὲν παρήμην, ἀῤῥωστοῦντα ἂν ἐ-
θεράπευον, μικρὰ δὲ ἦν τοῦτο θαῦμα εἰς δυνάμεως ἀπόδειξιν. ἐπεὶ δὲ ἐγὼ μὲν ἀ-
πολελείμμην, ὁ δὲ θάνατος ἐπεγένετο, μέλλω δὲ ἀπιὼν αὐτὸν ἀναστῆσαι, μειζόνως εἰς

τὴν πίστιν βεβαιωθήσεσθε τὴν ἐμήν, ὅταν ἴδητέ με καὶ τοῦτο δυνάμενον ὃ μήπω πρότερον ἐπεδειξάμην, διεῤῥυηκότα ἤδη νεκρὸν καὶ ὄζοντα συναρμολογεῖν καὶ ἐξαναστῆσαι. ταῦτα τοῦ κυρίου εἰπόντος, καὶ ἀναγκαίαν αὐτοῖς τὴν παρουσίαν τὴν ἐκεῖσε δείξαντος, ὁ δειλότερος τῶν ἄλλων θωμᾶς, ἄγωμεν φησίν, ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ, οὐ γὰρ θαῤῥοῦς, ἀλλὰ δειλίας καὶ βαρυθυμίας τὸ ῥῆμα. ἵνα γὰρ καὶ τοὺς ἄλλους ἐκκόψῃ συμμαθητάς, ὑπομιμνήσκει αὐτοὺς τοῦ θανάτου, καὶ ἐπίτηδες παρεμβάλλει τό, ἵνα ἀποθάνωμεν, ὡσανεὶ τοιαῦτα λέγων, ἄγωμεν καὶ ἡμεῖς οἱ μωροὶ καὶ ἀπονενοημένοι, καὶ μὴ φροντίζοντες τῆς οἰκείας σωτηρίας καὶ ζωῆς, ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ. ἔστω, φησίν, αὐτὸς περὶ πολλοῦ τὴν ἑαυτοῦ ζωὴν οὐ τίθεται, ἡμεῖς γὰρ οὕτως ἀνοηταίνομεν; ταῦτα τοῦ δειλοῦ τὰ ῥήματα. ἀλλ' ὅρα αὐτὸν ὕστερον, πῶς ὑπὲρ τῆς ἀληθείας ὡς ἀπόστολος ἐσφάγη, οὕτως αὐτὸν ἡ θεία χάρις ἐστόμωσεν, ἵνα τὸ τοῦ παύλου

β΄ πρὸς κορ. γ΄. καὶ ἐπὶ τούτῳ λεχθῇ, ὅτι ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ, καὶ οὐκ ἐγώ, ἀλλ' ἡ χάρις. ὠριγένης δέ φησι καί τι ὀνειροκριτικὸν περὶ τοῦ θωμᾶ. ἀκούσας γάρ φησιν ὁ θωμᾶς τῶν περὶ τοῦ χριστοῦ προφητειῶν, καὶ μαθὼν ὅτι μετὰ ψυχῆς εἰς ᾅδην καταβήσεσθαι μέλλει, ἐλευθερώσων τὰς ψυχάς, ἐπειδὴ ἤκουσεν, ὅτι πορεύομαι ἵνα ἐξυπνίσω λάζαρον, ἐνόμισεν οὐκ ἂν ἄλλως δυνηθῆναι ἐξυπνῆσαι αὐτόν, τουτέστι τὴν ψυχὴν αὐτοῦ ἐλευθερῶσαι, εἰ μὴ καὶ αὐτὸς ἀποθέμενος τὸ σῶμα, εἰς ᾅδην κατέλθοι. διὸ ὡς γνήσιος τοῦ χριστοῦ μαθητής, μηδὲ ἐν τούτῳ θέλων ἀπολειφθῆναι τοῦ διδασκάλου, βουλεύεται καὶ τοὺς ἄλλους συμμαθητάς, καὶ προτρέπεται ἀποθέσθαι καὶ αὐτὸς τὸ σῶμα, ἵνα συγκατέλθῃ τῷ ἰησοῦ, ὡς ὑπενόει, μέλλοντι τὴν ψυχὴν αὐτοῦ θεῖναι, ἵνα ἐκ τοῦ ᾅδου ἀγάγῃ τὴν τοῦ φίλου ψυχήν. ταύτην παρεθέμην τὴν γελοιώδη ἐξήγησιν πρὸς ἐντροπὴν τῶν τὰ ὠριγένους ἀποσεμνυνόντων. ἆρα γὰρ οὐ προφανὴς λῆρος καὶ ὄνειρος ἀτεχνῶς ἡ τοῦ σοφοῦ ἐξήγησις; σὺ δέ μοι σκόπει, πῶς ὁ κύριος καίτοι τοῦ λαζάρου τεθνηκότος εἶπεν, ἄγωμεν πρὸς αὐτόν, ὡς πρὸς ζῶντα, καὶ γὰρ αὐτὸς ὁ λάζαρος ἔζη τῷ χριστῷ ὡς θεῷ.

Ἐλθὼν οὖν ὁ ἰησοῦς, εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. ἦν δὲ ἡ βηθανία ἐγγὺς τῶν ἱεροσολύμων ὡς ἀπὸ σταδίων δεκαπέντε. καὶ πολλοὶ τῶν ἰουδαίων συνεληλύθεισαν πρὸς τὰς περὶ τὴν Μάρθαν, καὶ Μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν. ἡ οὖν Μάρθα, ὡς ἤκουσεν ὅτι ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ, Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. Ἐπίτηδες ἀνέμεινεν ὁ κύριος τὸν λάζαρον τετραήμερον γενέσθαι, εἶτα ἦλθεν ὡς ἂν τὸ θαῦμα ἀσυκοφάντητον πάντοθεν ἐξεργάσηται. τίνος δὲ ἕνεκεν προστίθησιν ὁ εὐαγγελιστής, ὅτι δεκαπέντε σταδίοις διεῖχεν ἡ βηθανία τῶν ἱεροσολύμων; ἵνα δείξῃ, ὅτι εἰκότως πολλοὶ τῶν ἱεροσολυμιτῶν παρῆσαν, οὐ γὰρ μακρὰν ἦν ἡ βηθανία. παρεμυθοῦντο δὲ τὰς γυναῖκας, οὐχ ὡς ἀγαπωμένας ὑπὸ χριστοῦ, καὶ γὰρ συνέθεντο, ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ χριστόν, ἀποσυνάγωγος γένηται, ἀλλὰ διὰ τὴν ἀνάγκην τῆς συμφορᾶς, ἢ ὡς εὐγενεστέρας αἰδούμενοι, ἢ οἱ μὴ ὄντες πονηροί, ἐκεῖνοι παρῆσαν, ὅθεν καὶ πολλοὶ ἐπίστευσαν ἐξ αὐτῶν. ἡ δὲ Μάρθα μόνη προϋπαντᾷ, καὶ οὐ παραλαμβάνει τὴν ἀδελφήν. ἐπειδὴ κατιδίαν αὐτῷ συντυχεῖν ἐβούλετο, καὶ τὸ γεγονὸς ἀπαγγεῖλαι. ὅθεν ἐπειδὴ αὐτὴν εἰς χρηστὰς ἐλπίδας ἤγαγε, τότε ἄπεισι, καὶ καλεῖ τὴν ἀδελφήν. πρότερον δὲ οὐ λέγει πρὸς τὴν ἀδελφὴν Μαρίαν, βουλομένη λαθεῖν τοὺς παρόντας. εἰ γὰρ ἡ Μαρία ἤκουσεν, ὅτι ἰησοῦς ἔρχεται, ἐξανέστη ἂν πρὸς συνάντησιν, καὶ συνηκολούθησαν αὐτῇ καὶ οἱ παρόντες ἰουδαῖοι, οἷς διαγνωσθῆναι τὸν ἰησοῦν ἐλθόντα οὐκ ἐβούλετο Μάρθα.

Εἶπεν οὖν Μάρθα πρὸς τὸν ἰησοῦν, κύριε εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει. ἀλλὰ καὶ νῦν οἶδα, ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεόν, δώσει σοι ὁ θεός. λέγει αὐτῇ ὁ ἰησοῦς

ἀναστήσεται ὁ ἀδελφός σου. λέγει αὐτῷ Μάρθα, οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. εἶπεν οὖν αὐτῇ ὁ Ἰησοῦς, ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή, ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται, καὶ πᾶς ὁ ζῶν, καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. πιστεύεις τοῦτο; λέγει αὐτῷ ναὶ κύριε, ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ εἰς τὸν κόσμον ἐρχόμενος, καὶ ταῦτα εἰποῦσα ἀπῆλθε, καὶ ἐφώνησε Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα, ὁ διδάσκαλος πάρεστι, καὶ φωνεῖ σε.

Πίστιν εἶχεν ἡ Μάρθα πρὸς Χριστὸν, ἀλλ' οὐχ ὅσην ἔδει. διὸ καί φησι, κύριε εἰ ἦς ὧδε, οὐκ ἂν ἔθανέ μου ὁ ἀδελφός. τοῦτο γὰρ πάντως ἔφη, οἷα μὴ πιστεύουσα, ὅτι καὶ ἀπὼν ἠδύνατο, εἴπερ ἠβούλετο, ἀποτρέψαι τὸν θάνατον τοῦ ἀδελφοῦ αὐτῆς, καὶ ἔτι διὰ τῶν ἐφεξῆς, μείζονα τὴν ἀσθένειαν ἐμφαίνει τῆς πίστεως. ὅσα γάρ φησιν, αἰτήσῃ τὸν θεὸν, δώσει σοι. ὁρᾷς ὅτι ὡς ἐνάρετόν τινα ἄνθρωπον, καὶ παρὰ θεῷ εὐδόκιμον τοῦτον ἐνόμιζεν; οὐ γὰρ εἶπεν, ὅσα ἂν θέλῃς, ποιήσεις, ἀλλ' ὅσα ἂν αἰτήσῃ, δώσει σοι. αὐτὸς δὲ ἀνατρέπων τὴν τοιαύτην αὐτῆς ὑπόνοιαν, ἀναστήσεταί φησιν, ὁ ἀδελφός σου, οὐ γὰρ εἶπεν αὐτῇ, ναὶ αἰτήσομαι τὸν θεὸν, καὶ δώσει μοι, οὐδὲ συνέδραμε τῷ λόγῳ αὐτῆς, ἀλλὰ μέσῃ μὲν ἐχρήσατο λέξει. πλὴν διὰ τῶν ἑξῆς ἐκδηλοτέραν τὴν οἰκείαν αὐθεντίαν καὶ ἐξουσίαν ποιεῖ, ἐγώ εἰμι, λέγων, ἡ ἀνάστασις καὶ ἡ ζωή. ἐπεὶ γὰρ ἡ γυνὴ ἔτι ἀπιστεῖ, καὶ τὸ ἀναστήσεται ὁ ἀδελφός σου, οὐκ ἐπέγνω, ἀλλ' ἐν τῇ ἐσχάτῃ ἀναστάσει νοεῖ αὐτὸν ἀναστήσεσθαι, ᾔδει δὲ τὴν ἐσχάτην ἀνάστασιν ἐσομένην, τοῦτο μὲν καὶ ἀπὸ τῶν θείων γραφῶν, μάλιστα δὲ ἀπὸ τῶν τοῦ Χριστοῦ συνεχῶν περὶ τῆς ἀναστάσεως ὁμιλιῶν. ἐπεὶ οὖν ἔτι γυνὴ ἦν ἡ γυνὴ, διανιστᾷ αὐτὴν ὁ κύριος, καὶ ὥσπερ νενεκρωμένην τὴν πίστιν αὐτῆς διεγείρει, φάσκων ἐκδηλότερον. σὺ μὲν λέγεις, ὅτι ὅσα ἂν αἰτήσωμαι τὸν θεὸν, δώσει μοι, ἐγὼ δὲ φανερῶς οὕτως σοι φημὶ, ὅτι ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. ὥστε οὐ τόπῳ περικλείεταί μου ἡ δύναμις, ἀλλὰ καὶ ἀπὼν καὶ παρὼν, δύναμαι ἰᾶσθαι. ἐγὼ γάρ εἰμι ὁ χορηγὸς τῶν ἀγαθῶν, καὶ οὐχ ὡς ἑτέρου διδόντος, ἀλλ' αὐτὸς ὢν ἡ ἀνάστασις καὶ ἡ ζωή, ἰσχύω καὶ ἀνιστᾷν καὶ ζωοποιεῖν. καὶ ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ τὸν θάνατον τοῦτον τὸν φυσικὸν, ζήσεται, καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ τὸν θάνατον τὸν ψυχικόν. ὥστε μὴ θορυβηθῇς, κἂν γὰρ τέθνηκέ σου ὁ ἀδελφὸς, ζήσεται. καὶ τί λέγω περὶ τοῦ ἀδελφοῦ σου; οὐδὲ ὑμεῖς, εἴγε πιστεύετε εἰς ἐμὲ, τεθνήξεσθε, ἀλλὰ τοῦ δεινοτέρου θανάτου κρείττους ἔσεσθε τοῦ ψυχικοῦ. ὁ δὲ τοῦ δεινοτέρου λυτρούμενος, πολλῷ μᾶλλον τοῦ ἐλάττονος τοῦ σωματικοῦ λυτρώσεται τὸν τεθνηκότα σου ἀδελφόν. ἐρωτᾷ δὲ τὴν γυναῖκα εἰ πιστεύει, ἡ δὲ καίτοι τοσαῦτα ἀκούσασα, ὅμως οὐ συνῆκε τί εἶπεν αὐτῇ ὁ κύριος, ὑπὸ τοῦ πάθους οἶμαι καὶ ἀνοησίαν νοσοῦσα, ἄλλο γὰρ ἐρωτήσαντος ἐκείνου, ἄλλο αὐτὴ ἀποκρίνεται. ὁ μὲν γὰρ ἤρετο, εἰ πιστεύει ὅτι αὐτός ἐστιν ἡ ἀνάστασις καὶ ἡ ζωή, καὶ ὅτι ὁ πιστεύων εἰς αὐτὸν οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα, εἴτε τὸν ψυχικὸν βούλοιο νοεῖν θάνατον, εἴτε τὸν σωματικόν. καὶ γὰρ ὄντως οἱ πιστοὶ διὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως, οὐδὲ θνήσκειν λέγονται, ἡ δὲ τί ἀποκρίνεται; ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος. καλῶς μὲν μαρτυρήσασα καὶ ἀληθῶς, οὐ μὴν τῇ ἐρωτήσει κατάλληλον ποιησαμένη τὴν ἀπόκρισιν. τέως μέντοι κερδαίνει τὸ τὴν σφοδρότητα τῆς λύπης καταστεῖλαι, καὶ κωλῦσαι τὸ πολὺ πένθος. λάθρα δὲ καλεῖ τὴν ἀδελφὴν, σφόδρα συνετῶς τοῦτο διαπραξαμένη, διὰ τοὺς ἐκεῖσε παρατυχόντας Ἰουδαίους. εἰ γὰρ ἔγνωσαν ἐκεῖνοι, ὅτι τῷ Χριστῷ συναντήσουσα ἄπεισιν, ἀνεχώρησαν ἂν, καὶ οὕτως ἔμεινεν ἀμάρτυρον τὸ θαῦμα. νῦν δὲ νομίσαντες τὴν Μαρίαν εἰς τὸν τάφον ὡς δακρύσουσαν ἔρχεσθαι, καὶ διὰ τοῦτο συναπελθόντες αὐτῇ, ἀναγκαίως τοῦ θαύματος αὐτόπται

καὶ μάρτυρες γεγόνασι. πῶς δὲ ἡ Μάρθα φησὶ πρὸς τὴν Μαρίαν, ὅτι ὁ διδάσκαλος φωνεῖσε, καίτοι τοῦ εὐαγγελιστοῦ μὴ ἐπισημηναμένου, ὅτι ἐφώνησεν αὐτὴν ὁ κύριος; εἴτε οὖν κατὰ τὸ σιωπώμενον ἐνετείλατο τῇ Μάρθᾳ ὁ κύριος καλέσαι τὴν ἀδελφὴν, ἢ τὴν παρουσίαν αὐτοῦ τοῦ χριστοῦ ἀντὶ φωνῆς νομίσασα εἶναι, φησὶν, ὅτι φωνεῖσε ὁ διδάσκαλος· πῶς γὰρ οὐκ ὀφειλόμενον ἦν, τοῦ χριστοῦ παρόντος, καὶ αὐτὴν πρὸς αὐτὸν ἐλθεῖν; τὴν γοῦν παρουσίαν τοῦ κυρίου ἀπαιτοῦσαν ἀναγκαίως ἀπαντῆσαι αὐτῷ, φώνημα λέγει ὁ εὐαγγελιστής· ὁ διδάσκαλος γάρ φησι, πάρεστι, καὶ φωνεῖσε, καὶ ἐπειδὴ πάρεστιν, αὐτὸ τοῦτο τὸ παρεῖναι ἀντὶ φωνῆς ποιεῖται πρὸς σὲ, ἀπαραίτητον γὰρ τὸ ἐκείνου παρόντος εἰς συνάντησιν αὐτοῦ προελθεῖν καὶ σέ·

Ἐκείνη ὡς ἤκουσεν, ἐγείρεται ταχὺ, καὶ ἔρχεται πρὸς αὐτόν. οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ᾽ ἦν ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα. οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ᾽ αὐτῆς ἐν τῇ οἰκίᾳ, καὶ παραμυθούμενοι αὐτὴν, ἰδόντες τὴν Μαρίαν, ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ λέγοντες, ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ. ἡ οὖν μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, ἰδοῦσα αὐτὸν, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, λέγουσα αὐτῷ, κύριε εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός·

Ἅμα τῷ ἀκοῦσαι ὅτι πάρεστιν ὁ Ἰησοῦς, οὐ βραδύνει ἡ Μαρία, ἀλλ᾽ ἐγείρεται, καὶ πρὸς αὐτὸν ἔρχεται. ὅθεν δῆλον, ὡς οὐκ ἂν προέλαβεν αὐτὴν ἡ Μάρθα οὐδὲ πρότερον, εἴπερ ἔγνω αὐτὴ οὖν Ἰησοῦν ἐρχόμενον· οὔπω δὲ Ἰησοῦς ἐληλύθει εἰς τὴν κώμην, σχολαιότερον γὰρ ἐβάδιζεν, ἵνα μὴ δόξῃ ἑαυτὸν ἐπιῤῥίπτειν τῷ θαύματι, ἀλλ᾽ ὡς ἀξιούμενος παρ᾽ ἐκείνων, τοῦτο πεποιηκέναι. καὶ ἐπειδὴ περ τὸ μέλλον γενέσθαι θαῦμα μέγα ἦν, καὶ οἷον ὀλιγάκις πεποίηκε, καὶ ἔμελλον πολλοὶ κερδαίνειν δι᾽ αὐτοῦ, διὰ τοῦτο οἰκονομεῖ πολλοὺς γενέσθαι τοῦ θαύματος μάρτυρας. φησὶ γὰρ ὁ εὐαγγελιστὴς, ὅτι οἱ Ἰουδαῖοι οἱ ὄντες ἐν τῷ οἴκῳ μετ᾽ αὐτῆς, ἠκολούθησαν αὐτῇ. θερμοτέρα δὲ ἡ Μαρία παρὰ τὴν ἀδελφὴν Μάρθαν προσῆλθε τῷ χριστῷ, ἰδοῦσα γὰρ αὐτὸν, φησὶν, ἔπεσεν αὐτοῦ πρὸς τοὺς πόδας, οὐκ αἰδεσθεῖσα τὸν ὄχλον, οὐχ ὑποπτεύσασα ὅλως, ὅτι εἰκὸς εἶναι τινας ἐκεῖ ἀπεχθῶς τῷ χριστῷ ἔχοντας. πάντα δὲ ἀνθρώπινον σκοπὸν ἐκβαλοῦσα παρόντος τοῦ διδασκάλου, καὶ ἔμμονος γενομένη τῆς εἰς αὐτὸν τιμῆς, φησὶ, κύριε εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. ἡ δὲ Μάρθα οὐδὲν τοιοῦτον ποιεῖ, οὔτε γὰρ προσέπιπτει, ἀλλὰ μᾶλλον τῷ χριστῷ ὑπισχνουμένῳ αὐτῇ περὶ τοῦ ἀδελφοῦ τὰ χρηστότερα, φαίνεται ἀπιστοῦσα. κἂν ἡ Μαρία δὲ ἀτελῶς καὶ αὐτὴ φαίνεται ἔχουσα διὰ τοῦ εἰπεῖν, εἰ ἦς ὧδε οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφὸς, ὅμως οὐδὲν πρὸς ταύτην ὁ χριστὸς λέγει, οἷον πρὸς τὴν ἀδελφὴν αὐτῆς, διὰ τὸ πολὺν παρεῖναι ὄχλον, καὶ μὴ εἶναι καιροῦ τῶν τοιούτων ῥημάτων. συγκαταβαίνει δὲ μᾶλλον, καὶ ἀπογυμνοῖ τὴν ἀνθρωπίνην φύσιν, καὶ τὰ ταύτης οἰκεῖα ἐνδείκνυται. ἄκουε γὰρ τί φησιν ὁ εὐαγγελιστής·

Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτὸν, καὶ εἶπε. ποῦ, τεθείκατε αὐτόν; λέγουσιν αὐτῷ, κύριε ἔρχου καὶ ἴδε. ἐδάκρυσεν ὁ Ἰησοῦς. ἔλεγον οὖν οἱ Ἰουδαῖοι, ἴδε πῶς ἐφίλει αὐτόν. τινὲς δὲ ἐξ αὐτῶν εἶπον, οὐκ ἠδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι, ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; Εἰς δάκρυα μὲν ἡ φύσις ἐκινεῖτο, καὶ συνεχεῖτο διὰ τὴν Μαρίαν κλαίουσαν καὶ αὐτὴν, καὶ τοὺς συνελθόντας. ὁ δὲ κύριος ἐμβριμᾶται τῷ πάθει ἐν τῷ πνεύματι, τουτέστιν ἐπιτιμᾷ διὰ τοῦ πνεύματος τῇ συγχύσει, καὶ ἐπέχει ταύτην, καὶ οὕτως ἐρωτᾷ, ὥστε μὴ μετὰ ὀλοφυρμοῦ γενέσθαι τὴν ἐρώτησιν. ἐπεὶ γὰρ ἐλυπήθη, ἄνθρωπος γὰρ ἦν ἀληθῶς, καὶ διὰ τὸ πιστώσασθαι τὴν ἀνθρωπίνην φύσιν, ἐνέδωκε ταύτῃ τὸ ἴδιον ἐργάσασθαι, καὶ ἐπιπλήττει τῇ

σαρκὶ, καὶ ἐπιτιμᾷ αὐτῇ τῇ τοῦ ἁγίου πνεύματος δυνάμει. ἡ οὖν σὰρξ μὴ ἐνεγκοῦσα
τὴν ἐπιτίμησιν, ταράσσεται, καὶ τρέμει, καὶ τῆς λύπης περικρατεῖ. ταῦτα δὲ πάν-
τα συγχωρεῖ τὴν φύσιν, πάσχειν ὁ κύριος, ἅμα μὲν καὶ βεβαιῶν, ὅτι ἀληθῶς καὶ οὐ
κατὰ φαντασίαν ἄνθρωπος ἦν, ἅμα δὲ καὶ παιδεύων ἡμᾶς καὶ ὅρους καὶ μέτρα τῆς
λύπης καὶ τῆς ἀλυπίας τιθείς. τό, τε γὰρ ἀσυμπαθὲς καὶ ἄδακρυ, θηριῶδες, τό,
τε πολύδακρυ καὶ φιλόθρηνον καὶ πολύλυπον, γυναικῶδες. ἐπεὶ τοίνυν κεκοινώνη-
κεν ἡμῖν σαρκὸς καὶ αἵματος, τῶν ἀνθρωπίνων καὶ φυσικῶν μετέχει, καὶ μέτρα τού-
των ὑποδεικνύει ἡμῖν. ἐρωτᾷ δὲ, ποῦ τεθείκατε; οὐχ ὡς ἀγνοῶν, πῶς γὰρ ὅπου καὶ
πόῤῥωθεν ὢν, ᾔδει ὅτι τετελεύτηκεν; ἀλλ᾽ ὥστε μὴ δόξαι, ὡς ἑαυτὸν ἐπιῤῥίπτει τῷ
θαύματι, πάντα τε παρ᾽ ἐκείνων μανθάνειν βουλόμενος, καὶ παρακαλούμενος ποιεῖν,
ἵνα καὶ πάσης ὑποψίας ἀπαλλάξῃ τὸ σημεῖον. ἐπειδὴ δὲ οὐ δέπω οὐδὲν τεκμήριον
τῆς τοῦ Λαζάρου ἀναστάσεως ἐδείκνυτο, οὐδὲ οὕτως ἐνομίζετο ἔρχεσθαι, ὡς ἀναστή-
σων αὐτὸν, ἀλλ᾽ ὡς θρηνήσων, λέγουσιν αὐτῷ, κύριε ἔρχου καὶ ἴδε. οἱ δὲ πονηροὶ Ἰουδαῖοι
πάλιν τῆς πονηρίας οὐδ᾽ ὅλως ἀφίενται, καίτοι συμφορᾶς τηλικαύτης πρὸ ὀφθαλ-
μῶν αὐτῶν κειμένης. ἀλλὰ τί φησιν; οὐκ ἠδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ Ἰωάν. θ΄.
τυφλοῦ, ποιῆσαι ἵνα μὴ καὶ οὗτος ἀποθάνῃ; διαβάλλοντες δὲ τὸ ἐπὶ τῷ τυφλῷ θαῦ-
μα, ταῦτα φασὶν, ὀφείλοντες γὰρ θαυμάζειν τὸ σημεῖον ἐκεῖνο, οἱ δὲ ἀπὸ τοῦ θανάτου
τούτου κἀκεῖνο, ὡς μὴ γεγονὸς, ἐνδιαβάλλουσι, καὶ προκαταλαμβάνουσι τὰς κατη-
γορίας, οὐκ ἀναμένοντες τὸ τέλος τοῦ πράγματος, οὕτω διεφθαρμένοι τὰς γνώμας
ἦσαν τῷ φθόνῳ.

Ὁ Ἰησοῦς οὖν πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον. ἦν δὲ σπήλαιον,
καὶ λίθος ἐπέκειτο ἐπ᾽ αὐτῷ. λέγει ὁ Ἰησοῦς, ἄρατε τὸν λίθον. λέγει αὐτῷ ἡ ἀδελφὴ
τοῦ τεθνηκότος Μάρθα, κύριε ἤδη ὄζει. τεταρταῖος γάρ ἐστι. λέγει αὐτῇ ὁ Ἰησοῦς, οὐκ εἶ-
πόν σοι, ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ θεοῦ; ἦραν οὖν τὸν λίθον, οὗ ἦν ὁ τεθνηκὼς
κείμενος. ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε, πάτερ εὐχαριστῶ σοι, ὅτι ἤκου-
σάς μου, ἐγὼ δὲ ᾔδειν, ὅτι πάντοτέ μου ἀκούεις. ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶ-
πον, ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας. Τί δήποτε ἄνω καὶ κάτω ὁ εὐαγγε-
λιστὴς στρέφει, ὅτι ἐδάκρυσεν ὁ Ἰησοῦς, καὶ ὅτι ἐνεβριμᾶτο τῷ πάθει; διὰ τὸ μαθεῖν
ἡμᾶς, ὅτι ἀληθῶς τὴν ἡμετέραν φύσιν περιεβάλλετο. ἐπειδὴ γὰρ παρὰ πάντας τοὺς
εὐαγγελιστὰς ὑψηλότερα περὶ τοῦ κυρίου φθέγγεται, καὶ θεολογεῖ μεγάλα τινὰ,
διὰ τοῦτο καὶ ἐν τοῖς σωματικοῖς πολὺ ταπεινότερα φθέγγεται. ὅθεν καὶ ἐν τῷ πέν-
θει πολὺ τὸ ἀνθρώπινον ἔχειν φησὶν, ἀπὸ τούτου δεικνύων τῆς σαρκὸς τὴν ἀλήθειαν,
ἵνα σὺ μάθῃς ὅτι εἰ καὶ θεὸς ἦν, ἀλλὰ καὶ ἄνθρωπος ἦν. ὥσπερ γὰρ ὁ Λουκᾶς ἀπὸ τῆς Λουκ. κβ΄.
ἀγωνίας, καὶ τοῦ θρόμβου, καὶ τοῦ ἱδρῶτος, οὕτω καὶ οὗτος ἀπὸ τοῦ πένθους πιστοῦται,
ὅτι σάρκα ἀληθῶς ἐφόρεσε. τίνος δὲ ἕνεκεν οὐχὶ τοῦ λίθου ἐπικειμένου ἐποίησεν ἀνα-
στῆναι τὸν Λάζαρον, ἀλλὰ λέγει ἄρατε τὸν λίθον; καὶ γὰρ ὁ σῶμα κινήσας νεκροῦ τῇ
φωνῇ, καὶ ψυχώσας τὸν ἤδη διεῤῥυηκότα, πολλῷ μᾶλλον λίθον κινῆσαι ἴσχυσεν ἂν τῇ
φωνῇ. ἄρατε λέγει τὸν λίθον, ἵνα αὐτοὺς μάρτυρας ποιήσῃ τοῦ θαύματος, ἵνα μὴ πά-
λιν λέγωσιν ὡς ἐπὶ τοῦ τυφλοῦ, ὅτι οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος. τὸ γὰρ παραγενέσθαι εἰς
τὸν τόπον, καὶ τὸν λίθον ἆραι ταῖς αὐτῶν χερσὶν, ἱκανὰ ἦν ἐπιστομίσαι τοὺς ἀγνωμο-
νοῦντας, μάρτυρας γενομένους τοῦ σημείου. τὸ δὲ ἤδη ὄζει, τεταρταῖος γάρ ἐστιν, ἀπι-
στοῦσα εἶπεν ἡ Μάρθα, ὡς ἀδύνατον εἶναι νομίσασα τὸ ἀναστῆναι αὐτῆς τὸν ἀδελφὸν
διὰ τὸ μῆκος τῶν ἡμερῶν. οὕτως ἔτι κάτω στρέφεται, ὁ δὲ χριστὸς ἀναμιμνήσκων αὐ-
τὴν, ὧν πρὸς αὐτὴν διελέχθη, καὶ σχεδὸν ἐπιτιμῶν ὡς ἀμνημονούσῃ, φησὶν, οὐκ εἶπον

σοι ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ θεοῦ; τοῖς μὲν οὖν μαθηταῖς ἔλεγεν, ἵνα δο-
ξασθῇ ὁ υἱὸς τοῦ θεοῦ, διὰ τοῦτο ἀπέθανε Λάζαρος, τῇ δὲ Μάρθᾳ τὴν δόξαν, φησὶν, ὄψει
τοῦ θεοῦ, περὶ τοῦ πατρὸς λέγων, ἡ γὰρ ἀσθένεια τῶν ἀκουόντων, τοῦ διαφόρως τὰ λε-
γόμενα λέγεσθαι αἰτία ἐστίν. ἐπεὶ γὰρ Ἰουδαῖοι παρίσταντο ἐκεῖ, οὐκ ἦν εἰκὸς εἰπεῖν τὸν
κύριον, ὅτι ὄψει τὴν δόξαν τοῦ υἱοῦ τοῦ θεοῦ, ἢ γὰρ ἂν ἔδοξε περὶ ἑαυτοῦ κομπάζειν, νῦν
δὲ περὶ τοῦ πατρὸς εἰπὼν, εὐπαραδεκτότερον καὶ μετριώτερον ἐποίησε τὸν λόγον·
διατί δὲ εὔχεται; μᾶλλον δὲ εὐχῆς σχῆμα ἀνέλαβε, αὐτοῦ λέγοντος ἄκουσον, φησὶ
γὰρ, διὰ τὸν περιεστῶτα ὄχλον εἶπον, ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας. ὁ δὲ λέγει,
τοιοῦτόν ἐστιν, ἵνα μὴ ἀντίθεόν με νομίσωσιν, ἵνα μὴ λέγωσιν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ θεοῦ,
ἵνα δείξω κατὰ γνώμην σὴν τὸ ἔργον γενόμενον. ὅτι δὲ τοῦτο ἐστὶ καὶ οὐ δι' ἄλλην χρείαν,
ἀλλὰ διὰ τοὺς περιεστῶτας δοκεῖ εὔχεσθαι, ἴδε τὴν εὐχήν. εὐχαριστῶ σοι, ὅτι ἤκουσάς
μου. τίς δὲ οὕτως ηὔξατο ποτέ; πρὶν γὰρ τι εἰπεῖν, φησὶν, ἤκουσάς μου. ὥστε οὐκ εὐ-
χὴ, ἀλλὰ σχῆμα εὐχῆς τοῦτο, καὶ ἔνδειγμα μόνον. ὅτι δὲ οὐ δεῖται εὐχῆς, δῆλον ἀφ' ὧν
Λουκ. δ'. ἄλλα πολλὰ χωρὶς εὐχῆς ἐποίει, σοὶ λέγω δαιμόνιον ἔξελθε ἐξ αὐτοῦ. καὶ θέλω καθα-
Ματθ. η'. ρίσθητι. καὶ ἀφέωνταί αἱ ἁμαρτίαι σου, ὃ μεῖζον πάντων ἐστὶ καὶ τῇ θαλάσσῃ, σιώ-
Λουκ. ε'. πα, πεφίμωσο· ἵνα τοίνυν οἱ περιεστῶτες πιστεύσωσιν, ὅτι ἄνωθέν ἐστι καὶ οὐκ ἀντίθεος,
Μάρ. δ'. τούτου ἕνεκεν εὔχεται. εἰ ταῦτα γὰρ ποιοῦντος, καὶ πάντοθεν δεικνῦντος τὴν πρὸς
τὸν πατέρα εὐγνωμοσύνην, ὅμως ἔλεγον ὅτι οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, τί οὖν οὐκ ἂν εἶπον,
εἰ μηδὲν τοιοῦτον ἐποίει;

» Καὶ ταῦτα εἰπὼν, φωνῇ μεγάλῃ ἐκραύγασε, Λάζαρε δεῦρο ἔξω· καὶ ἐξῆλθεν ὁ
» τεθνηκὼς, δεδεμένος τὰς χεῖρας καὶ τοὺς πόδας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ πε-
» ριεδέδετο. λέγει αὐτοῖς ὁ Ἰησοῦς, λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν· πολλοὶ οὖν ἐκ τῶν
» Ἰουδαίων οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν, καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευ-
» σαν εἰς αὐτόν. τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἃ
» ἐποίησεν ὁ Ἰησοῦς· Εὐχαριστήσας τῷ πατρὶ ὁ κύριος, μᾶλλον ἢ εὐξάμενος, ὡς εἴ-
ρηται γὰρ, οὐκ ἐδεῖτο εὐχῆς καὶ τῆς ἐκ ταύτης ῥοπῆς, ὡς ἰσοδύναμος τῷ πατρὶ,
κράζει φωνῇ μεγάλῃ αὐθεντικῇ καὶ δεσποτικῇ. οὐ γὰρ εἶπεν ἐν ὀνόματι τοῦ πατρός
μου Λάζαρε δεῦρο ἔξω, οὐδὲ ἀνάστησον αὐτὸν πάτερ, ἀλλ' ὡς εἴρηται, αὐθεντικῶς, ἐμ-
φράττων πάντα τὰ στόματα τῶν ἐλάττονα τοῦτον λεγόντων τοῦ πατρός. τί γὰρ ἴσον
τῆς ἐξουσίας ταύτης γένοιτ' ἂν, ὅτι ὡς ζῶντι διαλεγόμενος τῷ τετελευτηκότι φησὶ,
Ἰωάν. ε'. Λάζαρε δεῦρο ἔξω; εἰς ἔργον δὲ καὶ νῦν ἐξέβη τὸ ἔρχεται ὥρα, ὅτε οἱ νεκροὶ ἀκούσον-
ται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. ἵνα γὰρ μή τις νομίσῃ,
ὅτι παρ' ἑτέρου ἔλαβε τὴν ἐνέργειαν, προλέγει τοῦτο, ὃ διὰ τῶν ἔργων δείξειν ἔμελ-
λεν. ἡ τοίνυν μεγάλη φωνὴ τοῦ σωτῆρος τὸν Λάζαρον ἀναστήσασα, σύμβολόν ἐστι τῆς
Ματθ. κδ'. μεγάλης σάλπιγγος τῆς μελλούσης ἠχῆσαι ἐν τῇ κοινῇ ἀναστάσει. μέγα δὲ ἔκραξεν
β'. πρὸς Κορ. ὁ κύριος διὰ τοῦτο, ἵνα τὰ τῶν Ἑλλήνων ἐμφράξῃ στόματα, τῶν μυθευομένων ἐν τῷ μνή-
ιε'. α'. πρὸς ματι εἶναι τὴν ψυχὴν, ὡς γὰρ πόῤῥωθεν οὖσαν αὐτὴν διὰ τῆς κραυγῆς προσκαλεῖ-
Θεσσα. δ'. ται. ὥσπερ δὲ ἡ ἀνάστασις αὕτη ἡ μερικὴ, οὕτω καὶ ἡ καθόλου ἐν ἀτόμῳ ἐν ῥιπῇ ὀφθαλ-
α'. πρὸς Κο- μοῦ ἔσται. ἐξῆλθε δέ, φησιν, ὁ τεθνηκὼς δεδεμένος τὰς χεῖρας καὶ τοὺς πόδας, οὐκ ἔλατ-
ριν. ιε'. τον γὰρ ἐδόκει εἶναι παράδοξον τοῦ ἀναστῆναι, τὸ ἐξελθεῖν δεδεμένον, καὶ θαῦμα ἦν ὅλως
τὸ δεδεμένον κινεῖσθαι, συνημμένον θαύματι τῷ ἀναστῆναι· κελεύει δὲ αὐτὸν λῦσαι, ὅ-
πως πλησίον γενόμενοι καὶ ἀψάμενοι, ἴδωσιν ὅτι οὗτος ἐκεῖνός ἐστιν. ὑπάγειν δὲ αὐτὸν
φησὶ διὰ τὸ ἀκόμπαστον, οὐ γὰρ ἐπάγεται αὐτὸν, οὐδὲ κελεύει μετ' αὐτοῦ περιπατεῖν,
ὥστε ἐπιδείκνυσθαι. γενομένου δὲ τοῦ θαύματος, οἱ μὲν ἐπίστευσαν τῶν θεασαμένων,

οἱ δὲ

οἱ δὲ ἀπήγγειλαν τοῖς φαρισαίοις, διαβάλλοντες πάντως αὐτὸν, ὡς ἀνόσιόν τι τετολμηκότα, οἷα τὸν τεθαμμένον ἀνασκάψαι προστάξαντα.

» Συνήγαγον οὖν οἱ ἀρχιερεῖς, καὶ οἱ φαρισαῖοι συνέδριον, καὶ ἔλεγον, τί ποιοῦμεν, ὅτι
» οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ; ἐὰν ἀφῶμεν αὐτὸν οὕτω, πάντες πιστεύσου
» σιν εἰς αὐτὸν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.

Δέον ἐκπλήττεσθαι καὶ θαυμάζειν τὸν τηλικαῦτα ποιοῦντα θαύματα, μᾶλλον βουλεύονται οἱ φαρισαῖοι αὐτὸν ἀνελεῖν, ὅπερ ἦν ἐσχάτης ἀνοίας, ὅτι τὸν ἐν τοῖς τῶν ἄλλων σώμασι τοῦ θανάτου περιγενόμενον, θανάτῳ παραδώσειν ἐνόμιζον, ὥστε τὴν δόξαν αὐτοῦ συγκαλύψαι, καὶ μετὰ τοσαῦτα θαύματα ἄνθρωπον ψιλὸν αὐτὸν νομίζωσι, τί ποιοῦμεν λέγοντες, ὅτι ὁ ἄνθρωπος οὗτος πολλὰ σημεῖα ποιεῖ; καὶ τί τοῦτο ἔγκλημα, εἰ σημεῖα ποιεῖ; δεῖ πιστεῦσαι, καὶ προσκυνῆσαι καὶ μηκέτι νομίζειν ἄνθρωπον ψιλόν. ὅρα δὲ τὴν σκαιότητα τῶν φαρισαίων, τὸν λαὸν ἀνασεῖσαι σπουδάζοντες, ἐμβάλλουσι λόγον ὡς μέλλοντος τοῦ τῶν ἰουδαίων πλήθους κινδυνεύειν, καὶ ὑπὸ ῥωμαίων αἱρεῖσθαι ἐπὶ ὑποψίᾳ τυραννίδος. εἰ γὰρ ἀφήσωμεν, φησὶ, τοῦτον, ὄχλον πολὺν ἕξει ὀπίσω αὐτοῦ, ἀπαγόμενον ὑπὸ τῆς τῶν σημείων ἐπιδείξεως, καὶ λοιπὸν ἡμᾶς πάντας ὑποπτεύσουσιν οἱ ῥωμαῖοι ἐπὶ τυραννίδι, καὶ ἀροῦσιν ἡμῶν τὰς πόλεις καὶ ἀφανίσουσι. ταῦτα δὲ, ὡς ἔφην, ἔλεγον ἐκ πονηρίας. ἵνα γὰρ μὴ διὰ φθόνον δόξωσιν ἐπιβουλεύειν τῷ χριστῷ, τὸν κοινὸν κίνδυνον εἰς μέσον φέρουσιν, παρακινοῦντες τὸν λαὸν κατὰ χριστοῦ, ὡς αἰτίου αὐτοῖς ἀπωλείας ἐσομένου. λάμβανε δέ μοι καὶ ἐπὶ τὰ ἔσω τὸ θαῦμα τοῦτο. ἔστι μὲν γὰρ ὁ νοῦς ἡμῶν φίλος χριστῷ, πολλάκις δὲ τῇ ἀσθενείᾳ νικώμενος τῆς ἀνθρωπίνης φύσεως, ἁμαρτήματι περιπίπτει, καὶ θνήσκει θάνατον ψυχικὸν καὶ οἴκτιστον, ὑπὸ δὲ χριστοῦ ἐλεεῖσθαι ἄξιον, φίλος γάρ ἐστιν ὁ τεθνηκώς. αἱ ἀδελφαὶ τοίνυν καὶ συγγενεῖς τοῦ τεθνεῶτος νοῦ, σὰρξ ὡς Μάρθα, σωματικωτέρα γὰρ καὶ ὑλικωτέρα ἡ Μάρθα, καὶ ψυχὴ ὡς Μαρία, σεμνοτέρα γὰρ καὶ εὐλαβεστέρα αὕτη, προσελθέτωσαν τῷ χριστῷ, καὶ προσπεσέτωσαν ἔχουσαι καὶ τοὺς τῆς ἐξομολογήσεως λογισμοὺς συνεπομένους, ὡς ἐκείναι τοὺς Ἰουδαίους, Ἰούδας γὰρ ἐξομολόγησις λέγεται. καὶ πάντως ὁ κύριος τῷ μνήματι ἐπιστὰς, καὶ τὴν ἐπικειμένην τῇ μνήμῃ πώρωσιν, ὥσπερ τινὰ λίθον ἀρθῆναι κελεύσας, εἰς μνήμην ἀνάγει τῶν μελλόντων ἀγαθῶν καὶ κολάσεων. καὶ φωνήσει μεγάλῃ τῆς εὐαγγελικῆς σάλπιγγος φωνῇ, λάζαρε δεῦρο ἔξω τοῦ κόσμου, μὴ ἐνθάπτου τοῖς βιωτικοῖς περισπασμοῖς καὶ πάθεσιν, ὥσπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν, οὐκ ἐστὲ ἐκ τοῦ κόσμου. καὶ πάλιν ὁ παῦλος, καὶ ἡμεῖς ἐξερχόμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τουτέστι τοῦ κόσμου, καὶ οὕτως ἐξεγείρει ἀπὸ τῆς ἁμαρτίας τὸν τεθνεῶτα, ᾧ προσόζουσι τῆς κακίας οἱ μώλωπες. ὃς διὰ τοῦτο ὀδωδὼς ἦν, διότι τεταρταῖος νεκρὸς ἦν, ταῖς τέσσαρσιν ἡμεριναῖς καὶ φωτειναῖς ἀρεταῖς ἀπονεκρωθεὶς, καὶ ἀργὸς ὢν καὶ ἀκίνητος πρὸς αὐτάς. πλὴν ἀλλ' εἰ καὶ ἀκίνητος ἦν, καὶ τὰς χεῖρας καὶ τοὺς πόδας δεδεμένος, καὶ ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτιῶν σφιγγόμενος, καὶ ἄπρακτος πάντη δεικνύμενος, ναὶ μὴν ἀλλὰ καὶ τὴν ὄψιν σουδαρίῳ κεκαλυμμένος, ὥστε μηδὲν ἔχειν ὁρᾶν θεῖον ὑπὸ τοῦ σαρκικοῦ καλύμματος ἐπιπροσθοῦντος. συνόλως δὲ εἰπεῖν παγκάκως διακείμενος καὶ κατὰ τὸ πρακτικὸν, ὃ διὰ τῶν χειρῶν καὶ τῶν ποδῶν δηλοῦται, καὶ κατὰ τὸ θεωρητικὸν, ὃ διὰ τῆς περικεκαλυμμένης ὄψεως ὑποσημαίνεται. εἰ καὶ οὕτως οὖν ἀθλίως ἔχει, ἀλλ' οὖν ἀκούσεται, λύσατε αὐτὸν οἱ ἀγαθοὶ καὶ συνεργοὶ τῆς σωτηρίας ἄγγελοι, ἢ οἱ ἱερεῖς, καὶ ἄφεσιν αὐτῷ δότε τῶν ἁμαρτιῶν, ὥστε ὑπάγειν, καὶ κινεῖσθαι πρὸς ἐργασίαν τοῦ ἀγαθοῦ. τινὲς δὲ μάρθαν μὲν ἐνόμισαν τὴν συναγωγὴν τῶν ἰουδαίων, μαρίαν δὲ τὴν τῶν ἐθνῶν. ἡ μὲν γὰρ τῶν ἰουδαίων τυρβάζεται πε-

Margin, beside the lines "…ἐκ τοῦ κόσμου. καὶ πάλιν ὁ παῦλος… παρεμβολῆς, τουτέστι τοῦ κόσμου…": Ἰωάν. ιε. / πρὸς ἑβρ. ιγ΄



εἰ πολλά, πολλαὶ γὰρ αἱ τοῦ νόμου ἐντολαὶ καὶ δυσκατέργαστοι, ἡ δὲ τῶν ἐθνῶν οὐ τῶν πολλῶν χρήζει ἐντολῶν, ἀλλὰ τῶν ὀλίγων, ἐν οἷς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται, τῶν περὶ ἀγάπης νενομοθετημένων. ἀδελφοῦ δὲ τούτων ἐκνεκρῶς ἀνιστάμενον, τὰς ψυχὰς τῶν δι' ἁμαρτίας εἰς ᾅδην καταβαινόντων, κατὰ τό, ἀποστραφήτω-
Ψαλ. θ'.
σαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην. ταύτας οὖν τὰς ψυχὰς ἀνιστᾷ ὁ κύριος.

Εἷς δέ τις ἐξ αὐτῶν καϊάφας ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς, ὑμεῖς οὐκ οἴδατε οὐδέν, οὐδὲ διαλογίζεσθε, ὅτι συμφέρει ἡμῖν, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλ' ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν, ὅτι ἔμελλεν Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους, καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο, ἵνα ἀποκτείνωσιν αὐτόν. Μετὰ τῶν ἄλλων καὶ τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα παρὰ τοῖς Ἰουδαίοις διέφθαρτο. ἀφ' οὗ γὰρ ὠνηταὶ γεγόνασιν αἱ ἀρχαί, οὐκ ἔτι τὸν ἅπαντα χρόνον τῆς ζωῆς, ἀλλ' ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἱεράτευον. πλὴν ἀλλὰ καὶ οὕτω διεφθαρμένου τοῦ ἀξιώματος, ὅμως καὶ ἔτι παρῆν τὸ πνεῦμα τὸ ἅγιον ἐν τοῖς χρισθεῖσιν ἐνεργοῦν. ἐπειδὴ καὶ τὰς χεῖρας ἦραν κατὰ τοῦ χριστοῦ, τηνικαῦτα παντελῶς ἡ χάρις αὐτοὺς ἐγκατέλιπε, καὶ μετῆλθεν ἐπὶ τοὺς ἀποστόλους. οἱ μὲν οὖν ἄλλοι ἐν τάξει βουλῆς τὸν τοῦ χριστοῦ θάνατον ἐσκέπτοντο, ὁ δὲ ἀρχιερεὺς οὕτως ἦν μιαιφόνος, ὥστε γυμνῇ τῇ κεφαλῇ μετὰ ἰταμότητος ἀποφήνασθαι κατὰ χριστοῦ. μᾶλλον μὲν οὖν καὶ τοῖς ἄλλοις ἐπιμέμφεται, ὡς μὴ συνιεῖσι τὸ δέον, καὶ ἀργοῦσι περὶ τὴν τοῦ συμφέροντος σκέψιν. ὑμεῖς γάρ, φησιν, οὐκ οἴδατε οὐδέν, ἀργοί ἐστε, φησί, εἰς τὸ νοῆσαι, καὶ οὐ λογίζεσθε ὅτι συμφέρει ἕνα ἀποθανεῖν, καὶ σωθῆναι τὸν λαὸν πάντα. τοῦτο δὲ καὶ αὐτὸς μὲν σκαιῷ λογισμῷ εἶπε, πλὴν ἡ χάρις τοῦ πνεύματος τῷ στόματι ἐκείνου ἐχρήσατο πρὸς τὴν τοῦ μέλλοντος προφητείαν, εἰ καὶ τῆς μιαρᾶς αὐτοῦ καρδίας οὐχ ἥψατο. σκόπει οὖν πόση τοῦ πνεύματος ἡ δύναμις, ἀπὸ γὰρ διανοίας πονηρᾶς ῥήματα παρεσκεύασε προελθεῖν, προφητείαν ἔχοντα θαυμαστήν. ἀποθανόντος γὰρ χριστοῦ πάντες οἱ πιστεύσαντες ἐκ τοῦ ἔθνους, τῆς μεγάλης καὶ αἰωνίου κολάσεως ἀπηλλάγησαν, καὶ οὐχ ὑπὲρ τοῦ λαοῦ μόνον τοῦ Ἰουδαϊκοῦ ἀπέθανεν, ἀλλ' ἵνα καὶ τὰ λοιπὰ τέκνα τοῦ θεοῦ, τουτέστι τὰ ἔθνη, εἰς ἓν συναγάγῃ. τέκνα δὲ θεοῦ ὀνομάζει τὰ ἔθνη, ἢ ἀπὸ τοῦ μέλλοντος ἔσεσθαι, ἐπεὶ γὰρ ἔμελλον γενέσθαι τέκνα θεοῦ, οὕτως αὐτοὺς ὀνομάζει. ὥσπερ καὶ
Ἰωάν. ι.
ἀλλαχοῦ φησίν, ὅτι καὶ ἄλλα πρόβατα ἔχω, ἀπὸ τοῦ μέλλοντος καὶ ταῦτα καλῶν. ἢ καθὸ πάντων πατήρ ἐστι, τρόπῳ δημιουργικῷ γεννήσας ἡμᾶς, καὶ καθὸ τετίμηκεν
ιζ'.
ἡμᾶς, κατ' εἰκόνα κτίσας οἰκείαν καὶ ὁμοίωσιν, ὥσπερ οὖν καὶ ἐν ταῖς πράξεσιν ὁ παῦλος πρὸς ἀθηναίους δημηγορῶν, φησί, γένος οὖν ὑπάρχοντες τοῦ θεοῦ. ἐπεὶ τοίνυν ἀρχικὸν ζῶον ὁ ἄνθρωπος, καὶ κατὰ τοῦτο θεῷ ὁμοιωμένος, τέκνον θεοῦ λέγεται πᾶς. διεσκορπισμένους οὖν οὕτως ἡμᾶς ὄντας, πολυτρόπως γὰρ ὁ σατανᾶς ἀλλήλων καὶ τοῦ θεοῦ τοὺς ἀνθρώπους ἀποδιεῖλεν, ἕκαστον τῷ πλησίον ἐπιμανῆναι διὰ φιλοπλουτίας καὶ φιλοδοξίας παρασκευάσας, εἰς ἓν ὁ χριστὸς ἡμᾶς ἤγαγε, εἰς μίαν ἐκκλησίαν, καὶ ζυγὸν ἕνα συναγαγών, καὶ τοὺς ἐγγὺς καὶ τοὺς μακρὰν ἓν σῶμα ποιήσας, ἵνα ὁ ἐν τῇ ῥώμῃ καθήμενος τὸν ἐν Ἰνδίᾳ ὄντα, μέλος οἰκεῖον λογίζηται, καὶ πάντων μίαν κεφαλὴν ὁμολογῇ τὸν χριστόν. τὸ δὲ ἀπ' ἐκείνης τῆς ἡμέρας συνεβουλεύσαντο, ἵνα ἀποκτείνωσι τὸν Ἰησοῦν, δηλοῖ ὅτι ἀπ' ἐκείνης τῆς ἡμέρας κυρίως καὶ τελείως ἐκύρωσαν τὴν γνώμην. καὶ πρὸ τούτου μὲν γὰρ ἐσκέπτοντο περὶ τοῦ φόνου, ἀλλὰ μαλακώτερον, καὶ ζήτησις μᾶλλον ἦν τὸ πρᾶγμα καὶ οὐκ ἀπόφασις, νῦν δὲ

τελεία

τελεία κρίσις, καὶ ψῆφος κεκυρωμένη. πρώην γὰρ ἐζήτουν, φησὶν, ἀποκτεῖναι αὐτὸν,
καὶ αὐτὸς δὲ αὐτοὺς ἐλέγχων, φησίν. ὅτι ζητεῖτέ με ἀποκτεῖναι. σκόπησον οὖν τῆς Ἰωάν. ζ΄.
ἀρχιερατικῆς ἀξίας τὴν δύναμιν, πῶς γέμει τῆς τοῦ πνεύματος χάριτος, κἂν οἱ
ταύτην φοροῦντες ὦσιν ἀνάξιοι. καὶ τίμαμοι τοὺς ἀρχιερεῖς ἀξίως τῆς ἐν αὐτοῖς χά-
ριτος, οὐ τῆς αὐτῶν προαιρέσεως. οὐ μόνον δὲ ἄρα καϊάφας προφητεύει, ἀλλὰ καὶ
ἄλλοι πολλοὶ ἀνάξιοι τὰ μέλλοντα εἶδον. φαραὼ τὰ περὶ τῆς εὐφορίας καὶ ἀφο- Γεν. μα΄.
ρίας. Ναβουχοδονόσωρ τὰ περὶ τῶν βασιλειῶν καὶ τοῦ χριστοῦ. καὶ βαλαὰμ περὶ χρι- Δαν. β΄.
στοῦ. οὐκ εἴ τις δὲ προφητεύει, προφήτης ἂν λεχθείη, ἀλλ᾽ εἴ τις προφήτης, ἐκεῖνος καὶ Ἀριθ. κδ΄.
προφητεύει. ὥσπερ οὖν οὐδὲ πᾶς ὁ ἰατρικόν τι ποιῶν, ἤδη καὶ ἰατρὸς, ἀλλ᾽ ὁ καὶ κατὰ
τὸν ἰατρικὸν λόγον ποιῶν τὸ ἰατρικὸν, ἐκεῖνος ἂν λεχθείη ἰατρός. ὥσπερ καὶ δίκαιος,
οὐχ ὁ ποιῶν δίκαιόν τι, ἀλλ᾽ ὁ δικαίως ποιῶν κατὰ τὸ εἰρημένον, δικαίως τὸ δίκαιον Δευτ. ις΄.
διώξεις. προφητεύει καὶ καϊάφας. ἀλλ᾽ οὐ προφητικῷ λογισμῷ, οὐκ ἄρα προφήτης.

Ἰησοῦς οὖν οὐκέτι παῤῥησίᾳ περιεπάτει ἐν τοῖς ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν
χώραν ἐγγὺς τῆς ἐρήμου εἰς ἐφραὶμ λεγομένην πόλιν, κἀκεῖ διέτριβε μετὰ τῶν μα-
θητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς ἱεροσόλυ
μα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτούς. ἐζήτουν οὖν τὸν Ἰησοῦν, καὶ
ἔλεγον μετ᾽ ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες, τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορ-
τήν; δεδώκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι ἐντολὴν, ἵνα ἐάν τις γνῷ ποῦ ἐστι,
μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.

Εἰς κατάκριμα τῶν Ἰουδαίων ἀναχωρεῖ ὁ κύ-
ριος, οὐ δειλιῶν, ἅμα δὲ καὶ ἡμᾶς διδάσκων μὴ ἀποῤῥίπτειν ἑαυτοὺς εἰς κινδύνους, κἂν
ὑπὲρ εὐσεβείας ὦσιν, ἀλλὰ καταλαμβανομένους μὲν ἵστασθαι γενναίως, μὴ κατα-
ληφθέντας δὲ, εἰς ἐθελούσιον κίνδυνον μὴ παραβάλλεσθαι διὰ τὸ τῆς ἐκβάσεως ἄδη
λον. ὅρα δὲ τὴν ἀνόητον γνώμην τῶν Ἰουδαίων, ὅπως οὐδ᾽ ἐν τῷ τῆς ἑορτῆς καιρῷ τῆς
μιαιφονίας ἀπείχοντο, ἀλλὰ καὶ φόνον ἐβουλεύσαντο δρᾶσαι, καὶ ἀνέβαινον ἁγνι-
σθησόμενοι. οἱ γὰρ ἡμαρτηκότες ἢ ἑκούσια. ἢ ἀκούσια, οὐκ ἐτέλουν τὸ πάσχα, εἰ μὴ
πρότερον ἡγνίσθησαν κατὰ τὸ ἔθος, λουόμενοί τε, καὶ νηστεύοντες, καὶ ξυρόμενοι, καὶ θυ-
σίας τινὰς νενομισμένας προσφέροντες. οὗτοι τοίνυν οἱ βέλτιστοι οἱ τὸν ἁγνισμὸν ποιού
μενοι, ἐνήδρευον τὸν κύριον, καὶ φασὶ. τί δοκεῖτε, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; τουτέστιν ἐξ
ἀνάγκης ἐμπεσεῖν μέλλει, ὁ γὰρ καιρὸς, εἰ καὶ μηδὲν ἄλλο, ἀναγκάσει αὐτὸν παγιδευ-
θῆναι. ὢ τῆς πονηρίας, ὅτε μᾶλλον καὶ τοὺς ὁμολογουμένως κατακρίτους ἔδει ἀπο-
λύειν διὰ τὴν ἑορτὴν, τότε τὸν ἀναίτιον ἐνεδρεύουσι. ἀλλ᾽ εἰ μὲν οἱ ἰδιῶται μόνοι ταῦ
τα ἐποίουν, ἐδόκει ἂν ἀμαθίας εἶναι τὸ πάθος, νῦν δὲ οἱ φαρισαῖοι ἐντέλλονται, ἵνα
καταμηνυθῇ, καὶ συλληφθῇ. καλῶς οὖν ἀναχωρεῖ ἀπὸ τούτων ὁ κύριος. ὁ γὰρ λόγος τοῦ
θεοῦ πρότερον μὲν παῤῥησίᾳ περιεπάτει ἐν τοῖς ἰουδαίοις διὰ τῶν προφητῶν κα-
ταγγελλόμενος, νῦν δὲ οὐκ ἔτι, ἀλλ᾽ ἀνεχώρησεν εἰς τὴν ἔρημον τῶν ἐθνῶν συναγωγὴν, Ἡσα. νδ΄.
περὶ ἧς εἴρηται, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.
ἐγγὺς δὲ ἐφραὶμ ἐστὶν, ἡ ἔρημος αὕτη. ἐφραὶμ δὲ λέγεται καρποφορία. ἀδελφὸς δὲ Γεν. μα΄. μη΄.
ὕστερος οὗτος, τοῦ Μανασσῆ πρεσβυτέρου ὄντος, μανασσῆς δὲ ἑρμηνεύεται ἀπὸ λήθης. ὁ Ἐξό. δ΄.
τοίνυν ἰουδαίων λαὸς πρεσβύτερος υἱὸς ἦν τοῦ θεοῦ, υἱὸς γάρ μου, φησὶ, πρωτότοκος
Ἰσραὴλ, λήθην δὲ αὐτοῦ ἔσχε θεὸς, τὸν δὲ ἐφραὶμ, τουτέστι τὴν ἐξ ἐθνῶν καρποφο-
ρίαν, δεύτερον ποιεῖται υἱὸν ὁ κύριος. εἰς τὴν ἔρημον οὖν ἐφραὶμ, τὴν ἐξ ἐθνῶν ἐκ-
κλησίαν τὴν καρποφορηθεῖσαν διὰ τοῦ εὐαγγελίου, ὁ λόγος ἐξῆλθεν, τὴν Ἰουδαίαν
καταλιπών.

Κεφάλαιον, ιβ΄·

» Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τε-
» θνηκὼς, ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ μάρθα διηκόνει, ὁ
» δὲ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων αὐτῷ. ἡ οὖν Μαρία λαβοῦσα λίτραν μύρου
» νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐξέμαξε ταῖς θριξὶν αὐ
Ἐξό· ιβ΄· » τῆς τοὺς πόδας αὐτοῦ, ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου· Τῇ δεκάτῃ
τοῦ μηνὸς λαμβάνουσι τὸ ἐν τῇ τοῦ πάσχα ἑορτῇ τυθησόμενον πρόβατον, ἔκτοτε δὲ τῶν
πρὸς τὴν ἑορτὴν ἐπιτηδείων, ἄρχονται. ἀμέλει καὶ τῇ πρὸ ἓξ ἡμερῶν, ἤγουν ἐνάτῃ
τοῦ μηνὸς, ἁβρότερον ἑστιῶνται, καὶ προοίμια τῆς ἑορτῆς τὴν ἡμέραν ταύτην ποιοῦν-
ται, διὸ καὶ Ἰησοῦς συνεστιᾶται εἰς Βηθανίαν ἐλθών. δεῖξαι δὲ θέλων ὁ εὐαγγελιστὴς
τῆς ἀληθοῦς ἀναστάσεως τοῦ Λαζάρου σημεῖον φησιν, ὁ δὲ Λάζαρος εἷς ἦν τῶν συνα-
νακειμένων· οὐ γὰρ φανεὶς εὐθὺς ἀπέθανεν, ἀλλ᾽ ἔμεινεν ἐπὶ πολὺν καιρὸν ἐσθίων καὶ
πίνων, καὶ τὰ ἄλλα τὰ συνήθη διατελῶν. διὰ δὲ τοῦ εἰπεῖν, ὅτι ἡ Μάρθα διηκόνει, ἐσή-
μανεν ὅτι ἐν τῇ οἰκίᾳ αὐτῆς ἡ ἑστίασις ἦν. ὅρα δέ μοι τὴν πίστιν τῆς γυναικὸς, πῶς
οὐ θεραπαίναις ἐπιτρέπει τὴν διακονίαν, ἀλλ᾽ αὐτὴ δι᾽ ἑαυτῆς ταύτην ποιεῖται. καὶ
α΄ Πρὸς τι· ε΄· ὁ Παῦλος λέγει περὶ γυναικὸς χήρας, εἰ ἁγίων πόδας ἔνιψεν. αὕτη μὲν οὖν κοινῇ πᾶ-
σι διακονεῖ, ἡ δὲ Μαρία εἰς τὸν Χριστὸν μόνον περιΐστησι τὴν τιμὴν, ἐπειδὴ οὐχ ὡς ἀν-
θρώπῳ προσέχει τούτῳ, ἀλλ᾽ ὡς θεῷ· τὸ γὰρ μύρον διὰ τοῦτο ἐξέχεε, καὶ ταῖς θριξὶ τῆς
κεφαλῆς ἐξέμαξεν, οὐκ ἔχουσα τοιαύτην περὶ αὐτοῦ ὑπόληψιν, οἵαν οἱ πολλοὶ ὡς
περὶ ψιλοῦ ἀνθρώπου, ἀλλ᾽ ὡς δεσπότου καὶ κυρίου. ληφθείη δ᾽ ἂν ἡ Μαρία πρὸς τοῖς
ἀναγωγῆς εἰς τὴν θεότητα τοῦ πατρὸς καὶ κυρίου πάντων, Μαρία γὰρ κυρία ἑρμη-
νεύεται. ἡ τοίνυν κυρία πάντων θεότης τοῦ πατρὸς ἔχρισε τοὺς πόδας τοῦ Ἰησοῦ, τὴν
ἐπ᾽ ἐσχάτων σάρκα τοῦ κυρίου ἤτοι τοῦ λόγου φημὶ, τῷ μύρῳ τοῦ πνεύματος, καθὰ καὶ
Ψαλ. μδ΄. Δαβὶδ φησι, διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως. καὶ ὁ μέγας
Πράξ· ι΄· Πέτρος, γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι κύριον καὶ χριστὸν αὐτὸν ὁ θεὸς ἐποίησε,
τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. ἡ γὰρ προληφθεῖσα ὑπὸ τοῦ λόγου σὰρξ τῷ
θείῳ πνεύματι, τῷ ἐπὶ τὴν μήτραν τῆς παρθένου ἐπελθόντι χρισθεῖσα, καὶ γινομέ-
νη ὅπερ ὁ λόγος, τουτέστι θεὸς, ἐπλήρωσε τὸν κόσμον εὐωδίας, ὥσπερ καὶ τὸ τῆς Μα-
ρίας μύρον τὸν οἶκον εὐωδίασεν ἅπαντα· τίνες δὲ αἱ τρίχες αἱ ἐκμάξασαι τοὺς πόδας;
ἢ πάντως οἱ κοσμοῦντες τὴν κεφαλὴν τοῦ θεοῦ, καὶ τὴν ἀρχικὴν ἐξουσίαν αὐτοῦ οἱ
ἅγιοι, οὗτοι γὰρ εἰς δόξαν θεοῦ ὄντες κόσμος ἂν αὐτοῦ λεχθεῖεν οἱ καὶ τοῦ χρίσμα-
τος τῆς τοῦ κυρίου σαρκὸς γεγόνασι κοινωνοὶ, οὓς καὶ Δαβὶδ φησι μετόχους. καὶ Παῦλος
β΄· α΄. δὲ πρὸς Κορινθίους φησὶν, ὁ βεβαιῶν ὑμᾶς σὺν ἡμῖν εἰς Χριστὸν, καὶ χρίσας ἡμᾶς ὁ θεὸς
καὶ πανταχοῦ Χριστοὺς οἴδαμεν λεγομένους τοὺς κατὰ Χριστὸν ζήσαντας. οἱ τοίνυν χρι-
στιανοὶ αἱ τρίχες ἂν νοηθεῖεν, αἱ τοὺς πόδας τοῦ Ἰησοῦ ἐκμάξασαι, καὶ μεταχοῦσαι
τοῦ θείου χαρίσματος. νεκροῦνται αἱ τρίχες. νεκροὶ καὶ οἱ τοῦ χριστοῦ, τὴν γὰρ σάρκα ἐ-
Πρὸς γαλ· ε΄· σταύρωσαν, καὶ ἐνέκρωσαν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ τῷ κόσμῳ ἀπέθανον· κοσμοῦ-
α΄ Πρὸς Κο· ια΄ σι τὴν κεφαλὴν αἱ τρίχες, καὶ δόξα εἰσὶ ταύτης. δόξα τοῦ θεοῦ, καὶ οἱ ἅγιοι, ὧν λάμ-
Ματθ· ε΄· πει τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ δοξάζεται δι᾽ αὐτοὺς ὁ πατὴρ, οἷς καὶ τὸ ἐ-
α΄· Πρὸς Κο· ι΄· σθίειν καὶ τὸ πίνειν εἰς δόξαν θεοῦ γίνεται, οἱ καὶ ἐν τοῖς μέλεσι δοξάζουσιν αὐτόν. καὶ
σὺ δὲ, ἐπεὶ ἀνέστησέ σου τὸν νοῦν ὥσπερ τινὰ λάζαρον ὁ Ἰησοῦς, καὶ ὑποδέχῃ αὐτὸν
εἰς τὸν οἶκον τῆς ψυχῆς σου. καὶ συνευωχεῖται αὐτῷ καὶ ὁ ἀναστὰς, ἄλειψον τοὺς πό-
δας τοῦ κυρίου πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, πρὶν ἔλθῃ τὸ πάσχα τοῦ μέλλοντος αἰῶνος,
ἕως οὗ ἐν τῷ κόσμῳ τούτῳ διάγεις τῷ ἐν ἓξ ἡμέραις ἀπαρτισθέντι. πόδες τοῦ Χριστοῦ ὁ
ἀπόστολος,

ἀπόστολος, καὶ τὸ εὐαγγέλιον, καὶ ἁπλῶς εἰπεῖν, αἱ ἐντολαί, δι' αὐτῶν γάρ, ἐμπερι-
πατεῖ ἐν ἡμῖν. ταύταις οὖν ταῖς ἐντολαῖς προσάγαγε μύρον, τὴν ἐκ διαφόρων ἀρε-
τῶν ὧν τὸ κρεῖττον ἡ θερμὴ ὡς νάρδος πίστις, συγκεκροτημένην διάθεσιν. εἰ μὴ γὰρ θερ-
μὴν καὶ ἀπὸ ἰδίαν καὶ ἐνάρετον σχέσιν περὶ τὰς ἐντολὰς ἐνδείξῃ, καὶ τοῖς νενεκρω-
μένοις οὖν μέλεσιν, οἱονεὶ θριξὶ ἐκμάξεις ταύτας, καὶ εἰς αὐτὸν ἀναλάβοις, οὐκ ἰσχύσεις
εὐωδιάσαι σου τὸν οἶκον. πόδες τοῦ κυρίου καὶ οἱ ἐλάχιστοι ἀδελφοί, δι' ὧν βαδίζει χρι-
στὸς ἐπὶ τὴν θύραν ἑκάστου ζητῶν τὰ χρειώδη, οὓς ἄλειφε τῷ τῆς ἐλεημοσύνης μύρῳ.
πολλοὶ μὲν οὖν ἐλεοῦσιν, ἀλλὰ πρὸς ἐπίδειξιν. διὸ οὐδὲ εἰς ἑαυτοὺς ἀναδέχονται τὴν
ὠφέλειαν, ἀπέχουσι γὰρ τὸν μισθὸν ἐνταῦθα. σὺ δὲ ἔκμαξαι ταῖς θριξὶ τῆς κεφαλῆς,
καὶ εἰς τὴν ψυχὴν ἀναδέχου τὴν ὠφέλειαν, ἐν τῷ ἡγεμονικῷ μέρει τὸ κέρδος τῆς ἐ-
λεημοσύνης συνάγαγε. καὶ ἔτι νεκρὸν ἔχεις καὶ ἄψυχον, οἷον αἱ τρίχες, ἐν τούτῳ
τῷ ἀγαθῷ χρίσματι καταμύριζε, τὰς ἁμαρτίας γάρ σου, φησίν, ἐν ἐλεημοσύναις
ἐξάλειψον.

» Λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ Ἰούδας Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν Δανι. δ'.
» παραδιδόναι, διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη διακοσίων δηναρίων, καὶ ἐδόθη πτω-
» χοῖς; εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελλεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ
» τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζεν. εἶπεν οὖν ὁ Ἰησοῦς, ἄφες αὐτήν, εἰς
» τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε
» μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Φιλοχρήματος ὢν ὁ Ἰούδας, αἰτιᾶται τὸν
τῆς τιμῆς τρόπον. διατί γὰρ οὐκ ἀργύριόν φησι, προσήνεγκας, ἵνα ἔχω δηλαδὴ κλέ-
ψαι, ἀλλὰ μύρον; πῶς οὖν ἄλλος εὐαγγελιστὴς λέγει, ὅτι πάντες οἱ μαθηταὶ τοῦτο εἶ-
πον; ῥητέον τοίνυν, ὅτι καὶ πάντες μὲν εἶπον, ἀλλ' οὐ τοιαύτῃ προαιρέσει οἱ ἄλλοι, Ματθ. κς'.
οἷα οὗτος. οὐκ ἐλέγχει δὲ αὐτὸν ὁ κύριος, καίτοιγε εἰδὼς αὐτὸν κλεπτικῇ γνώμῃ τοῦτο
εἰπόντα· οὐ γὰρ ἠβούλετο ἐντρέψαι αὐτόν, μακροθυμεῖν καὶ ἡμᾶς πρὸς τοὺς τοιού-
τους παιδεύων. ἐπικεκρυμμένως μέντοι ὀνειδίζει αὐτῷ τὴν προδοσίαν, καὶ ὅτι διὰ φι-
λοχρηματίαν μέλλει προδοῦναι αὐτὸν εἰς θάνατον. διὸ καὶ τοῦ ἐνταφιασμοῦ μέμνη-
ται, πλήσσων τὴν ἀσύνετον αὐτοῦ καρδίαν, εἴπως διορθωθείη, καὶ τὸ ἐπαγόμενον δέ, τοιοῦ-
τον νοῦν τινα ἐμφαίνει. τοὺς πτωχοὺς γάρ φησι, πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ
πάντοτε ἔχετε· ὅσον οὔπω, φησίν, ἀπελεύσομαί σου κατασκευάσαντός μου τὸν θάνα-
τον, εἰ τοίνυν ἐπαχθής σοι εἰμί, καὶ φορτικὴ ἡ εἰς ἐμὲ τιμή, ἀνάμεινον μικρόν, καὶ ἀ-
παλλαγήσῃ μου, καὶ τότε γνωσθήσῃ, εἰ διὰ τοὺς πτωχοὺς χρῄζεις τῆς τοῦ μύρου πράσεως.
τίνος δὲ ἕνεκεν, εἴγε φιλοχρήματος ἦν καὶ κλέπτης, τὴν τῶν χρημάτων οἰκονομίαν
αὐτῷ ἐπέτρεψεν ὁ κύριος; δι' αὐτὸ μὲν οὖν τοῦτο ὅτι κλέπτης ἦν, ἵνα πᾶσαν αὐτοῦ ἐκ-
κόψῃ πρόφασιν· οὐ γὰρ εἶχεν εἰπεῖν, ὅτι διὰ χρημάτων ἔρωτα προὔδωκεν, ἱκανὴν γὰρ
εἶχεν ἐκ τοῦ γλωσσοκόμου παραμυθίαν, ἀλλ' οὔτε τὸ γλωσσόκομον ἔχων πιστὸς ἦν, ἐβά-
σταζε γάρ, τουτέστιν, ἔκλεπτε τὰ βαλλόμενα, καὶ ἱερόσυλος ἦν, τὰ εἰς τὴν θείαν χρείαν
διδόμενα νοσφιζόμενος· ἀκουέτωσαν δὲ οἱ ἱερόσυλοι, ποίας μερίδος εἰσί, καὶ τὸ κεφά-
λαιον τῆς κακίας, ὕστερον προὔδωκε τὸν κύριον. ὁρᾷς ποῖ φέρει ἡ φιλοχρηματία; εἰς
προδοσίαν. καλῶς οὖν ὁ Παῦλος ῥίζαν πάντων τῶν κακῶν ταύτην ἐκάλεσεν, ὡς προ- α' Πρὸς Τι. ς'.
δοῦσαν τὸν κύριον, καὶ καθεκάστην τοῦτ' αὐτὸ ποιοῦσαν. τινὲς δέ φασι τὸν Ἰούδαν ἐγχει-
ρισθῆναι τὴν τῶν χρημάτων διακονίαν, ὡς ἐλάττονα τῶν ἄλλων, τὸ γὰρ περὶ χρήμα-
τα διακονεῖν, τοῦ περὶ διδασκαλίαν ἔλαττον, ὡς καὶ ἐν ταῖς πράξεσί φασιν, οἱ ἀπό-
στολοι, οὐκ ἔξεστιν ἡμῖν καταλιποῦσι τὸν λόγον, διακονεῖν τραπέζαις. Πράξ. ς'.

» Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων, ὅτι ἐκεῖ ἐστι, καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μό-

ι… …να καὶ τὸν Λάζαρον ἴδωσιν οὓ ἤγειρεν ἐκ νεκρῶν. ἐβουλεύσαντο δὲ οἱ ἀρχιερέ… …α καὶ τὸν Λάζαρον ἀποκτείνωσιν ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. Εὐγνώμονες ἦσαν οὗτοι, οἱ πρὸς τὸν κύριον ἐλθόντες, καὶ οὐχὶ κατὰ τοὺς λοιποὺς ἀγνώμονες καὶ λυττῶντες. ἦλθον γάρ φησιν, οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσι. τῷ ὄντι γὰρ μεγίστου τοῦ θαύματος οὗτος πολλοὶ ἠβούλοντο θεαταὶ γενέσθαι τοῦ ἀναστάντος, ἴσως προσδοκῶντες τί καὶ περὶ τῶν ἐν τῷ ᾅδῃ παρὰ τοῦ Λαζάρου ἀκούσεσθαι. οἱ δὲ Φαρισαῖοι οὕτως ἀπανθρώπως εἶχον, ὥστε οὐ μόνον τὸν Ἰησοῦν θέλειν, ἀλλὰ καὶ τὸν Λάζαρον ἀποκτεῖναι, διότι αἴτιος σωτηρίας πολλοῖς ἐγένετο, τῷ περὶ αὐτὸν θαύματι πρὸς τὴν πίστιν ἐπαγόμενος τοὺς ἀδολωτέρους. οὕτως ἔγκλημα παρ' αὐτοῖς ἦν καὶ τὸ καλῶς παθεῖν. μάλιστα δὲ ἔδακνεν αὐτοὺς τὸ, τῆς ἑορτῆς ἐνισταμένης, πάντας ἐπὶ τὴν Βηθανίαν τρέχειν, καὶ ἀκροατὰς τοῦ θαύματος καὶ αὐτόπτας τοῦ ἀναστάντος γίνεσθαι.

Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτὴν, ἀκούσαντες ὅτι ἔρχεται ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτοῦ, καὶ ἔκραζον ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, βασιλεὺς τοῦ Ἰσραήλ. Ἀναχωρήσας μικρὸν εἰς τὴν ἔρημον ὁ κύριος διὰ τὸ κατασβέσαι τὸν θυμὸν τῶν μιαιφόνων, πάλιν παῤῥησίᾳ εἰσέρχεται, καὶ πᾶσιν ἐμφανίζεται. ἐνειστήκει γὰρ λοιπὸν ὁ καιρὸς τοῦ πάθους, καὶ οὐκ ἔτι ἔδει αὐτὸν κρύπτεσθαι, ἀλλ' ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἑαυτὸν δοῦναι. ὅρα γὰρ ἀκολουθίαν τοῦ πάθους, ἀνέστησε τὸν Λάζαρον, θαῦμα τελευταῖον ἐπιτηρήσας τὸ πάντων μέγιστον, ἐκ τούτου πολλοὶ συνέτρεχον καὶ ἐπίστευον, ἐκ τοῦ πιστεύειν πολλοὺς, ὁ φθόνος μείζων, ἐκ δὲ τούτου ἡ ἐπιβουλὴ καὶ ὁ σταυρός. ἀκούσαντες γάρ, φησιν, οἱ ὄχλοι ὅτι ἔρχεται ὁ Ἰησοῦς, ὑπήντησαν αὐτῷ μετὰ δόξης, διὰ τὸ ἐπὶ τῷ Λαζάρῳ θαῦμα πάντως τιμὴν αὐτῷ ἀπονέμοντες μείζω, ἢ κατὰ τὴν ἀνθρώπῳ ὀφειλομένην ψιλῷ. οὐκ ἔτι γὰρ αὐτὸν ὡς προφήτην εἶχον, ἐπεὶ ποῖον προφήτην οὕτως οἱ πατέρες αὐτῶν τετιμήκασί ποτε; ὅθεν καὶ ἔλεγον, ὡσαννὰ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. ἐκ δὲ τούτων τῶν ῥημάτων συλλογιζόμεθα. πρῶτον μὲν, ὅτι θεός ἐστι, τὸ γὰρ ὡσαννὰ, σῶσον δὴ ἑρμηνεύεται. ὡς καὶ ἐν τῷ ἑκατοστῷ ἑπτακαιδεκάτῳ ψαλμῷ παρὰ τῶν ἑβδομήκοντα ἐξελληνισθὲν κεῖται. τοῦ γὰρ Ἑβραϊκοῦ ὡσαννὰ ἔχοντος, τὸ ἑλληνικὸν ὦ κύριε σῶσον δὴ ἔχει. τὸ δὲ σώζειν τοῦ θεοῦ μόνου ἐστὶ, καὶ πρὸς αὐτὸν εἴρηται τὸ, σῶσον ἡμᾶς κύριε ὁ θεὸς ἡμῶν. καὶ πανταχόθεν ἂν συνελογίσατό τις, ὅτι τὴν σωτηρίαν τῷ θεῷ μόνῳ ἡ γραφὴ ἀνατίθησι. πρῶτον μὲν οὖν τοῦτο δεικνύουσιν οἱ τὰ τοῦ Δαβὶδ ἐπὶ Χριστοῦ λέγοντες, ὅτι θεός ἐστιν. ἔπειτα, ὅτι καὶ κυρίως θεὸς, ὁ ἐρχόμενος γάρ, φησι, οὐχὶ ἀγόμενος. τὸ μὲν γὰρ δουλικόν πως, τὸ δὲ ἐξουσιαστικὸν τὸ ἔρχεσθαι. καὶ τῷ εἰπεῖν δὲ ἐν ὀνόματι κυρίου, ταὐτὸ τοῦτο ἐμφαίνουσιν, τὸ ἀληθινὸν θεὸν αὐτὸν εἶναι, οὐ γὰρ ἐν ὀνόματι δούλου, ἀλλὰ κυρίου φασὶν αὐτὸν ἔρχεσθαι. καὶ ἔτι παριστῶσιν ὅτι οὐκ ἔστιν ἀντίθεος, ἀλλ' ἐν ὀνόματι τοῦ
Ἰωάν. ε'. πατρὸς ἐλθὼν, ὥσπερ δὴ καὶ αὐτὸς ὁ κύριος φησὶν, ὅτι ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ἄλλος δὲ ἐλεύσεται ἐν τῷ ἰδίῳ ὀνόματι. καὶ βασιλέα δὲ τοῦ Ἰσραὴλ ἀπεκάλουν αὐτὸν, τάχα αἰσθητὴν βασιλείαν φανταζόμενοι, προσεδόκων γὰρ ἀναστήσεσθαί τινα βασιλέα μείζω, ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν μέλλοντα σώσειν αὐτοὺς ἀπὸ τῆς τῶν Ῥωμαίων ἐπικρατείας.

Ζαχαρ. θ'. Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ' αὐτὸ καθώς ἐστι γεγραμμένον, μὴ φοβοῦ θύγατερ Σιὼν, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι καθήμενος ἐπὶ πῶλον ὄνου. ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον, ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν,

ὅτι

ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ. -θ. κα.
Οἱ μὲν ἄλλοι εὐαγγελισταὶ τὸν κύριον φασὶ πρὸς τοὺς μαθητὰς εἰπεῖν, λύσαντες ἀγάγετε. ὁ . ια'.
δὲ Ἰωάννης ἐνταῦθα οὐδὲν τοιοῦτον φησὶν, ἀλλ' ἁπλῶς οὕτως φησὶν, εὑρὼν ὁ Ἰησοῦς ι. ιθ'.
ὀνάριον; καὶ τί τοῦτο, μὴ γὰρ διαφωνοῦσιν; ἀλλ' ἐκείνων εἰπόντων πλατύτερον, οὗτος
ἐπιτομώτερον ἔφη, τὸ εὑρὼν ὁ Ἰησοῦς ὀνάριον, λυθὲν γὰρ παρὰ τῶν μαθητῶν, καὶ ἀχθὲν, εὗρε καὶ ἐκάθισεν ἐπ' αὐτόν. διὰ δὲ τούτου, καὶ προφητείαν μὲν ἐπλήρου τοῦ Ζαχαρίου εἰπόντος, μὴ φοβοῦ θύγατερ σιὼν, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι καθήμενος ἐπὶ πῶλον ὄνου. ἐπειδὴ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον οἱ ἐν ἱερουσαλὴμ βασιλεύοντες, ἄδικοί τε ἦσαν, καὶ πλεονέκται, φησὶν ὁ προφήτης, μὴ φοβοῦ σιὼν, ὁ γὰρ προφητευόμενός σοι παρ' ἐμοῦ βασιλεὺς, οὐ τοιοῦτος, ἀλλὰ πρᾶος καὶ μετριόφρων. καὶ οὐδὲν ἀλαζονικὸν ἐνδεικνύμενος, καὶ δείκνυται ἀπὸ τοῦ ὄνῳ ἐπικαθήμενος ἐλθεῖν, οὐ γὰρ στρατόπεδον ἐπισυρόμενος εἰσῆλθεν, ἀλλ' ὄνῳ ἐποχούμενος. ἦν δὲ καὶ τοῦ μέλλοντος σύμβολον τὸ ἐπικαθίσαι αὐτὸν ὄνῳ, ἀκάθαρτον μὲν γὰρ τοῦτο ζῶον παρὰ τῷ νόμῳ, σύμβολον δὲ τοῦ ἀκαθάρτου τοῦ τῶν ἐθνῶν λαοῦ, ᾧ ἐπικάθηται ὁ τοῦ θεοῦ λόγος Ἰησοῦς, ὑποτάττων τὸν ἀνυπότακτον καὶ ἀπαίδευτον τοῦτον ὡς πῶλον φημὶ τὸν νέον λαὸν, ὃν καὶ ἀνάγει ἐπὶ τὴν ἀληθινὴν ἱερουσαλὴμ, ὑποχείριον αὐτῷ καὶ ὑποκλινῆ γενόμενον. ἢ γὰρ οὐχὶ τοὺς ἐξ ἐθνῶν συνήγαγεν ἐπὶ τὸν οὐρανὸν ὁ κύριος, λαὸν αὐτοῦ γενομένους, καὶ ὑπακούσαντας τῷ κηρύγματι; ἐμήνυον δὲ καὶ οἱ φοίνικες, τάχα μὲν καὶ τὸ νικητὴν αὐτὸν γενέσθαι τοῦ θανάτου ἀναστήσαντα τὸν λάζαρον, ὁ γὰρ φοίνιξ ἐν τοῖς ἀγῶσι τοῖς νικηταῖς ἐδίδοτο. τάχα δὲ ἐδήλου καὶ τὸ οὐράνιον εἶναι τὸν εὐφημούμενον, καὶ ὑψόθεν ἥκοντα, μόνος γὰρ τῶν ἄλλων δένδρων ἀνατείνει μὲν εἰς αὐτὸν τὸν οὐρανὸν ὡς εἰπεῖν. ἐν ὕψει δὲ κομᾷ, θαλλοὺς φέρων ἐπὶ τῆς κόμης λευκοὺς, ἐν δὲ τῷ στελέχει καὶ τοῖς μέσοις ἄχρι τῆς κορυφῆς, τραχύς ἐστι καὶ δυσανόδευτος, τοὺς ἐπὶ τῶν κλάδων σκόλοπας προβαλλόμενος. οὕτως οὖν καὶ ὁ πρὸς τὴν τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ γνῶσιν ἐλαύνων, τραχεῖαν μὲν αὐτὴν εὑρήσει καὶ ἀνάντη, διὰ τῶν κόπων ὁδεύων τῆς ἀρετῆς, πρὸς δὲ τὸ ὕψος τῆς γνώσεως ἀφικόμενος, ἐντεύξεται τῷ λαμπροτάτῳ τῆς θεογνωσίας φωτὶ, καὶ τῇ ἀποκαλύψει τῶν ἀπορρήτων, καθάπερ τοῖς τοῦ φοίνικος λευκοτάτοις θαλοῖς. σὺ δέ μοι θαύμαζε τὸν εὐαγγελιστὴν, πῶς οὐκ ἐπαισχύνεται, ἀλλ' ἐκπομπεύει τὴν προτέραν ἄγνοιαν τῶν ἀποστόλων. ταῦτα γάρ, φησιν, οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρότερον, ἀλλ' ὅτε Ἰησοῦς ἐδοξάσθη. δόξαν δὲ λέγει τὴν μετὰ τὸν σταυρὸν καὶ τὸ πάθος ἀνάληψιν. τότε δὴ τότε ἔγνωσαν τῇ τοῦ πνεύματος πάντως παρουσίᾳ, ὅτι ἐπ' αὐτῷ ἦσαν γεγραμμένα. ὅτι μὲν γὰρ ἐγέγραπτο, τυχὸν ᾔδεσαν, ὅτι δὲ ἐπὶ τοῦ Ἰησοῦ, τοῦτο αὐτοὺς ἐλάνθανε συμφερόντως, ἢ γὰρ ἂν ἐσκανδαλίσθησαν ἐπ' αὐτῷ σταυρουμένῳ, εἴγε βασιλεὺς παρὰ τῆς γραφῆς ἀναγορευόμενος, τοιαῦτα πάσχει.

Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτε τὸν λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. οἱ οὖν φαρισαῖοι εἶπον πρὸς ἑαυτοὺς, θεωρεῖτε, ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ἀπῆλθεν ὀπίσω αὐτοῦ. Ὁ ὄχλος, φησὶν, ὁ ἐπὶ τῷ λαζάρῳ τὸ θαῦμα ἰδὼν, μάρτυς ἦν, καὶ κήρυξ τῆς τούτου δυνάμεως. διὸ καὶ ὑπήντησαν αὐτῷ μετὰ δόξης οἱ ἀκούσαντες τοῦτο γενέσθαι τὸ σημεῖον, δηλονότι πιστεύσαντες, οὐ γὰρ ἂν, εἰ μὴ ἐπίστευσαν, οὕτως ἀθρόον μετετέθησαν. οἱ δὲ φαρισαῖοι οἱ λέγοντες, ὅτι θεωρεῖτε, ὅτι οὐκ ὠφελεῖτε οὐδέν. οὐκ ἀπὸ πονηρίας ταῦτα φθέγγονται, οὐ γὰρ ἐκ τῶν κατὰ τοῦ σωτῆρος μελετώντων ἦσαν, ἀλλ' εὐγνώμονες μὲν ἐοίκασιν εἶναι, ἀπαῤῥησίαστοι δὲ, διὸ μὴ τολμῶντες φανερῶς ἀντιστῆναι τοῖς κατὰ τοῦ κυρίου λυττῶσιν, ἀπὸ

…ulus uti: …t: fieri …nt
Λευι. ια'.

... να ... τοῦ ... γματος πειρῶνται ἀνασπεῖλαι αὐτὸν, μονονουχὶ τοιαῦτα λέ... ρε... καὶ ...α ὑμῖν ὠφέλεια ἀπὸ τῶν πολλῶν τῶν κατὰ τοῦ ἀνθρώπου τούτου ἐπιβου... ὅσον ἂν ἐπιβουλεύητε, τοσοῦτον οὗτος αὔξεται, καὶ ἐπιδίδωσιν ἡ δόξα αὐτοῦ, ὁ ἐ... ...ευον ...ος γὰρ, ἤτοι τὸ πᾶν πλῆθος, ὀπίσω αὐτοῦ ἀπῆλθεν. ὥστε ἐπεὶ οὐδὲν ἀνύετε, παύσα... τῶν ἐπιβουλῶν, ἵνα μὴ ἀνομῆτε διακενῆς.

Ἦσαν δέ τινες ἕλληνες ἐκ τῶν ἀναβαινόντων, ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ, οὗτοι προσῆλθον φιλίππῳ τῷ ἀπὸ βηθσαϊδὰ τῆς γαλιλαίας, καὶ ἠρώτησαν αὐτὸν λέγοντες. κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν, ἔρχεται φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ, καὶ πάλιν Ἀνδρέας καὶ φίλιππος λέγουσι τῷ Ἰησοῦ. ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς. λέγων, ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει, ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Διὰ δὲ τοῦ ναοῦ κάλλος, καὶ τὰ λεγόμενα παρὰ Ἰουδαίοις θαυμαστὰ πολλοὶ καὶ τῶν ἑλλήνων ἀνήεσαν προσκυνήσοντες. οὗτοι δὲ ἐγγὺς ἦσαν τοῦ καὶ προσήλυτοι γενέσθαι, ἤτοι τῷ Ἰουδαϊσμῷ προσελθεῖν. τῆς οὖν περὶ τοῦ Ἰησοῦ φήμης διαδοθείσης, προσίασι τῷ φιλίππῳ, καὶ ἠρώτησαν αὐτὸν ὥστε τὸν Ἰησοῦν ἰδεῖν, τουτέστιν, ᾐτήσαντο. ὁ δὲ, ἀλλ᾽ ὅρα μετριοφροσύνην καὶ εὐταξίαν, τῷ Ἀνδρέᾳ λέγει, ὡς πρὸ αὐτοῦ ὄντι. κἀκεῖνος οὐχ ἁρπάζει τὴν ὑπόμνησιν, οὐδὲ αὐθεντεῖ, ἀλλὰ συμπαραλαβὼν καὶ φίλιππον, οὕτω θαῤῥεῖ τὴν ὑπόμνησιν, τοσαύτη εὐταξία καὶ φιλαλ-
ματθ. ι. λιλία αὐτοῖς ἐν ἐπολιτεύετο. τί τοίνυν ὁ κύριος; ἐπειδὴ τοῖς μαθηταῖς παρήγγειλεν εἰς ὁδὸν ἐθνῶν μὴ ἀπελθεῖν, ἑώρα δὲ ἤδη τὰ ἔθνη αὐτῷ προσιόντα, οἱ γὰρ ἕλληνες οἱ θέλοντες αὐτὸν ἰδεῖν, ἐθνικοὶ πάντως ἦσαν, τοὺς δὲ Ἰουδαίους ᾔδει αὐτῷ ἐπιβουλεύοντας, καιρός φησιν λοιπὸν ἐστὶ τὸ πάθος ἐλθεῖν, ἐλήλυθεν γὰρ ἡ ὥρα τοῦ σταυροῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. τί γὰρ ὄφελος τὰ μὲν ἔθνη προσιόντα ἡμῖν μὴ προσδέχεσθαι, τοῖς δὲ Ἰουδαίοις μισοῦσι καὶ διώκουσι προστρέχειν; ἐπεὶ τοίνυν οἱ ἐξεθνικοὶ προστρέχουσιν ἡμῖν, νῦν λοιπὸν ἡ ὥρα τοῦ σταυρωθῆναι, οὐκοῦν συγχωρήσω τοῖς Ἰουδαίοις πέρας ἐπαγαγεῖν τοῖς βουλεύμασιν αὐτῶν, καὶ ἐνδώσω αὐτοῖς, ὥστε σταυρῶσαί με, ἵνα δὴ ἀπροφάσιστοι ὦσιν εἰς τὸ μετέπειτα, εὐλόγως ἐμοῦ ἀφέντος αὐτοὺς ὡς σταυρωτὰς ὁμοῦ καὶ φονεῖς, καὶ τοῖς ἔθνεσι προσχωρήσαντος τοῖς ἤδη ἀρξαμένοις προσιέναι τῇ ἐμῇ διδαχῇ. λίαν γὰρ ἄδικον τοῖς μὲν ἔθνεσι διψῶσι τοῦ λόγου καὶ τῆς σωτηρίας, μηδὲν διδόναι, τοῖς δὲ ἀποπτύουσι τὰ διδόμενα Ἰουδαίοις καὶ ἐπιβουλεύουσι τῷ εὐεργέτῃ προσλιπαρεῖν. εἶτα ἵνα μὴ σκανδαλισθῶσιν οἱ μαθηταὶ, ὅτι ὅτε καὶ τὰ ἔθνη προσιέναι ἤρξαντο, τότε καὶ ἀποθνήσκει φησὶν, ὡς αὐτὸ τοῦτο μᾶλλον τὸ ἀποθανεῖν ἐμὲ, αὐξήσει τὴν τῶν ἐθνῶν πίστιν. ὥσπερ γὰρ ὁ κόκκος τοῦ σίτου ὅταν σπαρεὶς ἀποθάνῃ, τηνικαῦτα πολὺν καρπὸν φέρει, οὕτω δὴ καὶ ὁ ἐμὸς θάνατος πολὺν τὸν ἐν τῇ πίστει τῶν ἐθνῶν καρπὸν ἐνέγκοι. ὥστε μηδεὶς σκανδαλιζέσθω, ὡς τῆς τῶν ἐθνῶν προσαγωγῆς διὰ τοῦ θανάτου μὴ κολωβουμένης, ἀλλὰ τῷ τοῦ κόκκου ὑποδείγματι πειθέσθω τὴν ἐν τῷ θανάτῳ μου πίωσιν, αὔξησιν τῶν πιστευόντων γενήσεσθαι. εἰ γὰρ ἐν τῷ κόκκῳ τοῦτο γίνεται, πολλῷ μᾶλλον ἐν ἐμοί. ἀποθανὼν γὰρ καὶ ἀναστὰς, μᾶλλον δείξω τὴν ἐμὴν δύναμιν διὰ τοῦ ἀναστῆναι, καὶ πάντες ὡς θεῷ μοι πιστεύσουσιν.

Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτὴν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. ἐὰν ἐμοὶ διακονῇ τίς, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ. Ἐπειδὴ ἐγγὺς ἦν τοῦ πάθους ὁ κύριος, ᾔδει δὲ τοὺς μαθητὰς κατηφείας πλήρεις ἐσομένους, διὰ τοῦτο φησὶν, ὅτι τοσοῦτον οὐ δεῖ ὑμᾶς ἐπὶ

τῷ ἐμῷ θανάτῳ κ… …μεῖς αὐτοὶ … …ταύτη…

κέρδος, ἀλλὰ καὶ πᾶς ἄνθρωπος …λως, ὃς τὴν παροῦσαν ζωὴν ἀγαπᾷ… ψυχὴν αὐτοῦ φιλεῖ, τουτέστι τὰς ἐπιθυμίας αὐτῆς τὰς ἀτόπους ποιεῖ, καὶ πα… ssus uti= χαρίζεται αὐτῇ, καὶ μὴ καταφρονεῖ θανάτου, ἀπόλλυσι ταύτην. ὁ δὲ μισῶ… at : fieri τουτέστιν, ὁ μὴ ὑπείκων αὐτῇ, μὴ δὲ ὑποκλινόμενος, φυλάξει αὐτὴν εἰς ζωὴν… ceant , θέλων δὲ ἐνδείξασθαι τὴν ἐπιτεταμένην ἀποστροφὴν, ἣν δεῖ ποιεῖσθαι τ… hu= ἐπιθυμίας τῆς ψυχῆς, εἶπε τὸ, ὁ μισῶν. καὶ γὰρ τῶν μισουμένων οὔτε ὄψιν ἰδεῖν, οὐ… n φωνὴν ἀκοῦσαι ὑπομένομεν, οὕτως οὖν δεῖ διακεῖσθαι πρὸς τὰς ἀλόγους τῆς ψυχῆς ὀρέξεις, τέλειον μῖσος μισοῦντας αὐτάς. τῷ δὲ εἰπεῖν ὅτι ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, ἐμφαίνει τὸ πρόσκαιρον τοῦ πράγματος. ἐπεὶ γὰρ φορτικὸν ἐδόκει καὶ ἀπηνὲς τὸ παράγγελμα, παραμυθεῖται τοῦτο διὰ τοῦ προσθῆναι ἐν τῷ κόσμῳ τούτῳ. μὴ γάρ, φησιν, εἰς ἀπέραντον χρόνον κελεύω μισεῖν τὴν ψυχὴν, ἐν τῷ προσκαίρῳ τούτῳ κόσμῳ ἀποστράφηθι ταύτην, ἐπιτάσσουσάν σοι τὰ ἄτοπα. ἐπάγει δὲ τὸ κέρδος, εἰς ζωὴν αἰώνιον, φησὶ, φυλάξει αὐτήν. μισεῖς μὲν πρόσκαιρον, εἰς αἰῶνας δὲ τηρεῖς ζῶσαν τὴν θείαν ζωήν. προτρεπόμενος δὲ αὐτοὺς πλέον ἐπὶ τὴν τοῦ παρόντος βίου καταφρόνησιν, καὶ κατὰ τοῦ θανάτου θαῤῥύνων φησὶν, ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθείτω, οὕτως ἕτοιμος ἔστω πρὸς τὸν θάνατον, ὡς ἐγώ. ἀκολούθησιν γὰρ τὴν διὰ τῶν ἔργων ἐνταῦθα λέγει. εἶτα καὶ ἡ παραμυθία, ὅπου εἰμὶ ἐγὼ, καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. ποῦ δὲ ὁ χριστὸς; ἐν οὐρανοῖς. ὥστε ὁ διὰ τοῦ θανάτου αὐτῷ ἀκολουθῶν, καὶ μὴ τῷ κόσμῳ τούτῳ προσηλωθεὶς, ἐκεῖ ἔσται ἐν οὐρανοῖς, ἀντίκειται γὰρ ἀλλήλοις τὸ ἄνω καὶ τὸ κάτω. ὁ ἀγαπῶν κάτω εἶναι, ἄνω οὐκ ἔσται, ὁ δὲ φεύγων τὰ κάτω καὶ τὸν κόσμον, ἄνω καὶ ἐν οὐρανοῖς ἔσται. ἐάν τις γὰρ ἐμοὶ διακονῇ, φησὶ, τιμήσει αὐτὸν ὁ πατήρ μου. οὐκ εἶπεν, ὅτι τιμήσω ἐγὼ αὐτὸν, ἀλλ' ὁ πατὴρ, τὸ γνήσιον παριστῶν διὰ τούτου. ὡς γὰρ γνησίου υἱοῦ διάκονον τιμῆς ἀξιώσει ὁ ἀληθινὸς πατὴρ, ἅμα δὲ καὶ τὸ μὴ εἶναι ἀντίθεος διὰ τούτου δείκνυσιν, οὐκ ἂν γὰρ ὁ θεὸς καὶ πατὴρ ἐτίμα τὸν ἀντικείμενον αὐτῷ ὄντα διάκονον. καὶ μὴ τοίνυν φιλήσωμεν τὴν ψυχὴν ἡμῶν ἐν τῷ ταύτην ἐκ τῶν ὑπὲρ τῆς ἀληθείας κινδύνων συντηρεῖν, καὶ μὴ θέλειν κακοπαθεῖν ὑπὲρ τοῦ καλοῦ, ἀλλ' εἴπερ διάκονοι χριστοῦ ἐσμεν, ἐκδῶμεν ταύτην τοῖς ὑπὲρ τῆς ἀληθείας κινδύνοις, καὶ ἐσόμεθα πάντως ἐν οἷς ἐστι νῦν ὁ χριστὸς, οὐ τοῖς θεοπρεπέσι λέγω ἀξιώμασιν, ἐκεῖνος γὰρ φύσει θεὸς, ἀλλ' ἐν οἷς ἐνδέχεται τὴν ἀνθρωπίνην διαπρέπειν δύνασθαι φύσιν, οἷον. ἐκεῖνος θεὸς φύσει, ἡμεῖς θεοὶ θέσει καὶ χάριτι.

» Νῦν ἡ ψυχή μου τετάρακται. καὶ τί εἴπω; πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύ-
» της, ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. πάτερ δόξασόν σου τὸ ὄνομα, ἦλθεν
» οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ, καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.

Τί ἐστι τοῦτο ὃ λέγει; δοκεῖ γὰρ ἐναντιοφωνεῖν αὐτὸς ἑαυτῷ. ὁ γὰρ ἀνωτέρω πρὸς θάνατον δοκῶν ἐπαλείφειν, καὶ μισεῖν τὴν ψυχὴν προτρεπόμενος, οὗτος νῦν ταράττεται, φησὶ, μέλλων ἀποθανεῖν, ὃ οὐ προτρεπομένου ἐστὶν εἰς θάνατον, ἀλλ' ἀποτρεπομένου. ἀλλ' εἰ καλῶς σκοπήσεις, εὑρήσεις αὐτὸν, ὅτι καὶ τὸ ταράττεσθαι προτροπή ἐστιν εἰς τὸ θανάτου καταφρονεῖν. ἵνα γὰρ μὴ ἔχῃ τίς λέγειν, ὅτι αὐτὸς ἔξω τῶν ἀνθρωπίνων παθῶν ὢν, εὐκόλως περὶ θανάτου φιλοσοφεῖ, καὶ ὡς ἐκτὸς κινδύνων ἄλλοις παραινεῖ, δείκνυσιν ὅτι καὶ αὐτὸς τῶν ἀνθρωπίνων ἰδιωμάτων πεπείραται, καὶ τῆς ἡμετέρας μετέχει φύσεως, εἰ καὶ χωρὶς ἁμαρτίας. διὸ καίτοι ἀθυμῶν καὶ ταραττόμενος ὡς ἄνθρωπος διὰ τὸ φύσει φιλόζωον, ὅμως οὐ παραιτεῖται τὸν θάνατον, ὡς ἐπὶ σωτηρίᾳ τοῦ κόσμου ὄντα. διὰ γὰρ τοῦτο, φησὶν, ἦλθον εἰς τὴν ὥραν ταύτην, ἵνα τὸν ὑπὲρ πάντων ἀναδέξωμαι

... ἐκεῖνο ... εἰς τὸ ... διὰ τοῦτο ... παραιτώμεθα. ... ἀνοδύνως, τὸν ὑπὲρ τῆς ἀληθείας φευξόμεθα θάνατον; ἐπεὶ κἀγώ, φησι, ταράττομαι· καὶ ἄνθρωπος γάρ τῷ ὄντι εἰμί, καὶ συγχωρῶ τὴν φύσιν τὰ ἑαυτῆς ἐπιδείξασθαι· ... ὅμως οὐ λέγω πρὸς τὸν πατέρα, ἵνα με σώσῃ ἐκ τῆς ὥρας ταύτης, ἀλλὰ ... πάτερ δόξασόν σου τὸ ὄνομα, τουτέστι, τὸν σταυρόν, καὶ τὸν ὑπὲρ τῆς τῶν ... σωτηρίας κίνδυνον, εὐδόκησόν με ἀναδέξασθαι. ὅρα δὲ ὅτι δόξαν θεοῦ ὠνόμασε, τὸ ὑπὲρ τῆς ἀληθείας ἀποθανεῖν. διὸ καὶ ὁ πατήρ, καὶ ἐδόξασα, φησί, καὶ πάλιν δοξάσω, τοῖς τε γὰρ πρὸ τοῦ σταυροῦ θαύμασιν, ἃ ἐν τῷ ἐμῷ ὀνόματι ἐτέλεσας, ἐδόξασα, καὶ πάλιν ἐν αὐτῷ τῷ σταυρῷ διὰ σοῦ θαύματα ποιήσας, δοξάσω, καὶ μετὰ τὴν ταφὴν ἀναστήσας σε, καὶ τὸ πνεῦμα πέμψας, ἔτι ἐνδοξότερον καὶ τὸ ἐμὸν ὄνομα καὶ σὲ καταστήσω. τινὲς δὲ τὸ νῦν ἡ ψυχή μου τετάρακται, οὐχ ὡς τοῦ Ἰησοῦ τὸν θάνατον φοβουμένου κατὰ τὸ ἀνθρώπινον λέγεσθαι ἐνόμισαν, ἀλλὰ προορῶν, φασί, τὴν ἔκπτωσιν τῆς παραπικραινούσης τῶν ἰουδαίων γενεᾶς, καὶ ὑπεραλγῶν αὐτῶν καὶ φειδόμενος καὶ κηδόμενος ταράττεται δι' ἐκείνους, καὶ λύπῃ βάλλεται ὁ φιλάνθρωπος. οὐ γὰρ τὸν θάνατον, φασί, φοβούμενος, ἐπεὶ μὴ δὲ ἠγνόει τίνος ἕνεκεν τὴν πρὸς ἡμᾶς ἐποιήσατο ἄφιξιν, ὡς καὶ αὐτὸς λέγει, διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην.

Ματθ. ι. πῶς δ' ἂν τοὺς ἄλλους προετρέπετο, μὴ φοβεῖσθε λέγων ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα;

Ὁ οὖν ὄχλος ὁ ἑστώς, καὶ ἀκούσας, ἔλεγον βροντὴν γεγονέναι. ἄλλοι ἔλεγον, ἄγγελος αὐτῷ λελάληκεν. ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν, οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἔμελλεν ἀποθνήσκειν. Παχύτεροι ὄντες καὶ ἀμαθέστεροι οἱ πλείους, ἐνόμισαν βροντὴν εἶναι τὴν φωνήν, καίτοι εὔσημον οὖσαν καὶ τετρανωμένην. ταχέως γὰρ ἐπελάθοντο τῶν τῆς φωνῆς ῥημάτων, τὸν ἦχον μόνον κατέχοντες ταύτης. ἕτεροι δὲ κατεῖχον μὲν καὶ τὰ ῥήματα αὐτὰ τῆς φωνῆς, λέγω δὴ τό, ἐδόξασα καὶ πάλιν δοξάσω. μὴ συνιέντες δ' ὅμως τίς ὁ νοῦς τῶν ῥημάτων τούτων, ἄγγελον αὐτῷ λελαληκέναι ᾤοντο, διὸ καὶ δυσνόητα αὐτοῖς εἶναι ταῦτα, ὡς ὑπ' ἀγγέλου λεχθέντα. ὁ δὲ Ἰησοῦς οὐ δι' ἐμέ, φησι, γέγονεν αὕτη ἡ φωνή, ἀλλὰ δι' ὑμᾶς. ἐγὼ μὲν γὰρ οὐκ ἐδεόμην τοῦ μαθεῖν, ὅτι ἐδόξασεν ὁ πατήρ, καὶ πάλιν δοξάσει τὸ αὐτοῦ ὄνομα. ὑμεῖς δὲ ἐδέεσθε τοῦ μαθεῖν, ὅτι οὐκ εἰμὶ ἀντίθεος, ἀλλ' εἰς δόξαν τοῦ ὀνόματος τοῦ θεοῦ. εἰ γὰρ δι' ἐμὲ τὸ ὄνομα τοῦ θεοῦ μέλλει δοξάζεσθαι, πῶς εἰμὶ ἀντίθεος; δι' ὑμᾶς οὖν γέγονεν ἡ φωνή, ἵνα γνῶτε ὅτι πρὸς δόξαν εἰμὶ τοῦ θεοῦ, κἂν μὴ δύνησθε δὲ γνῶναι, ἐρωτήσαντες γοῦν μάθετε, ὃ ἀγνοεῖτε. τὸ δὲ νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, δοκεῖ μὲν ἀνακόλουθον εἶναι τοῖς πρὸ αὐτοῦ. ποίαν γὰρ ἀκολουθίαν ἔχει τοῦτο πρὸς τό, ἐδόξασα καὶ πάλιν δοξάσω; πάντη δὲ ἀκολουθεῖ. ἐπεὶ γὰρ εἶπεν ἄνωθεν ὁ πατήρ, ὅτι δοξάσω, δείκνυσιν ἡμῖν ὁ κύριος τὸν τρόπον τῆς δόξης. τίς δὲ οὗτος; τὸ ἐκβληθῆναι μὲν ἔξω τὸν κοσμοκράτορα καὶ νικηθῆναι, κριθῆναι δὲ τὸν κόσμον, τουτέστιν ἐκδικηθῆναι. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, νῦν κρίσις καὶ ἐκδίκησις τοῦ κόσμου τούτου γίνεται. ἐπεὶ γὰρ τὸν κόσμον ὁ διάβολος τῷ θανάτῳ ὑπέθηκε, τῇ ἁμαρτίᾳ πάντας ἀνθρώπους ἐνόχους ποιήσας, εἰς ἐμέ, φησιν, ἐλθών, καὶ ἁμαρτίαν μὲν μὴ εὑρὼν ἐν ἐμοί, τῷ θανάτῳ δὲ κἀμὲ ἐπίσης τοῖς ἄλλοις ὑπαγαγών, κατακριθήσεται ὑπ' ἐμοῦ, καὶ οὕτως ἐγὼ ἐκδικήσω τὸν κόσμον. ἔστω γάρ, τοῖς ἄλλοις τὸν θάνατον διὰ τὴν ἁμαρτίαν ἐπήνεγκεν, ἐν ἐμοὶ τί τοιοῦτον εἶδεν οἷον τοῖς λοιποῖς, ἵνα καὶ ἐμὲ θανατώσῃ; τοίνυν

[illegible] Ἡ ἐκδίκησις [illegible] ὑπ' ἐμοῦ γίνεται, τὸν γὰρ πάντας θανα usus uti-
ἐμοὶ τῷ ἀναιτίῳ προσβαλόντα θανατώσας ἐγὼ, ἐκδικητὴς ἔσομαι leat : fieri
[illegible] αὐτοῦ θανατωθέντων, καὶ ἐκβληθήσεται ἔξω ὁ τύραννος, διὰ τοῦ θ. iaceant,
ἐμοῦ κατακριθείς. τὸ γὰρ ἐκβληθήσεται ἔξω, ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς δι- nt hu-
κατακρινομένων, καὶ τοῦ δικαστηρίου ἐξωθουμένων εἴρηται. καὶ οὕτω δὲ νοήσεις
βληθήσεται ἔξω, ἀντὶ τοῦ εἰς τὸ σκότος τὸ ἐξώτερον. ἀλλὰ καὶ ἔξω τῆς κατὰ τῆ st. in
ἀνθρώπων δυναστείας γενήσεται, καὶ οὐκ ἔτι ἐν αὐτοῖς, καὶ ταῖς αὐτῶν ψυχαῖς, καὶ apta
τῷ θνητῷ σώματι βασιλεύσει ὡς τὸ πρότερον, ἀλλὰ πάντας ἐγὼ ἑλκύσω πρὸς ἐ-
μαυτὸν, ἐὰν ὑψωθῶ ἐπὶ τοῦ σταυροῦ. πάντες γὰρ καὶ οἱ ἐξ ἐθνῶν, πρὸς τὴν εἰς ἐμὲ πί-
στιν ἑλκυσθήσονται. ἐπεὶ γὰρ αὐτοὶ οὐ δύνανται πρὸς ἐμὲ ἐλθεῖν, ὡς ὑπὸ τοῦ τυράννου
κατεχόμενοι, ἐγὼ νικήσας αὐτὸν καὶ ἐκβαλὼν ἔξω, καὶ τῆς κατὰ τῶν ἀνθρώπων δυνα-
στείας αὐτοῦ τὰ νεῦρα τεμὼν, ἑλκύσω καὶ ἄκοντος ἐκείνου. ὅπερ ἀλλαχοῦ καὶ ἁρπα-
γὴν ὠνόμασεν, οὐδεὶς γάρ, φησι, δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ διαρπάσαι, ἐὰν μὴ δή- Μαρ. γ΄.
σῃ τὸν ἰσχυρόν. ἔλεγε δὲ, καὶ τὸ ἐὰν ὑψωθῶ, φησί, σημαίνων ποίῳ θανάτῳ ἔμελλεν ἀ- Λουκ. ια΄.
ποθνήσκειν, τουτέστιν, ὅτι σταυρωθῆναι μέλλει, τοῦτο γὰρ τὸ ὕψος τοῦ σταυροῦ.

» Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος, ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν
» αἰῶνα. καὶ πῶς σὺ λέγεις, ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ
» υἱὸς τοῦ ἀνθρώπου; εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς. ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι,
» περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. ὁ περιπατῶν ἐν τῇ
» σκοτείᾳ, οὐκ οἶδε ποῦ ὑπάγει. ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς
» γένησθε. Νομίζοντες ἐλέγχειν τὸν κύριον, καὶ ἐπιστομίζειν, ὡς οὐκ ἀληθινὸν ὄντα
Χριστὸν, φασίν. εἰ ὁ μὲν Χριστὸς ἀθάνατός ἐστι, σὺ δὲ λέγεις περὶ σεαυτοῦ, ὅτι μέλλεις
ἀποθνήσκειν, πῶς ἄρα σε πιστεύσομεν εἶναι τὸν Χριστόν. τοῦτο δὲ κακούργως ἔλεγον, καὶ
γὰρ ἡ γραφὴ [illegible] νόμον ὀνομάζουσιν, οὐ μόνον τῆς ἀναστάσεως, ἀλλὰ καὶ τοῦ πάθους
μνημονεύει. [illegible] Ἡσαΐας ἀμφότερα τίθησι, τὸ μὲν πάθος καὶ τὸν θάνατον, οὕ-
τω λέγων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, τὴν δὲ ἀνάστασιν ἐν τῷ εἰπεῖν, κύριος
βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς [illegible], καὶ δεῖξαι αὐτῷ φῶς. καὶ ὁ Δαβὶδ τοῦ
θανάτου ἅμα καὶ τῆς ἀναστάσεως μέμνηται, οὐκ ἐγκαταλείψεις γάρ, φησι, τὴν ψυ- ν γ΄.
χήν μου εἰς ᾅδην. καὶ ὁ πατριάρχης δὲ εὐλογῶν τὸν Ἰούδαν, περὶ Χριστοῦ προφητεύει,
ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, καὶ [illegible] σκύμνος, τίς ἐγερεῖ αὐτόν; ὥστε ἀρνούμενοι τὸ πά- Ψαλ. ι ε΄.
θος, καὶ τὴν ἀθανασίαν [illegible] ντες τῷ Χριστῷ, κακούργῳ γνώμῃ τοῦτο ἐποίουν. Γενέ. μ θ΄.
ἡμεῖς ἐμάθομεν ἐκ τοῦ νόμου, [illegible] τῆς γραφῆς, λέγεται γὰρ πᾶσα ἡ γραφὴ, ὡς
πολλάκις εἴπομεν, νόμος, ὅτι ὁ [illegible] μένει εἰς τὸν αἰῶνα. εἰκότως τοῦτο ἐμάθετε, μέ-
νει γὰρ εἰς τὸν αἰῶνα, καὶ ὡς Θε[illegible] καὶ μετὰ τὴν ἀνάστασιν. τὸ δὲ πάθος αὐτοῦ οὐκ
ἐμάθετε, καὶ πῶς τῶν αὐτῶν [illegible]ων, ὡς ἐδείξαμεν, ἀμφότερα ὁμοῦ διδασκου-
σῶν. πῶς οὖν, φασι, σὺ λέγεις, ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; ὁρᾷς, ὅτι καὶ
τῶν αἰνιγματωδῶς λεγομένων παρὰ [illegible] πολλὰ ἐνόουν; ὥσπερ οὖν καὶ τὸ ὑψω-
θῆναι ἐνόησαν, ὅτι [illegible] τοῦ σταυροῦ [illegible]ως ἄρα πολλὰ μὲν οὖν ἐνόουν, ἐθελο-
κακοῦντες δὲ, ἄγνοιαν προεβάλ[illegible] σκόπει δὲ καὶ τί φασι, πῶς σὺ λέγεις ὅτι δεῖ
ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; κακουργίας γὰρ
μεστὸς ὁ λόγος αὐτῶν ὡσανεὶ τοῦτο λεγόντων, οὐδὲ οἴδαμεν περὶ τίνος λέγεις, καὶ τίς
ἐστιν, ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὅμως ἀποφαινόμεθα τὴν ἀλήθειαν, ὅτι ὁ μέλλων ὑψω-
θῆναι, ὅς [illegible] ἂν καὶ εἴη, οὐκ ἔστιν ὁ Χριστὸς, πῶς γὰρ, τῶν γραφῶν λεγουσῶν τὸν Χριστὸν ἀ-
θάνατον εἶναι; τί οὖν ὁ κύριος; ἐπιστομίζων αὐτοὺς, καὶ δεικνὺς ὅτι τὸ πάθος οὐδὲν κωλύει

[illegible] ἐ[illegible] ἐς τὸ
[illegible] διὰ [illegible] [illegible]ων παραπτώμεθα.
[illegible]ανωμ[illegible] ἔρ[illegible] [illegible] ἐπεὶ κἀγώ, φησι, πα-
[illegible] καὶ αὐ[illegible], ἐπὶ μικρὸν χρ[illegible] ὁ φῶς [illegible] [illegible]
ρ[illegible] καὶ [illegible] τουτί· ὥσπερ οὖν τὸ φῶς τὸ ἡλιακὸν οὐκ ἀναιρεῖται [illegible], ἀλλὰ
ἐπ[illegible]ευον [illegible] [illegible] ἀτέλλ[illegible], οὕτω καὶ ὁ ἐμὸς θάνατος. οὐ διαφθορά ἐστιν, ἀλλὰ [illegible]
[illegible] [illegible] πάλιν ἀνατελῶ διὰ τῆς ἀναστάσεως. ὥστε ἐπεὶ οὐδὲν κωλύει τὸ πά
ἀσε[illegible] εἶναί με, αἱ δὲ γραφαὶ μαρτυροῦσι περὶ τοῦ χριστοῦ, ὡς αἰ-
[illegible] εἰμὶ ὁ χριστός. κἂν τὸ πάθος ὑποστῶ, φῶς γάρ εἰμι, κἂν δύ-
ἐδύ[illegible] α[illegible]λῶ. ὑμεῖς οὖν περιπατεῖτε, ἕως τὸ φῶς ἔχετε, τουτέστι, πιστεύσατε
[illegible] εἰς ἐμέ. ποῖον δὲ καιρὸν ἐνταῦθα φησί; τὸν πρὸ τοῦ σταυροῦ, ἢ τὸν μετὰ τὸν σταυρόν, ἢ ἀμφοτέροις· περιπατεῖτε γάρ, φησι, καὶ πιστεύετε εἰς ἐμέ, καὶ πρὶν ἢ σταυρωθῶ, καὶ μετὰ τὸν σταυρόν. τοῦτο γὰρ δηλοῖ ἐν τῷ λέγειν, ἕως τὸ φῶς ἔχετε, τουτέστιν, ἕως δύνασθε εἰς ἐμὲ πιστεύειν, δύνασθε δὲ καὶ πρὸ τοῦ σταυροῦ καὶ μετὰ ταῦτα πιστεῦσαι εἰς ἐμέ, ὅς εἰμι φῶς. ὁ δὲ περιπατῶν ἐν τῇ ἀπιστίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει. πόσα γὰρ οἱ Ἰουδαῖοι νῦν πράττουσι, καὶ οὐκ ἴσασι τί πράττουσιν, ἀλλ᾽ ὡς ἐν σκότῳ βαδίζοντες, δοκοῦσι μὲν τὴν ὀρθὴν ὁδεύειν, πᾶν δὲ τοὐναντίον πάσχουσι, σάββατον τηροῦντες καὶ περιτομήν, ἀλλ᾽ οὐχ οἱ πιστεύοντες οὕτως. ἐν φωτὶ δὲ περιπατοῦσι, πάντα τὰ σωτηριώδη ἐρχόμενα πράττοντες. τὴν σκιὰν γὰρ τοῦ νόμου καὶ τὸ σκοτεινὸν τῶν αἰνιγμάτων διέφυγον, καὶ τῷ κρυπτομένῳ φωτὶ λάμπαντι προσῆλθον, καὶ γεγόνασι φωτὸς υἱοί, τουτέστι, χριστοῦ. ἵνα γάρ, φησιν, υἱοὶ φωτὸς γένησθε, ὅπερ ἐστίν, ἐμοὶ υἱοί. καίτοι ἐν προοιμίοις ὁ εὐαγγελιστὴς ἐκ θεοῦ γεννηθῆναι εἶναι φησίν. ἐνταῦθα δὲ φωτὸς υἱοὺς ὀνομάζει; τουτέστι τοῦ χριστοῦ. αἰσχυνέσθω οὖν ἄρειος καὶ εὐνόμιος, μία γὰρ ἐνέργεια πατρὸς καὶ υἱοῦ, καὶ ἐντεῦθεν δείκνυται.

Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθών, ἐκρύβη ἀπ᾽ αὐτῶν. τοσαῦτα δὲ αὐτοῦ πεποιηκότος τὰ σημεῖα ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν, ἵνα ὁ λόγος [illegible]ου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπεν. κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν [illegible] ὁ [illegible]ων
ιγ' κυρίου τίνι ἀπεκαλύφθη; διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν [illegible]πεν Ἡσαΐας.
ς' τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστραφῶσι, καὶ ἰάσωμαι αὐτούς.

Τίνος ἕνεκεν ἐκρύβη ἀπ᾽ αὐτῶν; οὐ γὰρ λίθοις ἦραν νῦν κατ᾽ αὐτοῦ, οὐδὲ ἐβλασφήμησάν τι τοιοῦτον οἷον ἔμπροσθεν. τίνος ἕνεκεν ἐκρύβη; τὰς καρδίας αὐτῶν ἐμβατεύων, ᾔδει τὸν θυμὸν αὐτῶν ἀγριαίνοντα, εἰ καὶ [illegible]δὲν ἐφθέγγοντο. κρύπτεται οὖν παραμυθούμενος αὐτῶν τὸν φθόνον. ὅτι οὐκ [illegible]λ᾽ ἐφθόνουν, ἠνίξατο ὁ εὐαγγελιστὴς εἰπών, τοσαῦτα δὲ αὐτοῦ σημεῖα πε[illegible] οὐκ ἐπίστευον εἰς αὐτόν. πάντως γὰρ οὐ μικρᾶς κακίας ἔργον, τὸ τοσούτοις [illegible] μὴ πιστεῦσαι· τοσαῦτα δὲ σημεῖα, φησίν, ἃ παρέλιπεν ὁ εὐαγγελιστής· ἐκρύ[illegible] ὁ Ἰησοῦς, τὸν φθόνον αὐτῶν παραμυθούμενος, ἅμα δὲ καὶ διδοὺς αὐτοῖς καιρὸν καὶ σχολήν, ὥστε καθ᾽ ἡσυχίαν ἐπισκέπτεσθαι τοὺς λόγους αὐτοῦ καὶ τὰς πράξεις. οὕτως γὰρ ἂν εἴπερ ἐβούλοντο, ἠδυνήθησαν ἐλθεῖν εἰς αἴσθησιν τοῦ ἀξιώματος τῆς θεότητος αὐτοῦ. εἰ [illegible] καὶ τὴν ἀπιστίαν αὐτῶν προεγίνωσκεν, ἀλλ᾽ ὅμως τὰ πα[illegible]ντα ἐποί[illegible] ὑπεχώρει, ὡς εἴρηται, καιρὸν αὐτοῖς διδοὺς διασκέψεως. τὸ δὲ οὐκ [illegible] εἰς αὐτόν, ἵνα ὁ λόγος Ἡσαΐου πληρωθῇ, οὐκ ἔστιν αἰτιολογίας, ἀλλ᾽ ἐκβάσεως ὡς πολλάκις εἴπομεν. οὐ γὰρ ἔμελλον ἐκεῖνοι τῷ χριστῷ ἀπιστεῖν, διότι προεῖπεν αὐτοῖς Ἡσαΐας, ἀλλὰ διότι [illegible]μελλον αὐτοὶ ἀπιστεῖν, διὰ τοῦτο προεῖπεν αὐτοῖς ὁ προφήτης. καὶ τὸ οὐκ ἠδύναντο πιστεύειν, ὅτι εἶπεν Ἡσαΐας πάλιν περὶ αὐτῶν, τῆς αὐτῆς ἐννοίας ἔχεται. διὰ πάντων γὰρ τούτων, τοῦτο βούλεται παραστῆσαι, ὅτι ἡ γραφὴ ἀψευδής ἐστι, καὶ ὅτι ἃ προεφήτευσεν ὁ

Ἡσαΐας,

STVDIOSIS SACRARVM LITTERARVM.

CVM MVLTAE RES ſint, quarum uſus utilitati, atque etiam ornamento nobis eſſe ſoleat: fieri tamen uidemus, ut earum rerum quædam iaceant, quædam etiam prorſus intereant. huiuſmodi ſunt humana. mutari omnia conſtat. nihil idem ſemper eſt. in litteris quidem maximam iacturã fecimus: ita multa ueterum ſcripta temporum calamitate perierunt. ſed ò præclarum uirum, qui nouam hanc edendorum librorum rationem inuenit. cum enim ſacrarum litterarum ſtudia, multis in lucem ſcriptoribus editis, qui hactenus in tenebris delituerãt, in dies magis ac magis à doctiſſimis uiris excolantur, & præclara eruditorum hominum ingenia in his ſeſe exerceant, quantam animo poſſum, maximam capio uoluptatem, propterea ꝙ diuino quodam munere id factum uidetur, ut excellenti ingenio ac doctrina uiri his ſe ſtudiis dediderint, quibus non inanem quandam apud homines gloriolam aucupamur, ſed nobis ad immortalitatem uiam communimus, ut deſpecta penitus rerum humanarum imbecillitate, animum ad cœleſtia erigamus, ſummúmq; illum ac præpotentem Deum toto pectore amplexemur, ita ut q̃; minima, dum in hac uitæ quaſi peregrinatione ſumus, nobis cum corporibus ſit contagio, ſed ea nobis una & præcipua cura, ut his ſoluti uinculis in cœleſtem illam patriam, unde paucis ante annis demiſſi fuimus, remigremus. Verum cum nulla re magis q̃; Euangelii lectione adiuuemur, qua ad cœleſtis uitæ imitationem inſtituimur, non inutilem noſtram operam fore iudicauimus, ſi Græcam Theophilacti in Euangelia interpretationem, ſummam uidelicet quandam ferè è Chriſoſtomi commentariis decerptam, publice legendam emitteremus: præſertim cum in ea, quæ in Latinum ſuperioribus annis uerſa eſt, multa deſint, plura uero perperam legantur, ſiue ueteris exemplaris, ſiue interpretis ea culpa fuerit. Plane hoc beneficium, quantũcunq; eſt, quod certe maximum eſt, Pauli III. diuinæ uirtuti debetur. Pontifex benignitate inſignis, natus ad tollẽda humani generis incommoda, ueterem conſuetudinẽ ſeruat, excitat bonas artes quouis ſumptu, quouis præmio, facit, ut qui Pontifices beneficentiæ laude celebrãtur, eos hac ætate minime deſideremus. itaq; noſtrum eſt, ut ei non modo pro Theophilacto, quẽ habemus, ſed etiã pro iis, quæ expectamus, & uitæ diuturnitatem, & quæ optima habentur in uita, à Deo precemur. Valete.


Α.Π.Θ.

ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ Ματθαίου κατὰ Σωφρόνιον.

Ματθαῖος ὁ καὶ Λευὶς, ἀπόστολος ἀπὸ τελωνῶν, ἐν τῇ Ἰουδαίᾳ πρῶτος διὰ τοὺς ἐκ περιτομῆς πιστεύσαντας εὐαγγέλιον τοῦ Χριστοῦ γράμμασιν, καὶ ῥήμασιν ἑβραϊκοῖς συνέταξεν, ἀγνοουμένου τοῦ μετὰ ταῦτα εἰς ἑλληνικὸν ὕφος μεταφράσαντος. Τὸ δὲ ἑβραϊκὸν ἄχρι τήμερον ἐστὶν ἐν τῇ βιβλιοθήκῃ καισαρείας τῆς παρὰ παμφίλου μάρτυρος περισπουδάστως κατασκευασθείσης. Ἐμοὶ δὲ παρὰ τῶν ναζωραίων τῶν ἐν Βεροίᾳ τῆς συρίας τούτῳ κεχρημένων, ἄδεια παρεσχέθη τῆς τούτου μεταγραφῆς, δι' οὗ ἐστιν ἀκριβῶς πεισθῆναι, ὡς ἔνθα δὴ ὁ εὐαγγελιστὴς εἴτε ἐκ προσώπου οἰκείου, εἴτε ἐκ προσώπου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ σωτῆρος ταῖς μαρτυρίαις κατακέχρηται τῶν παλαιῶν γραφῶν, μὴ ἀκολουθεῖν τῇ αὐθεντίᾳ τῶν ἑβδομήκοντα ἑρμηνευτῶν, ἀλλὰ τῇ ἑβραϊκῇ, ἀφ' ὧν τὰ δύο ἐστὶν ἐκεῖνα. ἐξ αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. καὶ ὅτι ναζωραῖος κληθήσεται.

ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΚΑΤΑ Ματθαῖον εὐαγγελίου.

ιδʹ. Περὶ Ἰωάννου καὶ Ἡρώδου.
περὶ τῶν εʹ ἄρτων καὶ τῶν βʹ ἰχθύων.
περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου τοῦ Ἰησοῦ.

ιεʹ. Περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ θεοῦ διὰ τὴν παράδοσιν τῶν ἀνθρώπων.
περὶ τῆς χαναναίας.
περὶ τῶν θεραπευθέντων ὄχλων.
περὶ τῶν ἑπτὰ ἄρτων.

ιϛʹ. Περὶ τῆς ζύμης τῶν Φαρισαίων.
περὶ τῆς ἐν καισαρείᾳ ἐπερωτήσεως.
περὶ τῆς ἐπιτιμήσεως τοῦ πέτρου ὅπως μὴ χριστὸς πάθῃ.

ιζʹ. Περὶ τῆς μεταμορφώσεως τοῦ χριστοῦ.
περὶ τοῦ σεληνιαζομένου.
περὶ τῶν αἰτούντων τὸ δίδραχμα.

ιηʹ. Περὶ τῶν λεγόντων, τίς μείζων.
περὶ τοῦ μὴ σκανδαλίζειν.
περὶ τῶν ρʹ προβάτων παραβολή.
περὶ τῆς ἐλέγξεως τοῦ πλησίου.
περὶ τῆς δυνάμεως τοῦ δεῖν καὶ λύειν.
περὶ τοῦ ὀφείλοντος μύρια τάλαντα.

ιθʹ. Περὶ τῶν ἐπερωτώντων εἰ ἔξεστιν ἀπολῦσαι τὴν γυναῖκα.
περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰησοῦν.

κʹ. Περὶ τῶν μισθουμένων ἐργατῶν.
περὶ τῶν υἱῶν τοῦ ζεβεδαίου.
περὶ τῶν δύο τυφλῶν.

καʹ. Περὶ τῆς ὄνου καὶ τοῦ πώλου.
περὶ τῶν χωλῶν καὶ τυφλῶν.
περὶ τῆς ξηρανθείσης συκῆς.
περὶ τῶν ἐπερωτώντων τὸν κύριον ἀρχιερέων καὶ πρεσβυτέρων.
περὶ τῶν δύο υἱῶν παραβολή.
περὶ τοῦ ἀμπελῶνος.

κβʹ. Περὶ τῶν καλουμένων εἰς τὸν γάμον.
περὶ ἐπερωτησάντων διὰ τὸν κῆνσον.
περὶ τῶν σαδδουκαίων.
περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ.
περὶ τῶν τοῦ κυρίου ἐπερωτήσεως.

κγʹ. Περὶ τοῦ ταλανισμοῦ τῶν φαρισαίων.

κδʹ. Περὶ τῆς συντελείας, ἡμέρας, καὶ ὥρας.

κεʹ. Περὶ τῶν δέκα παρθένων.
περὶ τῶν τὰ τάλαντα λαβόντων.
περὶ τῆς ἐλεύσεως τοῦ χριστοῦ.

κϛʹ. Περὶ τῆς ἀλειψάσης τὸν κύριον μύρῳ.
περὶ τοῦ πάσχα.
περὶ τοῦ μυστικοῦ δείπνου.
περὶ τῆς παραδόσεως τοῦ χριστοῦ.
περὶ τῆς ἀρνήσεως τοῦ πέτρου.

κζʹ. Περὶ τοῦ ἡγεμόνος πιλάτου.
περὶ τῆς Ἰούδα μεταμελείας.
περὶ τοῦ αἰκισμοῦ καὶ τιμωριῶν τοῦ χριστοῦ, καὶ σταυρώσεως.
περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ κυρίου, καὶ φυλάκων τοῦ τάφου.

κηʹ. Περὶ τῆς τοῦ κυρίου ἀναστάσεως.
περὶ τῶν φυλάκων τοῦ τάφου μαρτύρων, τῆς ἀναστάσεως.
περὶ τῆς ἐμφανίσεως τοῦ χριστοῦ τοῖς ἀποστόλοις καὶ γυναιξὶν ἐν γαλιλαίᾳ.


Α.Π.Θ.


Α.Π.Θ.

